Stanford University Libraries
3 6105 121 179 274

Digitized by Google

281.1
M635a

Digitized by Google

PATROLOGIÆ

CURSUS COMPLETUS,

SEU BIBLIOTHECA UNIVERSALIS, INTEGRA, UNIFORMIS, COMMODA, ŒCONOMICA,

OMNIUM SS. PATRUM, DOCTORUM SCRIPTORUMQUE ECCLESIASTICORUM,

SIVE LATINORUM, SIVE GRÆCORUM,

QUI AB ÆVO APOSTOLICO AD TEMPORA CONCILII TRIDENTINI (ANNO 1545) PRO LATINIS ET CONCILII FLORENTINI (ANN. 1439) PRO GRÆCIS FLORUERUNT :

RECUSIO CHRONOLOGICA

OMNIUM QUÆ EXSTITERE MONUMENTORUM CATHOLICÆ TRADITIONIS PER QUINDECIM PRIMA ECCLESIÆ SÆCULA ET AMPLIUS,

JUXTA EDITIONES ACCURATISSIMAS, INTER SE CUMQUE NONNULLIS CODICIBUS MANUSCRIPTIS COLLATAS, PERQUAM DILIGENTER CASTIGATA; DISSERTATIONIBUS, COMMENTARIIS VARIISQUE LECTIONIBUS CONTINENTER ILLUSTRATA; OMNIBUS OPERIBUS POST AMPLISSIMAS EDITIONES QUÆ TRIBUS NOVISSIMIS SÆCULIS DEBENTUR ABSOLUTAS DETECTIS, AUCTA; INDICIBUS PARTICULARIBUS ANALYTICIS, SINGULOS SIVE TOMOS, SIVE AUCTORES ALICUJUS MOMENTI SUBSEQUENTIBUS, DONATA; CAPITULIS INTRA IPSUM TEXTUM RITE DISPOSITIS, NECNON ET TITULIS SINGULARUM PAGINARUM MARGINEM SUPERIOREM DISTINGUENTIBUS SUBJECTAMQUE MATERIAM SIGNIFICANTIBUS, ADORNATA; OPERIBUS CUM DUBIIS, TUM APOCRYPHIS, ALIQUA VERO AUCTORITATE IN ORDINE AD TRADITIONEM ECCLESIASTICAM POLLENTIBUS, AMPLIFICATA;

DUCENTIS ET AMPLIUS LOCUPLETATA INDICIBUS AUCTORUM SICUT ET OPERUM, ALPHABETICIS, CHRONOLOGICIS, STATISTICIS, SYNTHETICIS, ANALYTICIS, ANALOGICIS, IN QUODQUE RELIGIONIS PUNCTUM DOGMATICUM, MORALE, LITURGICUM, CANONICUM, DISCIPLINARE, HISTORICUM, ET CUNCTA ALIA SINE ULLA EXCEPTIONE; SED PRÆSERTIM DUOBUS INDICIBUS IMMENSIS ET GENERALIBUS, ALTERO SCILICET RERUM, QUO CONSULTO, QUIDQUID NON SOLUM TALIS TALISVE PATER, VERUM ETIAM UNUSQUISQUE PATRUM, NE UNO QUIDEM OMISSO, IN QUODLIBET THEMA SCRIPSERIT, UNO INTUITU CONSPICIATUR; ALTERO SCRIPTURÆ SACRÆ, EX QUO LECTORI COMPERIRE SIT OBVIUM QUINAM PATRES ET IN QUIBUS OPERUM SUORUM LOCIS SINGULOS SINGULORUM LIBRORUM SCRIPTURÆ VERSUS, A PRIMO GENESEOS USQUE AD NOVISSIMUM APOCALYPSIS, COMMENTATI SINT.

EDITIO ACCURATISSIMA, CÆTERISQUE OMNIBUS FACILE ANTEPONENDA, SI PERPENDANTUR CHARACTERUM NITIDITAS, CHARTÆ QUALITAS, INTEGRITAS TEXTUS, PERFECTIO CORRECTIONIS, OPERUM RECUSORUM TUM VARIETAS TUM NUMERUS, FORMA VOLUMINUM PERQUAM COMMODA SIBIQUE IN TOTO PATROLOGIÆ DECURSU CONSTANTER SIMILIS, PRETII EXIGUITAS, PRÆSERTIMQUE ISTA COLLECTIO UNA, METHODICA ET CHRONOLOGICA, SEXCENTORUM FRAGMENTORUM OPUSCULORUMQUE HACTENUS HIC ILLIC SPARSORUM, PRIMUM AUTEM IN NOSTRA BIBLIOTHECA, EX OPERIBUS ET MSS. AD OMNES ÆTATES, LOCOS, LINGUAS FORMASQUE PERTINENTIBUS, COADUNATORUM.

SERIES GRÆCA PRIOR,

IN QUA PRODEUNT PATRES, DOCTORES SCRIPTORESQUE ECCLESIÆ GRÆCÆ A S. BARNABA AD PHOTIUM,

ACCURANTE J.-P. MIGNE,

Bibliothecæ cleri universæ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

PATROLOGIA, AD INSTAR IPSIUS ECCLESIÆ, IN DUAS PARTES DIVIDITUR, ALIA NEMPE LATINA, ALIA GRÆCO-LATINA. LATINA, JAM PENITUS EXARATA, QUOAD PRIMAM SERIEM VIGINTI-QUINQUE ET DUCENTIS VOLUMINIBUS MOLE SUA STAT, MOXVE POST PERACTOS INDICES STABIT, AC QUINQUE-VIGINTI-CENTUM ET MILLE FRANCIS VENIT. GRÆCA DUPLICI EDITIONE TYPIS MANDATA EST. PRIOR GRÆCUM TEXTUM UNA CUM VERSIONE LATINA LATERALIS AMPLECTITUR, ET AD NOVEM ET CENTUM VOLUMINA PERVENIT, SED SINE INDICIBUS; POSTERIOR AUTEM HANC VERSIONEM TANTUM EXHIBET, IDEOQUE INTRA QUINQUE ET QUINQUAGINTA VOLUMINA RETINETUR. UTRAQUE VIGESIMA QUARTA DIE DECEMBRIS 1860 OMNINO APPARUERAT. UNUMQUODQUE VOLUMEN GRÆCO-LATINUM OCTO. UNUMQUODQUE MERE LATINUM QUINQUE FRANCIS SOLUMMODO EMITUR : UTROBIQUE VERO, UT PRETII HUJUS BENEFICIO FRUATUR EMPTOR, COLLECTIONEM INTEGRAM, SIVE GRÆCAM SIVE LATINAM, 326 VOLUMINIBUS PRO AMPLIORI EDITIONE ET 272 PRO MINORI ABSQUE INDICIBUS CONSTANTEM, COMPARET NECESSE ERIT; SECUS ENIM CUJUSQUE VOLUMINIS AMPLITUDINEM NECNON ET DIFFICULTATES VARIA PRETIA ÆQUABUNT. ATTAMEN, SI QUIS EMAT INTEGRE ET SEORSIM COLLECTIONEM GRÆCO-LATINAM, VEL EAMDEM EX GRÆCO LATINE VERSAM, TUM QUODQUE VOLUMEN PRO NOVEM VEL PRO SEX FRANCIS OBTINEBIT. ISTÆ CONDITIONES SERIEBUS PATROLOGIÆ NONDUM EXCUSIS APPLICANTUR.

PATROLOGIÆ GRÆCÆ TOMUS LXXI.

S. CYRILLUS ALEXANDRINUS.

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE, EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, OLIM PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

1864

Digitized by Google

BR 60
P4
v.71

AVIS IMPORTANT.

D'après une des lois providentielles qui régissent le monde, rarement les œuvres au-dessus de l'ordinaire se font sans contradictions plus ou moins fortes et nombreuses. Les *Ateliers Catholiques* ne pouvaient guère échapper à ce cachet divin de leur utilité. Tantôt on a nié leur existence ou leur importance; tantôt on a dit qu'ils étaient fermés ou qu'ils allaient l'être. Cependant ils poursuivent leur carrière depuis 21 ans, et les productions qui en sortent deviennent de plus en plus graves et soignées : aussi paraît-il certain qu'à moins d'événements qu'aucune prudence humaine ne saurait prévoir ni empêcher, ces Ateliers ne se fermeront que quand la *Bibliothèque du Clergé* sera terminée en ses 2,000 volumes in-4°. Le passé paraît un sûr garant de l'avenir, pour ce qu'il y a à espérer ou à craindre. Cependant, parmi les calomnies auxquelles ils se sont trouvés en butte, il en est deux qui ont été continuellement répétées, parce qu'étant plus capitales, leur effet entraînait plus de conséquences. De petits et ignares concurrents se sont donc acharnés, par leur correspondance ou leurs voyageurs, à répéter partout que nos Editions étaient mal corrigées et mal imprimées. Ne pouvant attaquer le fond des Ouvrages, qui, pour la plupart, ne sont que les chefs-d'œuvre du Catholicisme reconnus pour tels dans tous les temps et dans tous les pays, il fallait bien se rejeter sur la forme dans ce qu'elle a de plus sérieux, la correction et l'impression; en effet, les chefs-d'œuvre même n'auraient qu'une demi-valeur, si le texte en était inexact ou illisible.

Il est très-vrai que, dans le principe, un succès inouï dans les fastes de la Typographie ayant forcé l'Editeur de recourir aux mécaniques, afin de marcher plus rapidement et de donner les ouvrages à moindre prix, quatre volumes du double *Cours d'Ecriture sainte et de Théologie* furent tirés avec la correction insuffisante donnée dans les imprimeries à presque tout ce qui s'édite; il est vrai aussi qu'un certain nombre d'autres volumes, appartenant à diverses Publications, furent imprimés ou trop noir ou trop blanc. Mais, depuis ces temps éloignés, les mécaniques ont cédé le travail aux presses à bras, et l'impression qui en sort, sans être du luxe, attendu que le luxe jurerait dans des ouvrages d'une telle nature, est parfaitement convenable sous tous les rapports. Quant à la correction, il est de fait qu'elle n'a jamais été portée si loin dans aucune édition ancienne ou contemporaine. Et comment en serait-il autrement, après toutes les peines et toutes les dépenses que nous subissons pour arriver à purger nos épreuves de toutes fautes? L'habitude, en typographie, même dans les meilleures maisons, est de ne corriger que deux épreuves et d'en conférer une troisième avec la seconde, sans avoir préparé en rien le manuscrit de l'auteur.

Dans les *Ateliers Catholiques* la différence est presque incommensurable. Au moyen de correcteurs blanchis sous le harnais et dont le coup d'œil typographique est sans pitié pour les fautes, on commence par préparer la copie d'un bout à l'autre sans en excepter un seul mot. On lit ensuite en première épreuve avec la copie ainsi préparée. On lit en seconde de la même manière, mais en collationnant avec la première. On fait la même chose en tierce, en collationnant avec la seconde. On agit de même en quarte, en collationnant avec la tierce. On renouvelle la même opération en quinte, en collationnant avec la quarte. Ces collationnements ont pour but de voir si aucune des fautes signalées au bureau par MM. les correcteurs, sur la marge des épreuves, n'a échappé à MM. les corrigeurs sur le marbre et le métal. Après ces cinq lectures entières contrôlées l'une par l'autre, et en dehors de la préparation ci-dessus mentionnée, vient une révision, et souvent il en vient deux ou trois; puis l'on cliche. Le clichage opéré, par conséquent la pureté du texte se trouvant immobilisée, on fait, avec la copie, une nouvelle lecture d'un bout de l'épreuve à l'autre, on se livre à une nouvelle révision, et le tirage n'arrive qu'après ces innombrables précautions.

Aussi y a-t-il à Montrouge des correcteurs de toutes les nations et en plus grand nombre que dans vingt-cinq imprimeries de Paris réunies! Aussi encore, la correction y coûte-t-elle autant que la composition, tandis qu'ailleurs elle ne coûte que le dixième! Aussi enfin, bien que l'assertion puisse paraître téméraire, l'exactitude obtenue par tant de frais et de soins, fait-elle que la plupart des Editions des *Ateliers Catholiques* laissent bien loin derrière elles celles même des célèbres Bénédictins Mabillon et Montfaucon et des célèbres Jésuites Petau et Sirmond. Que l'on compare, en effet, n'importe quelles feuilles de leurs éditions avec celles des nôtres qui leur correspondent, en grec comme en latin, on se convaincra que l'invraisemblable est une réalité.

D'ailleurs, ces savants éminents, plus préoccupés du sens des textes que de la partie typographique et n'étant point correcteurs de profession, lisaient, non ce que portaient les épreuves, mais ce qui devait s'y trouver, leur haute intelligence suppléant aux fautes de l'édition. De plus les Bénédictins, comme les Jésuites, opéraient presque toujours sur des manuscrits, cause perpétuelle de la multiplicité des fautes, pendant que les *Ateliers Catholiques*, dont le propre est surtout de ressusciter la Tradition, n'opèrent le plus souvent que sur des imprimés.

Le R. P. De Buch, Jésuite Bollandiste de Bruxelles, nous écrivait, il y a quelque temps, n'avoir pu trouver en dix-huit mois d'étude, *une seule faute* dans notre *Patrologie latine*. M. Denzinger, professeur de Théologie à l'Université de Wurzbourg, et M. Reissmann, Vicaire Général de la même ville, nous mandaient, à la date du 19 juillet, n'avoir pu également surprendre *une seule faute*, soit dans le latin soit dans le grec de notre double *Patrologie*. Enfin, le savant P. Pitra, Bénédictin de Solesme, et M. Bonetty, directeur des *Annales de philosophie chrétienne*, mis au défi de nous convaincre d'une seule erreur typographique, ont été forcés d'avouer que nous n'avions pas trop présumé de notre parfaite correction. Dans le Clergé se trouvent de bons latinistes et de bons helléniste, et, ce qui est plus rare, des hommes très-positifs et très-pratiques, eh bien! nous leur promettons une prime de 25 centimes par chaque faute qu'ils découvriront dans n'importe lequel de nos volumes, surtout dans les grecs.

Malgré ce qui précède, l'Editeur des *Cours complets*, sentant de plus en plus l'importance et même la nécessité d'une correction parfaite pour qu'un ouvrage soit véritablement utile et estimable, se livre depuis plus d'un an, et est résolu de se livrer jusqu'à la fin à une opération longue, pénible et coûteuse, savoir, la révision entière et universelle de ses innombrables clichés. Ainsi chacun de ses volumes, au fur et à mesure qu'il les remet sous presse, est corrigé mot pour mot d'un bout à l'autre. Quarante hommes y sont ou y seront occupés pendant 10 ans, et une somme qui ne saurait être moindre d'un demi-million de francs est consacrée à cet important contrôle. De cette manière, les Publications des *Ateliers Catholiques*, qui déjà se distinguaient entre toutes par la supériorité de leur correction, n'auront de rivales, sous ce rapport, dans aucun temps ni dans aucun pays; car quel est l'éditeur qui pourrait et voudrait se livrer APRES COUP à des travaux si gigantesques et d'un prix si exorbitant? Il faut certes être bien pénétré d'une vocation divine à cet effet, pour ne reculer ni devant la peine ni devant la dépense, surtout lorsque l'Europe savante proclame que jamais volumes n'ont été édités avec tant d'exactitude que ceux de la *Bibliothèque universelle du Clergé*. Le présent volume est du nombre de ceux révisés, et tous ceux qui le seront à l'avenir porteront cette note. En conséquence, pour juger les productions des *Ateliers Catholiques* sous le rapport de la correction, il ne faudra prendre que ceux qui porteront en tête l'avis ici tracé. Nous ne reconnaissons que cette édition et celles qui suivront sur nos planches de métal ainsi corrigées. On croyait autrefois que la stéréotypie immobilisait les fautes, attendu qu'un cliché de métal n'est point élastique; pas du tout, il introduit la perfection, car on a trouvé le moyen de le corriger jusqu'à extinction de fautes. L'Hébreu a été revu par M. Drach, le Grec par des Grecs, le Latin et le Français par les premiers correcteurs de la capitale en ces langues.

Nous avons la consolation de pouvoir finir cet *avis* par les réflexions suivantes : Enfin, notre exemple a fini par ébranler les grandes publications en Italie, en Allemagne, en Belgique et en France, par les *Canons grecs* de Rome, le *Gerdil* de Naples, le *Saint Thomas* de Parme, l'*Encyclopédie religieuse* de Munich, le recueil des *déclarations des rites* de Bruxelles, les *Bollandistes*, le *Suarez* et le *Spicilége* de Paris. Jusqu'ici, on n'avait su réimprimer que des ouvrages de courte haleine. Les in-4°, où s'engloutissent les in-folio, faisaient peur, et on n'osait y toucher, par crainte de se noyer dans ces abîmes sans fond et sans rives; mais on a fini par se risquer à nous imiter. Bien plus, sous notre impulsion, d'autres Editeurs se préparent au *Bullaire* universel, aux *Décisions* de toutes les Congrégations, à une *Biographie* et à une *Histoire* générale, etc., etc. Malheureusement, la plupart des éditions déjà faites ou qui se font, sont sans autorité, parce qu'elles sont sans exactitude; la correction semble en avoir été faite par des aveugles, soit qu'on n'en ait pas senti la gravité, soit qu'on ait reculé devant les frais; mais patience! une reproduction correcte surgira bientôt, ne fût-ce qu'à la lumière des écoles qui se sont faites ou qui se feront encore.

Digitized by Google

TRADITIO CATHOLICA.

SÆCULUM V, ANNUS 444.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΤΑ ΕΥΡΙΣΚΟΜΕΝΑ ΠΑΝΤΑ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

OPERA QUÆ REPERIRI POTUERUNT OMNIA;

CURA ET STUDIO

JOANNIS AUBERTI

LAUDUNENSIS ECCLESIÆ PRESBYTERI CANONICI ET IN SCHOLA PARISIENSI LAUDUNENSIS COLLEGII MAGISTRI, AC INTERPRETIS REGII.

EDITIO PARISIENSIS ALTERA DUOBUS TOMIS AUCTIOR ET EMENDATIOR.

ACCURANTE ET RECOGNOSCENTE J.-P. MIGNE,

BIBLIOTHECÆ CLERI UNIVERSÆ,

SIVE CURSUUM COMPLETORUM IN SINGULOS SCIENTIÆ ECCLESIASTICÆ RAMOS EDITORE.

TOMUS QUARTUS.

VENEUNT 10 VOLUMINA 100 FRANCIS GALLICIS.

—

EXCUDEBATUR ET VENIT APUD J.-P. MIGNE EDITOREM,
IN VIA DICTA *D'AMBOISE*, OLIM PROPE PORTAM LUTETIÆ PARISIORUM VULGO *D'ENFER* NOMINATAM, SEU *PETIT-MONTROUGE*, NUNC VERO INTRA MŒNIA PARISINA.

—

1864

Digitized by Google

TRADITIO CATHOLICA.

SÆCULUM V. ANNUS 444.

ELENCHUS

AUCTORUM ET OPERUM QUI IN HOC TOMO LXXI CONTINENTUR.

S. CYRILLUS, ALEXANDRINUS ARCHIEPISCOPUS

		Col.
Commentarius in	Oseam prophetam.	9
—	In Joelem prophetam.	327
—	In Amos prophetam.	407
—	In Abdiam prophetam.	582
—	In Jonam prophetam.	598
—	In Michæam prophetam.	639
—	In Nahum prophetam.	775
—	In Habacuc prophetam.	843
—	In Sophoniam prophetam.	943
—	In Aggæum prophetam.	1022

256374

STANFORD LIBRARY

Parisiis. — Ex Typis J.-P. MIGNE.

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΩΣΗΕ.

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN OSEAM PROPHETAM COMMENTARIUS [1],

CONTINENS TOMOS VII.

ΠΡΟΟΙΜΙΟΝ.

Οἰηθείη μὲν ἄν τις περιττὸν εἶναί πως, καὶ εἰκαιόβουλον, καὶ οὕτι που σφόδρα τῶν ἀναγκαίων εἰς ὄνησιν, καὶ πολλοῖς ἤδη προειρημένα μονονουχὶ καὶ ἀνασκαλεύειν ἐπιχειρεῖν, καὶ τοῖς τῶν προλαβόντων πόνοις ἐπεισφέρειν ἑτέρους· καίτοι καὶ λίαν ἀποχρώντως ἐχόντων ἐκείνων, εἰς γε τὸ δύνασθαι διατρανοῦν εὖ μάλα τὰς τῶν ἁγίων προφητῶν συγγραφάς. Ἐγὼ δὲ τὸ χρῆμα φαίην ἂν οὐχ ὧδε ἔχειν· πολλοῦ γε καὶ δεῖ. Μεμνήσομαι γὰρ ἐπιφωνοῦντος τοῦ Παύλου τοῖς παρ' αὐτοῦ μυσταγωγουμένοις· « Τὰ αὐτὰ λέγειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρόν· ὑμῖν δὲ ἀσφαλές. » Ἄθρει δὲ, ὅπως ἐστὶν ἀληθὴς ὁ λόγος. Εἰ γάρ τι προκέοιτο τῶν ἀναγκαίων εἰς εἴδησιν, εἶτα πολλοὶ καὶ παρὰ πολλῶν ἐπ' αὐτῷ οὕτω γένοιντο λόγοι, βλάβος μὲν ἔσται τὸ σύμπαν οὐδέν· ὀνήσειε δ' ἂν ὅτι μάλιστά γε τοῖς ἀκροωμένοις. Εἰ μὲν γὰρ ἀλλήλοις συμβαίνοντας ποιοῖντο τοὺς λόγους οἱ διερμηνεύειν εἰωθότες, ἀσφαλεστέρα που πάντως τοῖς φιλακροάμοσιν εἰσκρίνεται γνῶσις. Εἰ δὲ δή τοι φαίνοιτο τὸ ἀφ' ἑκάστου καινοπρεπὲς, καὶ τὸ τῷ δεῖνι τυχὸν οὐ σφόδρα διεγνωσμένον ὀρθῶς καὶ ἀν-

PROŒMIUM.

1 Existimabit fortasse quispiam otiosum esse quodammodo, et cum temeritate conjunctum, parumque conducibile, etiam antea pluribus disputata et explicata · tantum non refodere, perscrutarique velle, et laboribus aliorum præteritis novos superaddere, quanquam illi ad exponenda sanctorum prophetarum scripta omnino ac plane sufficere queant. Ego vero maguopere contra senserim. Memorabo enim Paulum acclamantem iis, quos rebus divinis erudiebat : « Eadem scribere vobis mihi quidem non pigrum, vobis autem necessarium [1]. » Considera porro quam verum dixerit. Nam si quidpiam proponatur, cognitu præcipuum ac necessarium, et ita super eo multis et a multis disseratur, nullum inde damnum ad quemquam, imo fructus maximus ad audientes perveniet. Si enim, quorum munus est interpretari, 2 inter se convenientia attulerint, audiendi discendique cupidis certior utique ac tutior notitia parietur. Si quid autem ab unoquoque novum proferri videbitur, quod non nemo forsitan

[1] Philip. III, 1.

(1) Interprete Jacobo Pontano, S. J., qui hunc commentarium primus Græce et Latine ediderat Ingolstadii anno 1603, fol. — Card. Angelo Mai t. III *Bibliothecæ Novæ Patrum*, p. 133, monet, lacunas se quæ sunt in Cyrilli ad Oseam ac Zachariam editis commentariis contulisse cum codice Vat. 587, nullo tamen fructu; tantumdem enim in codice deesse cognovisse. Cæterum non uno in loco adnotat interpres minus quam pro lacunarum spatio aut forte etiam nihil ad sententiam omissum. EDIT.

Digitized by Google

minus probe, nec citra vitium intellexerit, quid mali est, si id non mihi, sed alteri in mentem venerit? Quinimo sensus, ac declarationes complures dilucidasque adhibere qui tandem non præstat? Quod cum ita sit, tametsi ante nos non pauci in sacros prophetas commentarios ediderunt, hac quidem de causa non tacebimus, potiusque, inertiæ repulsa nubilie; quam nobis quoque gratiam impertiverit, qui profunda et occulta illuminat, eam cæteris etiam prodemus; memores illius Christi: « Gratis accepistis, gratis date [a]. » Ordientes igitur beatum prophetam Oseam perspicue exponere, prius docebimus quod ad aliorum quoque prophetarum libros pertinet. Mos siquidem communis est omnium, facile verba sua ad id quod Spiritui sancto placuit accommodare ac transformare: ut nonnunquam ex historia, sive ex rebus sensum moventibus, et tanquam in conspectu positis et transactis, commode ad intima spiritualium redeant: nonnunquam vero per ambages obscurissimas, res in sensum cadentes attingant. Frequentissime item personas inducunt, et lamentantur, et exclamant, et præteritorum meminerunt, et futura prænuntiant. Quapropter singula clare et studiose discernenda, sententiarumque ordo, personarumque differentia necessario observanda est: sic enim plane, citra confusionem et omnem omnino difficultatem de iis agemus. Opinor autem quædam prius explananda, quæ Israelitico sanguine oriundis acciderunt, ne lectorum animus perturbetur, dum nunc audit Ephraim, et Israel, atque etiam Samariam; nunc Judam, et Benjamin, quibus vocabulis sacri prophetæ creberrime utuntur. Ut igitur manifeste singula norint, attendant. Paternum regnum olim Hierosolymis administrans Salomon, fama celebratum illud et admirabile templum Deo exædificavit. Qui quamvis divitiarum splendore et pecuniæ copia excellentissimus, in senectute dum non vult offendere mulieres, Deum offendit, eo modo 3 quo sacra nobis Scriptura commemorabit, cujus hæc sunt verba: « Et rex adamavit mulieres alienigenas multas, filiam quoque Pharaonis, et Moabitidas, et Ammonitidas, et Sidonias, et Hethæas, et Amorrhæas de gentibus, de quibus dixit Dominus filiis Israel: Non ingrediemini ad eas, neque de illis ingredientur ad vestras, ne inclinent corda vestra post idola sua. His amore copulatus est Salomon. Et erant ei uxores principes septingentæ, et concubinæ trecentæ. Et factus est in tempore senectutis Salomon, et declinarunt mulieres alienigenæ cor ejus post deos alienos, et non erat cor ejus perfectum cum Domino Deo suo, sicut cor David patris ejus. Et ambulavit Salomon post Astarten abominationem Sidoniorum, et post Baal idolum filiorum Ammon. Et fecit Salomon malum coram Domino, et non ambulavit post Dominum, et David pater ejus. Tunc ædificavit Salomon ex-

[a] Matth. x, 8.

A ἐπιλήπτως, εἰ ἐπὶ νοῦν ἥκοι τὸν ἑτέρου, τί τὸ λυποῦν; Μᾶλλον δὲ, πῶς οὐκ ἄμεινον ἀμφιλαφῆ καὶ εὐκρινεστέραν τὴν τῶν νοημάτων γίνεσθαι παράθεσιν; Οὐκοῦν, κἂν οἱ πολλοὶ γεγράφασι πρὸ ἡμῶν, τὰ ἐν τοῖς ἁγίοις προφήταις διερμηνεύοντες, οὐχὶ ἑαυτῆς ἕνεκεν τῆς αἰτίας σιωπήσομεν. Διωσόμεθα δὲ μᾶλλον ὡς ἀδρανῆ τὸν ὄκνον, καὶ ἥνπερ ἂν καὶ ἡμῖν αὐτοῖς ἐπιδοίη χάριν ὁ ἀπολάμπων βαθέα καὶ ἀπόκρυφα, ταύτην καὶ ἑτέροις φανερὰν καταστήσομεν, μεμνημένοι λέγοντος τοῦ Χριστοῦ· « Δωρεὰν ἐλάβετε, δωρεὰν δότε. » Ἀρχόμενος τοίνυν τῆς εἰς τὸν μακάριον προφήτην Ὡσηὲ σαφοῦς ἑρμηνείας, ἐκεῖνο προεκθήσομαι καὶ περὶ τῶν ἄλλων προφητῶν συγγραφῆς. Ἔθος γὰρ ἅπασιν, οὓς ἂν ἕκαστοι ποιοῖντο λόγους, μεταπλάττειν εὐκόλως ἐπὶ τὸ δοκοῦν

B τῷ ἁγίῳ Πνεύματι, ὡς ποτὲ μὲν ἐκ τῆς ἱστορίας, ἤτοι τῶν αἰσθητῶν, καὶ οἱονεί πως ἐν ὄψει κειμένων, καὶ γεγονότων πραγμάτων ἀναφοιτᾷν εὐκόλως εἰς ἐσώτατα πνευματικά· ποτὲ δὲ αὖ καθικνεῖσθαι πάλιν, καὶ πολὺ δὴ λίαν ἀσυμφανῶς, ἐπὶ τὰ ἐν αἰσθήσει πράγματα. Πλείστη δὲ ὅση παρ' αὐτοῖς καὶ ἡ τῶν προσώπων ἐπεισφορὰ, σχετλιασμοί τε, καὶ ἀναφωνήσεις, καὶ τῶν ἤδη παρῳχηκότων ἡ μνήμη, καὶ τῶν ἐσομένων προάγγελσις. Δεῖ δὴ οὖν ἕκαστα σαφῶς φιλοκρινοῦντας, καὶ τὴν τῶν νοημάτων τάξιν, καὶ τὴν τῶν προσώπων διαφορὰν ἀναγκαίως ἐπιτηρεῖν· σαφὴς γὰρ οὕτως ἡμῖν, καὶ ἀσύγχυτος, καὶ δυσχερείας ἁπάσης ἀπηλλαγμένος ἔσται που πάντως ὁ λόγος. Χρῆναι δὲ ὑπολαμβάνω, προαφηγήσασθαί τινα τῶν

C συμβεβηκότων τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἵνα μὴ ταράττοιτο τῶν ἐντευξομένων ὁ νοῦς, ποτὲ μὲν ἀκούων Ἐφραΐμ, καὶ Ἰσραὴλ, καὶ μέντοι καὶ Σαμάρειαν· Ἰούδαν τε αὖ, καὶ Βενιαμίν. Πλείστη γὰρ ὅση τῶν τοιούτων ὀνομάτων παρὰ τοῖς ἁγίοις προφήταις ἡ μνήμη. Ἵνα τοίνυν εἰδεῖεν ἕκαστα σαφῶς, ἀκουόντων ὅτι τὴν τοῦ πατρὸς βασιλείαν περιέπων κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις ὁ Σολομών, ἀνεδείματο μὲν τῷ Θεῷ τὸν διαβόητον ἐκεῖνον καὶ ἀξιάγαστον νεών. Ἀλλὰ καίτοι λίαν γεγονὼς διαπρεπὴς διά τε πλούτου λαμπρότητα, καὶ περιουσίαν χρημάτων, εἰς γῆρας ἐληλακὼς, διά τοι τὴν εἰς γυναῖκας αἰδῶ πρὸς κέκρουκε

D τῷ Θεῷ. Καὶ ποῖος αὐτῷ γέγονε πλημμελείας ὁ τρόπος, τὸ ἱερὸν ἡμῖν ἀφηγήσεται Γράμμα· ἔχει γὰρ οὕτως· « Καὶ ὁ βασιλεὺς ἔλαβε γυναῖκας ἀλλοτρίας, καὶ τὴν θυγατέρα Φαραὼ, Μωαβίτιδας, Ἀμμανίτιδας, Σύρας, καὶ Ἰδουμαίας, Χετταίας, καὶ Ἀμορραίας, ἐκ τῶν ἐθνῶν ὧν ἀπεῖπε Κύριος τοῖς υἱοῖς Ἰσραὴλ· Οὐκ εἰσελεύσεσθε εἰς αὐτοὺς, καὶ αὐτοὶ οὐκ εἰσελεύσονται εἰς ὑμᾶς, ἵνα μὴ ἐκκλίνωσι τὰς καρδίας ὑμῶν ὀπίσω τῶν εἰδώλων αὐτῶν· εἰς αὐτὰς ἐκολλήθη Σολομὼν, τοῦ ἀγαπῆσαι. Καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρχουσαι ἑπτακόσιαι, καὶ παλλακαὶ τριακόσιαι. Καὶ ἐγενήθη ἐν τῷ καιρῷ γήρως Σολομὼν, καὶ ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ ὀπίσω θεῶν ἑτέρων. Καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου τοῦ Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. Καὶ ἐπορεύθη Σολομὼν

Digitized by Google

ὀπίσω τῆς Ἀστάρτης βδελύγματος Σιδωνίων, καὶ ὀπίσω τοῦ Βάαλ, εἰδώλου υἱῶν Ἀμών. Καὶ ἐποίησε Σολομὼν τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐπορεύθη ὀπίσω Κυρίου, ὡς Δαβὶδ ὁ πατὴρ αὐτοῦ. Τότε ᾠκοδόμησε Σολομὼν ὑψηλὸν τῷ Χαμὼς εἰδώλῳ Μωάβ, καὶ τῷ Βάαλ εἰδώλῳ υἱῶν Ἀμών, καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων. Καὶ οὕτως ἐποίησε πάσαις ταῖς γυναιξὶν αὐτοῦ ταῖς ἀλλοτρίαις, αἱ ἐθυμίων καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ Σολομῶνα, ὅτι ἐξέκλινε καρδίαν αὐτοῦ ἀπὸ Κυρίου Ἰσραὴλ, τοῦ ὀφθέντος αὐτῷ δίς, καὶ ἐντειλαμένου αὐτῷ ὑπὲρ τοῦ λόγου τούτου, τοπαράπαν μὴ πορευθῆναι ὀπίσω θεῶν ἑτέρων· καὶ φυλάξαι, καὶ ποιῆσαι ἃ ἐνετείλατο αὐτῷ ὁ Κύριος ὁ Θεός.» Ἀπάσης μὲν οὖν ἐπέκεινα δυσσεβείας τὰ τοῦ Σολομῶντος ἐν γήρει τολμήματα. Τί γὰρ ἂν γένοιτο τῶν οὕτως ἐκτόπων πλημμελημάτων τὸ δυσαχθέστερον; Ἢ πῶς οὐ πέρα λόγου παντὸς, ἀλογῆσαι μὲν τιμῆς καὶ ἀγάπης τῆς εἰς τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς ὄντα Θεὸν, τὸ δὲ αὐτῷ καὶ μόνῳ προσὸν ἀξίωμα καὶ τῶν δαιμονίων ἀπονέμειν ἀγέλαις, μᾶλλον δὲ λίθοις ἀνάπτειν καὶ ξύλοις; Ἐπειδὴ δὲ ἥλω πεφρονηκώς τε καὶ δράσας ἃ μηδὲ θέμις εἰπεῖν, καὶ τοῖς οὕτως αἰσχροῖς πλημμελήμασιν ἔνοχος γεγονὼς κατεφωράτο, λοιπὸν ἔφη πρὸς αὐτὸν ὁ τῶν ὅλων Θεός· « Ἀνθ' ὧν ἐγένετο ταῦτα μετὰ σοῦ, καὶ οὐκ ἐφύλαξας τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου, ἃ ἐνετειλάμην σοι, διαρρήσσων διαρρήξω τὴν βασιλείαν ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. Πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω αὐτὰ, διὰ Δαβὶδ τὸν πατέρα σου. Ἐκ χειρὸς υἱοῦ σου λήψομαι αὐτήν. Πλὴν, ὅλην τὴν βασιλείαν οὐ μὴ λάβω· σκῆπτρον ἓν δώσω τῷ υἱῷ σου, διὰ Δαβὶδ τὸν δοῦλόν μου, καὶ διὰ Ἰερουσαλὴμ τὴν πόλιν, ἣν ἐξελεξάμην.» Ἐπειδὴ γὰρ, ὡς ἔφην, τῆς εἰς γυναῖκας ἐπιθυμίας ἡττώμενος, καίτοι σοφὸς ὢν ἄγαν, ὁ Σολομὼν μονονουχὶ καὶ ὅσον ἦκει εἰπεῖν εἰς ἐγχειρημάτων δύναμιν, τὴν τοῦ Θεοῦ βασιλείαν διέρρηξεν, εἰδώλοις ἀνάπτων τὴν αὐτῷ καὶ μόνῳ πρεπωδεστάτην τιμήν τε καὶ δόξαν, ταύτητοι, καὶ μάλα εἰκότως, διαρρηγνύναι Θεὸς ἐπιτρέπει τὴν βασιλείαν αὐτοῦ, τοῖς ἴσοις ἀντιλυπῶν, κατὰ τὸ ἐν τῷ προφήτῃ γεγραμμένον Ἰεζεχιήλ· « Καθὼς ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου, ἀνταποδοθήσεται εἰς κεφαλήν σου.» Ἐπειδὴ δὲ ἀπεδίω Σολομὼν, κέκληται πρὸς βασιλείαν ὁ ἐξ αὐτοῦ, τουτέστιν, ὁ Ῥοβοάμ. Τότε δὴ, τότε κατασχίζεται λοιπὸν ὁ Ἰσραὴλ, καὶ ἀποφοιτῶσι μὲν Ἱεροσολύμων αἱ δέκα φυλαὶ, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραΐμ. Κατελογίζοντο γὰρ εἰς μίαν φυλὴν οἱ ἐξ Ἰωσὴφ γεγονότες υἱοὶ Ἐφραΐμ τε καὶ Μανασσῆς, τοῦτο τοῦ προπάτορος Ἰακὼβ κρατεῖν ἐθελήσαντος. Εἴρηται γάρ τοι πρὸς τὸν Ἰωσήφ· « Νῦν οὖν οἱ δύο υἱοί σου, οἱ γενόμενοί σοι ἐν Αἰγύπτῳ, πρὸ τοῦ ἐλθεῖν με πρὸς σὲ εἰς Αἴγυπτον, ἐμοί εἰσι, Ἐφραΐμ, καὶ Μανασσῆ, ὡς καὶ Ῥουβὴμ, καὶ Συμεών, ἔσονταί μοι.» Οὐκοῦν αἱ μὲν δέκα φυλαὶ καὶ τὸ ἥμισυ τῆς μιᾶς, τουτέστιν Ἐφραΐμ, ἀπῴκηντο μὲν εἰς τὴν Σαμάρειαν, ἔξω δὲ

celsum Chamos idolo Moab, et Baal idolo filiorum Ammon, et Astartæ abominationi Sidoniorum. Atque in hunc modum fecit universis uxoribus suis alienigenis, quæ adolebant thura, et immolabant diis suis. Et iratus est Dominus Salomoni, quod declinasset cor suum a Domino Deo Israel, qui apparuerat ei secundo, et præceperat ei de verbo hoc, ut penitus non sequeretur deos alienos, et custodiret, ac faceret quæ mandavit ei Dominus Deus [3]. » Omnem ergo impietatem commissa a Salomone jam sene facinora superarunt. Quid enim tam nefariis sceleribus odiosius? aut quis satis explicet quam sit impium, honore et charitate erga unum et natura ac vere Deum contempta, ipsius solius excellentiam dignitatemque dæmonum gregibus, imo vero lapidibus atque lignis tribuere? Quoniam vero et cogitare, et facere dictu etiam fœda, et adeo turpibus obstrictus delictis compertus est, deinceps ab universorum Deo audivit: « Quia hæc facta sunt tecum, et non custodisti præcepta mea et mandata mea, quæ mandavi tibi, avellens avellam regnum de manu tua. et dabo illud servo tuo. Verumtamen in diebus tuis non faciam hoc, propter David patrem tuum. De manu filii tui auferam illud. Verumtamen totum regnum non & auferam; sceptrum unum dabo filio tuo, propter David servum meum, et propter Jerusalem, urbem quam elegi [4]. » Postquam enim, ut dixi, amore mulierum victus, quamvis sapientissimus Salomon, Dei regnum, qua ausu et conatu, tantum non discidit, ipsi, et soli convenientissimum honorem, atque gloriam idolis conservans, idcirco, et quidem rectissime, discissum iri regnum ejus Deus comminatur, par pari referens, ut scriptum est in Ezechiele: « Sicut fecisti, sic erit tibi: retributio tua retribuetur in caput tuum [5]. » Defuncto Salomone, filius ejus Roboam ad regnum vocatus est. Tunc tunc divisus est Israel, et ab Hierosolymis decem tribus discesserunt, una cum dimidia tribu, Ephraimitica scilicet. Ex Joseph siquidem prognati Ephraim et Manasses, auctoritate et voluntate Jacob, primi patris, pro una tribu reputabantur. Dixit enim Josepho: « Nunc igitur hi duo filii tui, qui nati sunt tibi in Ægypto, antequam venirem ad te in Ægyptum, mei sunt, Ephraim et Manasses; sicut Ruben et Symeon reputabuntur mihi [6]. » Itaque decem tribus, et unius dimidium, hoc est, Ephraim, in Samariam concesserunt, alienatæ a regno Roboam. Manserunt autem Hierosolymis qui in tribu Juda et Benjamin numerabantur. Ast rege et duce destituti qui erant in Samaria, cum Roboamum de incursionibus suspectum haberent, et cum uxoribus liberisque exitium exspectarent, Jeroboam servum Salomonis, qui in Ægyptum ad Susacim regem perfugerat, accersitum, statim principem creaverunt, et regni sceptro hominem scelestum condi-

[3] III Reg. xi, 1-10. [4] ibid. 11-13. [5] Ezech. xii, 11. [6] Gen. xlviii, 5.

Digitized by Google

corarunt [7]. Erat autem Jeroboam de monte, et tribu Ephraim. Rex constitutus de cætero secum pertractavit, quonam modo regnum suum stabiliret atque confirmaret, et eorum qui se elegerant voluntas ad aliud consilium capessendum ne converteretur. Deinde cum timeret, ne forte religionum a lege præscriptarum, et festorum quæ Hierosolymis peragerentur recordatus Israel, ad vetera instituta recurreret, 5 et Roboami jugo de integro subjiceretur, duos vitulos aureos fabricatus est, et ad divinum cultum in excelsum ascendere Israelem faciens, eos precibus et victimis venerari suppliciter jussit. « Et posuit, » inquit, « unum quidem in Galgala, alium in Dan, » urbibus in Samaritarum provincia ante alias illustribus. Itaque decem tribus, et dimidia tribus Ephraim dupliciter defecerunt. Non solum enim ab Hierosolymis, sed etiam ab ipsa pietate erga Deum transversim abierunt, vitulos aureos adorantes, sacrificantesque, et operibus manuum suarum servientes, sicut scriptum est [8]. Qui autem Jerosolymis remanserant, Judas, inquam, et Benjamin, oracula Mosis quadam veneratione prosequebantur, illorumque rationem ducebant. Sacrificabant enim in templo: verumtamen charitati in Deum non per omnia adhærebant, quod et ipsos apostasis, seu defectio diviserat. Sacrificabant namque idolis super omnem collem sublimem, et sub omni ligno frondoso, juxta vocem prophetæ [9]. Cum igitur audis sanctos prophetas nominantes Israel, sive Ephraim, Samaritas intellige; cum Judam et Benjamin, eos qui Jerosolymis remanserunt. Erant autem prophetæ apud eos, indiscrete tum de iis qui in Samaria, tum de iis qui Jerosolymis vaticinantes: quorum alii Jerosolymis, alii in Samaritarum regione habitantes, Dei sermones auditentibus apportabant. Sciendum autem, post avulsas decem tribus et dimidiam tribum Ephraim ab Jerosolymis utrosque propriis regibus esse usos, idque ad ultimam usque captivitatem obtinuit, a qua et Jerosolymam Cyro regnante, et reditum illis permittente reversi sunt, duce ac principe Zorobabele Salathielis filio de tribu Juda, et summo sacerdote Jesu filio Josedec [10]. Tum quoque templum reædificarunt, et omni sublata discordia, sub uno imperio Jerosolymis vixerunt. Quoties autem diversis temporibus in servitutem redacti sint seorsum decem tribus, et dimidia tribus Ephraim, et qui incolebant Jerusalem, Juda, et Benjamin, ex his quæ sequuntur liquido patebit. Necesse porro fuit etiam tempora litteris mandari, quibus unusquisque sanctorum 6 prophetarum locutus est, ut exacte nosceremus, quali rerum statu, et quonam modo iis habentibus, Dei verba ad eos facta sint.

A τῆς Ῥοβοὰμ γεγόνασι βασιλείας, ἀπομεμενήκασι δὲ ἐν τοῖς Ἱεροσολύμοις οἱ ἐκ φυλῆς Ἰούδα, καὶ Βενιαμίν. Ἐπειδὴ δὲ ἀβασίλευτοί τε καὶ ἀστρατήγητοι μένοντες οἱ ἐν Σαμαρείᾳ τὰς ἐκ τοῦ Ῥοβοὰμ ἐφόδους ἐπώπτευον, καὶ ἑαυτοὺς δὴ μάλα τοῖς φιλτάτοις συνδιόλλυσθαι προσεδόκων, μεταπέμπονται τὸν Ἱεροβοάμ. Οἰκέτης δὲ οὗτος ἦν Σολομῶντος, ἀποδρὰς εἰς Αἴγυπτον πρὸς Σουσακεὶμ βασιλέα. Καὶ δὴ καὶ ἐλθόντα κεχειροτονήκασιν εὐθὺς εἰς ἡγούμενον, καὶ σκήπτρῳ τῆς βασιλείας τετιμήκασι τὸν ἀλιτήριον. Καὶ ἦν Ἱεροβοὰμ ἐξ ὄρους καὶ φυλῆς Ἐφραΐμ. Ἐπειδὴ δὲ κεχειροτόνητο βασιλεὺς, ἐξεμηχανᾶτο λοιπὸν, τίνα τρόπον αὐτῷ τὰ τῆς βασιλείας στήσεται, καὶ ἐν βεβαίῳ μενεῖ, καὶ τῶν χειροτονησάντων γνώμης οὐ μεθισταμένης εἰς ἑτέραν τινὰ βουλήν τε καὶ
B σκέψιν. Εἶτα δεδιὼς μὴ ἄρα πως τῆς ἐν νόμῳ λατρείας, καὶ τῶν ἐν τοῖς Ἱεροσολύμοις ἐπιτελουμένων ἑορτῶν εἰς ἀνάμνησιν ἐνεχθεὶς ὁ Ἰσραὴλ, παλινδρομεῖν ἕλοιτο εἰς τὸ ἐν ἀρχαῖς, καὶ τοῖς Ῥοβοὰμ ὑπενεχθείη ζυγοῖς, δύο δαμάλεις ἐργάζεται χρυσᾶς, καὶ πρὸς τὸ σέβας ἀναβιβάζων τὸν Ἰσραὴλ, ἐκέλευε προσκυνεῖν αὐταῖς καὶ ὁλοκαυτοῦν. « Καὶ ἀπέθετο, » φησὶ, « τὴν μὲν εἰς Γάλγαλα, τὴν δὲ εἰς Δάν. » Πόλεις γὰρ αἵτινες περιφανέστεραι τῶν ἄλλων, αἳ ἦσαν ἐν χώρᾳ Σαμαρειτῶν. Οὐκοῦν διττὴ γέγονε τῶν δέκα φυλῶν ἡ ἀπόστασις, καὶ τοῦ ἡμίσους φυλῆς Ἐφραΐμ. Ἐξίφχοντο γὰρ, οὐχὶ μόνον τῶν Ἱεροσολύμων, ἀλλὰ καὶ αὐτῆς τῆς εἰς Θεὸν εὐσεβείας, δαμάλεσι προσκυνοῦντες χρυσαῖς, θύοντές τε καὶ λατρεύοντες τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν,
C καθὰ γέγραπται. Οἱ δέ γε ἀπομεμενηκότες ἐν τοῖς Ἱεροσολύμοις, Ἰούδας τε, φημὶ, καὶ Βενιαμὶν, αἰδῶ μέν τινα καὶ λόγον τῶν διὰ Μωσέως ἐποιοῦντο θεσπισμάτων. Ἔθυον γὰρ ἐν τῷ ναῷ· πλὴν οὐχ ὁλοτρόπως τῆς εἰς Θεὸν ἀγάπης ἐξείχοντο, κατεμερίζοντο δὲ καὶ αὐτοὶ πρὸς ἀπόστασιν. Ἔθυον γὰρ εἰδώλοις ἐπὶ πάντα βουνὸν ὑψηλὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ὅταν τοίνυν ἀκούῃς τῶν ἁγίων προφητῶν ὀνομαζόντων τὸν Ἰσραὴλ, ἤτοι τὸν Ἐφραΐμ, τότε δή μοι νόει τοὺς ἐν τῇ Σαμαρείᾳ· ὅταν δὲ τὸν Ἰούδαν καὶ Βενιαμὶν, τοὺς ἀπομείναντας ἐν Ἱεροσολύμοις. Ἦσαν δὲ προφῆται παρ' αὐτοῖς, ἀδιακρίτως περί τε τῶν ἐν τῇ Σαμαρείᾳ καὶ τῶν ἐν τοῖς Ἱεροσολύμοις προφητεύοντες. Καὶ οἱ μὲν ἐν τοῖς Ἱεροσολύμοις, οἱ
D δὲ τὴν Σαμαρειτῶν οἰκοῦντες χώραν, τοὺς παρὰ Θεοῦ τοῖς ἀκροωμένοις διεκόμιζον λόγους. Ἰστέον δὲ, ὅτι μετὰ τὸ ἀπορραγῆναι τῶν Ἱεροσολύμων τὰς δέκα φυλὰς, καὶ τὸ ἥμισυ φυλῆς Ἐφραΐμ, ἰδίοις ἐχρῶντο βασιλεῦσι καὶ οἱ ἐν τῇ Σαμαρείᾳ, καὶ οἱ ἐν τοῖς Ἱεροσολύμοις. Καὶ τοῦτο κεχράτηκεν ἄχρι καιροῦ τῆς τελευταίας αἰχμαλωσίας, ὅτε καὶ ὑπενόστησαν ἐν Ἱεροσολύμοις, Κύρου κεχρατηκότος, καὶ ἀνέντος αὐτοῖς τὴν ἀποδρομὴν, καθηγουμένου μὲν Ζοροβάβελ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, ἱερατεύοντος δὲ Ἰησοῦ τοῦ Ἰωσεδέκ. Τότε καὶ τὸν ναὸν ἀνεδείμαντο, καὶ ὑπὸ μίαν γεγόνασιν ἀρχὴν, καὶ κατῳκήκασιν ἐν Ἱεροσολύμοις, διχονοίας ἀπάσης ἐξῃρημένης. Ὅσαι δὲ κατὰ καιροὺς αἰχμαλωσίαι γεγόνασιν ἀνὰ μέρος τῶν δέκα φυλῶν, καὶ μέντοι καὶ τοῦ ἡμίσεως φυλῆς Ἐφραΐμ, καὶ τῶν ἐν τοῖς Ἱεροσολύ-

[7] III Reg. XII, 26; XIII, 1 seqq. [8] Mich. V, 13. [9] III Reg. XIV, 23; Jerem. III, 13. [10] I Esdr. II, 1, 2.

Digitized by Google

μοις, Ἰούδα τε, φημὶ, καὶ Βενιαμὶν, προῶν ὁ λόγος ἐπιδείξει σαφῶς. Ἀνάγραπτοι δὲ γεγόνασιν ἀναγκαίως καὶ οἱ χρόνοι, καθ' οὓς ἕκαστος τῶν ἁγίων λελάληκε προφητῶν, ἵν' εἰδείημεν ἀκριβῶς ἐν ποίᾳ τινὶ καταστάσει τῶν πραγμάτων κειμένων, τίνα τε τρόπον ἐχόντων, οἱ παρὰ Θεοῦ πρὸς αὐτοὺς γεγόνασι λόγοι.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΚΕΦΑΛ. Α'.

Λόγος Κυρίου ὃς ἐγενήθη πρὸς Ὡσηὲ τὸν τοῦ Βεηρὶ, ἐν ἡμέραις Ὀζίου καὶ Ἰωάθαμ, Ἀχὰζ, Ἐζεχίου, βασιλέων Ἰούδα· καὶ ἐν ἡμέραις Ἱεροβοὰμ υἱοῦ Ἰωὰς βασιλέως τοῦ Ἰσραήλ.

Α'. Προφητεύει τοίνυν ὁ μακάριος Ὡσηὲ ἐν ἡμέραις Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἀχάζ, καὶ Ἐζεχίου, βασιλέων Ἰούδα· καὶ ἐν ἡμέραις Ἱεροβοὰμ, υἱοῦ Ἰωὰς βασιλέως Ἰσραήλ. Καὶ ὁ μὲν χρόνος τῆς προφητείας μέχρι τούτου νοεῖται λαβὼν τὴν παράτασιν. Χρὴ δὲ, οἶμαι, τὰ ἐφ' ἑκάστῳ λοιπὸν ἀφηγεῖσθαι σαφῶς, ὡς ἂν ἔχωμεν ἐννοεῖν, καθάπερ ἤδη προεῖπον, ὁποῖοί τινες οἱ τοιοῖδε γεγόνασι· πότερον ἀγαθοί τε καὶ εὖνοι πρὸς Θεὸν, ἢ γοῦν ἀπονενευκότες ἐπὶ τὸ μὴ οὕτως ἔχον· καὶ τίνα τὰ ἐφ' ἑκάστοις συμβεβηκότα, τοῖς τε ἐν τῇ Σαμαρείᾳ καὶ τοῖς ἐν τοῖς Ἱεροσολύμοις. Εἰσόμεθα γὰρ ὧδε, καὶ λίαν εὐκόλως, ὅποιπερ ἂν βλέπῃ τῆς προφητείας ὁ σκοπός. Τελευταῖος μὲν οὖν ὠνόμασται Ἱεροβοὰμ ὁ τοῦ Ἰωὰς, βασιλεὺς Ἰσραήλ, γέγονε δὲ πρὸ Ἀζαρίου, τοῦ καὶ Ὀζίου. Ἰστέον δὲ, ὅτι ἕτερος ἡμῖν παρὰ τὸν πρῶτόν ἐστιν, ὃς ἐν καιροῖς γέγονε βασιλέως Ῥοβοὰμ, υἱοῦ Σολομῶνος, πλὴν ἰσότροπος ἐκείνῳ, καὶ εἰς ἀσέβειαν ἐμφερής. Γέγραπται γὰρ ὠδὶ περὶ αὐτοῦ· « Ἐν ἔτει πεντεκαιδεκάτῳ τοῦ Ἀμασίου, υἱοῦ Ἰωὰς βασιλέως Ἰούδα, ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς Ἰωὰς ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ, τεσσαράκοντα καὶ ἓν ἔτος. Καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου. Οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. » Ὁρᾷς, ὅπως ζηλωτὴς τῶν ἐκείνου τρόπων γέγονε, τὴν ἴσην ὥσπερ ἁμαξητὸν ἐρχόμενος, καὶ οἱονεὶ κατὰ πόδας τῆς ἐκείνου δυσσεβείας ἐλθών. Εἶτα τί φησι τὸ Γράμμα τὸ ἱερόν; « Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τοῦ Ἱεροβοὰμ βασιλέως Ἰσραὴλ, ἐβασίλευσεν Ἀζαρίας υἱὸς Ἀμασίου, βασιλέως Ἰούδα, ὃς ἑκκαίδεκα ἐτῶν ἦν, ἐν τῷ βασιλεύειν αὐτόν. Καὶ δύο καὶ πεντήκοντα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. Καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰεχελία ἐξ Ἱερουσαλήμ. Καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ πάντα ὅσα ἐποίησεν Ἀμασίας ὁ πατὴρ αὐτοῦ· πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν· ἔτι γὰρ ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς. Καὶ ἥψατο Κύριος τοῦ βασιλέως, καὶ ἦν λελεπρωμένος ἕως ἡμέρας θανάτου αὐτοῦ. » Εὐσεβὴς μὲν καὶ φιλόθεος Ὀζίας, πλὴν οὐχ ὁλοτρόπως. « Οὐ γὰρ περιεῖλε τὰ ὑψηλὰ, φησὶν, ἀλλ' ἐθυμίων ἐν αὐτοῖς, καὶ τοῖς δαιμονίοις προσῆγον θυσίας οἱ πλανώμενοι. » Εἶτα παρενεχθεὶς Ἀζαρίας, ἤγουν ὁ Ὀζίας, εἰς ἐκτόπους ἐννοίας, ὑφ' ἧς πρέπειν τῇ τῆς βασιλείας δόξῃ καὶ τὸ χρῆναι πληροῦν τὰ νενομισμένα τῷ Θεῷ, καὶ λειτουργίας ἀντέχεσθαι τῆς ἱερᾶς. Καὶ δὴ καὶ τέθυκε

A

B

C

D

TOMUS PRIMUS

CAP. I.

VERS. 1. *Verbum Domini quod factum est ad Osee filium Beeri in diebus Oziæ, et Joatham, Achaz, Ezechiæ, regum Juda, et in diebus Jeroboam filii Joas regis Israel.*

I. Vaticinatur itaque beatus Oseas in diebus Oziæ, et Joatham, et Achaz, et Ezechiæ, regum Juda, et in diebus Jeroboam filii Joas regis Israel. Et tempus quidem vaticinii hucusque productum intelligitur. Arbitror autem ordine de singulis narrandum luculentius, ut noscere possimus, quemadmodum jam dicebam, quales hi reges fuerint, utrum videlicet boni, et bene erga Deum animati, an potius in contrarium abierint, et quæ singulis tum in Samaria tum Jerosolymis regnantibus evenerint. Ita enim quonam prophetia collimet, nullo negotio perspicemus. Postremo igitur loco nominatus est Jeroboam, filius Joas, rex Israel, qui Azariam, alias Oziam, antecessit. Scire licet hunc alium fuisse a primo, qui temporibus regis Roboami, filii Salomonis, vixit: tamen moribus iisdem, et impietate similem [11]. Sic enim de ipso scriptum exstat: « In anno decimo quinto Amasiæ, filii Joas, regis Juda, regnavit Jeroboam filius Joas super Israel in Samaria, annos unum et quadraginta. Et fecit malum coram Domino. Non recessit ab omnibus peccatis Jeroboam filii Nadab, qui peccare fecit Israel. » Cernis quo pacto mores illius expresserit, veluti si per orbitam eamdem, et per vestigia impietatis ejus incederet. Quid amplius sacra Scriptura dicit? « Anno vicesimo septimo Jeroboam regis Israel, regnavit Azarias filius Amasiæ regis Juda, annos natus sedecim. Duos supra quinquaginta regnavit in Jerusalem. Nomen matris ejus Jechelia de Jerusalem. Et fecit quod rectum erat coram Domino, juxta omnia quæ fecit pater ejus. Verumtamen excelsa non est demolitus: adhuc enim populus sacrificabat et adolebat incensum in excelsis. Et percussit Dominus regem et fuit leprosus usque in diem mortis suæ [12]. » Pius et Dei cultor fuit Ozias, 7 sed non usquequaque. « Non enim demolitus est excelsa, inquit; sed sacrificabant in illis, et dæmonibus hostias offerebant seducti. » Postmodum transversim actus Azarias, sive Ozias, esse ex regali dignitate censuit, sacris legibus Deo instituta obire, et ministerium sacrum capessere. Per se quoque sacrificavit, legem a Mose latam ignorans. Simul autem ad functionem sacram, sibi neutiquam convenientem ascendit [13], « Percussit eum Dominus, inquit, et erat leprosus usque in diem mortis suæ [14]. » Immundus igitur secundum legem erat leprosus, et hujusce-

[11] III Reg. II, 26. [12] IV Reg. XIV, 23, 24. [13] IV Reg. XV, 1-5. [14] II Par. 15, 1. [15] IV Reg. XV, 5.

Digitized by Google

modi morbo implicitu castris ejiciebantur. Sic enim Deus ad sacrorum doctorem Mosen: « Loquere filiis Israel, ejiciant extra castra omnem leprosum, et fluxum seminis patientem; et omnem immundum in anima [16]. » Punitus est autem morbo, ausus illicita, et regem qui sacram dignitatem invaserat ignominia Deus condemnavit. Quia vero prophetiæ vis non ad solum Judam, hoc est, qui incolebant Jerosolymam, sed etiam ad Israel pertinet, hoc est, ad decem tribus in Samaria, dicamus oportet de iis qui regno ibidem præfuerunt, temporibus Azariæ, qui et Ozias, et quibus eos calamitatibus opprimi contigerit, cum profanæ idololatriæ velut insolenti morbo debilitati essent. Jam igitur vicesimum octavum annum regnante Ozia, seu Azaria, alius Azarias filius Jeroboam Israelis regnum tenuit mensibus sex. Qui postquam et ipse in via patris sui ambulavit, fecitque malum coram Domino, quibusdam domesticis suis traditus est jugulandus, et periit. Procedente postmodum tempore, anno tricesimo et octavo regni Oziæ, rursus ungitur super Israel Sellum, et regnat mense uno, moxque a Manaim filio Gaze de Thersa interimitur. Significat autem divina Scriptura ambos fuisse de sanguine Jehu, et filios ejus qui occidit Achab, et liberos ejus, et Jezabel; cui etiam promisit Deus: « Filii tui usque ad quartam generationem sedebunt super thronum tuum [17]. » Regnavit igitur Manaim super Israel cum occidisset Sellum, « Et fecit malum, inquit, in oculis Domini. Non recessit ab omnibus peccatis Jeroboam filii Nadab, qui peccare fecit Israel [18]. » Regnante autem Manaim, ac Deum offendente quod vehementer falsorum deorum cultum sectaretur, Phul Assyriorum rex cum infesto exercitu ingressus est Samariam. Cui cum resistere Manaim non posset, grandi pecunia numerata recessum et pacem persuasit. Mortuo Manaim anno altero et quinquagesimo Oziæ, post excessum patris ungitur in regem Jerosolymis Joatham, de quo scriptum legimus: « Fecit quod placitum erat coram Domino, secundum omnia quæ fecerat pater ejus. Verumtamen excelsa non abstulit: adhuc populus immolabat, et adolebat incensum in excelsis [19]. » Super Israel autem unctus est Phaceias, filius Manaim. « Regnavit autem, inquit, annos duos, et fecit malum coram Domino, conjuravitque adversus eum Phacee filius Romeliæ dux ejus, et percussit eum in Samaria, et regnavit pro eo super Israel. Et fecit malum coram Domino, et non recessit a peccatis Jeroboam filii Nabat, qui peccare fecit Israel [20]. » Sub hoc rege ascendit Theglatphalasar rex Assyriorum, et, vi occupata universa Samaria, Israelem transtulit in Assyrios. Mortuus est autem et Phacee per insidias Oseæ, filii Ela, qui et regnavit pro eo anno vicesimo Joatham filii Azariæ. « In diebus illis, inquit, cœpit Dominus mittere in Judam Rasin regem Syriæ, et Phacee filium Romeliæ [21]. » Quo loco sermo retrorsum redit. Diximus enim

δι' ἑαυτοῦ, τῶν διὰ Μωσέως ἀλογήσας νόμων. Ἐπειδὴ δὲ ἀναβέβηκεν εἰς τὴν οὐδαμόθεν αὐτῷ πρέπουσαν λειτουργίαν, φημὶ δὴ, τὴν ἱερὰν, « Ἤψατο, φησὶ, Κύριος αὐτοῦ, καὶ ἦν λελεπρωμένος ἕως ἡμέρας θανάτου αὐτοῦ. » Ἀκάθαρτος μὲν οὖν κατὰ νόμους ὁ λεπρὸς, καὶ ἀπεπέμποντο τῆς παρεμβολῆς οἱ τῷ τοιῷδε πάθει κατειλημμένοι. Ἔφη γάρ ποτε Θεὸς πρὸς τὸν ἱεροφάντην Μωσέα· « Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν καὶ γονορροῦ, καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ. » Ἐπετιμᾶτο δὲ τῇ νόσῳ, τετολμηκὼς ἃ μὴ θέμις, καὶ ἀτιμίαν τοῦ βασιλέως κατεψηφίσατο Θεὸς, τὴν ἱερὰν ἁρπάσαντος δόξαν. Ἐπειδὴ δὲ τῆς προφητείας ἡ δύναμις οὐκ εἰς μόνον βλέπει τὸν Ἰούδαν, τουτέστι, τοὺς ἐν τοῖς Ἱεροσολύμοις, ἔρχεται δὲ καὶ ἐπὶ τὸν Ἰσραὴλ, τουτέστι, τὰς δέκα φυλὰς τὰς ἐν τῇ Σαμαρείᾳ· φέρε λέγωμεν ἀναγκαίως τοὺς ἐπ' αὐτὸν βεβασιλευκότας ἐν ἡμέραις Ἀζαρίου, τοῦ καὶ Ὀζίου, καὶ ποίαις αὐτοὺς συμφοραῖς συμβέβηκεν ἐναλῶναι, κατηρρωστηκότας ἐκτόπως τὴν βέβηλον εἰδωλολατρίαν. Ἤδη τοίνυν εἰκοστὸν καὶ ὄγδοον ἔτος ἐν τῷ βασιλεύειν ἔχοντος Ὀζίου, τοῦ καὶ Ἀζαρίου, Ἀζαρίας ἕτερος, τοῦ Ἱεροβοὰμ, βεβασίλευκεν ἐπὶ τὸν Ἰσραὴλ μῆνας ἕξ. Ἐπειδὴ καὶ αὐτὸς ἐν ὁδῷ πεπόρευται τοῦ πατρὸς, καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, δέδοται τισι τῶν οἰκείων εἰς σφαγὴν, καὶ δὴ διόλλυται. Προϊόντος δὲ τοῦ καιροῦ λοιπὸν, ἐν ἔτει τριακοστῷ καὶ ὀγδόῳ βασιλείας Ὀζίου, χρίεται πάλιν ἐπὶ τὸν Ἰσραὴλ ὁ Σελούμ· καὶ βεβασίλευκε μηνὸς ἡμέρας. Ἀνῄρηται γὰρ εὐθὺς ὑπὸ Μαναΐμ υἱοῦ Γαζῆ τοῦ ἐκ Θερσίν. Ἐπεσημήνατο δὲ τὸ Γράμμα τὸ ἱερὸν, ὅτι γεγόνασιν υἱοὶ, καὶ ἐξ αἵματος ἦσαν ἀμφότεροι τοῦ Ἰηοὺ, ὃς ἀπέκτεινε τὸν Ἀχαὰβ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὴν Ἰεζάβελ, ᾧ καὶ ὑπέσχετο ὁ Θεὸς, λέγων· « Υἱοὶ τέταρτοι καθήσονται ἐπὶ τοῦ θρόνου. » Βεβασίλευκε τοίνυν ὁ Μαναΐμ ἐπὶ τὸν Ἰσραὴλ, ἀπεκτονὼς τὸν Σελοὺμ, « Καὶ ἐποίησε, » φησὶ, « τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου. Οὐκ ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. » Βασιλεύοντος δὲ αὐτοῦ, φημὶ δὴ, τοῦ Μαναΐμ, καὶ Θεῷ προσκρούοντος, διὰ τὸ προσκεῖσθαι λίαν ταῖς τῶν εἰδώλων ψευδολατρείαις, καταστρατεύεται τῆς Σαμαρείας Φουὰ βασιλεὺς Ἀσσυρίων. Ὃν ἀμύνασθαι τοῖς ὅπλοις οὐκ ἔχων ὁ Μαναΐμ, πολλοῖς ἀναπείθει χρήμασιν ἀποφοιτῆσαι τῆς γῆς, καὶ λῦσαι τὴν μάχην. Ἐπειδὴ δὲ τετελεύτηκεν ὁ Μαναΐμ ἐν ἔτει λοιπὸν πεντηκοστῷ καὶ δευτέρῳ τῆς βασιλείας Ὀζίου, χρίεται πάλιν ἐπὶ μὲν τὸν Ἰούδαν, καὶ ἐν Ἱεροσολύμοις Ἰωάθαμ μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, περὶ οὗ γέγραπται, ὅτι « Ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ πάντα ὅσα ἐποίησεν Ὀζίας ὁ πατὴρ αὐτοῦ. Πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν· ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς. » Ἐπὶ δέ γε τὸν Ἰσραὴλ Φακέας υἱὸς τοῦ Μαναΐμ, « Βεβασίλευκε δὲ, φησὶν, ἔτη δύο, καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου. Εἶτα συνεστράφη, φησὶ, ἐπ' αὐτὸν Φακεὲ, υἱὸς τοῦ

[16] Num. v, 2. [17] IV Reg. xv, 12. [18] IV Reg. xvii, 1-8. [19] ibid. 32-35. [20] ibid. 23 26. [21] ibid. 37

Digitized by Google

Ῥομελίου, ὁ τριστάτης αὐτοῦ. Καὶ ἐπάταξεν αὐτὸν ἐν Σαμαρείᾳ, καὶ βεβασίλευκεν ἀντ' αὐτοῦ ἐπὶ τὸν Ἰσραὴλ, καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, καὶ οὐκ ἀπέστη ἀπὸ τῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. » Αὐτοῦ βασιλεύοντος ἀνέβη Θεγλαθαλασὰρ βασιλεὺς Ἀσσυρίων, ὃς πᾶσαν ἐλὼν κατὰ κράτος τὴν Σαμάρειαν, ἀπῴκισε τὸν Ἰσραὴλ εἰς Ἀσσυρίους. Τετελεύτηκε δὲ καὶ ὁ Φακεὲ, συστροφὴν ἐπ' αὐτὸν ποιήσαντος Ὡσηὲ τοῦ υἱοῦ Ἠλὰ, ὃς καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ, ἐν ἔτει εἰκοστῷ Ἰωάθαμ υἱοῦ Ἀζαρίου. « Ἀλλ' ἐν ταῖς ἡμέραις ἐκείναις, φησὶν, ἤρξατο Κύριος ἐξαποστέλλειν ἐν Ἰούδᾳ τὸν Ῥαασὼν βασιλέα Συρίας, καὶ τὸν Φακεὲ υἱὸν Ῥομελίου. » Ἀνόπτιν ἡμῖν ἐν τούτοις ὁ λόγος ἔρχεται. Ἔφαμεν γὰρ, ὅτι τετελεύτηκεν ὁ Φακεὲ, Ὡσηὲ τοῦ υἱοῦ Ἠλὰ σύστρεμμα καὶ ἐπιβουλὴν ἐπ' αὐτόν τινα ποιησαμένου. Πλὴν ἐν χρόνοις αὐτοῦ γεγονὼς, εἰς μέσον ἄγει διήγημα. « Ἤρξατο γὰρ, φησὶ, Κύριος ἐν ταῖς ἡμέραις ἐκείναις ἐξαποστέλλειν ἐν Ἰούδᾳ τὸν Ῥαασὼν βασιλέα Συρίας, καὶ τὸν Φακεὲ υἱὸν Ῥομελίου. » Φακεὲ γὰρ ὁ τοῦ Ῥομελίου πεπολέμηκεν ὡς ὁμόρους ὄντας τοὺς Ἱεροσολυμίτας. Ἐπειδὴ δὲ δεινὴν καὶ ἄθραυστον ἐθεᾶτο τὴν ἀντίστασιν, ἀναπείθει τὸν Ῥαασὼν τὸν βασιλέα τῶν Σύρων, σύνοπλον αὐτῷ γενέσθαι καὶ συλλήπτορα, καὶ συνεκπολιορκῆσαι τὴν Ἱερουσαλήμ. Συνεστηκότος δὴ οὖν τοῦ πολέμου, τετελεύτηκε μὲν Ἰωάθαμ ὁ υἱὸς Ἀζαρίου. Διαδέχεται δὲ τὴν βασιλείαν Ἄχατζ ὁ υἱὸς αὐτοῦ, πονηρὸς ὢν ἄγαν καὶ εἰδωλολάτρης, καὶ καταμεθύων οὕτω πρὸς πλάνησιν εἰδωλομανῆ, ὡς καὶ τὸν ἴδιον υἱὸν διαγαγεῖν ἐν πυρὶ, καὶ πρὸς πᾶν ὁτιοῦν ἀπονεῦσαι τῶν ἐκτόπων, καὶ θυμιᾶν ἐν τοῖς ὑψηλοῖς, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους, κατὰ τὸ γεγραμμένον. Τεθορυβημένος δὴ οὖν ὁ Ἄχατζ, πάντα συνενεγκὼν τὸν πλοῦτον τὸν εὑρεθέντα ἐν οἴκῳ Κυρίου, ἀποστέλλει πρὸς Θεγλαθαλασὰρ βασιλέα Ἀσσυρίων, καὶ σώζεσθαι δι' αὐτοῦ παρεκάλει. Ὁπλίζεται τοίνυν Ἀσσύριος κατὰ τῆς Ῥαασὼν βασιλείας, καὶ δέχεται μὲν τὴν Δαμασκὸν, ἥ ἐστι μητρόπολις τῆς Συρίας, ἀναιρεῖ δὲ τὸν Ῥαασών. Εἶτα κάτεισιν Ἄχατζ ἐκ τῶν Ἱεροσολύμων εἰς Δαμασκὸν, ὀφόμενος τὸν Ἀσσύριον. Ἐν δὲ τοῖς τῶν εἰδώλων τεμένεσι θυσιαστήριον ἑωρακὼς, καινοπρεπῆ τινα καὶ ἀήθη κατασκευὴν ἔχον, καὶ ἡσθεὶς ἐπ' αὐτῷ λίαν, ἐκτύπωμα λαβὼν, ἀποστέλλει πρὸς Οὐρίαν τὸν ἱερέα ἐν τοῖς Ἱεροσολύμοις, καὶ δὴ κατ' αὐτὸ γενέσθαι προστέταχεν. Εἰσενεγκὼν δὲ ἐν οἴκῳ Κυρίου, καὶ μονονουχὶ καὶ ἀτιμάσας τὸ κατὰ βούλησιν Θεοῦ διὰ Μωσέως γεγενημένον, ἐπ' αὐτῷ πληροῦν τὰ νενομισμένα προστέταχε. Καὶ ἕτερα δὲ πρὸς τούτοις κεκαινούργηκεν ἐν τῷ ναῷ, κατὰ τὸ αὐτῷ δοκοῦν, ἀπερισκέπτως, καὶ ἀπαιδόντως Θεῷ. Ἀλλὰ καὶ ἐν τοῖς αὐτοῦ καιροῖς, ἔτι ζῶντος Ὡσηὲ υἱοῦ Ἠλὰ βασιλέως Ἰσραὴλ, ἀνέβη ὁ Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὸν Ἰσραὴλ, ὃς καταδηώσας τὴν Σαμάρειαν, μετῴκησε τὸν Ἰσραὴλ ἐν δρεσι, καὶ ποταμοῖς τῶν Μήδων. Ἀπέκτεινε δὲ καὶ αὐτὸν Ὡσηέ. Καὶ διὰ ποίαν αἰτίαν;

A mortuum Phacee, Ozea filio Elam conjurationem et insidias in illum comparante. Sed quod temporibus ejus accidit, in medium narrationis adducit. « Cœpit enim, inquit, Dominus mittere diebus illis in Judam Rhasin regem Syriæ, et Phacee filium Romeliæ. » Phacee namque Romeliæ filius Jerosolymitas, tanquam finitimos armis lacessivit. Cumque acriter, et infracto robore sibi resisti videret, Rhasin Syriorum regem ad arma secum Jerosolymæ expugnandæ consocianda impulit. Bello igitur adornato, Joatham Azariæ filius decedit, et regnum Achaz filius ejus accipit [22], homo improbissimus et idololatra, adeoque ad errorem insani idolorum cultus ebrius, ut et filium suum per ignem transferret, et ad quodvis tetrum facinus declinaret, et adoleret incensum in excelsis, et sub omni ligno frondoso, sicut 9 scriptum est [23]. Conturbatus igitur Achaz, collectisque universis divitiis quæ in domo Domini inveniebantur, per nuntios ad Theglatphalasar regem Assyriorum salutis obtinendæ causa eas transmisit. Assyrius igitur contra Rhasin regem bellum sumit, Damascum Syriæ metropolim capit, Rhasin interficit. Achaz postmodum Jerosolymis Damascum, Assyrium visurus, descendit. Ibi in delubris idolorum cum altare novo quodam et inusitato modo constructum vidisset, eo magnopere delectatus, formam ejus seu exemplar ad Uriam sacerdotem Jerosolymam misit, et simile construi jussit. Quo illato in domum Domini, et tantum non spreto ac contempto quod Moses Dei voluntate fecerat, super eo sacrificia solemnia perpetrari mandavit. Alia præter hæc in templo, pro arbitratu inconsiderate, et Deo invito novavit. Quin et temporibus ejus, etiamnum vivente Osee filio Elam rege Israel, ascendit Salmanasar rex Assyriorum adversus Israel, vastataque Samaria, ad montes et fluvios Medorum ipsum transtulit. Osee quoque neci dedit, quod manaa (signum subjectionis) non attulisset, quin potius Ægypti regem auxilio vocasset [24]. Achaz e vivis exempto, regnavit Ezechias filius ejus super Judam in Jerusalem. Hic fuit vir pius, et justitiæ quam studiosissimus, ut immensum quantum supra alios in his excelleret. « Ipse excelsa dissipavit, et lucos succidit, et erat Dominus cum eo [25]. » Eo rege ascendit Senacherim rex Assyriorum ad civitates Judææ munitas, quas obsedit, et citra laborem cepit. Tunc item Rabsaces Jerosolymis insultat, et impudens os contra Deum aperiens, maledicentissimas illas voces emittit. Tunc quoque leto data ex castris Assyriorum centum octoginta quinque millia, una nocte manu angeli confecta. Hæc utiliter in præsens dicta sunt : cuique enim istorum casuum propheticus hic sermo scite quadraverit. Nunc enim Samaritas increpat : nunc Jerosolymitis hostilem adventum minatur : captivitates præmuntiat, timorem præsignificat, auxilium promittit : ad conversionem invitat : nec ulla in hac prophetia prætermissa est ratio, ullusve mo-

[22] IV Reg. xvi, 2. [23] ibid. 4. [24] IV Reg. xvii, 1 seqq. [25] IV Reg. xviii, 4.

Digitized by Google

dus, quo tunc errore deceptis consuli debuit. Ait ergo : « Super custodiam meam stabo, et ascendam super petram, et contemplabor, ut videam quid loquetur in me Dominus Deus[25]. » Revelat enim universorum Deus, dum sanctis futurorum notitiam in animum immittit. Unde beatus David : « Audiam quid loquatur in me Dominus Deus, quoniam loquetur pacem in plebem suam[26]. » Eodem modo et beatus Zacharias loquitur : « Et respondit angelus, loquens in me[27]. » Consueverunt quippe sancti prophetæ Dei sermonem appellare angelum, utpote annuntiantem ipsis, et manifestantem voluntatem Dei Patris. Quod item propheta Isaias testatur : « Quia omnem stolam congregatam dolo, et vestimentum cum commutatione restituent, et volent, si fuerunt igne combusti, quia puer natus est nobis, et vocatur nomen ejus, magni consilii Angelus[28]. » Fuisse autem tenuem, nec tam claram revelationem in sanctis, nec lingua, et verbis more nostro constantem, plane fidem nobis faciet Paulus scribens : « An experimentum quæritis ejus qui in me loquitur Christus[29]? » Quamobrem dicere, Dei verbum factum in Osea, meo quidem judicio aliud nihil est, quam audientibus significare, revelationem factam in Osea, et futurorum notitiam ei illuxisse instar luminis, non oculos corporis, sed mentem et cor illustrantis. Rursum quod dicitur : « Et dixit Dominus ad Osee, » hoc nobis cogitandum subjicit. Quod enim jubebatur, non omnibus lecturis commune erat, nec proponebatur, ut qui vellent aliquando, id facerent : sed separatim soli Oseæ dictum est. Nec enim quemadmodum commune et utile præceptum est illud : « Hæc dicit Dominus, Juxta vias gentium nolite discere : et a signis cœli nolite metuere[30]; » sic potest intelligi etiam bonum et frugiferum esse accipere uxorem fornicariam, et filios fornicationis. Verum illud utiliter ad omnes pertinere potest : hoc proprie ad solum prophetam a Deo dici convenit. Est autem,

Ὅτι μὴ προσκεκόμικεν αὐτῷ τὸ μαναὰ, φησὶν, ὃ ἦν συμβολον ὑποταγῆς· ἐκάλει δὲ μᾶλλον εἰς ἐπικουρίαν τὸν Αἰγυπτίων τύραννον. Εἶτα κατὰ τοῦτο τελευτήσαντος τοῦ Ἄχατζ, βεβασίλευκεν Ἐζεχίας υἱὸς αὐτοῦ ἐπὶ τὸν Ἰούδαν ἐν Ἰερουσαλήμ. Οὗτος γὰρ ἀνὴρ γέγονεν εὐσεβὴς, καὶ τῶν ὅτι μάλιστα δικαιοσύνης ἐπιμελουμένων, ὡς ἀσύγκριτον ἔχειν παρὰ τοὺς ἄλλους τὴν ἕν γε τούτῳ διαφοράν. « Αὐτὸς καθεῖλε τὰ ὑψηλὰ, καὶ τὰ ἄλση, φησὶ, ἐξέκοψε. Καὶ ἦν Κύριος μετ' αὐτοῦ. » Αὐτοῦ βασιλεύοντος ἀνέβη Σεναχερεὶμ, βασιλεὺς Ἀσσυρίων, ἐπὶ τὰς πόλεις τῆς Ἰουδαίας τὰς ὀχυράς. Καὶ πολιορκήσας, εἷλεν ἀμοχθί. Τότε καὶ ὁ Ῥαψάκης αὐτοῖς τοῖς Ἱεροσολύμοις ἐπιπηδᾷ, καὶ ἀπύλωτον ἀνοιγνὺς κατὰ Θεοῦ τὸ στόμα, τὰς παμβλασφήμους ἐκείνας ἀνίησι φωνάς. Τότε καὶ πεπτώκασιν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες, ἐν μιᾷ νυκτὶ, ἀγγέλου χειρὶ δαπανώμεναι. Ταῦτα χρησίμως εἴρηται πρὸς τὸ παρόν. Ἑκάστῳ γὰρ τῶν συμβεβηκότων ἐφαρμόσειεν εὐτέχνως τῆς προφητείας ὁ λόγος. Ποτὲ μὲν γὰρ ἐπιτιμᾷ τοῖς ἐν Σαμαρείᾳ· ποτὲ δὲ τοῖς ἐν Ἱεροσολύμοις ἀπειλεῖ τὰς ἐφόδους, προαπαγγέλλει τὰς αἰχμαλωσίας, προκαταμηνύει τὸν φόβον· ἐπαγγέλλεται τὴν ἐπικουρίαν· καλεῖ πρὸς ἐπιστροφήν· καὶ οὐδεὶς τῇ προφητείᾳ καταλέλειπται λόγος ἢ τρόπος τῶν ἀναγκαίων εἰς δνησιν τοῖς τοτηνικάδε πεπλανημένοις. Τοίνυν φησίν·

10 VERS. 2. *Principium sermonis Domini ad Osee. Et dixit Dominus ad Osee.*

A *Ἀρχὴ λόγου Κυρίου ἐν Ὡσηέ. Καὶ εἶπε Κύριος πρὸς Ὡσηέ.*

II. Incipit enim Deus in propheta revelare mysteria, secundum illud utique, quod ab alio propheta satis aperte dictum est : « Super custodiam meam stabo, et ascendam super petram, et contemplabor, ut videam quid loquetur in me Dominus Deus[25]. » Revelat enim universorum Deus, dum sanctis futurorum notitiam in animum immittit. Unde beatus David : « Audiam quid loquatur in me Dominus Deus, quoniam loquetur pacem in plebem suam[26]. » Eodem modo et beatus Zacharias loquitur : « Et respondit angelus, loquens in me[27]. » Consueverunt quippe sancti prophetæ Dei sermonem appellare angelum, utpote annuntiantem ipsis, et manifestantem voluntatem Dei Patris. Quod item propheta Isaias testatur : « Quia omnem stolam congregatam dolo, et vestimentum cum commutatione restituent, et volent, si fuerunt igne combusti, quia puer natus est nobis, et vocatur nomen ejus, magni consilii Angelus[28]. » Fuisse autem tenuem, nec tam claram revelationem in sanctis, nec lingua, et verbis more nostro constantem, plane fidem nobis faciet Paulus scribens : « An experimentum quæritis ejus qui in me loquitur Christus[29]? » Quamobrem dicere, Dei verbum factum in Osea, meo quidem judicio aliud nihil est, quam audientibus significare, revelationem factam in Osea, et futurorum notitiam ei illuxisse instar luminis, non oculos corporis, sed mentem et cor illustrantis. Rursum quod dicitur : « Et dixit Dominus ad Osee, » hoc nobis cogitandum subjicit. Quod enim jubebatur, non omnibus lecturis commune erat, nec proponebatur, ut qui vellent aliquando, id facerent : sed separatim soli Oseæ dictum est. Nec enim quemadmodum commune et utile præceptum est illud : « Hæc dicit Dominus, Juxta vias gentium nolite discere : et a signis cœli nolite metuere[30]; » sic potest intelligi etiam bonum et frugiferum esse accipere uxorem fornicariam, et filios fornicationis. Verum illud utiliter ad omnes pertinere potest : hoc proprie ad solum prophetam a Deo dici convenit. Est autem,

B Β'. Ἄρχεται μὲν γὰρ ἐν τῷ προφήτῃ Θεὸς ἀποκαλύπτειν μυστήρια, κατ' ἐκεῖνό που πάντως, τὸ δι' ἑτέρου προφήτου σαφῶς εἰρημένον· « Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν, καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός. » Ἀποκαλύπτει γὰρ τοῖς ἁγίοις, εἰς νοῦν ἐνιεὶς τῶν ἐσομένων τὴν γνῶσιν ὁ τῶν ὅλων Θεός. Καὶ γοῦν ὁ μακάριός φησι Δαβίδ· « Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεὸς, ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ. » Οὐδὲν δὲ ἧττον ἡμῖν καὶ ὁ μακάριος προφήτης Ζαχαρίας διὰ τῶν ἴσων ἔρχεται λόγων· ἔφη γάρ· « Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. » Ἐν ἕθει γὰρ ἦν τοῖς ἐν ἁγίοις προφήταις ἄγγελον ἀπο-
C καλεῖν τὸν τοῦ Θεοῦ λόγον, ὡς ἀπαγγέλλοντά τε αὐτοῖς καὶ ἐναργῆ καθιστῶντα τὴν βούλησιν τοῦ Θεοῦ καὶ Πατρός. Ἐπιμαρτυρήσει δὲ λέγων καὶ ὁ προφήτης Ἡσαΐας περὶ αὐτοῦ· « Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος. » Ὅτι δὲ ἦν ἰσχνὴ καὶ ἀσυμφανὴς ἐν τοῖς ἁγίοις ἡ ἀποκάλυψις, καὶ οὐχὶ γλώττῃ καὶ ῥήμασι τοῖς καθ' ἡμᾶς ἐπιτελουμένη, πληροφορήσει γράφων ὁ Παῦλος· « Ἢ δοκιμὴν ζητεῖτε ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ; » Οὐκοῦν τὸ ἐν Ὡσηὲ γενέσθαι τὸν τοῦ Θεοῦ λόγον, εἴη ἄν, ὡς ἔμοιγε πάρεστι νοεῖν, ἕτερον οὐδὲν τοῖς ἀκροωμένοις κατασημαῖνον, ἢ ὅτι γέγονεν ἀποκάλυψις ἐν Ὡσηὲ, καὶ τῶν ἐσομένων ἡ γνῶσις φωτὸς ἐνέστραψε δίκην, οὐ σώματος ὀφθαλμοὺς, ἀλλὰ νοῦν καὶ καρδίαν καταλαμπρύνοντος. Τὸ δὲ δὴ φάναι πάλιν, « Καὶ εἶπε Κύριος πρὸς Ὡσηὲ, » πρὸς ἐννοίας ἡμᾶς ἀποφέρει τοιαύτας. Τὸ γάρτοι προστεταγμένον οὐ κοινὸν ἅπασι τοῖς ἐντευξομένοις ἦν. Οὔτε μὴν προὔκειτο τοῖς ἐθέλουσι ἀποπεραίνειν αὐτὸν κατὰ καιρούς. Ἀλλ' ἰδικῶς καὶ πρὸς μόνον εἴρητο τὸν Ὡσηέ. Οὐ γὰρ, ὥσπερ ἐστὶ κοινὸν καὶ ἐπωφελὲς παράγγελμα, τὸ, « Τάδε λέγει Κύριος, Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρανοῦ μὴ φοβεῖσθε· » οὕτως ἂν νοοῖτο καλόν τε καὶ ὀνησιφόρον τὸ λαβεῖν γυναῖκα πορνείας,

[25] Habac. II, 1. [26] Psal. LXXXIV, 9. [27] Zachar. I, 9. [28] Isa. IX, 6, 7. [29] II Cor. XII, 3. [30] Jerem. X, 2.

Digitized by Google

καὶ τέκνα πορνείας. Ἀλλ' ἐκεῖνο μὲν χρησίμως εἰς ἅπαντας διήκοι ἄν· τοῦτό γε μὴν ἰδικῶς πρὸς μόνον ἂν πρέποι τὸν προφήτην λέγεσθαι παρὰ Θεοῦ. Τοῦτο, οἶμαι, ἐστί, καὶ « Εἶπε πρὸς Ὡσηέ, » ὅμοιον ὡς εἰ τυχὸν λέγοι· Οὐ πρὸς πάντας ἁπλῶς ὁ τοιόσδε λόγος, ἀλλὰ πρὸς μόνον τὸν Ὡσηέ. Οὐ γὰρ ἔδει πρόφασιν αἰσχρᾶς τε καὶ φιληδόνου ζωῆς γενέσθαι πολλοῖς, τὸ οἰκονομικῶς πρὸς ἕνα κατὰ καιροὺς εἰρημένον. Τί οὖν ἔφη ὁ Θεὸς πρὸς τὸν μακάριον Ὡσηέ;

A opinor, quod ait, et « dixit ad Osee, » perinde ac si dicat fortasse, Non ad omnes simpliciter talis est sermo, sed ad Oseam solum. Non enim turpis et voluptariæ vitæ multis fieri occasionem oportebat [11] quod dispensatorie ad unum quondam dictum est. Quid ergo ait ad beatum Oseam?

Βάδιζε, λαβὲ σεαυτῷ γυναῖκα πορνείας, καὶ τέκνα πορνείας, διότι ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ Κυρίου. Καὶ ἐπορεύθη, καὶ ἔλαβε τὴν Γόμερ, θυγατέρα Δεβηλαΐμ, καὶ συνέλαβε, καὶ ἔτεκεν αὐτῷ υἱόν.

Vers. 3. *Vade, accipe tibi uxorem fornicationis, et filios fornicationis, quia fornicans fornicabitur terra a Deo. Et abiit, et accepit Gomer filiam Debelaim, et concepit, et peperit ei filium.*

Γ'. Οὐδεὶς ἡμᾶς ἀναπείσει λόγος, παραιτεῖσθαι τὸ Γράμμα, καὶ τῆς ἱστορίας τὸ εἰκαῖον καταψηφίζεσθαι, καὶ αὐτοῦ τοῦ πράγματος καθορίζειν τὸ ἀκαλλὲς, καὶ οἴεσθαι κατά τινας, μὴ οὕτως πεπράχθαι, μήτε μὴν παρειλῆφθαι πρὸς γάμον, ἤτοι σύνοδον γαμικὴν τὴν Γόμερ, ὅπου καὶ σύλληψιν γεγενῆσθαί φησι τὸ Γράμμα τὸ ἱερὸν, καὶ μὴν καὶ ἀπότεξιν, μέμνηταί τε καὶ ὀνόματος τοῦ παιδίου, καὶ τὸν τοῦ γυναίου λέγει πατέρα, καὶ αὐτὸ δὲ πρὸς τούτοις τοῦ γυναίου τὸ ὄνομα. Ἐπειδὴ δὲ ἀναγκαῖον ἦν ὁμολογεῖν, τῇ τῶν πεπραγμένων ἀληθείᾳ συνειπεῖν ἑλομένους, ὅτι ταῦθ' οὕτως γέγονεν ἀληθῶς, φέρε τοὺς τῶν κατασκώπτειν εἰωθότων παραθέντες λόγους, τότε λοιπὸν ἐπαγάγωμεν ἐπὶ καιροῦ τῆς οἰκονομίας τὴν ἀφήγησιν. Λογιδίῳ μὲν οὖν ἐνέτυχον ἀνδρὸς οὐκ ἀσήμου, διατρανοῦντος ἐθέλοντος τὰ περὶ τὸν τόπον· ὃς τῆς ἱστορίας, καὶ τῶν οὕτω γεγενῆσθαι λεγόντων, οὐ μετρίαν ἐποιεῖτο τὴν κατάῤῥησιν, δεῖν τε ἔφασκεν ἐναργῶς ἐπ' αὐτῷ δὴ τούτῳ τῷ κεφαλαίῳ μάλιστα δεδιότας οὐδὲν, ἀνακραγεῖν τῆς ἐγκρατείας τοὺς ἐραστάς· « Τὸ γράμμα ἀποκτείνει. » Ἐρήμην γὰρ ὥσπερ κατατρέχων τοῦ γράμματος, καὶ οἱονεὶ κατὰ πρανοῦς ἐρχόμενος, τοιούσδε τινὰς συνετίθει λόγους. Μωσῆς γὰρ, ἔφασκεν, ὁ θεσπέσιος προστετάττετό ποτε τῆς Αἰγυπτίων δουλείας λελυτρωμένον ἀποκομίζειν τὸν Ἰσραὴλ εἰς τὴν πάλαι τοῖς πατράσιν ἐπηγγελμένην ἁγίαν γῆν, φημὶ δὴ τὴν τῆς ἐπαγγελίας· ἀλλὰ καὶ ὁ προφήτης Ἱερεμίας ἤκουσε Θεοῦ λέγοντος ἐναργῶς· « Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε, προφήτην εἰς ἔθνη τέθεικά σε. » Πῶς οὖν οὐκ ἀξιάγαστοι, φησὶν, οἱ καὶ τὴν οὕτω σεπτὴν καὶ παγκάλην διακονίαν παραιτούμενοι· καὶ τὴν μέλλησιν οὐκ ἀπαναινόμενοι; Ὁ μὲν γὰρ ἔφασκε· « Δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον ὃν ἀποστελεῖς. » Ὁ δὲ τὴν νεότητα προϊσχόμενος, ἐκδυσωπεῖν ἐπειρᾶτο Θεόν. Ἀλλὰ καὶ ὁ προφήτης, φησὶν, Ἰεζεχιὴλ ἐν βολβίτοις κόπρου ἀνθρωπίνης ἄρτους ἑαυτῷ ποιῆσαι προστεταγμένος, δεδυσφόρηκεν οὐ μικρῶς, ἤκουσέ τε διὰ τοῦτο· « Ἰδοὺ δέδωκά σοι βόλβιτα βοῶν ἀντὶ βολβίτων ἀνθρωπίνων, καὶ ὀπτήσεις τοὺς ἄρτους σου ἐπ' αὐτῶν. » Καὶ μὴν καὶ αὐτὰ ὁ θεσπέσιος Πέτρος, ὅτε τῆς ὀθόνης καθειμένης ἐξ οὐρανοῦ, ἐν ᾗ πάντα ἐγέγραπτο τὰ τετράποδα καὶ τὰ κτήνη, Θεοῦ λέγοντος ἤκουσεν· « Ἀνα-

III. Nullo nobis argumento persuadebitur Scripturam repudiare, et historiam vanitatis condemnare, et rem ipsam inhonestatis coarguere, putareque, ut quidam, non ita gestam, neque ad nuptias, sive matrimonii consuetudinem adscitam esse Gomer, quando et conceptum, et partum secutum sacra Scriptura docet, meminitque et nominis filii, et patrem ipsius mulierculæ nominatim exprimit, et insuper ipsam nomine appellat. Quia vero rerum gestarum veritati assentiri volentes, confiteri necessario debent, hæc ad hunc modum vere contigisse, age eorum quibus solemne est calumniari rationibus propositis, postea œconomiæ narrationem opportune subjungamus. Incidi igitur in disputatiunculam viri cujusdam non obscuri, qui hunc locum explanare conaretur, et historiam affirmantesque id re ipsa tali modo factum, non leviter reprehenderet, assereretque planis verbis, super hoc ipso capite sine ullo timore exclamandum, continentiæ amatoribus, « Littera occidit [31]. » Quasi enim deserto ab ipsa vadimonio scripturam incursans, ac velu præcipitem urgens, hujuscemodi conclusiones texebat. Moyses enim divinus, aiebat, Israelem ab Ægyptia servitute olim vindicatum in terram sanctam, patribus promissam, in terram promissionis, iuquam, deportare jussus est [32]. Quin et Jeremias Deum manifeste dicentem audivit, « Priusquam formarem te in utero, novi te; et antequam exires de vulva, sanctificavi te. Et prophetam in gentibus dedi te [33]. » Quomodo igitur non admiratione digni, inquit, qui adeo venerandum, et honestissimum prorsus ministerium aversantur, et cunctari non verentur? Ille enim, Moyses, aiebat : « Obsecro, Domine, delige alium idoneum, quem mittes [34]. » Alius juventutem prætendens, exorare Deum nitebatur. Quin et propheta Ezechiel, in stercore humano panes sibi facere jussus, non mediocriter moleste fert, et idcirco audit : « Ecce dedi tibi stercora boum [12] pro humano, et coques panes tuos in eis [35]. » Insuper et divus ipse Petrus, quando linteo de cœlo submisso, in quo omnia quadrupedia et jumenta cernebantur, Deum dicentem audivit : « Surge, Petre; occide, et manduca [36], » recusavit, his verbis : « Nequaquam, Domine, quia

[31] II Cor. III, 6. [32] Exod. III, 8. [33] Jer. I, 5. [34] Exod. IV, 13. [35] Ezech. IV, 15. [36] Act. X, 13.

Digitized by Google

nunquam comedi omne commune, aut immundum [37], » neque ingressa est in os meum ulla caro profana. Oseas autem audito se cum muliercula inhonesta et fornicaria, et vitam vivente exsecrabilem debere copulari, rem non deprecatur; cunctationem nullam admittit; non sibi istud remitti suppliciter orat; sed, ut quispiam petulantissimus, tantum non promptissime, sine mora, propemodum in rem involat, voluptate, credo, mulierculæ fruendæ superatus. Deinde orationem cum absurdo finiens, pauca quædam, et frigida adjungit. Simulat enim se prophetæ patrocinari, et ait, plurimum se ipsum excusaturum fuisse, si Deum commistionem corpoream mandasse putavisset.

Sed quoniam erat spirituale quiddam quod agebatur, ex multa erga Deum charitate propemodum ultro ad id quod jussum erat præstandum, prophetam descendisse. Præterea, inquit, continentiæ Deus haud voluisset quidquam committi tale, ut vir tantus adeo turpibus detestandisque complexibus, feminæ hujus, inquam, obscenæ et fornicariæ contaminaretur. Historiam autem enervans, et eam in sensus spirituales quodammodo transformans, Gomer affirmabat esse typum animæ, quæ sibi vitam inhonestam ac turpem delegit; prophetam sustinere imaginem ejus qui de cœlo est, hoc est, Verbi ex Patre : qui quidem animabus nostris modo sub intelligentiam tantummodo cadente copulatus, vitæ probæ ac sanctæ semina injicit. Et hæ quidem in illa oratione, qua persuadere voluit, probationes ab eo excogitatæ sunt. Cepit autem me admiratio non vulgaris : primum, quod vera sentire contemnens, ausus est dicere, litteram occidere; deinde, quod introduxit Moysen, et quos modo nominavimus, qui cœlestibus oraculis reclamarint; quod autem divinis mandatis se opponere ausi extra culpam non fuerunt, male tacuit. Sacrorum namque doctorem Moysen subterfugientem, et ad obeundam missionem tergiversantem, et linguæ tarditatem obtendentem, ut infirmum in fide reprehendit Deus, in hæc verba : **13** « Quis dedit os homini? et quis fabricavit mutum et surdum, videntem et cæcum? nonne ego Dominus Deus? Perge igitur, et ego aperiam os tuum [38]. » Eo adhuc recusante, et moras nectente, « Iratus est, » inquit, « Dominus in Moysen, et dixit : Non ecce Aaron frater tuus? Scio quod loquens loquetur ipse tibi [39]. » Rursum, cum Jeremias inconsideratius dixisset se juniorem esse et nescire loqui, nihilominus et Deus ita occurrit : « Noli dicere, quia Junior ego sum, quoniam ad omnes, ad quos ego mittam te ibis, et universa quæ mandavero tibi loqueris [40]. » Non enim omni periculo vacabat, dicere, aut saltem cogitare, summum consilium a recta ratione aberrasse, dum juvenem ad vaticinandi officium vocat. Similiter Petrus accepit quidem vocem, linteo de cœlo submis-

στὰς, Πέτρε, θῦσον, καὶ φάγε· » παρῃτεῖτο, φησὶν, οὕτω λέγων· « Μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν, ἢ ἀκάθαρτον, » οὐδὲ εἰσῆλθεν εἰς τὸ στόμα μου πᾶν κρέας βέβηλον. Ὡσηὲ δὲ ἀκούσας, ὅτι γυναίῳ συνάπτεσθαι δεῖ αἰσχρῷ, καὶ πορνευομένῃ, καὶ ἐπάρατον ἔχοντι ζωὴν, οὐ παραιτεῖται τὸ χρῆμα, οὐκ ὄκνον ἐνδέχεται, οὐ προσάγει τὴν ἱκετηρίαν, ἀνεῖσθαι παρακαλῶν· ἀλλ' οἷά τις τῶν ἀσελγεστάτων προχειρότατα, καὶ ἀμελλητί, μονονουχὶ καὶ ἁρπάζει τὸ χρῆμα, τάχα που τῆς εἰς τὸ γύναιον ἡδονῆς ἡττώμενος. Εἶτα κατακλείων εἰς ἀτοπίαν τοὺς λόγους, προσετίθει τούτοις ὀλίγα ἄττα καὶ ψυχρά. Σκήπτεται μὲν γὰρ τῷ προφήτῃ συνηγορεῖν, καὶ πάλιν φησὶν, ὅτι πλείστην ἂν ἐποιήσατο τὴν παραίτησιν, εἰ σωματικὴν ἠπίστατο κοινωνίαν προστάξαι Θεόν.

Ἐπειδὴ δὲ ἦν πνευματικόν τι τὸ δρώμενον, ἐκ πολλῆς ἄγαν φιλοθεΐας, μονονουχὶ καὶ αὐτόμολος ἐπὶ τὸ δρᾶν ἔρχεται τὸ κεκελευσμένον. Ἄλλως τε, φησὶ, οὐκ ἂν ὁ τῆς ἐγκρατείας Θεὸς ἠθέλησέ τι γενέσθαι τοιοῦτον, ὡς ἄνδρα τοσοῦτον αἰσχραῖς οὕτως καὶ βδελυρωτάταις καταμιαίνεσθαι συμπλοκαῖς, ταῖς εἰς γυναῖκα, φημὶ, καὶ τοῦτο μαχλῶσαν καὶ πεπορνευμένην. Μεταπλάττων δὲ ὥσπερ τῆς ἱστορίας τὴν δύναμιν εἰς ἐννοίας πνευματικὰς, ἔφασκε μὲν εἶναι τὴν Γόμερ εἰς τύπον ψυχῆς, αἰσχρῶς καὶ ἀσέμνως διαζῆν ἠρημένης· τὸν δέ γε προφήτην εἰκόνα πληροῦν τοῦ ἄνωθεν καὶ ἐξ οὐρανοῦ, τουτέστι, τοῦ ἐκ Πατρὸς Θεοῦ Λόγου· ὃς ταῖς ἡμετέραις ψυχαῖς συναπτόμενος νοητῶς, τὰ τῆς φιλαρέτου ζωῆς ἐνίησι σπέρματα. Καὶ ταῦτα μὲν τῆς ἐκείνου πιθανολογίας τὰ εὑρέματα. Τεθαύμακα δὲ οὐ μετρίως ἐγὼ, πρῶτον μὲν, ὅτι τῶν εἰς ἀλήθειαν ἀφειδήσας ἐννοιῶν, τετόλμηκεν εἰπεῖν, ὅτι τὸ γράμμα ἀποκτείνει. Εἶτα πρὸς τούτοις, ὅτι παρεκόμισε μὲν τοὺς ἀμφὶ τὸν Μωσέα, καὶ ὧν ἐπεμνήσθημεν ἀρτίως, τοῖς ἄνωθεν κεχρησμῳδημένοις ἀντειρηκότας· ὅτι δὲ τοῖς θείοις θεσπίσμασιν ἀντιβλέψαι τετολμηκότες οὐκ ἔξω γεγόνασιν αἰτίας, σεσίγηκεν οὐκ ὀρθῶς. Παραιτούμενον μὲν γὰρ τὸν ἱεροφάντην Μωσέα, καὶ ὀκνοῦντα τὴν ἀποστολὴν, καὶ προϊσχόμενον τὴν βραδυγλωσσίαν, ὡς ἀσθενοῦντα περὶ τὴν πίστιν ἤλεγχε Θεὸς, οὕτω λέγων· « Τίς ἔδωκε στόμα ἀνθρώπῳ; καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφὸν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ Κύριος ὁ Θεός; Καὶ νῦν, πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου. » Ἀναδυομένου δὲ μετὰ τοῦτο, καὶ μέλλοντος ἔτι, « Ὠργίσθη, φησὶ, Κύριος ἐπὶ Μωσῆν, καὶ εἶπεν· Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου; ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι. » Ἱερεμίου δὲ πάλιν προαλέστερον εἰρηκότος, ὅτι Νεώτερος ἐγώ εἰμι, καὶ οὐκ ἐπίσταμαι λαλεῖν, οὐδὲν ἧττον ὑπήντα Θεὸς, λέγων· « Μὴ λέγε, ὅτι Νεώτερος ἐγώ εἰμι, ὅτι πρὸς πάντας οὓς ἂν ἐγὼ ἐξαποστελῶ σε, πορεύσῃ, καὶ κατὰ πάντα ὅσα ἂν ἐντείλωμαί σοι, λαλήσεις. » Οὐ γὰρ ἦν ὅλως ἀκίνδυνον εἰπεῖν, ἤγουν ἐννοῆσαι μόνον, ὅτι λογισμοῦ τοῦ πρέποντος ἡ ὑπερτάτη βουλὴ διημάρτηκε, νέον ἄνδρα καλοῦσα πρὸς προφητείαν. Ὁμοίως ὁ θεσπέσιος Πέτρος ἤκουσε μὲν, τῆς ὀθόνης καθιεμένης ἐξ οὐρανοῦ·

[37] Act. x, 14. [38] Exod. iv. 11, 12. [39] ibid. 14. [40] Jerem. i, 7.

Digitized by Google

« Ἀναστὰς, Πέτρε, θῦσον, καὶ φάγε. » Ἐπειδὴ δὲ Ἰουδαϊκῶς ἀνακεκράγει τὸ, « Μηδαμῶς, Κύριε, ὅτι οὐδέποτε ἔφαγον κοινὸν, ἢ ἀκάθαρτον· » ἐπετιμᾶτο παραχρῆμα, καὶ ὡς τοῖς θείοις σκέμμασιν ἀντιφέρεσθαι τολμῶν, ἤκουεν ἐναργῶς· « Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. » Εἰ γὰρ καὶ ἐλέγχειν ἤθελεν ἠπίως ὁ τῶν ὅλων Θεὸς, καὶ οὐκ εὐθὺς ὡς ἀντειρηκόσιν οὐ μετρίως ἐξεπικραίνετο, ἀλλ' οὐκ ἔξω γέγονεν αἰτίας αὐτοῖς ἡ παραίτησις. Χρῆναι δέ φημι ταῖς ἄνωθεν ψήφοις ἀμελλητὶ νέμοντας τὸ ὀρθῶς καὶ ἀδιαβλήτως ἔχειν, ἀποπεραίνειν ἐπείγεσθαι τὸ κεκελευσμένον, κἂν εἰ μὴ σφόδρα τὸ χρῆμα ταῖς ἡμετέραις ἀνδάνῃ ψυχαῖς. Οἷόν τί φημι· Προστέταχε τῷ Σαοὺλ ὁ τῶν ὅλων Θεὸς, ἀποσφάξαι τὸν Ἄγαγ, ὡς ἀνόσια δεδρακότα κατὰ τῶν ἐξ Ἰσραήλ. Ἀλλ' ᾠήθη τὸ χρηστὸν ἐπ' αὐτῷ βουλεύεσθαι, καὶ φειδοῦς ἠξίου τὸν ταῖς ψήφοις καταδεδικασμένον. Προσκρούει δὲ οὖν ταύτητοι τῷ Θεῷ, καὶ μάλα. Ἐκήδετο δὴ οὖν τοῦ τεθνάναι προστεταγμένου, μονονουχὶ διακεκραγὼς, καὶ λέγων δι' αὐτοῦ τοῦ πράγματος, ὅτι μὴ δικαίαν ἐπ' αὐτῷ τὴν ψῆφον ἐποιεῖτο Θεός. Ταύτης ἕνεκα τῆς αἰτίας ἐλυπεῖτο μὲν λίαν, καὶ συνηγανάκτει Θεῷ ὁ μακάριος Σαμουήλ. Καὶ ἀποσφάττει μὲν τὸν Ἄγαγ αὐτὸς, ἐπιφωνῶν τὰς αἰτίας· « Ἀνθ' ὧν γὰρ, φησὶν, ἠτέκνωσε γυναῖκας ἡ ῥομφαία σου, οὕτως ἀτεκνωθήσεται ἐκ γυναικῶν ἡ μήτηρ σου. » Προαπαγγέλλει δὲ τῷ Σαοὺλ, ὅτι καὶ τῆς βασιλείας ἐξοισθήσεται, καὶ πικρὰς τῆς παρακοῆς ἀποτίσει δίκας.

Εἰ δὲ χρὴ πρὸς τούτῳ καὶ ἑτέρας ἡμᾶς ἱστορίας παρενεγκεῖν ἀφήγησιν, ἐν τῇ τρίτῃ γέγραπται τῶν Βασιλειῶν, ὅτι κατεστρατεύετό ποτε τῶν ἐξ Ἰσραὴλ ὁ Ἀδὲρ, ὁ Σύρων ἡγούμενος, ἤτοι βασιλεύς. Ἀλύοντος δὲ οὐ μικρῶς τοῦ Ἀχαὰβ, ὃς ἦν βασιλεὺς Ἰσραὴλ, καὶ δεδιότος τὴν ἔφοδον, ἀλώσεσθαί τε οὐκ εἰς μακρὰν παστρατιᾷ προσδοκήσαντος, ἐπηγγέλλετο διὰ προφήτου Θεὸς, παραδώσειν αὐτῷ τὸν ἐχθρόν. Εἶτα λαβὼν ἐκεῖνος, ἠξίου φειδοῦς παρὰ τὸ δοκοῦν τῷ Θεῷ. Καὶ τί μετὰ τοῦτο τὸ Γράμμα τὸ ἱερόν; « Καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱῶν τῶν προφητῶν εἶπε πρὸς τὸν πλησίον αὐτοῦ ἐν λόγῳ Κυρίου· Πάταξόν δή με. Καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος πατάξαι αὐτόν. Καὶ εἶπε πρὸς αὐτόν· Ἀνθ' ὧν οὐκ ἤκουσας τῆς φωνῆς Κυρίου, ἰδοὺ σὺ ἀποτρέχεις ἀπ' ἐμοῦ, καὶ πατάξει σε λέων. Καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ, καὶ εὑρίσκει αὐτὸν λέων, καὶ ἐπάταξεν αὐτόν. Καὶ εὑρίσκει ἄνθρωπον ἕτερον, καὶ εἶπε· Πάταξόν δή με. Καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρωπος, καὶ πατάξας συνέτριψε. Καὶ ἐπορεύθη ὁ προφήτης, καὶ ἔστη τῷ βασιλεῖ Ἰσραὴλ ἐπὶ τῆς ὁδοῦ. Καὶ κατεδήσατο τελαμῶνι τοὺς ὀφθαλμοὺς αὐτοῦ. » Μικρὰ δὲ ἄττα μεταξὺ προσλελαληκὼς ὑποστρέφοντι τῷ Ἀχαὰβ, προσετίθει πάλιν· « Τάδε λέγει Κύριος· Διότι ἐξήνεγκας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. » Ἀκούεις ὅπως ὁ πατάξαι τὸν προφήτην παραιτούμενος, ἐλεεινῶς ἀνῃρέθη, δεινῷ θη-

so : « Surge, Petre, occide, et manduca [41]. » Quoniam autem ut Judæus exclamabat : « Nequaquam, Domine, quia unquam comedi commune, aut immundum quidpiam [42], » illico est objurgatus, et ut divino proposito obsistere non reformidans, clare audivit : « Quod Deus purificavit, tu commune ne dixeris [43]. » Quamvis enim Deus universorum et mansuete reprehendere voluit, et non illico, ut in refractarios vehementius est exacerbatus, tamen eorum detrectatio culpa non caruit. Oportere autem existimo omni mora posthabita, cœlestem sententiam rectam atque inculpabilem statuentes, ad jussa exsequenda properare, etiamsi res animis nostris parum arriserit. Quale est, inquam, quod universorum Deus de Agag occidendo, ut qui in Israelitas nefanda molitus esset, Sauli mandavit, qui benignius in eum consulendum, et venia dignum censuit, quem divina auctoritas damnaverat [44]. Quare non leviter Deum offendit. Curam igitur gessit ejus, qui mori jussus fuerat, tantum non clamans, et dicens facto ipso, iniquam sententiam adversus ipsum tulisse Deum. Hanc ob causam contristatus magnopere, et una cum Deo indignatus est beatus Samuel, occiditque ipsa sua manu Agag, causam superadjiciens : « Sicut fecit absque liberis mulieres gladius tuus, sic absque liberis erit inter mulieres mater tua [45]. » Prænuntiat autem Sauli regno pulsum iri, et acerbas contumaciæ pœnas persoluturum.

Quod si insuper alterius historiæ intexenda est narratio, in tertio Regum scriptum est, aliquando contra Israelitas 14 Ader Syrorum principem, sive regem, expeditionem suscepisse. Mœsto autem non mediocriter Achab rege Israel, et incursum hostilem metuente, nec multo post cum omnibus suis copiis in potestatem venturum hostium formidante, promisit per prophetam Deus, se illi hostem traditurum. Quem cum accepisset, illi parcendum statuit, secus quam Domino placuerat. Et quid post hæc Scriptura sacra? « Et homo quidam de filiis prophetarum dixit ad proximum suum in sermone Domini : Percute me. Qui noluit percutere. Et dixit ad eum : Quia non audisti vocem Domini, ecce recedes a me, et percutiet te leo. Et discessit ab eo. Et invenit eum leo, et percussit ipsum. Et invenit alterum virum, et dixit : Percute me. Qui percussit eum, et percussum contrivit. Abiit ergo propheta, et occurrit regi in via, et ligavit fascia oculos suos [46], » et pauca locutus revertenti Achab, rursum adjecit : « Hæc dicit Dominus : Quia dimisisti virum dignum morte e manu tua, erit anima tua pro anima illius, et populus tuus pro populo ejus [47]. » Vides, quo pacto qui prophetam percutere noluit, miserabiliter in atrocem bestiam incidit ac periit? Atqui, quomodo non verum est, munus esse pietatis in Deum, a sancto et propheta percutiendo refugere? sed erat hoc in sermone Domini, inobedientia de-

[41] Act. x, 13. [42] ibid. 14. [43] ibid. 15. [44] I Reg. 15, passim. [45] ibid. 33. [46] III Reg. xx, 35-38. [47] ibid. 42.

Digitized by Google

fendi a crimine non poterat. Pepercit autem et Achab inconsulto Ader, quamvis Deus illum perdere jussisset, et pro anima ejus ipse traditus est. Quocirca citra tergiversationem et dilationem a nobis confici quod Deo complacitum est, necessitas postulat : aliud quiddam præter hoc aut facere, aut cogitare, superbiæ maculam inurit. Tales enim tantum non etiam Deum in reprehensione ponendum arbitrantur, ut qui interdum non recta decernat.

Respondemus igitur historiam calumniantibus, temereque insimulantibus : Heus vos, fœdum putatis prophetam contubernalem esse libidinosæ feminæ. Quid? annon multo fœdius quosdam per sanctos prophetas interfici? Quomodo igitur Samuel Agag, Elias prophetas Baal, quamvis multos numero, interficit? Quid autem, dic mihi, et propheta Isaias saccum de lumbis suis solvit, nudusque et discalceatus Jerusalem obambulavit [48]? Annon in tali habitu ut levem, 15 et stupidum, et mente captum derisisset quispiam? Et quid ista res dubitationis habet, cum laudis plenum sit, omnia a nobis decore et honeste fieri? Sed occurres, divino nutui cedentes tunc talia fecisse. Quid ergo, quæso, de beato Osea cogitandum? num sua sponte, an imperio Dei ad mulierem meretricem accedit, et adeo inhonestam sibi contubernalem domesticamque facit? Miror nihilominus illum cavillari super eo scripta voluisse, historiamque ut indecoram lacerare non erubuisse. Rejiciens enim rem ut incredibilem, asserensque apertissime, prophetam non habuisse consuetudinem cum scorto, sed cum animabus fornicariis Dei Verbum aliquando copulari, non intellexit, ut par fuit, quibus se ineptiis involveret. Honestiorem enim certe prophetam, quam Deum omnium honestissimum esse vult. Annon enim, obsecro, ejusdem generis quispiam esse dixerit, cum improba muliere prophetam copulari, et cum immunda anima velle commercium habere Dei Verbum? Puto sane nihil esse medium. Aut igitur una cum illo et hoc propter inconvenientiam repudient; aut certe divino consilio humana cedere patiantur. Aliquid porro etiam de evangelicis Litteris apponendum reor. Accubuit cum publicanis et peccatoribus Dominus noster Jesus Christus, quod iterum criminatores Pharisæi vitio dabant, et ad sanctos discipulos ejus adeuntes, libere objiciebant : « Quare cum peccatoribus manducat et bibit magister vester [49]? » Quid ad hæc Christus? « Non est opus valentibus medicus, sed male habentibus [50]. » Eum igitur et inquinatos, et a peccato nondum ablutos, ex immensa benignitate admittere, nemo vel parum dubitat.

ρίῳ προ[σ]πεσών; Καίτοι, πῶς οὐκ ἀληθὲς εἰπεῖν, ὡς ἦν εὐλαβείας καρπὸς τὸ μὴ καταπαίειν ἀποτολμᾷν ἅγιον καὶ προφήτην; ἀλλ' ἦν ἐν λόγῳ Κυρίου, καὶ δυσδιάφυκτον ἔγκλημα γέγονεν ἡ παρακοή. Ἐφείσατο δὲ καὶ Ἀχαὰβ παραλόγως τοῦ Ἀδὲρ, καίτοι Θεοῦ διολλύναι προστεταχότος, καὶ δέδοται αὐτὸς ἀντὶ τῆς ψυχῆς αὐτοῦ. Οὐκοῦν ἀναγκαῖον ὄχνου τε δίχα καὶ μελ[λ]ησμῶν ἀποπεραίνεσθαι πρὸς ἡμῶν, ὅπερ ἂν ἀνδάνοι Θεῷ· τὸ δὲ ἕτερόν τι παρὰ τοῦτο δρᾶν, ἢ καὶ φρονεῖν, ὑπεροψίας ἔγκλημα φέρει. Μόνον γὰρ οὐχὶ καὶ ἐπιτιμᾷν ἐγνώκασιν οἱ τοιοῖδε λοιπὸν, ὡς οὐκ ὀρθῶς ἔσθ' ὅτε βουλευομένῳ Θεῷ.

Φαμὲν οὖν τοῖς τὴν ἱστορίαν διαβολῆς οὐκ ἔξω τιθεῖσι, καὶ ἀβούλως ἐπαιτιωμένοις· Ἀκαλλὲς ὑμῖν, ὦ οὗτοι, φαίνεται τὸ μαχλώσῃ γυναικὶ συνέστιον γενέσθαι προφήτην. Τί δέ; οὐ πολὺ ἀκαλλέστερον τὸ ἀποσφάττεσθαί τινας διὰ προφητῶν ἁγίων; Πῶς οὖν ἀνῄρηκε Σαμουὴλ μὲν τὸν Ἄγαγ, Ἠλίας δὲ τοὺς προφήτας τοῦ Βάαλ, καίτοι πολλοὺς ὄντας τὸν ἀριθμόν; Τί δὲ, εἰπέ μοι, καὶ ὁ προφήτης Ἡσαΐας τὸν σάκκον ἐκ τῆς ὀσφύος περιελὼν, γυμνός τε καὶ ἀνυπόδετος περιθέων τὴν Ἱερουσαλήμ; Ἆρα γὰρ οὐχὶ τὸν ἐν τοιῷδε γεγονότα σχήματι καταμωμήσαιτ' ἄν τις εὐθὺς ὡς ἄσεμνον, καὶ ἐξεστηκότα, καὶ τὴν φρένα παρενηνεγμένον; Πῶς τοῦτο ἀμφίβολον, εἴπερ ἐστὶν ἐπαίνου μεστὸν, τὸ ἐν κόσμῳ τῷ καθήκοντι πάντα πράττεσθαι πρὸς ἡμῶν; Ἀλλ' ἐρεῖς, ὅτι τοῖς θείοις εἴκοντες νεύμασιν, ἔδρων τὰ τοιάδε τοτηνικάδε. Τί δὲ, εἰπέ μοι, φρονεῖν ἄξιον περὶ τοῦ μακαρίου Ὡσηέ; Ἆρα γὰρ αὐτόκλητος πρὸς γυναῖκα πόρνην ἔρχεται, καὶ ποιεῖται σύνοικον τὴν οὕτως αἰσχρὰν, ἢ προστέτακται παρὰ Θεοῦ; Τεθαύμακα δὲ οὐδὲν ἧττον τοῦ κατασκώπτειν ἐθέλοντος τὰ ἐπ' αὐτῷ γεγραμμένα, καὶ τῆς ἱστορίας τὸ ἀπρεπὲς διασύρειν ἀποτολμήσαντος. Ἀναιρῶν γὰρ τὸ χρῆμα διὰ τὸ ἄτοπον, διισχυριζόμενός τε καὶ μάλα σαφῶς, ὡς οὐ πόρνῃ γυναικὶ κεκοινώνηκεν ὁ προφήτης, ἀλλ' ἐκπορνευσάσαις ψυχαῖς ὁ θεῖος ἔσθ' ὅτε συνάπτεται Λόγος, οὐ νενόηκε, κατὰ τὸ εἰκὸς, οἷῳ περιέπτωκεν ὕθλῳ. Σεμνότερον γὰρ, ὡς ἔοικε, τὸν προφήτην εἶναι γοῦν βούλεται τοῦ πανάγνου Θεοῦ. Ἢ γὰρ οὐκ ἐν ἴσῳ λόγῳ φαίη τις ἄν, εἰπέ μοι, πονηρᾷ γυναικὶ τὸν προφήτην συνάπτεσθαι, καὶ τὸ ἀκαθάρτῳ ψυχῇ κοινωνεῖν ἐλέσθαι τὸν τοῦ Θεοῦ Λόγον; Ἀλλ' οἶμαι τὸ μεταξὺ παντελῶς οὐδέν. Ἢ τοίνυν συναναιρούντων ἐκείνῳ καὶ τοῦτο διὰ τὸ ἄτοπον, ἤγουν ἐφιέντων κατόπιν τῆς θείας βουλῆς ἔρχεσθαι τὰ ἀνθρώπινα. Χρῆναι δὲ οἶμαι καὶ τι τῶν εὐαγγελικῶν παραθεῖναι Γραμμάτων. Συνανεκλίθη τελώναις καὶ ἁμαρτωλοῖς ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀλλ' ἐπῃτιῶντο πάλιν οἱ φιλεγκλήμονες Φαρισαῖοι, καὶ τοῖς ἁγίοις προσίεσαν μαθηταῖς ἀναφανδὸν, λέγοντες· « Διατί μετὰ ἀνθρώπων ἁμαρτωλῶν ὁ διδάσκαλος ὑμῶν ἐσθίει καὶ πίνει; » Τί οὖν πρὸς ταῦτα ὁ Χριστός; « Οὐ χρείαν, φησὶν, ἔχουσιν οἱ ἰσχύοντες ἰατρῶν, ἀλλ' οἱ κακῶς ἔχοντες. » Ὅτι μὲν οὖν καὶ μεμολυσμένους, καὶ ἐκνενιμμένους οὕπω τὴν ἁμαρτίαν, ἐξ ἀμετρήτου φιλανθρωπίας προσίεται Θεὸς, ἐνδοιάσῃ τις ἂν οὐδαμῶς.

[48] Isa. xx, 2. [49] Matth. ix, 11. [50] ibid. 12.

Digitized by Google

Χρῆναι δὲ δεῖ μάλιστα τῆς κατὰ τὸν μακάριον Ὡσηὲ γενομένης ἱστορίας μὴ καθορίζειν τὸ ἀκαλλὲς, γραφούσης ἡμῖν ἐφ' ἑαυτῆς παγκάλως, ὅτι βδελυροῖς καὶ ἀκαθάρτοις οὖσιν ἔτι, τὴν παρ' ἑαυτοῦ πνευματικὴν κοινωνίαν ὁ θεῖος ἡμῖν χαρίζεται Λόγος. Ἔφη τοίνυν ὁ τῶν ὅλων Θεὸς πρὸς τὸν μακάριον Ὡσηέ· « Βάδιζε, λάβε σεαυτῷ γυναῖκα πορνείας, καὶ τέκνα πορνείας. » Δέχεται δὲ τὴν Γόμερ, οὐχ ἡδυπαθείας εὕρεμα τὸ χρῆμα ποιούμενος, ἀλλ' ὑπακοῆς καὶ διακονίας ἔργον ἀποπληρῶν, καὶ ὑπηρέτης τοῦ τύπου γινόμενος, ὃν αὐτὸν δὴ μάλα ἐροῦμεν, ἐν τοῖς σαρκικοῖς καὶ γεωδεστέροις διαμορφοῦντα, ὡς ἔνι, τὰ πνευματικά. Αἰτιῶτο δ' ἂν, οἶμαι, τὶς οὐκ ἐν κόσμῳ λοιπὸν τὸν τοῦ προφήτου σκοπόν. Τὸ γὰρ ἐλέσθαι γαμεῖν, καὶ γυναίῳ συνάπτεσθαι, καὶ τέκνων ἐρᾶν, ὁ τῆς θεοπνεύστου Γραφῆς οὐκ ἐξείργει λόγος, μᾶλλον δὲ μώμου καὶ διαβολῆς ἀπαλλάττει παντα-χοῦ· « Τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος, » κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Ἐφεῖτο δὲ τοῖς ἐθέλουσι διαβιῶναι ὀρθῶς, καὶ τὸν ἐνάρετόν τε καὶ εὐσεβῆ κατορθῶσαι βίον, κἂν εἰ τέκνων εὔχοιντο γονάς. Διεβίω γὰρ οὕτως ὁ μακάριος Ἀβραὰμ, γεγόνασι δὲ καὶ οἱ μετ' αὐτὸν εὐδόκιμοι παρὰ Θεῷ. Τί οὖν, εἰπέ μοι, τὸ ἄτοπον; ἢ πῶς ἂν ὅλως διαβεβλήσεται τὸ μὴ ἀνήνασθαι γάμον, Θεοῦ προστάττοντος γράφεσθαί τι τῶν πνευματικῶν, καὶ ἀναγκαίων εἰς δύνησιν τοῖς ἐντευξομένοις ἐν τοῖς σωματικοῖς τε καὶ αἰσθητοῖς; Φαίην δ' ἂν ἔγωγε καταδείσας οὐδὲν, ὅτι καὶ σέσωκεν ὁ προφήτης τὴν Γόμερ. Γύναιον γὰρ τὸ οὕτως αἰσχρὸν καὶ πολύκοινον, ἑνὶ πέπεικεν ἀνδρὶ προσκεῖσθαι μόνῳ, καὶ τὴν πάλαι καὶ αὐτὴν λυποῦσαν τὴν φύσιν (ὅτι μὴ τέκνων ὑπέκειτο γοναῖς, ἀλλὰ ταῖς τῶν προστυχόντων ἡδυπαθείαις πωλοῦσα τὴν ὥραν, πέταυρον ἦν θανάτου, καὶ θύρα, καὶ ὁδὸς εἰς αὐτό που τὸ βαθὺ καὶ λοίσθιον καταφέρουσα σκότος) ἀποσχέσθαι πέπεικε τῶν οὕτω διεπτυσμένων ἐπᾳσμάτων τε ἅμα καὶ ἐγχειρημάτων, καὶ τέκνων ἐποίει μητέρα σεμνήν. Τὸ δὲ δὴ μὴ σφόδρα φροντίσαι τῶν καθ' ἑαυτὸν, ἐξανύσαι γε μὴν ἐλέσθαι μᾶλλον τὸ ἑτέρῳ χρήσιμον, καὶ ἀναγκαῖον εἰς σωτηρίαν, ἀγιοπρεπὲς ἂν φαίνοιτο καὶ ἀξιάγαστον σπούδασμα. Ἦ γὰρ οὐχ οὕτω καὶ ἐπαίνου παντὸς ἀξιώσομεν τὸν μακάριον προφήτην Ἡσαΐαν, εἰ τὸν χιτωνίσκον ἀποδὺς, ὑπολυσάμενος δὲ καὶ τὰ σανδάλια, καὶ ὀλίγου παντελῶς ἀξιώσας λόγου τὴν εὐκοσμίαν, περιεπάτει γυμνὸς, ἵνα τῆς ἐσομένης αἰχμαλωσίας τοῖς ἐξ Ἰσραὴλ παραδείξας τὸ σχῆμα, Θεῷ προ[σ]κεῖσθαι παρασκευάσῃ λοιπόν; Τί δὲ, εἰπέ μοι, καὶ ὁ σοφὸς ἡμῖν Παῦλος οὐκ ἔφασκεν ἐναργῶς· « Ἠυχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ, ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου τῶν κατὰ σάρκα; » Οὐχὶ δὲ καὶ τοῖς πᾶσι γενέσθαι τὰ πάντα φησὶν, ἵνα πάντως τινὰς σώσῃ, καὶ γεγονέναι μὲν τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα σώσῃ τοὺς ἀνόμους; Καὶ τί ἔτι ταῦτα λέγω, τὸ ἔτι μεῖζον ἀφεὶς; ὅτι καὶ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ἵνα σώσῃ

A Historia autem de beato Osea neutiquam turpitudinis notanda est, in qua pulcherrime ostenditur, quo pacto nobis adhuc sceleratis et immundis spiritualem suam communionem divinum Verbum largiatur. Alloquitur ergo universorum Deus beatum Oseam in hunc modum : « Vade, accipe tibi uxorem fornicationis et filios fornicationis. » Accipit autem Gomer, non ut inde materiam voluptatis nancisceretur ; sed ut ministri obsequentis officium impleret, ut typo præserviret, quem ipsum esse potissimum dicemus, in carnalibus, et terrenis spiritualia, ut licet, repræsentantem. **16** Deinceps prophetæ scopum in modo et ratione nemo accusabit. Velle enim uxoriis vinculis alligari, susci-
B piendorumque liberorum studio teneri, a divinitus inspirata Scriptura non prohibetur : quin id a dedecore, et calumnia ubique defendit : « Honorabile enim connubium, et thorus immaculatus[81], » juxta beati Pauli dictum. Concessum est autem volentibus recte vivere, et vitam virtute ac pietate conspicuam cum laude traducere, etiam proles optare. Sic namque vixit beatus Abraham, et posteri ejus Deo in hoc statu placuerunt. Quid ergo, dic mihi, alienum est, aut cuinam tandem criminationi patebit, non aversari nuptias, cum Deus in his corporeis, ut sensum moventibus quidpiam spirituale, et lecturis ad animi fructum conducibile describi ac depingi jusserit ? Equidem non verebor affirmare, prophetam Gomer etiam saluti fuisse.
C Mulierculam enim adeo infamem, multisque communem eo promovit, ut uni viro adhæresceret : et quæ pridem ipsam quoque naturam contristabat (neque enim prolis tollendæ causa id faciebat; sed accedentium ad se libidinibus formam vendens, laqueus erat mortis, et janua ac via in ipsas profundas et extremas tenebras deducens), ei persuasit abstinere ab adeo despuendis incantamentis et operibus, honestamque liberorum parentem effecit. Quod autem de se parum sollicitus, potius quod alteri utile, et ad salutem necessarium foret, amplexus est, præclarus conatus, et sancto viro dignus fuit. An enim non ita omni prædicatione cohonestandum censebimus beatum Isaiam, quod, exuta tunicula solutisque sandaliis, et contempta peni-
D tus decentia ornatuque, nudus obambulavit[82], ut futuræ captivitatis habitu Israelitis demonstrato, Deo illos in posterum adhærere faceret ? Quid ? annon et sapiens ille Paulus nobis aperte dicebat : « Optabam enim ego ipse anathema esse a Christo pro fratribus meis, qui sunt cognati mei secundum carnem[83] ? » Annon etiam omnibus omnia factum se confitetur, ut omnes faceret salvos ? et factum quidem Judæis ut Judæum : iis qui sine lege erant, quasi sine lege esset, cum sine lege Dei non esset, sed in lege esset Christi, ut lucrifaceret eos qui sine lege erant[84]. Et quid ego ista commemoro, quod majus est relicto ? Ipsum item unigenitum

[81] Hebr. XIII, 4. [82] Isa. XX, 2. [83] Rom. IX, 3. [84] I Cor. IX, 20-22.

Digitized by Google

Rei **17** Verbum, ut salvaret humanum genus, « non rapinam arbitratum est, esse æquale Deo; sed se ipsum exinanivit, formam servi accipiens, in similitudinem hominum factum, et inventum ut homo [55], sustinuit crucem, confusione contempta [56]. »

Nihil ergo mirum, si paulum extra decorum egressus propheta, salvavit Gomer, et mulierculam perditam ad morum honestatem revocavit. Utilis autem, et necessariæ rei causa Deum mandasse, uti mulierculæ conjugaretur, statim plenam fidem astruit, hac de causa illud mandasse confirmans: « Quia fornicans fornicabitur terra post Deum. Et abiit, et accepit Gomer, filiam Debelaim, et concepit, et peperit ei filium. » Non futuram terræ fornicationem, sed jam factam prophetæ indicat. Erant enim vituli in Dan, et Bethel, et Baal templa excitata fuerant [57], et cæremoniæ ab Israel per totam Samaritarum regionem adhibebantur. Non igitur discrimen temporum facit, ac servat divina Scriptura, aut etiam, quod dictu verius est, qui hæc nobis sunt interpretati: sicut item et ipsa Christi persona per Isaiæ vocem inducitur loquens: « Dorsum meum dedi ad flagella, et genas meas ad alapas [58]. » Et ipse propheta de ipso: « Sicut ovis ad occisionem ductus est, et ut agnus coram tondente se obmutescens; sic non aperit os suum. In humilitate ipsius judicium ejus sublatum est [59]. » Cernis quomodo quod futuris temporibus eventurum erat, ut jam transactum propheticus sermo nobis introduxerit? Quare illud: « Fornicans fornicabitur terra, » pro, fornicata est, intelligi debet. Quonam autem modo fornicata est? « Post Dominum, » id est, sequelam aspernata est, qua quis quasi ad Deum tendit. Scriptum est enim: « Post Dominum ambulabis [60], » hoc est, Citra conversionem supernas et a Deo præscriptas leges sequeris. Fornicata est igitur post Dominum, non sustinens sequi. Descivit enim, et contaminata est, et idolorum cultibus dedita, Dominum offendit. Hac igitur de causa Gomer propheta Oseas vinculo conjugali sociatur, quia fornicata est terra post Dominum. Potest enim quod fit, pro mystica rei typo accipi, ut dicebam. Deinde peperit Gomer.

A τὸ ἀνθρώπινον γένος, « Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ὑπέμεινε σταυρὸν αἰσχύνης καταφρονήσας. »

Οὐδὲν οὖν ἄρα τὸ θαυμαστὸν, εἰ βραχὺ τοῦ πρέποντος ἐκπεφοιτηκὼς, σέσωκεν ὁ προφήτης τὴν Γόμερ, καὶ ἀπολωλὸς τὸ γύναιον ἀνακομίζει πρὸς εὐκοσμίαν. Ὅτι δὲ χρησίμου τε καὶ ἀναγκαίου πράγματος ἕνεκα συνάπτεσθαι τῷ γυναίῳ προσέταττε Θεὸς, πεπληροφόρηκεν εὐθὺς, ταύτης ἕνεκα τῆς αἰτίας ἐκεῖνα προστάξαι διαβεβαιούμενος. Διότι φησὶ, « Ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ Κυρίου. Καὶ ἐπορεύθη, καὶ ἔλαβε τὴν Γόμερ θυγατέρα Δεβηλαΐμ, καὶ συνέλαβε, καὶ ἔτεκεν αὐτῷ υἱόν. » Καὶ οὐκ ἐσομένην πορνείαν τῆς γῆς, ἀλλὰ τὴν ἤδη γεγενημένην τῷ προφήτῃ φησί. Καὶ γὰρ ἦσαν αἱ δαμάλεις εἰς Δὰν καὶ Βηθὴλ, καὶ τὰ τοῦ Βάαλ ἐγήγερτο τεμένη, καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ κατὰ πᾶσαν ἐπράττοντο τῶν Σαμαρειτῶν τὴν χώραν. Ἀδιαφορεῖ τοιγαροῦν κατὰ τοὺς χρόνους ἡ θεόπνευστος Γραφὴ, ἢ καὶ, ὅπερ ἐστὶν ἀληθέστερον εἰπεῖν, οἱ ταύτην ἡμῖν διηρμηνευκότες· καθάπερ ἀμέλει καὶ αὐτὸ τὸ τοῦ Χριστοῦ πρόσωπον διὰ τῆς Ἡσαΐου φωνῆς εἰσφέρεται λέγον· « Τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα. » Καὶ αὐτὸς δέ φησιν ὁ προφήτης περὶ αὐτοῦ· « Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν, ἄφωνος· οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ, ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. » Ὁρᾷς, ὅπως τὸ ἐσόμενον ἐν καιροῖς ὡς ἤδη γεγενημένον ὁ τῆς προφητείας ἡμῖν εἰσκεκόμικε λόγος; Οὐκοῦν τὸ, « Ἐκπορνεύουσα ἐκπορνεύσει ἡ γῆ, » ἀντὶ τοῦ, Πεπόρνευκεν ἡ γῆ, νοητέον. Πεπόρνευκε δὲ τίνα τρόπον; « Ἀπὸ ὄπισθεν τοῦ Κυρίου, » τουτέστι, τὴν ἀκολούθησιν ἀθετήσασα, ἣν ἂν ποιοῖτό τις, ὡς πρὸς Θεόν. Γέγραπται γὰρ, ὅτι « Ὀπίσω τοῦ Κυρίου πορεύσῃ, » τουτέστιν, ἀκολουθήσεις ἀμεταστρεπτὶ τοῖς ἄνωθεν παρὰ Θεοῦ νόμοις. Πεπόρνευκε τοίνυν ἀπὸ ὄπισθεν τοῦ Κυρίου, κατακολουθεῖν οὐκ ἀνεχομένη. Γέγονε γὰρ ἀποστάτης καὶ βέβηλος, καὶ ταῖς τῶν εἰδώλων προστεθεῖσα λατρείαις, προσκέκρουκε τῷ Δεσπότῃ. Ταύτης οὖν ἕνεκα τῆς αἰτίας συνάπτεται τῇ Γόμερ ὁ προφήτης Ὡσηὲ, ὅτι πεπόρνευκεν ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ Κυρίου. Μυστικοῦ γὰρ, ὡς ἔφην, πράγματος τύπος ἂν νοοῖτο τὸ δρώμενον. Εἶτα τέτοκεν ἡ Γόμερ.

18 Vers. 4,5. *Et dixit Dominus ad eum: Voca nomen ejus Jezrael; quoniam adhuc modicum et ulciscar sanguinem Jezrael super domum Juda, et quiescere faciam regnum domus Israel. Et erit, in die illa conteram arcum Israel in valle Jezrael.*

D *Καὶ εἶπε Κύριος πρὸς αὐτόν· Κάλεσον τὸ ὄνομα αὐτοῦ Ἰεζραὲλ, διότι ἔτι μικρὸν, καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ. Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συντρίψω τὸ τόξον τοῦ Ἰσραὴλ ἐν κοιλάδι τοῦ Ἰεζραέλ.*

IV. Hic sermo duplicem nobis considerationem parit. Ab aliis enim alia scriptura affertur, cujus nunc necesse est meminisse, quo accuratius aga-

Δ'. Ἐν τούτοις ἡμῖν ὁ λόγος διττὴν ὠδίνει τὴν θεωρίαν. Φέρεται δὲ καὶ ἑτέρα γραφὴ παρά τισιν, ὡς ἀναγκαῖον ἐπιμνησθῆναι νῦν διά γε τὸ ἀκριβές.

[55] Philipp. II, 6-8. [56] Hebr. XII, 2. [57] III Reg. XII, 29. [58] Isa. L, 6. [59] Isa. LIII, 7, 8. [60] Osee XI, 10.

Digitized by Google

Ὀνίνησι γὰρ οὐ μετρίως, τὸ ἀμφοῖν ἡμᾶς ἐπιμνη- A
σθῆναι τοῖν λόγοιν. Ἡ μὲν οὖν καθ' ἡμᾶς ἔκδοσις,
τουτέστιν, ἡ τῶν Ἑβδομήκοντα, « Καὶ ἐκδικήσω, φησὶ,
τὸ αἷμα τοῦ Ἰεζραὲλ, ἐπὶ τὸν οἶκον Ἰούδα. » Ἡ δὲ
ἑτέρα φησί· « Καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὲλ
ἐπὶ τὸν οἶκον Ἰηοῦ· » καὶ εἰ μὲν οὕτω νοεῖν
ἔλοιντό τινες, ἱστορικωτέραν ἀνάγκη ποιεῖσθαι τὴν
ἀφήγησιν. Ἔχει δὲ οὕτως· Γέγονε μὲν Ἀχαὰβ βα-
σιλεὺς ἐν Ἰσραὴλ, ὁ καὶ σύνοικον ἔχων τὴν Ἰεζάβελ.
Ἐπειδὴ δὲ ἐζήτει τὸν ἀμπελῶνα τοῦ Ναβουθαὶ, ὁ δὲ
πρὸς τοῦτο ἀπήντα, λέγων· « Μή μοι γένοιτο δοῦναι
ἀμπελῶνα πατρός μου σοί· » πεφόνευται, ταῖς τῆς
Ἰεζάβελ δυστροπίαις περιπεσών. Ἐπειδὴ τοίνυν πε-
φόνευται, κεκληρονόμηκεν Ἀχαὰβ τὸν ἀμπελῶνα τοῦ
Ναβουθαί. Προσέκειτο δὲ καὶ ἑτέρως ταῖς τῶν δαι-
μόνων λατρείαις, καὶ τοῦτο ἐκτόπως. Ἠγανάκτει B
λοιπὸν ὁ τῶν ὅλων Θεός. Εἶτα προστέταχεν Ἐλισ-
σαιὲ τῷ προφήτῃ χρίσαι τὸν Ἰηοῦ, βασιλέα ἐπὶ τὸν
Ἰσραήλ. Ἀποστείλας δὲ τὸ παιδάριον ὁ προφήτης,
τὸ θεῖον ἐπλήρου θέσπισμα. Εἶτα κεχρισμένος Ἰηοῦ,
κάτεισιν ἐκ Σαμαρείας, καὶ τὸν θεῖον ἐπὶ τοῖς λελυ-
πηκόσιν ἐπλήρου θυμόν. Ἀπεκτονὼς γὰρ τὸν Ἀχαὰβ,
ἔῤῥιψεν ἐν τῷ ἀμπελῶνι τοῦ Ναβουθαί. Εἶτα μετὰ
τοῦτο τὴν Ἰεζάβελ, ἀνῄρηκε δὲ καὶ ἑβδομήκοντα τοῦ
Ἀχαὰβ υἱοὺς, τοὺς ἀνὰ πᾶσαν ὄντας τὴν Σαμάρειαν.
Προσετίθει δὲ τούτοις καὶ τὸν Βάαλ· ἐνέπρησε γὰρ τὰς
στήλας αὐτοῦ, καὶ κατέσεισε τὰ τεμένη, καὶ αὐτοὺς
ἀποσφάττει τοὺς ἱερεῖς. Ἐπὶ τούτοις αὐτὸν ἀποδέχε-
ται ὁ Θεός· καὶ δὴ καὶ ἐπαγγέλλεται, λέγων, ὅτι
« Υἱοὶ τέταρτοι καθήσονται ἐπὶ θρόνου σου. » Ἀλλ' C
ὁ οὕτως γεγονὼς εὐδόκιμος Ἰηοῦ, προσκέκρουκεν
οὐδὲν ἧττον Θεῷ· οὐ γὰρ περιεῖλε τὰς δαμάλεις,
κατεφωρᾶτο δὲ καὶ αὐτὸς ἐν ταῖς ἁμαρτίαις Ἱερο-
βοὰμ ἀνοσίως πεπορευμένος. Εἶτα γέγονεν ἐξ Ἰηοῦ
πρῶτος υἱὸς Ἰωάχας, ἀνὴρ καὶ αὐτὸς εἰδωλολάτρης,
καὶ ταῖς δαμάλεσι προσκυνῶν. Ἀλλ' ἐν τοῖς καιροῖς
αὐτοῦ, φησὶν, « Ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν
Ἰσραὴλ, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ Ἀζαὴλ βασι-
λέως Συρίας, καὶ ἐν χειρὶ Ἄδερ, υἱοῦ Ἀζαήλ. »
Δεύτερος ἐξ Ἰωάχας βεβασίλευκεν Ἰωὰς, καὶ οὗτος
ἀνὴρ πονηρός. Τρίτος Ἱεροβοὰμ, οὗ καὶ βασιλεύον-
τος ἄρχεται τῆς προφητείας Ὡσηέ. Τέταρτος Ἀζα-
ρίας ἐξ Ἱεροβοὰμ, καὶ αὐτὸς εἰδωλολάτρης. Τοῦτον
ἀπέκτεινεν ὁ Σελούμ. Οὐκοῦν ἐπειδήπερ κέχριστο
μὲν ὁ Ἰηοῦ, ἵνα ἐκδικήσῃ τὸ αἷμα τοῦ Ναβουθαὶ, ὃς D
ἦν ἐξ Ἰεζραὲλ (πόλις δὲ αὕτη τῆς Σαμαρείας) καὶ
ἵνα τὴν τοῦ Ἰσραὴλ εἰδωλολατρίαν περιελὼν, λοιπὸν
ἀναπαίσῃ προσκεῖσθαι Θεῷ, εἶτα γέγονε καὶ αὐτὸς
δαμάλεων προσκυνητής, δυσσεβεῖς δὲ οὐδὲν ἧττον οἱ
ἐξ αὐτοῦ γεγόνασι παῖδες, « Ἐκδικήσω, φησὶ, τὸ
αἷμα τοῦ Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰηού. » Καὶ ὥσπερ
γὰρ ἐκδεδίκηκεν ἐκ τοῦ οἴκου τοῦ Ἀχαὰβ διὰ τῆς
Ἰηοῦ βασιλείας, οὕτως ἐκδικήσει καὶ ἐκ τοῦ οἴκου
Ἰηού. Ἐν γὰρ ταῖς ἡμέραις τῶν υἱῶν αὐτοῦ πε-
πολέμηκεν Ἀζαὴλ βασιλεὺς Συρίας, καὶ μέντοι Ἄδερ,
καὶ νενικήκασι τὸν Ἰσραὴλ, πλείστας δὲ ὅσας τῶν ἐν
Σαμαρείᾳ πεπορθήκασι πόλεις. Τίκτεται τοίνυν τῷ

mus. Capiemus enim magnam utilitatem, si utram-
que perpenderimus. Nostra igitur editio, hoc est,
secundum Septuaginta sic habet : « Et ulciscar
sanguinem Jezrael super domum Juda. » Alia : « Et
ulciscar sanguinem Jezrael super domum Jehu. »
Quam si qui amplectantur, explanatio magis hi-
storica sit oportet, in hunc modum : Fuit Achab
rex Israel, conjugem habens Jezabel. Qui cum
affectaret vineam Naboth, et ille ita occurreret, ut
diceret : « Propitius sit mihi Deus, ne dem tibi vineam
patris mei, » perversitate Jezabelis irretitus, vitam
amisit. Eo occiso, vineam Naboth possedit Achab,
qui alioqui infando dæmonum cultui addictus erat.
Indignatus igitur universorum Deus, postmodum
mandavit Eliseo prophetæ, uti Jehu regem super
Israel ungeret. Misso dehinc famulo divinum man-
datum propheta implevit. Deinde unctus Jehu,
descendit ex Samaria, divinæque iræ in sontibus
puniendis satisfecit. Nam occidit Achab, et cadaver
ejus in vineam Naboth abjecit. Postea Jezabelem,
et septuaginta filios Achab, qui in tota Samaria
erant, neci dedit. Quibus etiam Baal addidit; cujus
statuas combussit, et delubra diruit, et ipsos ejus
sacerdotes jugulavit. Ob quæ Deus illum laudat;
quin etiam promittit, his verbis : « Filii tui usque
ad quartam generationem sedebunt super thronum
tuum [61]. » Verum ita celebris Jehu, nihilominus
Deum læsit. Nec enim vitulos abstulit : et ipse quo-
que in peccatis Jeroboam impie ambulare depre-
hensus est. Deinde ex Jehu primus natus est
Joachaz, homo et ipse idololatra, et vitulos ado-
rans [62]. Verum ejus temporibus, inquit Scriptura,
« Iratus est furor Domini super Israel, et tradi-
dit eos in manu Azael, regis Syriæ, et in manu
Ader filii Azael [63]. » 19 Alter ex Joachaz pro-
genitus, nempe Joas, regnavit, ipse quoque impro-
bus; tertius Jeroboam, sub cujus regno Oseæ pro-
phetia initium sumit. Quartus Azarias (alias Zacha-
rias) Jeroboami filius, etiam idololatra. Hunc truci-
davit Sellum. Quoniam igitur unctus erat Jehu,
ut ulcisceretur sanguinem Naboth Jezraelitæ (fuit
Samariæ oppidum Jezrael), et ut Israelis idololatria eversa, de cætero eos cum Deo conjungeret,
ipse vero postea vitulos adoravit, et filii ejus patrem
suum impietate æquarunt, « Ulciscar, inquit, san-
guinem Jezrael super domum Jehu. » Sicut enim
ultus est de domo Achab per regnum Jehu; sic
ulciscetur etiam de domo Jehu. Regnantibus siqui-
dem filiis ejus, Azael et Ader, seu Benedad, reges
Syriæ bellum ipsis fecerunt, et subacto Israele
urbes Samariæ quamplurimas everterunt. Nascitur
ergo prophetæ puerulus, cui et nomen inditur Jez-
rael, veluti Deo commissum in Naboth peccatum
recordante. Viro namque justo et religioso injuste
trucidato, quomodo justorum tutor ac patronus
quievisset? Contriturum igitur arcum
Israel in valle Jezrael. Victæ sunt enim, ut dixi,

[61] IV Reg. xv, 12. [62] IV Reg. xiii, 2. [63] ibid. 3.

Digitized by Google

ab Azaele et Ader tribus Israel. Et hæc quidem historice.

Age porro, etiam in alteram scripturam convenientia dicamus, ad spiritualem commentationem, sive sensum a Deo dicta revocantes. Nobilis propter majores Judæorum Synagoga. Servierunt enim Abraham, et filii ac nepotes ejus Deo viventi et vero; quin etiam justitiæ studiosi cultores, et omnibus virtutum germanarum actionibus insignes admodum et clari fuerunt, et in fide immobiles, et in omni genere bonitatis exercitati. Ast ubi fame compulsi Ægyptiis se commiscuerunt, ibique longo tempore permanserunt, eorum posteri alios mores induerunt, aliosque sensus et cogitationes assumpserunt, indigenas de cætero imitari statuentes, consuetæque patribus, et præclare præstitæ pietatis parvam omnino rationem ducentes. Adoraverunt enim « creaturam potius quam Creatorem [64], et opera manuum suarum [65], » sicut scriptum est. Eo autem abominationis abierunt et ita profane vitam transierunt, ut vix ullum improbitatis **20** modum discere et consectari prætermiserint. Ac mihi sane idem illis videtur accidisse, quod mulieri sapienti nec ignobili, quæ moribus suis relictis, et honestatis ac modestiæ studiis etiam valere jussis, potius in specie et vestibus meretriciis conspici instituit. Quo enim modo mulier talis omnium voluptatibus servit, omnis molestiæ secura, eodem modo anima hominis simul ac a rationibus pietatis deflexerit, charitatemque erga Deum flocci penderit, et ad Satanam inclinaverit, malignorum spirituum cupiditatibus obtemperat. Itaque fornicata est spiritualiter in Ægypto Judæorum Synagoga. Prostabat enim, ut dixi, dæmonum desideriis, et ad omne quodcunque illis collibuisset, non difficile rapiebatur. Cæterum ita projectam visitavit miseratus Deus, et denuo pudicam reddere molitus est, et propemodum contubernalem impuram illam, qui est omnium castissimus et purissimus, et matrem filiorum fecit, et charitate dignatus est, propter natum ex ea primogenitum, hoc est Jezrael, quod Latine sonat, *semen Dei*. Ergo Oseam in imaginem, et typum sapientissimæ hujus administrationis Dei delectum intuere. Copulatur Gomer mulieri meretrici propheta sanctus; illa ei peperit Jesrael. Ita Deus per sapientissimum Moysen Judæorum Synagogam ad amicitiam et communionem spiritualem vocabat, propter nasciturum ex ea primogenitum, videlicet Christum, qui revera est semen Dei. Natus est enim ex Patre Filius, quamvis caro factus sit.

προφήτῃ παιδίον, ᾧ καὶ ὄνομα τὸ Ἰεζραὲλ, οἱονεί πως Θεοῦ τὴν ἐπὶ τῷ Ναβουθαὶ γενομένην ἁμαρτίαν ἀναμιμνήσκοντος. Ἀνδρὸς γὰρ δικαίου καὶ εὐλαβοῦς ἀδίκως ἀνῃρημένου, πῶς ἂν ἠρέμησεν ὁ τῶν δικαίων προστάτης; Συντρίψειν οὖν ἐπαγγέλλεται τόξον τοῦ Ἰσραὴλ ἐν τῇ κοιλάδι τοῦ Ἰεζραέλ. Νενίκηνται γὰρ, ὡς ἔφην, ὑπό τε τοῦ Ἀζαὴλ, καὶ μέντοι τοῦ Ἄδερ αἱ φυλαὶ τοῦ Ἰσραήλ. Καὶ ὁ μὲν λόγος ἐν τούτοις τῶν ἱστορικῶς πεπραγμένων.

Φέρε δὲ καὶ εἰς τὴν ἑτέραν γραφὴν τὰ εἰκότα λέγωμεν, ἀνακομίζοντες ἤδη πρὸς θεωρίαν πνευματικὴν τὰ εἰρημένα παρὰ Θεοῦ. Εὐγενὴς μὲν διὰ τοὺς πατέρας ἡ τῶν Ἰουδαίων Συναγωγή. Λελατρεύκασι γὰρ οἱ ἀμφὶ τὸν θεσπέσιον Ἀβραὰμ Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ μὴν καὶ δικαιοσύνης γεγόνασιν ἐπιμεληταὶ, καὶ ἁπάσαις ἀγαθοεργείαις εὖ μάλα κατεστεμμένοι, καὶ γνησιότητι διαπρέποντες, καὶ ἀκλόνητοι τὴν πίστιν, καὶ πᾶν εἶδος ἐπιεικείας ἐπησκηκότες. Ἐπειδὴ δὲ λιμοῦ κατωθήσαντος ἐπέμιξαν Αἰγυπτίοις, εἶτα μακροὺς ἐκεῖσε διατετελέκασι χρόνους, ἑτερότροποί τε καὶ ἑτερογνώμονες οἱ ἐξ αὐτῶν γεγόνασι, τοῖς τῶν ἐνοικούντων ἔθεσιν ἕπεσθαι ᾑρημένοι λοιπὸν, καὶ ὀλίγα παντελῶς τῆς τοῖς πατράσιν ἐντριβοῦς καὶ ἐξαιρέτως κατορθουμένης εὐσεβείας πεφροντικότες. Προσκεκυνήκασι γὰρ « Τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, » καθὰ γέγραπται. Κατῴχοντο δὲ βδελυρίας εἰς τοῦτο καὶ βεβήλου ζωῆς, ὡς τάχα που φαυλότητος τρόπον ἔχειν ἀνεπιτήδευτον παντελῶς οὐδένα. Καί μοί τι παθεῖν δοκοῦσι τοιοῦτο, ὅπερ ἂν πάθοι γυνὴ σοφή τε καὶ εὐγενὴς, τὸν μὲν ἑαυτῆς μεθεῖσα τρόπον, μόνον δὲ οὐχὶ καὶ ἐῤῥῶσθαι φράσασα τοῖς εἰς εὐκοσμίαν ἐπιτηδεύμασιν· ἀνῃρημένη δὲ μᾶλλον τὸ ἐν εἴδει καὶ σχήμασιν ὁρᾶσθαι πορνικοῖς. Ὅνπερ γὰρ τρόπον ἡ τοιάδε γυνὴ τὰς ἁπάντων ἡδονὰς ἐφ' ἑαυτῇ πληροῖ, δυσχερείας ἁπάσης ἐξῃρημένης, οὕτω καὶ ἀνθρώπου ψυχὴ, τῶν τῆς εὐσεβείας ἀπονεύσασα σπουδασμάτων, καὶ ἀγάπης τῆς εἰς Θεὸν ἀλογήσασα, καὶ προσκεκλημένη τῷ Σατανᾷ, τὰς τῶν πονηρῶν πνευμάτων ἐπιθυμίας ἀποπληροῖ. Οὐκοῦν πεπόρνευκεν ἐν Αἰγύπτῳ νοητῶς ἡ τῶν Ἰουδαίων Συναγωγή. Προὔκειτο γὰρ, ὡς ἔφην, ταῖς τῶν δαιμονίων ἐπιθυμίαις εἰς πᾶν ὁτιοῦν τῶν αὐτοῖς καθ' ἡδονὴν ἀποφερομένη εὐκόλως. Ἀλλ' ἐπεσκέπτετό τε καὶ ἠλέει Θεὸς τὴν οὕτω διερριμμένην, καὶ σώφρονα πάλιν αὐτὴν ἀποφαίνειν ἤθελε· μόνον δὲ οὐχὶ καὶ σύνοικον ἐποίει τὴν βέβηλον ὁ πάναγνός τε καὶ καθαρὸς, καὶ τέκνων ἐποίει μητέρα, καὶ ἀγάπης ἀξίου, διὰ τὸν ἐξ αὐτῆς γενόμενον πρωτότοκον, τουτέστι τὸν Ἰεζραὲλ, ὃς ἑρμηνεύεται *σπορὰ Θεοῦ*. Ὅρα δὴ οὖν εἰς εἰκόνα καὶ τύπον τῶν οὕτω πανσόφως οἰκονομηθέντων παρὰ Θεοῦ τεθειμένον τὸν Ὡσηέ. Συνάπτεται τῇ Γόμερ, πόρνῃ γυναικὶ, προφήτης ἅγιος. Ἡ δὲ τέτοκεν αὐτῷ τὸν Ἰεζραέλ. Οὕτω καὶ Θεὸς ἐκάλει πρὸς οἰκειότητα διὰ τοῦ πανσόφου Μωσέως, τὴν τῶν Ἰουδαίων Συνακωγὴν, καὶ εἰς κοινωνίαν πνευματικὴν, διὰ τὸν ἐξ αὐτῆς ἐσόμενον πρωτότοκον, τουτέστι, Χριστὸν, ὃς ἐστι σπορὰ Θεοῦ κατὰ τὸ ἀληθές. Γεγένηται γὰρ ἐκ Πατρὸς ὁ Υἱὸς, καὶ εἰ γέγονε σάρξ.

[64] Rom. I, 25. [65] Mich. V, 12.

Digitized by Google

Ἐπειδὴ δὲ οὐκ ἂν ἑτέρως γένοιτο σαφὴς καὶ εὐκρινεστάτη τῆς πνευματικῆς θεωρίας ἡ παράθεσις, μὴ παρενεχθέντων εἰς μέσον τῶν ἱστορικῶς γεγονότων, φέρε, πάλιν αὐτῶν ἐπιμνήσομαι. Ὅτι μὲν οὖν πόλις ἡ Ἰεζραὲλ, προαπήγγελκεν ἡμῖν ἐναργῶς ὁ λόγος. Ἀλλ' ὡς ἐκ πόλεως τῆς Ἰεζραὲλ σημαίνει τὸν Ναβουθαὶ, τύπος δ' ἂν γένοιτο καὶ αὐτὸς τῆς ἐν Χριστῷ νοουμένης οἰκονομίας. Ἑρμηνεύεται δὲ καὶ αὐτὸς, ἐρχόμενος· ὀνόματι δὲ τῷ τοιῷδε τὸν Ἐμμανουὴλ σημαίνει πλειστάκις τὸ Γράμμα τὸ ἱερόν. Εἴρηται μὲν οὖν πρὸς τὸν μακάριον προφήτην Ἀββακούμ· « Ἔτι μικρὸν, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. » Ψάλλει δέ που καὶ ὁ Δαβὶδ, « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » Καὶ μὴν καὶ αὐτὸς ὁ θεσπέσιος Βαπτιστὴς ἀποστέλλει τινὰς τῶν ἑαυτοῦ μαθητῶν πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καὶ δὴ διεπυνθάνετο λέγων, « Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; » Ὅτι δὲ ἦν εἰς εἰκόνα Χριστοῦ, καὶ τοῦτο σαφῶς ἐκ τῶν ἐπ' αὐτῷ γεγραμμένων εἰσόμεθα. Ἐπεθύμει μὲν γὰρ ὁ Ἀχαὰβ κατασκευάσασθαι τὸν ἀμπελῶνα αὐτοῦ, καὶ εἰς κῆπον λαχάνων μετασκευάσαι τὸ οὕτως ἐξαίρετον χωρίον. Ὁ δὲ ἠγανάκτει πρὸς τοῦτο, καὶ ὡς οὐκ ἂν προῖοιτο ποτε τὸν τοῦ πατρὸς ἀμπελῶνα, διισχυρίζετο σαφῶς. « Μή μοι γὰρ γένοιτο, φησὶ, προδοῦναι ἀμπελῶνα πατρός μού σοι. » Ἐπειδὴ δὲ τοῦτο μεμάθηκεν ἡ θεσμισὴς καὶ βέβηλος Ἰεζάβελ, ἡ τοὺς προφήτας διώκουσα, καὶ τοῖς δικαίοις ἐπιβουλεύουσα, δυστρόφοις ἐπεχειρήμασιν ἐξεμηχανᾶτο τῷ δικαίῳ τὸν φόνον. Καὶ δὴ καὶ ἀναιρεθῆναι παρασκευάσασα, κληρονομεῖν ἐκέλευε τῷ συνωχηκότι, φημὶ δὴ τῷ Ἀχαάβ. Ἐπὶ τούτοις εἰκότως ἠγανάκτει Θεὸς, καὶ δὴ καὶ ἐκδικήσειν ἐπαγγέλλεται τὸ αἷμα τοῦ Ἰεζραέλ. Ἀνῄρηται γοῦν Ἀχαὰβ ὑπὸ Ἰηοὺ, καθάπερ ἤδη προείπομεν, προσετέθη δὲ αὐτῷ καὶ ἡ παμπόνηρος Ἰεζάβελ. Φέρε δὴ οὖν, εἰς Χριστὸν ἀναφέρωμεν τὰ ὡς ἐν τύπῳ τοῖς πάλαι γεγενημένα. Ὁ μὲν γὰρ προφήτης Ἡσαΐας, ὅτι « Ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι. » Καὶ ἦν ὁ ἀμπελὼν ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον, ἠγαπημένον. Ἀλλ' οἱ τοῦ Ἰσραὴλ ἡγούμενοι, ὧν ἂν εἴη καὶ τύπος ὁ Ἀχαὰβ βασιλεύων, ἐπεθύμησαν ἔχειν τὸν ἀμπελῶνα αὐτοῦ· οὐχ ἵνα ᾖ κλῆρος ἐξαίρετος, τουτέστιν, ἀμπελών· ἀλλ' ἵνα χερσώμενος κῆπος γένοιτο λαχανίας, τουτέστιν, ἐπὶ τῷ ἀσυγκρίτῳ ἔλαττον καταφέροιτο· πλείστη γὰρ ὅση κήπου λαχάνων πρὸς ἀμπελῶνα διαφορά. Καὶ τὸ ἔτι μεῖζον ἐν τούτοις οὐκ ἀσυμφανές. Γεγονότες μὲν γὰρ ὑπὸ Χριστῷ τῶν Ἰουδαίων οἱ δῆμοι, πῶς οὐκ ἔμελλον ἂν εὐκληματούσαις ἀμπέλοις, καὶ μὴν καὶ γονιμωτάταις ἐν ἴσῳ τε εἶναι ἤθεσί τε καὶ τρόποις, καὶ μανθάνοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων, κατ' οὐδένα τρόπον διενεγκεῖν τῶν χθαμαλωτάτων λαχάνων, ἃ καὶ λίαν εὐκόλως πίπτει καὶ μαραίνεται.

Οὐκοῦν ἐγλίχοντο μὲν οἱ τῶν Ἰουδαίων καθηγηταὶ τὸν ἀμπελῶνα Χριστοῦ κλῆρον ἴδιον ἔχειν, καὶ εἰς κῆπον λαχανίας· ἀλλ' οὐκ ἔπειθον καταπροδοῦναι σφίσι τὸν τοῦ Πατρὸς ἀμπελῶνα. Εἶτα, τί δέδρακεν

A Quoniam vero spiritualis considerationis collatio perspicua dijudicatuque facillima aliter fieri nequit, nisi rerum gestarum historiæ in medium producantur, age, iterum earum mentionem faciamus. Jezraelem fuisse civitatem, antea clare docuimus. Sed quod ex civitate Jezrael Naboth significat, etiam hic typus esse queat œconomiæ, quam in Christo intelligimus. Nam et ipse Naboth redditur Latine *venturus*, quo nomine Emmanuelem toties Scriptura sancta indicat [66]. Dictum est ergo ad beatum Habacuc: « Adhuc modicum, et veniens veniet, et non tardabit [67]. » Psallit et David quodam loco: « Benedictus qui venit in nomine Domini [68]. » Quin et ipse divus Baptista quosdam e discipulis suis 21 ad Dominum nostrum Jesum Christum ideo mittit percunctatum: « Tu es B qui venturus es, an alium exspectamus [69]? » Fuisse autem et hanc figuram Christi, plane ex iis quæ de eo scripta sunt perspicere licet. Concupivit enim Achab possidere vineam ejus, et locum tam eximium in hortum olitorium convertere. Naboth indigne ferens, non se vineam patris sui dimissurum expresse profitetur: « Propitius sit mihi Deus, inquit, ne prodam vineam patris mei tibi. » Id postquam rescivit Deo invisa, et impia Jezabel, prophetarum persecutrix et justorum insidiatrix, perversis molitionibus justo cædem est machinata. Quem cum occidi curasset, maritum Achab possidere vineam jussit [70]. Quare merito indignatus Deus, ulturum se sanguinem Jezraelis promisit. Occisus est ergo Achab C a Jehu, ut diximus, et simul longe improbissima Jezabel. Age igitur, ad Christum accommodemus, quæ veteribus velut in typo gesta sunt. Propheta enim Isaias ait: « Vinea facta est dilecto in cornu, in loco pingui [71]. » Et erat vinea homo Juda, nova planta, dilecta. Verum duces Israel, quorum figura esse possit Achab regnans, desiderarunt habere vineam ejus, non ut esset hæreditas electa, id est, vinea: sed ut deserta et inculta hortus olerum fieret, hoc est, propter conditionem sine comparatione inferiorem dejiceretur: etenim vinea ab horto olitorio nimium quantum differt. Et quod in his adhuc eminet, non est obscurum. Sub Christum quippe redacti Judæorum populi, quomodo non vineis palmitum copia florentibus et fertilissimis similes erant futuri, habendique ab omnibus? D Viventes autem Pharisæorum institutis et moribus, discentesque doctrinas ac mandata hominum, nihil prorsus dissimiles herbis humo propinquissimis, quæ et facile succumbunt atque marcescunt.

Quocirca appetebant quidem Judæorum primores vineam Christi, ut sortem propriam, et in hortum olerum: verum persuadere illi non potuerunt, ut Patris sui vineam ipsis proderet. Quid deinde occipit

[66] Isa. VII, 14; Matth. I, 23. [67] Habac. II, 3. [68] Psal. CXVII, 26. [69] Matth. XI, 3. [70] III Reg. XXI, 15. [71] Isa. V, 1.

Digitized by Google

Deo exosa Jezabel, hoc est, gregaria multitudo, subdita principibus, id est, Synagoga? Cum principum nequitia et dolo conspirans, justum et sanctum Naboth persequitur, hoc est, « qui venit, » efficitque ut morte multetur. **22** Interficitur enim calumniis appetitus Emmanuel. Eam rem Deo visam intolerabilem, liquere potest inde, quod Oseæ prophetæ dicitur : « Idcirco adhuc modicum, et ulciscar sanguinem Jezrael super domum Juda, et quiescere faciam regnum domus Israel. » Vindicatus est enim, ut dixi, sanguis Christi ex toto Israel. Quoniam vero tempore illo, quo datum est hoc vaticinium, distincte nominabantur, Judas quidem qui manserant Jerosolymis, Israel autem qui erant in Samaria : ut Israelem universe significare videatur, dicere debuit ulturum se sanguinem Jezrael ex domo Juda, et finem impositurum regno domus Israel. Hoc item divinus Jacob ante expressit, his verbis : « Non deficiet princeps ex Juda, et dux de femore ejus, donec veniat cui repositum est ; et ipse expectatio gentium [78]. » Ubi enim Emmanuel illuxit, tunc, tunc, inquam, etiam e medio sublatum est regnum Israel. Itaque Herodes Antipatri filius Ascalonites, Judææ Christo nato præfuit. Contriturus etiam ipsum arcum Israel in illa die, hoc est, illo tempore promittitur. « Arcum enim fortium infirmavit [79], » ut scriptum est ; tametsi Emmanuelem se subacturos existimaverant. « Et inimicorum quidem gladii defecerunt in finem [80], » et dissolutum est robur brachiorum ipsorum. Non enim vicerunt invictum. Quodammodo autem spiritualis considerationis profunditatem parans, ad historice gesta mox descendit, et ait : « Quia conteram arcum Israel in valle Jezrael. » Ibi siquidem Azael Syriæ rex Israelem contra copias educentem debellavit. Et quia convenire judico, a præcipua et spirituali commentatione sermonem non abducere, illud aio, nihil esse incommodi, mea sententia, intelligi per vallem Jezrael (hoc est, seminis Dei, sive Christi) monumentum in horto, in quo et resurrectio passionem consecuta, de omni genere malorum facinorum a Judæis susceptorum triumphavit. Per resurrectionem siquidem eorum prava, et Deo exosa, et cruenta consilia ad nihilum reciderunt. Sperabant enim se posse e medio tollere Filium, ut etiam vineam ejus sibi propriam sortem haberent. Sed in sepulcro collocatus revixit, et meditatas ipsorum insidias ineffícaces reddidit, et quasi arcus contrivit per id, quod amplius pati nihil potest. Et ipsos quidem e vinea, ut Deo detestandos, **23** et scelestos, et Domini interfectores ejicit, eamque aliis agricolis, bonis et gratis, et operis faciendi cupidissimis, juxta parabolam evangelicam [80a], locat.

A ἡ θεομισὴς Ἰεζάβελ ; τουτέστιν, ἡ ἀγελαία πληθὺς, ἡ ὑπὸ χεῖρα τῶν ἡγουμένων, ἡγουν ἡ Συναγωγὴ, ταῖς τῶν ἡγουμένων συνδραμοῦσα, [ἴσ. κακοηθείαις] καὶ δόλῳ. Μέσεισι τὸν δίκαιον, τὸν ὅσιον Ναβουθαὶ, τουτέστι, « τὸν ἐρχόμενον, » καὶ δὴ καὶ ἀναιρεθῆναι παρεσκεύασεν. Ἀνῄρηται γὰρ συκοφαντούμενος ὁ Ἐμμανουήλ. Ἀλλ' ὅτι μὴ ἀνεκτὸν τὸ χρῆμα Θεῷ, σαφὲς ἂν γένοιτο τῷ λέγεσθαι τῷ προφήτῃ Ὡσηέ· « Διότι ἔτι μικρὸν, καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ἰεζραὲλ ἐπὶ τὸν οἶκον Ἰούδα, καὶ καταπαύσω βασιλείαν οἴκου Ἰσραήλ. » Ἐκδεδίκηται γὰρ, ὡς ἔφην, τὸ αἷμα Χριστοῦ ἐκ παντὸς Ἰσραήλ. Ἐπειδὴ κατ' ἐκεῖνο καιροῦ, καθ' ὃ καὶ ἡ προφητεία γέγονεν, ὠνομάζοντο διῃρημένως, Ἰούδας μὲν οἱ μεμενηκότες ἐν τοῖς Ἱεροσολύμοις, Ἰσραὴλ δὲ πάλιν οἱ ἐν τῇ Σα-
B μαρείᾳ· ἵνα τὸ ἐκ παντὸς Ἰσραὴλ ὁρῷτο σημαίνειν, φησὶν ἀναγκαίως, ἐκδικήσειν τὸ αἷμα Ἰεζραὲλ ἐκ τοῦ οἴκου Ἰούδα, καταπαύσειν δὲ καὶ τὴν βασιλείαν τοῦ οἴκου Ἰσραήλ. Τοῦτο καὶ ὁ θεσπέσιος Ἰακὼβ προκατεμεμήνυκε, λέγων· « Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς προσδοκία ἐθνῶν. » Ἐπιλάμψαντος γὰρ ἡμῖν τοῦ Ἐμμανουήλ, τότε δὴ τότε καὶ ἐκ μέσου γέγονεν ἡ βασιλεία τῶν Ἰσραήλ. Καὶ γοῦν Ἡρώδης Ἀντιπάτρου παῖς, Ἀσκαλωνίτης, τῆς Ἰουδαίων ἠγεῖτο χώρας, γεγεννημένου Χριστοῦ. Συντρίψειν δὲ καὶ αὐτὸ τὸ τόξον τοῦ Ἰσραὴλ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, κατεπαγγέλλεται, τουτέστι, κατ' ἐκεῖνο τοῦ καιροῦ. « Τόξον γὰρ δυνατῶν ἠσθένησε, » κατὰ τὸ γεγραμμένον, καίτοι κρατήσειν ὑπειληφότων
C τοῦ Ἐμμανουήλ. « Καὶ τοῦ μὲν ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, » ἐξελύθη δὲ νεῦρα βραχιόνων αὐτῶν. Οὐ γὰρ νενικήκασι τὸν ἀνίκητον. Κατασκευάζων δὲ ὥσπερ τῆς πνευματικῆς θεωρίας τὸ βαθὺ, κάτεισιν εὐθὺς ἐπὶ τὰ ἱστορικῶς πεπραγμένα, λέγων, ὅτι « Συντρίψω τὸ τόξον τοῦ Ἰσραὴλ ἐν τῇ κοιλάδι τοῦ Ἰεζραέλ. » Ἐκεῖ γὰρ νενίκηκεν Ἀζαὴλ ὁ βασιλεὺς Συρίας ἀντεξάγοντα τὸν Ἰσραήλ. Ἐπειδὴ δὲ προσήκειν ὑπολαμβάνω, τῆς ἀναγκαίας καὶ πνευματικῆς θεωρίας οὐκ ἀποκομίζειν τὸν λόγον, ἐκεῖνό φημι, τὸ λυποῦν οὐδὲν, καθάπερ ἐγῷμαι, κοιλάδα νοεῖσθαι τοῦ Ἰεζραὲλ, τουτέστι, τῆς τοῦ Θεοῦ σπορᾶς ἤτοι Χριστοῦ, τὸ ἐν τῷ κήπῳ μνημεῖον, ἐν ᾧ καὶ ἡ ἀνάστασις ἐπακολουθήσασα τῷ πάθει, νενίκηκε πάντα
D τρόπον Ἰουδαϊκῶν τολμημάτων. Λέλυται γὰρ αὐτῶν διὰ τῆς ἀναστάσεως τὰ δυστρεπὰ, καὶ θεοστυγῆ, καὶ μιαιφόνα τολμήματα. Ἤθροντο μὲν γὰρ ἐκ μέσου ποιεῖν δύνασθαι τὸν Υἱὸν, ἵνα καὶ κλῆρον ἴδιον ἔχοιεν τὸν ἀμπελῶνα αὐτοῦ. Ἀλλ' ἐν μνημείῳ τεθεὶς, ἀνέβιω πάλιν, ἅπρακτα τῆς ἐκείνων ἐπιβουλῆς ἀποφαίνων τὰ σκέμματα, καὶ μονονουχὶ συντρίβων τὰ τόξα, διὰ τοῦ μηδὲν ἔτι δύνασθαι παθεῖν. Καὶ ἐκβάλλει μὲν αὐτοὺς τοῦ ἀμπελῶνος ὡς θεομισεῖς, καὶ πονηροὺς, καὶ κυριοκτόνους· ἐκδίδωσι δὲ γεωργοῖς ἑτέροις αὐτὸν, ἀγαθοῖς καὶ εὐγνώμοσι, καὶ φιλεργεστάτοις, κατὰ τὴν τοῦ Εὐαγγελίου παραβολήν.

Vers. 6, 7. *Et concepit adhuc, et peperit filiam, et dixit ei : Voca nomen ejus* Absque misericordia, *quia nequaquam addam ultra misereri domui Israel ;*

Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν θυγατέρα, καὶ εἶπεν αὐτῷ· Κάλεσον τὸ ὄνομα αὐτῆς Οὐκ ἠλεημένη· διότι οὐ μὴ προσθήσω ἔτι ἐλεῆσαι

[78] Gen. XLIX. 10. [79] 1 Reg. II, 4. [80] Psal. IX, 7. [80a] Matth. XXI, 23.

Digitized by Google

τὸν οἶκον Ἰσραὴλ, ἀλλ' ἢ ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς. Τοὺς δὲ υἱοὺς Ἰούδα ἐλεήσω, καὶ σώσω αὐτοὺς ἐν Κυρίῳ Θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ, οὔτε ἐν πολέμῳ, οὔτε ἐν ἅρμασιν, οὔτε ἐν ἵπποις, οὔτε ἐν ἱππεῦσιν.

A *sed adversans adversabor eis. Filiorum vero Juda miserebor, et salvabo eos in Domino Deo suo, et non salvabo eos in arcu, neque in gladio, neque in bello, neque in curribus, neque in equis, neque in equitibus.*

Ε'. Μετὰ τὸ τεχθῆναι τὸν Ἰεζραὲλ γεγένηται τῷ προφήτῃ κόριον ἐκ τῆς Γόμερ, ᾧ καὶ ὄνομα κεῖσθαι δεῖν προστέταχε, τὸ, « Οὐκ ἠλεημένη. Ἐπιφέρει δὲ παραχρῆμα τοῦ τοιοῦδε τὴν πρόφασιν, καὶ τὴν αἰτίαν εὐθὺς καθίστησιν ἐναργῆ, οὐδεμιᾶς ἔτι φειδοῦς ἀξιωθήσεσθαι λέγων τὸν Ἰσραὴλ· ἀνταναστῆναι δὲ ὥσπερ αὐτοῖς, καὶ ἐν τάξει γενέσθαι τῶν ὅτι μάλιστα πολεμιωτάτων, καὶ ταῖς εὐπραγίαις αὐτῶν ἀντιπεσεῖσθαι γεννικῶς, ὡς εἰς ἐσχάτην αὐτοὺς ἀθλιότητα καταλισθαίνειν, καὶ δύσοιστον ἀληθῶς ἀνατλῆναι συμφοράν. Θεοῦ γὰρ ἀνθεστηκότος, οὐδαμόθεν ἂν γένοιτο τοῖς παθοῦσιν ἡ δύνησις. « Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει; » φησίν. Καὶ ᾗ φησιν ὁ προφήτης. « Τὴν χεῖρα τὴν ὑψηλὴν, τίς ἀποστρέψει; » ἢ τίς ἐλεήσει τὸν διὰ τῆς ἄνωθεν ψήφου καταδεδικασμένον; Πάντα γὰρ τοῖς θείοις ἕπεται νεύμασι, καὶ ὅπερ ἂν ἔλοιτο κατορθοῦν ὁ Δεσπότης, τοῦτο ἀμελλητὶ πάντη τε καὶ πάντως διαπεραίνεται, συνεργαζομένης αὐτῷ τῆς κτίσεως, καὶ τοῖς τοῦ κρατοῦντος ἀκολουθούσης ψήφοις. Οὕτω κεκόλακεν Αἰγυπτίους, μεταστοιχειουμένων τῶν ὑδάτων εἰς αἷμα, καὶ τῆς αἰθάλης εἰς σκνῖπας, καὶ ἀφορήτου χαλάζης καθιεμένης, μακροῦ δὲ καὶ τριημέρου καταχεομένου σκότους, καὶ τῶν ἄλλων ἁπάντων αὐτοῖς ἐπενηνεγμένων. Οὐκοῦν ὄνομα τῷ κορίῳ, τὸ Οὐκ ἠλεημένη, χρησίμως τε καὶ ἀναγκαίως, ἵνα τὴν αἰτίαν τοῦ πράγματος φιλοπευστοῦντες ἀεὶ, καὶ δὴ καὶ μανθάνοντες οἱ τὸ τηνικάδε διὰ τῆς πολυθέου πλάνης προσκεκρουκότες Θεῷ, φρονεῖν τε καὶ δρᾷν ἀναπείθοιντο τὰ ἀμείνω καὶ πρεπωδέστερα, λοιπόν τε μεταφοιτήσειαν πρὸς τὸ ἐλέσθαι σωφρόνως, κἂν γοῦν τοῖς δευτέροις ἀποσείεσθαι τὴν ὀργὴν, εὐμενῆ καὶ πρᾶον ἐφ' ἑαυτοῖς καταστήσαντες λελυπημένον τὸν ὅλων Θεόν. Ἔοικε δὲ πάλιν ὁ προφητικὸς ἡμῖν ἐν τούτοις ὑποδηλοῦν λόγος τὰς γεγενημένας αἰχμαλωσίας τοῦ Ἰσραὴλ, ὑπό τε τοῦ Θεγλαφαλασὰρ, καὶ μέντοι Σαλμανασὰρ βασιλέων Ἀσσυρίων, οἳ μετῴκησαν ἐκ Σαμαρείας τὸν Ἰσραὴλ εἰς τὰ ὄρια Περσῶν καὶ Μήδων, τὰς ἐν τῇ Σαμαρείᾳ καταδρώσαντες πόλεις. Ἀλλ' οὐκ ἂν ταῖς οὕτω δειναῖς περιπεπτώκασι συμφοραῖς, ἐπαμύνειν αὐτοῖς ἐθέλοντος Θεοῦ, μᾶλλον δὲ, μὴ οἱονεί πως καὶ ἀντεξάγοντος, καὶ ἐν τάξει πολεμίων ἀνθεστηκότος. Ἔφη γὰρ ἐναργῶς, ὅτι Ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς. Ἐλεήσειν δὲ τοὺς υἱοὺς Ἰούδα καὶ σώσειν αὐτοὺς, οὐ πολέμου νόμῳ (τοῦτο γὰρ τὸ, οὐκ ἐν ἅρμασιν, οὐδὲ ἐν ἵπποις)· ὃ δὴ καὶ τετέλεσται, τοῦ Σεναχηρεὶμ περιέχοντος κύκλῳ τὴν Ἱερουσαλὴμ, ὅτε καὶ τῆς θείας δόξης κατεφλυάρει Ῥαψάκης, ὡς οὐκ ἂν ἰσχύσειεν εἰπὼν ἀνασῶσαι Θεὸς τήν τε Ἱερουσαλὴμ, καὶ τοὺς ἐν αὐτῇ, προεκόμιζε δὲ εἰς ἀπόδειξιν τοῦ πάντη τε καὶ πάντως ἁλώσεσθαι καὶ αὐτοὺς, τὸ μὴ δεδυνῆσθαι τοὺς

V. Post natum Jezrael, nata est prophetæ puellula ex Gomer, cui et nomen jussit imponi, videlicet, « Absque misericordia. » Adjungit statim occasionem, et causam illico clare aperit, dicens, nulla amplius venia se Israel dignaturum, sed quasi contra eos insurrecturum, et loco infensissimi hostis futurum, ipsorumque felicitati viriliter adversaturum, ut in extremam miseriam præcipitentur, et vere intolerandam calamitatem perferant. Deo quippe resistente, afflictis usquam relinquitur auxilium. « Si enim clauserit contra hominem, quis aperiet [16]? » inquit. Et ut ait idem propheta: « Munum excelsum quis avertet [16]? » aut cœlesti sententia condemnati quis miserebitur? Omnia quippe nutum divinum sequuntur, et quæ Dominus rite facere voluerit, id citra moram omnimodis perficitur, creatura illi cooperante, et dominantis auctoritatem comitante. Sic punivit Ægyptios, aquis in sanguinem, et cinere seu pulvere in ciniphes commutatis, et dejecta grandine horribili, propemodum etiam triduanis tenebris diffusis, et aliis omnibus supplicilis inflictis [17]. Quare puellæ nomen « Absque misericordia » utiliter ac necessario imponitur, ut causam rei curiosius scisciantes semper et cognoscentes qui tunc Deum per sedactionem cæteris multorum deorum offenderant, ad meliora et rationi magis consentanea cogitanda faciendaque inducantur, et de cætero prudenter, saltem posterioribus cogitationibus iram divinam amoliri cupient, universorum Deum offensum, benevolum sibi ac mitem efficientes. Videtur autem propheta rursus nobis hoc loco Israelem a Theglatphalasar et Salmanasar Assyriorum regibus captum subindicare, qui e Samaria, ejus urbibus illata vastitudine, eumdem ad montes Persarum et Medorum transtulerunt. Atqui in tam graves calamitates non incidissent, si Deus defendere eos voluisset; imo nisi quodammodo aciem contra eduxisset, et instar hostis adversatus esset. Ait enim aperte: Adversans adversabor illis. Misericordiam autem filiis Judæ tributurum se pollicetur, et salvaturum eos, non lege ac more militari, hoc enim est quod dicit, non in curribus, nec in equis, quod etiam præstitum est, Senacherim Jerosolymam obsidione circumdante, quando et adversus Dei gloriam Rabsaces blaterabat, dicebatque non posse Deum Jerosolymam et incolas ejus tueri, adducebatque pro argumento firmissimo, plane ipsos quoque in potestatem venturos, quod dii in Samaria suos eripere nequivissent. Sed enim servatus est Judas mirabiliter, hoc est, Jerusalem habitantes duæ tribus. « Exivit enim angelus Domini, inquit, et occidit ex castris Assyriorum una nocte centum octoginta quinque

[16] Isa. xxii, 22. [16] Isa. xiv, 27. [17] Exod. vii, viii, ix passim.

Digitized by Google

millia [78]. » Salvati tum cantabant, et modum rei tam ingentis in se perpetratæ narrabant, dicentes : « Hi in curribus, et hi in equis, nos autem in nomine Dei nostri magnificabimur. Ipsi velut compedibus implicati sunt, et ceciderunt ; nos autem resurreximus, et erecti sumus [79]. » Verum ista a nobis historice dicta sunto.

A ἐν Σαμαρείᾳ θεοὺς ἐξελέσθαι τοὺς ἑαυτῶν. Ἀλλ' ἐσώζετο παραδόξως ὁ Ἰούδας, τουτέστιν, αἱ τὴν Ἱερουσαλὴμ οἰκοῦσαι δύο φυλαί. « Ἐξῆλθε γὰρ ἄγγελος Κυρίου, φησὶν, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων μιᾷ νυκτὶ, ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. » Ἤδόν τε οὕτως οἱ σεσωσμένοι· καὶ τῆς ἐπ' αὐτοῖς γεγενημένης μεγαλουργίας τοὺς τρόπους ἀφηγοῦντο, λέγοντες· « Οὗτοι ἐν ἅρμασι, καὶ οὗτοι ἐν ἵπποις· ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. Αὐτοὶ συνεποδίσθησαν, καὶ ἔπεσον· ἡμεῖς δὲ ἀνέστημεν, καὶ ἀνωρθώθημεν. » Ἀλλ' ἱστορικῶς μὲν ἡμῖν εἰρήσθω ταυτί.

Procedamus ad alios sensus, ad Christum, inquam. Post natum quippe Jezraelem, id est, Dei semen, (ut intelligas Emmanuelem, cujus et sanguinem se ulturum promittit), parit Gomer (hoc est, fornicata B Judæorum Synagoga) filiam, sive multitudinem, quæ decenter vocari possit Absque misericordia. Ipsa quippe occidit Jezrael, Christum puta. Quocirca jure inimicum et infensissimum sibi Deum invenit, statimque calamitates immedicabiles, a Romanis exercitibus devastata, et bellum longe lateque auditum perpessa sustinuit, quando et mulieres infantes suos comederunt, et ut est apud prophetam Jeremiam, « Manus mulierum misericordium coxerunt filios suos [80], » et leges naturæ humanæ spreverunt, cum fames eas philostorgiam, alioqui inexpugnabilem, negligere compelleret. Porro hæc omnia ob impietates designatas illis evenerunt. 25 Spondet autem se misericordia filios Juda prosecuturum, hoc est, qui, secundum disciplinam et regenerationem per C Spiritum, Christi filii evaserunt, qui de tribu Juda fuit. Si enim per Evangelium quidam sanctis apostolis in Christo generantur, quomodo non magis per Christum ipsum ? de quibus etiam ait : « Ecce ego et pueri quos dedit mihi Deus [81]. » Salvantur itaque in Christo Domino et Deo universorum, non arma moventes terrestria et carnalia [82] ; sed in virtute salvantis, et concutientis quidem principatus et thronos [83], triumphantis autem cruce sua adversariorum catervas, et malignas potestates evertentis, et dantis diligentibus se « calcare super serpentes, et scorpiones, et super omnem virtutem inimici [84]. » Appositissime autem incredulum, et effrenem, et Domini interfectorem populum Judæorum mulieri comparavit, illi, inquam, quæ dicta est Absque D misericordia. Indicium enim imbecillitatis est mulier, et animi haud virilis atque fracti symbolum aptissime intelligi queat. Tales sunt omnes, qui institutionem per Christum non susceperunt, nec in divinis et sanctis mandatis ejus ingredi sustinuerunt. Quamobrem Oseas propheta inquit : « Convertere, Israel, ad Dominum Deum tuum, quia infirmata es in iniquitatibus tuis [85]. » Et iterum de mandatis Salvatoris idem : « Quia rectæ viæ Domini, et justi ambulabunt in eis ; impii autem infirmabuntur in eis [86]. » Idem alicubi de iis qui occiderunt Jezrael, id est, Christum, « Et humiliabitur superbia Israel in facie

Ἴωμεν δὲ αὖ καὶ ἐφ' ἑτέρας ἐννοίας, φημὶ δὲ πάλιν τὰς ἐπ' αὐτῷ τῷ Χριστῷ. Μετὰ γάρ τοι τὸ τεχθῆναι τὸν Ἰεζραὲλ, τουτέστι, τὴν τοῦ Θεοῦ σπορὰν, ἵνα νοῇς τὸν Ἐμμανουὴλ, οὗ καὶ ἐκδικήσειν τὸ αἷμα κατεπηγγέλλετο, τίκτεται τῇ Γόμερ, τουτέστι, τῇ πεπορνευμένῃ τῶν Ἰουδαίων Συναγωγῇ, θυγάτηρ, ἤτοι πληθὺς, ἥ καὶ πρέπον ἂν εἴη τὸ καλεῖσθαι Οὐκ ἠλεημένη. Αὕτη γὰρ ἀπέκτεινε τὸν Ἰεζραὲλ, τουτέστι Χριστόν. Ταύτητοι δικαίως ἐχθρὸν καὶ πολεμιώτατον εὑρίσκει Θεὸν, καὶ ἀνηκέστους εὐθὺς ὑπομεμένηκε συμφορὰς, ταῖς Ῥωμαίων δυνάμεσιν ἐκπεπορθημένη, καὶ τὸν διαβόητον ὑποστᾶσα πόλεμον, ὅτε καὶ γυναῖκες τῶν ἰδίων ἥψαντο τέκνων, καὶ ᾗ φησιν ὁ προφήτης Ἱερεμίας, « Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία ἑαυτῶν, » καὶ φύσεως ἀνθρωπίνης ἀλαγήσασαι νόμων, καὶ φιλοστοργίας ἀμάχου ῥᾳθυμεῖν αὐτὰς ἀναγκάζοντος τοῦ λιμοῦ. Ἀλλὰ καὶ ταυτὶ μὲν ἅπαντα τοῖς ἠσεβηκόσι συμβέβηκεν. Ἐλεήσειν δὲ τοὺς υἱοὺς Ἰούδα κατεπαγγέλλεται, τουτέστι, τοὺς κατὰ μάθησίν τε καὶ ἀναγέννησιν τὴν διὰ τοῦ Πνεύματος υἱοὺς γεγονότας Χριστοῦ, τοῦ ἐκ φυλῆς Ἰούδα. Εἰ γὰρ διὰ τοῦ Εὐαγγελίου γεννῶνταί τινες ἐν Χριστῷ τοῖς ἁγίοις ἀποστόλοις, πῶς οὐχὶ μᾶλλον δι' αὐτοῦ τοῦ Χριστοῦ ; περὶ ὧν καί φησι· « Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία ἃ μοι ἔδωκεν ὁ Θεός. » Σώζονται τοίνυν ἐν Χριστῷ τῷ Κυρίῳ καὶ Θεῷ τῶν ὅλων, οὐχ ὅπλα κινοῦντες ἐπίγειά τε καὶ σαρκικὰ, ἀλλ' ἐν δυνάμει τοῦ σώζοντος, καὶ κατασείοντος μὲν ἀρχὰς καὶ θρόνους, θριαμβεύοντος δὲ τῷ ἰδίῳ σταυρῷ τῶν ἀντικειμένων τὰ στίφη, καὶ δυνάμεις καταστρέφοντος πονηρὰς, καὶ διδόντος τοῖς ἀγαπῶσιν αὐτὸν « πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Εὖ δὲ δὴ σφόδρα τὴν ἀπειθῆ καὶ ἐξήνιον, καὶ κυριοκτόνον τῶν Ἰουδαίων πληθὺν γυναικὶ παρεικάζει, φημὶ δὴ τῇ Οὐκ ἠλεημένῃ. Σημεῖον μὲν γὰρ ἡ γυνὴ καὶ φρονήματος ἀνάνδρου, καὶ κεκλασμένου τύπος ἂν νοοῖτο, καὶ μάλα σαφῶς. Τοιοῖδε δὲ πάντες, ὅσοι τὴν διὰ Χριστοῦ μὴ παρεδέξαντο παίδευσιν, μήτε μὴν ἠνέσχοντο κατόπιν ἰέναι τῶν θείων αὐτοῦ καὶ ἁγίων θεσπισμάτων. Καὶ γοῦν ὁ προφήτης Ὡσηὲ, « Ἐπιστράφηθι, φησὶν, Ἰσραὴλ, πρὸς Κύριον τὸν Θεόν σου, διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. » Καὶ πάλιν περὶ τῶν τοῦ Σωτῆρος ἐντολμάτων ὁ αὐτὸς, « Διότι εὐθεῖαι, φησὶν, αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς. » Καὶ ὁ αὐτὸς δέ που

[78] IV. Reg. XIX, 35. [79] Psal. IX, 8, 9. [80] Thren. IV, 10. [81] Isa. VIII, 18. [82] II Cor. X, 4. [83] Coloss. II, 10. [84] Luc. X, 19. [85] Osee XIV, 2. [86] ibid. 10.

Digitized by Google

φησὶν Ὥσηὲ περὶ τῶν ἀπεκτονότων τὸν Ἰεζραὲλ, τουτέστι Χριστόν· « Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ. Καὶ Ἰσραὴλ καὶ Ἐφραΐμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν. »

Καὶ ἀπεγαλάκτισε τὴν Οὐκ ἠλεημένην. Καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκεν υἱόν. Καὶ εἶπε, Κάλεσον τὸ ὄνομα αὐτοῦ, Οὐ λαός μου. Διότι ὑμεῖς οὐ λαός μου, καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν.

Ϛ'. Τίκτεται κατὰ πόδας καὶ οὐκ εἰς μακρὰν τῇ Γόμερ παιδίον ἕτερον, ὃ δεῖν ἔφη καλεῖσθαι Θεὸς, Οὐ λαός μου. Καὶ γειτων εὐθὺς τῇ τοιᾷδε λύσει τίθεται πάλιν πρόφασις. Ὑμεῖς γὰρ, φησὶν, οὐ λαός μου, καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν. Δῆλον δ' ἂν εἴη κἀκ τοῦδε λοιπὸν, ὡς εἰς ἔλεγχον τῶν ἡμαρτηκότων, καὶ εἰς ἐπανόρθωσιν ἀσφαλῆ τῶν καταφρονεῖν ἠρημένων, καὶ εἰς πλάνησιν ἀπονενευκότων ἐπράττετο μὲν ἱστορικῶς τὰ τοιάδε, τύποι δὲ ἦσαν τῶν συμβησομένων κατὰ καιροὺς τοῖς ἐξ Ἰσραὴλ, ἐνανθρωπήσαντος ἤδη τοῦ Μονογενοῦς, καὶ τὸν τίμιον ὑπὲρ ἡμῶν ἀνατλάντος σταυρόν. Εἰ δὲ δὴ χρὴ πρὸ τῶν πνευματικῶν ἀφηγήσασθαι τὰ ἱστορικὰ, φαμὲν, ὅτι μετοικισθέντος τοῦ Ἰσραὴλ ἐκ τῆς Σαμαρείας, εἰς τὰ ὄρια Περσῶν καὶ Μήδων ὑπό τε τοῦ Θεγλαφαλασὰρ βασιλέως Ἀσσυρίων, καὶ μέν τοι Σαλμανασὰρ, οἱ περιλειφθέντες ἔτι, καὶ τῶν κεκινδυνευκότων τὸ λείψανον, ἀπώλισθον παντελῶς τοῦ καὶ λαὸς Θεοῦ ὀνομάζεσθαι, διά τοι τὸ τῶν αὐτῶν ἔχεσθαι σπουδασμάτων εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. Διαλελοίπασι γὰρ οὐδαμῶς ταῖς μυσαρωτάταις τῶν δαιμόνων λατρείαις προσκείμενοι.

Πρὸς διάνοιαν δὲ τὴν ἀληθῆ, καὶ ἐπὶ Χριστῷ λόγων συνήσεις ἑκάτερος. Μετὰ γάρ τοι τὴν ἀνόσιον ἐκείνην πληθὺν, τὴν δικαίως οὐκ ἠλεημένην (κεχυροκτόνηκε γὰρ), οἱ μετ' ἐκείνους εὐθὺς υἱοὶ γεγονότες, ἢ καὶ ὄντες ἤδη τῆς πεπορνευμένης Συναγωγῆς, ἀποπτπτώκασιν ἐναργῶς τοῦ εἶναί τε καὶ ὀνομάζεσθαι λαὸς Θεοῦ. Οὐ γὰρ ἅπαν τὸ τῶν Ἰουδαίων δεδαπάνηκε πλῆθος ὁ Ῥωμαίων πόλεμος· ἀλλὰ πλείστη μὲν δὴ καὶ ἀριθμοῦ κρείττων διόλωλε πληθύς· οἱ δὲ ἐξ αὐτῶν ἀνασεσωσμένοι, καὶ τὸ τοῦ θανάτου φυγόντες λίνον, διεσπάρησαν εἰς πάντα ἄνεμον, κατὰ τὸ γεγραμμένον, καὶ ἐν ταῖς τῶν ἐθνῶν κατεσκεδάσθησαν χώραις, οὐκέτι λαὸς, ὡς ἔφην, χρηματίζοντες Θεοῦ. Μεταπεφοίτηκε γὰρ εἰς τοὺς ἐξ ἐθνῶν ἡ χάρις, οἷς ἀνεμίχθη καὶ τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, τουτέστιν, οἱ διὰ πίστεως τῆς εἰς Χριστὸν ἀνασεσωσμένοι. Πεπιστεύκασι γὰρ καὶ ἐκ τούτου οὐκ ὀλίγοι τὸν ἀριθμόν. Ὅτι δὲ ἀπολακτίσαντος τοῦ Ἰσραὴλ, τῆς εἰς αὐτοὺς οἰκειότητος ἀποπεφοίτηκε καὶ αὐτὸς ὁ τῶν ὅλων Θεὸς, ὑπέφηνεν, εἰπὼν, οὐ μόνον, ὅτι καὶ Ὑμεῖς οὐ λαός μου, προσεπαγαγὼν δὲ τούτοις ἀναγκαίως, τὸ, Καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν. Ἀλλ' ἡμῶν γε πέρι, τῶν ἐν Χριστῷ δεδικαωμένων, καὶ ἡγιασμένων ἐν Πνεύματι, καὶ τὴν πρὸς αὐτὸν οἰκειότητα πεπλουτηκότων, διὰ φωνῆς προφήτου φησί· « Καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς υἱοὺς καὶ θυγατέρας,

ejus. Et Israel, et Ephraim infirmabuntur in iniquitatibus suis [87]. »

Vers. 8, 9. *Et ablactavit eam quæ Absque misericordia dicebatur. Et concepit adhuc, et peperit filium. Et dixit : Voca nomen ejus, Non populus meus. Quia vos non populus meus, et ego non sum vester.*

VI. Nascitur Gomer quasi evestigio nec ita multo post infans alius, quem Deus vocari jussit Non populus meus. Rei occasio mox solutione hujuscemodi exponitur: Vos enim, inquit, non populus meus, et ego non sum vester. Constare igitur etiam hinc potest, ad reprehensionem peccatorum, et ad certam correctionem contemptorum, errorequeabductorum hæc historice facta esse; imagines autem erant eorum, quæ Jerosolymitis olim eventura forent, Unigenito humanam naturam jam induto, **26** et pretiosæ crucis mortem pro nobis perpesso. Quod si ante spiritualia commemoranda sunt historica, dicimus, Israele ex Samaria ad montes Persarum et Medorum a Theglatphalasar, et Salmanasar Assyriorum regibus translato, qui remanserant, afflictorumque reliquias a nomine, ut populus Dei vocarentur, omnino degenerasse, quod iis studiis essent dediti, per quæ a Deo desciscerent. Neutiquam enim maxime detestando dæmonum cultui inhærere intermiserunt.

Ad veram autem rationem, et ad Christum quod attinet, aliter intelliges. Post sceleratam quippe multitudinem illam, et merito misericordiam non consecutam, quia Dominum interfecit, statim illorum filii post eos, aut qui jam erant filii fornicariæ Synagogæ, palam se ita gesserunt, ut populus Dei nec essent, nec nominarentur. Neque enim universam Judæorum nationem bellum a Romanis illatum absumpsit; sed maxima et innumerabili multitudine deleta, de ipsis servati, et qui mortis retia effugerant, ad omnes ventos, juxta Scripturam, dispersi, et per gentium regiones dissipati sunt [88], non amplius, ut dixi, populus Dei appellati. Transivit enim ad gentes gratia, quibus reliquiæ Israel permistæ sunt, hoc est, qui per fidem in Christum salvati sunt. Crediderunt enim etiam ex his non pauci numero. Repulsa autem familiaritate ejus ab Israel, abscessisse etiam ab eo universorum Deum, satis ostendit, cum dixit, non solum, Et vos non populus meus; sed etiam cum adjunxit, quod omnino sequebatur, Et ego non sum vester. De nobis autem in Christo justificatis et in Spiritu sanctificatis, et ejus conjunctione pollentibus, per os prophetæ dicit: « Et ego ero illis in Deum, et ipsi erunt mihi in filios et filias, dicit Dominus omnipotens [89]. » Ac Judæis quidem aiebat Christus, aliquando quidem:

[87] Osee. VII, 10. [88] Zach. II, 6. [89] Jer. XXXI, 1.

Digitized by Google

« Adhuc modicum tempus vobiscum sum [90] ; » aliquando autem : « Ecce relinquetur vobis domus vestra deserta [91]. » De conversis vero ex gentibus : « Oves meæ vocem meam audiunt, et ego cognosco eas, et sequuntur me, et ego vitam æternam do eis [92]. »

27 VERS. 10. *Et erit numerus filiorum Israel sicut arena maris, quæ non mensurabitur, neque numerabitur.*

VII. Hoc alio modo nobis explanat beatus Isaias. « Et si fuerit, inquit, populus Israel ut arena maris, reliquiæ eorum salvabuntur. Verbum enim consummans, et abbrevians in justitia, quia verbum abbreviatum faciet Dominus in toto mundo [93]. » Sed sive hunc in modum forte, sive aliter intelligi queat : nempe, quamvis multus et innumerabilis sit Israel, et arenis littoralibus comparandus, non tamen Deo admodum curæ sunt, quandoquidem impietati se dediderunt : contra, unum justum ac pium charitate sua et indulgentia eximie dignatur. Respicit igitur etiam « super unum humilem, et quietum, et trementem sermones ejus [94]. » Nec istud bonis, et mitibus, et timentibus enim, et sincere ipsi servientibus sufficit ; sed aliis etiam prodesse, et peccati in Deum reos impendente nonnunquam supplicio liberare possunt. Ad cujus rei probationem accipe quod de Sodomitis scribitur, quando omnipotens Deus ignis pœnam se illis condonaturum pollicebatur, si modo quinque justi inter illos invenirentur. Itaque Lot una cum uxore et filiabus servatus est [95]. Et quid dico quinque justos et bonos? quando et Jerosolymis iram intentans, « Discurrite, inquit, per vias Jerusalem, et videte, et cognoscite, et quærite in plateis ejus, et si inveneritis virum, si est faciens judicium, et quærens fidem, et propitius ero eis, dicit Dominus [96]. » Intelligis ergo quo pacto vel unum justum tuendum suscipiat, et pro tota civitate orantem non despiciat. Innumerabilem autem multitudinem non curat, ut dixi, si videatur profana, et ad improbitatem declinet, et se dæmonum importunorum fallaciis involvi patiatur.

Et erit, in loco in quo dictum est illis, Non populus meus vos, vocabuntur et ipsi filii Dei viventis.

VIII. Vicinissima est iræ severissimæ rerum tristium depulsio, et calamitatum finis continenter spondetur. Aliquando enim abjectum ac repudiatum iri Israel diserte prænuntiavit, ut modo ostendimus : at non totum deletum iri, ac funditus periturum ; sed venturum tempus, quo ad veterem statum dignitatis revertantur, Deique charitatem recipiant, per fidem in Christum videlicet, **28** rursum certo pollicetur. Debebant enim, debebant prophetici sermones audituri totum mysterium

A λέγει Κύριος παντοκράτωρ. » Καὶ Ἰουδαίοις δὲ ἔφασκεν ὁ Χριστός· ποτὲ μὲν, ὅτι « Ἔτι μικρὸν χρόνον μεθ' ὑμῶν εἰμι,· » ποτὲ δὲ, « Ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν. » Περὶ τῶν ἐξ ἐθνῶν δὲ, « Τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ δίδωμι αὐτοῖς ζωὴν αἰώνιον. »

Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, ἡ οὐκ ἐκμετρηθήσεται, οὐδὲ ἐξαριθμηθήσεται.

Ε'. Τοῦτο καθ' ἕτερον ἡμῖν ἐξηγεῖται τρόπον ὁ μακάριος Ἡσαΐας, « Καὶ ἐὰν γένηται, φησὶ, ὁ λαὸς Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται. Λόγον γὰρ συντελῶν, καὶ συντέμνων ἐν δικαιοσύνῃ, ὅτι λόγον συντετμημένον ποιήσει ὁ Θεὸς, ἐν τῇ οἰκουμένῃ ὅλῃ. » Ἀλλ' εἴτ' οὖν ἴδοι τις νοεῖτο τυχὸν, εἴτε καὶ ἑτέρως· πολὺς καὶ ἀναρίθμητος ὁ Ἰσραὴλ, καὶ ψάμμοις ταῖς ἐναλίαις ἰσομέτρως ἔχων, οὐ πολὺς αὐτῶν παρὰ Θεῷ λόγος, δυσσεβεῖν ἠρημένων· καίτοι ἑνὸς δικαίου καὶ εὐσεβοῦς, καὶ ἀγάπης τῆς παρ' αὐτοῦ, καὶ φειδοῦς ἐκκρίτως ἠξιωμένου. Ἐπιβλέπει γοῦν, καὶ « ἐφ' ἕνα ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους αὐτοῦ. » Καὶ οὐκ ἀπόχρη τοῦτο τοῖς ἀγαθοῖς, καὶ ἐπιεικέσι, καὶ δεδιόσιν αὐτὸν, καὶ γνησίως δουλεύουσιν. Ἀλλὰ καὶ ἑτέρους εἰσὶν ὠφελεῖν οἷοί τε, καὶ προσκεκρουκότας ἀπαλλάττειν τῆς ἐπηρτημένης ἐσθ' ὅτε ποινῆς. Ἀδοὺς δ' ἂν εἰς ἀπόδειξιν τοῦ τοιοῦδε πράγματος τοὺς ἐπί γε Σοδομίταις λόγους, ὅτε καὶ ἀνήσειν αὐτοῖς ἐπηγγέλλετο τὴν διὰ πυρὸς δίκην ὁ πάντα ἰσχύων Θεὸς, πέντε μόνων ἐν αὐτοῖς δικαίων ηὑρημένων. Καὶ γοῦν ἐσώζετο Λὼτ, ὁμοῦ γυναικὶ καὶ τέκνοις. Καὶ τί πέντε λέγω δικαίους καὶ ἀγαθούς ; ὅπου καὶ τοῖς Ἱεροσολύμοις ὀργὴν ἐπαρτήσας, « Προδράμετε, φησὶ, ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε, καὶ γνῶτε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, καὶ ἐὰν εὑρητε ἄνδρα, εἰ ἔστι ποιῶν κρίμα, καὶ ζητῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει Κύριος. » Συνίης οὖν ὅπως καὶ ἑνὸς ἀντέχεται δικαίου, καὶ πόλεως ὅλης ὑπερευχόμενον οὐ περιορᾷ· ἀλλ' οὐδεὶς αὐτῷ λόγος καὶ ἀναριθμήτου πληθύος, ὡς ἔφην, εἰ ὀρῴτο βέβηλος, καὶ ἀπονεύσασα πρὸς τὸ φαῦλον, καὶ ταῖς τῶν δαιμονίων ἀπάταις ἀγρίως ἐνειλημμένη.

Καὶ ἔσται, ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, κληθήσονται καὶ αὐτοὶ υἱοὶ Θεοῦ ζῶντος.

Η'. Ἐγγὺς δὴ σφόδρα ταῖς ἀποτομωτάταις ὀργαῖς τῶν ἀνιαρῶν ἡ λύσις, καὶ τῶν σκυθρωπῶν τὸ πέρας, ὅσον ἥκει εἰς λόγους, οὐ μακράν. Ὅτι μὲν γὰρ ἔσται κατὰ καιροὺς ἀπόβλητος ὁ Ἰσραὴλ, προκατεμήνυκεν ἐναργῶς, διὰ τῶν ἀρτίως ἡμῖν εἰρημένων· ὅτι δὲ οὐκ εἰσάπαν οἰχήσεται, καὶ ἀπολεῖται παντελῶς, ἀλλ' ἔσται τις αὐτοῖς τῆς εἰς τὸ ἀρχαῖον ἀναδρομῆς ὁ καιρὸς, καὶ τῆς εἰς Θεὸν ἀγάπης ἀνάληψις, διὰ πίστεως δηλαδὴ τῆς εἰς Χριστὸν, πεπληροφόρηκε πάλιν. Ἔδει γὰρ, ἔδει τοὺς προφητικῶν

[90] Joan. VII, 33. [91] Matth. XXIII, 38. [92] Joan. X, 27, 28. [93] Isa. X, 22, 23. [94] Isa. LXVI, 2. [95] Gen. XIX, 15. [96] Jerem. V, 1.

Digitized by Google

μέλλοντας ἀκούσεσθαι λόγων, ὅλον εἰδέναι σαφῶς τὸ μυστήριον, καὶ τοὺς τῆς θείας οἰκονομίας μὴ ἀγνοῆσαι τρόπους. Ἔσται τοίνυν, φησὶν, ἐν τῷ τόπῳ οὗ ἐρρέθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, καὶ αὐτοὶ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος. Τὸ, « ἐν τῷ τόπῳ, » τί ἂν βούλοιτο δηλοῦν, φέρε λέγωμεν ἀκριβῶς. Γεγόνασι μὲν γὰρ οἱ ἐξ Ἰσραὴλ αἰχμάλωτοι κατὰ καιροὺς, καὶ εἰς τὴν τῶν Ἀσσυρίων ἀπεκομίσθησαν γῆν. Ἀλλ' ἦσαν ἐκεῖ κλαίοντες καὶ οἰμώζοντες περὶ τὸν νόμον, καὶ τοῦτο ἡμῖν ἐναργὲς ἐποίει λέγων ὁ μακάριος Δαβίδ· « Ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τὴν Σιών. » Ἔφη δὲ πάλιν· « Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; » Ἀλλ' ὑπονοστήσαντες εἰς Ἱεροσόλυμα, Θεοῦ κατοικτείροντος, οὐδὲν ἧττον ἦσάν τε καὶ ὠνομάζοντο λαὸς Θεοῦ, καὶ διετέλουν ἐν εὐημερίαις λατρεύοντες ἐλευθέρως, καὶ τὰς κατὰ νόμον τελοῦντες θυσίας. Οὐ γὰρ ἐξῆν ὅλως ἑτέροσε ἀποπληροῦν τὰ διωρισμένα, ἀλλ' ἐν μόνοις τοῖς Ἱεροσολύμοις, καὶ ἐν τῷ ναῷ, σαφῶς τοῦ διὰ Μωσέως παρεγγυῶντος νόμου· « Πρόσεχε σεαυτῷ, μὴ ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐκεῖ ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ, ἐκεῖ οἴσεις τὰ ὁλοκαυτώματά σου. » Οὐκοῦν ὑποστρέφοντες κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις, καὶ τὴν τῶν ἀλλοφύλων καταλιμπάνοντες γῆν, πάλιν ἐπλήρουν τὰ νενομισμένα διὰ Μωσέως, ἐχρημάτιζόν τε λαὸς Θεοῦ. Μετὰ δέ γε τὸν τοῦ Σωτῆρος σταυρὸν, καὶ τὴν γενομένην αὐτοῖς πολιορκίαν τε καὶ πόρθησιν, ἐν ταῖς τῶν ἐθνῶν πόλεσί τε καὶ χώραις πανοικὶ διεσπάρησαν. Πῶς οὖν ἔσονται κατὰ καιρὸν εἰς λαὸν Θεοῦ; Ἆρα δὴ πάλιν ἐν τοῖς Ἱεροσολύμοις ὑπονοστήσαντες, καὶ ἐν τῷ ναῷ συνηγερμένοι; ἦγουν ἐν ἐκείνοις ὄντες τοῖς τόποις, ἔνθαπερ εἶεν ἂν ἕκαστοι κατεσκευασμένοι; Τί φησιν ὁ προφήτης; Ἐν τῷ τόπῳ, οὗ ἐρρέθη αὐτοῖς, Οὐ λαός μου ὑμεῖς, καὶ αὐτοὶ κληθήσονται υἱοὶ Θεοῦ ζῶντος. Ἀπώλισθον μὲν γὰρ τοῦ εἶναι λαὸς Θεοῦ, καὶ ἐν ταῖς τῶν ἐθνῶν διεσπάρησαν χώραις, ὃ καὶ εἰς δεῦρο σωζόμενον κατίδοι τις ἄν. Ἀλλ' ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, « ὅταν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ, » τότε καὶ αὐτὸς ὁ ἀπόβλητος Ἰσραὴλ εἰς υἱοὺς παραδεχθήσεται Θεοῦ, καίτοι διατρίβων ἐν τόποις, ἔνθαπερ ἂν εἶεν καὶ εὑρίσκοιντο τυχόν. Τὸ γὰρ ἀναγκάζον οὐδὲν ἀναβαίνειν εἰς Ἱεροσόλυμα, καὶ τὸν ἐν λίθοις ἔτι ζητῆσαι ναόν. Ὅτι μηδὲ τοῖς ἀρχαίοις ἔθεσι τιμήσει Θεὸν, βουθυσίαις δὲ λέγω καὶ προβάτων σφαγαῖς, ἀλλ' ὁ τῆς λατρείας αὐτοῖς ἔσται τρόπος πίστις εἰς Χριστὸν, καὶ τὰ αὐτοῦ θεσπίσματα, καὶ ἁγιασμὸς ἀναγέννησις, τῆς υἱοθεσίας περιποιοῦσα τὴν δόξαν τοῖς αὐτοῖς ἁγίοις κεκλημένοις εἰς τοῦτο παρὰ Κυρίου.

A probe perspicueque cognoscere, et divinæ œconomiæ modos non ignorare. Erit igitur, inquit, in loco, ubi dictum est illis, Non populus meus vos, et ipsi vocabuntur filii Dei viventis. Illud, « in loco, » quid sibi velit, age enucleemus. Fuerunt enim Israelitæ aliquando captivi facti, et in Assyriam translati, ubi flebant et lamentabantur in pratis, id quod nobis manifeste indicat beatus David : « Super flumen Babylonis illic sedimus et flevimus, dum recordaremur tui, Sion [97]. » Et iterum · « Quomodo cantabimus canticum Domini in terra aliena [98]? » Verum Deo miserante Jerosolymam reversi, æque ut olim erant et vocabantur populus Dei, in continua felicitate vivebant, libere Deum colentes, legitimaque sacrificia peragentes. B Non enim alibi uspiam, præterquam Jerosolymis et in templo constituta præstare licebat, lege per Moysen planis verbis hortante : « Attende tibi, ne offeras holocautomata tua, nisi in loco quem elegerit Dominus Deus tuus, ut ibi invocetur nomen ejus. Eo conferes holocausta tua [99]. » Unde tempore suo, alienigenarum regione relicta, Jerosolymam reversi, rursus per Moysen sancita factitabant, et populus Dei vocabantur. Post crucem autem Salvatoris nostri, obsidionemque et eversionem, per gentium urbes atque provincias totis cum familiis dispersi sunt. Quomodo igitur erunt aliquando populus Dei? Num Jerosolymam denuo reversi, et in templo congregati? an versantes in C illis locis, in quæ singuli dispersi fuerint? Quid ait propheta? In loco, ubi dictum est illis, Non populus meus vos, et ipsi vocabuntur filii Dei viventis. Deciderunt enim de gradu, in quo erant populus Dei, et per gentium terras dispersi sunt, quod hucusque servatum animadverti potest. Cæterum extremis sæculi temporibus, « quando plenitudo gentium intraverit [1], » tunc sane tunc et ipse abjectus Israel in filios Dei cooptabitur, quanquam commorans in locis ubi vixerit et inventus forte fuerit. Nihil enim coget ascendere Jerosolymam, et lapideum adhuc templum quærere. Quoniam neque moribus veteribus colet Deum, 29 boum, inquam, sacrificiis et ovium mactationibus; verum modus religionis ipsorum erit fides in D Christum, et ejus divina mandata, et sanctificatio in Spiritu, et per sacrum baptisma regeneratio, adoptionis filiorum gloriam sanctis ipsis ad hoc a Deo vocatis concilians.

Καὶ συναχθήσονται υἱοὶ Ἰούδα, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπὶτοαυτὸ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν, καὶ ἀναβήσονται ἐκ τῆς γῆς, ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραέλ.

Vers. 11. *Et congregabuntur filii Juda, et filii Israel simul, et ponent sibi principatum unum, et ascendent de terra, quoniam magnus dies Jezrael.*

Θ'. Καὶ τούτοις πέρας ἐκβεβηκὸς εὑρήσομεν ἱστορικῶς τε καὶ πνευματικῶς. Ἦσαν μὲν γὰρ ἐν τοῖς ὁρίοις Περσῶν τε καὶ Μήδων οἵ τε ἐκ τῆς Σαμαρείας

IX. Et hæc evenisse historice et spiritualiter constat. Erant enim in finibus Persarum et Medorum quique e Samaria bello capti fuerant, hoc est,

[97] Psal. CXXXVI, 1. [98] ibid. 4. [99] Deut. XII, 6. [1] Rom. XI, 25.

Digitized by Google

Israel, quique ex Jerosolymis, hoc est, Judas et Benjamin. At postquam Cyrus Cambysæ filius, Babylone subacta, Persarum imperium adeptus, libertate Israel et Judam donavit, domumque redire una cum vasis sacris jussit, Jerosolymam venerunt, nec jam dispersi habitarunt, sicut antequam captivi abducerentur; nec utrique sua regna habuerunt. Omnes quippe concorditer solam Jerusalem incolebant, duce ac principe tunc Zorobabele, Salathielis filio, qui erat de tribu Juda, et sacerdotio summo fungente Jesu filio Josedech, quando et templum divinum instaurabant, et rem familiarem sedulo curabant. Inquit igitur : Congregabuntur filii Juda et filii Jerusalem simul, et constituent sibi principatum unum, et ascendent de terra; ut alienigenarum regionem intelligas, in quam captivi abducti sunt. Jam illud, quia magnus dies Jezrael, cum historia non consentit. Itaque ibi dicimus Israelem vocatum iri populum Dei, quamvis propter impietatem longe maximam vocatus sit Non populus, ut jam docuimus. Tunc congregabuntur ipsi, et filii Juda, hoc est, omnis deinceps in extremis temporibus Judæorum inventa multitudo. Et omnes sub uno principatu erunt, hoc est, Christi. Tale quid etiam per Ezechielem prænuntiavit universorum Deus, de Christo dicens : « Et suscitabo super eos pastorem unum, et pascet eos, et servum meum David, et erit eorum pastor [3]. » David appellat ex semine David Christum natum secundum carnem. Quare vocato jam gentium grege, tandem Israel introducetur, et unum principatum omnes agnoscent. **30** Et ascendent de terra, inquit. Quod recte intelligentibus, opinor, significat aut qui jugum Salvatoris admiserunt, de cætero omnimodis desituros terrena sapere, et prudentia carnis superiores fore, (tales enim omnes, qui Christo se subjecerunt; et fidem faciet beatus David : « Quia Dei fortes terræ vehementer elevati sunt [3]; » quin et Paulus : « Qui autem sunt Christi Jesu, carnem suam crucifixerunt cum vitiis et concupiscentiis [4];») aut certe et ipsos resurrectione mortuorum potituros. Dixit enim alicubi etiam Christus : « Amen dico vobis, quia omnis qui credit in me, etiamsi mortuus fuerit, vivet [5]. » Quod si coactus ita objicias : At enim non credentes, dic mihi, manebunt mortui, nec cum aliis ascendent? ipse Salvator, quid amplius habituri sint, qui crediderunt, nobis demonstravit, ita loquens : « Fur non venit nisi ut furetur, et perdat. Ego veni ut vitam habeant, et abundantius habeant [6]. » Quamobrem resurgent quidem omnes, probi et improbi; sed non omnes habebunt illud « abundantius. » Qui enim non sunt Christi, quos infidelitatis sceleribus involutos esse constat, in extremis vitam morte duriorem habebunt. Rationem enim et commissorum et infidelitatis reddent. Qui autem sunt ejus, quique spirituali cum Deo amicitia locupletati sunt, et morum in-

δορύληπτοι γεγονότες, τουτέστιν, ὁ Ἰσραὴλ, καὶ αὐτοὶ δὲ πρὸς τούτοις, οἱ ἐκ τῆς Ἱερουσαλὴμ, τουτέστιν Ἰούδας καὶ Βενιαμίν. Ἐπειδὴ δὲ Κῦρος ὁ Καμβύσου τὴν Βαβυλῶνα ἑλὼν, καὶ τὸ Περσῶν κράτος εἰς ἑαυτὸν μεταστήσας, ἀνῆκε τῆς αἰχμαλωσίας τόν τε Ἰσραὴλ καὶ τὸν Ἰούδαν, οἵκοι τε ἰέναι προστέταχεν ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς, ἀφίκοντο μὲν εἰς Ἱεροσόλυμα, κατῳκήσασι δὲ λοιπὸν οὐκ ἔτι διῃρημένως, καθὰ καὶ πρὸ τῆς αἰχμαλωσίας· οὔτε μὴν ἰδίους ἕκαστοι βασιλέας ἐσχήκασι. Διῆγον δὲ πάντες ἐν ὁμοψυχίᾳ κατὰ μόνην τὴν Ἱερουσαλὴμ, ἡγουμένου τὰ τηνικάδε Ζοροβάβελ τοῦ Σαλαθιὴλ, ὃς ἦν ἐκ φυλῆς Ἰούδα, καὶ ἱερατεύοντος Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ μεγάλου, ὅτε καὶ τὸν θεῖον ἀνεδείμαντο ναὸν, καὶ τῶν εἰς τὸν οἶκον εἴχοντο σπουδασμάτων. Συναχθήσονται τοίνυν, φησὶν, οἱ υἱοὶ Ἰούδα, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπιτοαυτὸ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν, καὶ ἀναβήσονται ἐκ τῆς γῆς. Ἵνα τὴν τῶν ἀλλοφύλων ἐννοῇς, εἰς ἣν καὶ ἀπεκομίσθησαν αἰχμάλωτοι γεγονότες. Τὸ δὲ, ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραὲλ, τῷ τῆς ἱστορίας οὐχ ἁρμόζει λόγῳ. Οὐκοῦν ἐκεῖ φαμεν ὅτι κεκλήσεται λαὸς Θεοῦ ὁ Ἰσραὴλ, καίτοι διὰ πλείστην ὅσην δυσσέβειαν ὠνομασμένος Οὐ λαὸς, καθάπερ ἤδη προείπομεν. Τότε συναχθήσονται αὐτοί τε καὶ οἱ υἱοὶ Ἰούδα, τουτέστι, πᾶσα λοιπὸν ἡ ἐν ἐσχάτοις καιροῖς τῶν Ἰουδαίων εὑρισκομένη πληθύς. Καὶ ὑπὸ μίαν ἔσονται πάντες ἀρχὴν, τουτέστι, Χριστόν. Καίτοι τοιοῦταν δὲ διὰ φωνῆς Ἰεζεχιὴλ προαναπεφώνηκε λέγων ὁ τῶν ὅλων Θεὸς περὶ Χριστοῦ· « Καὶ ἀναστήσω ἐπ' αὐτοὺς ποιμένα ἕνα, καὶ ποιμανεῖ αὐτοὺς, τὸν δοῦλόν μου Δαβὶδ, καὶ ἔσται αὐτῶν ποιμήν. » Ὀνομάζει δὲ Δαβὶδ τὸν ἐκ σπέρματος Δαβὶδ γεγονότα κατὰ σάρκα Χριστόν. Οὐκοῦν κεκλημένης ἤδη τῆς τῶν ἐθνῶν ἀγέλης, εἰσκομισθήσεται τελευταῖος ὁ Ἰσραὴλ, καὶ ὑπὸ μίαν ἔσονται πάντες ἀρχήν. Καὶ ἀναβήσονται, φησὶν, ἐκ τῆς γῆς. Δηλοῖ δὲ, οἶμαι, τουτὶ τοῖς νοοῦσιν ὀρθῶς, ἢ ὅτι πάντη τε καὶ πάντως ἐς τὸν τοῦ Σωτῆρος προσηκάμενοι ζυγὸν, ἀποστήσονται λοιπὸν τοῦ φρονεῖν τὰ ἐπὶ τῆς γῆς, καὶ ἀμείνους ἔσονται φρονήματος σαρκικοῦ, (τοιοῦτοι γὰρ πάντες οἱ ὑπὸ Χριστῷ γεγονότες, καὶ πιστώσεται λέγων ὁ μακάριος Δαβὶδ· « Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ, τῆς γῆς σφόδρα ἐπῆρθησαν, » καὶ μὴν καὶ ὁ Παῦλος· « Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις· ») ἤγουν, ὅτι τεύξονται καὶ αὐτοὶ τῆς ἀναστάσεως τῶν νεκρῶν. Ἔφη γάρ που καὶ ὁ Χριστός· « Ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ πιστεύων εἰς ἐμὲ, κἂν ἀποθάνῃ, ζήσεται. » Καίτοι πῶς οὐκ ἀναγκαῖον εἰπεῖν, Οἱ γὰρ μὴ πιστεύοντες, εἰπέ μοι, μενοῦσι νεκροὶ, οὐκ ἀναβήσονται δὲ τοῖς ἄλλοις ὁμοῦ; Ποῖον οὖν ἄρα τοῖς πεπιστευκόσι τὸ περιττὸν, αὐτὸς ἡμῖν ὑπέδειξεν ὁ Σωτὴρ, οὕτω λέγων· « Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. » Οὐκοῦν ἀναστήσονται μὲν ἅπαντες, πονηροί τε καὶ ἀγαθοὶ, ἀλλ' οὐ πάντες ἔχουσι « τὸ περιττόν. » Οἱ μὲν γὰρ

[3] Ezech. xxxiv, 23. [3] Psal. xlvi, 10. [4] Galat. v, 24. [5] Joan. xi, 25. [6] Joan. x, 10.

Digitized by Google

οὐκ ὄντες Χριστοῦ, διὰ τὸ τοῖς τῆς ἀπειθείας ἐγκλήμασιν ἐνειλημμένους ὁρᾶσθαι, θανάτου χαλεπωτέραν τὴν ἐν τελευταίοις ἕξουσι ζωήν. Ἀποτίσουσι γὰρ λόγους καὶ τῶν ἐπταισμένων καὶ τῆς ἀπειθείας. Οἱ δέ γε ὄντες αὐτοῦ, καὶ ὅσοι τοῦ πνεύματος οἰκειότητα τὴν πρὸς Θεὸν πεπλουτηκότες, καὶ ἀγαθοὶ τοὺς τρόπους, πρὸς τῇ ἀναστάσει τῇ κοινῇ, καὶ τῷ παλινδρομῆσαι πρὸς ζωήν, πάντη τε καὶ πάντως ἕξουσι τὰ ἑπόμενα, τουτέστι, τὰ δῶρα, τὰς τιμάς, τοὺς στεφάνους, τὰς ἀμοιβάς, τὴν λαμπρότητα. Καὶ μαρτυρήσει λέγων ὁ Παῦλος, « Ἰδοὺ μυστήριον ὑμῖν λέγω· Πάντες μὲν οὐ κοιμηθησόμεθα· οἱ πάντες δὲ ἀλλαγησόμεθα, ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. » Ἀναβήσονται τοίνυν, φησὶ, ἀπὸ τῆς γῆς, τουτέστι, τὴν τῶν ἁγίων καὶ αὐτοὶ ζήσονται ζωήν, ὅτι μεγάλη ἡ ἡμέρα τοῦ Ἰεζραέλ. Μεγάλη γὰρ ὄντως ἡ ἡμέρα Χριστοῦ, καθ' ἣν ἅπαντας ἐγερεῖ τοὺς νεκρούς. Καὶ καταβήσεται μὲν ἐξ οὐρανοῦ, καθίσει δὲ ἐπὶ θρόνου δόξης αὐτοῦ. « Καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Εἰ δὲ δή βούλοιτό τις ἡμέραν νοεῖν τὸν τῆς ἐπιδημίας καιρὸν, καθ' ὃν ἡ ἄφεσις τῶν ἡμαρτημένων δέδοτο παρὰ Χριστοῦ Ἕλλησί τε καὶ Ἰουδαίοις, καὶ τοῖς εἰς αὐτὸν πεπλημμεληκόσι, κατευθὺ καὶ οὗτος τῶν τῆς ἀληθείας βραδιεῖται λόγων. Οὕτω καὶ ὁ Δαβὶδ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὸν καιρὸν ὑποφαίνει λέγων· « Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. »

A tegritate præstant, præter communem resurrectionem et reditum in vitam, plane habebunt quæ consequuntur, hoc est, dona, honores, coronas, remunerationes, claritatem, quod Paulus testificatur : « Ecce mysterium ego vobis dico : Omnes quidem non dormiemus, omnes autem immutabimur, in momento, in ictu oculi, in novissima tuba : canet enim tuba, et mortui resurgent incorrupti, et nos immutabimur [7]. » Inquit igitur : Ascendent de terra, hoc est, sanctorum vitam et ipsi vivent, quia magnus dies Jezrael. Magnus enim revera dies Christi, quo omnes vita functos excitabit. Et descendet quidem de cœlo, sedebit autem super throno gloriæ suæ, « et reddet unicuique juxta opera sua [8]. » Quod si quis per diem intelligere B malit tempus adventus, quo remissio peccatorum tributa est a Christo Græcis et Judæis, et qui in ipsum peccaverunt, etiam hic a via veritatis non aberrabit. Nam et David sic de tempore adventus loquens ait : « Hæc dies, quam fecit Dominus, exsultemus et lætemur in ea. [9] »

ΚΕΦΑΛ. Β'.

Εἴπατε τῷ ἀδελφῷ ὑμῶν, Λαός μου, καὶ τῇ ἀδελφῇ ὑμῶν, Ἠλεημένη.

Γ'. Ἀναγκαίως σφόδρα τοῖς ἤδη προειρημένοις ἐπιφέρει καὶ ταῦτα. Ἐπειδὴ γὰρ εἴρηκεν, ὡς ὑπὸ μίαν ἔσονται πάντες ἀρχὴν, οὐδενὸς ἔτι διατειχίζοντος ἢ διατέμνοντος εἰς διχόνοιαν, κρατούσης δὲ μᾶλλον ὁμοψυχίας, καὶ εἰς ἑνότητα τὴν ἐν πνεύματι συλλεγούσης ἅπαντας τῆς εἰς Χριστὸν πίστεως, λοιπὸν ἀναγκαίως τὸ πνεῦμα προστέταχε τοῖς ἤδη τὴν πίστιν πεπλουτηκόσι, καὶ γεγονόσιν ὑπὸ Χριστῷ, μηκέτι τὴν πρὸς ἐκείνους εἰρήνην ἀποσείεσθαι φιλεῖν, οἳ δικαίως κέκληντο Λαός μου, καὶ Ἠλεημένη. Εἰσδεδεγμένου γὰρ ἅπαξ τοῦ Ἰσραὴλ, καὶ νομισαμένου τὴν ἄφεσιν, καὶ γεγονότος ὑπὸ Χριστῷ, πῶς ἦν ἀκόλουθον διχονοεῖν ἔτι, καὶ οὐχὶ δὴ μᾶλλον ἐν ὁμονοίᾳ διατελεῖν τοὺς ἑνὶ τῷ τῆς υἱοθεσίας πνεύματι κεκλημένους εἰς ἀδελφότητα; Ὦ τοίνυν, φησὶν, οἱ πίστει τῇ εἰς Χριστὸν ἐκλελαμπρυσμένοι, καὶ τὰ τῆς γνησιότητος λαχόντες αὐχήματα, τῷ ἀδελφῷ ὑμῶν, τῷ πάλαι δικαίως Οὐ λαός μου κεκλημένῳ, λέγετε λοιπὸν τὸ, Λαός μου· καὶ τῇ ἀδελφῇ ὑμῶν, τῇ Οὐκ ἠλεημένῃ, λέγετε τὸ, Ἠλεημένη. Καὶ γάρ ἐστιν ἀναγκαῖον, σύμφρονας τῷ Δεσπότῃ τοὺς ὑπὸ χεῖρα φαίνεσθαι λαοὺς, καὶ ταὐτὰ βούλεσθαι τῷ πατρὶ, τοὺς εἰς ἑνότητα κεκλημένους διὰ τῆς χάριτος· ἥδεσθαί τε μᾶλλον, ὅτι σέσωσται τὸ κατάλειμμα τῶν ἐξ Ἰσραὴλ, καὶ οἱ πάλαι διὰ πολλὴν ἀπείθειαν ἀπερριμμένοι νῦν γεγόνασι δεκτοὶ, καὶ ἡγιασμένοι λοιπὸν ἐν Χριστῷ, δι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

31 CAP. II.

C VERS. 1. *Dicite fratri vestro, Populus meus, et sorori vestræ, Misericordiam consecuta.*

X. Dictis ista subjicere omnino oportuit. Postquam enim dixit, sub uno principatu omnes futuros, nemine in posterum ad discordiam dirimente ac divellente, potius animorum consensione dominante, et ad unionem in spiritu fidei in Christum omnes colligente, de cætero necessario spiritus jussit, fide jam præditos, et sub Christum subjunctos, non amplius studium pacis erga illos repellere, qui jure vocati sint populus meus, et misericordiam consecuta. Postquam enim semel Israel susceptus est, remissionemque impetravit, et ad Christum se adjunxit, quo pacto adhuc dissidere, et non potius in concordia perstare, in uno spiritu adoptionis filiorum Dei ad fraternitatem vocatos D consentaneum fuit? Inquit ergo : O qui fide in Christum illuminati germanorumque filiorum gloriam sortiti estis, fratri vestro, qui quondam merito, Non populus meus, vocabatur, dicite tandem : Populus meus; et sorori vestræ, quæ Non misericordiam consecuta, dicite : Misericordiam consecuta. Subjecti enim cum Domino sententiis congruere videantur necesse est, et eadem velle quæ pater, ii, qui in unitatem filiorum per gratiam vocati sunt; et lætari magis, salvatas esse reliquias Israel, et qui olim propter magnam incredulitatem rejecti fuerant, nunc admissos, et de cætero sanctificatos esse in Christo, per quem, et cum quo Deo et Patri gloria, cum sancto Spiritu in sæcula sæculorum. Amen.

[7] I Cor. xv, 51, 52. [8] Matth. xvi, 27. [9] Psal. cxvii, 24.

Digitized by Google

TOMUS SECUNDUS.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

VERS. 2. *Litigate cum matre vestra, litigate, quia ipsa non uxor mea, et ego non vir ejus.*

XI. Cum prius dixisset, rejectum iri Israel, nec immerito, et insuper vocatum iri non populum, quinetiam multitudinem Domini interfectricem fore omnino absque misericordia, et jure optimo ; deinde statim subjunxisset, ultimis sæculi temporibus futuram conversionem per fidem in Christum, cum diceret : « Et congregabuntur filii Juda, et filii Israel simul, et constituent sibi principatum unum [10], » totamque a principio usque ad finem œconomiam enarrasset : transit jam in his ad detegenda crimina eorum, **32** qui juste rejecti fuerunt, et quorum causa ea pati ipsos contigerit, in medium perspicue adducit. Proinde ait ad misericordiam consecutos, et receptos, et populum Dei factos, nihilominus ex Synagoga tanquam ex fornicaria quadam natos, Litigate cum matre vestra, litigate. Si enim causam vultis nosse, inquit, quare Non populus meus, et Absque misericordia fueritis et vocati sitis ante conversionem, non me in vos inclementem et ab amore vestri abhorrentem invenietis. Litigate autem cum matre vestra, quoniam germanam erga me charitatem non servavit, et familiaritatem abnegavit, et puritatem spiritualis mecum communionis minimi duxit, nec voluit voluntatum mearum fructus parere. Ipsa non fuit uxor mea, et ego deinceps non vir ejus. Non illa vos mihi, sed aliis peperit. Certe enim agnovissem meos. Non est tardus ad miserendum natura pater ; at in prolem non legitimam cunctantior ejus lenitas. Atque ista forsitan tanquam ex persona Dei dicuntur. Cogitabit quispiam et animo volvet rursum, idque non male, Synagoga ad defectionem a Deo conversa, et dæmonum cultu suscepto, et illis tantum non meretricis instar cruribus divaricatis, natos ex ea neque sincere atque constanter Deum amasse, neque bonis moribus fuisse ; quin potius parentum moribus educatos, sine pudore Deo displicentia factitasse, partim Baal et vitulis aureis sacrificantes, partim etiam in omne genus impuritatis per præceps abeuntes. Justissime autem matrem suam accusabunt magis, quam virtutis amantem vereque castissimum Dominum, qui fornicatione contaminatam contubernalem pati refugit. Est porro modus fornicationis spiritualis plane, quamvis ut de corporea sermo habeatur.

Κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρίθητε, ὅτι αὕτη οὐ γυνή μου, καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς.

ΙΑ'. Προειρηκὼς, ὅτι καὶ ἀπόβλητος ἔσται δικαίως ὁ Ἰσραὴλ, κεκλῆσεται δὲ πρὸς τούτῳ καὶ οὐ λαός· καὶ μὴν ὅτι καὶ ἡ πληθὺς ἡ κυριοκτόνος ἔσται δήπου πάντως οὐκ ἠλεημένη, καὶ σφόδρα εἰκότως· εἶτα τούτοις ἐπενεγκὼν, καὶ οὐκ εἰς μακρὰν, τὴν ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐσομένην ἐπιστροφὴν διὰ πίστεως εἰς Χριστὸν, διά γε τοῦ φάναι, « Καὶ συναχθήσονται οἱ υἱοὶ Ἰούδα, καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπιτοαυτὸ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν, » ἅπασάν τε ἀπ' ἀρχῆς μέχρι τέλους τὴν οἰκονομίαν ἀφηγησάμενος, μέτεισι λοιπὸν ἐν τούτοις ἐπὶ τὸ γυμνοῦν τὰ ἐγκλήματα τῶν ὁσίως ἀποβεβλημένων, καὶ τὰ ἐφ' οἷς αὐτοὺς ἐκεῖνα παθεῖν συμβέβηκεν, εἰς μέσον ἄγει σαφῶς. Τοίγαρτοί φησι πρὸς τοὺς ἠλεημένους μὲν, καὶ εἰσδεδεγμένους, καὶ εἰς λαὸν γεγονότας Θεοῦ, πλὴν οἷά τινος πόρνης ἐκπεφυκότας τῆς Συναγωγῆς, Κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρίθητε. Εἰ γὰρ δὴ βούλεσθε, φησὶν, ἀναμαθεῖν τὰς αἰτίας, ἐφ' αἷς οὐ λαός μου, καὶ οὐκ ἠλεημένη γεγόνατέ τε καὶ κέκλησθε κατά γε τοὺς χρόνους τοὺς πρὸ τῆς ἐπιστροφῆς, οὐκ ἐμὲ γεγονότα περὶ ὑμᾶς ἀπηνῆ καὶ ὀλίγωρον εἰς φιλοστοργίαν εὑρήσετε. Κρίθητε δὲ πρὸς τὴν ἑαυτῶν μητέρα, ὅτι μὴ σέσωκεν ἀγάπης τῆς εἰς ἐμὲ τὸ γνήσιον, ἠρνήσατο δὲ τὴν οἰκειότητα, καὶ ὀλίγου που παντελῶς ἠξίωσε λόγου τῆς πρὸς ἐμὲ πνευματικῆς κοινωνίας τὴν καθαρότητα, οὐκ ἠθέλησέ τε τοὺς τῶν ἐμῶν θελημάτων ὠδίνειν καρπούς. Αὕτη γέγονεν οὐ γυνή μου, κἀγὼ διὰ τοῦτο λοιπὸν οὐκ ἀνὴρ αὐτῆς. Οὐκ ἐμοὶ τέτοκεν ὑμᾶς, ἀλλ' ἑτέροις. Ἤ γὰρ ἂν ἐπέγνων τοὺς ἐμούς. Οὐ βραδὺς εἰς ἔλεον ὁ φύσει πατήρ· ὀκνεῖ δὲ εἶναι χρηστὸς ἐπὶ νόθῃ γονῇ. Καὶ ταῦτα μὲν ἴσως φαίη τις ἂν ὡς ἐκ προσώπου τοῦ Θεοῦ. Λογιεῖται δὲ αὖ καὶ περινοήσει καλῶς, ὅτι τετραμμένης τῆς Συναγωγῆς εἰς ἀποστασίαν τὴν ἀπὸ Θεοῦ, καὶ τὴν τῶν δαιμόνων λατρείαν ἀνῃρημένης, μόνον δὲ οὐχὶ πόρνης δίκην ἁπλούστης αὐτοῖς τὰ σκέλη, γεγόνασιν οἱ ἐξ αὐτῆς οὔτε φιλόθεοι καθαρῶς καὶ ἐρηρεισμένως, οὔτε μὴν ἐπιεικεῖς τοὺς τρόπους· ἐντεθραμμένοι δὲ μᾶλλον τοῖς ἤθεσι τῶν γεγεννηκότων, ἀφυλάκτως ἤεσαν ἐπὶ τὰ λυποῦντα Θεόν· τοῦτο μὲν θύοντες τῷ Βάαλ, καὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς, τοῦτο δὲ καὶ εἰς πᾶν εἶδος ἀκαθαρσίας ἀπερισκέπτως διάττοντες. Αἰτιάσονται δὲ, καὶ σφόδρα εἰκότως, τὴν ἑαυτῶν μητέρα, καὶ οὐχὶ δὴ μᾶλλον τὸν φιλάρετόν τε καὶ πάναγνον ἀληθῶς Δεσπότην, ὃς σύνοικον ἔχειν οὐκ ἀξιοῖ τὴν πεπορνευμένην. Νοητῶς δὲ πάντως τῆς πορνείας ὁ τρόπος, κἂν εἰ λαλοῖτο σωματικῶς.

VERS. 3. *Et auferam fornicationem ejus a facie mea, et adulterium ejus de medio uberum illius, ut exuam eam nudam, et restituam eam sicut dies nativitatis ejus.*

Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου, καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς, ὅπως ἂν ἐκδύσω αὐτὴν γυμνὴν, καὶ ἀποκαταστήσω αὐτὴν καθὼς ἡμέραι γενέσεως αὐτῆς.

[10] IV Reg. XIX, 21.

Digitized by Google

ΙΒ'. Τοῖς ἀπὸ γνώμης ἰδίας οὐκ ἐπιστρέφουσι πρὸς Θεὸν, οὔτε μὴν ἀνεχομένοις τὰ αὐτῷ δοκοῦντα πληροῦν, ἀλλὰ τοῖς, οὐκ οἶδ' ὅπως, τετιμημένης αὐτοῖς φαυλότητος ἀπριξ ἡμμένοις, ποινὴ καὶ κόλασις ἐπινοεῖται. Τίς; Ἐφ' ὅπερ ἦν ἄμεινον ἐξ ἰδίας φέρεσθαι γνώμης, ἐπ' αὐτὸ δὴ τοῦτο μετατεθῆναι λοιπὸν, ὡς ἐξ ἀνάγκης, καὶ φόβου. Ὅνπερ γὰρ τρόπον τῶν ἐν τοῖς σώμασι τραυμάτων τὰ δυσχερῆ καὶ δυσμεταχείριστα, κἂν εἰ μὴ ταῖς τῶν φαρμάκων δυνάμεσιν εἴκοντα δέχοιντό τινα τὴν εἰς τὸ ἄμεινον μετατροπὴν, ἢ σιδήρῳ τέμνεται, ἢ τῶν ἰατρῶν ἐμπειρίας εἰς τοῦτον καλούσης τῆς ἐπικουρίας τὸν τρόπον, ἤγουν νικᾶται πυρί· οὕτω καὶ ἀνθρώπου ψυχὴ πολὺ διανεύουσα πρὸς ἀπόστασιν τὴν ἐξ ἀγαθῶν, κἂν εἰ μὴ ταῖς τῶν νουθετούντων εἴκοι φωναῖς, μήτε μὴν ἕλοιτο μεταφοιτᾷν ἐκ τῶν αἰσχιόνων ἐπὶ τὸ ἄμεινον, νικᾶται ταῖς δίκαις, καὶ τοῖς τῆς κολάσεως ἐναλοῦσα βρόχοις, ἀναγκαίαν ποιεῖται τὴν ἐπιστροφήν. Ὁποῖόν ἐστι τὸ διὰ φωνῆς Ἱερεμίου· « Πόνῳ καὶ μάστιγι παιδευθείσῃ, Ἱερουσαλήμ. » Ψάλλει δέ τι τοιοῦτον καὶ ὁ θεσπέσιος Δαβὶδ, περὶ τῶν ἡγαπηκότων τὸ πολὺ δὴ λίαν ἄγεσθαι πρὸς τὸ πλημμελεῖν· « Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρὸς σέ. » Τὰ γάρ τοι σκληρά τε καὶ ἀστοιχείωτα τῶν ἀλόγων ζώων χαλινοῖς περιτρέπουσιν εἰς τὸ εὖ ἔχειν δοκοῦν οἱ πωλοδαμνεῖν εἰωθότες· οὕτω καὶ Θεὸς χρησίμως προσφέρεται τοῖς φιλαμαρτήμοσιν. Οὐκοῦν συνεβούλευον μὲν τῇ Συναγωγῇ προφῆται καὶ δίκαιοι, τῆς τῶν εἰδώλων ἀποφοιτῆσαι λατρείας, καὶ τῆς οὐκ οἶδ' ὅθεν ἐξηυρημένης ἀποσχέσθαι πλάνης. Καὶ οὐ μέχρι τούτων· ἀλλὰ καὶ αὐτὸς ἠπείλει Θεὸς ἐπιθήσειν αὐτοῖς τὰ πάντων αἴσχιστα τῶν κακῶν, εἰ μὴ ἕλοιντο παλινδρομεῖν εἰς τὸ φρονεῖν τε, καὶ ὁρᾷν τὰ αὐτῷ δοκοῦντα, καὶ φίλα. Οἱ δὲ ἦσαν ἔτι δεινοί τε καὶ ἀτεράμονες καὶ τὴν διάνοιαν ἀκαμπεῖς. Ταύτῃτοι δορύληπτοι γεγονότες, εἰς Ἀσσυρίους καὶ Μήδους μακροὺς διατετελέκασι χρόνους. Ὑὸ γεγονότες, καὶ τῷ τῆς δουλείας κατηχθισμένοι ζυγῷ, ἔθυον μὲν ταῖς δαμάλεσιν οὐκέτι· πῶς γὰρ, ἢ πόθεν, οἱ δὲ ἦσαν ἐν ἀφύκτοις κακοῖς; ἀλλ' οὐδὲ αὐτὸν ἐπεκαλοῦντο τὸν Βάαλ, διετέλουν δὲ μᾶλλον τὰς ἑαυτῶν ἀνοιμώζοντες συμφοράς. Τοῦτό τοί φησιν ὁ τῶν ὅλων Δεσπότης· Καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου, καὶ τὴν μοιχείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς. Οἰχήσεται γὰρ αἰχμάλωτος, φησὶ, καὶ οὐκ ὄψομαι θύουσαν ἔτι τῷ Βάαλ, οὔτε ταῖς δαμάλεσι ταῖς χρυσαῖς ἔτι τελοῦσαν ὁλοκαυτώματα, καὶ ἐκ πολλῆς ἄγαν ἀγερωχίας μονονουχὶ καὶ ἀπογυμνοῦσαν τοῖς ἰδίοις ἐρασταῖς τοὺς μαστούς. Ἐφησθήσομαι δὲ μᾶλλον ἀλυούσῃ τε, καὶ ταλαιπωρουμένῃ, καὶ ἀνήκεστον ἐχούσῃ συμφοράν, ἐν γῇ οὐκ ἰδίᾳ, καὶ ὑπὸ δεινοῖς καὶ πικροῖς γεγενημένῃ δεσπόταις. Ἐποίσω δὲ ταῦτα, τῆς ἐμῆς; ἐπικουρίας ἀπογυμνώσας αὐτὴν, καὶ ἀσχήμονα καταλελοιπὼς, ὡς ἐν οἷς ἦν ἐν ἀρχαῖς ὁρᾶσθαι γεγενημένην, ὅτε τὸν τῆς Αἰγυπτίων πλεονεξίας ἀχθοφοροῦσα ζυγὸν, γυμνὴ διετέλει τῆς παρ' ἐμοῦ

XII. Qui a voluntate sua ad Deum se non convertunt, nec adduci possunt, ut quæ illi placent exsequantur, verum in flagitiis suis (quæ nescio quomodo suspiciunt) pertinaciter hærent, iis pœna suppliciumque proponitur. Quodnam illud? Ut ad quod se sponte sua accommodare **33** melius fuerat, ad hoc ipsum, tanquam ex necessitate et timore se transferant. Sicut enim vulnera corporum sanatu difficilia et intractabilia, nisi medicamentorum virtuti cedentia mutationem ad sanitatem admittant, aut ferro secantur, peritia medicorum hunc auxilii modum suadente, aut certe igni vincuntur, ita et hominis anima, ad desciscendum a probitate perquam prona, nisi vocibus admonentium locum reliquerit, et a turpitudine ad honestatem transire instituerit, pœnis vincitur, et supplicii laqueis implicata, velit nolit convertitur. Quale est quod apud Jeremiam legimus: « Dolore et flagello erudieris, Jerusalem [11]. » Simile quid psallit et beatus David de iis, quibus volupe est in peccata ruere: « In camo et freno maxillas eorum constringe, qui non approximant ad te [12]. » Asperas enim et adhuc rudes animantes pro arbitrio suo domitores frenis circumagunt; similiter peccatis deditos Deus ad eorum utilitatem tractat. Quocirca consilium dabant Synagogæ prophetæ et justi, uti se ab idolorum cultu removeret, et ab errore, nescio unde invento et introducto, se contineret. Neque hi tantum, sed etiam ipse Deus minabatur, fœdissimis eos se malis exagitaturum, nisi mutata mente, ad cogitanda et facienda quæ ipsi grata et amica essent, regrederentur. Illi vero adhuc asperi et indomiti, et animo præfracto erant. Quare bello capti apud Assyrios et Medos perdiu vixerunt. Ubi cum essent, et jugo servitutis gravarentur, vitulis illi quidem non amplius rem divinam faciebant (qui enim, aut unde facerent, qui malis premebantur inevitabilibus?), sed neque ipsius Baal opem implorabant; quin suas potius calamitates assiduo lamentabantur. Hoc igitur est, quod universorum Dominus ait: Auferam fornicationem ejus a facie mea, et adulterium ejus de medio uberum ejus. Abibit enim captiva, inquit, nec videbo in posterum sacrificantem Baal, nec vitulis aureis ultra offerentem holocausta, et præ multa superbia tantum non etiam amatoribus suis ubera nudantem. Lætabor potius super mœsta, et afflicta, et ærumnis circumventa gravissimis in terra non sua, ferocibusque et acerbis dominis serviente. **34** Inferam autem hæc privatæ auxiliis meis, et relictæ in turpitudine, ut videre liceat constitutam in iis, in quibus fuit a principio, quando jugum Ægyptiæ tyrannidis portans, gratia mea, et dilectione, et legali sapientia destituta manebat. Itaque velut retro regressa Synagoga, rursum fuit in quibus fuerat, medii temporis honore et gloria propter suam stultitiam multata. Hoc nos et ipse Salvator docebat, cum diceret: « Cum immundus spiritus

[11] Jer. VI, 8. [12] Psal. XXXI, 9.

Digitized by Google

exierit ab homine, ambulat per loca inaquosa, quærens requiem, et non invenit. Tunc dicit : Revertar in domum meam, unde exivi; et veniens invenit vacantem, scopis mundatam et ornatam. Tunc abit, et assumit septem alios spiritus nequiores se, et ingressi habitant ibi, et fiunt novissima hominis illius pejora prioribus. Sic erit generationi huic pessimæ [15]. » Adhuc enim in Ægypto commorantibus Israelitis spiritus nequam in ipsis, ut idololatris habitabat. Sed ejectus est postea; per Moysen enim ad cognitionem Dei vocati sunt. Postquam autem Dominum occiderunt, et mille se sceleribus obstrinxerunt, facta sunt illis novissima pejora prioribus, non uno tantum, sed grege dæmonum ipsos inhabitante. Anima enim cum cœlestis gratiæ munimentum abjecerit, facillime a Satana capietur. ἐκδέδληται μεταξύ· κέκληνται γὰρ εἰς θεογνωσίαν μυρίοις ἐγκλήμασιν ἔνοχοι, γέγονεν αὐτοῖς τὰ ἔσχατα ἔτι μόνου, κατοικούσης ἐν αὐτοῖς. Τῆς γὰρ οὐρανίου τε καὶ πάντως εὐάλωτος ἔσται τῷ Σατανᾷ.

A χάριτός τε καὶ ἀγάπης, καὶ σοφίας νομικῆς. Θὼκοῦν εἰς ὑποστροφὴν, καὶ ἀνόπιν ὥσπερ ἰοῦσα, πάλιν ἐν οἷς ἦν γέγονεν ἡ Συναγωγὴ, τὴν μεταξὺ τιμήν τε καὶ δόξαν ἐξ ἀμαθίας ζημιουμένη. Τοῦτο καὶ αὐτὸς ἡμᾶς ἐδίδασκεν ὁ Σωτὴρ, λέγων· « Ὅταν δὲ τὸ ἀκάθαρτον πνεῦμα ἐξέλθῃ ἀπὸ τοῦ ἀνθρώπου, διέρχεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει. Τότε λέγει, Ἐπιστρέψω εἰς τὸν οἶκόν μου ὅθεν ἐξῆλθον· καὶ ἐλθὸν εὑρίσκει σχολάζοντα, σεσαρωμένον, καὶ κεκοσμημένον. Τότε πορεύεται, καὶ παραλαμβάνει ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ· καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Οὕτως ἔσται τῇ γενεᾷ ταύτῃ τῇ πονηρᾷ. » Ἔτι μὲν γὰρ ἐν Αἰγύπτῳ διατρίβουσι τοῖς ἐξ Ἰσραὴλ, ἐνB ᾠκησεν ὡς εἰδωλολάτραις τὸ πνεῦμα τὸ πονηρὸν, ἀλλ' διὰ Μωσέως. Ἐπειδὴ δὲ γεγόνασι κυριοκτόνοι, καὶ χείρονα τῶν πρώτων, δαιμονίων ἀγέλης, οὐχ ἑνὸς χάριτος τὴν περιστολὴν ἀποβαλοῦσα ψυχὴ, πάντη

Vers. 4. *Et ponam eam in desertum, et statuam eam sicut terram sine aqua, et occidam illam in siti; et filiorum ejus non miserebor, quia filii fornicationis sunt; quia fornicata est mater ipsorum, et dedecoravit eos quæ peperit eos.*

XIII. Sterilem fore ait fornicatricem, aridam, spinas parientem, siticulosam et inaquosam, haud terrenis, credo, aquis spoliatam, sed superna cœlestique pinguedine, hoc est, erogatione donorum C per Spiritum, quæ in quamlibet animam sapientem ac bonam confert. Psallit enim quodam loco ad Dominum beatus David, et ait : « Filii autem hominum in tegmine alarum tuarum sperabunt. Inebriabuntur ab ubertate domus tuæ, et torrente voluptatis tuæ potabis eos, quoniam apud te est fons vitæ [16]. » Adeo autem veneranda, et larga erogatione digni censeri debent germani filii, qui cum integritate vixerunt, divinæque charitati nihil præposuerunt. Fornicariam autem inaquosam factam, et in siti **35** morituram affirmat. Atque hoc, ni fallor, est, quod per alios prophetas de ipsa dicitur. Quidam enim sic : « Ecce dies venient, dicit Dominus, et emittam famem super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Do-D mini. Et ab oriente usque ad occidentem circumcursabunt, quærentes verbum Domini, et non invenient [17]. » Et Jeremias, quasi ex persona Dei : « Dolore et flagello erudieris, Jerusalem, ne recedat anima mea a te, ne faciam te terram inviam, quæ non habitabitur [18]. » Unicuique enim nostrum, ut dixi, sermones per Spiritum immittit Deus, qui possunt alere animos ad vitam æternam, aut etiam per voces sanctorum sæpius pinguefacit. Cum fornicaria igitur matre filios una sine misericordia perituros dicit. Quam ob causam ? Quia filii fornicationis sunt. Nec sane dicimus materni peccati reum esse filium. Occurrit enim nobis, quod alicubi exstat apud Eze-

Καὶ θήσομαι αὐτὴν εἰς ἔρημον, καὶ τάξω αὐτὴν ὡς γῆν ἄνυδρον, καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει, καὶ τὰ τέκνα αὐτῆς οὐ μὴ ἐλεήσω, ὅτι τέκνα πορνείας ἐστίν· ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν, καὶ κατῃσχύνθη ἡ τεκοῦσα αὐτά.

ΙΓ'. Ἄκαρπον ἔσεσθαί φησι τὴν πεπορνευμένην, ξηρὰν καὶ ἀκανθοτόκον, διψάδα καὶ ἄνυδρον, οὐχ ὑδάτων τάχα που τῶν γηΐνων ἐστερημένην, ἀλλὰ τῆς ἄνωθεν ἐξ οὐρανοῦ πιότητος, τουτέστι, τῆς διὰ τοῦ Πνεύματος χορηγίας, ἣν ἑκάστῃ σοφῇ τε καὶ ἀγαθῇ διανέμει ψυχῇ. Ψάλλει γάρ που πρὸς Θεὸν, καί φησιν ὁ μακάριος Δαβίδ· « Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσι. Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου. Καὶ τὸν χειμάρρουν τῆς τρυφῆς σου ποτιεῖς αὐτοὺς, ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. » Ἄξιοι δὲ τῆς οὕτω σεπτῆς καὶ ἀμφιλαφοῦς χορηγίας εἶεν ἂν οἱ γνήσιοι, καὶ βεβιωκότες ὀρθῶς, καὶ ἀγάπης τῆς εἰς Θεὸν προθέντες οὐδέν. Τὴν δέ γε πεπορνευμένην ἄνυδρον γεγενῆσθαι, καὶ μὴν καὶ ἐν δίψῃ τεθνήξεσθαι λέγει· καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ διὰ φωνῆς ἑτέρων προφητῶν περὶ αὐτῆς εἰρημένον. Ὃ μὲν γὰρ ἔφασκεν, « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν· οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου· καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν περιδραμοῦνται, ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσιν. » Ἱερεμίας δὲ πάλιν ὡς ἐκ προσώπου τοῦ Θεοῦ· « Πόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλὴμ, μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσω σε ἄβατον γῆν, ἥτις οὐ κατοικηθήσεται. » Ἑκάστῳ γὰρ ἡμῶν, ὡς ἔφην, λόγους εἰς νοῦν τοὺς διὰ τοῦ Πνεύματος ἐνίησι Θεὸς, ἀποτρέφειν ἰσχύοντας εἰς ζωὴν αἰώνιον, ἢ καὶ διὰ φωνῆς ἁγίων καταπιαίνει πολλάκις. Συνδιολεῖσθαι δὴ οὖν τῇ πεπορνευμένῃ μητρὶ τὰ τέκνα δεῖν ἔφη, καὶ οἰκτιρμῶν δίχα. Διὰ ποίαν αἰτίαν; Ὅτι τέκνα πορνείας εἰσί. Καὶ οὐ δή που φαμὲν ὅτι τῆς μητρὸς πλημμελήμασιν ὑπόκειται

[15] Matth. XII, 43-45. [16] Psal. XXXV, 8-10. [17] Amos. VIII, 11, 12 [18] Jer. VI, 8.

Digitized by Google

τέκνον· βαδιεῖται γὰρ ἡμῖν ὅποι ποτὲ τὸ διὰ φωνῆς Ἰεζεχιήλ· « Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, οὐδὲ τέκνα ὑπὲρ πατέρων· ἕκαστος τῇ ἰδίᾳ ἁμαρτίᾳ ἀποθανεῖται. » Ἰστέον δὲ μᾶλλον, ὅτι κἂν ἐπινοῆται πρόσωπον πορνευούσης μητρὸς, ὡς ἐν τύπῳ τῆς Συναγωγῆς, ἀλλ' οὐδὲν ἧττον αὐτοὶ πάλιν ἂν εἶεν οἱ ἐξ αὐτῆς. Λέγων δὲ, ὅτι πορνείας εἰσὶ τέκνα, παρέδειξεν ἐναργῶς, ὅτι τοῖς τῆς νοητῆς πορνείας ἐγκλήμασιν ἔνοχοι καθεστήκασι, καὶ τοῦτο ἐξ αὐτῶν οἱονεὶ σπαργάνων καὶ μήτρας δεδυσσεβηκότες, καὶ οὐδὲ πώποτε τῶν εἰς εὐσέβειαν ἔργων ἁψάμενοι, ἀνεπιτήδευτον δὲ παντελῶς τὴν ἀρετὴν ἐσχηκότες, τὴν ἀνδάνουσαν τῷ Θεῷ τρίβον οὐ τετιμηκότες. Οὕτω καὶ ὁ Ψάλλων φησὶν, « Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας, ἐπλανήθησαν ἀπὸ γαστρὸς, ἐλάλησαν ψευδῆ· » καίτοι παντὸς εὐσεβοῦς, καὶ τοῖς τῆς δικαιοσύνης ἔργοις ἐντεθραμμένου, λαμπρῶς ἀναφωνεῖν δυναμένου πρὸς Θεὸν, « Ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ. » Ὥσπερ δὲ εἰσὶ φωτὸς, καὶ υἱοὶ ἡμέρας νοοῖντ' ἂν εἰκότως, οἱ ὡς ἐν φωτὶ καὶ ἡμέρᾳ πολιτευόμενοι λαμπρῶς τε καὶ εὐσχημόνως· οὕτω κἂν εἰ λέγοιντο πορνείας τέκνα τινὲς, τοὺς ὡς ἐν πορνείῳ, καὶ τῇ λίαν ἐκτοπωτάτῃ ζωῇ νοήσεις πάλιν, οὓς κατοικτείρειν οὐκ ἀξιοῖ, « διότι πεπόρνευκεν ἡ μήτηρ αὐτῶν, κατῃσχυνεν ἡ τεκοῦσα αὐτά. » Κατῃσχυνε δὲ ἑαυτὴν δηλονότι, καὶ τὰ ἐξ αὐτῆς ἀναφύντα τέκνα. Ὥσπερ γάρ ἐστιν ἐν αὐχήμασι τοῖς εἰς ἀρετὴν ὁ δίκαιος· οὕτως ἐν αἰσχύνῃ, καὶ ἐντροπῇ πᾶς δυσσεβής.

A chielem : « Non morientur patres pro filiis, neque filii pro patribus ; unusquisque in peccato suo morietur [17]. » Tenendum potius, quamvis excogitata sit persona fornicantis matris, ut typus quidam Synagogæ, nihilominus æque fornicarios esse, qui ex ea exstiterunt. Cum autem dicit esse filios fornicationis, manifeste ostendit, fornicationis quæ intelligentia percipitur crimine teneri : et hoc quasi ab ipsis fasciis et utero impii fuerint, nec unquam opera pietatis attigerint, nullamque virtuti operam dederint, nec viam Deo placentem magni fecerint. Idem Psalles : « Alienati sunt peccatores a vulva, erraverunt ab utero, locuti sunt falsa [18], » cum contra quilibet pius et operibus justitiæ innutritus exclamare ad Deum luculente possit : « In te projectus sum ex utero ; de ventre matris meæ Deus meus es tu [19]. » Quemadmodum filii lucis, et filii diei merito queant intelligi, qui ut in luce et die præclare et honeste vitam degunt ; ita etiam si qui filii fornicationis dicantur, intelliges vicissim tanquam in lupanari, et in genere vitæ turpissimo versantes, quos misericordia non dignatur, « quia fornicata est mater eorum ; pudore affecit eos quæ peperit eos. » Pudefecit autem seipsam videlicet, et filios ex se natos. Sicut enim justo sua virtus decori et ornamento, ita cuivis scelerato sua scelera dedecori ac pudori sunt.

B

Εἶπε γὰρ, Πορεύσομαι ὀπίσω τῶν ἐραστῶν μου, τῶν διδόντων μοι τοὺς ἄρτους μου, καὶ τὸ ὕδωρ μου, καὶ τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, καὶ τὸ ἔλαιόν μου, καὶ πάντα ὅσα μοι καθήκει.

C

36 Vers. 5. *Dixit enim : Vadam ad amatores meos, qui dant mihi panes meos, et aquam meam, et vestimenta mea, et lintea mea, et oleum meum, et omnia quæcunque mihi conveniunt.*

ΙΔ'. Ἐραστὰς αὐτῆς εἶναί φησι τοὺς ἀκαθάρτους δαίμονας, περὶ οὓς λέγοιτο ὁ τῆς πορνείας πεποιεῖσθαι τρόπος. Τὸ γὰρ ταῖς ἐκείνων ἕπεσθαι γνώμαις, καὶ τὰ αὐτοῖς δοκοῦντα πληροῦν, τοῦτο, οἶμαι, ἐστὶ τὸ ἀσελγαίνειν ἁμαρτίαις, καὶ διαβιοῦν αἰσχρῶς, καὶ τῆς ἐσχάτης φαυλότητος ἀναπίμπλασθαι, μόνον δὲ οὐχὶ καὶ ἐν ὠδῖσιν ἔχειν πᾶν εἶδος ἀκαθαρσίας. Ὥσπερ γὰρ οἱ τὸν θεῖον ὠδίνοντες φόβον, ἀνακεκράγασι πρὸς Θεὸν, « Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν, πνεῦμα σωτηρίου σου ἐκυήσαμεν ἐπὶ τῆς γῆς· » οὕτω καὶ ταῖς τῶν δαιμόνων ἐπιθυμίαις ἀνέντες τὸν νοῦν ἁπάσης εὐθὺς ἀσεβείας ἐπίμεστον ἔχουσιν, οἱ τῶν θείων ἀποφοιτῶντες νόμων, ἁπάσης φαυλότητος ἐπιτηδευταί. Ἐρασταὶ δὴ οὖν πονηροί τε καὶ ἀλιτήριοι τῶν εἰς ἀσέβειαν ἀπονενευκότων οἱ ἀποστάται δαίμονες, οἷς εἴ τις ἕλοιτο προσέχειν θεοῖς, δυσσεβήσει δεινῶς. Ἀνατίθησι γὰρ αὐτοῖς καὶ ὧν ἂν ἔχοι τὴν χάριν, καὶ ταῖς εὐφημίαις καταγεραίρει πολλάκις, καὶ ἀναφέρει τὰ χαριστήρια, Θεὸν τὸν ἕνα καὶ φύσει καταλελοιπὼς, τὸν χορηγοῦντα τὰ ζωαρκῆ, τὸν οἷά τισιν ἐσθήμασι καταμφιεννύντα τῇ χάριτι, καὶ ταῖς ἄνωθεν ἐπικουρίαις καὶ νοῦν καὶ καρδίαν κατασκιάζοντα, τὸν οἷά περ ἐλαίῳ καταπιαίνοντα,

XIV. Amatores ejus ait esse impuros dæmonas, cum quibus fornicatio quodammodo commissa dici potest. Illorum enim sequi voluntatem, et quæ ipsis placent perpetrare, hoc est, ut existimo, protervius lascivire in peccatis, et turpiter vivere, et se extrema nequitia ingurgitare, et tantum non etiam omne genus immunditiæ parturire. Quemadmodum enim qui timorem divinum parturiunt, clamant ad Deum : « Propter timorem tuum, Domine, in utero accepimus, et parturivimus, et peperimus, spiritum salutis tuæ peperimus super terram [20] ; » ita qui dæmonum cupiditatibus cedunt, illico mentem omni impietate refertam habent, et a divinis legibus discedentes, omnigenam improbitatem consectantur. Eorum igitur, qui ad impietatem deflexerunt, perversi ac pestilentes amatores sunt dæmones apostatæ ; quibus si quis tanquam diis auscultare voluerit, insigniter impius evadet. Illis enim accepta refert quæ habet, et frequenter eos laudibus veneratur, et oblatis muneribus gratias agit, relicto uno et natura Deo : qui vitæ sustentandæ quod sufficiat largitur, qui nos beneficiis veluti convestit, et supernis auxiliis et mentem et cor obumbrat, qui velut oleo pinguedinem conciliat, et pane qui sub intelligen-

D

[17] Ezech. xviii, 20. [18] Psal. lvii, 4. [19] Psal. xxi, 11. [20] Isa. xxvi, 17, 18.

Digitized by Google

tiam tantum cadit, nutrit ad vitam gloriosam, et nullis sæculis finiendam : qui aqua vivifica ad bonam et spiritualem nos habitudinem alit. Qui autem ad impietatem declinavit, sicut nimirum fornicatrix Synagoga, hunc inquit suos amatores sequi oportere, et illis gratias referre, putareque victum, vestitumque ab illis accepisse. Hoc quippe est, ni fallor, quod ait. Dixit enim : Sequar amatores meos qui dant mihi panes meos, et aquam meam, et vestimenta mea, et lintea, et oleum meum, et omnia quæ mihi conveniunt. Verum prudentes, et boni, et Deo noti amicissimique ad ipsum omnino cœlestium bonorum largitionem, terrenorumque suppeditationem retulerint. Dicent enim, idque sapienter : « Numquid est in idolis gentium pluens ? et si cœlum dabit satietatem suam, nonne tu ipse es ? et exspectabimus te, 37 quia tu fecisti hæc omnia [21]. » Et clamabunt cum divino David : « Visitasti terram, et inebriasti eam ; multiplicasti locupletare eam[21*]. »

A ἄρτῳ τῷ νοητῷ τρέφοντα πρὸς ζωὴν τὴν εὐκλεᾶ καὶ ἀμήρυτον, τὸν ὕδατι τῷ ζωοποιῷ πρὸς εὐεξίαν ὑμᾶς τρέφοντα τὴν πνευματικήν. Ἀλλ' ὅ γε πρὸς ἀσέβειαν διανενευκὼς, καθάπερ ἀμέλει καὶ ἡ πεπορνευμένη Συναγωγὴ, τοῖς ἰδίοις ἐρασταῖς ἔφη δεῖν ἕπεσθαι, καὶ αὐτοῖς ἀνάπτειν τὰ χαριστήρια, καὶ παρ' αὐτῶν ἠγεῖσθαι λαβεῖν τά τε εἰς τροφὴν καὶ ἀμφίασιν. Τουτὶ γὰρ, οἶμαι, ἐστὶ τὸ, Εἶπε γὰρ, Ἀκολουθήσω ὀπίσω τῶν ἐραστῶν μου, τῶν διδόντων μοι τοὺς ἄρτους μου, καὶ τὸ ὕδωρ μου, καὶ τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, καὶ τὸ ἔλαιόν μου, καὶ πάντα ὅσα μοι καθήκει. Ἀλλ' οἵ γε σοφοί τε καὶ ἀγαθοὶ, καὶ Θεῷ γνώριμοι, καὶ οἰκειότατοι, αὐτῷ δὴ πάντως ἀναθεῖεν ἂν τῶν οὐρανίων ἀγαθῶν τὴν ἐπίδοσιν, καὶ τῶν ἐπιγείων τὴν χορηγίαν. Ἐροῦσι γὰρ δὴ, καὶ B λίαν ἐμφρόνως· « Μή ἐστιν ἐν τοῖς εἰδώλοις τῶν ἐθνῶν ὑετίζων ; καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ εἶ ὁ αὐτός ; καὶ ὑπομενοῦμέν σε, ὅτι σὺ ἐποίησας ταῦτα πάντα. » Συναναβράξονται δὲ καὶ αὐτῷ τῷ θεσπεσίῳ Δαβὶδ· « Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτὴν, ἐπλήθυνας τοῦ πλουτῆσαι αὐτήν. »

Vers. 6, 7. *Propter ea ecce ego sepiam viam ejus in sudibus, et obstruam vias illius, et semitam ejus, et non inveniet : et insequetur amatores suos, et non apprehendet eos : et quæret eos, et non inveniet illos.*

Διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν ὁδὸν αὐτῆς ἐν σκόλοψι, καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς, καὶ τὴν τρίβον αὐτῆς, καὶ οὐ μὴ εὕρῃ· καὶ καταδιώξεται τοὺς ἐραστὰς αὐτῆς, καὶ οὐ μὴ καταλάβῃ αὐτούς· καὶ ζητήσει αὐτοὺς, καὶ οὐ μὴ εὕρῃ αὐτούς.

XV. Postquam enim, inquit, in seipsam decrevit mala, et nihil natura sua nefarium prætermisit (dixit enim, sequendos sibi amatores suos, hoc est, improbis seductorum sententiis applicandum animum, ut illis tantum obsequeretur); adhæc, quoniam pro iis quæ ego donavi illi, his, qui nihil profuerunt, dæmonibus, loquam, gratias agit, ideirco cogitationes ejus inanes reddam, resistamque fortiter. Sepiam enim vias ejus sudibus, et muro obstruam semitam, ut neque sequatur amatores suos, neque sibi conducibiles reperiat seductores suos, etiamsi sequi eos fortasse, hoc est, studiose ad eos honorandos colendosque incumbere voluerit. Sudes seu palos præacutos appellat casus quos expertus est Israel ; bella dico, captivitates, famem, pericula, diuturnam servitutem. Nam semel a Persis et Medis subjugati, non per otium ad Baal, neque ad vitulos aureos accedebant ; sed necesse erat, ut a Deo concessa et charissima libertate privati, et quærentes quidem quæ domi habuerant, illis autem egentes, et dominantium jugo oppressi, consuetis de cætero fungi non possent, sed lamentarentur potius, et malis atrocissimis velut ebrii, damnarent jam seductores ; quandoquidem ex frustra speratis utilitatem nullam capere licuisset. Nihil quippe adjuti sunt aut Baal eos defendente, (quid enim lignum mutum faceret ?) aut certe vitulis aliquem eos juvandi modum excogitantibus. Erant enim « aurum opera manuum hominum, » ut scriptum est [22]. Obstruuntur itaque viæ, Deo peccare solitis semitam ad improbitatem haud complanante, sed utiliter

ΙΕ'. Ἐπειδὴ γὰρ βεβούλευται, φησὶ, πονηρὰ καθ' ἑαυτῆς, καὶ τῶν ἀδικεῖν πεφυκότων παραλέλοιπεν οὐδέν· ἔφη γὰρ, δεῖν κατακολουθεῖν ἐλέσθαι τοῖς ἰδίοις ἐρασταῖς, τουτέστι, ταῖς τῶν πεπλανηκότων C ἀνοσίοις γνώμαις ἀπονέμειν τῆς διανοίας τὴν ῥοπὴν, ὡς μόνα πληροῦσα τὰ ἐκείνων· καὶ ἐπειδὴ πρὸς τούτῳ τῶν δεδωρημένων αὐτῇ παρ' ἐμοῦ τοῖς οὐδὲν ὠφεληκόσι τοῖς δαίμοσιν ἀνάπτει τὰ χαριστήρια, ταύτῃτοι ματαίαν αὐτῆς ἀποφανῶ τὴν σκέψιν, καὶ ἀντιτάξομαι γενικῶς. Φράξω γὰρ αὐτῆς τὴν ὁδὸν ἐν σκόλοψι, καὶ τειχιῶ τὴν τρίβον, ὡς ἂν μήτε κατακολουθήσῃ τοῖς ἰδίοις ἐρασταῖς, μήτε μὴν εὕρῃ χρησίμους τοὺς πεπλανηκότας, κἂν εἰ διώκειν ἔλοιτο τυχὸν αὐτοὺς, τουτέστιν, ἐγκεῖσθαι σπουδαίως ταῖς εἰς αὐτοὺς τιμαῖς καὶ λατρείαις. Σκόλοπας δὲ εἶναί φησι τὰ συμβεβηκότα τῷ Ἰσραὴλ δυσχερῆ, τοὺς πολέμους δὴ λέγω, τὰς αἰχμαλωσίας, τὸν λιμὸν, τοὺς κινδύνους, τὴν ἐνδουλείαν τριβήν. Γεγονότες γὰρ ἅπαξ ὑπὸ Μήδοις καὶ Πέρσαις, οὐκ ἐν σχολῇ προσῄεσαν τῷ Βάαλ, οὐδὲ ταῖς D δαμάλεσι ταῖς χρυσαῖς· ἀλλ' ἦν πως ἀνάγκη, τὸ, καὶ αὐτῆς τῆς ἄνωθεν, καὶ φιλτάτης ἐλευθερίας ἐστερημένους, καὶ ζητοῦντας μὲν τὰ οἰκοι, πτωχεύοντας δὲ, καὶ ταῖς τῶν κρατούντων πλεονεξίαις πεπιεσμένους, οὐκέτι μὲν δύνασθαι τὰ συνήθη πληροῦν· ὀλοφύρεσθαι δὲ, μᾶλλον, καὶ ταῖς ἀνηκέστοις καταμεθύειν συμφοραῖς, καταγινώσκοντας ἤδη τῶν πεπλανηκότων, ὡς οὐδὲν ἀπόνασθαι μετὸν αὐτοῖς τῶν ἐν ἐλπίσι κεναῖς. Ὠφέληνται γὰρ οὐδὲν, ἢ τοῦ Βάαλ ἐπαμύνοντος· τί γὰρ ἂν ἔδρασε τὸ ἄφωνον ξύλον : ἦγουν τῶν δαμάλεων ἐπικουρίας αὐτοῖς ἐπινοουσῶν τινα τρόπον. « Χρυσὸς, » γὰρ ἦν, « ἔργα χειρῶν ἀνθρώπων, » κατὰ τὸ γεγραμ-

[21] Jerem. XIV, 22. [21*] Psal. LXIV, 10. [22] Psal. CXIII, 4.

Digitized by Google

μένον. Ἀποφράττονται τοίνυν αἱ ὁδοὶ Θεοῦ, μὴ κα- A asperante, nec eos permittente expedite ferri, quo
ταλειαίνοντος τοῖς φιλαμαρτήμοσι τὴν εἰς φαυλότητα stulte concupiscunt; ut nolentes impediantur, et ad
τρίβον, ἀποτραχύνοντος δὲ χρησίμως, καὶ οὐκ ἐφιέν- frugem transcant, ubi ipsa experientia didicerint,
τος αὐτοῖς δι' εὐμαρείας ἔσθαι ἐπὶ τὸ φληνάφως neminem peccantem impune laturum.
δοκοῦν. Ὡς ἂν οὐχ ἑκόντες ἐγκόπτοιντο, καὶ μεταχωρεῖεν ἐπὶ τὸ ἄμεινον, διὰ πείρας αὐτῆς ἐκμεμα-
θηκότες, ὡς ἔστι παντὶ τῷ τὸ πλημμελεῖν οὐκ ἀζήμιον.

Καὶ ἐρεῖ, Πορεύσομαι, καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε ἢ νῦν.

38 *Et dicet: Vadam, et revertar ad virum meum priorem, quia melius mihi tunc erat, quam nunc.*

ΙϚ'. Σώζει μὲν ὁ λόγος ἔτι τὸν αὐτῷ πρέποντα τρόπον· ὡς γὰρ ἐπὶ πόρνης γυναικὸς ἀπ' ἀρχῆς συν-
τέθειται μέχρι τέλους. Διὰ τοῦτο, φησὶ, ὅτι μετα-
γνώσεται, καὶ ἐρεῖ, Πορεύσομαι πρὸς τὸν ἄνδρα μου
τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε ἢ νῦν. Πλὴν
ἄθρει κἀν τούτῳ τὸν τῶν ὅλων Θεὸν καὶ ἐν ὀργῇ παι- B
δεύοντα, καὶ ὠφελοῦντα ποικίλως, καὶ ταῖς τῶν δει-
νῶν ἐπαγωγαῖς ἀνασειράζοντα τοὺς πεπλανημένους,
καὶ μεταποιοῦντα πρὸς τὸ συμφέρον. Ὅταν γὰρ,
φησὶν, ἀποπεφραγμένας ἴδῃ τὰς ἑαυτῆς ὁδοὺς ἐν
σκόλοψι, τότε δὴ τότε μεταβουλεύσεται, καὶ ὅπερ
ἦν ἄμεινον ἐλέσθαι δρᾷν, οὕπω τῶν ἀνιαρῶν εἰσδε-
δληκότων, κἂν γοῦν ὀψὲ, καὶ μετὰ πεῖραν ἁρπάσῃ·
ἀγαπήσει γὰρ τότε τὰ παρὰ Θεῷ, καὶ τῶν μεταξὺ
πλημμελημάτων ὡς ἐκ λογισμοῦ τοῦ σώφρονος ἀλο-
γήσασα, μεταχωρήσει λοιπὸν πρὸς τὸ θελῆσαι τὸ ἐν
ἀρχαῖς, καὶ θαυμάσει τὰ παρὰ Θεῷ, καὶ ἀσυγκρίτοις
αὐτὰ διενεγκόντα διαφοραῖς, καθάπερ ἐκ μέθης ἀνα-
νήψασα κατόψεται μόλις. Οὐκοῦν οὐκ ἀνόνητον τὸ
παιδεύεσθαι, κἂν εἰ ἔχοι τυχὸν τὸ παρ' αὐτοῦ λυποῦν.
Καὶ τοῦτο εἰδότες οἱ προφῆται φασι, « Παίδευσον ἡμᾶς, C
Κύριε. » Γράφει δὲ ὁ θεσπέσιος Παῦλος· « Εἰ παιδείαν
ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς
γάρ ἐστιν ὁ υἱὸς, ὃν οὐ παιδεύει πατήρ; » Δείκνυσι
δὲ τὸ ἐκ τοῦ παιδεύεσθαι γλυκύ τε καὶ ὀνησιφόρον,
οὕτως λέγων· « Πᾶσα παιδεία πρὸς μὲν τὸ παρὸν οὐ
δοκεῖ χαρᾶς εἶναι, ἀλλὰ λύπης· ὕστερον μέντοι καρ-
πὸν εἰρηνικὸν τοῖς δι' αὐτῆς γεγυμνασμένοις ἀποδί-
δωσι δικαιοσύνης. »

XVI. Servat adhuc oratio convenientem sibi modum: de muliere siquidem meretrice ab initio usque ad finem instituta est. Idcirco, inquit, pœnitebit eam consilii, et dicet: Vadam ad virum meum priorem, quia melius mihi tunc erat quam nunc. Verumtamen etiam in hoc universorum Deum, et in ira corripientem, et multimodis consulentem, et plagis adhibendis eos qui aberraverunt, retrahentem, et ad salutaria immutantem intuere. Cum enim, inquit, vias suas sudibus seu palis obseptas animadverterit, tunc tunc mutabit consilium; et quod agere velle præstabat, tristibus nondum illapsis, vel sero et post experientiam arripiet. Diliget enim tunc a Deo præscripta, et peccatis medio in tempore commissis, ut prudenti ratiocinatione posthabitis, ad voluntatem pristini cultus se postmodum recipiet: et quæ Dei sunt admirabitur; discrimineque incomparabili præcellentia, velut ex se ebrietate recipiens, vix tandem perspiciet. Quamobrem castigari minime incommodat, etsi forte per se molestiam generat. Quod prophetæ scientes, dicunt: « Corrige nos, Domine [24]. » Et scribit Paulus: « Si disciplinam sustinetis, tanquam filiis vobis offert se Deus. Quis enim filius, quem non corripit pater [25]? » Deinde disciplinæ suavitatem et commoditatem his verbis explanat: « Omnis disciplina in præsenti quidem videtur non esse gaudii, sed mœroris; postea autem fructum pacatissimum exercitatis per eam reddit justitiæ [26]. »

Καὶ αὕτη οὐκ ἔγνω, ὅτι ἐγὼ ἔδωκα αὐτῇ τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἀργύριον ἐπλήθυνα αὐτῇ. Αὕτη δὲ ἀργυρᾶ καὶ χρυσᾶ ἐποίησε τῇ Βάαλ.

Vers. 8. *Et ipsa non cognovit, quia ego dedi ei frumentum, et vinum, et oleum, et argentum multiplicavi ei. Hæc autem argentea et aurea fecit Baal.*

ΙΖ'. Ὅτι μὲν οὖν οὐκ ἂν ἔλοιτο, φησὶ, τοῖς ἰδίοις ἔτι κατακολουθεῖν ἐρασταῖς, οὐκ ἂν ἐνδοιάσειέ τις. Κατορθώσῃ γὰρ τοῦτο, καὶ λίαν εὐκόλως, τῷ φράττε- D
σθαι μὲν τὴν ὁδὸν αὐτῆς, καὶ τὰς τρίβους ἀνατειχί-
ζεσθαι, καὶ κατ' οὐδένα παντελῶς εὐοδοῦσθαι τρό-
πον. Ἐπειδὴ δὲ πρὸς τῷ Θεὸν ὑπάρχειν οἴεσθαι τὸν
Βάαλ, ἀνατέθεικεν αὐτῷ καὶ τῶν παρ' ἐμοῦ κεχορη-
γημένων αὐτῇ τὰ χαριστήρια, καὶ πρὸς τοῦτο βου-
λεύσομαι τὰ εἰκότα, ὡς ἂν ἀναμάθοι, τίς ὁ διδοὺς,
καὶ τῶν ὅλων ἔχων τὴν ἐξουσίαν. Δέδωκα μὲν γὰρ τὰ
ζωαρκῆ· σῖτον, καὶ οἶνον, καὶ ἔλαιον, καὶ ἀργύριον
ἐπλήθυνα αὐτῇ. Ἀλλὰ ταῖς ἐμαῖς φιλοτιμίαις εὐχαρι-
στῆσαι δέον, εἰς δόξαν αὐτὰ πεποίηται τῇ Βάαλ, ὃ δὴ τῆς
ἐσχάτης ἐστὶν ἀναισθησίας τε ὁμοῦ καὶ ἀχαριστίας
ἀπόδειξις ἐναργής· καὶ οὐκ ἀνικάνως τὸ χρῆμα ἔχει

XVII. Quin igitur nolit amplius sequi amatores suos, inquit, nemo dubitaverit. Hoc enim probe et facillime fiet, si obsepiatur via ejus, et obstruantur semitæ, et rebus utatur minime omnium secundis. Quoniam vero præterquam quod Baal pro Deo reputavit, etiam quæ a me suppeditata fuerant, eidem in acceptis retulit, eique gratias egit, etiam propter hoc statuam consentanea, ut discat quis sit qui dederit: et penes quem sit omnium potestas. Dedi enim vitæ sustentandæ necessaria; frumentum, vinum, oleum, et argentum multiplicavi ei. Verum **39** cum munificentiæ meæ gratias deberet, ea in decus et gloriam Baal convertit, quod extremi sane stuporis simul et animi ingratissimi apertum est argumentum: et ad Deum quantumvis omnis man-

[24] Jerem. x, 24, [25] Hebr. xii, 7. [26] ibid. 11.

Digitized by Google

suetudinis fontem et originem meritissimo exacerbandum sufficit.

Gravissimum est igitur et pœna dignum, liberalitatem beneficiorum a Deo præstitorum iis velle ascribere, qui ejus gloriam imminuunt ac profligant, hoc est, immundis dæmonibus, quod quidam in terris faciunt, Græci puta, et hæretici. Nam illi, cum Deus homini sapientiam et orationem impertiverit, eloquentiæ suæ facultatem dæmonum honoribus celebrandis largiuntur. Hæreticorum autem Deo exosæ et impiæ turbæ dolosis sententiarum inventis quibusdam nocent, et simpliciorum mentes pervertunt, et laqueos ad perdendos homines, sicut scriptum est [86], paraverunt. Ambo igitur coluerunt Baal : et tantum non velut ex divitiis, quæ mente cernuntur, et ad Deum pertinent, pro splendido anathemate, ad illius idoli gloriam offerunt. Et ita, opinor, spiritualiter convenientissime intelligitur quod dicitur : Ego dedi frumentum et vinum et oleum, et argentum multiplicavi ei : ipsa vero argentea et aurea fecit Baal. Tribuenda sunt igitur Deo quæ Dei sunt. Datorem enim et præbitorem omnium bonorum nostrorum inaurari convenit per ea, quæ ab ipso habemus, seu illustris sit oratio, seu ad vera mysteria percipienda mens idonea.

VERS. 9, 10. *Propter hoc revertar, et tollam triticum meum in tempore suo, et vinum meum in tempore suo, et auferam vestimenta mea, et linteamea, ne operiant ignominiam ejus. Et nunc revelabo immunditiam ejus in conspectu amatorum illius, et nullus eruet eam de manu mea.*

XVIII. Cernis quomodo minatus sit ablaturum se, quæ delectare solent, nec id inutiliter? Sicut namque viam ejus palis defixis asperari ad complectenda salubriora inducebat, faciebatque vel invitam dicere : Revertar ad virum meum priorem, quoniam melius mihi tunc erat, quam nunc, experientia enim cognorat, quid utilitatem conciliaret, et in quibus præstaret libenter habitare : ita si abstulero, inquit, quæ mea sunt, tunc omnimodis erogatorem requiret, et dæmonibus gratam se exhibere designet; eosque vere deos arbitrari, ut etiam sibi subjectos in pristinam felicitatem restituere queant. Et tempore suo frumentum, et vinum, et lintea ablaturum dicit, fallentibus forte suo tempore frugibus, et maturitate eas destituente, ut in terra colenda labores inanes fuisse toleratos appareat. Quod si quis malit intelligere Judæos frumento et vino suo tempore privatum iri, utpote mystica benedictione spoliatos, probe intelliget. Lintea autem dicit supernum auxilium, quo quasi coopertus quispiam decorus erit : extra id non jam valde decens, sed admodum indecens, et tanquam nudus inter homines permanebit. Sic ergo ablationem linteorum, ne tegant ignominiam ejus, intelligas licet. Revelaturum porro im-

[86] Psal. LVI, 7.

A πρός γε τὸ δεῖν καὶ σφόδρα δικαίως παρατρῦναι Θεὸν, κἂν εἰ πάσης ἡμερότητος πηγὴ νοοῖτο καὶ γένεσις.

Πάνδεινον οὖν ἄρα, καὶ δίκης οὐκ ἀμοιροῦν, τῶν παρὰ Θεοῦ χαρισμάτων τὴν φιλοτιμίαν ἀνατιθέναι ζητεῖν τοῖς τὴν δόξαν αὐτοῦ παραλύουσι, τουτέστι, τοῖς ἀκαθάρτοις δαίμοσιν, ὃ δὴ καὶ ποιοῦσι τῶν ἐν κόσμῳ τινές. Ἕλληνες δὲ οὗτοι, καὶ αἱρετικοί. Οἱ μὲν γὰρ, Θεοῦ διδόντος ἀνθρώπῳ σοφίαν καὶ λόγον, τὴν τῆς εὐγλωττίας δεινότητα ταῖς τῶν δαιμονίων χαρίζονται δόξαις. Τὰ δέ γε τῶν αἱρετικῶν θεομισῆ καὶ ἀνόσια στίφη πολυπλόκων ἐννοιῶν εὑρέμασι κατασίνονταί τινας, καὶ τὸν τῶν ἁπλουτέρων καταστρέφουσι νοῦν, καὶ παγίδας ἔστησαν διαφθεῖραι ἄνδρας, κατὰ τὸ γεγραμμένον. Οὐκοῦν ἄμφω τετιμήκασι τὸν Βάαλ,
B μόνον δὲ οὐχὶ καθάπερ ἐκ πλούτου νοητοῦ λαμπρὸν ἀνάθημα προσκομίζουσιν εἰς δόξαν αὐτῶν τὰ περὶ Θεοῦ. Καὶ τοῦτο, οἶμαι, ἐστὶ πνευματικῶς εὖ μάλα νοούμενον, τὸ, Ἐγὼ δέδωκα τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἀργύριον ἐπλήθυνα αὐτῇ· αὐτὴ δὲ ἀργυρᾶ, καὶ χρυσᾶ ἐποίησε τῇ Βάαλ. Ἀναθετέον οὖν ἄρα Θεῷ τὰ αὐτοῦ. Τὸν γάρ τοι παντὸς ἡμῖν ἀγαθοῦ δωτῆρα καὶ χορηγὸν καταχρυσοῦσθαι πρέπει δι' ὧν ἂν ἔχοιμεν παρ' αὐτοῦ, κἂν εἰ λαμπρὸς εἴη λόγος, κἂν εἰ νοῦς ἔχων ἐπιτηδείως πρὸς τὸ δύνασθαι νοεῖν ἀληθῆ μυστήρια.

Διὰ τοῦτο ἐπιστρέψω, καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ, καὶ τὸν οἶνόν μου ἐν καιρῷ
C *αὐτοῦ, καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύπτειν τὴν ἀσχημοσύνην αὐτῆς. Καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν ἐραστῶν αὐτῆς, καὶ οὐδεὶς οὐ μὴ ἐξέληται αὐτὴν ἐκ χειρός μου.*

ΙΗ'. Ὁρᾷς ὅπως ἠπείλησε τὴν ἀφαίρεσιν τῶν κατευφραίνειν εἰδότων, καὶ τοῦτο χρησίμως· ὥσπερ γὰρ τὸ ἀποτραχύνεσθαι τοῖς σκόλοψι τὴν ὁδὸν αὐτῆς ἐπὶ τὸ ἐλέσθαι φρονεῖν τὰ ἀμείνω παρήνεγκε, παρεσκεύασε δὲ ὥσπερ καὶ οὐχ ἑκοῦσαν εἰπεῖν, Ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε, ἢ νῦν· ἔγνω γὰρ διὰ πείρας τὸ τελοῦν εἰς ὄνησιν, καὶ οἷς ἦν ἄμεινον ἐμφιλοχωρεῖν· οὕτως εἰ λάβοιμι τὰ ἐμαυτοῦ, φησὶ, τότε δὴ πάντως ζητήσει τὸν χορηγὸν, καὶ παύσεται τοῦ δεῖν ἀνάπτειν τοῖς δαιμονίοις τὰ χαριστήρια, οἴεσθαί τε ὅτι θεοὶ κατὰ ἀλήθειάν εἰσιν,
D ὡς καὶ ἀνασώζειν δύνασθαι τοὺς ὑπ' αὐτοῖς γεγονότας. Καὶ ἐν καιρῷ δὲ λήψεσθαι τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὰ ὀθόνια φησὶ, ψευδομένων τάχα που κατὰ καιροὺς τῶν καρπῶν, καὶ ὑστεριζόντων αὐτοῖς τῶν ὡρίμων· ὡς ματαίους ἀνατλῆναι καὶ τοὺς ἐπί γε τῇ γηπονίᾳ πόνους. Εἰ δὲ δή τις ἔλοιτο νοεῖν ὅτι σίτου καὶ οἴνου στερηθήσονται κατὰ καιροὺς Ἰουδαῖοι, τῆς μυστικῆς εὐλογίας ἐκπεπτωκότες, συνήσει καλῶς. Ὀθόνια δέ φησι τὴν οἰονεὶ περιστολὴν, καὶ τὴν ἄνωθεν ἐπικουρίαν, ὑφ' ᾗ γεγονὼς ἔσται τις εὐσχήμων. Εἰ δὲ ἔξω φέροιτο, περικαλλὴς μὲν οὐκέτι, πολὺ δὴ λίαν ἀσχήμων, καὶ οἰονεὶ γυμνὸς διατελέσει κατὰ τὸν κόσμον. Ὥδε μὲν οὖν τὴν τῶν ὀθονίων νοή-

Digitized by Google

σεις ἀφαίρεσιν, ὑπέρ γε τοῦ μὴ καλύπτεσθαι τὴν ἀσχημοσύνην αὐτῆς. Ἀποκαλύψει δὲ τὴν ἀκαθαρσίαν αὐτῆς ἐπαγγέλλεται, καὶ τῶν ἐραστῶν αὐτῆς ἐναντίον, κατὰ τοιόνδε τινὰ τρόπον, ὃν ἐλέγομεν ἀρτίως, ὅτι περιπεσοῦσα τοῖς σκόλοψι, τουτέστι, τοῖς ἐκ τοῦ πολέμου κακοῖς, καὶ ταῖς ὅτι μάλιστα καταπλήττειν δυναμέναις συμφοραῖς, καὶ αὐτῶν ἀμελήσει τῶν ἐν ὑπολήψει θεῶν, οὐκ ἐν σχολῇ προσάγουσα θυσίας αὐτοῖς, οὔτε μὴν τὰ συνήθη πληροῦν δυναμένη πρὸς δόξαν αὐτῶν. Κατακερτομοῦσα δὲ μᾶλλον, ὡς οὐδὲν αὐτῶν ἀπόνασθαι μετὸν, καὶ κατονειδίζουσά πως τὸ ἀναλκι παντελῶς, « Ὑποστρέψω, » φησὶ, « πρὸς τὸν ἄνδρα μου τὸν πρότερον, ὅτι καλῶς μοι ἦν τότε, ἢ νῦν. » Ὅταν τοίνυν ἀπαμφιέσω μὲν αὐτὴν τῆς παρ' ἐμοῦ, φησὶν, ἐπικουρίας, περιπεσοῦσα δὲ τοῖς δεινοῖς, καὶ τῆς εἰς αὐτοὺς ἀλογήσῃ τιμῆς καὶ ἀγάπης, τότε καὶ αὐτοῖς ἀσχήμων ὀφθήσεται, σαθρῷ καὶ κολάζοντι νῷ διαπτύσασα καὶ αὐτούς. Ὅσον γὰρ ἧκει εἰς τὸ ἐκείνοις ἡδὺ καὶ φίλον, τληπαθῆ μᾶλλον ὁρᾶσθαι χρή. Καὶ οὐδὲ ἐν αὐταῖς οὖσαν ταῖς ἐσχάταις συμφοραῖς, τῶν αὐτοῖς δοκούντων ἐπιλανθάνεσθαι. Οὐκοῦν ὅσον ἧκει εἰς τὸ ἐκείνων θέλημα, καὶ παρ' αὐτοῖς ἀσχήμων ὁ Ἰσραὴλ, οὓς νενόμικεν εἶναι θεοὺς, οὐ μέχρι παντὸς ἀγαπᾷν ἠρημένος. Δοκεῖ δέ μοι φάναι τι τοιοῦτον ὁ μακάριος Ἠλίας· « Ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις; Εἰ ἔστι Κύριος ὁ Θεὸς, πορεύεσθε ὀπίσω αὐτοῦ. Εἰ δὲ ὁ Βάαλ αὐτὸς, πορεύεσθε ὀπίσω αὐτοῦ· » ὃ ἑτέρωθί φησιν· « Ἦ Βάαλ, Βάαλ, ἢ Θεῷ Θεῷ. » Ὅτι δὲ οὐδεὶς οὐδ' ἂν ὀρθώσειέ τις τὸν κατερριμμένον παρὰ Θεοῦ, ἐκ χειρός μου. »

A munditiam, et coram amatoribus ejus promittit eo modo quo jam dicebamus. Quoniam cum inciderit in palos, hoc est, in calamitates belli, et in detrimenta, quæ percellere maxime possunt, et ipsos quos putabat negliget deos, non in otio iis hostias immolans, nec consueta ad ipsorum gloriam præstare potis. Quinimo conviciis insectans, ut inutiles, et quodammodo summam ipsis imbecillitatem exprobrans : « Revertar, inquit, ad virum meum priorem, quoniam melius mihi tunc erat, quam nunc. » Quando igitur, inquit, exuero ipsam auxiliis meis, et in mala devenerit, honoremque et dilectionem eorum contempserit, animoque ægroto ac pœnitente ipsos despuerit, tunc illis indecora videbitur. Nam quoad illis suavia et amica spectat, calamitosa potius videatur necesse est, si neque cum summis conflictatur miseriis, eorum quæ ipsis placent obliviscatur. Quod ergo ad eorum voluntatem attinet, etiam apud ipsos quos putavit deos esse deformis est Israel, quando eos diligere cessavit. Existimo porro tale quidpiam dixisse beatum Eliam : « Usquequo vos claudicabitis ambobus poplitibus vestris? Si est Dominus Deus, ite post eum ; si autem Baal est, ite post eum [27]. » Quod alibi ait : « Aut Baal Baal, aut Deo Deo. » Neminem autem eos liberare posse, qui semel in iram Dei inciderint, nec erigere, et instaurare quem Deus projecerit, ostendit cum dixit : « Nemo eruet eam de manu mea. »

B

Καὶ ἀποστρέψω πάσας τὰς εὐφροσύνας αὐτῆς, ἑορτὰς αὐτῆς, καὶ τὰς νουμηνίας αὐτῆς, καὶ τὰ Σάββατα αὐτῆς, καὶ πάσας τὰς πανηγύρεις αὐτῆς.

C

41 Vers. 11. *Et avertam omnes lætitias ejus, solemnitates ejus et neomenias ejus, et Sabbata ejus, et cunctas festivitates ejus.*

ΙΘ'. Οἱ γὰρ ὅλως τοῖς οὕτω σκληροῖς καὶ ἀφύκτοις ἐνειλημμένοι κακοῖς, ὡς καὶ ὑπὸ χεῖρα γενέσθαι βαρβαρικὴν, καὶ ἐν δορυκτήτων μοίρᾳ δουλεύειν ἐχθροῖς, πῶς ἂν ἑορτάσειαν; Ἢ ποῖον ἂν ἔχοιεν εὐφροσύνης καιρὸν, οἱ ταῖς οὕτω δριμείαις κατηχθημένοι φροντίσι, καὶ ἀφορήτοις λύπαις ἐντετηγμένοι; Καίτοι, πῶς οὐκ ἄμεινον ἐκεῖνο νοεῖν, ὡς πρέποι ἂν μᾶλλον τοῖς εἰς τοῦτο ταλαιπωρίας ἐνηνεγμένοις, ἀναχραγεῖν τὸ διὰ τῆς τοῦ Ψάλλοντος λύρας εὖ μάλα παραφωνούμενον· « Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών; » Ἀνεπιτήδευτον δὲ παντελῶς τὸ ἑορτάζειν ἔχοντες, οὐδὲν ἧττόν φασι· « Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; » Οὐκ ἐφιέντων, οἶμαί που, τῶν Βαβυλωνίων τὰς νενομισμένας αὐτοῖς λατρείας, καὶ τὰ οἰκοι φίλα τε καὶ ὡς ἐν ἔθει πληροῦν. Ἀλλ' ἴσως ἐκεῖνο ἐρεῖ τις· Εἰ πρὸς τὸ λατρεύειν εἰδώλοις ἀπονένευκεν ὁ Ἰσραὴλ, πῶς ἂν μὴ καὶ αὐτῶν κατὰ νόμον ἑορτῶν, Σαββάτων τε καὶ νουμηνιῶν; Πρὸς δὴ τοῦτο φαμὲν, ὅτι παρώλισθον μὲν τῆς εἰς Θεὸν ἀγάπης, καὶ προσκεκυνήκασι τῷ Βάαλ καὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς, οὐ μὴν εἰσάπαν ἀπ-

XIX. Qui enim prorsus adeo sævis et ineluctabilibus circumsepti erant incommodis, ut et barbaris subjecti essent, et ut bello capti servirent, quomodo festum celebrarent ? aut quam lætitiæ opportunitatem haberent, qui tam acribus curis vexabantur, et intolerandis ægritudinibus contabescebant ? Quanquam, cur non malimus ita intelligere, futurum ut tantis ærumnis obruti non absurde exclament, quod Psaltæ lyra verissime ipsis accinuit : « Super flumina Babylonis illic sedimus, et flevimus, dum recordaremur tui, Sion [28]? » Et licet festis actitandis nullam penitus operam darent, lege sancitas in divino cultu cærimonias, et quæ domi grata et usitata obibant, Babyloniis, credo, non permittentibus : nihilominus aiunt [29] : « Quomodo cantabimus canticum Domini in terra aliena? » Sed forsitan objiciet quispiam : Si ad colenda idola declinavit Israel, quomodo non etiam ab ipsis festis lege institutis, et Sabbatis, et neomeniis? Respondemus, prolapsum quidem esse a charitate in Deum, et adorasse Baal et vitulos aureos : non tamen omnia per Moysen sancita repudiasse. Imo

[27] III Reg. xviii, 21. [28] Psal. cxxxvi, 1. [29] ibid. 4.

Digitized by Google

perseverabant ambobus poplitibus claudicantes incedere, juxta prophetæ vocem [30], ut neque Baal absolute, neque Deum universorum pure ac sincere vellent adorare. Quamobrem et festa, et celebritates, et lætitias, et Sabbata amiserunt, nec Deo permissi legitima persolvere, neque Baal quos solebant festos conventus agentes.

Potest hoc et aliam, eamque veram, et aptissimam habere sententiam. Recedentes a Deo, et charitatem ejus aspernatos, necesse est tristari et ab omni hilaritate refugere. « Non enim est gaudium impiis, dicit Dominus [31], » quibus vermis sempiternus reservatur [32]. Bonis autem et pium ac divini timoris plenum scopum habentibus decorum fuerit et merito, lætari super omnibus bonis : « lætitia enim sempiterna super caput eorum, » secundum Scripturam ; « aufugitque ab eis dolor, tristitia et gemitus [33]. » Quibus et Paulus scribit : « Gaudete in Domino semper ; iterum dico, gaudete. Modestia vestra nota sit omnibus hominibus [34]. » **42** Et enim ut supplicium sceleratos omnino sequitur, ita et superna opulentia sequetur eos, quorum propositum fuerit vitam virtute conspicuam exigere.

VERS. 12. *Et disperdam vineam ejus, et ficus ejus de quibuscunque dixit, Mercedes meæ sunt istæ, quas dederunt mihi amatores mei. Et ponam ea in testimonium, et comedent ea volucres cæli, et bestiæ agri, et reptilia terræ.*

XX. Hoc rursum aliis verbis dici potest, nempe illis : « Auferam frumentum meum tempore suo, et vinum meum tempore suo. » Postquam enim Israel fructuum copiam temporibus suis exsistentem dæmonum virtuti et beneficentiæ ascribens, insipientissime ipsis, non Deo potius gratum se ostendit ; idcirco, inquit, disperdam et corrumpam ea, per quæ male seducta est, dicens se mercede conductam ab amatoribus suis. Et venuste, tanquam de muliere libidinosa conceptus est sermo. Revera enim existimabat Israel, tempestivorum fructuum ubertatem, et terræ fertilitatem qua potiebatur, in pretium et remunerationem honoris et cultus, quem idolis adhiberet, sibi rependi. Quod autem omni propterea securitate et jucunditate animi præfruerentur, hanc et solam causam eos putavisse, facillime quis ex Jeremiæ verbis intellexerit. Redacta enim in hostium potestatem Hierosolyma, cum quidam belli aciem hostilemve gladium evasissent, in Ægyptum descenderunt, et divino mandato propheta cum ipsis. Illic igitur ab idololatriæ inquinamentis abstinendum, et ad Deum recurrendum suasit. Tum mulierecularum infelix et stultissimum agmen, prophetæ verbis adversando, impudenter garriebat : « Sermonem quem locutus es ad nos in nomine Do-

ὡσαντο τὰ διὰ Μωσέως. Διετέλουν δὲ μᾶλλον ἐπ' ἄμφω βαίνοντες, καὶ σκάζοντες, κατὰ τὴν τοῦ προφήτου φωνήν, ὡς μήτε τῷ Βάαλ ὁλοτρόπως, μήτε μὴν τῷ τῶν ὅλων Θεῷ καθαρῶς ἔλεσθαι προσκυνεῖν. Οὐκοῦν ἐκπέπτωκεν ἑορτῶν τε καὶ πανηγύρεων, καὶ εὐφροσυνῶν, καὶ Σαββάτων, οὔτε Θεῷ πληροῦν τὰ ἐν νόμῳ συγχωρούμενος, οὔτε μὴν τῷ Βάαλ τὰς ἐν ἔθει πανηγύρεις ἐπιτελῶν.

Ἀληθὲς δὲ καὶ ἑτέρως εἴη ἄν, καὶ μάλα εἰκότως. Ὅτι τοὺς ἀποφοιτῶντας Θεοῦ, καὶ τῆς εἰς αὐτὸν ἀγάπης ὀλιγωρήσαντας, καταστυγνάζειν ἀναγκαῖον, καὶ παντὸς ἔξω διατελεῖν τοῦ κατευφραίνειν εἰδότος. « Οὐ γὰρ ἔστι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος · » οἷς ὁ σκώληξ εἰς αἰῶνα τετήρηται. Τοῖς γε μὴν ἐπιεικέσι, καὶ εὐσεβῆ καὶ τιμόθεον ἔχουσι τὸν σκοπὸν, πρέποι ἂν εἰκότως καὶ τὸ ἐφ' ἅπασι τοῖς ἀγαθοῖς κατευφραίνεσθαι δεῖν · « Εὐφροσύνη γὰρ αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν, » κατὰ τὸ γεγραμμένον. « Ἀπέδρα τε ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. » Οἷς καὶ ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει λέγων · « Χαίρετε ἐν Κυρίῳ πάντοτε · πάλιν ἐρῶ, χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. » Ἕψεται γὰρ ὥσπερ τοῖς ἀλιτηρίοις τὸ κολάζεσθαι δεῖν, οὕτω καὶ τοῖς ἄνωθεν καταπλουτεῖν ἀγαθοῖς, οἷς ἂν γένοιτο σκοπὸς τὸ διαβιῶναι λαμπρῶς.

Καὶ ἀφανιῶ ἄμπελον αὐτῆς, καὶ τὰς συκᾶς αὐτῆς ὅσα εἶπε · Μισθώματά μου ταῦτά ἐστιν, ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου, καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον, καὶ καταφάγεται αὐτὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑρπετὰ τῆς γῆς.

Κ'. Τοῦτο δὴ πάλιν ἑτέρως ἔστιν εἰπεῖν, τὸ, « Ἀφελοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ, καὶ τὸν οἶνόν μου ἐν καιρῷ αὐτοῦ. » Ἐπειδὴ γὰρ τὰς τῶν ὡρῶν εὐκαρπίας ταῖς τῶν δαιμονίων δυνάμεσι καὶ φιλοτιμίαις προσνέμων ὁ Ἰσραὴλ, καὶ ἀδουλότατα δρῶν, αὐτοῖς ἀνετίθει τὰ χαριστήρια, καὶ οὐχὶ μᾶλλον Θεῷ, ταύτηνοι, φησὶν, ὡς ἀφανιῶ καὶ καταφθερῶ τὰ δι' ὧν ἐκείνη χειρόνως πεπλάνηται, μεμισθαρνηκέναι λέγουσα παρὰ τῶν ἰδίων ἐραστῶν. Καὶ πεποίηται μὲν ἀστείως ὡς ἐπὶ μαχλώσης γυναικὸς ὁ λόγος. Ὡς τό γε μὴν κατὰ ἀλήθειαν ὁ Ἰσραὴλ, ὅτι μισθὸς αὐτοῖς καὶ ἀντέκτισις τῆς εἰς τὰ εἴδωλα τιμῆς καὶ λατρείας, τὸ τῶν ὡρίμων ἀμφιλαφὲς καὶ τὸ εὔκαρπον περιτυγχάνειν τῇ γῇ. Ὅτι δὲ καὶ τῆς ἄλλης ἁπάσης αὐτοῖς εὐθυμίας παρακεῖσθαι τὴν μέθεξιν ταύτης ἕνεκα καὶ μόνης ᾠοντο τῆς αἰτίας, εἰδείη τις ἂν καὶ μάλα ῥᾳδίως, τοῖς Ἱερεμίου λόγοις ἐντυχών. Ἑάλω μὲν γὰρ τὰ Ἱεροσόλυμα · διαπεφευγότες δέ τινες τοῦ πολέμου τὴν ἀκμὴν, κατέβησαν εἰς τὴν Αἴγυπτίων, καὶ σὺν αὐτοῖς ὁ προφήτης, κατὰ θείαν ὁμφήν. Ἐκεῖσε γοῦν συνεβούλευε λέγων, τῆς εἰδωλολατρίας παύσασθαι μολυσμῶν, καὶ παλινδρομεῖν ἐλέσθαι πρὸς Θεόν. Εἶτα γυναίων ἀθλία τε καὶ ἀνοωτάτη πληθὺς, τοῖς τοῦ προφήτου πάλιν ἀντεφέροντο λόγοις, καὶ δὴ καὶ ἔφασκον ἀναιδῶς · « Τὸν λόγον ὃν ἐλάλησας πρὸς ἡμᾶς τῷ ὀνόματι Κυρίου, οὐκ ἀκουσό-

[30] III. Reg. XVIII, 21. [31] Isa. XLVIII, 22. [32] Isa. LXVI, 24. [33] Isai. XXXV, 10. [34] Philipp. IV, 5.

Digitized by Google

μεθά σου, ὅτι ποιοῦσαι ποιήσομεν πάντα τὸν λόγον, A mini, non audiemus te, quia facientes faciemus
ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ omne verbum, quod egredietur de ore nostro,
βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδάς, ut adoleamus reginæ cœli, et libemus libamina,
καθὰ ἐποιήσαμεν ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν, καὶ sicut fecimus nos et patres nostri, et reges no-
οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν, ἐν πόλεσιν stri, et principes nostri, in urbibus Juda, et de-
Ἰούδα, καὶ ἔξωθεν Ἰερουσαλήμ. Καὶ ἐπλήσθημεν foris Jerusalem, et saturati sumus panibus, et
ἄρτων, καὶ ἐγενόμεθα χρηστοὶ, καὶ κακὰ οὐκ εἴδο- facti sumus boni, et mala non vidimus. Et ut cessa-
μεν. Καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ vimus adolentes reginæ cœli, et libantes ei liba-
οὐρανοῦ, ἠλαττώθημεν πάντες ἡμεῖς, καὶ ἐν ῥομφαίᾳ mina, indiguimus omnes nos, et in gladio, et in
καὶ ἐν θυμῷ ἐξελίπομεν. » Συνίης οὖν ὅπως μονονου- fame defecimus [35]. » Animadvertis igitur quomo-
χὶ καὶ ἀντέκτισιν τοῦ πεπλανῆσθαί φησιν ἐσχη- do res ad usum vitæ necessarias, et insuper
κέναι τὰ ζωαρκῆ, καὶ πρός γε δὴ τούτῳ τὸ εὐημε- prosperum rerum statum ut erroris sui mer-
ρεῖν; « Ἀφανιῶ τοιγαροῦν, φησὶν, ἃ εἶπε, Μισθώ- cedem ac præmium se recepisse dicant? ait ergo:
ματά μου ταῦτά ἐστιν, ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου, « Disperdam de quibuscunque dixit, Mercedes
καὶ θήσομεν καὶ αὐτὰ εἰς μαρτύριον. » Καταμαρτυ- meæ sunt **43** istæ, quas dederunt mihi amato-
B ρήσει γὰρ ὥσπερ τῆς τοῦ Ἰσραὴλ μοχθηρίας ἀφ- res mei, et ponam ea in testimonium. » Ablata enim
ῃρημένα ταυτὶ, καὶ τὴν δίκην αὐτοῖς ἐπισημοτέραν hæc Israelis perversitatem testificabantur quo-
ἐργάσεται, καὶ καταφανῆ ποιήσει τὴν ὀργήν. « Ἔδε- dammodo, et ipsius pœnam illustrabant, divinam-
ται δὲ αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ que iram adversus eumdem declarabant. « Come-
οὐρανοῦ, καὶ τὰ ἑρπετὰ τῆς γῆς. » Νοοῖτο δ' ἂν οὐ καθ' dent ea bestiæ agri, et volucres cœli, et reptilia
ἓνα ταυτὶ δὴ τρόπον, τριχῇ δὲ μᾶλλον τὰ ἐκ τοῦ ση- terræ. » Quæ quidem non uno, sed tribus modis
μαινομένου ληφθήσεται. Ἢ γὰρ ἐκεῖνό φησιν, ὅτι explicare licet. Aut enim hoc dicit, bestiarum
θηρίων ἔσται τροφὴ τὰ ἐν ἀγροῖς, ὡς οὐκ ὄντος ἔτι cibum fore quæ sunt in agris, utpote non ex-
τοῦ κατοικοῦντος τὴν γῆν, διὰ τὸ πλείστους μὲν ὅσους stante amplius qui terram habitet; quoniam lon-
οἴκων τέ καὶ πόλεων ἐκσεσοβημένους ἀποδραμεῖν ge plurimi domibus et urbibus expulsi, Babylo-
οὐχ ἑκόντας εἰς Βαβυλῶνα καὶ Μήδους, δεδαπανῆ- nem, et ad Medos inviti abierint; alii præterea
σθαι δὲ τῷ πολέμῳ καὶ ἑτέρους ὅσους, ὡς ὑπὸ μό- non pauci bello absumpti sint, ut jam a bestiis
νων ἤδη θηρίων τε καὶ ἑρπετῶν τῶν Σαμαρειτῶν tantum et reptilibus Samaritanorum regio incolatur.
οἰκεῖσθαι χώραν· ἤγουν ἐκεῖνο πάλιν, ὅτι τῆς χώρας Aut certe hoc vult, frugum copiam regionis Ba-
εὐκαρπίαν οἷά τινες θῆρες οἱ Βαβυλώνιοι θοινήσον- C bylonios in morem bestiarum devoraturos, inco-
ται, τῶν ἐνοικούντων τὴν γῆν, ταῖς τετειχισμέναις lis intra muros urbium se tenentibus, nec vel ad
τῶν πόλεων ἐνισχημένων καὶ οὐδὲ, ὅσον εἰπεῖν, ἐπ- momentum extra portas prodire audentibus, quam-
έκεινα πυλῶν ἰέναι τολμώντων, καίτοι καταφθείρον- vis fame moriantur.
τος τοῦ λιμοῦ.

Εἰ δέ τῳ δοκεῖ συνιέναι πνευματικῶς, καὶ δι' ἑτέ- Quod si cuipiam hæc spiritualiter intelligenda
ρας ἂν ἴοι τρίβου. Ἀμπελῶνι μὲν γὰρ καὶ συκῇ videntur, ei alia quoque via licitum est ire. Vi-
παρεικαστέον εὖ μάλα τὴν διὰ νόμου παίδευσιν, ἀπο- neæ namque et ficui commodissime comparari
κομίζουσαν εἰς Χριστόν. Παιδαγωγεῖ γὰρ εἰς τοῦτο, potest per legem institutio, ad Christum deducens.
κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Καὶ ἄμπελος Ad hoc enim illa noster pædagogus est, juxta vo-
μὲν εὐφρασίας ἂν νοοῖτο σύμβολον, γλυκύτητος δὲ cem beati Pauli [36]. Et vinea quidem lætitiæ, dulce-
συκῆ. Ὅτι δὲ ψυχῇ φιλοθέῳ γλυκὺς ἀληθῶς ὁ τοῦ dinis autem ficus symbolum accipi potest. Esse
Θεοῦ νόμος, καὶ κατευφραίνειν εἰδὼς, πῶς ἂν ἐν- autem animæ Deum amanti legem revera dulcem,
δοιάσειέ τις; Οὐκοῦν ἀμέτοχος μὲν ὁ Ἰσραὴλ ἀπομε- et posse eam exhilarare, quid est cur quisquam
μένηκεν ἀναγκαίως τῶν ἄνωθεν καὶ πνευματικῶν dubitet? Quapropter Israel supernorum spiritua-
ἀγαθῶν. Δέδονται δὲ πρὸς μετάληψιν τοῖς οἱονεὶ θη- D liumque bonorum expers manere debuit, et tan-
ρίοις τε καὶ ἑρπετοῖς, φημὶ δὴ τοῖς ἐξ ἐθνῶν, οἳ quam belluis ac reptilibus in prædam data est,
πρὸ τῆς Σωτῆρος ἐπιδημίας ὀλίγα διενεγκεῖν θηρῶν gentibus, inquam, quas ante Christi adventum a
τε καὶ ἑρπετῶν ἰοβόλων ὑπονοηθεῖεν ἄν, διὰ τὴν feris et reptilibus venenatis, propter agrestem
σκαιότητα τῶν τρόπων. Πλὴν οὐ μεμενήκασιν ἐν morum inurbanitatem parum discrepuisse existi-
τούτοις, ἀκολουθεῖν ἠρημένοι λέγοντι τῷ Χριστῷ· mare licet. Sed tamen tales non permanserunt, ubi
« Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ Christum sequi instituerunt, dicentem: « Discite a
καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. » me, quia mitis sum et humilis corde, et invenie-
Προσθείην δ' ἂν ἐγωγε τοῖς εἰρημένοις καὶ τόδε· ὡς tis requiem animabus vestris [37]. » Fas porro dictis
ἔστιν ἀνάγκη τοῖς τὸν ἐπάρατον καὶ θεομισῆ τρί- hoc unum addere, maledictam, et Deo invisam
βουσι βίον, καὶ ἀπολισθῆναι δεῖν παντὸς ἀγαθοῦ, viam ambulantes, velint nolint omni bono excedere,
καὶ ἐν ταῖς ἁπασῶν ἐσχάτοις γενέσθαι ταλαιπω- et ad extremas miserias devolvi.
ρίαις.

[35] Jerem. XLIV, 16-18. [36] Galat. III, 24. [37] Matth. XI, 29.

Digitized by Google

Et ulciscar super eam dies Baalim, in quibus immolabat eis, et circumdabat 44 *inaures suas, et monilia sua, et ibat post amatores suos : mei autem oblita est, dicit Dominus.*

XXI. Tam severæ, imo etiam in illos convenientissimæ indignationis causam iterum subjungit. Quia enim in errore admodum diu perstiterunt, æquali temporis diuturnitate eos Dei iram experturos affirmat. Hoc sibi vult, opinor : « Ulciscar super eam dies Baalim, » hoc est idolorum. Exæquabunt enim plane, inquit, dies erroris, quibus incensum adolevit Baal, dies supplicii et ultionis. Non enim destitit se ornare, et velle multifariam placere suis amatoribus. Ornatus autem animarum idololatriæ implicitarum est illa persequi et factitare quæ impuris dæmonibus arrident. Sicut enim conspicuam esse dicimus hominis animam, in qua virtutis excellentia, et pulchritudo perspicitur : sic animam peccatis amicam, cogitantemque et agentem ex instituto quæ dæmonum gregibus jucunda et accepta sunt, longe pulcherrimam illis esse statuendum est. Talis anima cum muliere improba, auro se stulte exornante, ornamentisque aurium et colli amatorum suorum corda propemodum incantante conferri potest. Quamdam igitur dignitatem parit improbis omne genus immunditiæ. Quorum autem scopus est ad illa respicere, iis etiam solemne et necessarium esse ipsius quoque Dei oblivisci, ostendit cum dicit : « Mei autem oblita est, dicit Dominus. » Ubi enim infirmata est, inquit, dæmonibus adhærendo, imo a desiderio et propensione ad bonum penitus discedendo, ipsa quoque Dei memoria decidit, quæ totius impietatis aperta demonstratio est.

VERS. 14. *Ideo ecce ego seduco eam, et ponam illam quasi desertum.*

XXII. Postquam enim, inquit, illa multis modis offendit, ego autem defectionis pœnas justissime repoposci (ultus sum enim super eam dies Baalim, et proportione delictorum sævii); ideo in posterum ad misericordiam me dabo, et eam ad meliora, et ad facultatem ea præstandi, per quæ Deo grata evadere queat, transferam. Quis ergo, inquit, modus erit sanationis ? « Ecce ego seduco illam : » non sane ab eo quod tuendæ vitæ necessarium est atque utile, ut deinceps tale non 45 sit : sed a turpibus, et nocere solitis ad utilia. Quemadmodum enim a virtute ad vitia seducitur anima; ita ut, arbitror, a moribus perversis velut retrogrediens, seducta propemodum videri queat, e scopo suo detorta, et proposita semita non amplius currens. Et sicut ejus viæ utiliter palis impediebantur, ne amatores suos assequeretur : ita et nunc veluti per præceps in perniciem et exitium errare videtur, ad amorem virtutis Deo miserante translata, et vera Dei cognitione in animum, et lumine

Καὶ ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλείμ, ἐν αἷς ἐπέθυεν αὐτοῖς, καὶ περιετίθετο τὰ ἐνώτια αὐτῆς, καὶ τὰ καθόρμια αὐτῆς· καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει Κύριος.

ΚΑ'. Ἐπιφέρει πάλιν εὐθὺς τῆς οὕτω δεινῆς μᾶλλον δὲ καὶ λίαν πρεπωδεστάτης αὐτοῖς ἀγανακτήσεως τὴν αἰτίαν Ἐπειδὴ γὰρ μακροὺς ἐν τῷ πεπλανῆσθαι διατετελέκασι χρόνους, ἐν ἴσαις καιρῶν παρατάσεσι, φησὶν, ἕξουσι τὴν ὀργήν. Τοῦτο, οἶμαι, ἐστὶ τὸ, « Ἐκδικήσω ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλείμ, » τουτέστι τῶν εἰδώλων. Ἰσομοιρήσει γὰρ πάντως, φησὶ, ταῖς τῆς πλανήσεως ἡμέραις, ἐν αἷς ἐθυμία τῇ Βάαλ, τὰ ἐκ ποινῆς τε καὶ δίκης. Οὐ γὰρ διαλέλοιπεν ὡραΐζομένη, καὶ τοῖς ἑαυτῆς ἐρασταῖς ἀνδάνουσα πολυτρόπως. Κόσμος δὲ ψυχαῖς εἰδωλολατρεῖν ἠρημέναις, τὸ ἐκείνα πληροῦν, ἃ τοῖς ἀκαθάρτοις δαιμονίοις δοκεῖ. Ὥσπερ γὰρ ἀπόβλεπτον εἶναί φαμεν ἀνθρώπου ψυχὴν, ἥπερ ἂν ὁρῷτο προσὸν τὸ διαπρέπειν ἐν ἀρεταῖς· οὕτω καὶ ψυχὴν τὴν φιλαμαρτήμονα ταῖς τῶν δαιμονίων ἀγέλαις ὑποτοπητέον εἶναι περικαλλῆ, φρονεῖν τε καὶ δρᾷν ἑλομένην πᾶν ὅ τί ἐστιν ἡδύ τε αὐτοῖς καὶ φίλον. Παρεικάζοιτο δ' ἂν ἡ τοιαύτη ψυχὴ γυναικὶ τοὺς τρόπους οὐκ ἀγαθῇ, ἣ καὶ ἐξιτήλως χρυσαΐζεται, μόνον δὲ οὐχὶ καὶ τοῖς εἰς ὠτία καὶ δέρην κοσμήμασι τὴν τῶν ἐρώντων αὐτῆς καταγοητεύει καρδίαν. Σεμνύνει δὴ οὖν ἄρα τοὺς πονηροὺς πᾶν εἶδος ἀκαθαρσίας. Ὅτι δὲ, οἷς ὁ σκοπὸς πρὸς ἐκεῖνα βλέπειν, τούτοις ἂν εἴη σύνηθές τε καὶ ἀναγκαῖον τὸ καὶ αὐτῆς ἀπολισθεῖν τῆς τοῦ Θεοῦ μνήμης, δέδειχεν εἰπών· « Ἐμοῦ δὲ ἐπελάθετο, λέγει Κύριος. » Ἐπειδὴ γὰρ κατηρρύωστησε, φησὶ, τῷ προσκεῖσθαι τοῖς δαιμονίοις, μᾶλλον δὲ καὶ ὁλοτρόπως ἀποφοιτᾷν τῆς εἰς τὸ ἀγαθὸν ἐφέσεώς τε καὶ προθυμίας, καὶ αὐτῆς ἀπώλισθε τῆς τοῦ Θεοῦ μνήμης. Τοῦτο δέ ἐστι τῆς εἰσάπαν δυσσεβείας ἀπόδειξις ἐναργής.

Διὰ τοῦτο ἰδοὺ ἐγὼ πλανῶ αὐτὴν, καὶ τάξω αὐτὴν ὡς ἔρημον.

ΚΒ'. Ἐπειδὴ γὰρ, φησὶν, αὕτη μὲν ἐξώκειλε πολυτρόπως, ἐζήτησα δὲ καὶ λίαν ὀρθῶς τῆς ἀποστασίας τὰς δίκας (ἐκδεδίκηκα γὰρ ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλείμ, καὶ ἰσοπαλῆ τοῖς πταίσμασιν ἐπενήνοχα τὴν ὀργήν)· ταύτῃ τοι λοιπὸν εἰς ἕλαιον μεταστήσομαι, καὶ πρὸς τὸ ἄμεινον μετακομιῶ, πρός τε τὸ δύνασθαι πληροῦν τὰ δι' ὧν ἂν γένοιτο θεοφιλής. Τίς δὴ οὖν ἄρα, φησὶν, ὁ τῆς ἀκέσεως ἔσται τρόπος ; « Ἰδοὺ ἐγὼ πλανῶ αὐτήν· » οὐκ ἀπό γε τοῦ ἀναγκαίου καὶ χρησίμου πρὸς ζωὴν πρὸς τὸ μὴ οὕτως ἔχον, ἀλλ' ἐκ τῶν αἰσχιόνων καὶ ἀδίκειν πεφυκότων ἐπὶ τὸ τελοῦν εἰς ὄνησιν. Ὥσπερ γὰρ ἐξ ἀρετῆς εἰς φαυλότητα πλανᾶται ψυχή· τὸν αὐτὸν, οἶμαι, τρόπον ἐκ τῶν τῆς φαυλότητος τρόπων ἀνόπιν ὥσπερ ἰοῦσα, μονονουχὶ πεπλανῆσθαι δόξειεν ἄν, τοῦ ἰδίου σκοποῦ παρενηνεγμένη, καὶ τρίβον οὐκέτι τὴν προτεθεῖσαν διάττουσα. Καὶ ὥσπερ αὐτῆς αἱ ὁδοὶ χρησίμως τοῖς σκόλοψιν ἀνεφράττοντο, ἵνα μὴ καταλάβῃ τοὺς αὐτῆς ἐραστάς· οὕτω καὶ νῦν οἱονεί πως τρέχουσα κατὰ πρανοῦς εἰς ὄλεθρον καὶ ἀπώλειαν, ἐλέῳ Θεοῦ πρὸς ἀ-

Digitized by Google

νᾶσθαι δοκεῖ, μεθισταμένη πρὸς ἔφεσιν ἀρετῆς, καὶ τῆς ἀληθοῦς θεογνωσίας εἰς νοῦν καὶ καρδίαν δεχομένη τὸ φῶς, καὶ τὴν ἀρχαίαν, ὡς ἔφην, οὐκέτι τρίβον εὑρίσκουσα. Ἰστέον δὲ, ὅτι τὸ, « Πλανῶ αὐτήν, » τοῖς ἑτέροις ἑρμηνευταῖς εἴρηται μὲν ἄλλως. Πλὴν, εἰς ἕνα καὶ τὸν αὐτὸν ἀποπεραίνεται νοῦν. Ἐκδεδώκασι γὰρ, οἱ μὲν, « ὅτι ἰδοὺ ἐγὼ ἀποφέρω αὐτήν· » οἱ δὲ, « ὅτι ἀπατῶ αὐτήν· » ἑτεροτρόπως, ὡς ἔφην, αὐτὸ δὴ τοῦτο σημαίνοντες, τὸ, « Πλανῶ, » φημὶ, χρησίμως νοούμενον. Βάσιμον δὲ οὖσαν, καὶ οἷον ἔνυδρον γῆν ταῖς τῶν δαιμονίων ἀγέλαις, τάξειν ἔρημον ἐπαγγέλλεται, διδάσκων, ὅτι σκληρόν τε καὶ ἀτιθῆ καὶ ἄνυδρον ἀποφανεῖ τοῖς ἐκείνων θελήμασιν, ὡς ἀναπαύλης οὐδένα λοιπὸν εὑρίσκοντας τρόπον, παραιτεῖσθαι καὶ ἀποφοιτᾷν.

A in cor suscepto, et viam pristinam, ut dixi, non amplius iuveniens. Sciendum porro, illud « seduco ipsam » alios aliter reddidisse. Verumtamen ad unum et eumdem finem recidit. Ediderunt enim quidam : « Quia ecce ego aufero ipsam. » Alii, « quia decipio ipsam, » aliis vocibus, ut dicebam, hoc ipsum significantes ; illud « seduco, » inquam, utiliter intellectum. Perviam autem, et velut aquosam terram dæmonum catervis positurum se desertam promittit, docens, asperam, inviam et inaquosam illorum cupiditatibus facturum, ut requiei nullum de cætero modum reperientes, eam aspernentur, et abscedant.

Οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τὸ ἐξελθὸν ἀκάθαρτον πνεῦμα ἐκ τοῦ ἀνθρώπου διέρχεσθαί φησι δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν, καὶ μὴ εὑρίσκειν. Ὥσπερ γὰρ ἀνθρώποις οὐκ οἰκήσιμος ὁ ἄνυδρος χῶρος· οὕτω καὶ ἀκαθάρτοις πνεύμασι πονηρὰ καὶ ἀπηχθημένη, καὶ οἷον ἄβατός τε καὶ ἄνυδρος γῆ νοεῖτ' ἂν εἰκότως ἡ θεοφιλὴς καὶ ὁσία ψυχὴ, καὶ τὰ ἐκείνοις καθ' ἡδονὴν, ἢ φρονεῖν, ἢ δρᾷν οὐκ ἀνεχομένη. Ἐπικουρίας οὖν ἄρα τρόπος ἡ ἐνθάδε λεγομένη πλάνησις, καὶ μὴν καὶ τὸ εἰς ἔρημον κατατάττεσθαι γῆν, κατά γε τοὺς ἀρτίως ἡμῖν εἰρημένους λόγους.

B Sic etiam Dominus noster Jesus Christus [38] egressum spiritum immundum ab homine ambulare ait per loca inaquosa, quærentem requiem, nec invenientem. Nam ut hominibus locus aquis carens non est habitabilis, ita et immundis spiritibus mala et molesta, et velut invia et inaquosa terra non injuria intelligatur Dei amans, et ad illorum placitum nihil aut cogitare aut facere sustinens anima. Modus igitur auxilii est, quæ hic dicitur seductio, atque etiam in desertam terram, seu solitudinem constitui, juxta id quod jam a nobis dictum est.

Καὶ λαλήσω ἐπὶ τὴν καρδίαν αὐτῆς, καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς ἐκεῖθεν.

Et loquar ad cor ejus, et dabo illi possessiones ejus inde.

ΚΓ'. Ἐν τούτοις ἡμῖν ὁ λόγος τὴν διὰ Χριστοῦ σωτηρίαν καθυπισχνεῖται λαμπρῶς, καὶ τῶν τῆς ἐπιδημίας διαμένηται χρόνων, καθ' οὓς πεπληρῶσθαί φαμεν τὸ, « Ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ διδοὺς δώσω νόμους μου εἰς διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐγγράψω αὐτούς. » Οὕτω γὰρ δὴ καὶ ὁ σοφώτατος Παῦλος, τοῖς τὴν οὕτω λαμπρὰν καὶ ἀξιόληπτον ἀληθῶς καταπλουτήσασι χάριν ἐπιστέλλει, λέγων· « Ἡ ἐπιστολὴ ἡμῶν ὑμεῖς ἐστε ἐγγεγραμμένη ἐν ταῖς καρδίαις ἡμῶν, γινωσκομένη καὶ ἀναγινωσκομένη ὑπὸ πάντων ἀνθρώπων, φανερούμενοι ὅτι ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ πνεύματι Θεοῦ ζῶντος. » Διδακτοὶ γὰρ Θεοῦ γεγόναμεν οἱ πεπιστευκότες. Καὶ γοῦν ὁ θεσπέσιος Ἰωάννης προσπεφώνηκε, λέγων· « Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου· καὶ οὐ χρείαν ἔχετε, ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλὰ καθὼς τὸ αὐτοῦ πνεῦμα διδάσκει ὑμᾶς περὶ πάντων. » Καὶ εἰς καρδίαν ἔσω λοιπὸν ἔχοντες αὐτὸν ἐνοικοῦντα Χριστὸν, τῶν ἀναγκαίων εἰσηγητὴν, ἁπάσης εὐθὺς ἀρετῆς ἰδέαν πεπλουτήκαμεν, καὶ τὴν τῶν πνευματικῶν χαρισμάτων ἀμφιλαφῆ τε καὶ ἀναπόβλητον κτῆσιν. Καὶ δὴ πρὸς τοῦτο ἡμᾶς ἐμπεδοῖ γράφων Παῦλος· « Ὅτι ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, [καὶ] ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν. » Ἐπαγγέλλεται τοίνυν λαλήσειν εἰς τὴν καρδίαν αὐτῆς· κεκλήσεται γὰρ εἰς ἐπίγνωσιν ἡ

XXIII. His verbis salus per Christum nobis liquido promittitur, et tempora adventus significantur, quibus impletum dicimus illud : « In diebus illis, et in tempore illo dans dabo leges meas in mentem eorum, et in corda eorum inscribam eas [39]. » Sic enim sapientissimus Paulus adeo ampla et acceptione digna gratia vere divitibus scribit : **46** « Epistola nostra vos estis, scripta in cordibus nostris, quæ scitur et legitur ab omnibus hominibus : manifestati, quod epistola estis Christi, ministrata a nobis, scripta non atramento, sed spiritu Dei vivi [40]. » A Deo enim docti evasimus, qui credidimus. Itaque sanctus Joannes sic nos alloquitur : « Et vos unctionem habetis a sancto, et non necesse habetis ut aliquis doceat vos : sed sicut spiritus ejus docet vos de omnibus [41]. » Et in corde intus de cætero Christum habitantem continentes, necessariorum monitorem, protinus virtutis forma, spiritualiumque charismatum uberi et indepræ dabili possessione ditati sumus. Atque etiam ad hoc nos confirmat Paulus, scribens : « Quia oculus non vidit, et auris non audivit, et in cor hominis non ascendit, quæ præparavit Deus diligentibus se [42]. » Pollicetur itaque se locuturum ad cor ejus. Vocabitur enim ad agnitionem Judæorum Synagoga, divinas leges mente complexa, inscriptas per Spiritum sanctum, perinde ut ex gentibus Ecclesia congregata. Erunt autem possessiones ejus inde, pro hinc,

[38] Matth. xii, 43, 44. [39] Jerem. xxxi, 33. [40] II Cor. iii, 2, 3. [41] Joan. ii, 27. [42] I Cor. ii, 9.

Digitized by Google

seu ex hoc tempore, sive ex hac re. Ex quo enim locutus est Deus in nobis, et per Spiritum insonuit quæcunque ad vitam, et cognitionem Dei in Christo intellectam requiruntur, per quem, et in quo Patrem vidimus, spe immarcescibilis gloriæ [43], gloriationis, gratiæ, adoptionis, societatis regnandi cum Christo ipso divitias consecuti sumus. Hæ sunt sanctorum possessiones, hæ cœlestes opes. Nihil enim terrenum sapere queunt, oderuntque mundum et quæ in eo sunt.

A τῶν Ἰουδαίων Συναγωγὴ, τοὺς θείους εἰς νοῦν λαβοῦσα νόμους, ἐγκεχαραγμένους διὰ τοῦ Πνεύματος, καθὰ καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία· ἔσται δὲ τὰ κτήματα αὐτῆς ἐκεῖθεν, ἀντὶ τοῦ ἐντεῦθεν, ἤγουν τοῦδε τοῦ πράγματος. Ἀπὸ γάρ τοι τοῦ λαλῆσαι Θεὸν ἐν ἡμῖν, ἐνηχῆσαί τε καὶ τοῦ πνεύματος τὰ ὅσαπέρ ἐστιν ἀναγκαῖα πρὸς ζωὴν καὶ θεογνωσίαν τὴν ἐν Χριστῷ νοουμένην, δι' οὗ καὶ ἐν ᾧ τὸν Πατέρα τεθεάμεθα, πεπλουτήκαμεν, ὡς ἔφην, τὴν ἀμάραντον ἐλπίδα, τὴν δόξαν, τὰ αὐχήματα τῆς υἱοθεσίας, τὴν χάριν, καὶ τὸ αὐτῷ συμβασιλεῦσαι Χριστῷ. Αὗται τῶν ἁγίων αἱ κτήσεις, οὗτος ὁ οὐράνιος πλοῦτος. Φρονεῖν μὲν γὰρ ἀνέχονται τῶν ἐπιγείων οὐδέν· μεμισήκασι δὲ τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ.

VERS. 15. *Et vallem Achor, ad averiendam intelligentiam ejus.*

Καὶ τὴν κοιλάδα Ἀχὼρ, διανοῖξαι σύνεσιν αὐτῆς.

XXIV. Repetendum est ex superioribus verbum, « Dabo. » Inquit enim : « Dabo possessiones ejus inde : dabo similiter vallem Achor, aperire intelligentiam ejus. » Et quod significare vult, id hujusmodi est. Nos qui credidimus, rerum agendarum veluti formam et exemplar nobis proponere studentes ea quæ veteribus contigerunt, ut exitiosum quiddam aversamur Deum offendere : quin potius quærimus, et solliciti sumus, quo pacto illi placita faciamus. Sapientissimus enim Paulus in hæc verba nos hortatur : « Hæc autem in figura contingebant **47** illis; scripta sunt autem ad correptionem nostram, in quos fines sæculorum devenerunt [44]. » Ratio igitur pædagogiæ seu institutionis ad virtutem est, ut, quæ veteribus evenerunt, nobis omnino inspicienda et consideranda putemus. Quod igitur increduli et rebelles divinorumque mandatorum contemptores in pœnas horribiles et inevitabiles, Christo judicante, incident, planissime ostendere, tanquam in imagine poterunt, quæ quondam in Achar gesta sunt [45], qui contempto præcepto divino, et de thesauro pretiosiora furatus, a Jesu Nave Christi typum gerente, cum tota domo sua extremo supplicio est mactatus. Duxit enim post Moysem populum, et filios Israel per Jordanem traduxit, idemque terram promissionis iisdem distribuit [46]. Sic autem de Achar commemorata se habent. Simul enim furti compertus, et peccatum confessus est, « et accepit, inquit, Jesus Achar filium Zaræ, et abduxit eum ad vallem Achor, filios ejus, et filias ejus, et vitulos ejus, et subjugalia ejus, et oves ejus, et tabernaculum ejus, et cunctam supellectilem ejus, et omnis populus cum eo, et duxerunt eos ad Ἐμεκαχώρ, id est vallem Achor. Et dixit Jesus ad Achar : Quare perdidisti nos? Perdat te Dominus sicut et hodie. Et lapidavit eum omnis populus Israel, et congregaverunt super eum acervum lapidum magnum [47]. » Achor igitur exponitur *distortio*, seu *perversio*. Juncta autem vox Ἐμεκαχώρ, intelligitur *vallis perversionis*. Ibi Achar, ut Deo exosum, divitiarumque avidum filii Israel occiderunt, cum omnibus quæ habebat. Scriptum est enim « impios radicitus de terra perituros [48]. » Similiter fiet in extremis sæculi temporibus, quando nobis

B ΚΔ'. Ἔφεται πάλιν τῷ λόγῳ τὸ, « Δώσω. » « Δώσω γάρ, φησὶ, τὰ κτήματα αὐτῆς ἐκεῖθεν. Δώσω δὲ ὁμοίως τὴν κοιλάδα Ἀχὼρ, διανοῖξαι σύνεσιν αὐτῆς. » Καὶ ὃ βούλεται δηλοῦν, ἔστι τοιοῦτον· Ἡμεῖς οἱ πεπιστευκότες, ὑποτύπωσίν τινα τῶν πρακτέων τὰ τοῖς ἀρχαίοις συμβεβηκότα ποιεῖσθαι σπουδάζοντες, παραιτούμεθα μὲν ὡς ὀλέθρου πρόξενον τὸ προσκρούειν Θεῷ· ζητοῦμεν δὲ μᾶλλον, καὶ διὰ φροντίδος πεποιήμεθα τὸ ἀποπεραίνειν τὸ ἀνδάνον αὐτῷ. Προτρέπει γὰρ ἡμᾶς εἰς τοῦτο καὶ ὁ σοφώτατος Παῦλος, οὕτω λέγων· « Ταῦτα δὲ τυπικῶς συνέβαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήντησεν. » Τρόπος οὖν ἄρα παιδαγωγίας εἰς ἀρετὴν, τὸ δεῖν οἴεσθαι καθορᾶν τὰ τοῖς ἀρχαιοτέροις συμβεβηκότα. Ὅτι τοίνυν οἱ ἀπειθεῖς, καὶ ἐξήνιοι, καὶ τῶν θείων καταφρονηταὶ, δεινῇ καὶ ἀφύκτῳ περιπεσοῦνται δίκῃ, κρίνοντος τοῦ Χριστοῦ, παραδείξειεν ἄν, καὶ μάλα ῥᾳδίως, ὡς ἔν γε τοῖς τύποις, τὰ ἐπὶ τῷ Ἄχαρ πεπραγμένα κατὰ καιρούς. Ὃς τῆς θείας ἀλογήσας ἐντολῆς, καὶ κεκλοφὼς ἐκ τοῦ ἀναθήματος, τετιμώρηται πανοικὶ, ποινὴν ἐπαρτήσαντος τὴν ἐσχάτην αὐτῷ Ἰησοῦ τοῦ Ναυῆ, τὴν τοῦ Χριστοῦ πληροῦντος εἰκόνα. Ἐστρατήγησε γὰρ μετὰ Μωσέα, καὶ αὐτὸς διεβίβασε τὸν Ἰορδάνην τοὺς υἱοὺς Ἰσραὴλ, καὶ αὐτὸς αὐτοῖς κατεκληροδότησε τῆς ἐπαγγελίας τὴν γῆν. Ἔχει δὲ οὕτω τὰ ἐπὶ τῷ Ἄχαρ γεγραμμένα. Ἐπειδὴ γὰρ ἐάλω κεκλοφὼς, καὶ ὡμολόγησε τὴν ἁμαρτίαν, « Καὶ ἔλαβε, φησὶν, Ἰησοῦς τὸν Ἄχαρ υἱὸν Ζαρὰ, καὶ ἀπήγαγεν αὐτὸν εἰς φάραγγα Ἀχὼρ, καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια αὐτοῦ, καὶ τὰ πρόβατα αὐτοῦ, καὶ τὴν σκηνὴν αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ πᾶς ὁ λαὸς μετ' αὐτοῦ, καὶ ἀνήγαγεν αὐτοὺς εἰς Ἐμεκαχώρ. Καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ· Τί ὅτι ὠλόθρευσας ἡμᾶς; Ἐξολοθρεύσαι σε Κύριος, καθὰ καὶ σήμερον. Καὶ ἐλιθοβόλησαν αὐτὸν λίθοις πᾶς Ἰσραὴλ, καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων μέγαν. » Ἀχὼρ μὲν οὖν ἑρμηνεύεται *διαστροφή*. Προσεπενηνεγμένου δὲ τοῦ Ἐμεκαχώρ, νοεῖται δὴ πάλιν *κοιλὰς διαστροφῆς*. Ἐκεῖ τὸν Ἄχαρ ἀπεκτόνασιν ὡς θεομισῆ καὶ φιλόπλουτον οἱ υἱοὶ Ἰσραὴλ, προσθέντες αὐτῷ καὶ πάντα τὰ αὐτοῦ. Γέγραπται γὰρ, ὅτι « Οἱ ἀσεβεῖς ὀλοθρίζοι ἐκ γῆς

[43] I Petr. v, 4. [44] I Cor. x, 2. [45] Jos. vii, 25. [46] Jos. iii, 1. [47] Jos. vii, 24-26. [48] Psal. li, 7.

Digitized by Google

ὁλοῦνται. » Οὕτως ἔσται καὶ ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς, ὅταν ἡμῖν ἄνωθεν ἐξ οὐρανοῦ καθίκηται Χριστὸς, « Ἀποδώσων ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. » Τοὺς γὰρ ἀπειθεῖν ἠρημένους ταῖς θείαις ἐντολαῖς, καὶ τὰ ἐν κόσμῳ μᾶλλον ἠγαπηκότας, οἷον εἰς φάραγγα βαθεῖαν τὸν ᾅδην κατενεγκὼν, « κακοὺς κακῶς ἀπολέσει. » « Δώσω » τοίνυν, φησὶ, « τὴν κοιλάδα Ἀχὼρ, ἤτοι Ἐμεκαχὼρ, εἰς τὸ διανοῖξαι σύνεσιν αὐτῆς. » Ἔσται γὰρ αὐτῇ, φησὶ, τῶν σφόδρα χρησίμων, εἰς τὸ ἀνανῆψαι δεῖν, καὶ ἐκ τῆς ἀρχαίας πωρώσεως τῆς διανοίας τὸν ὀφθαλμὸν ἀνευρῦναι λοιπὸν, τὰ πεπραγμένα κατὰ καιροὺς ἐν τῇ κοιλάδι τῆς Ἐμεκαχὼρ (*διαστροφῆς δὲ κοιλάδα* τὸν χῶρον ὠνόμασεν· ἐκεῖ γὰρ πεπτώκασι τῶν ἐξ Ἰσραὴλ οὐκ ὀλίγοι, διωκόντων αὐτοὺς τῶν ἀπὸ τῆς Γαὶν, καὶ πολλὴν συνέβη γενέσθαι διαστροφὴν, οἰηθέντος Ἰησοῦ τῆς περὶ Θεοῦ φειδοῦς καὶ ἐπικουρίας ἀπολισθῆναι τὸν Ἰσραήλ)· τὰ πεπραγμένα δὴ οὖν, φησὶν, ἐν τῇ φάραγγι τῆς διαστροφῆς, ἐπὶ τῷ τὴν θείαν ἐντολὴν παραλῦσαι τολμήσαντι, διανοίξει τὴν σύνεσιν αὐτῆς πρὸς τὸ εἰδέναι λαμπρῶς, εἰς οἷον ἐκβήσεται τέλος τοῖς καταφρονεῖν ἐθέλουσι τὸ ἐγχείρημα. Ἄθρει δὲ ὅπως οὐ πρότερον δέδοται πρὸς τὸ διανοῖξαι σύνεσιν αὐτῆς ἡ κοιλὰς ἡ Ἀχὼρ, πρὶν ἂν λελάληκεν εἰς τὴν καρδίαν αὐτῆς· οὐ γὰρ ἂν συνεῖεν τὰς θείας ἐντολὰς οἱ τῶν Ἰουδαίων δῆμοι, ἀλλ' οὐδ' ἂν ἐν τύποις καταθρήσειαν τὸ Χριστοῦ μυστήριον, εἰ μὴ ἄρα καθ' ἡμᾶς τοὺς ἤδη πεπιστευκότας τὴν τοῦ ἁγίου Πνεύματος καταπλουτήσειαν μέθεξιν, καὶ τῆς ἄνωθεν φωταγωγίας ἀποδειχθεῖεν μετεσχηκότες. Πιστώσεται δὲ πρὸς τοῦτο ἡμᾶς ὁ μακάριος γράφων Παῦλος περὶ τῶν ἐξ αἵματος Ἰσραήλ· « Ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει, μὴ ἀνακαλυπτόμενον, ὅτι ἐν Χριστῷ καταργεῖται. Ἀλλ' ἕως σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. Ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ Πνεῦμα Κυρίου, ἐλευθερία. » Πρότερον τοίνυν εἰς τὴν καρδίαν αὐτῆς λαλήσειν ἐπαγγέλλεται, τοὺς θείους αὐτῆς ἐγχαράττοντος νόμους, καὶ παιδαγωγίαν τὴν ἄνωθεν τοῦ ἁγίου Πνεύματος· εἶθ' οὕτως συνήσειν καὶ τὰ ἐν τῇ κοιλάδι τῆς Ἐμεκαχὼρ τυπικῶς τε καὶ ἱστορικῶς πεπραγμένα, καὶ οὐκ ἀνικάνως ἔχοντα πρὸς τὸ διανοῖξαι τὴν σύνεσιν αὐτῆς, καὶ τῆς ἀρχαίας πωρώσεως ἀπαλλάξαι λοιπόν. « Πώρωσις γὰρ ἀπὸ μέρους γέγονε τῷ Ἰσραὴλ, » καθὰ καὶ ὁ σοφὸς γράφει Παῦλος.

A desuper e cœlo Christus adveniet, « redditurus unicuique secundum opera sua [49]. » Divinis quippe mandatis inobedientes, et qui quæ in mundo sunt potius dilexerunt, ceu in vallem profundam in infernum deturbatos « malos male perdet [50]. » Inquit igitur : « Dabo vallem Achor (sive Ἐμεκαχώρ) ad aperiendam ipsi intelligentiam. » Erit quippe illi perquam utile, inquit, cogi ad resipiscendum, et ad oculos mentis ex antiqua cæcitate in posterum aperiendos. Facta olim in valle Ἐμεκαχώρ (quem locum *perversionis vallem* interpretati sunt ; ibi siquidem non pauci ex Israel ceciderunt, incolis Hai eos persequentibus, et multa ibidem perversio contigit, putante Jesu Israelem divina benignitate 48 et ope excidisse). Facta igitur, inquit, in valle perversionis, B propter eum qui mandatum divinum transgredi ausus fuerat, aperiant intelligentiam ejus, ut manifeste sciat, quem finem contemptorum facinus habiturum sit. Perpende autem quomodo non prius daturus sit ad aperiendam intelligentiam ejus vallis Achor, quam loqueretur ad cor ejus. Nec enim divina præcepta Judæorum populus intelligeret ; nec in typis Christi mysterium aspexisset, nisi, ut nos, qui credidimus, communione Spiritus sancti auctus, et superna illuminatione dignatus fuisset. Ad hoc credendum nos inducet beatus Paulus, de oriundis ex sanguine Israel hunc in modum scribens : « Usque in hodiernum enim diem idipsum velamen in lectione Veteris Testamenti manet non revelatum (quoniam in Christo evacuatur), sed usque in hodiernum diem, quando legitur Moyses, velamen positum est super cor eorum. Cum autem conversus fuerit ad Dominum, auferetur velamen. Dominus autem Spiritus est ; ubi autem Spiritus Domini, ibi libertas [51]. » Quare prius ad cor ejus loquturum se spondet, divina ei mandata, et supernam institutionem sancto Spiritu insculpente : deinde ita intellecturum quæ in valle Ἐμεκαχώρ (ut Hebræi vocant) typice et historice patrata sunt, quæ ad aperiendum intelligentiæ ejus oculum, et a veteri cæcitate in posterum vindicandum non satis possunt. « Cæcitas enim ex parte contigit in Israel [52], » ut a Paulo sapienter dictum est.

Καὶ ταπεινωθήσεται ἐκεῖ κατὰ τὰς ἡμέρας νηπιότητος αὐτῆς, καὶ κατὰ τὰς ἡμέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς Αἰγύπτου.

Et humiliabitur ibi juxta dies juventutis suæ, et juxta dies ascensionis suæ de terra Ægypti.

ΚΕ'. Ὅταν αὐτῆς εἰς νοῦν καὶ καρδίαν λαλήσω, φησὶ, καὶ δώσω τὴν κοιλάδα Ἀχὼρ διανοῖξαι σύνεσιν αὐτῆς, ἐκεῖ, τουτέστι τὸ τηνικάδε, ταπεινωθήσεται, καὶ οὐκ ἐπί τι τῶν ἀνιᾶν εἰωθότων καθιεμένη τε καὶ ὑφιζάνουσα, τρόπον δὲ μᾶλλον ἀφεῖσα λοιπὸν τὸν ἀπειθῆ, καὶ δυσάγωγον, καὶ τοῖς ὑπεροψίας ἐγκλήμασιν ἐνεχόμενον· ἁλαζὼν γὰρ ὁ ἀπειθὴς, καὶ οἱονεί πως ἀνάντης, καὶ ἐξήνιος, καὶ παρ' οὐδὲν ἡγεῖσθαι μεμελετηκὼς τὴν εἰς γε τὸ χρῆναι πληροῦν τὸν νό-

XXV. Cum illi ad mentem, et cor locutus fuero, inquit, dederoque vallem Achar, aperire intelligentiam ejus, ibi, hoc est tunc, humiliabitur, nec cuipiam quod molestiam afferre possit, se submittet, eique immorabitur ; sed moribus refractariis, et intractabilibus, et cum superbiæ crimine conjunctis potius deinceps relictis ; arrogans enim est inobediens, et veluti acclivis, et effrenis, et legis observatione ac reverentia contemnenda exercitatus ; hu-

[49] Matth. xvi, 27. [50] Matth. xxi, 41. [51] II Cor. iii, 14 17. [52] Rom. xi, 25.

Digitized by Google

milis autem vehementer, et quasi accessu facilis, ad obediendum promptus, et a Deo in primis dilectus. **49** Quare per prophetam quemdam inquit alicubi : « Super quem respiciam, nisi super humilem, et quietum, et trementem sermones meos [83] ? » cum igitur locutus fuero, inquit, ad cor ejus, tunc tunc, et ipsa humiliabitur, sicut et in principio, quando vocante Moyse, et ex Ægypto discedere jubente misericorde Deo, promptissime hoc facere studebant, et e terris imperiosorum dominorum properabant. Ferente autem legem in Choreb, congregati cum Moyse ad montem Sina, promittebant, « Omnia quæ dixit nobis Dominus faciemus, et erimus obedientes [84]. » Erit igitur humilis et tractabilis, quemadmodum et initio, quando per legem ad cognitionem Dei generata, voluntatem divinam libens complectebatur. Dies ergo juventutis appellavit regenerationem per legem ad cognitionem Dei. Quare etiam dixit : « Primogenitus filius meus Israel [85]. »

μον αἰδῶ· ταπεινὸς δὲ λίαν, καὶ οἱονεί πως εὐπρόσιτος ὁπρὸς εὐπείθειαν εὔκολος, καὶ Θεῷ λίαν ἠγαπημένος. Καὶ γοῦν ἔφη που δι' ἑνὸς τῶν ἁγίων προφητῶν· « Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους ; » Ὅταν οὖν λαλήσω, φησὶν, ἐπὶ τὴν καρδίαν αὐτῆς, τότε δὴ, τότε καὶ αὐτὴ ταπεινωθήσεται, καθὰ καὶ ἐν ἀρχαῖς, ὅτε καλοῦντος Μωσέως, καὶ τῆς Αἰγυπτίων ἀπαίρειν προστεταχότος τοῦ φιλοικτίρμονος Θεοῦ, προθυμώτατα μὲν τοῦτο ὁρᾷν ἐσπούδαζον, καὶ τῆς τῶν πλεον εκτούντων ἀπέτρεχον γῆς. Ὁρίζοντος δὲ τοὺς νόμους ἐν Χωρὴβ, συναγηγερμένοι μετὰ Μωσέως ἐπὶ τὸ ὄρος Σινὰ, κατεπηγγέλλοντο λέγοντες· « Πάντα ὅσα εἶπεν ἡμῖν Κύριος ὁ Θεὸς, ποιήσομεν, καὶ ἀκουσόμεθα. » Οὐκοῦν ἔσται ταπεινὴ καὶ εὐήνιος, καθὰ καὶ ἐν ἀρχαῖς, ὅτε τὴν διὰ νόμου πρὸς θεογνωσίαν λαβοῦσα γέννησιν, ἀσμένως ἐδέχετο τὸ τῷ Θεῷ δοκοῦν νηπιότητος. Τοίνυν ἡμέρας, τὴν διὰ νόμου φησὶν ἀναγέννησιν εἰς θεογνωσίαν· τοιγάρτοι καὶ ἔφασκεν, « Υἱὸς πρωτότοκός μου Ἰσραήλ. »

VERS. 16, 17. *Et erit, in die illa, dicit Dominus ; vocabit me : Vir meus, et non vocabit me ultra Baalim. Et auferam nomina Baalim ex ore ejus, et non recordabuntur ultra nominum illorum.*

Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, καλέσει με· Ἀνήρ μου· καὶ οὐ καλέσει με ἔτι Βααλείμ. Καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλείμ ἐκ στόματος αὐτῆς, καὶ οὐ μὴ μνησθῶσιν οὐκ ἔτι τὰ ὀνόματα αὐτῶν.

XXVI. Diem hoc loco tempus adventus Salvatoris nostri nominat : proprie enim ac vere dies vocari potest tempus incarnationis Unigeniti, quo caligo in mundo depulsa est, et profligatæ tenebræ, et quasi quidam splendores in animis credentium exorti, et sol justitiæ illuxit [86], veræ cognitionis Dei lumen inserens iis, qui mentis oculos aperire noverunt. Illo igitur tempore, inquit, vocata ad agnitionem veri Dei, a veteri illa et odiosa levitate discedet, nec amplius alicunde ad apostasiam a recto curriculo facile detorquebitur ; sed animum potius recte et salubriter constantia pietatis incedentem habebit, ut neque punctum temporis nomina idolorum in sermone usurpet. Vocabit enim me, inquit, Vir meus, et non vocabit me ultra Baalim, hoc est temperabit a libidine, et fornicari in posterum recusabit. Magni autem æstimabit, esse se legitimam, et cognationem confitebitur, spiritualem utique. Neutiquam autem idola Baalim invocabit, ex lapide confecta, et quorumdam artificio solerti in speciem humanam conformata in diis numerans. « Itaque me, inquit, vocabit Vir meus. » **50** Nam ut pudica et probissima se ad me convertet, ac de cætero diliget aliorum neminem ; nec ultra invocabit Baalim. Etiam alio sensu, si cui placuerit, quod dicitur accipiet. Baalim enim, quod norunt omnes, idola significat. Solebant autem Hebrææ mulieres maritos suos falsorum deorum nominibus appellare, qui mos iniquissimus illis honori erat. Ejus primum actorem Ninum Babylonium ferunt, qui patrem suum nominavit Belum, a Bel idolo quod colebant. Desituram igitur et hanc adeo pudendam consue-

Κϛ'. Ἡμέραν μὲν ἐν τούτοις τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας ὀνομάζει καιρόν· κεκλήσεται γὰρ ἡμέρα κυρίως καὶ ἀληθῶς, τῆς τοῦ Μονογενοῦς ἐνανθρωπήσεως ὁ καιρὸς, καθ' ὃν ἡ ἐν κόσμῳ λέλυται μὲν ἀχλὺς· ἠφάνισται δὲ καὶ τὸ σκότος· λαμπραὶ δὲ ὥσπερ ἀνίσχουσιν αὐγαὶ κατὰ νοῦν τοῖς πεπιστευκόσι, καὶ ὁ τῆς δικαιοσύνης ἐπέλαμψεν ἥλιος, τῆς ἀληθοῦς θεογνωσίας τὸ φῶς ἐνιεὶς τοῖς ἀνευρύνειν εἰδόσι τῆς διανοίας τὸν ὀφθαλμόν. Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, φησὶ, κεκλημένη πρὸς ἐπίγνωσιν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ, καταλήξει μὲν τῆς ἀρχῆς ἐκείνης, καὶ στυγητῆς ἐλαφρίας· εὐπαράφορος δὲ οὐκέτι πρὸς ἀποστασίαν ἔσται ποθέν. Βεβηκότα δὲ μᾶλλον ὀρθῶς τε καὶ ὑγιῶς, καὶ ἀκράδαντον εἰς εὐσέβειαν ἕξει τὸν νοῦν, ὡς μηδὲ ὅσον εἰπεῖν, εἰς λόγου χρῆσιν ἐλθεῖν τὰ τῶν εἰδώλων ὀνόματα. Καλέσει γάρ με, φησὶν, ὁ ἀνήρ μου, καὶ οὐ καλέσει με οὐκέτι Βααλείμ· τουτέστιν, ἀποπαύσεται τοῦ εἶναι μαχλὰς, καὶ παραιτήσεται μὲν τὸ πορνεύειν ἔτι. Ποιήσεται δὲ περὶ πολλοῦ τὸ εἶναι γνησία, καὶ ὁμολογήσει τὴν οἰκειότητα, δῆλον δὲ ὅτι τὴν πνευματικήν. Ἐπικαλέσεται δὲ οὐδαμῶς τὰ Βααλείμ, θεοὺς εἶναι νομίζουσα τὰ ἐκ λίθων πεποιημένα, καὶ ταῖς τινων εὐτεχνίαις πεπλαστουργημένα πρὸς εἶδος τὸ ἀνθρώπινον. « Οὐκοῦν ἐμὲ μὲν, φησὶ, καλέσει ὁ ἀνήρ μου. » Σώφρων γὰρ οἷά τις καὶ ἐπιεικεστάτη ποιήσεται πρός με τὴν ἀποστροφήν· ἀγαπήσει δὲ λοιπὸν τῶν ἄλλων οὐδένα, ἐπικαλέσεται δὲ οὐκέτι τὰ Βααλείμ. Καὶ καθ' ἕτερον δὲ τρόπον, εἴπερ τῳ δοκεῖ, τὸ εἰρημένον ἐκδέξεται. Βααλείμ μὲν γὰρ ὁμολογουμένως σημαίνεται τὰ εἴδωλα. Ἐν ἔθει δὲ ἦν ταῖς Ἑβραίων γυναιξὶ τοὺς ἰδίους ἄνδρας τοῖς τῶν ψευδωνύμων θεῶν ὀνό-

[83] Isa. LXVI, 2. [84] Exod. XXIV, 7. [85] Exod. IV, 22. [86] Malach. IV, 2.

Digitized by Google

μασιν ἀποκαλεῖν, καὶ τιμῆς ἦν οὗτος αὐτοῖς ἐξαίσιος τρόπος. Ἄρξασθαι τοῦ τοιοῦδε πράγματος Νῖνον τὸν Βαβυλώνιον, ὃς τὸν ἴδιον πατέρα ὠνόμασε Βῆλον, ἐκ τοῦ παρ' αὐτοῖς εἰδώλου, φημὶ δὴ τοῦ Βήλ. Ὅτι τοίνυν ἀποπεπαύσεται καὶ τῆς οὕτως αἰσχρᾶς συνηθείας, καταμεμήνυκεν, εἰπών· « Καλέσει με ὁ ἀνήρ μου, καὶ οὐ καλέσει με οὐκέτι Βααλείμ. » Εἰ γὰρ ἔλοιτο, φησὶ, τυχὸν ἄνδρα ὀνομάζειν ἐμὲ, προσερεῖ δὴ πάντως, Ὁ ἀνήρ μου, καὶ οὐκέτι τοῖς τῶν εἰδώλων ὀνόμασι τιμῶσα καλέσει. Ταύτητοί φησι, ὅτι « Καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν Βααλείμ ἐκ στόματος αὐτῆς καὶ οὐ μὴ μνησθῶσιν οὐκέτι τὰ ὀνόματα αὐτῶν. »

A tudinem indicavit, cum dixit : « Vocabit me Vir meus, et non vocabit me ultra Baalim. » Si enim voluerit, inquit, fortasse virum appellare me, omnino addet, et compellabit me, Vir meus, et non ultra idolorum nominibus honoris gratia me vocabit. Idcirco, inquit, « quia etiam auferam nomina Baalim de ore ejus, nec recordabuntur amplius nominum eorum. »

Καὶ διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θηρίων τοῦ ἀγροῦ, καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ τῶν ἑρπετῶν τῆς γῆς· καὶ τόξον, καὶ ῥομφαίαν, καὶ πόλεμον συντρίψω ἀπὸ τῆς γῆς.

B

Vers. 18. *Et disponam illis in die illa testamentum cum bestiis terræ, et cum volatilibus cœli, et reptilibus terræ. Et arcum, et gladium, et bellum conteram de terra.*

ΚΖ'. Ἐν τοῖς ἤδη προανεγνωσμένοις ἔφασκεν, ὅτι καὶ « Ἀφανιῶ ἄμπελον αὐτῆς, καὶ τὰς συκᾶς αὐτῆς, ὅσα εἶπε, Μισθώματά μου ταῦτά ἐστιν, ἃ ἔδωκάν μοι οἱ ἐρασταί μου. » Προσετίθει δὲ τούτοις, ὅτι « Καταφάγεται αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὰ ἑρπετὰ τῆς γῆς. » Διερμηνεύοντες δὲ τὸ ῥητὸν, θηρία καὶ πετεινὰ παραδηλοῦσθαι πλαγίως ἐλέγομεν τοὺς ἐχθροὺς, οἳ τὴν τῶν Ἰουδαίων κατελῄζοντο χώραν, Πέρσαι, καὶ Μῆδοι, καὶ Βαβυλώνιοι, καὶ ὁ παμμιγὴς τῶν ἄλλων πολεμίων ὄχλος, οἳ θηρῶν ἀγρίων ὀλίγα διενεγκεῖν νοοῖντ' ἄν, διά γε τὸ μιαιφόνον τοῦ τρόπου, καὶ μέντοι πτηνὰ διὰ τὴν ὀξύτητα τοῦ δρόμου. Ἑρπετὰ δὲ, ὅτι δεινοὶ, καὶ παμμόχθηροι, καὶ δριμεῖς εἰς πονηρίαν. Οὗτοι τοῦ Ἰσραὴλ ἐν ταῖς τῆς Σαμαρείας πόλεσιν ἀποκεκλεισμένου κατεδηδόκασι πάντα τὰ ἐν τοῖς ἀγροῖς, οὐδὲν τῶν ἐκτόπων ἐῶντες ἀνεπιτήδευτον. Ἀλλ' ὅταν, φησὶν, ἐξελῶ τὰ ὀνόματα τῶν εἰδώλων αὐτῶν ἀπὸ τῆς γῆς, τότε καὶ διαθήκην εἰρήνης διαθήσομαι αὐτοῖς πρὸς ἅπαν ὠμὸν καὶ βάρβαρον γένος. Ἀργήσει γὰρ ἤδη τὰ παρ' ἐχθρῶν, καὶ πολέμου καὶ δειμάτων μενοῦσιν ἀπείρατοι. « Συντρίψω γὰρ ὅπλον, καὶ ῥομφαίαν, » ὃ δὴ καὶ εἰς πέρας ἱστορικῶς ἐνηνεγμένον εὑρήσομεν. Ἐπειδὴ γὰρ τὴν κατὰ πάντων ἀρχὴν οἱ περιφανέστατοι τῶν Ῥωμαίων ἔλαχον στρατηγοὶ, πεποίηνται δὲ ὑπὸ χεῖρα τὴν ὑπ' οὐρανὸν, Θεοῦ τὴν δόξαν αὐτοῖς οἰκονομικῶς προσνέμοντος, Πέρσαι μὲν μόνης τῆς ἰδίας πεφροντίκασιν ἀρχῆς, καὶ ἕληξάν τε καὶ τῶν ἄλλων βαρβάρων αἱ κατὰ χωρῶν τε καὶ πόλεων ἐπιδρομαί. Καὶ διαμέμνηται σαφῶς τοῦ τοιοῦδε πράγματος ὁ μακάριος Ἡσαΐας, λέγων· « Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβήνας αὐτῶν εἰς δρέπανα. Καὶ οὐ μὴ ἄρῃ ἔθνος κατ' ἔθνους μάχαιραν· καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. » Ὡς γὰρ ἤδη γεγονότες ὑφ' ἕνα ζυγὸν, ἐτράποντο μᾶλλον εἰς ἐπωφελῆ φιλεργίαν, καὶ τῇ γεωργίᾳ χρήσιμα τὰ τοῦ πολέμου σκεύη μετέπλαττον. Ἔσται τοίνυν εἰρήνη, φησὶ, καὶ οἱ πάλαι δεινοὶ πεπαύσονται φόβοι, Θεοῦ κατευνάζοντος, καὶ τοῖς ἐξ εἰρήνης ἀγαθοῖς καταυφραίνοντος τοὺς ἀγαπῶντας αὐτόν.

Προσθεῖναι δὲ, οἶμαι, κἀκεῖνο δεήσει. Πάλαι μὲν

XXVII. Supra dicebat : « Disperdam vineam ejus, et ficus ejus, quæcunque dixit, Mercedes meæ hæ sunt, quas dederunt mihi amatores mei [87] ; » et addebat : « Comedent ea bestiæ agri, et volucres cœli, et reptilia terræ [88]. » Quæ interpretantes dicebamus, per bestias et volucres oblique significari hostes, Judæorum regionem depopulantes, Persas, Medos, Babylonios, et ex aliis cujusque generis commistam hostium multitudinem, qui a ferocibus bestiis non multum abfuisse intelligi queant, propter mores sanguinarios videlicet ; et volucres quidem propter celeritatem cursus ; reptilia vero, quia atroces, et malignissimi, et ad scelus acres. Ili, Israele in Samariæ urbibus incluso, omnia in agris devorarunt, nihil insolentiæ intentatum relinquentes. Sed cum auferam, inquit, nomina idolorum ipsorum de terra, tunc et testamentum pacis disponam ipsis cum omni sæva et barbara natione. Cessabunt enim tum hostilia, tolleturque bellum, et terrorum expertes manebunt. « Conteram enim arma et gladium. » Quod etiam ad finem perductum, juxta historiam invenimus. **51** Postquam enim illustrissimi Romanorum duces imperium in omnes adepti sunt, et quidquid sol aspicit, sub ditionem redegerunt, Deo illis administratorie gloriam tribuente, Persæ unicum imperium suum procuraverunt, et aliorum quoque barbarorum incursiones in provincias et urbes conquieverunt : cujus rei beatus Isaias aperte meminit : « Et contundent gladios suos in vomeres, et lanceas suas in falces ; et non tollet gens contra gentem gladium, et non discent ultra prœliari [89]. » Jam enim ut sub unum jugum coacti, potius ad utiles operum labores se applicabant, instrumentaque militaria in rei rusticæ idonea commutabant. Erit igitur pax, inquit, et metus olim terribiles cessabunt, Deo consopiente, et sui amantes fructibus pacis exhilarante.

Opinor autem et illud addi debere. Olim enim,

[87] Osee II, 12. [88] Ibid. [89] Isa. II, 4.

Digitized by Google

quando in errore permanebamus, et filii iræ vocabamur, instar quarumdam malarum bestiarum, et avium carnivorarum, atque etiam perniciosissimorum draconum perdebant nos pravæ et adversariæ virtutes. Ubi autem in Christo verum Deum cognovimus, delictaque nostra per fidem, et antiquam charitatem abluimus, tunc et salvati sumus, « et potestatem calcandi supra serpentes, et scorpiones, et super omnem virtutem inimici accepimus [60]. » Tunc item ambulavimus super aspidem et basiliscum, et conculcavimus leonem et draconem [61], Christo protegente, et virtute invicta suos communiente, pacemque suam in animos nostros inserente. Ait enim : « Pacem meam do vobis, pacem meam relinquo vobis [62]. »

A γὰρ ὅτε διετελοῦμεν ἐν πλάνῃ, καὶ ὀργῆς ἐχρηματίζομεν τέκνα, καθάπερ τινὲς θῆρες πονηροὶ, καὶ τὰ τῶν ὀρνέων σαρκοφάγων εἰωθότα, καὶ μὴν καὶ οἱ παγχάλεποι δράκοντες, ἀπώλλυον ἡμᾶς αἱ πονηραὶ καὶ ἀντικείμεναι δυνάμεις. Ἐπειδὴ δὲ ἐν Χριστῷ τὸν φύσει Θεὸν ἐγνώκαμεν, ἀπενιψάμεθα διὰ πίστεως καὶ τῆς ἀρχαίας ἀγάπης τὰ ἐγκλήματα, τότε καὶ σεσώσμεθα, « Καὶ εἰλήφαμεν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Τότε καὶ ἐπέβημεν ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, πεπατήκαμέν τε λέοντα καὶ δράκοντα, Χριστοῦ προασπίζοντος, καὶ ἀνικήτῳ δυνάμει τοὺς ἰδίους περιτειχίζοντος, καὶ εἰρήνην ἡμῖν τὴν ἰδίαν ἐντὸς εἰς νοῦν· « Εἰρήνην » γὰρ, φησὶ, « τὴν ἐμὴν δίδωμι ὑμῖν· εἰρήνην τὴν ἐμὴν ἀφίημι ὑμῖν. »

Vers. 19. *Et habitare faciam te in spe; et sponsabo te mihi in sæculum.*

Καὶ κατοικιῶ σε ἐπ' ἐλπίδι· καὶ μνηστεύσομαί σε ἐμαυτῷ εἰς τὸν αἰῶνα.

XXVIII. Non solum belli terroribus liberabo, inquit, sed adjiciam hoc quoque, ut deinceps in bona spe sis propter bona, ut certam, et firmam, et immobilem lætitiam habeas. Mihi enim te desponsabo, idque in sempiternum. Quid porro istuc est? Despondebat sibi quodammodo veterem Israelem, sive Judæorum Synagogam, et ad necessitudinem vocabat, per legem scilicet, Moyse subserviente, et angelis administris [63]. Verum enimvero modus desponsationis non fuit perpetuus, nec in sempiternum duravit; longe abest; non enim typi, « et usque ad tempus correctionis imposita [64], » semper valitura erant. **52** Tempore autem correctionis, hoc est, adventus Salvatoris nostri, alia ratio desponsationis apparuit, perpetua et inconcussa, multoque priore splendidior et umbris præstantior. Deus quippe universitatis veluti quamdam dotem sponsæ suæ, carnalis servitutis vacationem largitus est : et per umbram figurasque ad spiritualem expurgationem vocavit. Verum enimvero desponsationi tempus præfinivit. Nam, cum prima illa culpa non vacaret [65], secundum Pauli vocem, nec senectutis expers esset, nec multum ab interitu distaret, locus secundæ est inquisitus, hoc est novæ, quæ per Christi donum, inquam, et gratiam non temporalem nobis, neque carnalem libertatem afferret. Cooptat enim nos in numerum filiorum Dei, et pignus spiritus liberaliter supperaddit [66], perpetuasque leges præscribit. Quare sic eum divinus David alloquitur : « Justitia tua justitia in æternum, et sermo tuus veritas [67]; » manifeste, ut opinor, indicans, neque in sempiternum manere quæ lege traduntur, translata umbra in veritatem; neque veritatis decus in litteris legalibus posse a quoquam perspici. Erat enim lex, ut dixi, umbra et figura. Quærit igitur connubium ejus, antiquo et primo illo dissoluto. Lex enim ad nos cum Deo perfecte ac pure copulandos vim satis magnam non habet.

ΚΗ'. Οὐχὶ μόνον, φησὶ, ἀπαλλάξω τῶν τοῦ πολέμου δειμάτων, προσθήσω δὲ τοῦτο καὶ τὸ ἐν καλῷ γενέσθαι λοιπὸν τῆς ἐπ' ἀγαθοῖς ἐλπίδος, ὡς ἀσφαλῆ, καὶ ἐρηρεισμένην, καὶ ἀκλόνητον ἔχειν τὴν εὐθυμίαν. Ἐμαυτῷ γάρ σε μνηστεύσομαι, καὶ τοῦτο εἰς τὸν αἰῶνα. Καὶ τί δὴ τοῦτό ἐστιν; Οἱονεὶ γάρ πως ἐμνηστεύετο τὸν ἀρχαῖον Ἰσραὴλ, ἤτοι τὴν τῶν Ἰουδαίων Συναγωγὴν, καὶ πρὸς οἰκειότητα κέκληκε, τὴν διὰ νόμου φημὶ, διακονοῦντος Μωσέως, καὶ μεσολαβούντων ἀγγέλων. Ἀλλ' ἦν τῆς μνηστείας ὁ τρόπος οὐ διηνεκὴς, οὔτε μὴν εἰς τὸν αἰῶνα, πολλοῦ γε δεῖ. Οὐ γὰρ ἔμελλον οἱ τύποι κρατήσειν διὰ παντὸς, « Καὶ τὰ μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. » Κατὰ δέ γε τὸν τῆς διορθώσεως καιρὸν, τουτέστι, τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, ἕτερος τῆς μνηστείας ἀναπέφανται τρόπος, διηνεκὴς, καὶ ἀσάλευτος, καὶ πολὺ τοῦ πρώτου λαμπρότερος, καὶ τῆς σκιᾶς ἐν ἀμείνοσιν. Ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς ἔδνον ὥσπερ τι τῇ νύμφῃ, τῆς σαρκικῆς δουλείας τὴν ἀπόθεσιν ἐχαρίζετο, καὶ διὰ σκιᾶς καὶ τύπων ἐκάλει πρὸς ἀποκάθαρσιν τὴν πνευματικήν. Πλὴν ἐμέτρει καιρὸν τῇ μνηστείᾳ. Οὐ γὰρ ἄμεμπτος ἡ πρώτη, κατὰ τὴν τοῦ Παύλου φωνὴν, οὔτε ἀγήρως ἦν, καὶ ἀφανισμοῦ μακράν. Ταύτητοι καὶ τῆς δευτέρας ἐζητεῖτο τόπος, τουτέστι, τῆς νέας, τῆς διὰ Χριστοῦ, φημὶ, δωρεᾶς τε καὶ χάριτος, οὐ πρόσκαιρον ἡμῖν, οὐδὲ σαρκικὴν εἰσκομιζούσης ἐλευθερίαν. Καταγράφει γὰρ ἐν τέκνοις Θεοῦ, καὶ τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐπιδαψιλεύεται, καὶ διηνεκεῖς ὁρίζει νόμους. Καὶ γοῦν πρὸς αὐτὸν ὁ θεῖος ἔφη Δαβὶδ· « Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ λόγος σου ἀλήθεια. » Ἀναφανδὸν, οἶμαί που, δηλῶν, ὅτι οὔτε εἰς τὸν αἰῶνα μένει τὰ ἐν νόμῳ, μεταστησομένης τῆς σκιᾶς εἰς ἀλήθειαν· οὔτε μὴν τῆς ἀληθείας τὸ κάλλος ἐν τοῖς νομικοῖς γράμμασι καταθρήσῃ τις ἄν. Ἦν γὰρ, ὡς ἔφην, σκιὰ καὶ τύπος ὁ νόμος. Μνηστεύεται τοίνυν αὐτὴν, τὸν ἐν ἀρχαῖς τε καὶ πρῶτον ἀθετήσας γάμον. Οὐ γὰρ ἱκανὸς ὁ νόμος συνάψαι Θεῷ τελείως τε καὶ

[60] Luc. x, 19. [61] Psal. xc, 13. [62] Joan. xiv, 27. [63] Galat. iii, 19. [64] Hebr. ix, 10. [65] Hebr. viii, 7. [66] II Cor. v, 5. [67] Psal. cxviii, 142.

Digitized by Google

καθαρῶς· προσίεμεν δὲ αὐτῷ δι' Υἱοῦ, καὶ τῶν δι' αὐτοῦ θεσπισμάτων, τουτέστι, τῶν εὐαγγελικῶν, ἃ καὶ πνευματικὴν ἔχει τὴν ἕνωσιν, ἤτοι συνάφειαν. Ἑνούμεθα γὰρ τῷ Θεῷ ἐν πνεύματι, καὶ τῆς θείας αὐτοῦ φύσεως πλουτοῦμεν τὴν μέθεξιν. Εἰκὸς δέ τι καὶ ἕτερον ὑποφαίνειν ἀστείως τὸ, « Μνηστεύσομαί σε ἐμαυτῷ· » συνείσεις γὰρ ὧδε πάλιν. Ἢ γὰρ τὸ, *ἐμαυτῷ*, φησὶν ἀντὶ τοῦ, *δι' ἐμαυτοῦ*, οὐ καθὰ καὶ πάλαι, μεσολαβούντων ἀγγέλων· οὔτε μὴν διακόνου τινὸς εἰς τοῦτο παρειλημμένου, κατὰ τὸν τοῦ Μωσέως τρόπον. Οὐ γὰρ πρέσβυς, οὐκ ἄγγελος, κατὰ τὸ γεγραμμένον, ἀλλ' αὐτὸς ὁ Κύριος, ὁἐκ τοῦ Θεοῦ Πατρὸς Λόγος, ἄνθρωπος γεγονὼς καθ' ἡμᾶς, ἑαυτῷ παρέστησε τὴν Ἐκκλησίαν· « Καὶ τοὺς δύο λαοὺς ἔκτισεν εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων τοὺς ἀμφοτέρους ἐν ἑνὶ πνεύματι πρὸς τὸν Πατέρα, » κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Ἢ καὶ καθ' ἕτερον, εἰ βούλει, τρόπον ἐκδέξῃ τὸ εἰρημένον. Ἐμνηστεύετο γάρ, ὡς ἔφην, ἐν Αἰγύπτῳ ποτὲ τὴν τῶν Ἰουδαίων Συναγωγήν· ἀλλ' οἱονεί πως ἑτέρῳ μᾶλλον, οὐχ ἑαυτῷ, φημὶ δὴ τῷ θεσπεσίῳ Μωσεῖ, πρὸς ὃν ἔφη « Βάδιζε, κατάβηθι τὸ τάχος ἐντεῦθεν· ἠνόμησε γὰρ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου. » Ἀκούεις, ὅτι Μωσεῖ προσενένεμηκε τὴν μεμνηστευμένην, ἤτοι τὸν λαὸν, οὔπω τῆς οἰκειότητος ἀξιῶν τῆς πρὸς ἑαυτόν. Οὐ γὰρ ἱκανῶς, ὡς ἔφην, ὁ νόμος, ἤτοι Μωσῆς, συνάψαι Θεῷ καθαρῶς τε καὶ ὁλοτρόπως. Τετήρητο γὰρ ὡς κατορθωμάτων ἄριστον, καὶ θεοπρεπὲς ἀληθῶς τῷ μεσίτῃ Θεοῦ καὶ ἀνθρώπων, τουτέστι Χριστῷ, δι' οὗ καὶ ἐν ᾧ πρὸς Θεὸν ἐνούμεθα. Καὶ γάρ ἐστιν αὐτὸς ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφάς, ὁ τὴν μεταξὺ κειμένην ἐξελὼν ἁμαρτίαν, καὶ καθαροὺς ἡμᾶς καὶ ἐκνενιμμένους τῷ Πνεύματι συνάψας ἑαυτῷ, καὶ δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί.

A Accedimus autem ad illum per Filium, et præcepta ab ipso tradita, evangelica, inquam, quæ et spiritualem unionem sive copulationem continent. Unimur enim Deo in Spiritu, et divinæ ejus naturæ communicatione locupletamur. Est autem consentaneum, aliud quoque verbis istis, « desponsabo te mihi, » eleganter submonstrari. Sic enim rursus ea intelliges. Aut enim *mihi* dicit, pro, *per me*, non sicut olim angelis intercedentibus; nec ministro aliquo instar Moysis ad hoc assumpto. Non enim legatus, non angelus, sed, ut scriptum est, ipse Dominus, ex Deo Patre Verbum, homo nostrum similis factus, sibi ipse exhibuit Ecclesiam [55], « et populos duos in unum novum hominem condidit, faciens pacem, reconcilians ambos in B uno spiritu ad Patrem [56], » secundum beati Pauli vocem. Aut etiam alio modo, si lubet, quod dictum est accipies. Desponsavit enim sibi, ut dixi, in Ægypto aliquando Synagogam Judæorum : **53** sed velut alteri potius quam sibi, Moysi, inquam, sancto, cui dixit : « Vade, descende cito hinc, peccavit enim populus tuus, quem eduxisti de terra Ægypti [70-55]. » Audis quomodo Moysi desponsatam, sive populum, nondum familiari consuetudine sua dignatum attribuit? Non enim sufficiebat lex, sive Moyses, ut Deo pure et arctissime eos copularet. Hoc enim ut recte factorum rectissimum, ac Deo revera dignum, mediatori Dei et hominum [57], Christo videlicet, servabatur, per quem, et in quo cum Deo unimur. « Ipse enim est pax nostra, » secundum C Scripturas, qui interjacens peccatum sustulit, et puros nos, et per Spiritum ablutos sibi, et per se Deo et Patri conjunxit atque colligavit.

Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, καὶ ἐν ἐλέει, καὶ ἐν οἰκτιρμοῖς. Καὶ μνηστεύσομαι ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν Κύριον.

VERS. 19, 20. *Et sponsabo te mihi in justitia, et in judicio, et in misericordia, et in miserationibus. Et sponsabo te mihi in fide, et scies quia ego Dominus.*

ΚΘ'. Ἐξηγεῖται σαφῶς, τίς ἂν γένοιτο τῆς συνοφείας ὁ τρόπος, καὶ διὰ ποίων ἂν ἴοι πραγμάτων τῆς οἰκονομίας τὸ μυστήριον. « Ἐν δικαιοσύνῃ γὰρ ἔσται, φησὶ, καὶ ἐν κρίματι, καὶ μέντοι καὶ ἐν ἐλέει καὶ ἐν οἰκτιρμοῖς. » Τίς οὖν ἄρα ἐστὶν ἡ δικαιοσύνη, τί δὲ τὸ κρῖμα, καὶ μὴν καὶ τὸ ἔλεος, εἰπεῖν, ὡς D ἔοικεν, ἀναγκαῖον. Οὐκοῦν πεπλεονεκτήμεθα μὲν οἱ τάλανες, διαρπάζοντος ἡμᾶς ὡς θηρὸς ἀγρίου τοῦ Σατανᾶ, καὶ ἀποφέροντος μὲν εἰς πλάνησιν, ἐνιέντος δὲ κατὰ τὸ αὐτῷ δοκοῦν τοῖς τῆς ἁμαρτίας βόθροις, οὐδὲν ἑαυτοῖς ἐπαμύνειν ἰσχύοντας. Παγχάλεπος γὰρ καὶ βιαιότατος ἀληθῶς καὶ ἀνθρωποκτόνος ὁ θήρ. Ἐπειδὴ δὲ εἰς τοῦτο ταλαιπωρίας κατεκομίσθη τὰ ἀνθρώπινα, συχνὰς ἐποιοῦντο τὰς λιτὰς πρὸς τὸν ἐπαμύνειν δυνάμενον οἱ μακάριοι προφῆται, καὶ τὸ κοινὸν τῆς ἀνθρωπότητος μονονουχὶ προσωπεῖον ἑαυτοῖς περιπλάττοντες, συλλήπτορα, καὶ ἀρρωγὸν ἐξ οὐρανῶν ἀφικέσθαι παρεκάλουν τὸν Υἱόν. Ἔφη γοῦν ὁ

XXIX. Perspicue enarrat, quis modus conjunctionis esse queat, et quibus rebus œconomiæ mysterium processurum sit. « In justitia enim erit, inquit, in judicio, in misericordia, et in miserationibus. » Quænam igitur sit justitia, quod judicium, præterea quæ misericordia, dicendum videtur. Itaque circumventi sumus miseri, rapiente nos in morem atrocis bestiæ Satana, et in errorem agente, et pro arbitratu suo in peccati foveam præcipitante, nihil nobismet opis afferre valentes. Vere enim crudelissima, et violentissima, et hominum interfectrix bellua est. Rebus autem humanis huc miseriarum delapsis, crebras preces beati prophetæ fundebant ad Deum, qui succurrere potest, communemque humanæ naturæ personam tantum non induentes, adjutorem et auxiliarium de cœlis advenire Filium flagitabant. Ait ergo divinus David : « Surge, Deus, judica terram [58]; »

[55] Act. VII, 38. [56] Ephes. II, 16. [70-55] Deut. IX, 12. [57] I Tim. II, 5. [58] Ephes. II, 14. [58] Psal. LXXXI, 8.

Digitized by Google

et rursum : « Deus, in nomine tuo salvum me fac, et in virtute tua judica me[59]. » Judicavit itaque in justitia Deus, et afflictos salvavit; homicidam autem et pestiferum Satanam abegit, et a cervicibus nostris repulit, superbumque dæmonum principatum evertit. Et hoc mysterium ipse per seipsum declaravit, **54** cum dixit, pro omnium vita crucem perpessurus. « Nunc judicium est mundi hujus, et princeps mundi hujus ejicietur foras. » Et « Ego cum exaltatus fuero a terra, omnia traham ad meipsum[60]. » Nec sane volumus dixisse illum, ipso tempore adventus futurum mundi hujus judicium. Nam ut ipsemet rursum ait: « Non misit Deus Filium suum in mundum, ut judicet mundum, sed ut salvetur mundus per ipsum[61]. » Judicium autem esse dicit rectam et inculpatam velut dijudicationem ; justum enim nobis, et illi jus dixit. Et salvavit quidem nos ad se tractos, et nostri dominantem, ac multimodis nos perdentem tyrannide ejecit. Salvati sumus igitur miserante nos Deo. « Justificati enim sumus, non ex operibus justitiæ quæ fecimus nos, sed secundum magnam misericordiam ipsius[62], » sicut scriptum est. Vocati autem sumus ad necessitudinem spiritualem per fidem. Ita autem vocati, eum qui est natura Deus agnovimus. Idcirco, inquit, « desponsabo te mihi in fide, et cognosces Dominum. » Præcessit ergo fides. Sic autem Christo cognoscendo opes acquisivimus. Et hoc, ut arbitror, est quod quibusdam dictum est: « Nisi credideritis, non intelligetis[63]. » Christi vero mysterium clare nosse; æternæ vitæ participes reddere eos qui digni sunt, Filius ipse Patrem cœlestem alloquens certe confirmat: « Hæc est vita æterna, ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum[64]. »

Θεσπέσιος Δαβὶδ, « Ἀνάστα ὁ Θεὸς, κρῖνον τὴν γῆν. » Καὶ πάλιν· « Ὁ Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με. » Ἔκρινε τοίνυν ἐν δικαιοσύνῃ ὁ Θεὸς, καὶ σέσωκε μὲν τοὺς ἠδικημένους· τὸν δὲ μιαιφόνον καὶ ἁλιτήριον ἀπεσόβησε Σατανᾶν, καὶ τῆς καθ' ἡμῶν ἀπεώσατο πλεονεξίας, καὶ τὴν ἁλαζόνα τῶν δαιμονίων καθεῖλεν ἀρχήν. Καὶ τοῦτο ἡμῖν τὸ μυστήριον αὐτὸς δι' ἑαυτοῦ διεσαφεῖ, λέγων, ὅτε τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς ἔμελλεν ἀνατλῆναι σταυρόν· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, καὶ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. » — « Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντα ἑλκύσω πρὸς ἐμαυτόν. » Καὶ οὐ δήπου φαμὲν, ὅτι κρίσιν ἔφη τοῦ κόσμου τούτου γενήσεσθαι παρ' αὐτοῦ κατὰ τὸν τῆς ἐπιδημίας καιρόν. Ὡς γὰρ αὐτὸς ἔφη πάλιν, « Οὐκ ἀπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. » Κρίσιν δὲ εἶναί φησι, τὴν ὀρθὴν καὶ ἀμώμητον οἱονεὶ διαδικασίαν. Δεδίκακε γὰρ, ὡς ἔφην, ὀρθῶς ἡμῖν τε κἀκείνῳ. Καὶ σέσωκε μὲν ἡμᾶς, ἑλκύσας πρὸς ἑαυτόν· ἐκβέβληκε δὲ τῆς καθ' ἡμῶν τυραννίδος τὸν πλεονεκτοῦντά τε καὶ διολλύντα ποικίλως. Σεσώσμεθα δὴ οὖν ἐλεοῦντός τε ἡμᾶς καὶ κατοικτείροντος Θεοῦ. « Δεδικαιώμεθα γὰρ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος, » καθὰ γέγραπται. Κεκλήμεθά τε πρὸς οἰκειότητα τὴν πνευματικὴν διὰ πίστεως· κεκλημένοι τε οὕτω, τὸν φύσει Θεὸν ἐγνώκαμεν. Ταύτῃ τοι φησί· « Καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει, καὶ ἐπιγνώσῃ τὸν Κύριον. » Οὐκοῦν προεκδέδηκεν ἡ πίστις, πεπλουτήκαμεν δὲ οὕτως καὶ τὸ εἰδέναι Χριστόν. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ πρός τινας εἰρημένον· « Ἂν γὰρ μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. » Ὅτι δὲ τὸ συνιέναι λαμπρῶς τὸ Χριστοῦ μυστήριον, τῆς αἰωνίου ζωῆς περιποιεῖται τὴν μέθεξιν τοῖς ἐλεῖν ἀξίοις, πληροφορήσει λέγων αὐτὸς ὁ Υἱὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεόν· « Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν. »

VERS. 21, 22. *Et erit in die illa, dicit Dominus, exaudiam cœlum, et cœlum exaudiet terram, et terra exaudiet frumentum, et vinum, et oleum, et ipsa exaudient Jezrael.*

Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος· ἐπακούσομαι τῷ οὐρανῷ, καὶ αὐτὸς ἐπακούσεται τῇ γῇ, καὶ ἡ γῆ ἐπακούσεται τὸν σῖτον, καὶ τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ αὐτὰ ἐπακούσονται τοῦ Ἰεζραέλ.

XXX. Rursum hic diem vocationi conveniens tempus nuncupat. Hic quippe Scripturæ sacræ mos est. In omnium igitur bonorum, supernorumque, et a Deo suppeditatorum donorum affluentia Israelem fide in Christum aliquando illustratum iri, sub velamine quodam ostendit. Pluviarum siquidem copiam fore autumat ipso annuente; hoc enim opinor, est, quod asserit, « exaudiam cœlum. » Quin et in terra deorsum utilissimos et necessarios fructus nobis datum iri. Nam sine Deo **55** et superno arbitratu, nec cœlum aliquando imbres in terram demittet, nec terra aliquando fructus suos producet. Id quod sciens propheta Jeremias, orabat : « Nunquid est in idolis gentium pluens? et si cœlum dabit satietatem suam, nonne tu es

Λ'. Ἡμέραν δὴ πάλιν ἐν τούτοις τὸν τῆς κλήσεως πρέποντα κατονομάζει καιρόν· τοῦτο γὰρ ἔθος τῇ θεοπνεύστῳ Γραφῇ. Ὅτι τοίνυν ἐν μεθέξει, καὶ ἀφθονίᾳ παντὸς ἀγαθοῦ, καὶ τῶν ἄνωθεν, καὶ παρὰ Θεοῦ χαρισμάτων καὶ αὐτὸς ἔσται κατὰ καιροὺς ὁ Ἰσραὴλ, τῇ εἰς Χριστὸν πίστει λελαμπρυσμένος, αἰνιγματωδῶς ὑποφαίνει. Ὑετῶν γὰρ ἀφθονίαν ἔσεσθαί φησιν, αὐτοῦ κατανεύοντος. Τοῦτο γάρ, οἶμαι, ἐστὶ τὸ, « Ἐπακούσομαι τῷ οὐρανῷ. » Καὶ μὴν καὶ ἐν γῇ κάτω, τοὺς ὅτι μάλιστα χρειωδεστάτους καὶ ἀναγκαίους ἡμῖν ἐκδοθήσεσθαι καρπούς. Θεοῦ γὰρ δίχα καὶ βουλῆς τῆς ἄνωθεν, οὔτ' ἂν αὐτός ποτε τοῖς ἐπὶ γῆς οὖσιν ὁ οὐρανὸς, οὔτ' ἂν ἡ γῆ τὸν οἰκεῖον κατὰ καιροὺς ἀναφύοι καρπόν. Καὶ τοῦτο εἰδὼς ὁ προφήτης Ἱερεμίας, ἐλιπάρει, λέγων· « Μὴ ἔστιν ἐν εἰδώλοις τῶν

[59] Psal. LIII, 3. [60] Joan. XII, 31, 32. [61] Joan. III, 17. [62] Tit. III, 5. [63] Isa. VII, 9. [64] Joan. XVII, 3.

Digitized by Google

ἐθνῶν ὑετίζων; καὶ εἰ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ εἶ Θεός; καὶ ὑπομενοῦμέν σε, ὅτι σὺ ἐποίησας ταῦτα πάντα. » Κατανεύοντος γὰρ, ὡς ἔφην, τοῦ δημιουργοῦ, καὶ ἁπλοῦντος τὴν χεῖρα τοῖς ἐπὶ τῆς γῆς, ὑετοῦ μὲν ἔσται δοτὴρ ὁ οὐρανὸς, καρπῶν δὲ ἀναγκαίων μήτηρ ὁμοῦ καὶ τροφὸς ἡ γῆ. « Ἐπακούσομαι » τοίνυν, φησὶ, «τῷ οὐρανῷ,» ἀντὶ τοῦ, κατανεύσω καταθεῖναι τοῖς ἐπὶ τῆς γῆς ὑετούς. Οὗ δὴ γεγονότος, «ἐπακούσεται καὶ αὐτὴ, τὸν σῖτον, τὸν οἶνον, καὶ τὸ ἔλαιον,» τουτέστιν, ἀμφιλαφῆ τοῖς οἰκοῦσιν αὐτὴν ἐκδώσει καρπὸν, οὐδενὸς ἐκλελοιπότος τῶν ὅσα ἐστὶν ἀναγκαῖα καὶ ζωαρκῆ. Ἀλλὰ ταυτὶ μὲν ἱστορικῶς.

Ἀπὸ δέ γε τῶν σωματικῶν, ὡς ἐξ εἰκόνος ἐναργεστάτης ἀναφοιτᾷν ἀναγκαῖον ἐπὶ τὰ πνευματικά. Ἕως μὲν γὰρ ἐξήνιος ἦν, καὶ ἀπειθὴς, καὶ θεομάχος ὁ Ἰσραὴλ, ὁ ἀμπελὼν Κυρίου, « Τὸ νεόφυτον τὸ ἠγαπημένον, » ἐνετέλλετο ταῖς νεφέλαις ὁ Θεὸς τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. Νεφέλας δὲ νοητέον τὰς ἁγίας καὶ νοητὰς δυνάμεις τὰς ἄνωθεν καὶ ἐξ οὐρανῶν, δι' ὧν ἂν γένοιτο πρὸς ἡμᾶς ὁ τῆς παρακλήσεως λόγος, δῆλον δὲ ὅτι παρὰ Θεοῦ. Πνεύματα γάρ εἰσι λειτουργικὰ, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνὴν, ἄνω τε καὶ κάτω διαθέοντα, καὶ ἀποστελλόμενα πρὸς διακονίαν, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. Ἐπειδὴ δὲ παρῴχηκεν ὁ τῆς δίκης καιρὸς, σέσωσται διὰ πίστεως ὁ πάλαι κυριοκτόνος καὶ παρεδέχθη λειπὸν ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι, καὶ ἐν ἐλέῳ καὶ οἰκτιρμοῖς, καὶ καθῆκεν αὐτῷ τὰς ἄνωθεν εὐλογίας, « Ὁ πάντα πᾶσι πλουσίως διανέμων Θεός. » Ἐνετείλατο γὰρ ταῖς νεφέλαις καθεῖναι τὸν ὑετὸν, τὴν εἰς νοῦν καὶ καρδίαν παράκλησίν φημι. Πλὴν ὅτι καὶ αὐτὴ τῶν ἀγγέλων ἡ φύσις οὐδὲν μὲν ἴδιον ἔχει, πλουτεῖ δὲ πάντα παρὰ Θεοῦ, δεδίδαχεν εἰπών· « Ἐπακούσομαι τῷ οὐρανῷ, » τουτέστι, πληρωτὴν τῶν παρ' ἐμοῦ ποιήσω τὸν οὐρανὸν, ἤτοι τοὺς ὄντας ἐν οὐρανῷ, λογικὰς δηλονότι καὶ ἁγίας δυνάμεις, ὥστε δύνασθαι καὶ αὐτὰς παρακαλεῖν τοὺς ἠλεημένους, καὶ τότε δὴ πάντως « Ἐπακούσεται ἡ γῆ τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον. » Ἀντὶ τοῦ, καρποφορήσουσιν οἱ ἐπὶ τῆς γῆς ἐλπίδα τὴν ἐπὶ ζωῇ, καὶ εὐφροσύνῃ, καὶ ἱλαρότητι. Καὶ ζωῆς μὲν τύπος ὁ σῖτος, οἶνός γε μὴν εὐφροσύνης, ἱλαρότητος δὲ καὶ εὐεξίας τὸ ἔλαιον. Ἔνεστι γὰρ δὴ τοῖς πεπιστευκόσιν ἐλπὶς ἀγαθὴ, βεβαία τε καὶ ἐρηρεισμένη. Καὶ ἀποφοιτᾷ μέν τις τῆς φαυλότητος, ἐφίεται δὲ παντὸς ἀγαθοῦ, καὶ τοῖς τοῦ Σωτῆρος ζυγοῖς ὑποφέρει τὸν αὐχένα, καλῇ, καὶ ἀναμφιβόλῳ, καὶ ἀληθεῖ δὴ πάντως ἐλπίδι τρεφόμενος τῆς εἰς τὸ μέλλον ζωῆς, καὶ ἵνα τοῖς ἄλλοις ἁγίοις ἀναμιξ εὐφραίνηται, καὶ ἱλαρωτάτην ἔχῃ τὴν καρδίαν. Ἔφη γάρ που περὶ τῶν ἁγίων ὁ προφήτης Ἡσαΐας, ὅτι « Εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Αἴνεσις, καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτούς. Ἀπέδρα ὀδύνη, καὶ λύπη, καὶ στεναγμός. » Οὐκοῦν ἐλπίδι ζωῆς τε καὶ ἱλαρότητος, καὶ μέντοι καὶ εὐφροσύνης, ταῖς ἄνωθεν παρακλήσεσιν, ἤτοι τοῖς νοητοῖς ὑετοῖς ὑπακού-

ipse Dominus Deus noster? et exspectabimus te, quia tu fecisti hæc omnia [45-48]. » Annuente enim opifice, ut dixi, et manum super terram extendente, cœlum pluviam, et fructus quibus egemus terra simul mater, et nutrix suppeditabit. Ait ergo: « Exaudiam cœlum, » pro, annuam ut pluvia humum irriget. Quo facto et ipsa « exaudiet triticum, vinum et oleum, » hoc est ubertatem fructuum indigenis suis procreabit, nullo eorum deficiente, quæ ad vitam tuendam necessitas postulat. Et hæc quidem ad sensum historicum.

A corporeis autem, ut ab imagine evidentissima ad spiritualia redeundum est. Quandiu enim Israel, vinea Domini « novella plantatio et dilecta [46], » rebellis et incredulus, et Dei adversarius fuit, mandabat nubibus Deus, ne pluerent super eam [47]. Nubes autem sanctæ, et quas mentis oculis videmus, virtutes intelligendæ sunt, supernæ et cœlestes videlicet per quas sermo exhortationis ad nos permanare possit, a Deo, inquam, sine controversia. Sunt enim spiritus administratorii, juxta beatum Paulum, sursum et deorsum discurrentes, « et missi in ministerium propter eos qui hæreditatem capiunt salutis [48]. » Ast ubi tempus ultionis præteriit, salvatus est per fidem vetus Domini interfector, ac de cætero assumptus est in justitia, et judicio, et in misericordia, dimisitque ei benedictiones ab alto Deus, « qui distribuit omnibus affluenter [49]. » Mandavit enim nubibus dimittere pluvias, exhortationem, inquam, in mentem atque cor. Verumenimvero nec ipsam angelorum naturam quidquam habere proprium ac suum, omnes autem opes suas a Deo consecutam docuit, illis verbis: «Exaudiam cœlum,» hoc est, munerum meorum largum dispensatorem faciam cœlum, sive cœlicolas, consilio nimirum præditas et sanctas virtutes, ut et ipsæ misericordiam consecutos exhortari possint. Et tunc plane « terra exaudiet frumentum, vinum et oleum, » pro fructum ferent qui sunt in terra, spem vitæ, lætitiæ, hilaritudinis. Et typus quidem vitæ frumentum est; vinum autem lætitiæ, oleum hilaritatis, et bonæ habitudinis. **56** Inest enim in his qui crediderunt bona, et constans, et firmata spes. Et recedit quis ab improbitate; contra omne bonum appetit, et Salvatoris jugo cervicem submittit, bona, et minime dubia, et vera omnino spe vitæ futuræ sustentatus, ut una cum sanctis aliis lætetur, et cor habeat quam hilarissimum. Ait enim alicubi de sanctis propheta Isaias: « Lætitia sempiterna super capita eorum. Laus, et exsultatio, et gaudium comprehendet eos. Fugit dolor, et tristitia, et gemitus. » Itaque spe vitæ, et hilaritatis, atque etiam lætitia supernas hortationes, sive pluvias, quæ animo cernuntur, omnino exaudiet terra, id est, homines terram habitantes. Fore autem in

[45-48] Jerem. xiv, 22. [46] Isa. v, 1. [47] ibid. 6. [48] Hebr. i, 14, [49] Jac. i, 5. [56] Isa. xxxv, 10.

Digitized by Google

gloriam Christi fructum vitæ sanctorum: « unus enim pro nobis mortuus est, ut viventes jam non sibi vivant, sed ei, qui pro ipsis mortuus est, et resurrexit [81],» ostendit cum subdit: « Et ipsa exaudient Jezrael. » Ipsi enim, ut dixi, fructum feremus, ipsi vitam nostram debentes. Dictum est porro sæpius, Jezrael sonare « semen Dei, » hoc est, Filius, ex Deo Patre secundum naturam et inexplicabili modo genitus, quamvis rei corporatæ vocabulo afficiatur.

VERS. 23, 24. *Et seminabo eam mihi ipsi super terram, et miserebor, cujus non sum misertus, et dicam non populo meo: Populus meus es tu; et ipse dicet: Dominus Deus meus es tu.*

XXXI. Rursum voces « mihi ipsi » bifariam intelliges. Reddam enim, inquit, bene florentem, et fructiferam Judæorum Synagogam profecto, non amplius invite parentem legibus meis, neque pertinaciter typis affixam et inhærentem; sed quod maxime visum fuerit Deo gratum, et quod illi opportunum existimaverit, id paratam rite exsequi. Itaque mihi ipsi seminabo: meum quippe semen suscipiet, ut evangelica oracula, non jam legem per Moysen promulgatam, sicut in principio, intelligamus. Olim enim typis et figuris colebatur. Aut certe « mihi ipsi, » alio sensu interpretabere. Per me, inquit, ipsam curabo, seu ad ejus curam incumbam, et quasi terram quamdam pinguem, aratuque facilem, non per alium quempiam, sed per memetipsum conseram. Locutus est autem nobis Deus et Pater in Filio, quamvis veteribus « multifariam multisque modis per prophetas sanctos locutus sit [82].» **57** Segetibus porro in agro et ipse Salvator immensam credentium multitudinem comparavit, cum apostolis ait: « Nonne vos dicitis quod adhuc quatuor menses sunt, et messis venit? Ecce dico vobis: Levate oculos vestros, et videte regiones, quoniam albæ sunt jam ad messem. Et qui metit, mercedem accipit, et congregat fructum in vitam æternam [83].» Et iterum alibi: « Messis quidem multa, operarii autem pauci. Rogate igitur Dominum messis, ut emittat operarios in messem suam [84]. » Itaque demissa nobis a Salvatore pluvia, quæ intelligentia percipitur, facti sumus « terra voluntaria, » ut propheta loquitur. Consevit enim nos sibi ipsi, vocatusque Israel agricultura Dei. Miserebitur enim, cui non fuerat misertus: et qui aliquando Non populus, vocabitur Populus; et ipse exutus errorem pristinum, Deum verum agnoscet, et dicet: « Deus meus es tu, » tametsi olim ex immodica vesania clamavit: « Nos scimus, quia Moysi locutus est Deus; hunc autem nescimus unde sit [85].» Quamobrem cum ignorarent Filium, nec Patrem noverant: quod ita testatur Salvator: « Si me sciretis, et Patrem meum forsitan sciretis [86].» Postquam autem ad agnitionem vocaA σεται πάντως ἡ γῆ, τουτέστιν, οἱ τὴν γῆν οἰκοῦντες ἄνθρωποι. Ὅτι δὲ εἰς δόξαν ἔσται Χριστοῦ τῆς τῶν ἁγίων ζωῆς ὁ καρπὸς (« Εἷς γὰρ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι »), διαμεμήνυκεν εἰπών· « Καὶ αὐτὰ ἐπακούσεται τῷ Ἰεζραέλ. » Αὐτῷ γάρ, ὡς ἔφην, καρποφορήσομεν, αὐτῷ τὴν ἰδίαν ἐποφείλοντες ζωήν. Εἴρηται δὲ πλειστάκις, ὅτι τὸ, Ἰεζραὲλ ἑρμηνεύεται « σπορὰ Θεοῦ, » καὶ τοῦτό ἐστι τὸ, Υἱὸς, ὡς ἐκ Θεοῦ Πατρὸς κατὰ φύσιν καὶ ἀπορρήτως γεγενημένος, καὶ εἰ καλοῖτο πράγμα σωματικῶς.

Καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς, καὶ ἐλεήσω τὴν οὐκ ἠλεημένην, καὶ ἐρῶ τῷ οὐ λαῷ μου, Λαός μου εἶ σὺ, καὶ αὐτὸς ἐρεῖ, Κύριος ὁ Θεός μου εἶ σύ.

ΛΑ'. Τὸ « ἐμαυτῷ » δὴ πάλιν συνήσεις διχῶς. Ἀποφανῶ γὰρ, φησὶν, οἷόν πως εὐθαλῆ τε καὶ ἔγκαρπον, δῆλον δὲ ὅτι τὴν τῶν Ἰουδαίων συναγωγὴν, οὐκέτι τὸν ἀδούλητον ἐμοὶ διαπεραίνουσαν νόμον, οὔτε μὴν προσερείσθαι τοῖς τύποις, ἀπριξ ἠρημένους· ἀλλὰ τὸ, ὅτι μάλιστα τῷ Θεῷ φίλον τε δοκοῦν, καὶ εὖ ἔχειν ὑπειλημμένον, κατορθοῦν ἑλομένην. Οὐκοῦν ἐμαυτῷ κατασπερῶ· τὸν γὰρ ἐμὸν εἰσδέξεται σπόρον, ἵνα νοῶμεν τὰ εὐαγγελικὰ θεσπίσματα, καὶ οὐκέτι τὸν διὰ Μωσέως, καθὰ καὶ ἐν ἀρχαῖς. Ἐγεωργεῖτο γὰρ πάλαι τοῖς τύποις. Ἤγουν τὸ « ἐμαυτῷ » καὶ καθ' ἕτερον ἐκδέξῃ τρόπον. Αὐτουργὸς γὰρ ἔσομαι, φησὶ, πρὸς τὴν ἐπ' αὐτῇ φροντίδα, καὶ οἷόν τινα γῆν πίονά τε καὶ εὐήροτον, οὐ δι' ἑτέρου τινὸς, ἀλλ' ἐμαυτοῦ κατασπερῶ. Λελάληκε γὰρ ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ ἐν Υἱῷ· καίτοι « Τοῖς πάλαι λαλήσας διὰ προφητῶν ἁγίων πολυμερῶς τε καὶ πολυτρόπως. » Λητέοις δὲ παρεικάζει τοῖς ἐν ἀγρῷ καὶ αὐτὸς ὁ Σωτὴρ τὴν ἀμέτρητον τῶν πεπιστευκότων πληθύν. Καὶ γοῦν ἔφη τοῖς ἁγίοις ἀποστόλοις· « Οὐχ ὑμεῖς λέγετε, ὅτι τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ἰδοὺ λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας. Ὅτι λευκαί εἰσιν ἤδη πρὸς θερισμόν· καὶ ὁ θερίζων μισθὸν λαμβάνει· » καὶ, « Θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. » Οὐκοῦν καθέντος ἡμῖν τὸν νοητὸν ὑετὸν τοῦ Σωτῆρος ἡμῶν, γεγόναμεν γῆ θελητὴ, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἔσπειρε γὰρ ἡμᾶς ἑαυτῷ, καὶ κεχρημάτικε τὸ Θεοῦ γεώργιον ὁ Ἰσραήλ. Ἐλεήσει γὰρ τὴν οὐκ ἠλεημένην, καὶ τὸν ποτε οὐ λαὸν, ὀνομάσει λαόν. Καὶ αὐτὸς δὲ τῆς ἀρχαίας καταλήγων πλάνης, τὸν ἀληθῆ Θεὸν ἐπιγνώσεται, καὶ ἐρεῖ, « Θεός μου εἶ σὺ, » καίτοι πάλαι βοῶν ἐξ ἀμετρήτου φρενοβλαβείας, Ἡμεῖς οἴδαμεν, ὅτι Μωσεῖ λελάληκεν ὁ Θεός· τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. Οὐκοῦν ἀγνοήσαντες τὸν Υἱὸν, οὐδὲ αὐτὸν ᾔδεσαν τὸν Πατέρα· καὶ μαρτυρήσει λέγων αὐτὸς ὁ Σωτήρ· Εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν Πατέρα μου ἂν ᾔδειτε. Ἐπειδὴ δὲ κέκληνται πρὸς ἐπίγνωσιν, καὶ ὡμολογήκασι τὸν Υἱὸν, τεθέανται λοιπὸν δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ τὸν Πατέρα. Ἀληθὲς γάρ, ὅτι, καθὰ φησιν ὁ Ἰωάννης, ὁ ἀρνούμενος τὸν Υἱὸν, οὐδὲ τὸν

[81] II Cor. v, 15. [82] Hebr. I, 1. [83] Joan. IV, 35, 36. [84] Matth. IX, 37. [85] Joan. IX, 30. [86] Joan. VIII, 19.

Digitized by Google

Πατέρα ἔχει· ὁ δὲ ὁμολογῶν τὸν Υἱὸν, ὁμολογεῖ καὶ τὸν Πατέρα.

A ti, et Filium confessi sunt, deinceps per ipsum, et in ipso Patrem viderunt. Verum est enim, juxta sapientem Joannem : « Qui negat Filium, nec Patrem habet. Qui autem confitetur Filium, confitetur et Patrem [87]. »

ΚΕΦΑΛ. Γ'.

Καὶ εἶπε Κύριος πρός με· Ἔτι πορεύθητι, καὶ ἀγάπησον γυναῖκα ἀγαπῶσαν πονηρὰ, καὶ μοιχαλίν, καθὼς ἀγαπᾷ ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ αὐτοὶ ἀποβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους, καὶ φιλοῦσι πέμματα μετὰ σταφίδων.

ΛΒ'. Τί τὸ χρῆμα πάλιν, ἢ τί τὸ μυστήριον, ἀναμαθεῖν ἀναγκαῖον. Δεῖν γὰρ οἶμαι τὰ τοιάδε πολυπραγμονεῖν, καὶ καταθρῆσαι λεπτομερῶς. Μετὰ γάρ τοι τὴν πρώτην, τὴν μαχλάδα καὶ σεσοβημένην, ἕτερον τῷ προφήτῃ γύναιον εἰσκρίνεται, τοῖς τῆς μοιχείας ἐγκλήμασιν ἐχόμενον. Καὶ τίς ὁ λόγος; ἡ μὲν γὰρ τῶν Ἰουδαίων πληθὺς, ἡ πρὸ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας, ἅτε δὴ καὶ ἀφυλακτότερον καὶ μάλα ἑτοίμως ἰοῦσα πρὸς πλάνησιν, καὶ δαμάλεσι μὲν λατρεύουσα ταῖς χρυσαῖς, προσκυνοῦσά τε καὶ θύουσα τῷ Βάαλ, ἤτοι τῷ Βεελφεγὼρ, πόρνῃ *παροικάζετο*, καὶ λίαν εἰκότως, οἱονεί πως ἐκκειμένη παντὶ πονηρῷ καὶ ἀκαθάρτῳ πνεύματι, τὰς ἰδίας ἡδονὰς ἀποπληροῦν ἐθέλοντι. *Προσεδέχοντο* γὰρ καὶ τῶν ὁμόρων ἐθνῶν *τὰ σεβάσματα*, κατὰ τὸ ἑκάστῳ δοκοῦν, ἀνοσίως καὶ ἀβασανίστως. Ἀλλ' ἐκείνη μὲν ὡς ἑτοίμως ἰοῦσα πρὸς ἀπόστασιν ἐκολάζετο δικαίως, πεμπομένη πρὸς αἰχμαλωσίαν, καὶ ὑπὸ πόδας πίπτουσα τῶν ἐχθρῶν. Καθίστη γε μὴν ἐναργὲς τῷ προφήτῃ Θεὸς, ὅτι κατὰ τὸν καιρὸν τῆς τοῦ Ἰεζραὲλ ἡμέρας, τῆς ὡς ἀληθῶς μεγάλης, ἀναβήσονται ἐκ τῆς γῆς, τουτέστι, τῆς τῶν ἀλλοφύλων ἀποδραμοῦνται χώρας. Τοῦτο δὲ ἦν αἰνιγματωδῶς ὑποφῆναι πάλιν, ὅτι πεπαύσονται τοῦ εἶναι ξένοι καὶ ἐπήλυτοι, μᾶλλον δὲ δορύληπτοι, καὶ τὴν ἀλλοτρίαν οἰκοῦντες οὐκ ἐλευθέρως. Ἐκήρυσσε γὰρ ὁ Σωτὴρ αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ὅτι δὲ καὶ εἰσδεχθήσονται διὰ πίστεως ἐν ἐλέοις καὶ οἰκτιρμοῖς, καὶ κεκλήσονται λαὸς Θεοῦ, καὶ μὴν καὶ ἠλεημένοι, διαμεμήνυκεν ἐναργῶς. Μετὰ γάρ τοι τὴν τοῦ Σωτῆρος ἐπιδημίαν, καὶ τὸ ἐπὶ τῷ σταυρῷ πάθος, καὶ τὴν ἐκ νεκρῶν ἀναβίωσιν, σέσωσται μὲν τὸ κατάλειμμα (πεπιστεύκασι γὰρ οὐκ εὐαρίθμητοι τῶν ἐξ Ἰσραήλ)· ἀπομεμένηκε δὲ πάλιν ἡ ἀπειθοῦσα πληθὺς, ἣν μοιχαλίδι παρεικαστέον, διά τοι τὸ μὴ ἐλέσθαι τὸν ἐξ οὐρανοῦ νυμφίον, καὶ ἀθετῆσαι μὲν τὸν ἐν πίστει μνώμενον, μοιχοῖς δὲ ὥσπερ τισὶν ἀνεῖναι τὸν νοῦν τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις. Ἐδίδασκον γὰρ διδασκαλίας καὶ ἐντάλματα ἀνθρώπων. Ὥσπερ οὖν τῇ πόρνῃ συνῆν ὁ προφήτης, εἰς τύπον Θεοῦ τῆς τοῦ Ἰσραὴλ ἀνεχομένου πορνείας, καὶ κολάζοντος μὲν συμμέτρως εἰς ἐπιστροφὴν, ἀνακομίζοντος δὲ πρὸς ἐπίγνωσιν· τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ διὰ τῶν προκειμένων μορφοῦται πάλιν ἡμῖν ἀστείως τὸ μυστήριον. Εἰς τύπον γὰρ ὁ προφήτης Θεοῦ παραδέχεται μὲν τὴν μοιχαλίδα καὶ ἀγαπῶσαν

CAP. III.

VERS. 1. *Et dixit Dominus ad me : Adhuc vade et dilige mulierem diligentem mala, et adulteram, sicut dilexit Dominus filios Israel, et ipsi respiciunt ad deos alienos, et amant coctiones cum vinaceis.*

XXXII. Quid rei, aut mysterii istud sit, cognoscamus oportet. Puto equidem talia scrutanda diligentius et perpendenda subtilius. Post primam enim, eamque meretricem, et repulsam, alia muliercula prophetæ offertur, adulterii flagitiis involuta. Quid ita? Judæorum namque multitudo, quæ adventum Salvatoris nostri antecessit, utpote insolentius, ac prompte nimis errorem sequens, et vitulos aureos colens, adoransque, et sacrificans Baal, sive Beelphegor, cum scorto conferebatur, **58** et aptissime, veluti exposita omni maligno et immundo spiritui, suas in ea voluptates explere cupienti. Nam et finitimarum gentium sacra, prout cuique liberet, absque ulla exploratione suscipiebant. Verum illa quidem, ut defectionem haud invita iniens, pœnam condignam excepit, redacta in captivitatem, et hostium pedibus subjecta. Aperit nihilominus prophetæ Deus, tempore diei Jezrael, vere magni, ascensuros de terra, hoc est, e regione alienigenarum avolaturos. Quod rursum erat sub tegumento indicare, desituros esse peregrinos et advenas, imo bello captos, et alienam regionem, non ut liberos decebat, incolentes. Prædicavit enim Salvator « captivis indulgentiam, et cæcis aspectus restitutionem [88], » juxta verbum prophetæ. Porro per fidem in misericordia, et miserationibus susceptum, et vocatum iri populus Dei, quin et misericordiam consecutum dilucide demonstrat. Nam post Salvatoris adventum, et perpessionem crucis, et in vitam reditum, salvatæ sunt quidem reliquiæ (crediderunt enim non pauci numero ex Israel); remansit tamen adhuc incredula multitudo, quæ mulieri lascivæ apposite comparatur, quia cœlestem Sponsum non elegerit, et aspernata sit qui ipsam in fide ambibat, et Scribis ac Pharisæis veluti mœchis quibusdam animum permiserit. Docebant enim « doctrinas et mandata hominum [89]. » Itaque quasi cum meretrice erat propheta in typum Dei, fornicationes Israel sustinentis, moderateque ad conversionem punientis, et ad agnitionem revocantis; eodem, opinor, modo et per verba proposita rursum nobis mysterium scite informatur. Nam personam ac typum Dei gerens propheta adulteram et diligentem mala admittit; sed fovet eam, quodammodo promissionibus et bona spe saginans optime, ad desperationem ruere non sinit. In his enim consistere totum mysterium ostendit Deus, cum ita prophetam compellavit : « Di-

[87] I Joan. II, 23. [88] Isa. LXI, 1. [89] Matth. XV, 9 ; Marc. VII, 7.

Digitized by Google

lige adulteram et diligentem mala, sicut Deus diligit filios Israel, et ipsi respiciunt ad deos alienos, et amant coctiones cum vinaceis. » Quanquam enim incredulos, inquit, et diis commentitiis amorem tribuentes, et ipsorum libidini obsequi non recusantes, **59** ex insita benignitate diligit Deus, « qui omnes homines vult salvos fieri, et ad agnitionem veritatis venire [60]. » Habent autem propemodum hanc intelligentiam verba Dei, tempore adventus Christi vixisse forte apud Judæos adhuc multos, qui neutrius partis toti essent; qui nec mandatis Mosaicis sincere adhærescerent, nec a sordibus seductionis perfecte essent liberi, respicerent autem magis ad deos alienos, quibus et cocta cum vinaceis, seu uvis passis offerebant, popana fortasse (*genus crustuli*) aut placentas mellitas. Talia siquidem pemmata dæmonibus in sacrificium offerre consueverant.

A τὰ πονηρά· περιθάλπει δὲ, ὥσπερ ταῖς ἐπαγγελίαις καὶ ἀγαθαῖς ἐλπίσι καταπιαίνων εὖ μάλα, πίπτειν οὐκ ἐᾷ πρὸς ἀπόγνωσιν. Ὅτι γὰρ ἐν τούτοις ὅλον ἐστὶ τὸ μυστήριον, παρέδειξεν, εἰπὼν τῷ προφήτῃ Θεὸς οὕτως· Ἀγάπησον τὴν μοιχαλίδα καὶ ἀγαπῶσαν τὰ πονηρὰ, καθὼς ἀγαπᾷ ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραήλ. Καὶ αὐτοὶ ἀποβλέπουσι πρὸς θεοὺς ἀλλοτρίους, καὶ φιλοῦσι πέμματα μετὰ σταφίδων. Καίτοι γὰρ, φησὶ, καὶ ἀπειθεῖν ἑλομένους, καὶ τοῖς ψευδωνύμοις θεοῖς ἀπονέμοντας τὴν ἀγάπησιν, καὶ αὐτοῖς τὰ θυμήρη πληροῦν ἐθέλοντας, ἐξ ἐμφύτου χρηστότητος ἀγαπᾷ ὁ Θεὸς, «ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. » Δίδωσι δέ πως ἡμῖν ὁ τοῦ Θεοῦ λόγος ἐννοεῖν, ὅτι κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν ἦσάν που τάχα παρὰ τοῖς Ἰουδαίοις ἐπαμφοτερίζοντες ἔτι πολλοὶ, καὶ οὔτε τοῖς διὰ Μωσέως ἐντάλμασι προσκείμενοι καθαρῶς· οὔτε μὴν εἰσάπαι

B ἀπηλλαγμένοι τῶν τῆς πλανήσεως ῥύπων, ἀποβλέποντες δὲ μᾶλλον καὶ εἰς θεοὺς ἀλλοτρίους, οἷς καὶ πέμματα προσῆγον μετὰ σταφίδων, πόπανά που τάχα, καὶ μελιττούτας. Προσεκόμιζον γὰρ εἰς θυσίαν τοῖς δαίμοσι τὰ τοιάδε πέμματα.

VERS. 2-4. *Et conduxi eam mihi quindecim argenteis, et gomor hordei, et nebel vini, et dixi ad eam: Dies multos sedebis apud me; non fornicaberis, neque eris viro alteri, et ego apud te.*

Καὶ ἐμισθευσάμην ἐμαυτῷ πεντεκαίδεκα ἀργυρίους, καὶ γομὸρ κριθῶν, καὶ νέβελ οἴνου, καὶ εἶπα πρὸς αὐτήν· Ἡμέρας πολλὰς καθήσῃ ἐπ' ἐμοί· καὶ οὐ μὴ πορνεύσῃς, οὐδὲ μὴ γένῃ ἀνδρὶ ἑτέρῳ, καὶ ἐγὼ ἐπὶ σοί.

XXXIII. Mercede igitur mulierculam conducit propheta. Collocat autem domi, et eam a nequitia se cohibere, adulteriique fœditatibus finem imponere jubet. Pollicetur vero, si ad ipsum solum conversa ab alio intactam sese conservaverit, apud ipsam et se futurum, hoc est, ad thorum conjugalem adhibiturum, et unum cum ipsa futurum. Inquit enim Scriptura: « Erunt hi duo in carne una [61]. » Quid autem vult ænigma? Judæorum turbam incredulam, et Domini mactatricem, adulteram et impuram post Christi in cœlos reditum sedere jubet, sine viro quidem; verumtamen nisi adhuc fornicata fuerit, hoc est, si deos alienos rursum colere detrectaverit, sibi eam suo tempore copulaturum promittit, gentium videlicet multitudine prius ingressa. Positus est enim a tergo Israel, id est, sequela quædam, et appendix, et in postremis. Observa item, quo pacto nuptialis corporum conjunctio prophetæ cum adultera et improba nulla plane fuerit; promissa vero post dies multos, nisi interea fuisset cum viro rursus altero, hoc est, se in sceleribus et impuritatibus fornicationis animæ perpetratæ non contaminasset. Suscipiet enim, ut dixi, aliquando adulteram multitudinem sponsus de cœlo, si idola colere desierit. Post crucem enim Salvatoris solis Moysi legibus deditus erat Israel; flaccide quidem et negligenter; verumtamen ad pseudolatrias dæmonum deflectere non libebat. Cæterum quæ ratio vitæ adulterio pollutæ, **60** et prophetæ consuetudinem tempore suo futuram exspectanti? aut quæ fuerunt, quibus conducta est, mercedes? «Quindecim, inquit, argentei, et gomor hordei, et nebel vini. » Perseverabat enim Is-

ΛΓ'. Καταμισθοῦται μὲν οὖν τὸ γύναιον ὁ προφήτης, καθίζει δὲ οἴκοι, καὶ τῆς ἐν ἕξει φαυλότητος ἀποσχέσθαι κελεύει, καὶ τῶν τῆς μοιχείας καταλήξαι μολυσμῶν. Ἐπαγγέλλεταί γε μὴν σωφρονεῖν ἠρημένῃ, καὶ εἰς αὐτὸν ὁρώσῃ μόνον ἐπ' αὐτῇ καὶ αὐτὸς ἔσεσθαι. Τουτέστιν, οἰκειώσασθαι γαμικῶς, καὶ ἓν ἔσεσθαι πρὸς αὐτήν· «Ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς σάρκα μίαν.» Καὶ τί τὸ αἴνιγμα; Τὴν τῶν Ἰουδαίων πληθὺν, τὴν ἀπειθῆ καὶ Κυριοκτόνον, τὴν μοιχαλίδα καὶ βέβηλον μετὰ τὸ ἀναφοιτῆσαι Χριστὸν εἰς τοὺς ἀνθρώπους καθίζει Θεὸς, ἄνανδρον μέν· πλὴν εἰ μὴ πορνεύσειεν ἔτι, τουτέστιν, εἰ μὴ βαδίζοι πάλιν πρὸς τὸ δεῖν ἐλέσθαι τιμᾷν θεοὺς ἀλλοτρίους, ἑαυτῷ συνάψειν κατὰ καιροὺς ἐπαγγέλλεται, τῆς τῶν ἐθνῶν δηλονότι πληθύος προεισκεκριμένης. Τέθειντο γὰρ εἰς νῶτον οἱ ἐξ Ἰσραὴλ, τουτέστι, παρακολούθημα καὶ ὀπίσω καὶ ἐν τοῖς ἐσχάτοις. Ἐπιτήρει δὲ, ὅπως σύνοδος μὲν γαμικὴ τῷ προφήτῃ πρὸς τὴν μοιχαλίδα καὶ πονηρὰν οὐ γέγονεν ὅλως, ὑπόσχεσις δὲ τοῦ πράγματος μετὰ πολλὰς ἡμέρας, εἰ μὴ ἀνδρὶ γένοιτο πάλιν ἑτέρῳ, τουτέστιν, εἰ ἀπόσχοιτο τῶν τῆς νοητῆς πορνείας ἐγκλημάτων καὶ μολυσμῶν. Εἰσδέξεται γὰρ, ὡς ἔφην, κατὰ καιροὺς τὴν μοιχαλίδα πληθὺν ἐξ οὐρανοῦ νυμφίος, οὐ λατρεύσασαν εἰδώλοις. Μετὰ γάρ τοι τὸν τοῦ Σωτῆρος σταυρὸν, μόνοις τοῖς διὰ Μωσέως προσκείμενος νόμοις ὁ Ἰσραὴλ, σαθρῶς μὲν γὰρ λίαν καὶ κατημελημένως, πλὴν οὐκ ἀπονένευκεν εἰς τὸ ἐλέσθαι τιμᾷν τὰς τῶν δαιμονίων ψευδολατρείας. Ἀλλὰ τίς ὁ τρόπος τῆς ζωῆς τῇ μεμοιχευμένῃ καὶ περιμενούσῃ κατὰ καιροὺς τοῦ προφήτου τὴν κοινωνίαν; ἢ ποῖα γέγονεν αὐτῇ τὰ μισθώματα; «Πεντεκαίδεκα, φησὶν, ἀργύρια, καὶ γόμορ κριθῶν, καὶ

[60] I Tim. II, 4. [61] Gen. II, 24.

Digitized by Google

νέβελ οἴνου. » Διατετέλεκε γὰρ ὁ Ἰσραὴλ τὸν μεταξὺ τῆς ἐσχάτης αὐτοῦ κλήσεως χρόνον, ἀδοκίμῳ τρεφόμενος λόγῳ, καὶ διδασκαλίαις προσέχων ταῖς μυθικαῖς καὶ γραοπρεπέσιν (1) ἀληθῶς ταῖς τῶν ἰδίως καθηγητῶν. Γέγονε δὲ αὐτῷ κτηνοπρεπὴς ὁ βίος, καὶ ὁ νοῦς ἐν μέθῃ καὶ σκότῳ. Τύπος δ' ἂν εἴη καὶ μάλα σαφὴς, λόγου μὲν διδασκαλικοῦ τὸ ἀργύριον, κατά γε τὸ διὰ τῆς Ἡσαΐου φωνῆς πρὸς αὐτοὺς εἰρημένον· « Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, » καὶ κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν, τῷ πονηρῷ καὶ ὀκνηρῷ δούλῳ δικαίως ἐπιτιμῶντος καὶ λέγοντος· « Ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις. » Οὐκοῦν τὸ ἀργύριον, τὸ τῶν διδασκόντων ἐκδέξῃ λόγον.

Εἰ δὲ δή τις ἕλοιτο καὶ εἰς αὐτὸν τὸν διὰ Μωσέως ἀνοίσειν νόμον, πεντεκαίδεκα εἶναι φήσει, ἢ ὅτι τέλειός τε ὁμοῦ καὶ ἀτελὴς ὁ νόμος. Καὶ τέλειος μὲν, εἰ νοοῖτο πνευματικῶς (λαλεῖ γὰρ ἡμῖν τοῦ Χριστοῦ μυστήριον)· ἀτελὴς δὲ αὖ, εἰ μέχρις ἑοι τοῦ γράμματος τῶν παιδαγωγουμένων ὁ νοῦς. Οἱονεὶ γάρ πως ἐν ἡμίσει γνώσεως τῆς ἱστορίας τὸ πάχος. Σύμβολον δὲ τελειότητος ὁ δέκα ἐστὶν ἀριθμὸς, παντέλειος ὤν, κατὰ τὸ, « Ἔσο ἐπάνω δέκα πόλεων· » καὶ τὸ, « Τῷ μὲν ἔδωκε πέντε τάλαντα. » Τοῦ δὲ μὴ οὕτως ἔχοντος, νοοῖτ' ἂν ὁ πέντε. Καὶ γὰρ, ὡς ἔφην, ἐν ἡμίσει τῶν δέκα. Ἢ καὶ καθ' ἕτερον τρόπον τοῖς εἰρημένοις προσβαλεῖς. Ὁ δέκα καὶ πέντε ἀριθμὸς περιεκτικός ἐστι τῶν ἑπτὰ, καὶ μέντοι καὶ τῶν ὀκτώ. Σημαίνεται δέ πως ἀεὶ παρὰ τῇ θεοπνεύστῳ Γραφῇ, διὰ μὲν τοῦ ἑπτὰ σύμπας ὁ τοῦ νόμου καιρὸς μέχρι τῶν ἁγίων προφητῶν, διὰ τὸν ἐν ἑβδόμῃ Σαββατισμόν· ἐπὶ δὲ τοῦ ὀκτὼ πάλιν ὁ τῆς νέας διαθήκης, καθ' ἣν ἡ ἀνάστασις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, γενομένη κατὰ τὴν ὀγδόην. Καὶ τοῦτο οἶμαι δῆλοῦν τὸ αἰνιγματωδῶς εἰρημένον· « Δὸς μερίδα τοῖς ἑπτὰ, καί γε τοῖς ὀκτὼ, » τουτέστι τόπον ἐχέτωσαν παρὰ σοὶ νόμος τε καὶ οἱ μετ' αὐτὸν προφῆται, τὸν ἐν ἑβδόμῃ τιμῶντες Σαββατισμόν. Ἐχέτωσαν δὲ καὶ οἱ ὀκτὼ, τουτέστιν, οἱ μετὰ τὴν ἀναστάσιμον τοῦ Σωτῆρος ἡμέραν ἀπόστολοί τε καὶ εὐαγγελισταί. Συμβαίνει δὲ τοῦτο καὶ τὸ διὰ φωνῆς τοῦ προφήτου πλαγίως ὑποδηλούμενον· « Καὶ ἐγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀνθρώπων. » Ἐπιλάμψαντος γὰρ ἡμῖν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, κατεξανέστησαν τρόπον τινὰ τοῦ παραλύσαντος ἡμᾶς Σατανᾶ νομικά τε καὶ προφητικὰ κηρύγματα, ἀποστολική τε παίδευσις. Διὰ γάρ τοι τούτων κατεδήχθη τρόπον τινὰ καὶ σεσύληται. Καὶ κατὰ τὴν τοῦ Σωτῆρος φωνὴν διηρπάσθη τὰ σκεύη αὐτοῦ, τῆς ὑπ' αὐτῷ δουλείας ἐκπεφοιτηκότων τῶν πεπλανημένων ποτὲ, καὶ τὸν φύσει καὶ ἀληθῶς Θεὸν, καὶ τῶν ὅλων δεσπότην ἐπεγνωκότων. Οὐκοῦν « ἐπανέστησαν μὲν αὐτῷ ποιμένες ἑπτὰ, καὶ ὀκτὼ δήγματα ἀνθρώπων, » τουτέστιν, οἱ πρὸ τῆς ἐπιδημίας, καὶ οἱ μετὰ τὴν ὀγδόην, διὰ νομικῶν τε καὶ νέων γραμμάτων καλοῦντες εἰς

rael usque ad extremum tempus vocationis suæ pasci ac nutriri adulterinis sermonibus, et attendere doctrinis fabulosis et vere anilibus magistrorum suorum. Vita autem fuit ei bestiarum vitæ similis, et mens ebria ac tenebris offusa. Evidens typus esse potest, sermonis quidem instituentis argentum, juxta illud, quod ab Isaia ad eos dictum est: « Argentum vestrum reprobum [66]; » et juxta verbum Salvatoris, servum nequam et pigrum juste increpantis ac dicentis: « Oportuit te committere argentum meum nummulariis [67]. » Itaque argenti nomine sermonem docentium accipies.

Quod si cui placuerit etiam, ad ipsam Moysis legem referre, quindecim argenteos esse dicet, aut quia perfecta simul et imperfecta est lex: et perfecta quidem, si spiritualiter intelligatur (loquitur enim nobis Christi mysterium); imperfecta, si mens eorum qui ea instituuntur, ultra litteram non procedat; velut enim dimidium cognitionis historiæ crassities obtinet. Symbolum porro perfectionis denarius est numerus, longe perfectissimus, juxta illud: « Esto super decem civitates [68]; » et illud: « Et alii quidem dedit quinque talenta [69]; » ubi per quinarium quod secus, seu imperfectum est intelligere licet. Nam, ut dicebam, dimidium decem sunt quinque; aut alio modo dicta explanabis. Quindecim numerus est septem et octo continens. Significatur autem pene semper in divina Scriptura per septem totum legis tempus, usque ad sanctos prophetas, propter Sabbatismum, seu quietem die septima [70]. Contra, per octo lex novi testamenti, in quo resurrectio Domini nostri Jesu Christi die octavo contigit. Atque hoc mihi videtur velle, quod involutius dictum est: « Da partem septem et octo [71], » hoc est, locum apud te habeant et lex, et qui post eam venerunt prophetæ, septimi diei Sabbatismum honorantes. Habeant autem partem et octo, qui post resurrectionem exstiterunt apostoli et evangelistæ. Huc etiam illud pertinet, quod per os prophetæ occultius significatum est: « Et consurgent super eum septem pastores, et octo morsus hominum [72]. » Postquam enim nobis illuxit Salvator noster Jesus Christus, contra Satanam, qui nos enervaverat, præconia seu dicta legalia, 61 et prophetica, institutioque apostolica aliquo modo insurrexerunt. Per hæc enim morsus quadam ratione et spoliatus est, et juxta vocem Salvatoris direpta vasa ejus [73], cum seducti olim e servitute ejus elapsi sunt, naturaque et vere Deum, et universorum Dominum agnoverunt. Quare « insurrexerunt in illum pastores septem, et octo morsus hominum, » hoc est, qui ante adventum, et qui post octavam fuerunt, per legales et novas scripturas ad salutem vocantes qui erraverunt. Affixus ergo ma-

[66] Isa. I, 22. [67] Matth. XXV, 27. [68] Luc. XIX, 17. [69] Matth. XXV, 15. [70] Exo. XVI, 26. [71] Eccle. XI, 2. [72] Mich. V, 5. [73] Matth. XII, 29.

(1) Sic pro edito πραοπρεπέσιν corrigendum monet Cotelerius *Monum. Eccl. Gr.* II, 634. Edit.

Digitized by Google

nebat Israel, ut docui, suorum magistrorum adulterinis vocibus; seu nuda littera pascebatur, quamvis et illa quæ octavæ sunt, hoc est, Christi mysteria complecteretur. Quod autem egerit vitam pecudum, et ad carnalia solum propenderit, commodissime subindicavit, quod datum est hordeum adulteræ ad alimoniam. Est enim cibus pecudibus conveniens; ebrietatis deinde nota vinum esse poterit. Dictum est autem ad eos: « Auditu audietis, et non intelligetis, et videntes videbitis, et non videbitis [70], » qui sunt morbi ebriosorum et crapulantium vitia, ut neque videant videntes, neque audientes quidquam possint intelligere; sed mentem velut incrassatam et cæcitatis plenam habeant.

Vers. 4,5. *Quia diebus multis sedebunt filii Israel, non existente rege, neque principe neque existente sacrificio, neque existente altari, neque sacerdotio, neque manifestis. Et post hæc revertentur filii Israel, et quærent Dominum Deum suum, et David regem suum, et stupebunt in Domino, et in bonis ejus in novissimo dierum.*

XXXIV. Aperta minimeque dubia sequitur, ut in his, declaratio assumptionis adulteræ mansionisque domi diebus multis, donec propheta apud eam espet. Scriptum est quidem ita; sed quod agebatur, delineatio seu adumbratio quædam erat ejus, quod adulterio deformatæ Judæorum Synagogæ aliquando eventurum erat. Posteaquam enim Domini nostri Jesu Christi sponte sua crucem pro omnium salute pertulit, debacchatis in illum Israelitis, tunc eorum regione ad vastitatem reducta, quasi ad omnem ventum, seu mundi angulum profugerunt. Usque hodie autem otiosi sunt quod ad legem attinet, inflammato quidem templo Jerosolymitano, everso altari, sublato sacrificio, et vacante sacerdotio, nec apparentibus amplius manifestis [71]. Nam cum non esset summus sacerdos 62 pro dignitate sacerdotali secundum legem vestibus ornatus, quomodo jam manifestos videre licebat? Qui autem δῆλοι putandi sint, novit, credo, discendi studiosus; breviter suggerere non erit abs re. Quando ad sacerdotis ornatum pertinentia fieri Deus universorum jussit, sancto Moysi dicit: « Et facies rationale judicii, opus textile. Palmi longitudo, et palmi latitudo. Quadrangulum erit [72]. » Deinde lapides artificiose inseri huic textili cum nominibus duodecim tribuum mandavit; inter alios autem duos, quibus nomina Manifestatio et Veritas. Deinde hoc rationale judicii ex humerali aureis catenis suspensum in pectus summi sacerdotis dependebat, eramque in typum Emmanuelis Manifestatio et Veritas. « Omnia enim quæ audivit a Patre, annuntiavit

σωτηρίαν τοὺς πεπλανημένους. Διατετέλεκε τοίνυν ὁ Ἰσραὴλ, ὡς ἔφην, ταῖς ἀδοκίμοις τῶν ἰδίων διδασκάλων φωναῖς, ἤτοι ψιλῷ τῷ νομικῷ τρεφόμενος γράμματι, καίτοι περιέχοντι καὶ τὰ τῆς ἁγιάδος, τουτέστι, τὰ Χριστοῦ μυστήρια. Ὅτι δὲ καὶ κτηνοπρεπὴς ὁ βίος αὐτῷ, καὶ πρὸς μόνα τὰ σαρκικὰ διανένευκεν, ὑποφήνειεν ἂν εὖ μάλα, τὸ κριθὴν δεδόσθαι τῇ μοιχαλίδι πρὸς τροφήν. Κτηνοπρεπὲς γὰρ τὸ ἔδεσμα, μέθης δ' ἂν γένοιτο σημεῖον. Εἴρηται δὲ πρὸς αὐτούς· « Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. » Ταῦτα δέ ἐστι μεθυόντων πάθη, καὶ κραιπαλούντων ἐγκλήματα, τὸ μήτε ὁρᾷν ὁρῶντας, μήτε ἀκούοντας συνιέναι δύνασθαί τι· πεπαχυμένην δὲ ὥσπερ, καὶ πωρώσεως μεμεστωμένην τὴν διάνοιαν ἔχειν.

Διότι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος, οὐδὲ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὐδὲ ἱερατείας, οὐδὲ δήλων, καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐπιζητήσουσιν Κύριον τὸν Θεὸν αὐτῶν, καὶ Δαβὶδ τὸν βασιλέα αὐτῶν, καὶ ἐκστήσονται ἐπὶ τῷ Κυρίῳ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

ΛΔ'. Σαφὴς καὶ ἀναμφιλόγως ἔχουσα λοιπόν, ὡς ἔν γε δὴ τούτοις, ἡ δήλωσις τοῦ τὴν μοιχαλίδα παρειλῆφθαι, καὶ οἴκοι μένειν ἡμέρας πολλὰς, ἄχρις ἂν ὁ προφήτης ἐπ' αὐτῇ γένοιτο. Γέγραπται γὰρ ὡδί· ὑποτύπωσις δὲ τὸ δρώμενον ἦν τοῦ κατὰ καιροὺς ὑπάρξειν μέλλοντος τῇ μεμοιχευμένῃ τῶν Ἰουδαίων Συναγωγῇ. Ἐπειδὴ γὰρ ἐθελοντὴς τὸν ὑπὲρ τῆς ἁπάντων σωτηρίας ὑπομεμένηκε σταυρὸν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἐμπαροινηάντων αὐτῷ τῶν ἐξ Ἰσραὴλ, τότε δὴ, τότε καταδρωθείσης αὐτοῖς τῆς χώρας, ᾤχοντο μὲν ὥσπερ εἰς πάντα ἄνεμον. Ἄπρακτοι δὲ καὶ εἰς δεῦρο περὶ τὸν νόμον εἰσὶν, ἐμπεπρησμένου μὲν τοῦ ἐν τοῖς Ἱεροσολύμοις ὄντος ναοῦ, περιῃρημένου τε τοῦ θυσιαστηρίου, καὶ ἀνῃρημένης θυσίας, καὶ ἀργούσης ἱερωσύνης, καὶ δήλων οὐχ ὁρωμένων. Οὐ γὰρ ὄντος ἀρχιερέως ἱεροπρεπῶς ἐσταλμένου κατὰ τὸν νόμον, πῶς ἦν ἔτι δήλους ἰδεῖν; Τί δὲ καὶ οἱ δῆλοι νομισθεῖεν ἄν, οἷδε μὲν ἴσως ὁ φιλομαθὴς, ὑπομνῆσαι δὲ διὰ βραχέων οὐκ ἀκερδές· Ὅτε τὰ εἰς κόσμον τοῦ ἀρχιερέως γενέσθαι προστέταχεν ὁ τῶν ὅλων Θεὸς, τότε πρὸς τὸν ἱερὸν ἔφη Μωσέα· « Καὶ ποιήσεις λόγιον κρίσεως ἔργον ὑφαντοῦ, σπιθαμῆς τὸ μῆκος, καὶ σπιθαμῆς τὸ εὖρος. Τετράγωνος ἔσται. » Εἶτα προστέταχεν ἐξ ὀνόματος τῶν φυλῶν δυοκαίδεκα τῷ τεχνητεύματι σοφῶς ἐντέχνως (1) ὑφαίνεσθαι λίθους. Δύο γε μὴν ἑτέρους μεταξὺ τῶν ἄλλων, οἷς ἦν ὀνόματα ἡ δήλωσις καὶ ἡ ἀλήθεια. Εἶτα τοῦτο τὸ λόγιον τῆς κρίσεως ἐκ τῆς ἐπωμίδος χρυσαῖς ἁπτῶρτο σειραῖς. Ἐπενήχετό τε τῷ στέρνῳ τοῦ ἀρχιερέως, καὶ ἦσαν εἰς τύπον τοῦ Ἐμμανουὴλ ἡ δήλωσις καὶ ἡ ἀλήθεια, « Πάντα γὰρ ἃ ἤκουσε παρὰ τοῦ Πατρὸς, ἀπήγγειλεν

[70] Isa. VI, 9. [71] Osee III, 4. [72] Exod. XXVIII, 15, 16.

(1) Cotelerius *Monum. Eccl. Gr.* II, 619, vocem ἐντέχνως putat esse glossema et interpretationem adverbii σοφῶς. Vide Cyrilli *Thesaurum*, p. 48. Edit.

Digitized by Google

ἡμῖν. » Καὶ δεδήλωκε τὸ θέλημα τοῦ γεννήσαντος αὐτόν· καὶ κατέστησεν ἐναργῆ τῆς σωτηρίας τὴν ὁδόν. Ὅτι δέ ἐστι καὶ ἀλήθεια, πῶς ἂν ἐνδοιάσειέ τις, αὐτοῦ λέγοντος ἐναργῶς· « Ἐγώ εἰμι ἡ ἀλήθεια; » Διὰ τοῦτο καὶ αὐτῇ τῇ τοῦ ἀρχιερέως ἀπεκρέματο καρδίᾳ, μονονουχὶ βοῶντος τοῦ τύπου, καὶ ἀναφανδὸν ἀνακεκραγότος, ὅτι τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, τὴν ἀλήθειαν, καὶ τὴν δήλωσιν εἰς νοῦν, καὶ καρδίαν τὸ ἱερὸν ἕξει γένος. Ἤγουν ὅτι πᾶσά πως ἀνάγκη, τοὺς ἱερουργοὺς ἀεὶ μεμνῆσθαι Χριστοῦ, καὶ ἐνοικοῦντα φέρειν διὰ τοῦ Πνεύματος. Οἶκος δὲ αὐτοῦ νοῦς καθαρὸς, καὶ καρδία διεσμηγμένη. Καθεδοῦνται δὴ οὖν ἡμέρας πολλὰς οἱ υἱοὶ Ἰσραὴλ, φησὶ, βασιλέως οὐκ ὄντος, οὐδὲ ἄρχοντος, τουτέστιν, ἀβασίλευτοι, καὶ ἀνεπίστευτοι. Οὔτε γὰρ βασιλεύσουσιν οἱ ἐκ φυλῆς Ἰούδα, οὔτε μὴν οἱ κατὰ νόμον προεδρεύσουσιν ἄρχοντες, τουτέστιν, οἱ ἱερεῖς. Ἀλλ' οὐδὲ ἔσται, φησὶ, θυσιαστήριον, ἢ θυσία, ἱερωσύνη τε καὶ δῆλοι. Πλὴν οὐκ ἐν τούτοις διαπαντὸς, οὐδὲ ἀπόπεμπτος ὁλοτρόπως ὁ Ἰσραὴλ ἔσται, κεκλήσεται γὰρ κατὰ καιροὺς, καὶ ἐπιστρέψει διὰ πίστεως, καὶ ἐπιγνώσεται τὸν τῶν ὅλων Θεὸν, καὶ σὺν αὐτῷ τὸν Δαβὶδ, τουτέστι, τὸν ἐκ σπέρματος Δαβὶδ, τὸν κατὰ σάρκα Χριστὸν, τὸν τῶν ὅλων βασιλέα καὶ Κύριον. Τότε δὴ, τότε καταπλαγήσονται τῆς φιλοτιμίας τὸ μέγεθος, καὶ τὴν τῆς ἡμερότητος ἀμέτρητον χάριν. Συμμεθέξουσι γὰρ τῆς τοῖς ἁγίοις ἡτοιμασμένης ἐλπίδος, καὶ ταῖς τῶν πεπιστευκότων ἀγέλαις ἀναμιξ, ἐν νομῇ ἀγαθῇ, καὶ ἐν τόπῳ πίονι νεμηθήσονται. Καιρὸς γὰρ αὐτοῖς τῆς οὕτω λαμπρᾶς, καὶ ἀξιαγάστου χάριτος ὁ τελευταῖος καὶ ἐν ἐσχάτοις, καὶ ἐν Χριστῷ, δι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A nobis [72], » et manifestavit voluntatem ejus qui genuit ipsum, et viam salutis demonstravit. Esse autem veritatem, qui tandem dubitaverit quispiam, cum ipse aperte dicat : « Ego sum veritas [74]? Idcirco et ipsi summi sacerdotis pectori appendebantur, tantum non clamante typo, et manifeste exclamante, universorum Salvatorem et liberatorem, veritatem et manifestationem sanctum genus in mente et corde habiturum ; aut certe necessarium esse omnino, sacerdotes Christi semper meminisse, et per Spiritum in se habitantem circumferre. Domus ejus est mens pura et cor perpurgatum. Sedebunt igitur dies multos filii Israel, inquit, cum non erit rex, non princeps, hoc est, sine rege, sine præside. Nec enim regnabunt qui sunt e tribu Juda, B nec præsidebunt principes, hoc est, sacerdotes. Nec erit, inquit, altare, aut sacrificium sacerdotiumque, et manifesti. Verumtamen non in istis semper, nec omnimodis rejectus Israel manebit ; vocabitur enim aliquando, et per fidem conversus, Deum universorum agnoscet, et cum ipso David, hoc est, qui prodiit ex semine David, Christum secundum carnem, universorum regem ac Dominum. Tunc, tunc beneficentiæ magnitudinem, et mansuetudinis immensam gratiam obstupescent. Participes enim erunt spei sanctis præparatæ, sanctorumque agminibus admisti in pascuis bonis, et in loco pingui pascentur. Tempus enim adeo splendidæ et admirandæ gratiæ ipsis erit extremum illud, et ultimum, et in Christo, **63** per quem et cum quo Deo et C Patri gloria, cum sancto Spiritu in sæcula sæculorum. Amen.

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

ΚΕΦΑΛ. Δ'.

Ἀκούσατε λόγον Κυρίου, υἱοὶ Ἰσραὴλ, ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν· διότι οὐκ ἔστιν ἀλήθεια, οὐδ' ἔλεος, οὐδὲ ἐπίγνωσις Θεοῦ ἐπὶ γῆς. Ἀρὰ, καὶ ψεῦδος, καὶ φόνος, καὶ κλοπὴ, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσιν.

ΛΕ'. Ἀναγκαῖον ἡμᾶς διατρανοῦν ἐθέλοντας τῶν προκειμένων τὸν νοῦν, μονονουχὶ παλινάγρετα ποιεῖσθαι τὰ ἐν ἀρχαῖς, καὶ ὅλον ὥσπερ ἀναμηρύσασθαι τῆς προφητείας τὸν σκοπόν. Οὐκοῦν, ὡς ἔνι, καὶ ἐν βραχέσι συνενεγκὼν, ἐκεῖνό φημι. « Γέγονε μὲν γὰρ ἀρχὴ λόγου Κυρίου ἐν Ὡσηέ. » Διερμηνεύοντες δὲ τὰ τοιάδε, πρὸς τὸν μακάριον προφήτην Ὡσηὲ τοὺς παρὰ Θεοῦ γενέσθαι λόγους εἰκότως ἐλέγομεν, οἱονεὶ μυσταγωγοῦντος αὐτὸν, καὶ τὰ ἐσόμενα προαναφωνοῦντος διά τε τύπων καὶ λόγων. Ταύτῃ τοι παρελαμβάνετο μὲν ἐν ἀρχαῖς ἡ Γόμερ· ἔτικτε δὲ τόν τε οὐ λαόν μου, καὶ τὴν οὐκ ἠλεημένην. Εἶτα μετ' ἐκείνην προσελήφθη δευτέρα μοιχαλίς τε καὶ πονηρὰ, καὶ τὰ ἐφ' ἑκάστῳ τούτων λεπτῶς τε καὶ

TOMUS TERTIUS.

CAP. IV.

VERS. 1, 2. *Audite verbum Domini, filii Israel, quia judicium Domino ad habitantes terram ; quia non est veritas, neque misericordia, neque scientia Dei super terram. Maledictio, et mendacium, et homicidium, et furtum, et adulterium effusum est super terram, et sanguines in sanguinibus miscent.*

XXXV. Necesse est nos sententiam horum verborum explanare volentes, pene omnia a principio dicta resumere, et quasi totum prophetiæ hujus scopum recolligere. Itaque, ut licet, et in pauca conferens illud aio. « Factum est principium verbi Domini in Osea [75]. » Quæ cum interpretaremur, dicebamus verbum Dei ad beatum prophetam Oseam a Deo merito factum, veluti mysteria ipsum docente et ventura per figuras et verba prænuntiante. Idcirco initio ascita est Gomer, peperitque Non populus meus, et Misericordiam non consecutam. Postea assumpta est altera et mœcha et improba ; et singulorum istorum arcana subtiliter accurateque propheta, ut dixi, edoctus est. Tanquam igitur

[72] Joan. xv, 15. [74] Joan. xiv, 6. [75] Osee i, 1.

Digitized by Google

mysterii virtute apud se undequaque perecpta et cognita, delnceps Israelitis futura promulgare, et calamitatis brevi eos invasuræ nuntium efferre, et quibus exacerbatus sit Deus, clarissime exponere orditur; ut qui puniuntur sciant se pati jure, quæcunque eos pati contigerit. Cum enim ab hostibus capiendi essent, et ludibrio futuri ipsos antea admirantibus, et Israelem supra omnes gentes alias expugnatu difficillimum arbitrantibus, ne putarent auxiliatricem et servatricem manum in ipsis elanguisse; sed resipiscerent potius, et ad salutaria recurrere instituerent, cogitantes quia per ignorantiam offenderint eum, qui servare novit, ideo divinam iram in se exacuisse, necessario etiam ante futurorum exspectationem scelera eorum ipsis annuntiat, 64 et ait: « Audite verbum Domini, filii Israel, quia judicium Domino ad habitantes terram. » Judicio autem contendit cum hominibus, coarguens, non sententiam excipiens, et impietati in ipsum obnoxiis aperta ac nuda eorum scelera proponit, juxta illud, opinor: « Arguam te, et statuam contra faciem tuam iniquitates tuas [76]; » ne temere iram in se collatam dicant; sed ut debitum quoddam, et maximis peccatoribus, et necessario persolutum. Quid porro dicit qui disceptat, sive qui arguit? « Non est veritas, nec misericordia, nec scientia Dei super terram. » Quod dicitur, non esse veritatem, id insinuat, et convenienter admodum, apud omnes per id tempus multum fuisse calumniarum, perjurii, fallaciæ ac doli, extrema malorum omnium. Fuisse vero nec redamantes, nec misericordiam habuisse corde rigidos, immites, animo obfirmatos, satis ostendere potest, quod dicitur, non esse apud eos misericordiam. Esse autem voluptatis potius, quam Dei amantes, et diis commentitiis penitus addictos, insuper declarat, cum Dei scientiam non esse in terris affirmat. Præterea non indecens fuerit, tam tetris, et a ratione alienis vitiis obstrictos, arbitrari ne nosse quidem amplius Deum: siquidem nosse illum dicimus cum bene de eo sentientes divinæ ejus voluntati obsecundamus. Adjungit his, « maledictum, mendacium, homicidium, furtum, adulterium effusum esse super terram, et misceri sanguines sanguinibus. » Audis quomodo in genus omne scelerum præcipites abierint, et ultra fines impietatis progressi, de quibus sermo est, nihil quantumvis longe insolentissimum inexpertum reliquerint? Et quod his adhuc a ratione distat longius, « sanguines, inquit, sanguinibus miscent. » Hoc etiam signum fuerit manifestum, neque inducias malorum ab iis admitti, neque hujusmodi facinorum perpetratores ulla pœnitudine tactos unquam fuisse; sed assiduo peccatum peccato cumulare. Sed ista quidem pro expositione faciliore ac promptiore dicta sunto.

τετάσθαι τὴν ἁμαρτίαν. Ἀλλὰ ταυτὶ μὲν εἰρήσθω πρὸς διασάφησιν τὴν προχειροτέραν.

ἀκριβῶς ὁ προφήτης, ὡς ἔφην, ἐξεπαιδεύετο. Ὡς οὖν ἀποχρῶσαν τοῦ μυστηρίου τὴν δύναμιν συναγηγερκὼς ἐν ἑαυτῷ, ἄρχεται λοιπὸν τοῖς ἐξ αἵματος Ἰσραὴλ ἀναφωνεῖν τὰ μέλλοντα, καὶ τῆς ὅσον οὐδέπω παρεσομένης αὐτοῖς συμφορᾶς ἐναργῆ ποιεῖσθαι τὴν πρόφασιν, καὶ τὰ ἐφ' οἷς λελύπηται Θεὸς, εὖ μάλα διατρανοῦν· ἵν' εἰδεῖεν οἱ κολαζόμενοι παθόντες ἐν δίκῃ, τὰ ὅσαπερ ἂν συμβαίη παθεῖν αὐτούς. Ἐπειδὴ γὰρ ἔμελλον ἁλώσεσθαι μὲν ὑπ' ἐχθρῶν, εἰς γέλωτα δὲ προκεῖσθαι λοιπὸν τοῖς ἁρίστην ἔχουσιν αὐτῶν τὴν δόξαν, καὶ τῶν ἄλλων ἁπάντων ἐθνῶν δυσαλώτατον ὑπάρχειν οἰομένοις τὸν Ἰσραὴλ, ἵνα μὴ νομίσειαν κατὰ σφᾶς αὐτοὺς τὴν ἐπαμύνουσάν τε καὶ σώζουσαν ἀτονῆσαι χεῖρα, μεταγινώσκειν δὲ μᾶλλον ἕλοιντό τε καὶ πρὸς τὰ ἀμείνω παλινδρομεῖν, ἐννοοῦντες ὅτι προσκεκρούκασιν ἀμαθαίνοντες τῷ σώζειν εἰδότι, ταύτητοι, καὶ πεπτώκασιν ὑπὸ θείαν ὀργὴν, ἀναγκαίως αὐτοῖς καὶ πρό γε τῶν ἔσεσθαι προσδοκωμένων προσαπαγγέλλει τὰ ἐγκλήματα, καί φησιν· « Ἀκούσατε λόγον Κυρίου, οἱ υἱοὶ Ἰσραὴλ· ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν. » Κρίνεται δὲ πρὸς ἀνθρώπους Θεὸς, ἐλέγχων, οὐ δικαζόμενος, καὶ παρατιθεὶς τοῖς εἰς αὐτὸν δεδυσσεβηκόσι γυμνὰ τὰ ἐγκλήματα, κατ' ἐκεῖνό που τάχα τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· « Ἐλέγξω σε, καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς ἀνομίας σου· » ἵνα μὴ μάτην αὐτοῖς ἐπενηνέχθαι φάσκωσι τὴν ὀργὴν, ἀλλ' ὡς ἐν ὀφλήματος τάξει λοιπὸν, καὶ τοῖς τὰ μέγιστα πλημμελεῖν εἰωθόσι, καὶ ἐξ ἀνάγκης συμβαίνουσαν. Τί δέ φησιν ὁ κρινόμενος, ἤτοι διελέγχων; « Οὐκ ἔστιν ἀλήθεια, οὐδὲ ἔλεος, οὐδὲ ἐπίγνωσις Θεοῦ ἐπὶ τῆς γῆς. » Τὸ μὲν οὖν ἀλήθειαν μὴ εἶναι λέγειν, ὑπεμφήνειεν ἂν καὶ μάλα εἰκότως, ὅτι πολλὴν παρὰ πᾶσι κατ' ἐκεῖνο καιροῦ γέγονεν ἡ συκοφαντία, ψευδορκία τε καὶ ἀπάτη, καὶ δόλος, τὰ πάντων αἴσχιστα τῶν κακῶν. Ὅτι δὲ ἦσαν ἀφιλάλληλοί τε καὶ ἀφιλοικτίρμονες, ἄτεγκτοί τε καὶ ἀτεράμονες, καὶ τὸν νοῦν ἀπεσκληκότες, ὑποσημήνειεν ἂν τὸ μὴ εἶναι ἔλεος. Ὅτι δὲ φιλήδονοι μᾶλλον ἢ φιλόθεοι, καὶ τοῖς ψευδωνύμοις θεοῖς ὁλοτρόπως προσκείμενοι, σαφηνιεῖ πάλιν, ἐπίγνωσιν Θεοῦ μὴ εἶναι λέγων ἐπὶ τῆς γῆς. Ἄλλως τε πρέποι ἂν εἰκότως τοῖς ταῖς οὕτω δειναῖς ἀτοπίαις ἐνισχημένοις καὶ τὸ δοκεῖν ἤδη πως μηδὲ εἰδέναι Θεόν. Εἴπερ εἰδέναι φαμὲν αὐτὸν φρονοῦντος ὀρθῶς, καὶ τοὺς τοῖς θείοις αὐτοῦ θελήμασιν ἑπομένους. Προσεπάγει δὲ τούτοις, ὅτι « Ἀρὰ, καὶ ψεῦδος, καὶ φόνος, καὶ κλοπὴ, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσιν. » Ἀκούεις ὅπως εἰς λῆξιν ἥκασι παντὸς κακοῦ, καὶ ἀνοσίων ἐγχειρημάτων ἐπέκεινα λοιπὸν, οἱ περὶ ὧν ὁ λόγος, τῶν ἄγαν ἐκτοπωτάτων οὐδὲν ἐῶντες ἀνεπιτήδευτον; Καὶ τὸ ἔτι τούτου παραλογώτερον, αἵματα ἐφ' αἵμασι μίσγουσι, φησί. Σημεῖον δ' ἂν γένοιτο καὶ τοῦτο σαφὲς, τοῦ μήτε ἀνακωχὴν παρεισκρίνεσθαι τοῖς κακοῖς· μήτε μὴν ἐν μεταγνώσει τῶν τετολμημένων γενέσθαι τοὺς δεδρακότας, συνεχῆ δὲ ὥσπερ καὶ ἐπάλληλον παρα-

[76] Psal. xlix, 21.

Digitized by Google

Ἔοικε δὲ πάλιν ὁ μακάριος προφήτης μυστικωτέ A
ραν ποιεῖσθαι ἡμῖν τὴν ἀφήγησιν, καὶ καταιτιᾶσθαι
τὸν Ἰσραὴλ ἐπὶ ταῖς εἰς Χριστὸν παροινίαις, καὶ
μιαιφονίαις ταῖς εἰς αὐτὸν καὶ ἁγίους. « Κρίσις γὰρ
τῷ Κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν. » Ἀνθ'
ὅτου, καὶ ἐπὶ τίσιν; Ἐπεφάνη γὰρ ἡμῖν ὁ Κύριος
ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ ἀπεστάλη, καθά φησιν
αὐτὸς, « Εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραὴλ, »
ἵνα φωτίσῃ τῇ διὰ Πνεύματος ἁδρουχίᾳ τοὺς ἐσκο-
τισμένους, ἵνα τῆς νομικῆς ἀπαλλάξας σκιᾶς, τοῖς
τῆς ἀληθοῦς λατρείας ἐμβιβάσῃ τρόποις, ἵνα δικαιώ-
σας τῇ πίστει τοὺς ταῖς ἁμαρτίαις ἐνειλημμένους,
συνάψῃ δι' ἑαυτοῦ τῷ Θεῷ καὶ Πατρί. Ἀλλ' οὐκ ἐδό-
κει φρονεῖν ὀρθῶς τοῖς ἐξ Ἰσραήλ. Τὸν γὰρ ἐπὶ
τούτοις ἐξ οὐρανῶν ἀφιγμένον ἐκβεβλήκασιν, ἀπεδο-
κίμασαν, οὐκ ἠθέλησαν ἔχειν ἐν ἑαυτοῖς τὴν ἀλήθειαν, B
τὸ ἔλεος, τὴν ἐπίγνωσιν τοῦ Θεοῦ καὶ Πατρός.
Ὅτι γὰρ ἀλήθειά τέ ἐστι καὶ ἔλεος ὁ Χριστὸς, οὐ
μακρῶν, οἶμαι, δεήσει πρὸς ἀπόδειξιν λόγων, ἀπο-
χρώσης εἰς τοῦτο τῆς θεοπνεύστου Γραφῆς, ἄνω τε
καὶ κάτω Χριστὸν ὀνομαζούσης ἡμῖν ἔλεος, καὶ ἀλή-
θειαν[v]. Ὅτι δέ ἐστι καὶ ἐπίγνωσις Θεοῦ, διαμάθοι τις
ἂν καὶ λίαν ἀκονιτὶ, σαφέστατά τε καὶ ἐναργῶς
αὐτοῦ διακεκραγότος· « Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν
Πατέρα. » — « Κρίσις τοίνυν τῷ Κυρίῳ, φησὶν, πρὸς τοὺς
κατοικοῦντας τὴν γῆν· » δῆλον δὲ ὅτι τὴν τῶν Ἰου-
δαίων· ὅτι μὴ ὅτε παρ' αὐτοῖς ἡ ἀλήθειά τε καὶ τὸ
ἔλεος, καὶ ἡ ἐπίγνωσις τοῦ Πατρός· κρίνεται μὲν
οὖν πρὸς τοὺς τὰ τοιάδε μὴ ἔχοντας. Διαπεφεύγασι δὲ
τὸ κρίνεσθαι πρὸς αὐτὸν, ἤτοι πρὸς αὐτοῦ, τὴν πί-
στιν οἱ προσηκάμενοι. Καὶ τοῦτο αὐτὸ σαφὲς ἂν C
γένοιτο, Χριστοῦ λέγοντος πάλιν· « Ἀμὴν, ἀμὴν
λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ, ἔχει ζωὴν αἰώνιον,
καὶ εἰς κρίσιν οὐκ ἔρχεται. » Τί τοίνυν τὸ, « Κεχυ-
μένον ἐπὶ τῆς γῆς; Ἀρὰ, καὶ ψεῦδος, καὶ φόνος,
καὶ κλοπὴ, καὶ μοιχεία· καὶ αἵματα ἐφ' αἵμασι μί-
γνυσι. » Καὶ τίς ἡ ἀρά; Καταλαλιὰ καὶ ὕβρις·
διαλελοίπασι γὰρ οὐδαμῶς τῶν Ἑβραίων οἱ δῆμοι
περιυβρίζοντες τὸν Ἰησοῦν ἀθύρῳ τε καὶ ἀχαλίνῳ
γλώσσῃ κατεπεμβαίνοντες, ὡς ποτὲ μὲν Σαμαρείτην,
ποτὲ δὲ μέθυσον ἀποκαλεῖν, καὶ ἐκ πορνείας γεγενη-
μένον. Ἤοντο γὰρ κατὰ σφᾶς, τὴν ἁγίαν μεμοιχεῦ-
σθαι Παρθένον. Οὐκοῦν ἡ ἀρὰ μὲν ἐν τούτοις. Κατ-
εψεύδοντο δὲ καὶ τῆς δόξης αὐτοῦ, δαιμόνιον ἔχειν
λέγοντες αὐτὸν, καὶ ταῖς τοῦ Βελζεβοὺλ δυνάμεσιν D
ἀπονέμοντες τὰς θεοσημείας. Ὅτι δὲ καὶ μιαιφόνον
ἐπ' αὐτῷ τὴν διάνοιαν ἐσχηκότες ἀλοῖεν ἄν, εἰδείη
τις ἂν ἀπό γε τοῦ λίθοις βεβλῆσθαι πολλάκις παρ' αὐ-
τῶν τὸν Ἐμμανουήλ· ἀποκομισθῆναι δὲ καὶ μέχρις
αὐτῆς ὀφρύος τοῦ ὄρους, ἵνα κατακρημνίζοιτο. Καὶ
οὐ μέχρι τούτων τὰ ἐγκλήματα· ἐκτετίμηντο δὲ
λίαν καὶ τὸ χρῆμα τῆς κλοπῆς· κατεμισθοῦντο γὰρ
ἐπ' αὐτῷ, τὸν προδότην Ἰούδαν, τὸν αἰσχροκερδῆ,
καὶ κλεπτίστατον. Μοιχοὶ δὲ ὥσπερ τινὲς ἀλιτήριοι
γεγονότες οἱ Φαρισαῖοι τῆς Ἰουδαίων συναγωγῆς,
ἀπεσόδουν μὲν αὐτῆς τὸν ἐξ οὐρανοῦ νυμφίον, τουτ-

Videtur autem beatus propheta rursum arcanam A
quamdam et mysticam nobis narrationem adducere,
et Israelem propter debacchationes in Christum,
et cædes in ipsum et sanctos ejus commissas ac-
cusare. « Judicium enim Domino ad habitantes
terram. » Quorsum, et quibus de causis? Apparuit
enim nobis Dominus noster Jesus Christus, et mis-
sus, sicut ait ipse « ad oves quæ perierunt domus
Israel [77], » **65** ut tenebris opertos Spiritus facibus
illuminaret; ut legalibus umbris expeditos ad ve-
ram divini cultus normam introduceret, quo justi-
ficatos per fidem, qui erant peccatis impliciti, per se
cum Deo et Patre conjungeret. Verum Israeli non est
visum sapere. Illum namque qui hujus ergo de cœlo
venerat, ejecerunt, reprobarunt veritatem et mise- B
ricordiam, scientiam Dei et Patris secum habere no-
luerunt. Christum enim esse veritatem et misericor-
diam non erit necesse, ut existimo, multis verbis de-
monstrare, cum ad hoc divinitus inspirata Scriptura
sufficiat : quæ passim Christum veritatem et miseri-
cordiam nobis inculcat. Esse autem et scientiam, sive
agnitionem Dei, discere potest quispiam vel citra ul-
lum negotium manifeste et clarissimis verbis ipso cla-
mante : « Qui vidit me, vidit et Patrem meum [78]. » In-
quit igitur, « judicium Domino ad habitantes terram, »
sine controversia Judæorum terram, quoniam apud
eos amplius non exstabant veritas, et misericordia, et
scientia Patris. Discrepat igitur cum ista non haben-
tibus. Effugerunt autem aut judicium subeundum
adversus ipsum; aut judicium perferendum ab ipso,
fidem complexi. Quod perspicuum fiet ex verbis C
Christi iterum dicentis : « Amen, amen dico vobis,
qui credit in me, habet vitam æternam, et in ju-
dicium non venit [79]. » Quid ergo est « effusum su-
per terram? Maledictio, et mendacium, et homici-
dium, et furtum, et adulterium, et sanguis sanguini
mistus. » Quænam maledictio? Obtrectatio, et
contumelia; nunquam enim populus Judæorum Je-
sum contumeliosissime vexare destitit, impudenti
et effrenata lingua in eum insultans, ut modo Sa-
maritanum, modo ebriosum appellaret [80], et ex for-
nicatione progenitum diceret : opinabantur enim
apud animos suos, sanctam Virginem constupra-
tam. Maledictio itaque in his posita intelligitur.
Mentiebantur item adversus gloriam ejus, affir- D
mantes habere dæmonium, et divina miracula vir-
tuti Beelzebub ascribentes [81-83]. Convinci etiam pos-
sunt mentem ejus interficiendi cupidam gestasse.
Probare id licet ex eo, quod lapidibus Emmanue-
lem non semel appetiverunt, et ad supercilium montis
perduxerunt, ut inde præcipitem deturbarent [83].
Nec vero hucusque tantum scelera processerunt.
Magnopere quoque furtum honorarunt; pretio enim
proditorem ejus Judam conduxerunt [84], **66** turpis
lucri avidum et furacissimum. Et velut flagitiosi
quidam mœchi Judæorum Synagogæ, Pharisæi ab

[77] Matth. xv, 24; Joan. xiv, 9. [78] Joan. v, 24. [80] Joan. viii, 48; Matth. xi, 19. [81-83] Matth. xii, 24; Joan. viii, 48. [83] Luc. iv, 27. [84] Luc. vi, 16.

Digitized by Google

ipsa cœlestem Sponsum, Christum pulsa, abegerunt; simulque fornicati sunt, propriis voluptatibus suadentes operam dare. Et miscuerunt sanguines sanguinibus. Quomodo tandem? occisis enim sanctis prophetis, ipsum quoque prophetarum Dominum addiderunt. Quamobrem beatus Stephanus in Actibus apostolorum non immerito illis exprobrat his verbis : « Quem prophetarum non sunt persecuti patres vestri? et occiderunt eos, qui prænuntiarunt de adventu Justi, cujus vos nunc proditores et homicidæ fuistis [85]. » Quin et Salvator Pharisæis et Scribis improbos conatus objiciens, aiebat : « Implete mensuram patrum vestrorum [86]. »

VERS. 3. *Ideo lugebit terra, et imminuetur cum omnibus qui habitant eam, cum bestiis agri, et cum reptilibus terræ, et cum volatilibus cœli. Et pisces maris deficient, ut nullus neque judicet, neque arguat quisquam.*

XXXVI. Postquam enim, inquit, adeo Deo exosam, et perquam inhumanam, impiam, metuque legum solutam vitam exegerunt, cogitaruntque et fecerunt quæ fas non est, Deum ludibrio habentes. Idcirco et justissime in exitium abibunt, lugente quodammodo terra, quæ vastitati dabitur, et habitum mutabit, et faciem præferet inamœnam, urbibus exustis, domibus eversis, segetibus ac stirpibus succisis. Similis sensus erit habitantium terram, una lamentantium et ejulantium : nam et ipsi lugebunt, hoc est, ab omni lætitia et felicitate procul aberunt. Qui porro sunt habitatores isti? feræ, et reptilia, et insuper volatilia. Sed nequaquam existimabimus, si recte intelligimus, de agrestibus bestiis, aut reptilibus, aut volucribus prophetam nobis concionari : esset enim hoc stultum plane et insipientiæ plenum. Arbitramur enim potius, rectum et germanum sensum amplexi, Judæorum mores his jam dictis exprimi. Ac per bestias quidem potentissimos, et qui alios terrere possunt, agrestes et oppressores, et trucidare solitos, et moribus magnopere feros, et immites significat. Per reptilia vero 67 in morum acerbitate exercitatissimos et improbitate jam consummatos. Sic enim et alicubi sapiens Joannes improbissimam Pharisæorum Scribarumque multitudinem reprehendit, acclamans, et serpentes ac progeniem viperarum nominans [87-88]. Per volatilia rectissime intelliges, qui prompte ad defectionem a Deo eriguntur, sive qui exseranda superbia laborant, et sursum ferri, et alta sapere consueverunt. Videtur autem et pisces vocare sordidos et gregarios, vitæ sollicitudinibus immersos, et mentem iis quasi offusam habentes, mutos et rationis maxime expertes : est enim piscis res a voce remotissima. Et secundum alium sensum, eos qui imbecilliores velut deglutiunt : mutua enim devoratione pisces imprimis gaudent. Inquit ergo : « Lugebit terra una cum habitantibus. »

ἐστι, Χριστόν. Συνεπόρνευον δὲ ταῖς ἰδίαις ἡδοναῖς ὑπηρετεῖν ἀναπείθοντες. Ἔμισγον δὲ καὶ ἐφ' αἵμασιν αἵματα. Πῶς, ἤ τίνα τρόπον; ἀπεκτονότες γὰρ τοὺς ἁγίους προφήτας, καὶ αὐτὸν ἐκείνοις προσέθεσαν τὸν τῶν προφητῶν δεσπότην. Καὶ γοῦν ὁ μακάριος Στέφανος ἐν ταῖς τῶν ἀποστόλων Πράξεσι δικαίως αὐτοῖς ὀνειδίζει, λέγων· « Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ Δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς ἐγένεσθε. » Ἀλλὰ καὶ ὁ Σωτὴρ τοῖς Φαρισαίοις καὶ Γραμματεῦσιν ὀνειδίζων τὰ τετολμημένα, ἔλεγε· « Καὶ ὑμεῖς πληρώσατε τὸ μέτρον τῶν πατέρων ὑμῶν. »

Διὰ τοῦτο πενθήσει ἡ γῆ, καὶ συμκρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτὴν, σὺν τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ σὺν τοῖς ἑρπετοῖς τῆς γῆς, καὶ σὺν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. Καὶ οἱ ἰχθύες τῆς θαλάσσης ἐκλείψουσιν, ὅπως μηδεὶς μήτε δικάζηται, μήτε ἐλέγχῃ μηδείς.

ΛΖ'. Ἐπειδὴ γὰρ τὸν οὕτω, φησὶ, θεοστυγῆ καὶ παγχάλεπον διεζήκασι βίον, τὸν δυσσεβῆ καὶ ἐξήνιον, πεφρονήκασί τε καὶ δεδράκασιν ἃ μὴ θέμις, ἐμπαροινοῦντες Θεῷ· ταύτῃ τοι, καὶ μάλα δικαίως, οἰχήσονται πρὸς ἀπώλειαν, πενθούσης μὲν οἱονεὶ τῆς γῆς· καταδηωθήσεται γὰρ αὕτη, καὶ μεταμείψει τὸ σχῆμα, καὶ ἀτερπῆ φορέσει τὴν ὄψιν, πόλεων μὲν ἐμπεπρησμένων, οἴκων δὲ κατασεσεισμένων, καὶ ἀγρῶν ἐκκεκομμένων. Συνδιακείσονται τῇ γῇ καὶ οἱ κάτοικοι, συνολοφυρόμενοί τε καὶ συνοιμώζοντες. Πενθήσουσι γὰρ καὶ αὐτοὶ, τουτέστιν, ἀπάσης εὐθυμίας καὶ εὐημερίας ἀποτάτω γενήσονται. Τίνες δὲ οἱ κάτοικοι; θῆρές τε καὶ ἑρπετὰ, καὶ πρός γε τούτοις τὰ διιπτάμενα. Καὶ οὐ δήπου νομιοῦμεν, εἴγε συνίεμεν ὀρθῶς, ὅτι θηρῶν ἀγρίων, ἤγουν ἑρπετῶν, ἢ πτηνῶν ὁ προφητικὸς ἡμῖν κατακέκραγε λόγος. Εὔηθες γὰρ παντελῶς, καὶ ἀσυνεσίας ἔμπλεον τὸ τῇδε νοεῖν. Οἰόμεθα γὰρ μᾶλλον, ὀρθὰ φρονεῖν ἐγνωκότες, τοῖς ἀρτίως ἡμῖν εἰρημένοις τοὺς τῶν Ἰουδαίων ἐξομοιοῦσθαι τρόπους. Καὶ διὰ μὲν τῶν θηρίων τοὺς δυνατωτάτους, καὶ ἐκδειματοῦν ἑτέρους ἱκανῶς ἔχοντας, τοὺς ἀγρίους καὶ ἐπελευστικοὺς, καὶ μιαιφονεῖν εἰωθότας, καὶ πολὺ λίαν ἔχοντας τὸ ἀνήμερον ὑπεμφήνειεν ἂν ὁ λόγος. Διὰ δέ γε τῶν ἑρπετῶν τοὺς ἄκρως ἐξησκημένους τὸ πικρὸν εἰς τρόπους, καὶ εἰς λῆξιν τῆς ὅλης ἥβης ἥκοντας πονηρίας. Οὕτω γάρ που καὶ ὁ σοφὸς Ἰωάννης τὴν μοχθηροτάτην τῶν Φαρισαίων καὶ Γραμματέων ἦλεγχε πληθὺν, ἐπιδοῦν τε καὶ λέγων· « Ὄφεις, γεννήματα ἐχιδνῶν. » Διὰ δέ γε τῶν πετεινῶν εὖ μάλα συνήσεις τοὺς ἑτοίμως ἀνεπτημένους εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ, εἶτ' οὖν τὴν ἐπάρατον νεοσσοῦντας ὑπερηφίαν, καὶ ἄνω που φέρεσθαι καὶ ὑψηλὰ φρονεῖν εἰωθότας. Ἔοικε δὲ καὶ ἰχθύας ἀποκαλεῖν τοὺς συρφετώδεις, καὶ ἀγελαίους, τοὺς ταῖς τοῦ βίου φροντίσι βεβαπτισμένους, καὶ ὑποβρύχιον ὥσπερ ἔχοντας νοῦν, τοὺς ἀφώνους καὶ ἀλογωτάτους. Ἀφωνότατον γὰρ τῶν ἰχθύων τὸ χρῆμα. Καὶ καθ' ἕτερον δὲ τρόπον, τοὺς οἷον καταπίνοντας τοὺς ἀσθενε-

[85] Act. VII, 52. [86] Matth. XXIII, 32. [87-88] Luc. III, 7; Matth. XXIII, 33.

Digitized by Google

στέρους· ἀλληλοφαγία γὰρ μάλιστα παρὰ τοῖς ἰχθῦσι τετίμηται. « Πενθήσει τοίνυν, φησίν, ἡ γῆ τοῖς κατοικοῦσιν ὁμοῦ. » Καὶ τίς ἡ τοῦδε πρόφασις; « Ὅπως μηδεὶς μήτε δικάζηται, μήτε ἐλέγχῃ μηδείς. » Ἐπειδὴ γὰρ ἀρά, καὶ ψεῦδος, κλοπή τε καὶ φόνος, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι· ταύτητοι πενθήσει, καὶ ἀργήσει λοιπὸν ψεῦδος, καὶ ἀπάτη, καὶ συκοφαντία. Ἐποιμώζοντες γὰρ τοῖς παρ' ἐλπίδα συμβεβηκόσι, καὶ τὴν ἐν χειρὶ κλαίοντες συμφορὰν, καὶ οὐχ ἑκόντες ἀφέξονται τῶν τοιούτων πλημμελημάτων. Τὸ γάρ τοι δικάζεσθαι, καὶ ἐλέγχειν, εἴη ἂν ἕτερον οὐδὲν, καθάπερ ἐγῷμαι, πλὴν ὅτι τὸ κατηγορεῖν, καὶ καταψηφίζεσθαί τινων, ἤτοι ψευδομαρτυρεῖν. Τοῦτό τοι καὶ ἕτερος ἡμῖν τῶν ἁγίων προφητῶν, τῶν ἐξ αἵματος Ἰσραὴλ κατεκεκράγει, λέγων· « Οἴ μοι, ψυχὴ, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ γῆς καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐκ ἔστι, πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ. » Ἀλλὰ ταῦτα ἱστορικῶς.

A Et quæ hujus rei causa? « Ut nullus neque judicet, neque arguat quisquam. » Quoniam enim maledictum, et mendacium, furtum, et cædes, et adulterium diffusa sunt super terram, et sanguines sanguinibus miscentur: idcirco lugebit, et cessabit deinceps mendacium, et fallacia, et calumnia. Ejulantes enim super his quæ præter spem acciderunt, et calamitatem præsentem deplorantes, talibus delictis etiam inviti abstinebunt. Judicare enim, et arguere nihil mea sententia aliud fuerit quam accusare, et sententiam male ferre contra quosdam, sive falsum testificari. Hoc nobis et alius sanctorum prophetarum ex sanguine Israel proclamavit, cum dixit: « Væ mihi, anima, quia periit religiosus de terra, et qui recte faciat in hominibus, non B est: omnes in sanguines judicant, unusquisque proximum suum tribulant tribulatione [68]. » Sed hæc quidem historice.

Πρὸς διάνοιαν δὲ τὴν ἐσωτάτω τὸν τῆς προφητείας εὐθύνοντες λόγον, ἐκεῖνό φαμεν. Ἐπειδὴ γὰρ ἐν τῇ τῶν Ἰουδαίων γῇ, ἤγουν παρ' αὐτοῖς Ἰουδαίοις οὐκ ἔστιν ἀλήθεια, οὐδὲ ἔλεος, οὐδὲ ἐπίγνωσις Θεοῦ· ταῦτα δὲ εἶναί τε καὶ λέγεσθαι τὸν Ἐμμανουὴλ εἰρήκαμεν· κεκράτηκε δὲ μᾶλλον ἀρά, καὶ ψεῦδος, καὶ τετίμηται κλοπὴ, καὶ αἵματα ἐφ' αἵμασι μίσγουσιν· ἀπεκτονότες γὰρ τοὺς προφήτας, ὡς ἔφην, καὶ αὐτὸν ἀπεκτόνασι τὸν Ἰησοῦν. Καταπενθήσει λοιπὸν ἡ γῆ τοῖς κατοίκοις ὁμοῦ ταῖς Ῥωμαίων ἐμπιπραμένη χερσίν. Ἔσται δὲ ταῦτα, φησίν, « Ἵνα μήτε δικάζηται, μήτε ἐλέγχῃ μηδείς. » Ὅπερ ἐστὶν ἐναργῶς ἐπαιτιωμένου τοὺς Ἰουδαίους, ὡς δικασαμένους ἀνοσίως, καὶ κατελέγξαντας, ἤτοι ψευδομαρτυρήσαντας τοῦ Χριστοῦ. Οἱ μὲν γὰρ ἡγούμενοι προσῆγον Πιλάτῳ, δικαζόμενοί τε καὶ κατηγοροῦντες αὐτοῦ. Παρελθόντες δέ τινες κατεμαρτύρουν, μόνον δὲ οὐχὶ καὶ ἐλέγχειν ἀπετόλμων· ψευδοεποῦντες οἱ δείλαιοι, ποτὲ μὲν, ὅτι διαστρέφει τὸν λαόν· ποτὲ δὲ, ὅτι τούτου λέγοντος ἀκηκόαμεν, ὡς ἐν τρισὶν ἡμέραις καταλύσει τὸν ναὸν τοῦ Θεοῦ, καὶ ἐγερεῖ πάλιν αὐτόν. Ἀναιρεθήσεται τοίνυν, φησὶ, δίκη, καὶ ἔλεγχος, ἤτοι καταμαρτυρία, καὶ ψῆφος οὐκ ἀληθὴς, οὐκ ὄντος βασιλέως, οὐδὲ ἄρχοντος τοῦ δικάζειν εἰωθότος. Ταύτητοι, καθάπερ ἐγῷμαι, καὶ ὁ προφητικὸς ἡμῖν λόγος τοῖς ἀβασιλεύτοις τῶν ζώων τοὺς τῶν Ἰουδαίων παρεικάζει λαοὺς, θηρσὶ δὴ, λέγω, καὶ ἑρπετοῖς, καὶ πετεινοῖς, καὶ ἰχθύσιν. Οὕτω καὶ ὁ μακάριος προφήτης Ἀβακοὺμ ἔφη που πρὸς τὸν τῶν ὅλων Θεόν· « Εἰς τί ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας; Παρασιωπήσῃ ἐν τῷ καταπίνειν ἀσεβῆ τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς τὰ ἑρπετὰ οὐκ ἔχοντα ἡγούμενον. »

Ad intimum porro sensum vaticinii verba dirigentes, illud dicimus. Quia in regione Judæorum, sive apud ipsos Judæos non est veritas, nec misericordia, nec scientia Dei (hæc autem esse et dici Emmanuelem monuimus), invaluitque potius maledictum et mendacium, et studuerunt furtis, et sanguines in sanguinibus miscuerunt (occisis namque prophetis, ut dixi, et ipsum Jesum occiderunt). Lugebit in posterum terra una cum habitatoribus, C manibus Romanorum incensa. Erunt autem hæc, inquit, « ut neque judicet, neque arguat ullus: », quod est manifeste accusare Judæos, ut qui impie jus dixerunt, et redarguerunt, sive falsum testimonium in Christum protulerunt. **68** Principes enim adduxerunt eum ad Pilatum, illum judicantes et accusantes. Progressi deinde quidam in medium, testimonium contra ipsum perhibuerunt, et tantum non ipsum quoque argumentis convincere ausi sunt, mentientes miseri, nunc, eum seducere populum; nunc, se hoc ipsum dicentem audivisse, tribus diebus templum Dei destructurum et reædificaturum [69]. Tolletur igitur, inquit, judicium, et reprehensio, sive testimonii dictio, et sententia non vera, cum non erit rex, neque princeps, qui judi- D care norit. Hac de causa, ut ego sentio, etiam propheticus sermo Judæorum populum animalibus rege carentibus comparat, belluis, inquam, et reptilibus, et volucribus, et piscibus. Ita et beatus Habacuc universitatis Deum alloquitur. « Quare respicis super contemptores? Tacebis cum devoraverit impius justum, et facies homines quasi pisces maris et quasi reptilia, non habentia ducem [70]. »

Ὁ δὲ λαός μου ὡς ἀντιλεγόμενος ἱερεῦς, καὶ ἀσθενήσει ἡμέρας, καὶ ἀσθενήσει ὁ προφήτης μετὰ σοῦ.

VERS. 4. *At populus meus quasi sacerdos cui contradicitur, et infirmabitur per dies, et infirmabitur propheta tecum.*

[68] Mich. VII, 2. [69] Matth. XXVI, passim. [70] Habac. I, 13, 14

Digitized by Google

XXXVII. Considera mihi beatum prophetam alio modo proferentem, quæ ipsi a Deo dicta fuerant. Audierat enim aperte dies multos sessuros filios Israel, destitutos rege, principe, sacrificio, altari, sacerdotio, et manifestis [93]. At ipse iræ vehementi, his verbis significatæ quasi cursim succedens, contractius reprehendit, moderatisque obscuritatibus sermonem obumbrat. Nam sine principibus, rege, institutione aliquandiu mansuros, involucro quodam subtiliter indicat, animalibus regem non habentibus eos comparans. Exclusum autem iri sacrificiis et liturgiis sacerdotum subostendit, eodem loco fore dicens, quo sacerdotes, quibus contradicitur. Quinam autem isti sunt? aut quis est sacerdos cui contradicitur? Qui maculam et morbum carnis habet, et idcirco liturgia excluditur. Aut enim propter cruris, aut oculorum vitium, aut contritionem pedis, aut aliam ob causam quidam officio sacerdotali movebantur, quantumvis de tribu et sanguine Levi essent. Id quod divina lex per Moysen præcepit. Sic igitur erit, inquit, populus meus. Etenim cum sit sacer propter patres 69 et dignatus sacrificio, extra sanctum tabernaculum sedebit, extra liturgiam, et sacerdotes. Non enim sacrificium, neque odorem suavitatis offeret Deo; ægrotavit enim non jam mediocribus detrimentis animi, et vitiatus est corde, et merito jam rejectitius atque odiosus evasit. Eventurum autem Israelitis, ut et prophetæ taceant, declaravit his verbis : « Et infirmabitur propheta tecum, » secundum illud utique, quod a Deo ad beatum Ezechielem dictum est : « Et linguam tuam adligabo, et eris mutus, et non eris illis in virum objurgantem, quia domus exasperans est [94]. » Hæc porro omnia propter impietatem in Christum, et scelera in prophetas designata contingent. Veruntamen non in perpetuum infirmatum iri Israelem, sed per dies dicit. Salutis enim et conversionis ad fidem tempus illi reservatum est.

A ΑΖ'. Ἄθρει δή μοι τὸν μακάριον προφήτην ἑτεροτρόπως ἐκφέροντα τὰ πρὸς αὐτὸν εἰρημένα παρὰ Θεοῦ. Ἤκουσε μὲν γὰρ ἐναργῶς, ὅτι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραὴλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερατείας, οὔτε δήλων. Ὑποτρέχων δὲ ὥσπερ αὐτὸς τῶν ἀκροωμένων τὸ ἀχάλινον εἰς ὀργὰς, ὑπεσταλμένως ἐλέγχει, καὶ συμμέτροις ἀσαφείαις κατασκιάζει τὸν λόγον. Ὅτι μὲν γὰρ ἡγουμένων δίχα καὶ τοῦ βασιλεύοντος διατελέσουσι καιροὺς, καὶ ἀπαιδαγώγητοι μενοῦσιν, ἰσχνῶς ἐπαινίττεται, τοῖς τῶν ζώων ἀβασιλεύτοις παρεικάζων αὐτούς. Ὅτι δὲ καὶ θυσιῶν ἐξωθήσονται, καὶ λειτουργίας ἱερῶν, ὑποφαίνει, λέγων, ἐν. ἴσῳ γεγενῆσθαι τοῖς τῶν ἱερέων ἀντιλεγομένοις. Καὶ τίνες ἂν εἶεν οὗτοι πάλιν; B ἦτοι τίς ὁ ἀντιλεγόμενος ἱερεύς; Ὁ μῶμον ἔχων, καὶ ἀῤῥώστημα σαρκικόν· ταύτητοι καὶ τῆς λειτουργίας εἰργόμενος. Ἢ γὰρ διὰ σκέλους ἢ ὀφθαλμῶν ἐπήρειαν, ἢ διὰ σύντριμμα ποδὸς, ἢ καθ' ἑτέραν αἰτίαν ἐξεπέμποντό τινες τοῦ ἱεράσθαι δεῖν, καίτοι γεγονότες ἐκ φυλῆς τε καὶ αἵματος Λευΐ. Κεχρησμῴδηκε γὰρ οὕτως ὁ διὰ Μωσέως νόμος. Οὕτως οὖν ἔσται, φησὶν, ὁ λαός μου. Καὶ γάρ τοι ὑπάρχων ἱερὸς διὰ τοὺς πατέρας, καὶ τοῦ θύειν ἠξιωμένος, ἔξω τῆς ἁγίας καθεδεῖτσι σκηνῆς, ἔξω λειτουργίας καὶ ἱερῶν. Οὐ γὰρ προσοίσει θυσίας, οὔτε μὴν ὁσμὴν εὐῳδίας ἀνοίσει τῷ Θεῷ· κατηῤῥώστησε γὰρ οὐκέτι μετρίως τὴν εἰς νοῦν ἐπήρειαν, καὶ καταλελώβηται τὴν καρδίαν, γέγονέ τε δικαίως ἀπόπεμπτος ἤδη, καὶ ἀπηχθημένος. Ὅτι δὲ τοῖς ἐξ Ἰσραὴλ συμβήσεται καὶ C τὸ σιγῆσαι προφήτας, διαμεμήνυκεν εἰπών· « Καὶ ἀσθενήσει καὶ προφήτης μετὰ σοῦ, » κατ' ἐκεῖνό που πάντως τὸ εἰρημένον παρὰ Θεοῦ πρὸς τὸν μακάριον Ἰεζεχιήλ· « Καὶ τὴν γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα εὐθύνοντα, ἤγουν ἐλέγχοντα, ὅτι οἶκος παραπικραίνων ἐστί. » Ταῦτα δὲ πάντα συμβήσεται διὰ τὴν εἰς Χριστὸν ἀσέβειαν, καὶ τὰ εἰς προφήτας ἐγκλήματα. Πλὴν οὐκ εἰς ἅπαν ἀσθενήσειν τὸν Ἰσραὴλ, ἀλλ' εἰς ἡμέρας φησί. Τετήρηται γὰρ αὐτῷ σωτηρίας καὶ ἐπιστροφῆς τῆς ὡς ἐν πίστει καιρός.

Vers. 5, 6. *Nocti assimilavi matrem tuam. Assimilatus est populus meus quasi non habens scientiam. Quia scientiam repulisti, et ego repellam te, ne sacerdotio fungaris mihi. Et oblita es legis Dei tui, et ego* D *obliviscar filiorum tuorum.*

Νυκτὶ ὡμοίωσα τὴν μητέρα σου. Ὡμοιώθη ὁ λαός μου ὡς οὐκ ἔχων γνῶσιν. Ὅτι σὺ ἐπέγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ ἱερατεύειν μοι. Καὶ ἐπελάθου νόμου Θεοῦ σου, κἀγὼ ἐπιλήσομαι τέκνων σου.

XXXVIII. Adhuc sermo velut ad Judæorum mendacem et impiam multitudinem dirigitur. Matrem ejus appellat Synagogam, quemadmodum videlicet in Christo justificatorum Ecclesiam. Cum obscuritate igitur et tenebris apte Judæorum Synagogam confert. Proinde et sapientissimus Paulus de se, et in fide illustratis rectissime : « Non sumus noctis, nec tenebrarum, sed sumus filii lucis et diei [95]. » Similis est porro, inquit, et populus meus non habentibus scientiam, quamvis lege præeunte ac monstrante viam dives. Vocatus enim ad scientiam veri

ΑΗ'. Ἔτι μὲν οὖν ὁ λόγος ὡς πρὸς τὴν τῶν Ἰουδαίων ἁμαρτοεπῆ τε καὶ ἀνοσίαν πληθύν. Μητέρα γε μὴν αὐτῆς ὀνομάζει τὴν Συναγωγὴν, καθάπερ ἀμέλει καὶ τῶν ἐν Χριστῷ δεδικαιωμένων τὴν Ἐκκλησίαν. Ἀφεγγείᾳ τοίνυν καὶ σκότῳ παρεικάζει δικαίως τὴν τῶν Ἰουδαίων Συναγωγήν. Τοιγάρτοι καὶ ὁ σοφώτατος Παῦλος ἑαυτοῦ τε πέρι, καὶ τῶν ἐν πίστει λελαμπρυσμένων, εὖ μάλα φησίν· « Οὐκ ἐσμὲν νυκτὸς, οὐδὲ σκότους, ἀλλ' υἱοὶ φωτὸς καὶ ἡμέρας. » Ἔοικε δὲ, φησὶ, καὶ ὁ λαός ὁ ἐμὸς τοῖς οὐκ ἔχουσι γνῶσιν, καίτοι τὴν διὰ νόμου πεπλουτηκὼς ποδ-

[93] Osee III, 4. [94] Ezech. III, 36. [95] I Thess. v, 5.

Digitized by Google

ηγίαν. Κέκληται γὰρ πρὸς ἐπίγνωσιν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ, πεπληροφόρηται διὰ θαυμάτων, ἐλλέλοιπε δὲ παντελῶς οὐδὲν τῶν ὅσα φωτίζειν οἷά τε τοὺς ἐσκοτισμένους, καὶ ἀξιάγαστον τοῖς εὐμαθεστέροις ἐνιέναι γνῶσιν οὐκ ἀνικάνως ἔχει. Ἐπειδὴ δὲ ἀπώσω, φησί, τὴν ἐπίγνωσιν, τουτέστι Χριστὸν, δι' οὗ, καὶ ἐν ᾧ προσιτός τε ἅμα καὶ γνωστὸς ὁ Πατὴρ, ἐξωθήσῃ λοιπὸν τοῦ εἶναί ἱερὸς, καὶ τοῦ προσάγειν θυσίας, ὡς βέβηλος. Καὶ ἐπειδὴ τῶν θείων εἰς λήθην κατώλισθες νόμων, μήτε τὰ Μωσέως νοήσας πνευματικῶς, μήτε τοῖς διὰ Χριστοῦ παιδεύμασιν ἰσχνόν τε καὶ εὐφυᾶ τὸν νοῦν ἐνιεὶς, εἰς λήθην κἀγὼ τῶν σῶν οἱονεί πως ὑπενεχθήσομαι τέκνων, τουτέστιν, οὐκέτι μεμνήσομαι, διά γε τοῦ καὶ φειδοῦς καὶ φροντίδος ἀξιοῦν. Ὧν γὰρ ἀξιοῖ μεμνῆσθαι Θεὸς, τούτοις τὴν ἰδίαν ἀπονέμει φιλανθρωπίαν. Ἐπελάθετο δὲ καὶ ἑτέρως τοῦ θείου νόμου, καὶ ἀπώσατο τὴν ἐπίγνωσιν εἰδωλολατρήσας ὁ Ἰσραήλ.

A Dei, et per miracula certa illi fides facta : et nihil prorsus defuit omnium, quæcunque illuminare velut in tenebris versantes, et ad admirabilem scientiam inserendam sufficiunt. Quoniam vero repulisti scientiam, inquit, hoc est, Christum, per quem, et in quo accedi et cognosci potest Pater, repellam ego de cætero te, ne mihi sis sanctus, et ne offeras mihi sacrificium, utpote profanus. Et quoniam in oblivionem divinarum legum lapsus es, neque intellexisti Mosaica spiritualiter, neque doctrinam Christi exacte et cum industria comprehendisti, etiam ego in oblivionem tuorum **70** filiorum velut prolabar, hoc est, immemor ero, ut eos indulgentia et sollicitudine dignari desinam. Quorum enim dignatur recordari, illos sua benignitate prosequitur. B Oblitus est autem et aliter divinæ legis, et repulit scientiam, idolis abs se cultis Israel.

Κατὰ τὸ πλῆθος αὐτῶν, οὕτως ἥμαρτόν μοι. Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι.

Vers. 7. *Secundum multitudinem eorum, sic peccaverunt mihi. Gloriam eorum in ignominiam ponam.*

Ἀθ. Ἡμερότητος μὲν ἀπάσης καὶ πηγὴ, καὶ γένεσις, καὶ αὐτόχρημα τὸ ἀγαθὸν ἡ θεία τέ ἐστι καὶ ἀπόῤῥητος φύσις. Πλὴν οὐκ εἰσάπαν τῶν πλημμελούντων ἀνέχεται, τοῖς δὲ ἀχαλίνως εἰς τοῦτο ἰοῦσι, τὰς αὐτοῖς πρεπούσας ἐπιφέρει δίκας. Ἀφικέσθαι δὴ οὖν εἰς τοῦτο φαυλότητος διισχυρίζεται τὸν Ἰσραὴλ, ὡς οὐκέτι μὲν οἰστὴν γενέσθαι τὴν ἀπόνοιαν, ἰσάριθμον δὲ ὥσπερ αὐτοῖς ὁρᾶσθαι τὴν ἁμαρτίαν. Αὐτοὶ μὲν γὰρ ἦσαν « ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης, » κατὰ τὸ γεγραμμένον. Οὐδὲν δὲ τοῦ πλήθους ἀποδεῖν ἔφη τὰ πλημμελήματα. Τοῦτο, οἶμαι, ἐστὶ τὸ « Κατὰ τὸ πλῆθος αὐτῶν, οὕτω ἥμαρτόν μοι. » Ἐπειδὴ δὲ εἰς τοῦτο κατώλισθον ἀθλιότητός τε καὶ δυσβουλίας, καὶ Θεῷ προσκρούοντες οὐ διαλελοίπασι, « Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι · » τουτέστιν, ἐφ' ᾧ μεγάλα φρονεῖν ἐγνώκασιν, ἐπ' αὐτῷ δὴ τούτῳ καταισχυνθήσονται. Πῶς ἢ τίνα τρόπον; Αὐχημάτων γὰρ ἀποπεσοῦνται τῶν ἐπὶ πλήθει πολλῷ, δαπανῶντος τοῦ πολέμου τοῖς μαχίμοις ὁμοῦ καὶ τὴν ἄλλην ἅπασαν ἡλικίαν. Κένανδροι γὰρ ἀπομενοῦσιν οἶκοί τε καὶ πόλεις. Καὶ ἐπ' αὐτῷ δὲ τούτῳ τὴν Ἰουδαίαν ὁ προφήτης Ἱερεμίας ἐθρήνει, λέγων· « Πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυσμένη λαῶν; ἄρχουσα ἐν χώραις, ἐγενήθη εἰς φόρον. »

Καὶ ἑτέρως δέ · Θεῷ προσκρούοντες, ἁπάσης εὐκλείας ὡς ἀποτάτω κεισόμεθα δρῶντες, ἃ μὴ θέμις· καὶ ἐφ' οἷς αἰσχύνεσθαι χρὴ, ἐπ' αὐτοῖς δὴ τούτοις ἐσθ' ὅτε μεγαλαυχούμενοι, καὶ ὑψηλὴν αἴροντες τὴν ὀφρύν· ὡς δικαίως λέγεσθαι καὶ περὶ ἡμῶν· « Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. » Οὐκοῦν καὶ κατὰ τόνδε τὸν νοῦν ἐκδέξῃ πάλιν τὸ εἰρημένον, « Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι. » Ὅτι γὰρ παραδίδονταί τινες « εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, » πῶς ἔστιν ἀμφιβαλεῖν, τοῦ μακαρίου Παύλου σαφῶς εἰρηκότος;

XXXIX. Omnis mansuetudinis et fons, et origo, et vera bonum ipsum divina et ineffabilis natura est. Verumtamen peccantes non usquequaque sustinet; sed effrenate eo se dantibus, pœnas commeritas infligit. Huc igitur scelerum Israelem venisse affirmat, ut amentia ejus tolerari amplius non possit. Peccata autem numerum capitum quodammodo æquasse videri. Ipsi enim erant « velut stellæ cœli C multitudine, aut velut arena in littore maris [95], » ut scriptum est : a qua multitudine ait non discrepare delictorum copiam. Hoc est, opinor, « secundum multitudinem eorum, sic peccaverunt mihi. » Ubi autem eo miseriæ stultitiæque devenerunt, ut Deo ægre facere non desisterent, ait, « Gloriam eorum in ignominiam ponam, » hoc est, propter quod efferre se voluerunt, propter hoc ipsum dedecorabuntur. Qui, aut quonam modo? Amittent enim occasionem gloriandi de multitudine, bello una cum bellatoribus reliquam quoque ætatem omnem absumente. Vacuæ namque hominibus et domus et urbes manebunt. Ac propter hoc ipsum propheta Jeremias Judæam deflebat his dictis : « Quomodo sedet sola civitas plena populo? princeps provinciarum facta est sub tributo [96]. » D

Aliter etiam. Deum offendentes ab omni gloria longissime recedemus, facientes quæ fas non est : et ob quæ erubescere oportuit, in iis ipsis aliquando nos jactantes et supercilium tollentes, ut non injuria etiam de nobis dicatur : « Quorum gloria in confusione ipsorum [97]. » Quare et secundum hunc sensum quod dictum est accipies, « gloriam eorum in ignominiam ponam. » Nam quosdam traditos « in reprobum sensum, ut facerent quæ non conveniunt [98], » cur quisquam dubitet, cum id Paulus perspicue confirmet?

[95] Gen. xxii, 17. [96] Thren. i, 1. [97] Philipp. iii, 19. [98] Rom. i, 28

Digitized by Google

VERS. 8, 9. *Peccata populi mei comedent, et in iniquitatibus eorum accipient animas eorum. Et erit sicut populus, ita et sacerdos.*

71 XL. Perscriptis causis iræ in multitudinem, sermonem ad sacrum ordinem transfert, convenienter, ut ego sentio, ei quod modo a nobis dictum est, «gloriam eorum in ignominiam ponam.» Gloria quippe Judæorum Synagogæ est sanctum et selectum genus. Operietur itaque ignominia, inquit, et ad dedecus devolvetur. Qua de causa? Quoniam neglectis quæ ex ipsorum officio erant, ad defectionem seducti sunt, neque suum principatum servaverunt. Non scierunt rationem sacerdotii. Non cogitaverunt, « quod peccata populi mei comedent, et in iniquitatibus eorum accipient animas eorum. » Quoniam vero oratio plurimum obscuritatis habet, age nunc pro virili dicamus, quo pacto eam intelligere deceat. Hircus de capris pro peccato mactabatur; ob hanc causam etiam sacrificium vocabatur peccatum. Verum offerentes super altare hircum [99], qui pro tempore erant sacerdotes, offerebant quidem exta et adipem [1], reliquo ex divinæ legis præscripto ipsi vescebantur. Itaque tanquam mediator Dei et hominum sacerdos assumitur, suscipiens quidem dona a populo, et cum altari dividens [2], sicut scriptum est, seipsum autem quasi sacrificans pro peccatis populi; sicut nimirum et Dominus noster Jesus Christus. Vera autem me dicere, testem adducam legem super hirco, quæ sic habet : « Et hircum qui pro peccato quærens quæsivit Moyses, et hic combustus fuerat. Et iratus est Moyses contra Eleazar et Ithamar filios Aaron relictos, dicens : Cur non comedistis quod pro peccato in loco sancto? Quia enim Sancta sanctorum est, hoc dedit vobis comedere, ut auferatis peccatum cœtus, et propitietis pro eis coram Domino [3]. » Vides quomodo mediatores agunt, qui divino altari astant, pro peccato oblata comedentes, et castissimis precibus iram in peccantes intentatam amolientes, et tantum non animas suas pro peccatis populi in odorem suavitatis Deo sacrificantes? Sicut item divinus Aaron populo absumi incipiente. Sic enim scriptum est : « Thuribulo arrepto et imposito thymiamate, stetit inter mortuos et vivos, et cessavit plaga [4]. » Ita quoque se interponens beatus Moyses exorabat Deum, cum Israelitæ in deserto vitulum conflavissent. **72** Seipsum enim quodammodo supplicio subjiciebat, rogans et dicens : « Siquidem dimittis ipsis peccatum, dimitte : sin autem, dele et me de libro hoc quem scripsisti [5]. » Comedent igitur peccata populi mei, hoc est, sacrificia pro peccatis ipsorum oblata. « Et in iniquitatibus eorum (utique Israelitarum, sive populi) ipsi suas animas accipient, » pro, Deo offerent. Sumit enim divina Scriptura vocem hujus rei significantem. Oblatum enim Deo, et paratum in sacrificium dicebatur accipi, et positum est vocabulum huic rei exprimendæ imprimis idoneum, ut

A *Ἁμαρτίας λαοῦ μου φάγονται, καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν. Καὶ ἔσται καθὼς ὁ λαὸς, οὕτως καὶ ὁ ἱερεύς.*

Μ'. Γεγραφὼς τὰς αἰτίας τῆς εἰς τὸ πλῆθος ὀργῆς, μεταβιβάζει τὸν λόγον ἐπὶ τὸ τάγμα τὸ ἱερὸν, ἁρμόσει δ' ἂν, ὡς γε οἶμαι, τῷ λόγῳ, καὶ τὸ ἀρτίως ἡμῖν εἰρημένον, « Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν θήσομαι. » Δόξα μὲν γὰρ τῆς Ἰουδαίων Συναγωγῆς, τὸ ἱερόν τέ ἐστι καὶ ἀπόλεκτον γένος. Περιβληθήσεται τοίνυν ἀτιμίᾳ, φησὶ, καὶ μεταχωρήσει πρὸς τὸ ἀκαλλές. Καὶ διὰ ποίαν αἰτίαν; Ὅτι τῶν σφίσι πρεπωδεστάτων ὀλιγωρήσαντες παρεκομίζοντο πρὸς ἀπόστασιν. Οὐ τετηρήκασι τὴν ἑαυτῶν ἀρχὴν, οὐκ ἔγνωσαν τῆς ἱερωσύνης τὸν τρόπον, οὐκ ἐνενόησαν, « Ὅτι ἁμαρτίας λαοῦ μου φάγονται, καὶ ἐν ἀδικίαις B αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν. » Ἐπειδὴ δὲ πλείστην ἔχει τὴν ἀσάφειαν ὁ λόγος, φέρε πάλιν, ὡς ἔνι, λέγωμεν τὸ, ὅπως ἂν αὐτὸν νοεῖσθαι πρέποι. Χίμαρος τοίνυν ἐξ αἰγῶν ὑπὲρ ἁμαρτίας ἐσφάζετο· ταύτης τε ἕνεκα τῆς αἰτίας ἐκαλεῖτο καὶ ἁμαρτία τὸ θῦμα. Ἀλλὰ προσάγοντες τῷ θυσιαστηρίῳ τὸν χίμαρον οἱ κατὰ καιροὺς ἱερεῖς, ἀνέφερον μὲν τὰ ἐνδόσθια καὶ τὴν πιμελὴν, ἦσθιον δὲ τὸ λοιπὸν αὐτοὶ, τοῦτο τοῦ θείου προστάττοντος νόμου. Οὐκοῦν μεσίτης ὁ ἱερεὺς ὥσπερ Θεοῦ καὶ ἀνθρώπων παραλαμβάνεται, δεχόμενος μὲν τὰς παρὰ τῶν λαῶν δωροφορίας, καὶ συμμεριζόμενος τῷ θυσιαστηρίῳ, καθὰ γέγραπται, ἑαυτὸν δὲ ὥσπερ ἱερουργῶν ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων, καθάπερ ἀμέλει καὶ C ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. Ὅτι δὲ ἀληθὲς ὃ φημι, αὐτὸν παραθήσω τὸν ἐπὶ τῷ χιμάρῳ νόμον. Ἔχει δὲ οὕτως· « Καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας ζητῶν ἐξεζήτησε Μωσῆς, ὁ δὲ ἐκκεκπύριστο. Καὶ ἐθυμώθη Μωσῆς ἐπὶ Ἐλεάζαρ, καὶ Ἰθάμαρ τοὺς υἱοὺς Ἀαρὼν τοὺς καταλελειμμένους, λέγων· Διατί οὐκ ἐφάγετε τὸ περὶ τῆς ἁμαρτίας ἐν τόπῳ ἁγίῳ; Ὅτι γὰρ ἅγιον ἁγίων ἐστὶ, τοῦτο δέδωκεν ὑμῖν φαγεῖν, ἵνα ἀφέλητε τὴν ἁμαρτίαν τῆς συναγωγῆς, καὶ ἐξιλάσησθε περὶ αὐτῶν ἔναντι Κυρίου. » Ὁρᾷς ὅπως μεσιτεύουσι τὰ ὑπὲρ τῶν ἁμαρτιῶν ἐσθίοντες οἱ τῷ θείῳ θυσιαστηρίῳ παρεστηκότες, καὶ καθαρωτάταις λιταῖς τὴν ἐπὶ τοῖς ἁμαρτάνουσιν ὀργὴν κατευνάζοντες, καὶ μονονουχὶ τὰς ἰδίας ψυχὰς ὑπὲρ τῶν τοῦ λαοῦ πλημμελημάτων εἰς ὀσμὴν εὐ- D ωδίας καθιεροῦντες Θεῷ; Καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Ἀαρὼν, ἀρχομένου θραύεσθαι τοῦ λαοῦ. Γέγραπται γὰρ ὠδί· « Τὸ πυρεῖον ἁρπάσας, καὶ ἐπιθεὶς τὸ θυμίαμα, ἔστη, φησὶν, ἀνὰ μέσον τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις. » Οὕτω μεσιτεύων καὶ ὁ μακάριος Μωσῆς, ἐξεδυσώπει Θεὸν, μεμοσχοποιηκότων κατὰ τὴν ἔρημον τῶν ἐξ Ἰσραήλ. Ἑαυτὸν γὰρ ὥσπερ ὑπετίθη τῇ δίκῃ, παρακαλῶν τε καὶ λέγων· « Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου ταύτης ἧς ἔγραψας. » Φάγονται τοίνυν τὰς ἁμαρτίας τοῦ λαοῦ μου, τουτέστι, τὰ ὑπὲρ ἁμαρτιῶν προσκομιζόμενα θύματα. « Καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν, » τουτ-

[99] Levit. IX, 15. [1] Levit. III, 3. [2] I Cor. X, 12. [3] Levit. X, 16, 17. [4] Num. XVI, 7. [5] Exod. XXXII, 32.

Digitized by Google

ἐστιν, ἐν καιρῷ τῆς ἀδικίας αὐτῶν· δῆλον δὲ, ὅτι τῶν ἐξ Ἰσραὴλ, ἤτοι τῶν λαῶν· « Αὐτοὶ τὰς ἰδίας λήψονται ψυχὰς, » ἀντὶ τοῦ, προσκομιοῦσι τῷ Θεῷ. Δέχεται γὰρ τὴν λέξιν ἡ θεόπνευστος Γραφὴ, τοῦ τοιοῦδε σημαντικήν. Τὸ γὰρ τῷ Θεῷ προσκομιζόμενον, καὶ εὐτρεπισθὲν εἰς θυσίαν, ἐλέγετο λαμβάνεσθαι. Καὶ ἡ λέξις τέθειται, τοῦ τοιοῦδε μάλιστα σημαντικὴ, καθάπερ ἔφην ἀρτίως. Καὶ γοῦν ἐν τοῖς Ἀριθμοῖς, ὅτε τοὺς περὶ τῆς δαμάλεως τῆς πυρρᾶς ὡρίζετο νόμους, ἔφη Θεὸς πρὸς τὸν ἱεροφάντην Μωσέα « Αὕτη ἡ διαστολὴ τοῦ νόμου, ὅσα συνέταξε Κύριος, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ λαβέτωσαν πρὸς σὲ δάμαλιν πυρράν, ἄμωμον. » Ἀκούεις τὸ, λαβέτωσαν; τουτέστι προσκομιζέτωσαν, ἤτοι προσαγαγέτωσαν. Περὶ δέ γε τοῦ καθαρισθήσεσθαι μέλλοντος λεπροῦ, πάλιν ὧδέ φησι· « Καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερεὺς, καὶ ἰδοὺ ἴαται ἡ ἁφὴ τῆς λέπρας ἀπὸ τοῦ λεπροῦ. Καὶ πράξει ὁ ἱερεὺς, καὶ λήψονται τῷ κεκαθαρισμένῳ δύο ὀρνίθια ζῶντα, καθαρά. » Ὅταν τοίνυν καὶ ἐπὶ τῶν ἱερέων τὸ, λήψονται, λέγοι, νοοῖτ' ἂν εἰκότως ἀντὶ τοῦ, προσοίσουσιν, ἡ φωνή. Ἐν καιρῷ τοιγαροῦν τῶν ἀδικιῶν, τῶν τοῦ λαοῦ δηλονότι, αὐτοὶ λήψονται, τουτέστι, προσοίσουσιν εἰς θυσίαν, καὶ εὐοσμίαν Θεῷ τὴν πνευματικὴν τὰς ἑαυτῶν ψυχὰς, ὀρθῶς δηλονότι πολιτευόμενοι, καὶ εὐνομωτάτην ἔχοντες ζωὴν, καὶ τὰ τοῖς ἱερεῦσι πρέποντα φρονεῖν τε καὶ δρᾷν ὅτι μάλιστα διεσπουδακότες. Ἱκανὸς γὰρ ὁ τοιοῦτος ἀνασῶσαι λαοὺς καὶ Θεῷ προσκεκρουκότας, καὶ νόμον ἠδικηκότας. Ἀλλ' οἱ πρὸς τοῦτο παρειλημμένοι, φησὶ, συγκατώλισθον τοῖς ἄλλοις. Ταύτητοι δικαίως ἀργήσει τὰ ἱερὰ, πεπαύσεται τὸ ἱερὸν καὶ τίμιον γένος· « Ἔσται ὁ λαὸς ὡς ἱερεύς· » κείσεται γὰρ οὐδὲν ἔτι τὸ μεταξὺ λαοῦ τε καὶ ἱερέως. Καὶ τοῦτο ἦν ἄρα τὸ, « Τὴν δόξαν αὐτῶν εἰς ἀτιμίαν. »

A modo dixi. Itaque in Numeris, quando lex de vacca rufa ferebatur, dixit Deus ad Moysen, sacrorum interpretem : « Hæc distinctio legis, quæcunque constituit Dominus, dicens : Loquere filiis Israel, et accipiant ad se vaccam rufam, immaculatam [6]. » Audis illud, accipiant? hoc est, offerant, sive admoveant. De mundando autem a lepra rursus ita ait : « Egredietur sacerdos extra castra, et videbit sacerdos, et ecce sanatur tactus lepræ a leproso. Et jubebit sacerdos, et accipient mundato duos passerculos vivos, puros [7]. » Cum igitur etiam de sacerdotibus « accipient » dicat, merito intelligatur vox pro, offerent. In tempore igitur iniquitatum, populi videlicet, ipsi accipient, hoc est, offerent in sacrificium, et in odorem suavitatis spiritualem Deo B animas suas, probe nimirum conversantes, et vitam legibus mirifice consentaneam traducentes, et quæ sacerdotibus decora sunt, cogitare, et facere summo studio enitentes. Potest enim talis populum, qui in offensam Dei incurrit, et legem inique violavit, in pristinum locum restituere. Verumenimvero, ad hoc instituti, inquit, una cum aliis lapsi sunt. Idcirco jure vacabunt sacra, cessabit sacrum, et honorabile genus, « erit populus ut sacerdos : » nihil siquidem inter populum et sacerdotem distabit. Atque hoc est fortasse, « gloriam eorum in ignominiam ponam. »

Καὶ φάγονται, καὶ οὐ μὴ ἐμπλησθῶσιν· ἐπόρνευσαν, καὶ οὐ μὴ κατευθυνθῶσιν.

ΜΑ'. Ὁδοὺς μὲν, ὡς ἔοικε, τὰς ἐν ἔργοις πορείας λέγει· διαβούλια δὲ αὖ, τὰ ἐκ λογισμῶν ἀτόπων πταίσματα. Ἐπειδὴ τοίνυν, φησὶ, πεπόρευται μὲν οὐκ ὀρθῶς, τῆς εὐθείας ἐκνενευκὼς, καὶ ἀπάσης ὥσπερ ἀνοσιότητος ἐλάσας τρίβον, ἐδουλεύσατο δὲ τὰ πάντων αἴσχιστά τε καὶ ἐκτοπώτατα, τὸν μὲν τῶν ὅλων ἀτιμάσας Θεὸν, ἀποκλίνας δὲ καὶ αὐτὸς εἰς τὸ λατρεύειν εἰδώλοις, « Ἐκδικήσω ἐπ' αὐτὸν, » τουτέστι, τὴν τοῖς πλημμελήμασιν ἰσοστάθμως ἔχουσαν ἐποίσω δίκην. Ὅτι δὲ τοῖς ἀποφοιτῶσι τῆς εἰς Θεὸν ἀγάπης τὸ ἐν παντὶ γενέσθαι κακῷ πάντη τε καὶ πάντως συμβήσεται, πῶς ἔστιν ἀμφιβαλεῖν; οὔτε γὰρ ὁρθὴν τε καὶ ἀμώμητον διελάσει τρίβον, οὔτ' ἂν σοφὰ βουλεύσαιτό ποτε, τὴν θείαν οὐκ ἔχων ἐπικουροῦσαν αὐτῷ σοφίαν τε καὶ δύναμιν.

C Vers. 10. *Et comedent, et non implebuntur; fornicati sunt, et non dirigentur.*

XLI. Vias quidem, ut apparet, incessus in operibus nominat; consilia vero ex cogitationibus indecentibus delicta. Quoniam igitur, inquit, prave incessit, et a recto itinere deflexit, et propemodum omni semita impietatis ambulavit, omnium 73 turpissima et a ratione alienissima apud se statuit, et universorum Deum contempsit, et ipse quoque ad serviendum idolis declinavit, « ulciscar super ipsum, » hoc est, pœnam sceleribus respondentem reposcam. Deserentes autem Dei charitatem omnibus malis omnimodis circumveniri, nulli plane dubium est. Nec enim recta et inculpata progredietur via, nec sapienter quidquam cogitabit, qui divinam sapien- D tiam virtutemque opitulatricem non habuerit.

Καὶ φάγονται, καὶ οὐ μὴ ἐμπλησθῶσιν· ἐπόρνευσαν καὶ οὐ μὴ κατευθυνθῶσιν.

ΜΒ'. Τετήρηκε πάλιν τοῖς ἐξ αἵματος Ἰσραὴλ τὸ κατάλειμμα. Ὅτι γὰρ οὐκ εἰσάπαν οἰχήσεται τοῖς ἱερεῦσι τὸ χρῆμα, διατρανοῖ λέγων, ὅτι « Φάγονται μὲν, πλὴν οὐ μὴ ἐμπλησθῶσιν. » Εἴτε γὰρ τὰς ἀρχαίας ἐκείνας τοῦ Ἰσραὴλ μεταναστάσεις καὶ αἰχμαλωσίας ἐννοήσειέ τις, εἴτε τὴν ἐπὶ Χριστῷ διὰ τῆς τῶν Ῥωμαίων χειρὸς τῆς Ἰουδαίας ἐρήμωσιν.

Et comedent, et non implebuntur; fornicati sunt, et non dirigentur.

XLII. Adhuc reliquias Israelitis reservavit. Non enim universe cum sacerdotibus perituros declarat, cum dicit, « comedent quidem, sed non saturabuntur. » Sive enim veteres illas Israelis transmigrationes et captivitates, sive propter Christum per Romanos Judææ illatam vastitatem quispiam recogitet, in reliquiis Israelem ipsum, et cultum a lege

[6] Num. XIX, 2. [7] Levit. XIV, 3, 4.

Digitized by Google

præscriptum adhuc conservatum animadvertet. Abductis enim tunc per Salmanasar et Theglatphalasar ad Assyrios et Medos, nihilominus exigui numero, et paucissimi, et ex Israelitis relicti, legitima sacerdotibus offerebant, obviis, et quæ ad manum erant eos honorantes, et a consuetis haud penitus recedentes. Eodem modo et in postremo bello, sub Augusto Cæsare, inquam, populationibus deformata ipsorum provincia ad omnem ventum, seu mundi angulum, perque omnes regiones et urbes dispersi sunt [a]. Nihilominus mediocriter adhuc sanctum, et selectum genus venerantes, quæ poterant offerebant, et etiam tum, quanquam abolitis veterum sacrificiorum cæremoniis, morem istum retinebant. Amissa quippe Jerosolyma, sacrificare de cætero nefas erat. « Comedent igitur, inquit, et non implebuntur, » hoc est pauca, et vix accipient et quæ ad satietatem haud sufficiant. Docetur nihilominus his verbis antiqui honoris illorum subversio, præteritæque securitatis amissio. « Quoniam fornicati sunt, inquit, non dirigentur. » Impossibile enim est, ut dixi, Deum deserentes (hoc enim spiritualis fornicatio et nomine et re sibi vult) aut ad satietatem bona suppeditata habere; aut e cœlis, et desuper alimenta comportare; aut in consiliis, vel in actionibus dirigi posse. Deus enim omnium bonorum nostrorum conservator et mentis nostræ gubernaculum est.

74 Vers. 11. *Quia Dominum dereliquerunt, ut custodirent fornicationem, et vinum, et quod inebriare potest, suscepit cor populi mei.*

XLIII. Hic exponit causas, quare neque alimento repleantur sacerdotes, neque amplius dirigantur. Quoniam enim et ipsi a Domino discesserunt, inquit, et magistri cum discipulis, cum subditis penes quos potestas, et qui aliorum duces erant præcipites fuerunt, idcireo divinam iram juste subibunt, et quæ sine fine peccaverunt, eorum pœnas sustinebunt. « Custodierunt enim fornicationem, » hoc est, effecerunt, ut quibus præerant, in errore manerent; tametsi potius eum abjicere et exterminare debebant. Magistrorum enim vigilantiæ est, studiose e medio removere quod populo obest, et quod Deus odit, sine mora tollere. Quod si facere abhorrentes, manere quodammodo, et retineri opera erroris permittunt, imo contra potius confirmant, tunc et mens eorum qui erudiuntur, tanquam vinum et inebriamentum omnino suscipiet. Unde enim, aut quomodo vigilabunt discipuli, mentisque oculum ad vere et natura Deum aperient, si eos pædagogi et conducibilium doctores adhuc ad errorem corroborant? Et hoc est, ni fallor, quod apud alium prophetam legimus : « Sacerdotes non dixerunt : Ubi est Dominus? et qui adhærebant legi meæ, non crediderunt in me, et pastores impie egerunt in me, et prophetæ prophetabant Baal [b]; » et rursum :

A ἐν λειψάνοις εὑρήσει τετηρημένον αὐτόν τε τὸν Ἰσραὴλ, καὶ τὴν κατὰ νόμον λατρείαν. Ἀποκομισθέντων γὰρ τὸ τηνικάδε διά τε τοῦ Σαλμανασὰρ καὶ τοῦ Θεγλαφαλασὰρ εἰς Ἀσσυρίους καὶ Μήδους, οὐδὲν ἧττον οἱ βραχεῖς καὶ ὀλιγοστοὶ καὶ περιλελειμμένοι τῶν ἐξ Ἰσραὴλ, προσῆγον τοῖς ἱερεῦσι τὰ νενομισμένα, τοῖς κατὰ χεῖρα τιμῶντες· καὶ οὐκ ἔξω τῶν ἐν ἕθει γινόμενοι παντελῶς. Κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἐν τῷ λοίσθῳ πολέμῳ, τῷ ἐπὶ Καίσαρος Αὐγούστου, φημὶ, καταδηωθείσης αὐτοῖς τῆς χώρας, ἐσκορπίσθησαν μὲν εἰς πάντα ἄνεμον, καὶ ἐν πάσῃ χώρᾳ τε καὶ πόλει. Πλὴν ἔτι μετρίως τὸ ἱερὸν καὶ ἀπόλεκτον τιμῶντες γένος, προσῆγον τὰ κατὰ δύναμιν. Καὶ εἰσὶν ἐν τούτοις ἔτι, καίτοι τῶν παλαιῶν θυσιῶν ἀνατετραμμένων. Ἔξω γὰρ τῆς Ἱερουσαλὴμ B γεγονὸσι τὸ θύειν ἔτι παράνομον. « Φάγονται τοίνυν, φησὶ, καὶ οὐ μὴ ἐμπλησθῶσι, » τουτέστιν, ὀλίγα λήψονται καὶ μόλις, καὶ ὅσα πρὸς κόρον οὐκ ἐξαρκεῖ. Καταδεικνύει δὲ οὐδὲν ἧττον καὶ τοῦτο τῆς ἀρχαίας αὐτῶν τιμῆς τὴν καθαίρεσιν, καὶ τῆς προλαβούσης εὐθυμίας τὴν ἀποβολήν. « Ἐπειδὴ πεπορνεύκασι, φησὶν, οὐ μὴ κατευθυνθῶσιν. » Ἀμήχανον γὰρ, ὡς ἔφην, τοὺς ἀποφοιτῶντας Θεοῦ (τοῦτο γὰρ, οἶμαι, ἐπὶ τὸ τῆς νοητῆς πορνείας ὄνομά τε καὶ χρῆμα), ἢ εἰς κόρον ἔχειν τὴν τῶν ἀγαθῶν χορηγίαν, ἢ γοῦν δύνασθαι τὰς ἐξ οὐρανῶν καὶ ἄνωθεν συγκομίζεσθαι τροφὰς, ἢ ἐν βουλαῖς, ἢ ἐν πράγμασι κατευθύνεσθαι. Θεὸς γὰρ ἐστιν ὁ παντὸς ἡμῖν ἀγαθοῦ Σωτὴρ, καὶ τῆς οὔσης ἐν ἡμῖν διανοίας τὸ πηδάλιον.

Διότι τὸν Κύριον ἐγκατέλιπον, τοῦ φυλάξαι C *πορνείαν, καὶ οἶνον, καὶ μέθυσμα ἐδέξατο καρδία λαοῦ μου.*

ΜΓ'. Τὰ; αἰτίας ἐνθάδε φησὶ, τοῦ μήτε τροφῆς ἐμπίπλασθαι, μήτε μὴν ἔτι κατευθύνεσθαι τοὺς ἱερουργούς. Ἐπειδὴ γὰρ ἀπῴχοντο, φησὶ, καὶ αὐτοὶ τοῦ Κυρίου, καὶ συναπώλισθον τοῖς παιδευομένοις οἱ παιδευταὶ, τοῖς ὑπὸ χεῖρα καὶ ἐξουσίαν οἱ καθηγεῖσθαι λαχόντες, ταύτῃτοι δικαίως ὑπὸ θείαν ἔσονται μήνισιν, καὶ δίκας ὑφέξουσι τῶν ἀκαταλήκτως διεπταισμένων. « Τετηρήκασι γὰρ πορνείαν, » τουτέστι, σώζεσθαι παρεσκεύασαν τοῖς ὑπὸ χεῖρα τὴν πλάνησιν, καίτοι μᾶλλον αὐτὴν ἐκ μέσου διαῤῥίπτειν καὶ ἀφανίζειν ὀφείλοντες. Διδασκάλων γὰρ νῆψις, τὸ λαοὺς ἀδικοῦν ἐκ μέσου ποιεῖσθαι διὰ σπουδῆς, D καὶ τῷ Θεῷ στυγητὸν ἀμελλητὶ καταστρέφειν. Εἰ δὲ δὴ τοῦτο ὁρᾷν οὐκ ἀνεχόμενοι, μένειν ὥσπερ καὶ σώζεσθαι τῆς πλανήσεως ἔργα συγχωροῦσιν αὐτοὶ, μᾶλλον δὲ καὶ συνιστῶσιν ἐκ τῶν ἐναντίων, τὸ τηνικάδε δὴ πάντως οἶνον ὥσπερ τι καὶ μέθυσμα καὶ ὁ τῶν παιδαγωγουμένων εἰσδέξεται νοῦς. Πόθεν γὰρ, ἢ πῶς ἂν ἔσχον νήφειν οἱ μαθηταὶ, καὶ διανοιγνύναι δύνασθαι τῆς διανοίας τὸν ὀφθαλμὸν πρὸς τὸν ἀληθῶς καὶ φύσει Θεὸν, εἴπερ αὐτοὺς οἱ παιδαγωγοὶ, καὶ τῶν συμφερόντων εἰσηγηταὶ καὶ προσεμπαιδεύουσιν ἔτι πρὸς τὸ πλανᾶσθαι δεῖν; Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ δι' ἑτέρου προφήτου σαφῶς εἰρημένον· « Οἱ ἱερεῖς οὐκ εἶπαν· Ποῦ ἔστι Κύριος; Καὶ οἱ ἀντεχόμε-

[a] Zach. II, 6. [b] Jer. II, 8.

Digitized by Google

νοι τοῦ νόμου μου οὐκ ἠπίσταντό με. Καὶ οἱ ποιμένες ἠσέβησαν εἰς ἐμέ· καὶ οἱ προφῆται προεφήτευον τῇ Βάαλ. » Καὶ πάλιν· « Οἱ υἱοί μου καὶ τὰ πρόβατά μου οὐκ εἰσὶν, οὐκ ἔστι τόπος τῆς σκηνῆς μου, τόπος τῶν δέρρεών μου. Ὅτι ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. Διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν. »

A « Filii mei, et oves meæ non sunt, non est locus tentorii mei, locus pellium mearum; quia pastores stulte egerunt, et Dominum non exquisierunt. Propter hoc non intellexit omnis grex, et dispersi sunt [10]. »

Ἐν συμβόλοις ἐπηρώτων, καὶ ἐν ῥάβδοις αὐτῶν ἀπήγγελλον αὐτῷ.

ΜΔ'. Τίνα τρόπον καταλελοίπασι μὲν τὸν Κύριον, τετηρήκασι δὲ τὴν πορνείαν, καθίστησιν ἐναργές. Συνθελητὴν γὰρ τοῖς πλανωμένοις ἀποφαίνει τὸν παιδευτήν· καὶ οὓς ἦν εἰκὸς, μᾶλλον δὲ ἦδη καὶ ἀναγκαῖον τοῖς θείοις ἕπεσθαι νόμοις, καὶ ἀποκομίζειν εἰς τοῦτο τοὺς ὑπεζευγμένους, τούτους, ὡς ἔφην, τὰ τῆς πλάνης πληροῦντας ἐγκλήματα δείκνυσιν ἐναργῶς. Ἦσαν μὲν γὰρ πρὸς αὐτούς τινες, μανθάνειν ἐθέλοντες, φησὶν, ἤτοι τὰ ἐσόμενα τυχὸν, ἤγουν τὰ καθ' ἑαυτοὺς, καὶ ἐν οἷς ἂν εἶεν καιροῖς, ἢ πράγμασιν. Οἱ δὲ τοὺς προσιόντας αὐτοῖς οὐκέτι παρὰ Θεοῦ τὰ τοιάδε βούλεσθαι ζητεῖν δυσσεβοῦντες ἀνέπειθον, ἀλλ' ἐν συμβόλοις ἐπηρώτων, τουτέστι, διὰ σημείων τινῶν καὶ ἐπιτηρήσεων παρὰ τῶν ἀκαθάρτων πνευμάτων μανθάνειν ἐζήτουν. Καθάπερ ἀμέλει καὶ Βαλαὰμ καταμαντεύεσθαί ποτε τῶν ἐξ Ἰσραὴλ ἐπεχείρει· τοῦτο γὰρ ἐκέλευε δρᾶν Βαλὰκ υἱὸς Βεώρ. Ὁ δὲ, « Ποίησόν μοι, » φησὶν, « ὧδε ἑπτὰ βωμοὺς, καὶ σφάξον μοι ἑπτὰ μόσχους, καὶ ἑπτὰ κριοὺς, καὶ πορεύσομαι κατέναντι τῶν οἰωνῶν. » Ἢ γὰρ τοὺς καρποὺς τοὺς ἐκ τῶν θυσιῶν ἀναθρώσκοντας κατασκέπτονται, ὅπη τε καὶ ὅπως, ὑψοῦ τε καὶ ἄνω διάττουσιν· ἢ τοὺς ἐν ἥπατι σφαδασμοὺς περιαθροῦσιν οἱ δείλαιοι· ἤγουν τὰς ἐξ οἰωνῶν περιεργάζονται πτήσεις. Οἰωνοσκοπίαι δὲ, καὶ μαντικὴ, καὶ τοιάδε τῶν κακῶν τῆς εἰς λῆξιν ἠκούσης δυσσεβείας ἐγκλήματα, καὶ ἐν τοῖς κατωτάτοις τῆς εἰδωλολατρείας ἔρχονται μυχοῖς. « Καὶ ἐν ῥάβδοις αὐτῶν ἀπήγγελλον αὐτῷ. » Ἀφικομένοις, φησὶ, πρὸς αὐτοὺς τοῖς ἐξ Ἰσραὴλ, καί τι τῶν ἰδίων διειδέναι σπουδάζουσιν, οὐχὶ μόνον ἐν συμβόλοις, ἀλλὰ καὶ ἐν ῥάβδοις αὐτῶν ἀπήγγελλον αὐτοῖς. Τρόπος δὲ οὗτος ἀπάτης ἕτερος, ῥαβδομαντεία τὸ χρῆμα, καὶ εὑρεμά που τάχα τῆς Χαλδαίων περιεργίας. Κατεμαντεύετο γὰρ οὕτως τῆς Ἱερουσαλὴμ Ναβουχοδονόσορ, καθὰ καὶ ὁ θεσπέσιος προφήτης φησὶν Ἰεζεχιήλ. Δύο γὰρ ἱστάντες ῥάβδους, εἶτά τινα τῶν ἀπορρήτων αὐτοῖς κατεπᾴδοντες, κατακλίνεσθαι παρεσκεύαζον ταῖς τῶν δαιμονίων ἐνεργείαις. Καὶ πιπτούσας ἐπετήρουν ὅποι φέροιντο πάλιν, πότερον εὐθὺ ἢ ἀνόπιν, εἰς δεξιὸν ἢ εἰς εὐώνυμον. Οὕτω τε λοιπὸν τὸ δοκοῦν τοῖς προσιοῦσιν ἀπήγγελλον. Τοῦτό ἐστι τὸ, « Ἐν ῥάβδοις ἀπήγγελλον. » Πάνδεινον οὖν ἀληθῶς, ὅτι τῶν ἄλλων οἱ παιδαγωγοὶ, καὶ πρὸς τὸ τῷ Θεῷ φίλον ἀποκομίζειν οἷοί τε, καὶ πλανᾶσθαι παρεσκεύαζον, καὶ ᾗ φησιν ὁ προφήτης, « Μανίαν ἐν οἴκῳ Κυρίου κατέπηξαν. » Μανίαν γάρ φησι τὴν ψευδομαντείαν. Ὑποκρίνονται γὰρ οἱ τοιοῦτοι δρᾶν εἰωθότες, μηδὲ εἰδέναι λοιπὸν, ὅποιπέρ εἰσι.

VERS. 12. *In symbolis interrogabant, et in virgis suis annuntiabant ei*

XLIV. Quonam modo Dominum reliquerint, fornicationem autem custodierint, manifeste ostendit. Institutorem enim cum seductis conspirasse docet. Et quos consentaneum, vel potius necessarium erat divinas leges sequi, et eo subjectos adducere, hos, B ut dixi, seductionis piacula committere planum facit. Ierant enim apud eos quidam, inquit, eventura fortasse, **75** aut sibi futura volentes cognoscere, et in quæ tempora, aut rerum statum devenire possent. Illi vero ad se adeuntibus non jam, ut a Deo hujusmodi exquirerent, impie suadebant; sed in symbolis interrogabant, hoc est, per signa quædam et observationes ab impuris spiritibus discere conabantur; sicut et Balaam aliquando adversum Israel vaticinium tentabat; id enim facere Balac filius Beor jubebat. « Exstrue, inquit, mihi hic septem aras, et macta mihi septem vitulos, et septem arietes, et captabo augurium [11]. » Aut enim fruges e sacris focis exsilientes considerabant, quo et quomodo prosilirent; aut palpitationes jecinoris speculabantur miseri; aut certe volatus avium curiose C observabant. Auspicia porro, et divinatoria, et hujuscemodi mala, crimina impietatis sunt, et ex intimis idololatriæ visceribus promanant. « Et in virgis suis annuntiabant ei. » Venientibus ad se Israelitis, inquit, et aliquid suarum rerum nosse studentibus, non modo in symbolis, sed etiam in virgis ipsorum annuntiabant eis. Est hic alter fallaciæ modus, divinatio per virgas, et inventum, ni fallor, Chaldaicæ curiositatis. Sic enim contra Jerusalem divinabat Nabuchodonosor [12], sicut et divinus propheta Ezechiel testatur. Duas enim virgas statuentes, deinde arcanis quibusdam verbis eas incantantes, ut agente diabolo prociderent, et cadentes rursum observabant, utrum prorsum an retrorsum, in dextrum an in sinistrum ferrentur. Sic D deinceps quod illis placebat accedentibus nuntiabant. Hoc sibi vult, quod ait, « in virgis annuntiabant. » Vere igitur insignissimum, quod aliorum magistri, et qui ad Deum cæteros adducere poterant, etiam abducebant, et ut ait propheta : « Insaniam in domo Dei confixerunt [13]. » Insaniam enim mentitum vaticinium appellat. Simulant enim qui istis dant operam, nec scire se amplius ubi sint. Insanire enim eos et divino furore percitos, ut deos plenos quidam dictitabant. Ignorabant quippe seductorum cor immundorum spirituum velut domicilium quoddam, et speluncam esse.

[10] Jer. v, 20, 21 [11] Num. xxiii, 1. [12] Ezech. xxi, passim. [13] Osee ix, 8

Digitized by Google

λαίνεσθαι γὰρ αὐτοὺς, καὶ ἐνθουσιᾷν ἔφασκόν τινες, ὡς θείου πεπληρωμένους. Οὐ γὰρ ἦδεσαν ἀκαθάρτων τι τῶν πνευμάτων οἶκος ὥσπερ τις καὶ σπήλαιον ἡ τῶν πλανωμένων ἐστὶ καρδία.

VERS. 13. *Spiritu fornicationis seducti sunt, et fornicati sunt a Deo ipsorum. Super vertices montium sacrificabant,* 76 *et super colles immolabant subter quercum, et populum, et arborem umbrosam, quia bonum umbraculum.*

XLV. Non sine impuris et malignis spiritibus talia fieri perspicue docet. Omne etenim genus sceleris et ab ipsis proficiscitur, et nihil turpissimarum rerum non consectantur, qui eorum voluntati obtemperare decreverunt. Inquit ergo, « Seducti sunt spiritu fornicationis, » et a Deo longissime separati sunt, voluptatis amantes, et in operibus idololatricis carnis demulcendæ commoditatem quæritantes. Sacrificabant enim, colles et montes conscendentes, et terrenis celsitudinibus dæmonas sub terram detrusos venerantes. Deinde aris sub quercu, et populo excitatis, operabantur, nymphis, forsitan hamadryadibus secundum figmenta Græcorum, honorem istum sacrantes. Scribunt enim illorum poetæ præcipui, et stirpes, et ligna amari ab impuris dæmonibus, quæ ipsis nescio quo modo nymphas nominare complacuit. Visum igitur illis, inquit, sectari umbras, et in virentissimis saltibus deliciis enervari, laudantesque dicere, « quia bonum umbraculum. » Itaque amans voluptatis non poterit esse amans Dei. Testimonium ferat Paulus, dicens de quibusdam, esse voluptatum amatores magis quam Dei [14]. Beati ergo qui modo lugent [15], ut dicit Salvator, et patientia in laboribus utilibus suspicienda magnopere ac diligenda est.

VERS. 14. *Propterea fornicabuntur filiæ vestræ, et sponsæ vestræ mœchabuntur. Et non visitabo super filias vestras cum fornicatæ fuerint, et super sponsas vestras, cum adulteratæ fuerint; quoniam ipsi cum meretricibus commiscebantur, et cum initiatis immolabant.*

XLVI. Quia enim, inquit, eximium quiddam videtur, sub arbore et umbris emolliri atque dissolvi, et voluptati duxistis quod mihi displicet, exsecrabilem videlicet seductionem et immunditiam : propterea fornicabuntur filiæ vestræ; sponsæ autem, hoc est, filiorum uxores, adulteria perpetrabunt. Et cum hæc contigerint, quiescam et ego, nec visitabo. Videtur sane per hæc clades belli, et incommoda captivitatis peccatoribus eventura prænuntiare. Qui enim semel alios expugnarunt viceruntque, in captos consulunt, ut lubet, 77 potestate impotenter utentes, et impetu incastigabili quidvis tandem sibi jucundum aggredientes, et neque legis rationem ducentes, neque quid consentaneum aut decens sit cogitare sustinentes; velut indurati autem, et animo perquam truces, parcere miseris omnimodis dedignantur. Liberos igitur hostibus ad contumeliam et spurcitiem fornicationis expositum iri liquido indicat.

A *Πνεύματι πορνείας ἐπλανήθησαν, καὶ ἐξεπόρνευσαν ἀπὸ τοῦ Θεοῦ αὐτῶν. Ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐθυσίαζον, καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον ὑποκάτω δρυὸς, καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος, ὅτι καλὸν σκέπη.*

ΜΕ'. Ὅτι μὴ δίχα πνευμάτων τῶν ἀκαθάρτων καὶ πονηρῶν τὰ τοιάδε πράττεται, διδάσκει σαφῶς. Ἅπαν γὰρ εἶδος φαυλότητος, παρ' ἐκείνων ἐστί. Καὶ τῶν αἰσχίστων οὐδὲν ἀνεπιτήδευτον τοῖς τὰ αὐτοῖς δοκοῦντα πληροῦν ἠρημένοις. « Πεπλάνηνται » τοίνυν, φησὶ, « πνεύματι πορνείας, » καὶ ὡς ἀποτάτω γεγόνασι τοῦ Θεοῦ. Φιλήδονοί τε ὑπάρχοντες, καὶ φιλοσαρκίας ἀφορμὴν τὰ τῆς εἰδωλολατρίας ἔργα ποιούμενοι. Ἔθυον γὰρ, βουνούς τε καὶ ὄρη καταλαμβάνοντες, καὶ γηΐνοις ὑψώμασι τὸ τῶν δαιμονίων B χαμαιῤῥιφὲς θεραπεύοντες. Εἶτα βωμοὺς ὑποκάτω δρυὸς καὶ λεύκης ἐγείροντες, προσῆγον σπονδὰς, νύμφαις, τάχα που ταῖς ἁμαδρυάσι, κατὰ τοὺς Ἑλλήνων μύθους, τιμὰς ἀποπέμποντες. Φασὶ γὰρ οἱ τῶν Ἑλλήνων ποιηταὶ καὶ λογάδες, καὶ φυτῶν, καὶ ξύλων ἐρᾷν τοὺς ἀκαθάρτους δαίμονας, ἃ νύμφας ὠνόμαζον, κατὰ τὸ αὐτοῖς οὐκ οἶδ' ὅπως δοκοῦν. Ἐδόκει τοίνυν αὐτοῖς ἀποδέχεσθαι, φησὶ, τὰς σκιὰς, καὶ ὑπὸ τοῖς εὐανθεστάτοις θρύπτεσθαι δρυμοῖς· ἐπαινεῖν τε καὶ λέγειν· « Ὅτι καλὸν σκέπη. » Οὐκοῦν ὁ φιλήδονος, οὐκ ἂν γένοιτο καὶ φιλόθεος. Καὶ μαρτυρήσει λέγων ὁ Παῦλος περί τινων, ὅτι φιλήδονοί μᾶλλόν εἰσιν, ἢ φιλόθεοι. Μακάριοι δὴ οὖν οἱ πενθοῦντες νῦν, καθά φησιν ὁ Σωτὴρ, καὶ τὸ τληπαθὲς εἰς πόνους τοὺς ἐπωφελεῖς τιμᾷν, ὅτι μάλιστα καὶ ἀγαπᾷν. C

Διὰ τοῦτο ἐκπορνεύσουσιν αἱ θυγατέρες ὑμῶν, καὶ αἱ νύμφαι ὑμῶν μοιχεύσουσι. Καὶ οὐ μὴ ἐπισκέψομαι ἐπὶ τὰς θυγατέρας ὑμῶν ὅταν πορνεύσωσι, καὶ ἐπὶ τὰς νύμφας ὑμῶν ὅταν μοιχεύσωσι· ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συναπεφύροντο, καὶ μετὰ τῶν τετελεσμένων ἔθυον.

ΜΣ'. Ἐπειδὴ γάρ, φησὶν, ἀξιάγαστον ὑμῖν εἶναι δοκεῖ τὸ ὑπὸ φυτῷ θρύπτεσθαι καὶ σκιαῖς καὶ ἡδονὴν πεποίησθε τὸ λυποῦν ἐμὲ, τὴν ἐπάρατον θηλυνότι πλάνην, καὶ ἀκαθαρσίαν· ταύτητοι πορνεύσουσι μὲν ὑμῶν αἱ θυγατέρες· αἱ δὲ νύμφαι, τουτέστιν, αἱ τῶν υἱῶν γαμεταὶ, μοιχευθήσονται. Κἂν εἰ ταῦτα γένοιτο, φησὶν, ἠρεμήσω κἀγὼ, καὶ οὐκ ἐπισκέψομαι. Ἔοικε δὲ διὰ τούτων τὰ ἐκ τοῦ πολέμου προκαταγγέλλειν κατὰ τῶν D ἡμαρτηκότων ἐσόμενα βλάβη, καὶ τὰ ταῖς αἰχμαλωσίαις ἑπόμενα. Οἱ γὰρ ἅπαξ ἑλόντες, καὶ νενικηκότες, πράττουσιν εἰς τοὺς ἁλόντας τὸ δοκοῦν, ἀχαλίνως ἐξουσίαις χρώμενοι, καὶ ἀνεπιπλήκτοις ὁρμαῖς πρὸς πᾶν ὁτιοῦν τῶν αὐτοῖς καθ' ἡδονὴν ἐρχόμενοι, καὶ οὔτε νόμον ὑπολογιζόμενοι, οὔτε τὸ εἰκὸς ἢ πρέπον ἐννοεῖν ἀνεχόμενοι, ἀπεσκληκότες δὲ ὥσπερ, καὶ πολὺ βλέποντα πρὸς ἀνήμερον ἔχοντες νοῦν, οὐδεμιᾶς ἀξιοῦσι φειδοῦς τοὺς ἀθλίως πεπραχότας. Ὅτι τοίνυν προκείσονται τοῖς ἐχθροῖς εἰς ὕβριν καὶ αἰσχρουργίαν τῶν πεπορευκότων τὰ παιδία καταμεμήνυκεν ἐναργῶς.

[14] II Tim. III, 4. [15] Matth. V, 5.

Digitized by Google

Εἰ δὲ δ τις ἕλοιτο, καὶ καθ' ἕτερον νοήσει τρόπον. Ἐπισκέπτεται μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς, οὓς ἂν βούλοιτο τιμᾷν τε καὶ ἀγαπᾷν. Κἂν εἰς τὸ ῥᾴθυμον ἴδῃ παρενηνεγμένους, καὶ δρᾷν ἐθέλοντας ἃ μὴ θέμις, ἐπιτιμᾷ συμμέτρως, παλινδρομεῖν ἀναπείθων ἐπὶ τὸ ἄμεινον. Τοιγάρτοι φησὶν ὁ θεσπέσιος Παῦλος τοῖς εἰς εὐδόκιμον κεκλημένοις ζωήν· « Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. Τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; » Ὁ δέ γε σοφώτατος Παροιμιαστὴς διαμαρτύρεται καί φησιν· « Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. » Οὐκοῦν οὓς παιδεύει, καὶ ἐποπτείας ἀξιοῖ, ὡς ἀγαθοὺς καὶ ἠγαπημένους. Ἐφορᾷ δὲ οὐδαμῶς τοὺς σφόδρα προσκεκρουκότας, μονονουχὶ δὲ λέγων· « Οὐκ οἶδα ὑμᾶς. » « Ὀφθαλμοὶ γὰρ Κυρίου, ἐπὶ δικαίους, » καθὰ γέγραπται. Οὐκοῦν κἂν πλημμελῶσι, φησὶν, οὐκ ἐπισκέψομαι, τουτέστιν, οὐ φροντιῶ, οὐκ ἐπιστρέψω πρὸς ἐμαυτὸν, οὐδενὸς ἀξίους ἡγήσομαι. Διὰ ποίαν αἰτίαν; Καὶ γὰρ ὑμεῖς αὐτοὶ, φησὶν, οἱ ἐν τάξει πατέρων, τοσοῦτον ἀφεστήκατε τοῦ θέλειν ἐπιτιμᾷν ἑαυτοῖς τε καὶ τοῖς ἐξ ὑμῶν, κἂν εἰ τοῖς ἐσχάτοις μεταποιοῖντο φαυλότητος, ὡς συναναφύρεσθαι πόρναις. Συντεθύκατε γὰρ τοῖς τετελεσμένοις. Πόρνας δέ φησιν ἰδικῶς τὰς τοῦ Βεελφεγὼρ ἱερείας. Βεελφεγὼρ δέ ἐστιν, ὁ καλούμενος Πρίαπος. Αἱ δὲ τὸ οὕτως αἰσχρὸν τιμῶσαι βδέλυγμα, πόρναι λοιπὸν ὁμολογουμένως. Τετελεσμένους δὲ ὀνομάζει πάλιν τοὺς ἱερομύστας τοῦ Βεελφεγὼρ, ἄνδρες δὲ ἦσαν· εἶναι μὲν δὲ οὐκ ἀνεχόμενοι τοῦθ' ὅπερ εἰσὶ, μεταφοιτῶντες δὲ μᾶλλον εἰς φρόνημα τὸ θηλυπρεπὲς, λόγοις τε καὶ τρόποις ἀνοσίως μαλακιζόμενοι. Θηλυδρίας δὲ καὶ μαλθάκωνας τοὺς τοιούτους ἀποκαλοῦσί τινες, οἳ γυναικείαις ὀλολυγαῖς, καὶ κυμβάλοις χρώμενοι, περιθέοντές τινας δᾷδας [16] μυσταγωγεῖν ὑπεκρίνοντο, τῆς τοῦ Βεελφεγὼρ αἰσχύνης πληροῦντες τὰ παίγνια. Ἔθυον τοίνυν, φησὶ, μετὰ τῶν τετελεσμένων, τουτέστι, μεμύηντο τὰ ἐκείνων, καὶ ὁμοῦ τοῖς οὕτω κατεφθαρμένοις προσῆγον θυσίας τῷ Βεελφεγώρ.

A Qui volet, etiam alio sensu locum hunc intelliget. Visitat enim universorum Deus quos honorare et diligere voluerit. Etsi ad ignaviam detortos viderit nefandaque molientes, leniter increpitos ad salutaria denuo impellit. Proinde divinus Paulus ad eos qui ad vitam laudabilem vocati sunt : « Si disciplinam sustinetis, tanquam filiis vobis offert se Deus. Quis enim filius, quem non corrigit pater [16] ? » Attestatur idem sapientissimus Parœmiastes, « Quem enim diligit Dominus, castigat ; flagellat autem omnem filium quem recipit [17]. » Quare quos castigat, etiam visitatione ut bonos et dilectos dignatur. A quibus autem est majorem in modum offensus, eos neutiquam aspicit, tantum non dicens, « Non novi vos [18]. » Nam ut scriptum est, « Oculi Domini super justos [19]. »

B Ergo, si peccaverint, inquit, non visitabo, hoc est, non mihi curæ erit, non convertar ad eos, vilipendam illos. Quam ob causam ? Etenim vos ipsi, inquit, qui in numero et ordine patrum estis, tantum abest ut hujusmodi in vobis ipsis liberisque vestris, quamvis extreme sint improbi, reprehendere velitis, ut cum meretricibus commisceamini. Immolastis enim cum initiatis. Meretrices proprie sacrificas Beelphegor nominat. Est autem Beelphegor qui nuncupatur Priapus. Tam exsecrabilem turpitudinem colentes, congruenter meretrices fuerunt. Initiatos porro vocat hieromystas Beelphegor, qui non sustinerent esse quod erant ; sed potius in animos muliebres immigrarent, verbis et moribus nefarie emolliti, quos nonnulli effeminatos et molles appellant ;

C qui cum femineis ululatibus et cymbalis circumcursantes, inter faces sacra docere simulabant, pudenda Beelphegor ludicra obeuntes. Sacrificabant igitur cum initiatis, inquit, hoc est, initiati erant illorum mysteriis, et cum adeo corruptis hominibus Beelphegor sacrificia factitabant.

Καὶ ὁ λαὸς ὁ συνιὼν συνεπλέκετο μετὰ πόρνης.

MZ'. Μετακομίζει τὸν λόγον ἐπὶ τὸν Ἰούδαν, τουτέστι, τοῖς ἐκ φυλῆς Ἰούδα καὶ Βενιαμὶν, οἳ τὴν Ἱερουσαλὴμ οἰκοῦντες ἔτι, καὶ τὸ θεῖον ἔχοντες θυσιαστήριον (συνειστήκει γὰρ ὁ ναὸς), τὰ Μωσέως ἐντάλματα τηρεῖν ἔφασκον, καὶ τὴν διὰ τοῦ νόμου σύνεσιν ἔχειν. Ἀλλὰ καὶ αὐτοὶ λελατρεύκασι τῇ Ἀστάρτῃ, προσοχθίσματι Σιδωνίων. Ἀστάρτην δὲ εἶναί φασι τὴν παρ' Ἕλλησιν, οὐκ οἶδ' ὅπως, ὀνομαζομένην Ἀφροδίτην. Ἕστηκε δὲ τὸ ἄγαλμα γυμνὸν, καὶ ὡς ἐν εἴδει πόρνης, αἰσχημόνως ἀπογυμνοῦν τοῖς ἁπάντων ὀφθαλμοῖς καὶ τὰ ἄποπτα τοῦ σώματος μέρη. Οὐκοῦν οὐ μόνος, φησὶν, ὁ Ἰσραὴλ, καίτοι πλείστην ὅσην ἀβουλίαν νενοσηκὼς, συνανεφύρετο πόρναις, καὶ μετὰ τῶν τετελεσμένων ἔθυεν· ἀλλὰ « καὶ αὐτὸς ὁ λαὸς ὁ συνιὼν, » τουτέστιν, ὁ τὴν ἐκ νόμου σύνεσιν ἔτι σώζειν ὑποκρινόμενος, « συνανεπλέκετο πόρνῃ. » Προσκεκυνήκασι γὰρ, ὡς ἔφην, τῇ Ἀστάρτῃ.

78 *Et populus ille intelligens adhærebat meretrici.*

XLVII. Sermonem ad Judam derivat, hoc est, ad tribum Juda et Benjamin, qui adhuc Jerusalem habitantes, et sacrosanctum altare habentes (stabat enim templum) Moysis præcepta servare, et intelli-

D gentiam legis habere se profitebantur. Verum et ipsi divinis honoribus Astarten, scandalum Sidoniorum coluerunt. Astarten autem esse aiunt apud Græcos, nescio quare, Aphroditen (Venerem) nominatam. Stabat nudum simulacrum, forma scorti, partes illas corporis ab aspectu removendas minime tectas omnium oculis turpiter exhibens. Quamobrem non solum Israel, inquit, quamvis morbo amentiæ affectus maxime, cum meretricibus miscebatur, et cum initiatis sacrificabat ; sed « et ipse populus intelligens, » hoc est, qui prudentiam legalem adhuc præ se ferebat, « meretrici adhærebat. » Adoraverunt enim, ut dixi, Astarten. Salomon enim libidinosæ et

[16] Hebr. XII, 7. [17] Prov. III, 12. [18] Matth. VII, 23. [19] Psal. XXXIII, 16.

Digitized by Google

peregrinæ mulieri gratum faciens, delubrum ei construxit [20].

VERS. 15. *Tu autem, Israel, ne ignores, et Juda, ne ingrediamini in Galgala, et ne ascendatis in domum iniquitatis, et ne juretis viventem Dominum.*

XLVIII. Dixi jam toties, decem tribus in Samaria a prophetis nominari Israel; Judam vero, et nonnunquam Benjamin, duas tribus in Jerusalem, Judæ puta et Benjamin. Loquitur in præsens de ambobus, et utriusque multitudinis morbum increpat. Vide enim quomodo Israelem ut perquam insipientem et mentis inopem, et eapropter etiam desertorem factum vituperet: siquidem insipientiæ crimen reputari æquum est, cultibus idolorum frequentandis delectari, et a charitate in Deum separari. Significat ergo hoc loco, « ne ignores, » ne sis fatuus, neve extrema insipientia plenus. Pudefacit deinde habitantes Jerusalem, nempe Judam, ut simulatorem et impie injuriosum, quod ambobus incedat; imo quod ambobus poplitibus juxta verbum prophetæ claudicet [21]. Fingebat enim studium et amorem religionis erga Deum, et sacrificia legibus instituta celebrabat, sed neutiquam adhuc ad dæmones ipsos adorandos properare desinebat, **79** etsi id non adeo palam, verum occulte et latenter. Quare beatus propheta Ezechiel perfodere parietem jussus est; quo facto vidit omnia idola Israel depicta in parietibus. Et ad ipsum universorum Deus: « Vidisti, fili hominis, quid seniores domus Israel faciant hic? unusquisque eorum in cubiculo abscondito eorum. Quia dixerunt, Dereliquit Dominus, non vidit Dominus terram [22]. » Ait item propheta, se aspexisse mulieres quoque sedentes et plangentes Thammuz, qui Græcorum lingua est Adonis. Perspice igitur, quo pacto, quamvis divinum templum venerabundi obirent, et cultum divinum secundum legem sibi proprium et peculiarem esse simularent, nihilominus clandestine cultibus absurdis et diabolicis, et Deo invisis se dividebant. Quocirca « Tu Israel, » qui omnino deflexisti: de via « ne ignores, » inquit. Id est, abstine ab imperitia; desiste ab hac tam vana et profana voluntate; admitte prudentiam legi et prophetis, sive Christo et Evangelio consentaneam. « Et Juda ne ingredimini in Galgala, et in domum iniquitatis ne ascendite, et ne jurate viventem Dominum. » Haud enim decorum est per Deum jurare, atque in lingua habere viventem Dominum, et interim addictum esse idolis et vitulos inanimos adorare. Constituit quippe Jeroboam unum in Bethel, alterum in Dan [23]. Non sinit igitur pietatem erga Deum fingere per pronuntiationem nominis Domini, et nihilominus ad idololatrias cum ratione pugnantes auferri, in Galgala, et in domum iniquitatis ascendentes. Domum iniquitatis vocat *Bethel*. Quare? redditur enim Bethel *Domus Dei*. Sed domus idoli facta est, cum aliqua injuria et rei et cognominis: domus namque

A Σολομὼν γὰρ αὐτῇ τέμενος ἀνεδείματο, μαχλώσῃ τε καὶ ἀλλοφύλῳ γυναικὶ τὰ κεχαρισμένα πληρῶν.

Σὺ δέ, Ἰσραὴλ, μὴ ἀγνόει, καὶ Ἰούδα, μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα, καὶ μὴ ἀναβαίνετε εἰς τὸν οἶκον τῆς ἀδικίας, καὶ μὴ ὀμνύετε ζῶντα Κύριον.

ΜΗ'. Ἔφην ἤδη πλειστάκις, ὅτι τὰς μὲν δέκα φυλὰς, τὰς ἐν τῇ Σαμαρείᾳ, τῶν προφητῶν οἱ λόγοι καλοῦσιν Ἰσραὴλ· Ἰούδαν γε μὴν καὶ Βενιαμὶν ἔσθ' ὅτε τὰς ἐν τοῖς Ἱεροσολύμοις δύο φυλὰς, τὴν τοῦ Ἰούδα, φημὶ, καὶ τοῦ Βενιαμίν. Γέγονε τοίνυν περὶ ἀμφοῖν εἰς τὸ παρὸν ὁ λόγος, καὶ τὴν ἑκατέρας πληθύος ἀπελέγχει νόσον. Θέα γὰρ ὅπως κατονειδίζει τὸν Ἰσραὴλ, ὡς ἀσύνετον κομιδῇ, καὶ ὀλιγογνώμονα, ταύτητοι γεγονότα καὶ ἀποστάτην. Εἴπερ ἀσυνεσίας B ἔγκλημα νοοῖτ' ἂν εἰκότως, τὸ ταῖς τῶν εἰδώλων λατρείαις προσκεῖσθαι φιλεῖν, καὶ τῆς εἰς Θεὸν ἀγάπης ἀπονοσφίζεσθαι. Σημαίνει δὴ οὖν ἐνθάδε τὸ, « μὴ ἀγνόει, » τὸ, μὴ ἔσο μωρὸς, μηδὲ τῆς εἰς λῆξιν ἠκούσης ἀσυνεσίας ἔμπλεως. Ἐντρέπει δὲ πάλιν καὶ τοὺς ἐν τοῖς Ἱεροσολύμοις, τουτέστι τὸν Ἰούδαν, ὡς ὑποκριτὴν, καὶ ἀνοσίως ὑβρίζοντα, διά γε τοῦ βαίνειν ἐπ' ἄμφω, μᾶλλον δὲ χωλεύειν ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ἐπλάττετο μὲν γὰρ ἐπιτηδεύειν τε καὶ ἀγαπᾶν τὴν εἰς Θεὸν εὐσέβειαν, καὶ τὰς κατὰ νόμον θυσίας ἐτέλει· ἀπῄλακτο δὲ οὐδαμῶς τοῦ καὶ αὐτοῖς ἐπείγεσθαι τοῖς δαιμονίοις προσκυνεῖν, εἰ καὶ μὴ λίαν ἀναφανδὸν, ἀλλ' οὖν κεκρυμμένως καὶ λεληθότως. Καὶ γοῦν ὁ μακάριος προφήτης Ἰεζεχιὴλ ὀρύττειν ἐν τῷ τοίχῳ C προσετάττετο. Εἶτα τεθέαται πάντα τὰ εἴδωλα οἴκου Ἰσραὴλ διαγεγραμμένα ἐπὶ τῶν τοίχων. Καὶ πρὸς αὐτὸν ὁ τῶν ὅλων Θεός· « Ἑώρακας, υἱὲ ἀνθρώπου, ἃ οἱ πρεσβύτεροι οἴκου Ἰσραὴλ ποιοῦσιν ὧδε; ἕκαστος ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ αὐτῶν. Διότι εἶπαν· Ἐγκαταλέλοιπε Κύριος, οὐκ ἐφορᾷ Κύριος τὴν γῆν. » Τεθεᾶσθαι δέ φησιν ὁ προφήτης καὶ γυναῖκας καθημένας, καὶ θρηνούσας τὸν Θαμμοὺζ, ὃς ἐστιν Ἄδωνις τῇ Ἑλλήνων φωνῇ. Ἆθρει δὴ οὖν, ὅπως καίτοι τὸν θεῖον περιέποντες ναὸν, καὶ τῆς κατὰ νόμον λατρείας μεταποιεῖσθαι προσποιούμενοι, λεληθότως κατεμερίζοντο πρὸς λατρείας τὰς ἀλλοκότους καὶ δαιμονιώδεις, καὶ Θεῷ κατεστυγημένας. Οὐκοῦν· « Σὺ μὲν Ἰσραὴλ, » ὁλοτρόπως ἐκκεκλικὼς, « μὴ μάγνοει, » φησὶ, τουτέστιν ἀπόσχου τῆς ἀμαθίας, κατάλιγε τῆς D οὕτως εἰκαίας καὶ βεβήλου γνώμης, δέξαι σύνεσιν τὴν διὰ νόμου καὶ προφητῶν, ἤτοι τὴν διὰ Χριστοῦ καὶ εὐαγγελικήν. « Καὶ Ἰούδα, μὴ εἰσπορεύεσθε εἰς Γάλγαλα, καὶ εἰς τὸν οἶκον τῆς ἀδικίας μὴ ἀναβαίνετε, καὶ μὴ ὀμνύετε ζῶντα Κύριον. » Καὶ γάρ ἐστι τῶν ἀτόπων, ὅρκιον μὲν ποιεῖσθαι Θεὸν, καὶ ἐπὶ γλώττης ἔχειν τὸν ζῶντα Κύριον, προσκεῖσθαι δὲ τῷ καὶ εἰδώλοις καὶ ἀψύχοις δαμάλεσιν ἐλέσθαι προσκυνεῖν. Ἀπέθετο γὰρ Ἱεροβοὰμ, τὴν μίαν εἰς Βαιθὴλ, τὴν ἑτέραν εἰς Δάν. Οὐκ ἐᾷ τοιγαροῦν ὑποκρίνεσθαι μὲν τὴν εἰς Θεὸν εὐσέβειαν, διὰ τοῦ τὸν Κύριον ὀμνύειν, κατακομίζεσθαι δὲ πρὸς ἐκτόπους ψευδολα-

[20] III Reg. xi, 5. [21] III Reg. xviii, 21. [22] Ezech. viii, 12. [23] III Reg. xii, 29.

Digitized by Google

τρείας, ἀναβαίνοντας εἰς Γάλγαλα, καὶ εἰς τὸν οἶκον τῆς ἀδικίας. Οἶκον δὲ ἀδικίας ὀνομάζει τὴν Βαιθήλ. Διὰ ποίαν αἰτίαν; διερμηνεύεται μὲν γὰρ ἡ Βαιθὴλ οἶκος Θεοῦ. Ἀλλ' οἶκος εἰδώλου γέγονεν, ἀδικηθέντων τρόπον τινὰ, καὶ τοῦ πράγματος, καὶ αὐτῆς δὲ τῆς ἐπωνυμίας· οἶκος γὰρ, ὡς ἔφην, εἰδώλου γέγονεν ὁ οἶκος τοῦ Θεοῦ. Καὶ γοῦν ἔφη που διὰ τῆς Ἱερεμίου ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; » Φαίη δ' ἂν εἰκότως ὁ τῶν ὅλων Θεὸς, ἐπί γε τῆς ἐξ Ἰούδα καὶ Βενιαμὶν· « Ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐμοῦ. »

A Dei domus idoli evasit, ut dixi. Itaque alicubi per os Jeremiæ de populo Israel ait: « Quid dilecta in domo mea fecit abominationem [26]? » Dixerit porro jure universorum Deus super iis qui sunt de tribu Juda et Benjamin: « Appropinquat mihi populus hic labiis, cor autem eorum longe est a me [28]. »

Διότι ὡς δάμαλις παροιστρῶσα, οὕτως παροίστρησεν Ἰσραήλ. Καὶ νῦν νεμήσει αὐτοὺς Κύριος ὡς ἀμνὸν ἐν εὐρυχώρῳ.

Vers. 16. *Quoniam sicut vacca œstro concitatus est Israel. Nunc pascet eos Dominus ut agnum in spatioso.*

ΜΘ'. Σοφῶς τις ἡμᾶς τῶν ἁγίων ἐπὶ τὴν τοῦ συμφέροντος θήραν ἀποκομίζει, λέγων· « Υἱὲ, μὴ ζηλούτω σου ἡ καρδία ἁμαρτωλοὺς, ὀλλ' ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν. » Οὓς γὰρ ἄν τις καταψέξειε, πῶς ἂν ἕλοιτο ζηλοῦν; τοιοῦτόν τι τῷ Ἰούδᾳ φησὶν ὁ τῶν ὅλων Θεός. Μὴ γάρ σοι γενέσθω πρόφασις εἰς ἀπόστασιν τὸ παροιστρῆσαι τὸν Ἰσραὴλ, καὶ οἱονεὶ τῆς ἀγέλης ἀποδραμεῖν, ἐν ἴσῳ δαμάλεσιν, αἷς εἴπερ οἶστρος ἐνιζήσειεν, ἤτοι βούτυπος (εἶδος δὲ τοῦτο ἐμπίδος, δακνούσης οὐφορητῶς), ἀποφέρει τῆς ἀγέλης, καὶ ὀξεῖ φέρεσθαι δρόμῳ παρασκευάζει λοιπὸν, ὅποιπερ ἂν τύχῃ. Ἢ οὐχὶ τοῦτο πεπονθότα τὸν Ἰσραὴλ εὑρήσομεν; Ἀπεφοίτησε μὲν γὰρ τῶν Ἱεροσολύμων, καὶ τὸν ἑαυτοῦ αἰπόλον ἀφεὶς, τουτέστι Θεὸν, δεινὴν καὶ ἐπάρατον ἐποιήσατο τὴν ἀπόστασιν. Μὴ ζηλώσῃς τοιγαροῦν, ὦ Ἰούδα, φησὶ· εἰ γὰρ καὶ ἐν ἴσῳ δαμάλεσι παροιστρήσας ὁ Ἰσραὴλ ὥρμητο πρὸς ἀπόστασιν, ἀλλ' οὐκ ἀζήμιον ἔσται τὸ ἐγχείρημα αὐτῷ. Ἀπελεύσεται γὰρ αἰχμάλωτος, καὶ τὴν ἐνεγκοῦσαν ἀφεὶς, τὴν Περσῶν καὶ Μήδων νεμηθήσεται. Οὐκέτι θρασὺς, καὶ οἱονείπως ἐξήνιος, καὶ ἀτιμαγέλης (τοιαύτη γὰρ ἀείπως ἐστὶν ἡ παροιστρῶσα δάμαλις), ἀλλ' ἐν ἴσῳ γεγονὼς τοῖς ἡμιωτάτοις ἀμνοῖς. Ταπεινὸν γὰρ ἀεὶ καὶ περιδεὲς τῶν αἰχμαλώτων τὸ χρῆμα, καὶ τῆς τοῦ πάσχειν κακῶς ἐλπίδος οὐ μακρὰν, καὶ τῇ τῶν κρατούντων πλεονεξίᾳ κατηχθημένον. Εὐρύχωρον δὲ τὴν Περσῶν τε καὶ Μήδων ὀνομάζει γῆν, μονονουχὶ τοιοῦτόν τι λέγων· Εἰς πλατεῖαν καὶ ἀκατάληκτον νεμηθήσεται γῆν, καὶ πολλὰς ἀμείψει χωρίας, οὐ τὸν αὐτὸν ἔχων ἀεὶ δεσπότην, ἀλλὰ πρὸς τὴν τοῦ δεχομένου μετανιστάμενος. Πάθοι δ' ἂν τοῦτο αὐτὸ καὶ ἀνθρώπου ψυχὴ, τῆς πρὸς τὸν Θεὸν ἀγάπης ὀλιγωρήσασα. Περιενεχθήσεται γὰρ εἰς πᾶν ὁτιοῦν τῶν τοῖς δαιμονίοις ἠγαπημένων. Αἰχμάλωτος, καὶ δειλὴ, καὶ Θεοῦ· « Παιδεύσει σε ἡ ἀποστασία σου, καὶ ἡ κακία σου ἐλέγξει σε. »

B XLIX. Sapienter quidam sanctorum ad persequendam utilitatem nostram nos deducit, **80** cum ait: « Fili, non æmuletur cor tuum peccatores, sed in timore Domini esto tota die [16]. » Quos enim quis culpaverit, quomodo imitari cupiat? Tale quiddam ad Juda universorum Deus: Ne te ad defectionem sollicitet, inquit, quod Israel œstro exagitatus est, et tanquam vaccæ, quibus tabanum, aut βούτυπος cum insedit (species est culicis, intolerabiliter mordentis), ab armento separat, atque ad celerem cursum qua via datur incitat. An non istud Israeli contigisse constat? Discessit enim Hierosolyma, et, pastore suo relicto, hoc est Deo, tetram ac detestandam apostasin designavit. Ne igitur æmuleris, o Juda, inquit. Quamvis enim instar vaccæ œstro percitus Israel ad defectionem profugit, tamen facinus audax non impune admiserit. Migrabit namque captivus et extorris patria, Persarum ac Medorum terras habitabit, non amplius audax et effrenis quodammodo, et a grege se disjungens (talis enim semper est vacca œstro stimulata), sed similis erit agnis mansuetissimis. Semper enim captivi humiles, et meticulosi, et ab incommodorum perpetiendorum timore haud procul absunt, et dominorum imperiis onerantur. Spatiosam autem Persarum Medorumque regionem appellat, propemodum hujusmodi quidpiam dicens: In terra lata et immensa habitabit, et multas regiones cum dominis mutabit. Quoc contingere potest etiam animæ quæ charitatem erga Deum neglexit; circumagetur enim quocunque tandem dæmonibus collibuerit captiva, misera et imbellis. Atque insuper jure audiet a Deo: « Eruditet te apostasia tua, et malitia tua te redarguet [27]. »

C

D

Μέτοχος εἰδώλων Ἐφραὶμ ἔθηκεν ἑαυτῷ σκάνδαλα, ᾑρέτιζε Χαναναίους. Πορευόντες ἐξεπόρνευσαν, ἠγάπησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῶν. Συστροφὴ πνεύματος σὺ εἶ ἐν ταῖς πτέρυξιν αὐτῆς, καὶ καταισχυνθήσονται ἐκ τῶν θυσιαστηρίων αὐτῶν.

Vers. 17-19. *Particeps idolorum Ephraim posuit sibi scandala, et elegit Chananæos. Fornicantes fornicati sunt, et dilexerunt ignominiam ex fremitu eorum. Turbo spiritus tu es in alis ejus, et confundentur ex altaribus suis.*

Ν'. Ἔτι τῷ προφήτῃ πρὸς τὸν Ἰούδαν ὁ λόγος, ὑποπλαττόμενον μὲν, ὡς ἔφην, τὸ μεταποιεῖσθαι

L. Adhuc propheta Judam alloquitur, simulantem, ut dixi, se legem ut propriam sibi capessere, et

[26] Jer. xi, 15. [28] Isa. xxix, 13. [16] Prov. xxiii, 17. [27] Prov. vi, 12.

Digitized by Google

pietatis erga Deum rationem non vulgarem ducere, cum interea clam a colendis dæmonum simulacris haud abhorreret. **81** Ergo, quod sequebatur, « idolorum particeps factus est Ephraim, » hoc est, Israel; sic enim nominatur a tribu quæ apud se rerum potiebatur, Jeroboami, inquam, de monte et tribu Ephraim oriundi. Et quemadmodum Judam vocat eam quæ erat Hierosolymis, regnanti tribui appellationem suam servans; sic et in Israel cum nominat Ephraim, a tribu, penes quam regnum erat, nominat. Particeps igitur factus est idolorum Ephraim, inquit. Adoravit enim Ægyptiorum numen, nimirum Apim, sive vitulum, quem illi pro Deo colebant. Fuit nihilominus particeps impietatis et summæ dementiæ Chananæorum, qui tam turpe idolum, Beelphegor scilicet, colere et adorare voluerunt. Verum hoc facto Ephraim imposuit sibi scandala. Opiferum enim et datorem Deum violavit. « Elegit Chananæos, » pro, ipsorum consuetudines et ritus electione et imitatione dignos censuit. Erant hi confines Judæorum, homines scelerati et idololatræ. Insuper « Fornicantes fornicati sunt, » Israelitæ, sine dubio, quia immoderate et plane inconvenienter fornicationi, spirituali scilicet, studuerunt, et sacrilega apostasia sua ad turpitudinem descenderunt. « Dilexerunt vero etiam ignominiam ex fremitibus eorum, » hoc est, ex grandi fastu et jactantia, propter Deum, et gloriam quam ab ipso capiebant. Itaque compressis spiritibus pristinis inhonori et abjecti, miserabiles et omnium pedibus protriti revera evaserunt. Non enim de cætero vocabuntur liberi; sed potius in contumeliam et ignominiam vadent, et sub dominis tyrannis erunt. Verum licet his omnibus simul stolidissima multitudo Ephraim subjecta sit, tamen tu, Juda, illi fuisti veluti quidam turbo spiritu in alis volucris. Norunt omnes volatilia vento vehementi ea impellente, et tantum non cogente, procul dubio volare celerius. Ergo prolapsus est Israel, deflexitque ad apostasin. Tu vero fuisti ei « turbo spiritus in alis. » Quomodo, aut qua ratione? Postquam enim vidit te, qui esses in lege institutus, divinum templum assiduo trivisses, sacra legibus mandata peregisses, jam inertem ac supinum iisdemque peccatis illigatum, maturius descivit. Verumtamen in dedecus, et pudorem, et ignominiam suam inveniet altaria sua.

τοῦ νόμου, καὶ τὴν εἰς Θεὸν εὐσέβειαν οὐκ ἐν μικρῷ ποιεῖσθαι λόγῳ, διανενευκότα δὲ λελῃθότως ἐπὶ τὸ χρῆναι τιμᾷν τὰ τῶν δαιμονίων ἐνδάλματα. Οὐκοῦν, « Γέγονε, » φησὶν, ὁμολογουμένως « μέτοχος εἰδώλων Ἐφραΐμ, » τουτέστιν, ὁ Ἰσραήλ. Ὀνόμασται δὲ οὕτως ἀπὸ τῆς παρ' αὐτῷ κρατούσης φυλῆς, φημὶ δὴ, τῆς τοῦ Ἱεροβοάμ· ἦν γὰρ ἐξ ὄρους καὶ φυλῆς Ἐφραΐμ. Καὶ ὥσπερ Ἰούδαν τὴν ἐν τοῖς Ἱεροσολύμοις ἀποκαλεῖ, τῇ βασιλευούσῃ φυλῇ τὴν κλῆσιν τετηρηκὼς, οὕτως καὶ ἐπὶ τοῦ Ἰσραὴλ, ὅταν ὀνομάζῃ τὸν Ἐφραΐμ, ἀπὸ τῆς βασιλευούσης φυλῆς ποιεῖται τὴν ὀνομασίαν. Μετέσχε δὴ οὖν ὁ Ἐφραΐμ εἰδώλων, φησί. Προσκεκύνηκε γὰρ τῷ Αἰγυπτίων σεβάσματι, Ἄπις δὲ ἦν, ἤτοι δάμαλις τὸ ἐκείνων σέβας. Μετέσχε δὲ οὐδὲν ἧττον καὶ τῆς τῶν Χαναναίων ἀνοσιότητος καὶ ἀμέτρου φρενοβλαβείας, οἳ τὸ αἰσχρὸν οὕτως εἴδωλον περιέπειν τε καὶ προσκυνεῖν ἐγνώκασι, τὸν Βεελφεγώρ. Ἀλλὰ τοῦτο δεδρακὼς ὁ Ἐφραΐμ, « Ἔθηκεν ἑαυτῷ σκάνδαλα. » Προσκέκρουκε γὰρ τῷ καὶ ἐπαμύνοντι, καὶ διασώζειν δυναμένῳ Θεῷ. « Ἠρέτισε Χαναναίους, » ἀντὶ τοῦ, Αἱρετὰ καὶ ἀξιόληπτα πεποίηται τὰ Χαναναίων ἔθη· ὅμοροι δὲ οὗτοι τῆς Ἰουδαίων χώρας, δυσσεβεῖς καὶ εἰδωλολάτραι. Καὶ πρός γε δὴ τούτοις, « Πορνεύοντες ἐξεπόρνευσαν » οἱ ἐξ Ἰσραήλ. Δῆλον δὲ, ὅτι διά τοι τὸ πέρα μέτρου, καὶ τοῦ εἰκότως ἐπέκεινα τὴν νοητὴν ἐπιτηδεῦσαι πορνείαν, καὶ εἰς λῆξιν αἰσχρότητος τῆς ἀποστασίας αὐτοῖς ἔρχεσθαι τὰ ἐγκλήματα. « Ἠγαπήκασι δὲ καὶ τὴν ἀτιμίαν ἐκ φρυαγμάτων αὐτῶν, » τουτέστιν, ἐξ ὑψηλῶν αὐχημάτων, ἅπερ εἶχον, ἐπὶ Θεῷ καὶ δόξῃ τῇ παρ' αὐτοῦ. Οὐκοῦν ἄτιμοι καὶ κατερριμμένοι, οἰκτροὶ καὶ πεπατημένοι γεγόνασιν ἀληθῶς, τῶν ἀρχαίων φρυαγμάτων ἀπολισθήσαντες· κεκλήσονται γὰρ ἐλεύθεροι μὲν οὐκέτι· βαδιοῦνται δὲ μᾶλλον εἰς ὕβριν καὶ ἀτιμίαν, καὶ ὑπὸ πικροῖς ἔσονται δεσπόταις. Ἀλλ' εἰ καὶ τούτοις ἅπασι, φησὶν, ἡ ἀνουστάτη τοῦ Ἐφραΐμ ὑπηνέχθη πληθύς· ἀλλ', ὦ Ἰούδα, σὺ γέγονας αὐτῇ οἷά τις πνεύματος συστροφὴ, ἐν πτέρυξι πετεινοῦ. Ἔστι δὲ παντί που δῆλον, ὅτι πάντη τε καὶ πάντως τὰ διιπτάμενα, πνεύματος αὐτὰ προσωθοῦντος βιαίου, μονονουχὶ καὶ ἐπαναγκάζοντος, ὀξυτέραν τότε ποιεῖται τὴν πτῆσιν. Οὐκοῦν ἐξώκειλε μὲν ὁ Ἰσραὴλ ἀπονενευκὼς εἰς ἀπόστασιν. Σὺ δὲ γέγονας αὐτῷ « Συστροφὴ πνεύματος ἐν ταῖς πτέρυξι. » Πῶς, ἢ τίνα τρόπον; Ἐπειδὴ γὰρ σὲ τεθέαται τὸν τῷ νόμῳ παιδαγωγούμενον, τὸν θείῳ προσιζήσαντα ναῷ, καὶ τὰς κατὰ νόμον τελοῦντα θυσίας, ῥᾳθυμοῦντα, καὶ τοῖς ἴσοις πλημμελήμασιν ἐνεχόμενον, ὀξυτέραν ἐποιήσατο τὴν ἀποδρομήν. Πλὴν εἰς αἰσχύνην εὑρήσουσι, καὶ ἐντροπῆς καὶ ἀτιμίας πρόξενα τὰ θυσιαστήρια αὐτῶν.

82 Itaque quoniam qui videmur stare, ad honestam vitam et nulli reprehensioni affinem obligati, segnes et ignavi in hoc invenimur; imo, similiter ut alii, Dei beneplacitum aspernati, non solum in nos ipsos iniqui erimus, sed una nobiscum perditis etiam aliis, duplex supplicium sustinebimus. Nam cum seductis et improbe viventibus ad imaginem et formam virtutis propositi esse debebamus, occasio scandali facti sumus. Quid ad hæc Christus? « Qui scandalizaverit unum de pusillis istis, qui in

Οὐκοῦν, ὅταν οἱ δοκοῦντες ἑστάναι, καλῶς τε καὶ ἀνεπιλήκτως ὀφείλοντες ζῆν, νωθροί τε καὶ ῥᾳθυμοι περὶ τοῦτο εὑρισκόμεθα· μᾶλλον δὲ καὶ ἐν ἴσῳ τοῖς ἄλλοις ἀθετεῖν ἠρημένοι τὸ ἀνδάνον τῷ Θεῷ, οὐχὶ μόνους ἑαυτοὺς ἀδικήσομεν, προσαπολλύντες δὲ καὶ ἑτέρους, διπλῆν ὑπομενοῦμεν τὴν κόλασιν. Δέον γὰρ προκεῖσθαι τοῖς πεπλανημένοις, καὶ ζῆν οὐκ ἐθέλουσιν ὀρθῶς, εἰς εἰκόνα καὶ ὑποτύπωσιν ἀρετῆς, καὶ σκανδάλου γεγόναμεν ἀφορμή. Τί οὖν ὁ Χριστός; « Ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόν-

Digitized by Google

των εἰς ἐμὲ, φησὶ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. »

me credunt, expedit ei ut suspendatur mola asinaria in collo ejus, et demergatur in profundum maris [18]. »

ΚΕΦΑΛ. Ε'.

Ἀκούσατε ταῦτα, οἱ ἱερεῖς, καὶ προσέχετε, οἶκος Ἰσραὴλ, καὶ οἶκος τοῦ βασιλέως, ἐνωτίζεσθε, διότι πρὸς ὑμᾶς ἐστι τὸ κρῖμα, ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον, ὃ οἱ ἀγρεύοντες τὴν θήραν, κατέπηξαν.

CAP. V.

VERS. 1. 2. *Audite hæc, sacerdotes, et attendite, domus Israel, et domus regis, auribus percipite, quia ad vos est judicium, quoniam laqueus facti estis speculationi, et sicut rete expansum super Itabyrium, quod qui capiant venationem, depanxerunt.*

ΝΑ'. Προκατηγτιάσατο τὸν Ἰούδαν, ὡς πνεύματος συστροφὴν γεγονότα τῷ Ἰσραὴλ, κατὰ γέ τὸν ἀρτίως ἡμῖν προειρημένον τρόπον. Μεθίστησι δὲ λοιπὸν τὸν τῆς ἐπιπλήξεως λόγον ἐπὶ τοὺς τῆς ἀπάτης καὶ τῆς πλάνης εὑρετὰς, καὶ τὴν τῆς ἀποπληξίας αὐτοῖς προξενήσαντας νόσον. Οὗτοι δὲ ἦσαν οἱ ἱερεῖς οἱ ψευδώνυμοι, καὶ οὐκ ἐξ αἵματος τοῦ Λευΐ, ἀλλ' ὠνητὴν ἔχοντες τὴν ἱερωσύνην, καὶ χρήμασιν ἐκπριάμενοι τὸ δεῖν εἰδώλοις ἱερουργεῖν. Γέγραπται γὰρ περὶ τοῦ Ἱεροβοὰμ, ὅτι « Ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ ἐγίνετο ἱερεὺς τῶν ὑψηλῶν. » Ἔρπει δὴ οὖν εἰκότως ὁ λόγος ἐπ' αὐτούς τε τοὺς ἱερουργοὺς, καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως, συμπεριειλημμένου ταῖς αἰτίαις καὶ αὐτοῦ τοῦ Ἰσραὴλ. Οἱ μὲν γὰρ τὰ πρὸς σύστασιν τῆς εἰδωλολατρίας ἐφασκόν τε καὶ ἔδρων, βωμοὺς ἀνιστάντες, σπονδὰς καὶ θυσίας προσάγοντες, καὶ τὴν τῆς ἀπωλείας τοῖς ἀπατωμένοις κατευρύνοντες τρίβον. Εὑρεταὶ δὲ τῆς πλάνης, οἱ βασιλεῖς. Τοιγάρτοι φησὶ πρὸς αὐτοὺς, ὅτι « Παγὶς ἐγενήθητε τῇ σκοπιᾷ. » Σκοπιὰν δὲ λέγει τὴν ὑπό γε τῶν ἱερέων, εἴπερ ἦσαν ὄντως ἱερεῖς, καὶ ὑπ' αὐτῶν δὲ τῶν ἡγουμένων περισκοπουμένην πληθύν· Ἐφορῶσι γὰρ αὐτοὶ τὸ ὑπήκοον· ἢ καὶ ἀφορῶνται παρὰ τῶν ὑπὸ χεῖρα, καὶ ὅποιπερ ἂν τοῖς κρατοῦσι δόξειε, παρατρέπουσι τὸ ὑπήκοον· ἕπεται δὲ τοῖς τῶν ἡγουμένων θελήμασι τὸ ὑπεζευγμένον. Γεγόνατε τοίνυν, φησὶν, ὡς παγὶς τῇ ὑφ' ὑμῶν ἐπισκοπουμένῃ πληθύϊ, ἤτοι τῇ εἰς ὑμᾶς ἀφορώσῃ τυχόν. « Γεγόνατε δὲ καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον. » Ὄρος δὲ τοῦτο περιφανέστατον, ἐν τῇ Γαλιλαίᾳ κείμενον, θηρίων τε καὶ πτηνῶν, διὰ τὸ ἦρθαί τε ὑψοῦ, καὶ πλείστην τε ὅσην καὶ ἀμφιλαφῆ τὴν ἄγραν ἔχον καταδασύνεσθαι σφόδρα δρυμοῖς τε καὶ λόχμαις.

LI. Accusavit antea Judam, ut turbinem spiritus factum Israeli, juxta rationem a nobis modo explicatam. Deinceps verba objurgationis ad fallaciæ et deceptionis inventores, et ad morbi et amentiæ hujus auctores convertit. Hi erant sacerdotes ementito nomine, nec de sanguine Levi; et, ut possent idolis sacrificare, sacerdotium pretio sibi comparaverant. Scriptum est enim de Jeroboam : « Quicunque volebat, implebat manum suam, et fiebat sacerdos excelsorum [19]. » Jure igitur sermo procedit ad sacerdotes ipsos et ad domum regis; et Israel ipse simul accusatur. Illi enim quæ ad idololatriam constituendam pertinerent et dicebant et faciebant, aras erigentes, libamina et victimas offerentes, et perditionis viam seductis dilatantes. Architecti autem erroris erant reges. Proinde ad illos ait : « Laquei facti estis speculationi. » Speculationem vocat sub sacerdotibus (qui quidem erant veri sacerdotes), et sub ipsis principibus speculationem, seu curam populi. Speculantur enim ipsi, et inspiciunt subditos; aut etiam inspiciuntur a subditis, et quo dominis visum fuerit, eo subditos avertunt, **83** qui voluntatem principum sequuntur. Fuistis igitur, inquit, ut laqueus multitudini quam speculamini, aut fortasse quæ vos speculatur, « et fuistis ut rete expansum super Itabyrium, » qui est mons Galilææ nobilissimus, ferarum aviumque venatu longe ditissimus propter celsitudinem, arboribus ac fruticibus densissimus.

Ἐγὼ δὲ παιδευτὴς ὑμῶν, ἐγὼ ἔγνων τὸν Ἐφραὶμ, καὶ Ἰσραὴλ οὐκ ἀπέστη ἀπ' ἐμοῦ.

VERS. 3. *Ego vero eruditor vester, ego cognovi Ephraim, et Israel non recessit a me.*

ΝΒ'. Οἱ μὲν οὖν ἱερεῖς, καὶ μὴν καὶ οἱ ἐξ αἵματος βασιλικοῦ, λίνον, καὶ πάγη, καὶ θήρα γεγόνασι τοῖς λαοῖς, θυμιᾷν τοῖς δαίμοσιν ἐπιτάττοντες, καὶ πρό γε τῶν ἄλλων δρῶντες αὐτοὶ, καὶ φρονεῖν ἀναπείθοντες ἃ μὴ θέμις, καὶ τοῖς ἀνοσίως ἐξηυρημένοις πλάνης ἑτέρους προσεπάγοντες τρόπους, τὰ ὑψηλὰ, φημὶ, τὸν Βεελφεγὼρ, τὸ τῶν Σιδωνίων βδέλυγμα, τὸν Βάαλ, τὸν Χαμώς. Ἔσεσθαι δὲ αὐτῶν παιδευτὴς αὐτὸς, καὶ οὐκ εἰς μακρὰν, ἐπαγγέλλεται, ὡς ὅσον οὐδέπω τὰ ἐκ θυμοῦ καὶ ὀργῆς ἐπιθήσων κακά. Ἔχει δὲ τὸ ἀτρεκὲς ὁ λόγος. Οἱ μὲν γὰρ ἐξ οἴκου τοῦ βασιλικοῦ δειναῖς καὶ ἀφύκτοις ἐνισχημένοι συμφοραῖς, οἱ μὲν διολώλασι, κατά γε τὴν πίστιν τῶν ἱερῶν

LII. Sacerdotes igitur, atque etiam regio sanguine prognati rete, et laqueus, et venatio populo facti sunt, incensum dæmonibus adolere jubentes, et ante alios ipsi et facientes, et sentire suadentes nefaria, et aliorum impia inventa : excelsa, inquam, Beelphegor, abominationem Sidoniorum, Baal, Chamos novis rationibus seductionis amplificantes. Fore autem se eorum eruditorem, nec ita multo post, pollicetur, ut mox pro furore et ira sua pœnis eos prosecuturus. Et verus est sermo. Nam qui erant de domo regia, atrocibus et inevitabilibus malis constricti, alii perierunt, juxta narrationem sanctarum Litterarum; alii abierunt, Babyloniorum Medorumque tyrannidem

[18] Matth. XVIII, 6. [19] III Reg. XIII, 33.

Digitized by Google

perlaturi. Occisi sunt autem misere, imo juste, pseudosacerdotes, et pecunia gradum hunc adepti, alii a Jehu, alii a Josia, qui fuit ex tribu Juda sive David [30]. Atque hoc vir Dei, sacrificante aliquando Jeroboam et stante ad altare, vaticinatus est, his verbis : « Altare, altare, hæc dicit Dominus: Ecce nascitur filius in domo David, Josias nomen ejus, et ponet super te sacerdotes excelsorum, sacrificantes super te [31]. » Itaque comminatus est se castigaturum in furore et ira speculationi laqueum factos, sacerdotes, inquam, et sanguine regio procreatos. Neutiquam vero inaccusatum dimittit eum qui deceptus est, puta Israelem. Idcirco, inquit, « ego cognovi Ephraim, et Israel non recessit a me. » Ac si dicat : Quis est iste qui celat me consilium, continens verba in corde, et me putat posse latere ? « Cognovi enim Ephraim, » inquit, « et non recessi ab Israel ; » — « Deus enim appropinquans ego sum, et non Deus de longe. Si abscondetur homo in occultis, et ego non videbo eum [32] ? » Et iterum : « Non a me abscondetur quidpiam [33] ? »

84 VERS. 4. *Quia nunc fornicatus est Ephraim, et contaminatus est Israel, non dederunt cogitationes suas, ut revertantur ad Deum, quia spiritus fornicationis est in ipsis, Dominum vero non cognoverunt.*

LIII. Quoniam enim renes et corda intuetur universorum Deus et prorsus nihil est illi inaspectabile [34], cognovit fornicatum esse, et ad fastigium improbitatis pervenisse Israel, sive Ephraim. Verumtamen nec ad punctum temporis pœnitentiæ cogitationem saltem suscepit, quod a spiritu fornicario esset occupatus, verumque Dominum quærere nollet. Verum est igitur quod ait Salvator : « Nemo potest duobus dominis servire [35]. »

VERS. 5. *Et humiliabitur injuria Israel in faciem ejus. Et Israel, et Ephraim infirmabuntur in iniquitatibus suis ; et infirmabitur quoque Judas cum eis.*

LIV. Injuriam hic appellat detestandam superbiam : est enim injuriosus superbus. Humiliatum ergo iri superbiam Israelis inquit, ubi illa passus fuerit, et meritissimo, quæ et humilem illum, et miserandum, et abjectum, et materia de Deo gloriandi destitutum, supernaque et patria libertate spoliatum reddent. In faciem porro ejus injuriam reversuram, intelligendum est omne genus ignominiæ quodammodo simile fore plagis in facie acceptis. Et ait infirmandos simul cum Juda Israelitas. Nam Syriæ et Persarum reges in Samariam hostiliter grassati, non siverunt immunem esse Judam : Israelis quippe urbibus etiam nonnullas ad tribum Juda et Benjamin pertinentes addiderunt. Universam autem calamitatem citra dubita-

Γραμμάτων· οἱ δὲ ἀπῴχοντο, ταῖς Βαβυλωνίων καὶ Μήδων πλεονεξίαις ὑποκεισόμενοι. Ἀποτεθνήκασι δὲ ἀθλίως, μᾶλλον δὲ ὁσίως, οἱ ψευδώνυμοί τε καὶ χρήμασιν ἱερεῖς, οἱ μὲν ὑπὸ Ἰηοὺ, οἱ δὲ ὑπὸ Ἰωσίου, γεγονότος ἐκ φυλῆς Ἰούδα, ἤτοι Δαβίδ. Τοῦτο ὁ ἄνθρωπος τοῦ Θεοῦ, θύοντός ποτε τοῦ Ἱεροβοὰμ καὶ ἐφεστηκότος τῷ θυσιαστηρίῳ, προεφήτευσε, λέγων· « Θυσιαστήριον, θυσιαστήριον, τάδε λέγει Κύριος· Ἰδοὺ υἱὸς τίκτεται ἐν οἴκῳ Δαβίδ, Ἰωσίας ὄνομα αὐτῷ· καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν, τοὺς ἐπιθύοντας ἐπὶ σοί. » Οὐκοῦν ἐπηπείλησε παιδεύσειν ἐν θυμῷ καὶ ὀργῇ τοὺς τῇ σκοπιᾷ πάγην γεγονότας, ἱερέας τε φημὶ, καὶ τοὺς ἐξ αἵματος βασιλικοῦ. Ἀκαταιτίατον δὲ οὐδαμῶς τὸν ἠπατημένον ἠφίει, τουτέστι, τὸν Ἰσραήλ. Ταύτητοί φήσιν· « Ἔγνων τὸν Ἐφραΐμ, καὶ Ἰσραὴλ οὐκ ἀπέστιν ἀπ' ἐμοῦ. » Ἴσον δὴ τοῦτο ἐκείνῳ· Τίς οὗτος, ὁ κρύπτων με βουλὴν, συνέχων ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; Ἔγνωκα γὰρ τὸν Ἐφραΐμ, φησὶ, καὶ οὐκ ἀφέστηκα τοῦ Ἰσραήλ. « Θεὸς γὰρ ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόρρωθεν. Εἰ κρυβήσεται ἄνθρωπος ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; » Καὶ πάλιν, « Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι; »

Διότι νῦν ἐξεπόρνευσεν Ἐφραΐμ, ἐμιάνθη Ἰσραὴλ, οὐκ ἔδωκαν τὰ διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς τὸν Θεὸν αὐτῶν, ὅτι πνεῦμα πορνείας ἐν αὐτοῖς ἐστι, τὸν δὲ Κύριον οὐκ ἐπέγνωσαν.

ΝΓ'. Ἐπειδὴ γὰρ εἰς νεφροὺς ὁρᾷ καὶ καρδίας ὁ τῶν ὅλων Θεὸς, ἄποπτον δὲ αὐτῷ παντελῶς οὐδὲν, ἔγνωκεν, ὅτι πεπόρνευκε μὲν, καὶ εἰς ἄκρον ἦκε φαυλότητος ὁ Ἰσραὴλ, ἤγουν ὁ Ἐφραΐμ· πλὴν οὐδ', ὅσον εἰπεῖν, εἰς νοῦν καὶ καρδίαν κἂν γοῦν τὸ χρῆναι μετανοεῖν εἰσεδέξατο, διά γε τὸ κεκρατῆσθαι τῷ πορνεύειν αὐτὸν ἀναπείθοντι πνεύματι, καὶ τὸν ἀληθῆ Δεσπότην μὴ ἐθελῆσαι ζητεῖν. Ἀληθὲς οὖν ὅτι, καθά φησιν ὁ Σωτὴρ, « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. »

Καὶ ταπεινωθήσεται ἡ ὕβρις τοῦ Ἰσραὴλ εἰς πρόσωπον αὐτοῦ. Καὶ Ἰσραὴλ καὶ Ἐφραΐμ ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν· καὶ ἀσθενήσει καὶ Ἰούδας μετ' αὐτῶν.

ΝΔ'. Ὕβριν ἐνθάδε φησὶ τὴν ἐπάρατον ὑπερψίαν· ὑβριστὴς γὰρ ὁ ἀλαζών. Ταπεινωθήσεσθαι τοίνυν φησὶ τὴν ὑπερψίαν τοῦ Ἰσραὴλ, ἐκεῖνα παθόντος, καὶ σφόδρα δικαίως, ἃ καὶ ταπεινὸν αὐτὸν ἔμελλον ἀποφαίνειν, οἰκτρὸν καὶ κατερριμμένον, καὶ αὐχημάτων ἔρημον τῶν ἐπὶ Θεῷ, καὶ αὐτῆς δὲ τῆς ἄνωθεν καὶ πατρῴας αὐτοῖς ἐλευθερίας ἐστερημένον. Τὸ δὲ εἰς πρόσωπον αὐτοῦ τὴν ὕβριν ἀποστραφήσεσθαι, νοητέον διὰ τὸ πᾶν εἶδος ἀτιμίας ἐοικέναι πως ταῖς κατὰ πρόσωπον πληγαῖς. Ἀσθενήσειν δὲ ὁμοῦ τῷ Ἰούδα φησὶ τοὺς ἐξ Ἰσραήλ. Καταδηώσαντες γὰρ ὅ τε τῆς Συρίας καὶ Περσῶν βασιλεῖς τὴν Σαμάρειαν, οὐκ ἀπλῆγα συγκεχωρήκασι διαμεῖναι τὸν Ἰούδαν, προσθέντες ταῖς τοῦ Ἰσραὴλ πόλεσι καί τινας τῶν ἀνηκουσῶν τοῖς ἐξ Ἰούδα καὶ Βενιαμίν. Ὅτι δὲ ἁπάσης

[30] IV Reg. x, 11. [31] III Reg. xiii, 2. [32] Jer. xxiii, 23. [33] Jer. xxxviii, 14. [34] Jer. xi, 20; Hebr. iv, 12. [35] Matth. vi, 24.

Digitized by Google

αὐτοῖς συμφορᾶς προμνήστρια γέγονεν ὁμολογουμένως ἡ εἰς Θεὸν ἀσέβειά τε καὶ ὕβρις, δεδίδαχεν, εἰπὼν, μὴ ἂν ἑτέρως αὐτοῖς τὸ τῆς ἀσθενείας συμβήσεσθαι πάθος, ἀλλ' ἢ μόνον, ὅτι « Ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν. » Χρήσιμον οὖν ἄρα καὶ τιμαλφέστατον ἀληθῶς ἡ εἰς Θεὸν εὐσέβεια, δι' ἧς ἂν γένοιτο καὶ τὸ ἐθνῶν δύνασθαι κρατεῖν, καὶ πάντα ἰσχύειν κατορθοῦν εὐκόλως. Καὶ ἀληθεύων ἔφασκεν ὁ Σωτὴρ, ὅτι « Χωρὶς ἐμοῦ οὐ δύνασθε οὐδέν. » Ψάλλει δέ που καὶ ὁ Δαβὶδ, ὀρθὰ φρονεῖν ἠρημένος, « Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος. »

A tionem importasse illis impietatem et injuriam in Deum docuit cum dixit, non aliter ipsis malum infirmitatis eventurum, nisi quia « infirmabuntur in iniquitatibus suis. » Utilis igitur, et res profecto honoris plenissima pietas erga Deum, cujus ope etiam hostes domari, et omnia fieri cum laude atque virtute facile queant, ac verus est Salvator cum dicit : « Sine me nihil potestis facere [36]. » Psallit et David alicubi ex vero sensu : « Fortitudo et laus mea Dominus [37]. »

Μετὰ προβάτων καὶ μόσχων πορεύσονται, τοῦ ἐκζητῆσαι τὸν Κύριον, καὶ μὴ εὕρωσιν αὐτόν· ὅτι ἐξέκλινεν ἀπ' αὐτῶν, ὅτι τὸν Κύριον ἐγκατέλιπον· ὅτι τέκνα ἀλλότρια ἐγεννήθησαν αὐτοῖς. Νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη, καὶ τοὺς κλήρους αὐτῶν.

85 VERS. 6, 7. *Cum ovibus et vitulis ibunt, ut quærant Dominum, et non invenient eum ; declinavit enim ab illis, quia Dominum reliquerunt, et filii alieni nati sunt. Nunc devorabit eos rubigo, et sortes eorum.*

B

ΝΕ'. Ἀληθὲς ὁρᾶται διὰ πραγμάτων, ὅτι καθά φησιν ὁ θεσπέσιος Παῦλος, ἀδύνατον αἷμα ταύρων καὶ τράγων ἀφελεῖν ἁμαρτίας, καὶ ἔστιν ἀπρόσιτος διὰ νόμου Θεός. Νόμον δέ φημι, τὴν κατὰ νόμον λατρείαν, τὴν δι' αἱμάτων καὶ θυσιῶν. Οὐκοῦν κἂν προσάγοιεν οἱ ἐξ Ἰσραὴλ τὰ νενομισμένα θύματα, τῶν ἀνοσίως αὐτοῖς ἐπταισμένων ἐξαιτοῦντες τὴν ἄφεσιν, ἤγουν τὴν πρὸς τὸν Θεὸν ζητοῦντες οἰκείωσιν, οὐκ ἂν ἐφίκοιντο, φησὶν, οὐδ' ἂν ἐξανύσειαν τὸ εὑρίσκειν δύνασθαι τὸν Θεὸν, ἀλλ' οὐδ' ἂν γένοιτο προσιτὸς τοῖς οὕτω μεταγινώσκουσιν. Εὑρίσκεται γὰρ διὰ μόνης τῆς ἐν Χριστῷ ζωῆς, ἧς ἂν νοοῖτο προεισβολὴ τὸ ῥῆμα τῆς πίστεως, καὶ προσέτι τούτῳ τὸ σωτήριον βάπτισμα, τὴν ἐν πνεύματι πρὸς Θεὸν οἰκείωσιν προξενοῦν. Οὐκοῦν, οὐκ ἂν εὕροι τὸν Κύριον ὁ Ἰσραὴλ διά γε τῆς κατὰ νόμον λατρείας. Ἐκκέκλικε γὰρ ἀπ' αὐτῶν, ὅτι καὶ αὐτοὶ καταλελοίπασιν αὐτὸν, ἀποπηδῶντες τοσοῦτον, ὡς καὶ τέκνων ἀλλοτρίων γενέσθαι πατέρες. « Ἀλλότρια δὲ τέκνα » φησὶ, τὰ οἷον ἐκ μήτρας, καὶ ἐξ αὐτῶν τῶν σπαργάνων, ταῖς τῶν εἰδώλων ἀνακείμενα δόξαις, προσαγόντων τάχα που τοῖς δαιμονίοις τὰ χαριστήρια, καὶ τὰς ἐπὶ ταῖς ὠδῖσι θυσίας, τῶν γεγεν[ν]ηκότων. Τέκνα τοίνυν ἀλλότρια, τὰ μὴ ἐν Θεῷ· ἢ καθ' ἕτερον τρόπον, τὰ ἐκ γυναικῶν ἀλλογενῶν. Ἐπεμίγνυντο γὰρ ἀπερισκέπτως οἱ ἐξ Ἰσραὴλ ταῖς τῶν ἐθνῶν θυγατράσιν, εἰδωλολατρούσαις ἔτι, καίτοι τοῦ νόμου λέγοντος ἐναργῶς τὸ, μὴ δεῖν συνάπτεσθαι γαμικῶς τοῖς ἀλλογενέσι. « Τὴν θυγατέρα σου γὰρ, φησὶν, οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου· ἀποστήσῃ γὰρ τὸν υἱόν σου ἀπ' ἐμοῦ, καὶ πορευθεὶς λατρεύσει θεοῖς ἑτέροις. » Ἐπειδὴ ταῦτα δεδράκασι, « Καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη. » Σημαίνει δὲ πάλιν αἰνιγματωδῶς διὰ τούτου τὴν ἐσομένην αὐτοῖς κάκωσίν τε καὶ βλάβην ἐκ τῆς τοῦ πολέμου προσβολῆς, οὐκ ἀνικάνως ἐχούσης ἐρυσίβης δίκην ἀφανίσαι δεινῶς αὐτούς τε καὶ τὰ αὐτῶν· τοῦτο γὰρ οἱ κλῆροι. Ὅτι δὲ μὴ εἰς ὑπέρθεσιν καὶ ἀνακωχὴν ὁ πόλεμος, ἀλλ' εὐθὺς καὶ καταπόδας, πεπληροφόρηκεν εἰπών· « Νῦν καταφάγεται αὐτοὺς

LV. Res ipsa comprobat quod divinus Paulus ait, sanguinem taurorum aut hircorum abolere peccata non posse [38], et per legem accessum ad Deum non dari, legem autem dico cultum secundum legem, per sanguines et sacrificia. Itaque, licet offerant Israelitæ hostias legitimas, scelerate factorum suorum condonationem petentes, sive conjunctionem cum Deo et amicitiam quærentes, non eam assequentur, inquit, neque proficient ad Deum inveniendum, neque tali modo pœnitentibus aditus ad eum patebit. Per solam quippe vitam in Christo invenitur, cujus prævius ingressus haberi potest verbum fidei, et cum eo salutare baptisma, familiarem cum Deo conjunctionem in Spiritu efficiens. Quare Israel Dominum per legis cæremonias non invenet : declinavit enim ab ipsis, quoniam et ipsi dereliquerunt eum, usque adeo resilientes, ut et filiorum alienorum patres fierent. « Alienos filios » nominat, qui quasi ex utero et ab ipsis cunabulis cultui idolorum addicti sunt, parentibus forsitan eos dæmonibus pro munere gratiarum, et in sacrificium pro felici partu obtento offerentibus ; aut aliter, qui nati sunt ex mulieribus alienigenis. Citra ullum quippe pudorem qui de Israel erant, cum gentium filiabus etiamnum idola colentibus corpora copulabant, tametsi lex hujusmodi nuptias expresse vetaret. Ait enim : « Filiam tuam non dabis filio ejus, et filiam ejus non accipies filio tuo : avertet enim filium tuum a me, et vadens serviet diis alienis [39]. » Quoniam autem hæc fecerunt, « devorabit eos rubigo. » Per quod ut in ænigmate significat, quam afflictionem damnumque subituri sint ex impressione hostili, cujus non minor vis erit quam rubiginis ad ipsos, et quæ ipsorum sunt misere disperdenda : hoc enim sunt cleri, sive sortes. Quod vero bellum citra procrastinationem et inducias in vestigio sit, certo astruit, cum dicit : « Nunc comedet eos rubigo. » Perinde ac si dicat : Verba mea tristium experientia sequentur, prope sunt jam, et ante fores ærumnæ. **86** Restabit igi-

C

D

[36] Joan. xv, 5. [37] Psal cxvii, 14. [38] Hebr. ix, 12. [39] Deut. vii, 3, 4.

Digitized by Google

tur Deum lædentibus, ut eum, quamvis quærentes invenire nequeant, fiantque alienorum filiorum patres, hoc est, non habeant nobiles et germanos fructus, quos virtus et sanctimonia vitæ proferunt; pereant autem potius, ut rubigine quadam sua ipsorum improbitate et miseria confecti atque consumpti. Et nihilominus donatæ a Deo sortes damna accipiant, de quibus et divinus David universorum Salvatori Deo canit: « In manibus tuis sortes meæ [40]. » Omnis quippe sors et omnis pars nostra in potestate Dei est, et ipse est qui coronas distribuit.

A ἡ ἐρυσίβη. » Ὅμοιον ὡς εἰ λέγοι· Κατόπιν ἥξει τῶν λόγων τῶν ἀνιαρῶν ἡ πεῖρα· ἐγγὺς ἤδη καὶ ἐπὶ θύραις ἡ συμφορά. Περιέσται δὴ οὖν τοῖς λυποῦσι Θεὸν, τὸ μήτε εὑρίσκειν αὐτὸν δύνασθαι, κἂν εἰ ἕλοιγτο ζητεῖν, γενέσθαι δὲ καὶ τέκνων ἀλλοτρίων πατέρας, τουτέστιν, οὐκ εὐγενεῖς καὶ γνησίους ἔχειν καρποὺς (οὗτοι δ' ἂν εἶεν οἱ ἐξ ἀρετῆς τε καὶ ἁγίας ζωῆς)· ἀπολέσθαι δὲ μᾶλλον, καθάπερ ἐρυσίβῃ τινὶ τῇ σφῶν αὐτῶν περιθραυομένους κακίᾳ καὶ ἀθλιότητι, καὶ προσέτι τούτοις καὶ αὐτοὺς ζημιοῦσθαι τοὺς παρὰ Θεοῦ κλήρους. Περὶ ὧν καὶ ὁ θεσπέσιος ψάλλει Δαβὶδ, πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· « Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. » Ἅπας γὰρ ἡμῶν κλῆρος, καὶ πᾶσα μερὶς ἐν ἐξουσίᾳ Θεοῦ, καὶ αὐτός ἐστιν ὁ τῶν στεφάνων διανομεύς.

Vers. 8, 9. *Clangite tuba super colles, sonate super excelsis, prædicate in domo ὢν, Mente excidit Benjamin, Ephraim in desolationem factus est. In diebus correptionis in tribubus Israel ostendi fidelia.*

LVI. Planis verbis dictum est supra, detestabilem Jeroboam cum vitulis aureis etiam alios quosdam idololatriæ pestiferique erroris modos apud Israelitas introduxisse. Superstitiosis enim ritibus Chamos et Beelphegor in montibus et collibus sub quercu, et populo, et arbore umbrosa venerabantur. Visebantur autem, ut dixi, etiam in Bethel et Dan vituli aurei. Et hæc quidem Israelis seductio fuit. Judas autem, sive Benjamin, nihilominus seducti sunt, et Astarten, offendiculum Sidoniorum coluerunt. Supplices flebant præterea soli, quod nobis etiam per Ezechielem liquebit. Ductus est enim, ut scribit ipse, Hierosolymam in visione Dei. Deinde vidit seductionem incolarum ejus. « Vidi enim, inquit, quasi viginti quinque viros. Dorsa eorum contra templum Domini, et facies eorum contra, et isti adorabant solem ad orientem [41]. » Considera ergo quomodo pestem et exitium varie sibi comparabant, multis modis Deum offendentes et irritantes. Volentes igitur etiam in propinqua exspectatione positos vastare Samariam, et non parum conturbare Jerusalem, Assyrios, inquam, et Persas, et Damascenos, Syros puta (invaserunt enim ambo suis temporibus, alias alia de causa ad hoc incitati) ob moram et cunctationem irruptionis tantum non objurgat, et ordiri bellum jubebat, circumclangentes buccina, terrorumque primitias mentibus seductorum incutientes. **87** Quoniam enim eos et sortes ipsorum rubigo devoratura est (diximus autem nos rubiginem vocari clades belli et desolationem), docens malum hoc esse supra caput, brevique eventurum, tuba canere convenienter admodum jussit, et ante alia super locis idolorum; aut ut quamprimum incendendos et diruendos, aut quia ipsi commoditatem bellicam haberent, et inde seductos infestissime oppugnare liceret. Quando itaque dicit canendum tuba super colles, et super excelsa, et in domo ὢν, idolorum loca intelliges.

B *Σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βουνούς, ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν, κηρύξατε ἐν τῷ οἴκῳ Ὢν· Ἐξέστη Βενιαμὶν, Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένετο. Ἐν ἡμέραις ἐλέγχου ἐν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ ἔδειξα πιστά.*

ΝϚ'. Προείρηται σαφῶς, ὅτι πρὸς ταῖς δαμάλεσι ταῖς χρυσαῖς καὶ ἑτέρους τοῖς ἐξ Ἰσραὴλ εἰδωλολατρίας ὀλέθρου τε καὶ πλάνης εἰσκεκόμικε τρόπους ὁ ἐπάρατος Ἱεροβοάμ. Ἐθρῄσκευον γὰρ ἐν ὄρεσι καὶ βουνοῖς τὸν Χαμὼς, τὸν Βεελφεγὼρ, ὑποκάτω δρυὸς, καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος· ἦσαν δὲ, ὡς ἔφην, καὶ ἐν Βαιθὴλ καὶ ἐν Δὰν αἱ χρυσαῖ δαμάλεις. Ἀλλ' ἤδε μὲν τοῦ Ἰσραὴλ ἡ πλάνησις. Ὁ δέ γε Ἰούδας, ἤγουν ὁ Βενιαμὶν, οὐδὲν ἧττον πεπλάνηντο, καὶ λελατρεύκασι μὲν τῇ Ἀστάρτῃ προσοχθίσματι Σιδωνίων. Προσεκύνουν δὲ καὶ τῷ ἡλίῳ, καὶ τοῦτο ἡμῖν ἐναργὲς ἔσται πάλιν διὰ φωνῆς Ἰεζεχιήλ. Ἦχθη μὲν γὰρ, ὥς φησιν αὐτὸς, εἰς Ἱεροσόλυμα, ἐν ὁράσει Θεοῦ. Εἶτα τεθέαται τὴν τῶν ἐνοικούντων πλάνην. « Εἶδον γὰρ, φησὶν, ὡς εἴκοσι καὶ πέντε ἄνδρας, τὰ ὀπίσθια αὐτῶν πρὸς τὸν ναὸν Κυρίου, καὶ τὰ πρόσωπα αὐτῶν ἀπέναντι, καὶ οὗτοι προσεκύνουν κατὰ ἀνατολὰς τῷ ἡλίῳ. » Ἄθρει δὴ οὖν ὅπως ἐμερίζοντο τὴν ἀπώλειαν, κατὰ πολλοὺς προσκρούοντες τρόπους, καὶ λυποῦντες Θεόν. Οὐκοῦν τοῖς καταδηοῦν ἐθέλουσι, καὶ ὅσον οὐδέπω προσδοκωμένοις, τὴν Σαμάρειαν, καὶ θορυβεῖν οὐ μετρίως μέλλουσι τὴν Ἱερουσαλὴμ, Ἀσσυρίοις τε φημὶ, καὶ Πέρσαις, καὶ τοῖς ἀπὸ Δαμασκοῦ, φημὶ δὴ, τοῖς Σύροις (ἕθεντο γὰρ ἀμφότεροι κατὰ καιροὺς, ἄλλοι τε ἄλλως εἰς τοῦτο παραθηγόμενοι), μονονουχὶ καὶ ἐγκαλεῖ τῆς ἐφόδου τὴν μέλλησιν· ἀπάρχεσθαι δὲ ἤδη τοῦ πολέμου προστέταχε, περιηχοῦντας ταῖς σάλπιγξι, καὶ τὰς τῶν δειγμάτων ἀπαρχὰς ταῖς τῶν πλανωμένων ἐνιέντας ψυχαῖς. Ἐπειδὴ γὰρ, ἔφη, νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυσίβη καὶ τοὺς κλήρους αὐτῶν (ἐλέγομεν δὲ ἡμεῖς, ἐρυσίβην ὠνομάσθαι τὴν ἐκ τοῦ πολέμου κάκωσιν καὶ τὸν ἀφανισμὸν), διδάσκων ὅτι γέγονεν ἐπὶ θύραις, συμβήσεται δὲ, καὶ οὐκ εἰς μακρὰν, σαλπίζειν εὖ μάλα προστέταχε, καὶ πρό γε τῶν ἄλλων ἐπὶ τοὺς τῶν εἰδώλων τόπους· ἢ ὡς ὅσον οὐδέπω καταπρησθήσεσθαι μέλλοντας καὶ σεισθησομένους, ἤγουν ὅτι γεγόνασιν αὐτοὶ τοῦ πολέμου πρόφασις καὶ τῆς

[40] Psal. xxx, 16. [41] Ezech. viii, 16.

Digitized by Google

ἀνηκέστου συμφορᾶς τοῖς πεπλανημένοις. Ὅταν οὖν λέγῃ τὸ χρῆναι σαλπίζειν ἐπὶ τοὺς βουνοὺς, καὶ ἐπὶ τὰ ὑψηλὰ, καὶ ἐν τῷ οἴκῳ Ὢν, τοὺς τῶν εἰδώλων νοήσεις τόπους. Ἰστέον δὲ, ὅτι τοῖς ἄλλοις ἑρμηνευταῖς εἰς τὸ, « Ἐν τῷ οἴκῳ Ὢν, » οὐ συνηνέχθησαν οἱ Ἑβδομήκοντα. Οἱ μὲν γὰρ εἰρήκασιν· « Εἰς οἶκον ἀνωφελοῦς, » τουτέστιν, εἰδώλου παντός· οἱ δὲ, « Ἐν τῷ οἴκῳ Ὤν. » Οἰησόμεθα δὴ οὖν, ἐκεῖνο βούλεσθαι νυνὶ τὸν προφητικὸν ἡμῖν ὑποσημῆναι λόγον, ὅτι χρὴ σαλπίζειν αὐτοὺς, οὐκ ἐπὶ μόνους τοὺς βουνοὺς καὶ τὰ ὑψηλὰ, τουτέστιν, οὐ κατὰ μόνης τῆς εἰδωλολατρίας τοῦ Ἰσραὴλ, ἤτοι τῶν δέκα φυλῶν τῶν ἐν Σαμαρείᾳ, ἀλλὰ καὶ κατὰ ταύτης τῆς οὔσης ἐν τοῖς Ἱεροσολύμοις παρά τε τῷ Ἰούδᾳ καὶ τῷ Βενιαμίν. Προσεκύνουν γὰρ, ὡς ἔφην, τῷ ἡλίῳ (Ὃν δέ ἐστιν ὁ ἥλιος), Θεὸν ῥιπτοῦντες κατόπιν, καὶ ἀποστρεφόμενοι τὰ αὐτοῦ. Τοῦτο γὰρ οἶμαι δηλοῦν, τὸ ἔχειν τὰ ὀπίσθια πρὸς τὸν ναὸν Κυρίου, καὶ τὰ πρόσωπα αὐτῶν ἀπέναντι, δῆλον δὲ ὅτι τοῦ ἡλίου. Ὅταν τοίνυν ἀκούσῃς τὸ, « Ἐν τῷ οἴκῳ Ὤν, » οἶκον ἢ τέμενος νοήσεις θεοῦ ψευδωνύμου παντὸς καὶ πεποιημένου, ἤτοι τοῦ ἡλίου. Ἄτοπον δὲ οὐδὲν, ἢ ἀπίθανον εἶναί τῳ δόξειεν ἂν, οἶκον ἡλίου τοὺς ἡλίῳ προσκυνοῦντας νοεῖσθαί τε καὶ ὀνομάζεσθαι, καθάπερ ἀμέλει καὶ οἶκος Θεοῦ νοηθεῖεν ἂν οἱ τὰ αὐτοῦ φρονοῦντες, καὶ αὐτῷ τὸ σέβας ἀνάπτοντες. Εἰ δὲ βούλοιτό τις καὶ τὴν δάμαλιν τὴν χρυσῆν Ὢν ὀνομάζεσθαι, φορέσει καὶ οὕτως τὸ πιθανὸν ὁ λόγος. Ὁ μὲν γὰρ θεομισὴς Ἱεροβοὰμ πρὸς τὸ τῶν Αἰγυπτίων σέβας, φημὶ δὴ τὸν Ἆπιν, τὰς δαμάλεις εἰργάζετο. Τετιμήκασι δὲ τὸν Ἆπιν Αἰγύπτιοι, σελήνης μὲν τέκνον εἶναι λέγοντες (τοιγάρτοι καὶ μηνοειδὲς ἐπὶ μετώπου εἶχε σημεῖον). ἔκγονον δὲ ὥσπερ ἡλίου πιστεύοντες εἶναι, διὰ τὸ, κατάγε τὸ αὐτοῖς δοκοῦν, ἐξ ἡλίου τὴν σελήνην φωτίζεσθαι. Οὐκοῦν ὡς σελήνης μὲν τέκνον, ἡλίου δὲ ἔκγονον ἐτίμων τὸν Ἆπιν. Ἀπεκόμιζε δὲ αὐτοὺς εἰς τοῦτο δὴ πλάνης καὶ λογισμῶν ἀθλιότητος ὁ πολυμήχανος δράκων, τουτέστιν ὁ Σατανᾶς. Σαλπίζειν οὖν ἄρα προστέταχεν ἐπὶ τοὺς βουνοὺς, καὶ τὰ ὑψηλὰ, καὶ ἐν τῷ οἴκῳ Ὢν, τουτέστι τῆς δαμάλεως τῆς χρυσῆς. Ποῖα δὲ ἦν ἄρα τὰ ἀμφοῖν ἐγκλήματα, καὶ ὁ τοῦ χρῆναι κολάζεσθαι λόγος, καθίστησιν ἐναργὲς, ἐπιφέρων εὐθύς· « Ἐξέστη Βενιαμίν, » ἀντὶ τοῦ, Τῶν ἰδίων ἐκπεφοίτηκεν ἐθῶν, ἤγουν, τῆς ἀρίστης ἀπώλισθε φρενός. Τοῦτο γὰρ ἀληθῶς ἡ ἔκστασις ἐπὶ φαῦλα νοεῖτο. « Κατηφάνισται δὲ καὶ Ἐφραΐμ. » Πλὴν οὐχ οὕτω ταῦτα διὰ παντός φησιν· « Ἐν γὰρ ἡμέραις ἐλέγχου τῆς ἀμφοῖν πλημμελείας ἔδειξα πιστὰ, » βεβαίους καὶ ἀληθεῖς τοὺς ἐμοὺς ἀποφήνας λόγους. Συμβέβηκε γὰρ αὐτοῖς, ἅπερ ἤδη προεῖπον, καὶ οὐδὲν διέψευσται τῶν ἐμῶν. Ἐπειδὴ γὰρ ἐξέστησαν τῶν ἀρχαίων ἐθῶν, καὶ φρενὸς ἔξω γεγόνασιν ἀγαθῆς, ἐξώσθησαν καὶ αὐτῆς τῆς ἑαυτῶν χώρας, καὶ ἀποπεπτώκασιν ὁμοίως τῆς εἰς Θεὸν ἀγάπης καὶ πάσης εὐημερίας.

A Sciendum vero alios interpretes, quod attinet ad illud « in domo ὢν, » non convenire cum Septuaginta. Nam illi transtulerunt « in domum inutilis, » hoc est, omnis idoli. Ast hi, « in domo ὤν. » Quare existimabimus illud nunc propheticum sermonem velle oportere illos canere, non super colles tantum et super excelsa, hoc est, non contra solam idololatriam Israelis, sive decem tribuum in Samaria, sed contra eam quoque quæ erat Hierosolymis apud Judam et Benjamin : adorabant quippe solem, ut dixi (ὢν autem est sol), Deum post tergum projicientes, et sacra ejus aversantes. Hoc siquidem opinor significare quod posteriora sua obverterent templo Domini, et facies suas contra, haud dubie, contra solem. Cum igitur audis, « in domo ὤν, » fanum aut dei penitus falsi et ficti, aut solis intellige. Nihil porro absurdum aut incredibile cuipiam videatur, domum solis intelligi et appellari iis qui solem adorant, quemadmodum et domum Dei fas est intelligere eos qui quæ sunt illius sapiunt, cultumque ac venerationem eidem impendunt. Quod si cui placebit, etiam vitulum aureum ὢν vocari, et sic probabilis erit oratio. Deo enim invisus Jeroboam ad exemplum Ægyptii numinis, Apis videlicet, vitulos conflavit. Honorarunt autem Ægyptii Apim, lunæ filium asserentes. Quocirca et lunæ imaginem signum referens in fronte habebat, et quasi solis nepotem credebant esse, quod, ut ipsi putabant, a sole luna illuminaretur. Quamobrem ut lunæ quidem filium, solis vero tanquam nepotem honoribus Apim prosequebantur. In hanc erroris opinionumque miseriam multorum machinator draco, pseudo Satanas, eos abduxit. Jubet ergo canere tuba super colles et excelsa, et in domo ὤν, 88 hoc est, vituli aurei. Deinde statim quæ sint amborum scelera et ratio pœnæ manifestat. « Mente excedit Benjamin, » pro, mores suos deseruit, seu optimæ vivendi normæ valedixit; vere enim hoc verbo in malum mutatio intelligi potest. « Et Ephraim desolatus est. » Verumtamen non ita hæc semper, inquit. « In diebus enim correptionis peccati amborum ostendi fidelia, » firmos et veros demonstrans sermones meos. Contigerunt enim illis quæ jam prædixi, nihilque verborum meorum eos fefellit. Ut enim a moribus antiquis recesserunt, et bonam mentem amiserunt, etiam regione sua pulsi sunt, et similiter charitate Dei et omni prosperitate exciderunt.

B C D

Ἕψεται δὲ καὶ ἑτέρως τοῖς καταλιμπάνουσι Θεὸν, τὸ ἐξίστασθαι δεῖν καὶ ἀγαθῆς ἀπάσης ἐννοίας, καὶ μὴν καὶ ἔργου παντὸς τοῦ τετραμμένου πρὸς ἀρετήν. Βαδιοῦνται δὲ πρὸς ἀφανισμὸν ἐλέγχοντός τε καὶ ἐπιτιμῶντος Θεοῦ, καὶ τῆς ῥαθυμίας ἐξαιτοῦντος δίκας. Χρήσιμον οὖν ἄρα, καὶ ἀναγκαῖον εἰς ζωὴν, τὸ εἶναι μετὰ Θεοῦ, μόνον δὲ οὐχὶ τὸ ἐν Ψαλμοῖς

Sequetur autem alioqui Deum derelinquentes ab omni bona cogitatione discessio, atque adeo ab omni opere ad virtutem pertinente. Et procedent hujusmodi ad desolationem, corripiente et increpante Deo, et ignaviæ pœnas exposcente. Conducibile igitur et necessarium est ad vitam, esse cum Deo, et tantum non illud ex Psalmis clamare: « Adhæ-

Digitized by Google

sit anima mea post te [43]. » Suscipiet enim, et prompte opitulabitur dextera Omnipotentis e qua nemo rapiet [44], ut Salvator testatur.

VERS. 10. *Facti sunt principes Juda velut transponentes terminos, super eos effundam sicut aquam impetum meum.*

LVII. Hoc est (quamvis sub involucro) quod dicebat, « excedit mente Benjamin. » Similes enim fuerunt, inquit, terminos transferentibus, et olim definita transgredi volentibus. Qui enim soli Deo convenientia, ipsique jure dicata, charitatem, inquam, honorem, adorationem aliis tribuunt, quia forte solem, aut lunam, et astra precibus sollicitant, nihil revera faciunt aliud quam quod omnino terminos mutant. Judam autem, sive Benjamin gloriam Deo debitam soli, et lunæ, et astris dicavisse, ex eo claret quod ad Jeremiam prophetam ait Dominus: « An non vides quid isti faciunt in civitatibus Juda et in viis Jerusalem? Filii eorum colligunt ligna, et patres eorum succendunt ignem, et mulieres eorum commiscent similaginem, ut faciant placentas militiæ cœli; et libaverunt libamina diis alienis, ut ad iracundiam provocent me [45]. » Terminos itaque moverunt principes tribus **89** Juda, hoc est, suprema et regia circumfluentes gloria, quos vulgus errantes ut exemplaria sequi conveniebat. Verum « instar aquæ eum impetu effusæ effundam in eos impetum, seu furorem meum. » Calamitates siquidem a Deo irato impositæ prorsus nec ferri tolerarique, nec repelli queunt, quomodo nimirum nec aqua multa ubertim effusa reprimi.

VERS. 11, 12. *Oppressit Ephraim adversarium suum, et conculcavit judicium, quia cœpit abire post vana. Et ego quasi conturbatio Ephraim, et quasi stimulus domui Juda.*

LVIII. Quonam modo Benjamin mente alienatus sit, haud obscure declaravit. Dixit enim factos esse principes Juda, ut qui terminos transferunt. Quomodo autem et Ephraim desolationem passus sit, deinceps exponit et addit: « Oppressit Ephraim adversarium suum. » Et videntur velut cum urbanitate ad nos verba fieri. Quænam igitur accusatio sit tribus Ephraim, aut de quo adversario divinum oraculum loquatur quem oppresserit Ephraim, explanare quantum in me est conabor. Tribules enim Juda et Benjamin reverebantur aliquantum leges Mosaicas, et adhuc earum rationem ducebant, dabantque studiose operam justitiæ. Non enim omnes declinaverunt; sed erant non pauci transfugas deplorantes ac lamentantes, et dolorem animo non mediocrem concipientes, cum quidam despecto universitatis Deo mores idololatricos inveherent. Hinc beatus Ezechiel, missos ait contra Jerusalem cum securi-

ἐκεῖνο βοᾷν, « Ἐκκολλήθη ἡ ψυχή μου ὀπίσω σου. » Ἀντιλήψεται γὰρ τότε καὶ ἐπικουρήσει προθύμως ἡ δεξιὰ τοῦ πάντα ἰσχύοντος, ἀφ' ἧς οὐδεὶς ἁρπάσει κατὰ τὴν τοῦ Σωτῆρος φωνήν.

Ἐγέροντο οἱ ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια, ἐπ' αὐτοὺς ἐκχεῶ ὡς ὕδωρ τὸ ὁρμημά μου.

ΝΖ'. Τοῦτό ἐστιν αἰνιγματωδῶς τὸ· Ἐξέστη Βενιαμίν. Γεγόνασι γὰρ ἐν ἴσῳ, φησὶ, τοῖς μετατιθεῖσιν ὅρια, καὶ ὑπερβαίνειν ἐθέλουσι τὰ πάλαι διωρισμένα. Οἱ γὰρ τὰ μόνῳ πρέποντα τῷ Θεῷ, καὶ αὐτῷ δικαίως ἀνατεθειμένα, τὴν ἀγάπην δὲ λέγω, τὴν τιμὴν, τὴν προσκύνησιν μεθιστάντες εἰς ἑτέρους, διά γε τοῦ προσκυνεῖν ἡλίῳ τυχὸν, ἤγουν σελήνῃ καὶ ἄστροις, δρῷεν ἂν ἕτερον οὐδὲν, κατά γε τὸ εἰκὸς, ἢ ὅτι δὴ πάντως μεθιστᾶσιν ὅρια. Ὅτι δὲ τὴν πρέπουσαν τῷ Θεῷ δόξαν, ἡλίῳ, καὶ σελήνῃ, καὶ ἄστροις ἀνατέθεικεν ὁ Ἰούδας, ἤγουν ὁ Βενιαμὶν, σαφῶς ἂν νοοῖτο, πρὸς τὸν προφήτην Ἱερεμίαν λέγοντος Θεοῦ· « Ἢ οὐχ ὁρᾷς ὅ τι οὗτοι ποιοῦσιν ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; Οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς, τοῦ ποιῆσαι χαυῶνας τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με. » Ὅρια δὴ οὖν μετατεθείκασιν οἱ ἐξ Ἰούδα φυλῆς ἡγούμενοι, τουτέστιν, οἱ τὴν ἀνωτάτω καὶ βασιλίδα περικείμενοι δόξαν, οἷς ἦν εἰκὸς κατακολουθεῖν ἐλέσθαι πεπλανημένοις τὴν ἀγελαίαν πληθύν. Ἀλλ' « Ὕδατος δίκην ῥαγδαιοτάτου, φησὶν, ἐπ' αὐτοὺς ἐκχεῶ τὸ ὁρμημά μου. » Δύσοιστα γὰρ, καὶ ἀφόρητα, καὶ ἀνανταγώνιστα παντελῶς τὰ ἐκ θείας ὀργῆς. Καθάπερ ἀμέλει καὶ χρῆμα δυσάντητον ἡ πολλὴ καὶ ἀμφιλαφὴς τῶν ὑδάτων φορά.

Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, καὶ κατεπάτησε τὸ κρῖμα, ὅτι ἤρξατο πορεύεσθαι ὀπίσω τῶν ματαίων. Καὶ ἐγὼ ἔσομαι ὡς ταραχὴ τῷ Ἐφραὶμ, καὶ ὡς κέντρον τῷ οἴκῳ Ἰούδα.

ΝΗ'. Τίνα μὲν τρόπον ἐξέστη Βενιαμὶν, ἀποδέδειχε σαφῶς. Ἔφη γὰρ, ὅτι γεγόνασιν ἄρχοντες Ἰούδα ὡς μετατιθέντες ὅρια. Πῶς δὲ καὶ Ἐφραὶμ εἰς ἀφανισμὸν ἐγένετο, διερμηνεύει πάλιν, ἐπειπών· « Κατεδυνάστευσεν Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ. » Καὶ δοκεῖ πως ἐν ἤθει πεποιῆσθαι νυνὶ πρὸς ἡμᾶς ὁ λόγος. Ποῖον οὖν ἄρα τὸ κατηγόρημα, τὸ ἐκ φυλῆς Ἐφραὶμ, ἢ ποῖον ἀντίδικον τὸ θεῖον ἡμῖν χρησμῳδημά φησι, ὃν κατεδυνάστευσεν ὁ Ἐφραὶμ, διειπεῖν ὡς ἔνι πειράσομαι. Οἱ μὲν γὰρ ἐκ φυλῆς Ἰούδα καὶ Βενιαμὶν, αἰδώ τινα καὶ λόγον ἔτι τῶν διὰ Μωσέως ἐποιοῦντο νόμων, ἐπετήδευόν τε τὴν δικαιοσύνην. Οὐ γὰρ πάντες ἐκκεκλίκασιν, ἀλλ' ἦσαν οὐκ εὐαρίθμητοι κλαίοντές τε καὶ ὀλοφυρόμενοι τὴν τῶν πλανωμένων ἀπόστασιν, καὶ δυσχεραίνοντες οὐ μετρίως, ἐπεί τοι τὸν τῶν ὅλων ἀτιμάζοντες Θεὸν, τοὺς τῆς εἰδωλολατρίας τινὲς ἐπετήδευον τρόπους. Καὶ γοῦν ὁ μακάριός φησι προφήτης Ἰεζεχιήλ· Ἀπεστέλλοντο

[43] Psal. LXII, 9. [44] Joan. X, 28. [45] Jer. VII, 17, 18.

Digitized by Google

μέν τινες κατὰ τῆς Ἱερουσαλὴμ, πελέκεις ἠρμένοι, ἠκουόν τε σαφῶς Θεοῦ λέγοντος, ἔπεσθαι μὲν δεῖ[ν] τῷ τὸν ποδήρη διεζωσμένῳ, φείδεσθαι δὲ μηδενός. « Εἶδον γὰρ, φησὶ, καὶ ἰδοὺ ἓξ ἄνδρες ἤρχοντο διὰ τῆς πύλης τῆς βλεπούσης πρὸς βορρᾶν, καὶ ἑκάστῳ πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ εἶπε τῷ ἀνδρὶ, φησὶ, τῷ ἐζωσμένῳ τὸν ποδήρη· Δίελθε μέσην τὴν Ἱερουσαλὴμ, καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν καταστεναζόντων, καὶ κατοδυνωμένων ἐπὶ πάσαις ταῖς ἀδικίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῆς. Καὶ τούτοις εἶπεν ἀκούοντός μου· Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε, καὶ μὴ φείδεσθε· καὶ πρεσβύτερον, καὶ νεανίσκον, νήπια, καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν. Ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστι τὸ σημεῖον μὴ ἐγγίσητε. » Ἀκούεις ὅτι κατεσημαίνοντό τινες ὡς ἔξω δίκης, καὶ θυμοῦ, καὶ ἀπάσης ὀντες αἰτίας, διά τοι τὸ ἐλέσθαι φρονεῖν ὀρθῶς, καὶ μὴν καὶ βιοῦν ἐννόμως, καὶ δικαιοσύνης ἅπτεσθαι, καὶ τῆς εἰς Θεὸν ἀγάπης ἀνεπιπλήκτως ἐρᾷν. Ἐν δέ γε τῇ Σαμαρείᾳ ὁλοτρόπως ἐξώκειλεν ὁ Ἰσραὴλ, οὐδ', ὅσον εἰπεῖν, κἂν γοῦν μνήμης τάχα που τὰ Μωσέως ἀξιῶν, μαχομένην δὲ ὥσπερ καὶ εἰς ἅπαν αὐτοῖς ἀντιτεταγμένην ἐπετήδευε ζωὴν, ὡς καὶ ἐχθρὸν ἡγεῖσθαι τὸν τοῦ Θεοῦ νόμον· ὅσον ἧκει εἰπεῖν, ὡς μηδὲ εἰδέναι θέλειν αὐτὸν, ἀτιμάζειν δὲ τὸν παιδαγωγὸν, καίτοι σώζειν εἰδότα, καὶ ἀποκομίζειν εὖ μάλα δυνάμενον εἰς εὐθῆ τε καὶ ἀκατάσκωπτον ζωήν. Τοῦτο τοίνυν, ὡς ἔοικεν, ὁ προφητικὸς αἰνίττεται λόγος. Πεποίηται δὲ μετ' ἤθους, ὡς ἔφην. « Κατεδυνάστευσε γὰρ, φησὶν, ὁ Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, » ἀντὶ τοῦ, Νίκην ἐκτοπωτάτην, καὶ ὀλέθρου πρόξενον νενίκηκεν ὁ Ἐφραὶμ, κατεδυνάστευσεν ὡς ἴδιον ἐχθρὸν, τουτέστι, νενίκηκε γενικῶς ὃν μεμίσηκε νόμον. Ἐπειδὴ δέ ἐστιν ἀμυδρὸς ὁ λόγος, ἑτέρως αὐτὸ διατρανοῖ, λέγων· « Κατεπάτησε κρῖμα, » τουτέστιν, οὐ πεφρόντικεν ὅλως τῆς ἐν νόμῳ δικαιοσύνης. Ἀεὶ γάρ πως τὸ καταπατούμενον, ἐν ἀτιμίᾳ νοεῖται, καὶ οὐδενὸς ἄξιον καταφωρᾶται λόγου. Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, « Καλὸν τὸ ἅλας, φησίν· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι ἁλισθήσεται; Εἰς οὐδὲν ἰσχύει ἔτι, εἰ μὴ [βε]βληθὲν ἔξω, καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. » Ὅταν τοίνυν κρῖμα λέγῃ, νοήσεις τὸν νόμον. Οὕτω καὶ ὁ θεσπέσιος Δαβὶδ ὀνομάζων αὐτὸν, ἀναφωνεῖ πρὸς Θεόν· « Κρῖμα καὶ δικαιοσύνην ἐν Ἰακὼβ σὺ ἐποίησας. » Θεοῦ γὰρ ὁ νόμος, καὶ εἰ λαλεῖται δι' ἀγγέλων. Ἀλλὰ τίς ἡ πρόφασις τοῦ, καὶ ἐχθρὸν ἡγήσασθαι τὸν νόμον, καὶ καταπατῆσαι τὸ κρῖμα, παρέδειξε πάλιν, εὐθὺς εἰπών, « Ὅτι ἤρξατο πορεύεσθαι ὀπίσω τῶν ματαίων. » Ἀρχὴ τῆς τοιᾶσδε νόσου, φησὶ, τὸ τιμᾷν ἐλέσθαι τὰ μάταια, καὶ κατακολουθεῖν εἰδώλοις. Ἀμήχανον γὰρ ἐν ταυτῷ καὶ Θεῷ δύνασθαι κατακολουθεῖν, καὶ τοῖς πονηροῖς, καὶ ἀκαθάρτοις πνεύμασι. Διὰ τοῦτο καὶ ὁ θεσπέσιος γράφει Παῦλος· « Οὐ δύνασθε ποτήριον τοῦ Κυρίου πίνειν, καὶ ποτήριον δαιμονίων. » Οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. Μονότροπος γὰρ ὁ θεοφιλὴς, ἀλλοπρόσαλ-

bus; audisse autem Deum clare dicentem, præcinctum in veste talari sequerentur, parcerentque nemini. Inquit enim: « Vidi, et ecce sex viri veniebant per portam respicientem ad aquilonem, et unicuique securis in manu sua. Et dixit viro vestito vestitu talari: Transi per mediam Jerusalem, et da signum super frontes virorum gementium et dolentium super cunctis iniquitatibus quæ fiunt in medio eorum. Et dixit illis, audiente me: Ite in civitatem post eum, et percutite, et non parcatis, et senem, et juvenem, et infantes, et mulieres interficite ad deletionem; super omnes autem, super quos est signum, ne appropinquetis [46]. » Audis signatos esse quosdam, ut ab ultione, et ira, et a culpa immunes, quia videlicet recte sapere, atque etiam ex legibus vivere, et justitiam colere, 90 et dilectionem erga Deum sinceram habere voluerunt. In Samaria vero omnimodis in offensam incurrit Israel, fortassis nec dignatus meminisse Mosaica, velut repugnantem, et universe illis adversantem persequens vitam, ut etiam Dei legem inimicam arbitraretur quodammodo, et eam nec nosse vellet, sperneretque pædagogum, quamvis servare, et ad rectam nullique calumniæ obnoxiam vitam optime adducere posset. Hoc igitur, ut videtur, prophetica verba insinuant. Habent autem festivitatem, seu ironiam, ut dixi. Ait enim, « Oppressit Ephraim adversarium suum, » pro, victoria turpissima, et exitiosa vicit Ephraim. Oppressit ut hostem suum, hoc est, vicit generose legem quam oderat. Quia vero oratio tectior est, aliter ipsam declarat, dicens: « Conculcavit judicium, » hoc est, justitiam lege præscriptam nullo modo curavit; semper enim quod conculcatur despicabile cognoscitur, nullaque æstimatione dignum deprehenditur. Quare Dominus noster Jesus Christus, « Bonum est sal, » inquit; « si autem sal evanuerit, in quo salietur? Ad nihilum valet ultra, nisi ut mittatur foras, et conculcetur ab hominibus [47]. » Igitur per judicium intellige legem. Ita et divinus David, eam nominans, Deum affatur: « Judicium et justitiam in Jacob tu fecisti [48,49]. » Dei enim est lex, dictata per angelos. Verum enimvero quæ causa fuerit, legem pro hoste ducendi, et judicium conculcandi, mox deinceps ostendit his verbis, « quia cœpit abire post vana. » Principium hujus morbi, inquit, dedisse se vanis honorandis, et secutum esse idola. Fieri enim non potest ut in eodem et Deum et nequam atque immundos spiritus sequaris. Quocirca et divinus Paulus: « Non potestis, inquit, bibere calicem Domini et calicem dæmoniorum [50]. » Moribus quippe uniformis est qui diligit Deum; mutabilis autem, et fluctuans, et utroque versum ire guarus subversor, et facile vadens quo sors tulerit. « Itaque facti sunt, inquit, principes Juda ut transponentes terminos. Oppressit vero et Ephraim adversarium suum, et conculcavit judicium. Ero autem in posterum quasi conturbatio Ephraim, et quasi sti-

[46] Ezech. ix, 2 6. [47] Matth. v, 13 [48,49] Psal. xcviii, 4. [50] I Cor. x, 20.

Digitized by Google

mulus Juda. » Quod, quid sit necesse est accuratius indagemus. Alii igitur interpretes pro « turbatio, » *comestor* reddiderunt, et pro « stimulus, » *putredo*. **91** At Septuaginta *turbationem* et *stimulum* nominarunt. Conturbato enim non modice Ephraim, sive decem tribubus propter bellum partim a finitimis Syris, partim a Persis et Assyriis ingruens, dolebat graviter, nec parum formidabat Judas ; sive potius animo æstuabat vehementer, quod propediem paria, aut longe deteriora mala in cervicibus sibi futura divinaret. Ingravescente enim bello, et Samariæ oppida urgente, necesse erat utique finitima, Juda, inquam, et Benjamin, simul perire. Quamobrem hic turbatio belli hostilem adventum, stimulus autem ex tristitia et mœrore cruciatum subindicat, a quibus tutissimi erunt sapere volentes quæ Christi sunt : per quem et cum quo Deo et Patri gloria cum sancto Spiritu in omnem æternitatem. Amen.

ἐναλῶναι κακοῖς· ἐπιβρίθοντος γὰρ τοῦ πολέμου, καὶ πᾶσά πως ἀνάγκη ἦν συνδιάλυσθαι τὰς ὁμόρους, τὰς τῶν ἐξ Ἰούδα, φημὶ, καὶ Βενιαμίν. Οὐκοῦν ἡ μὲν ταραχὴ τοῦ πολέμου τὴν ἔφοδον, τὸ δὲ κέντρον ὑποδηλοῖ, ὧν ἔξω που πάντως εἶεν ἂν οἱ φρονεῖν ἐθέλοντες τὰ Χριστοῦ· δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A λος δὲ καὶ σεσαλευμένος, καὶ ἐπ' ἄμφω βαίνειν εἰδὼς, ὁ ἀνασφαλὴς, καὶ ἐφ' ὅπερ ἂν τύχοι βαδίζων εὐκόλως. Οὐκοῦν, « Γεγόνασι μὲν οἱ ἄρχοντες Ἰούδα, φησὶν, ὡς μετατιθέντες ὅρια. Κατεδυνάστευσε δὲ καὶ ὁ Ἐφραὶμ τὸν ἀντίδικον αὐτοῦ, κατεπάτησε δὲ καὶ κρῖμα· ἔσομαι δὲ λοιπὸν ὡς ταραχὴ τῷ Ἐφραὶμ, καὶ ὡς κέντρον τῷ Ἰούδα. » Καὶ τί δὴ τοῦτό ἐστι, πολυπραγμονεῖν ἀναγκαῖον. Οἱ μὲν οὖν ἕτεροι τῶν ἑρμηνευτῶν, ἀντὶ τοῦ « ταραχὴ, » *βρωστὴρ* εἰρήκασιν· ἀντὶ δὲ « τοῦ κέντρου, » *σῆψις*· οἱ δέ γε Ἑβδομήκοντα *ταραχὴν*, καὶ *κέντρον* ὠνόμασαν. Θορυβουμένου γὰρ οὐ μετρίως τοῦ Ἐφραὶμ, ἤτοι τῶν δέκα φυλῶν, ὑπὸ τοῦ κατασκήψαντος αὐτοῖς πολέμου, τοῦτο μὲν ὑπὸ γείτονος τοῦ παρὰ Σύρων, φημὶ, τοῦτο δὲ ὑπὸ τοῦ Περσικοῦ καὶ ἐκ τῆς τῶν Ἀσσυρίων ἤκοντος χώρας, ἐν B ὀδύναις ἦν, καὶ οὐκ ἐν μέτρ[ί]οις δείμασιν ὁ Ἰούδας, μᾶλλον δὲ καὶ ἐν ἀγωνίᾳ πολλῇ. Προσεδόκησε γὰρ, καὶ οὐκ εἰς μακρὰν, τοῖς ἴσοις τυχὸν, ἢ πολὺ χείρονος ταῖς κατὰ τὴν Σαμάρειαν πόλεσιν ἐπισκήπτοντος, ἐν τούτοις τὴν ἐκ λύπης τε καὶ δυσθυμίας ὀδύνην

TOMUS QUARTUS.

VERS. 13. *Et vidit Ephraim morbum suum, et Judas dolorem suum, et abiit Ephraim ad Assyrios, et misit legatos ad regem Iarim, et hic non potuit sanare* C *vos, et non faciet cessare a vobis dolorem.*

LIX. Posteaquam factus est Deus conturbatio Ephraim, et tanquam stimulus domui Juda, vidit morbum suum, sive imbecillitatem et infirmitatem suam Ephraim ; quin et Judas dolorem suum : una enim cum Samaria fines Benjamin incursati sunt. Deinde ob hoc fractus desperatione Ephraim, nec potis casibus istis robore suo obsistere, nec bellicas clades amoliri, denuo omnipotentem Deum offendit, nec in ipsis flagellis, ut ita dicam, utilitatem suam cognovit; et cum advenisset tempus quo potius converti ad Deum debuisset, tunc maxime ei molestiam exhibere, et insolentius ab eo discedere non D dubitavit. Non enim ignorabat omnis gloriæ suæ auctorem, ac tutorem Deum esse, qui vires ad frangendos adversarios semper largitur. Sed nihil pluribus opus est, cum exstet illa vox Moysis sapientissimi : « Dominus conterens bella ; Dominus nomen ejus [51], » doceatque idem perspicue quod per ipsum et in ipso « unus persequetur mille, et duo fugabunt decem millia [52]. » Deinde cum ab ipso et solo consuetum auxilium iterum petere, **92** et precibus ad succurrendum sibi salvatorem sollicitare oporteret, dira in caput suum meditatus est. Missa enim legatione ad alienos et hostes, eos suppetias rogavit. « Factus est enim Ephraim ut columba insipiens, et

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

Καὶ εἶδεν Ἐφραὶμ τὴν νόσον αὐτοῦ, καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ, καὶ ἐπορεύθη Ἐφραὶμ πρὸς Ἀσσυρίους, καὶ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα Ἰαρείμ, καὶ οὗτος οὐκ ἠδυνάσθη ἰάσασθαι ὑμᾶς, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν ὀδύνην. C

ΝΘ' Θεοῦ γεγονότος ὡς ταραχῆς τῷ Ἐφραὶμ, καὶ μὴν καὶ ὡς κέντρου τῷ οἴκῳ Ἰούδα, τεθέαται μὲν τὴν ἑαυτοῦ νόσον, ἤτοι τὸ ἀναλκὶ καὶ ἀσθενὲς, ὁ Ἐφραὶμ· καὶ μὴν καὶ Ἰούδας τὴν ὀδύνην αὐτοῦ· συγκατεδῦ- οὗτο γὰρ, ὡς ἔφην, τοῖς ἐν Σαμαρείᾳ καὶ τὰ ὅρια τοῦ Βενιαμίν. Εἶτα πρὸς τοῦτο ἀπειρηκὼς ὁ Ἐφραὶμ, καὶ ἰδίαις δυνάμεσιν ἀντιφέρεσθαι τοῖς συμβεβηκόσιν οὐκ ἔχων, οὔτε μὴν ἀποσείεσθαι τὰ ἐκ τοῦ πολέμου βλάβη δυνάμενος, προσκέκρουκε πάλιν τῷ πάντα ἰσχύοντι Θεῷ, οὐδὲ ἐν αὐταῖς, ἵν' οὕτως εἴπω, ταῖς μάστιξιν ἐννενοηκὼς τὸ συμφέρον. Ἐνεστηκότος δὲ D τοῦ καιροῦ, καθ' ὃν ἔδει μᾶλλον ἐπιστρέφειν πρὸς τὸν Θεὸν, τότε δὴ μάλιστα λυπεῖν ἥρημένος, καὶ ἀπεφοίτα ἀγριώτερον. Οὐκ ἠγνόει μὲν γὰρ τὸν ἁπάσης αὐτοῖς εὐκλείας καὶ χορηγὸν, καὶ πρύτανιν, τὸν τοῦ δύνασθαι κρατεῖν τῶν ἀνθεστηκότων ἀεὶ δοτῆρα Θεόν. Ἀλλ' οὐδενὸς ἧττον τὸ χρῆμα λόγου, καίτοι τοῦ πανσόφου διαχεχραγότος Μωσέως· « Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ, » διδάσκοντός τε σαφῶς, ὅτι δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ « Διώξεται εἷς χιλίους, καὶ δύο μετακινήσουσι μυριάδας. » Εἶτα, δέον παρ' αὐτοῦ δὴ καὶ μόνου τὴν συνήθη πάλιν ἐπικουρίαν αἰτεῖν, καὶ λιταῖς ἀναπείθειν ἀμῦναί οἱ τὸν σώζοντα, πικρὰ κατὰ τῆς ἰδίας ἐσκέπτετο κεφαλῆς. Ἐπρεσβεύετο γὰρ πρὸς ἀλλοφύλους, καὶ τὴν παρ'

[51] Judith, xvi, 3. [52] Deut. xxxii, 30.

Digitized by Google

ἐχθρῶν συμμαχίαν. « Ἐγένετο γὰρ Ἐφραὶμ ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. Αἴγυπτον ἐπεκαλεῖτο, καὶ εἰς Ἀσσυρίους ἐπορεύετο · » ἀπηλλάχθαι τῶν ἐπηρτημένων ᾤοντο κακῶν. Καὶ δὴ βασιλεύοντος ἐν τῇ Σαμαρείᾳ τοῦ Μαναΐμ, ἀνέβη Φύλας βασιλεὺς Ἀσσυρίων ἐπὶ τὸν Ἰσραήλ. Εἶτα χρήμασι καὶ πρεσβείαις ἀνέπειθον ἀποσχέσθαι τῆς γῆς. Τοιοῦτό ἐστι τὸ, « Ἐπορεύθη Ἐφραὶμ πρὸς Ἀσσυρίους. » φασὶ δὲ πάλιν, ὁ τοῦ Ῥομελίου, βασιλεὺς Ἰσραήλ, κατεμισθοῦτό ποτε τὸν Ῥασσὼν, βασιλέα Συρίας, καὶ πεπολέμηκε τῷ Ἰούδᾳ καὶ τοῖς ἐκ φυλῆς Βενιαμὶν, βασιλεύοντος Ἄχατζ τοῦ Ἰωάθαμ υἱοῦ, ὃς δεδιὼς τὴν ἔφοδον, πρεσβείαις καὶ χρήμασιν ἀναπείθει τὸν Ἀσσύριον Θεγλαφαλασὰρ ἐπαμῦναι αὐτῷ. Ὁ δὲ τὴν Δαμασκὸν κατακράτος ἑλὼν, ἐκ μέσου καὶ αὐτὸν ἐποίει Ῥασσών. Ἀλλ' εἰ καὶ πεπόρευται, φησὶ, πρὸς Ἀσσυρίους ὁ Ἐφραὶμ, καὶ χρήμασιν ἐξεπρίατο καὶ λιταῖς τῆς ἐφόδου τὴν ἀνάδλησιν · κἂν εἰ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα Ἰαρεὶμ, τουτέστιν, ἔκδικον, ἤτοι ἐκδικητὴν (τοῦτο γὰρ τὸ Ἰαρεὶμ σημαίνει), ἀλλ' οὐ νενικήκασι τὴν θείαν ὀργὴν, οὔτε μὴν περιέσονται Θεοῦ, τῆς οὕτω δεινῆς ἀποστασίας ἐξαιτοῦντος δίκας. Οὐ γὰρ ἴσχυσε, φησὶν, ὁ χρήμασιν ἀναπεπεισμένος ἠρεμῆσαι βραχὺ, ἀλλ' οὐδὲ ἕτερός τις τῶν μεμισθοφορηκότων ἰάσασθαι ὑμᾶς. Πεπαύσεται δὲ οὐδαμῶς τῆς ὀδύνης τὸ κέντρον. Πάνδεινον οὖν ἄρα, τὸ μὴ σώζεσθαι μᾶλλον ἐπιθυμεῖν διὰ τῆς ἄνωθεν ἡμερότητος, ἐπιθαῤῥῆσαι δὲ ταῖς ἐξ ἀνθρώπων ἐπικουρίαις · καίτοι βοῶντος τοῦ Πνεύματος διὰ μὲν φωνῆς τοῦ μακαρίου Δαβίδ · « Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. Ἀγαθὸν ἐλπίζειν ἐπὶ Κύριον, ἢ ἐλπίζειν ἐπ' ἄρχοντας · » διὰ δὲ τοῦ προφήτου πάλιν Ἱερεμίου · « Ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει πρὸς ἄνθρωπον, καὶ στηρίσει σάρκας βραχίονος αὐτοῦ ἐπ' αὐτὸν, καὶ ἀπὸ Κυρίου ἀποστῇ ἡ καρδία αὐτοῦ, καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρήμῳ, ἣ οὐκ ὄψεται ὅταν ἔλθῃ τὰ ἀγαθά. Καὶ εὐλογητέος ὁ ἄνθρωπος, ὃς πέποιθεν ἐπὶ τῷ Κυρίῳ, καὶ ἔσται Κύριος ἐλπὶς αὐτοῦ. Καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ' ὕδατι, καὶ ἐπὶ ἰκμάδα βάλλει ῥίζας αὐτοῦ, καὶ οὐ μὴ φοβηθῇ ὅταν ἔλθῃ καῦμα. Καὶ ἐπ' αὐτῷ στελέχη ἁλσώδη, ἐν ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται, καὶ οὐ διαλείψει ποιοῦν καρπόν. » Ἄμεινον οὖν ἄρα, προσοικειοῦσθαι Θεῷ, καὶ τὸ σοφὸν ἐκεῖνο λέγειν ἐξ ἀγαθῆς διανοίας · « Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. »

cor non habens. Ægyptum invocabat, et ad Assyrios ibat [53], » ratus se imminentibus malis liberatum iri. Etiam regnante Manaim, Phulas rex Assyriorum contra Israelem ascendit [54] : cui legatis et pecuniis persuasus est reditus ; hoc est, « abiit Ephraim ad Assyrios. » Deinde Phacee, filius Romeliæ, rex Israel, pretio conduxit aliquando Rasin regem Syriæ, oppugnavitque Judam et tribules Benjamin, regnante Achaz, filio Joatham : qui incursionem timens, per legatos numerata pecunia Theglatphalasar ad sibi opitulandum impulit [55]. Qui Damasco armis capta, Rasin e medio sustulit. Sed quamvis abierit, inquit, ad Assyrios Ephraim, pecuniaque et precibus dilationem irruptionis emerit, tametsi legatos miserit ad regem Iarim, hoc est, defensorem sive ultorem (hoc enim Iarim sonat), tamen divinam iram non domuerunt, neque Deo prævalebunt, hujus adeo tetræ defectionis pœnas exigenti. Non enim potuit, inquit, pecunia persuasus ellicere ut paulum quiesceretis, nec alius mercede conductus sanare vos. Nunquam autem doloris stimulus cessabit. Est igitur pessimum, non magis cupere salvari per supernam mansuetudinem, sed humanis opibus fidere, cum per os beati David Spiritus clamet : « Bonum est confidere in Domino, quam confidere in homine. Bonum est sperare in Domino, quam in principibus [56]. » Et per Jeremiam : « Maledictus homo qui spem suam ponit in homine, et firmabit carnem brachii sui super eum, et a Domino recessit cor ejus. Et erit quasi silvestris myrica quæ est in deserto ; non videbit cum venerint bona. Benedictus homo qui confidit in Domino, et erit Dominus fiducia ejus, et erit quasi lignum abundans juxta aquas, et super humorem mittet radices suas, et non timebit cum venerit æstus, et in eo rami frondosi ; in anno siccitatis non timebit, et non desinet faciens fructum [57]. » Melius igitur ad Deum se adjungere, et illud sapiens dictum cum bona conscientia usurpare : « Tuus sum ego, salva me, quoniam justificationes tuas exquisivi [58]. »

Διότι ἐγώ εἰμι ὡς πάνθηρ τῷ Ἐφραὶμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα, καὶ ἐγὼ ἁρπῶμαι, καὶ πορεύσομαι, καὶ λήψομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος. Πορεύσομαι, καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ ἀφανισθῶσι.

23 Vers. 14, 15. *Quia ego quasi panthera Ephraim, et quasi leo domui Juda, et ego rapiam, et vadam, et tollam, et non erit qui eruat. Ibo, et revertar in locum meum, donec dispereant.*

Σ'. Ἐναργῆ καθίστησι τὴν αἰτίαν δι' ἣν ὤνησαν μὲν οὐδὲν οἱ τῷ Ἐφραὶμ ἐπαμύναντες, οὐ διαπεπαύσεται δὲ τὰ τῆς ὀδύνης αὐτοῖς. « Ἐγὼ γάρ εἰμι, φησὶ, ὡς πάνθηρ τῷ Ἐφραὶμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα. » Πρόδηλον οὖν, ὅτι Θεοῦ παραλύοντος, ὁ σώσων οὐδείς. « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει ; » κατὰ τὸ γεγραμμένον. Ὅτι δὲ καὶ ἡμερότητος ἁπάσης ἐξῃρημένης, τὰ ἐπ' αὐτοῖς γενέσθαι συμ-

LX. Manifestam affert rationem quare Ephraim auxilium ferentes nihil promoverint, et non cessaturus sit ab eis dolor eorum. « Ego enim sum, » inquit, « Ephraim ut panthera, et ut leo domui Juda. » Liquet ergo, Deo perdente neminem fore qui salvet. « Manum enim excelsam quis avertet [59] ? » ut scriptum est. Contigisse autem illis quæ contigerunt, desertis ab omni clementia Dei, sub velamento, im-

[53] Osee, VII, 11. [54] IV Reg. XV, 19. [55] IV Reg. XVI, 7. [56] Psal. CXVII, 8, 9. [57] Jer. XVII, 5-8. [58] Psal. CXXXII, 56. [59] Isa. XIV, 27.

Digitized by Google

petum suum terribilibus robustissimisque belluis comparans significavit. Panthera enim incitatissimo cursu fertur in quos vult, adeoque levi pede salit, ut vix vestigium ejus cernatur, neque ullum signum humi relinquat. Ast leo tremendum quidem et horrisonum in montibus rugit, tonitrui instar, audientesque percellit quodammodo. Ait enim: « Leo rugiet, et quis non timebit [60]? » Nec ejus accessus arceri, et vis invadentis difficulter repelli potest. Quod corripuerit, illico perdit, nec quisquam ejus unguibus implicitum auferat. Pantheram porro celeritate valere et volare propemodum præda direpta; leonem bestiam esse validam, imperterritam, cujus occursus periculosus, ipse ostendit cum subjungit: « Et ego rapiam, et vadam, et tollam; et non erit qui eruat. » Hoc enim leonum robori convenit: ast illud, « Rapiam, et vadam, et tollam, » panthera facit, ut dixi. Quod autem Dominus eos a quibus offensus est deserturus sit, et auxilium pene subtracturus, et benevolentia sua eos privaturus, indicavit illis verbis, « Ibo, et revertar in locum meum, donec dispereant. » Nullo quidem modo divinitas loco includitur ac definitur. Sed adesse quibusdam dicitur, cum eos gratia et favore suo donat: abesse rursum ab iis qui peccaverunt, quando eos aversatur, lenitatemque suam ipsis tribuere desinit. De Deo enim more humano loquitur; sed ea prout illi consentaneum est intelligimus.

Et requirent faciem meam cum fuerint tribulati.

LXI. Impotenter ad nefaria declinantibus, et sine fine peccare solitis non temere, sed ad utilitatem potius, et tanquam medicinam a Deo sæpenumero incommoda importari, iterum 94 docet. Contemptores enim divinæ mansuetudinis et ignorantes se ad pœnitentiam tam incredibili tolerantia invitari, inflammatam ejus iram non effugient ullo modo [61]; quinimo calamitatis acerbitate fracti ac debilitati, quid sibi conducat intelligent: et quibus nihil profuit benignitas, eos ad notitiam utilitatis suæ ærumnarum supplicia inducunt. Quemadmodum enim affectus corporum graviores, et lenibus medicamentis non cedentes, igni ferroque frequenter superantur: eodem, opinor, modo ac ratione animabus humanis affectus seu vitia contingentia nisi mitibus verbis cedant, et prudenti ratiocinatione vincantur, laboribus, et flagellis, et sævis calamitatibus depelluntur. Tribulatione igitur pressi, tum vix tandem, inquit, « faciem meam requirent. » Cum enim bona in potestate sunt, homines imprudentes ipsis gaudia facientem non multum curant. At si optatissimis exuamur, tum vero acrius ea desiderantes, sensum molestiæ incredibilem et inconsolabilem haurimus. « Cum itaque tribulati fuerint, tunc faciem meam requirent. »

A δέδηκεν, ὑπέφηνεν αἰνιγματωδῶς, τοῖς ὅτι μάλιστα δεινοῖς καὶ ἀλκιμωτάτοις θηρίοις τὴν οἰκείαν ὁρμὴν παρεικάζων. Ὁ μὲν γὰρ πάνθηρ ὀξυτάτῳ λίαν καθ' ὧν ἂν ἕλοιτο φέρεται δρόμῳ, ἐλαφροῖς δὲ οὕτως ἅττει ποσίν, ὡς μηδὲ ἴχνους ὁρᾶσθαι τάχα που, μήτε μὴν ἐνσημαίνεσθαί τι τῇ γῇ. Ὁ δὲ λέων ἐρεύγεται μὲν ἐν τοῖς ὄρεσι δεινὸν, καὶ διαβρίθες, καὶ βροντῇ παραπλήσιον, καὶ καταπλήττειν οἷόν τε τοὺς ἀκροωμένους. « Λέων γὰρ, φησὶν, ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται· » ἄμαχον δὲ ἔφοδον ἔχει, καὶ σφόδρα δυσάντητον τὴν ὁρμήν. Εἰ δὲ δή τι λάβοι, τοῦτο διόλωλεν εὐθὺς, καὶ οὐκ ἂν ἐξέλοιτό τις τὸ ἐνειλη[μ]μένον. Ὅτι δὲ θηρίον ὀξὺ ὁ πάνθηρ, ἀφίπταται δὲ ὥσπερ, τὸ ἐπιτυχὸν ἁρπάσας· ἄθραυστον δὲ χρῆμα, καὶ ἀδεὲς, καὶ δυσάντητον ὁ λέων ἐστὶν, αὐτὸς παρέδειξεν ἐπειπών· « Καὶ ἐγὼ ἁρπῶμαι, καὶ B πορεύσομαι, καὶ λήψομαι, καὶ οὐκ ἔσται ἐξαιρούμενος. » Ἁρμόζει γὰρ τοῦτο τῇ λεόντων ἀλκῇ· τὸ δὲ, « Ἁρπῶμαι, καὶ πορεύσομαι, » δράσειεν ἂν ὁ πάνθηρ, ὡς ἔφην. Ὅτι δὲ καὶ ἀποφοιτήσει τῶν λελυπηκότων ὁ Κύριος, καὶ μονονουχὶ συστελεῖ τὴν ἐπικουρίαν, καὶ ἀποστερήσει τὸ εὐμενὲς, διαμεμήνυκεν, εἰπών· « Πορεύσομαι, καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ ἀφανισθῶσι. » Τόπῳ μὲν γὰρ ἀπεριόριστον παντελῶς τὸ Θεῖόν ἐστι· παρεῖναι δὲ λέγεταί τισιν, ὅταν χαρίζηται τὴν εὐμένειαν· ἀπεῖναι δὲ αὖ τῶν ἡμαρτηκότων, ὅταν αὐτοὺς ἀποστρέφηται, καὶ ἀνακόπτῃ τὴν ἡμερότητα. Λαλεῖται μὲν γὰρ ἀνθρωπίνως τὰ περὶ Θεοῦ, νοεῖταί γε μὴν, ὡς ἂν αὐτῷ πρέποι.

C *Καὶ ἐπιζητήσουσί τὸ πρόσωπόν μου ὅταν θλιβῶσιν.*

ΞΑ'. Ὅτι μὴ εἰκῇ τοῖς ἀχάλινον ἔχουσιν ἐπὶ τὰ αἰσχίω τὴν ῥοπὴν, καὶ τοῖς ἀκαταλήκτως εἰωθόσι πλημμελεῖν ἐπιφέρεται πολλάκι, παρὰ Θεοῦ τὰ δεινὰ, πρὸς ὠφελείας δὲ μᾶλλον, καὶ ὡς ἐν ἰάματος τρόπῳ, διδάσκει πάλιν. Οἱ γὰρ τῆς θείας ἡμερότητος καταφρονηταὶ, καὶ ἠγνοηκότες ὅτι καλεῖ πρὸς μετάγνωσιν τὸ τῆς ἀνεξικακίας μέγεθος, τῶν ἐξ ὀργῆς κινημάτων οὐ περιέσονται πῶεν· περιθραυόμενοι δὲ μᾶλλον τῇ τῆς συμφορᾶς ἀγριότητι, τὸ συμφέρον ἐπιγινώσκουσι· καὶ οὓς οὐδὲν ὤνησεν ἡ φιλανθρωπία, πρὸς τὴν τοῦ συμφέροντος ἀποφέρει γνῶσιν τὸ κατα- D ικίζεσθαι. Ὃν γὰρ τρόπον τὰ ἐν τοῖς σώμασιν ἀγριαίνοντα τῶν παθῶν, καὶ ὅσα μὴ τοῖς ἠπίοις εἴκει φαρμάκοις, πυρὶ καὶ σιδήρῳ νικᾶται πολλάκις· κατὰ τὸν ἴσον, οἶμαι, τρόπον τε καὶ λόγον, καὶ τὰ ἐν ταῖς ἀνθρωπίναις ψυχαῖς ἐπισυμβαίνοντα πάθη, εἰ μὴ χρηστοῖς ὑπείκει λόγοις, μηδὲ λογισμῷ νικᾶται τῷ σώφρονι, πόνῳ καὶ μάστιγι καὶ ταῖς ἀνηκέστοις παραχωροῦσι συμφοραῖς. Ἐκτεθλιμμένοι δὴ οὖν, τότε δὴ μόλις, φησὶ, « Τὸ ἐμὸν ἐπιζητήσουσι πρόσωπον. » Κειμένων γὰρ ἐν ἐξουσίᾳ τῶν ἀγαθῶν, οὐ πολλὴ τοῖς ἀσυνέτοις ἡ τοῦ κατευφραίνοντος αἴσθησις. Εἰ δὲ δὴ τῶν οὕτως εὐκταιοτάτων ἀποστερεῖσθαι συμβαίνοι, τότε δὴ μάλιστα δριμυτέραις ἐπ' αὐτὰ ταῖς ἐπιθυμίαις ἐρχόμεθα. Εἰσδεχόμεθα δὲ πολλὴν καὶ ἀνταγώνιστον τοῦ λυποῦντος τὴν αἴσθησιν. « Ὅτε τοίνυν θλιβῶσι, τότε τὸ ἐμὸν ζητήσουσι πρόσωπον. »

[60] Amos, III, 8. [61] Rom. II, 5 seqq.

Digitized by Google

Ἔοικε δὲ ὁ λόγος εὐαφόρμως ἀναφοιτᾶν ἐπὶ τὸ τοῦ Χριστοῦ μυστήριον, καὶ τὴν δι' αὐτοῦ λύτρωσίν τε καὶ πρὸς Θεὸν ἐπιστροφὴν εὖ μάλα παραδηλοῦν. Τὸ γὰρ ζητούμενον τοῦ Θεοῦ πρόσωπον, αὐτὸς ἂν νοοῖτο, καὶ σφόδρα εἰκότως, ὁ Υἱός, « Ὃς ἐστιν εἰκὼν, καὶ ἀπαύγασμα, καὶ χαρακτὴρ τῆς ὑποστάσεως τοῦ Πατρός. » Πρόσωπον οὖν τὸ ἀληθὲς τοῦ Θεοῦ καὶ Πατρὸς, ὁ Υἱὸς, εἴπερ ἐν αὐτῷ γινώσκεται, « Καὶ ἑωρακὼς αὐτὸν, ἑώρακε τὸν Πατέρα. » Οὕτως αὐτὸν ὀνομάζει ὁ θεσπέσιος Μελῳδὸς, πρὸς τὸν τῶν ὅλων Θεὸν ἀνακεκραγώς τε καὶ λέγων· « Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου. » Καὶ μὴν καὶ ὡς ἐκ προσώπου τῶν πεπιστευκότων, καὶ μεμορφωμένων ἤδη πρὸς τὸν Υἱὸν διὰ Πνεύματος, « Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. » Ὡς γάρ φησιν ὁ προφήτης, « Φῶς προσώπου ἡμῶν, Χριστὸς Κύριος. »

A Videtur sermo percommode ad Christi mysterium redire, et redemptionem per illum, atque ad Deum conversionem prope admodum significare. Nam facies Dei quæ requiretur, ipse Filius commodissime intelligi queat, « qui est imago, et splendor, et figura substantiæ Patris [62]. » Vera igitur facies Dei et Patris, Filius : siquidem in eo cognoscitur, « et qui vidit ipsum, vidit et Patrem [63]. » Quo nomine et divinus Cantor eum appellat, ad universorum Deum clamans, et dicens : « Faciem tuam illumina super servum tuum [64]. » Quin etiam ut ex persona fidelium, et per Spiritum jam ad Filium transformatorum, « Signatum est, inquit, super nos lumen vultus tui, Domine [65]. » Ut enim ait propheta : « Lumen faciei nostræ Christus Dominus [66]. »

B

ΚΕΦΑΛ. Ϛ'.

Ὀρθριοῦσι πρός με, λέγοντες· Πορευθῶμεν, καὶ ἐπιστρέψωμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ὅτι αὐτὸς ἥρπακεν, καὶ ἰάσεται ἡμᾶς, πατάξει, καὶ μετώσει ἡμᾶς· ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας· ἐν ἡμέρᾳ τῇ τρίτῃ ἐξαναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ, καὶ γνωσόμεθα. Διώξομεν τοῦ γνῶναι τὸν Κύριον. Ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτὸν, καὶ ἥξει ὡς ὑετὸς ἡμῖν πρώϊμος καὶ ὄψιμος γῇ.

CAP. VI.

VERS. 1-3. *Maniçabunt ad me dicentes : Eamus, et revertamur ad Dominum Deum nostrum, quia ipse rapuit, et sanabit nos, percutiet, et quasi penicillo vulnerario indito curabit nos; sanabit nos post duos dies; in die tertia resurgemus, et vivemus* 95 *coram eo, et cognoscemus. Persequemur, ut cognoscamus Dominum. Quasi mane paratum inveniemus eum, et veniet ut pluvia nobis tempestiva et serotina terræ.*

ΞΒ'. Τὸ « ὀρθριοῦσιν » ἐν τούτοις ὑποσημαίνειν ἔοικεν, ὅτι καθάπερ ἐξ ὕπνου διεγηγερμένοι τῆς ἐνούσης ἀβουλίας αὐτοῖς, καὶ οἱονείπως ἀπὸ νυκτὸς C καὶ σκότους ἐνηνεγμένοι λοιπὸν εἰς φῶς καὶ ἡμέραν, προτροπάδην ἀλλήλοις ἐπιφωνήσουσιν, ὅτι προσήκει λοιπὸν ἐπιστρέφειν πρὸς Κύριον. Ἀνάνηψις δὲ αὕτη τῶν εἰς ἀπάτην ὠλισθηκότων, καὶ ταῖς τῶν εἰδώλων λατρείαις ἐνειλημ[μ]ένων. Νήψεως γὰρ ἤδη καρπὸς, τὸ ἀχλύος μὲν ἔξω γενέσθαι ζητεῖν, τῆς δαιμονιώδους δηλονότι· φωτὶ δὲ ὥσπερ τῷ θείῳ λοιπὸν ἐκμεμεστωμένους, ὀρθῷ διάττειν σκοπῷ πρὸς ἐπίγνωσιν τοῦ φύσει τε καὶ ἀληθῶς Θεοῦ καὶ Δεσπότου, καίτοι πάλαι διακειμένους, ὅτι θεοὶ καὶ κύριοι κατὰ τὸν κόσμον εἰσὶν· ὡς εἰς τοῦτο καθικέσθαι δυσβουλίας, ὥστε καὶ τῷ ξύλῳ λέγειν· « Πατήρ μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. » Ἐπιμένει δὲ ὁ λόγος τῇ τροπῇ. Θέα γὰρ ὅπως καθάπερ ἐπὶ λέοντος, D ἤγουν ἑτέρου θηρίου, φασὶ τὸ, « Αὐτὸς ἥρπασε, καὶ ἰάσεται ἡμᾶς. » Ἐπειδὴ γὰρ ἔφασκε, « Καὶ ἐγὼ ἔσομαι ὡς πάνθηρ τῷ Ἐφραΐμ, καὶ ὡς λέων τῷ οἴκῳ Ἰούδα, καὶ ἐγὼ ἁρπῶμαι, καὶ πορεύσομαι, καὶ οὐκ ἔσται ὁ ἐξαιρούμενος, » τετηρήκασι τῆς μεταφορᾶς τὸ σχῆμα, καί φασιν, ὅτι θεραπεύσει πάντως ὁ ἁρπάσας. Ὥσπερ γὰρ λελύπηκεν ἡ ὀργὴ, κατευφραίνει που πάντως τοὺς πεπονθότας τὰ ἐκ τῆς ἡμερότητος ἀγαθά. Ὑμοῦ δὲ κἀκεῖνο συνήσομεν, ὅτι Θεοῦ κακοῦντός τινας, ὀνήσειεν ἂν οὐδείς· δέοιτο δ' ἂν τὰ τῶν πεπονθότων αὐτοῦ τε καὶ μόνου πρὸς ἐπανόρθωσιν.

LXII. « Mane consurgent » hoc loco videtur significare, semel a somno dementiæ qua tenentur excitatos, et quasi e nocte atque tenebris de cætero in lucem et diem ingressos, inter se cohortando acclamaturos decere in posterum reverti ad Dominum. Est autem hæc resipiscentia seductorum idolorumque cultibus involutorum. Resipiscentiæ enim fructus, quærere e tenebris absolvi, diabolicis, inquam, ac deinceps velut divino lumine repletos, recto scopo ad naturam et vere Dei ac Domini agnitionem properare, licet pridem senserint, deos ac dominos in mundo esse. Unde eo stultitiæ perveneruntut etiam ligno dicerent : « Pater meus es tu : et lapidi : Tu me genuisti [67]. » Manet autem sermo tropicus. Vide enim quomodo tanquam de leone aut alia fera dicunt, « Ipse rapuit, et sanabit nos. » Postquam enim dixit, « Et ego ero ut panthera Ephraim, et ut leo domui Juda; et ego rapiam, et vadam, et non erit, qui eruat, » servant figuram metaphoræ aiuntque : Omnino sanabit qui rapuit. Sicut enim ira contristavit, sic bona ex mansuetudine impertita afflictos prorsus exhilarabunt. Simul et illud intelligemus, Deo quosdam premente, contra niti neminem posse; sed miserorum rebus ipso et solo ad restitutionem opus esse.

Εἰ δὲ χρὴ καὶ ἐφ' ἅπαντας ἁπλοῦν τοὺς ὄντας ἐπὶ τῆς γῆς τῆς προφητείας τὴν δύναμιν, ἐκεῖνο συν-

Quod si prophetiæ vis ad omnes mortales extendenda est, hunc sensum eliciemus. Rapuit in prin-

[62] Hebr. I, 3. [63] Joan. XIV, 9. [64] Psal. CXVIII, 135. [65] Psal. IV, 7. [66] Thren. IV, 20. [67] Jer. II, 27.

Digitized by Google

cipio hominis naturam Adam : statim quippe maledicto obnoxiam reddidit, mortique et corruptioni subjecit. Percussit igitur ira ; sed gratia velut linamento in vulnus imposito curavit. Sanavit enim Christus ; ad agnitionem veræ visionis divinæ vocavit ; per Spiritum ad mandatorum observationem confirmavit ; beatos iterum fecit ; corruptioni exemit, et veteribus morbis, peccato scilicet ac passionibus, liberavit. Evenerunt autem hæc mortalibus non ut primo maxime, aut secundo tempore, sed ut in tertio, hoc est, in ultimo ac supremo. Omnia siquidem tempora tribus gradibus **96** continentur, primo, medio, ultimo, quo nobis Christus apparuit. Idcirco velut ex medica experientia dicunt : Curatio nobis post dies duos eveniet, prophetico sermone unum diem pro tempore nobis metiente. Tunc, inquit, « Persequemur, ut cognoscamus Dominum. » Persequemur, pro, studebimus, aiunt. Tunc et « Resurgemus, et vivemus coram illo. » Consurreximus enim cum Christo [68] ; et quoniam unus pro omnibus mortuus est, ejus vitam vivimus [69], non jam ab oculis Dei propter transgressionem remoti, neque tanquam post tergum propter peccatum abjecti ; sed ad conspectum de cætero admissi, et fiduciam in ipso propter justitiam in Christo habentes. Et per illum etiam ipsum Patrem nos cognovisse, et Filium nostri similem factum, plenitudinem nobis esse omnis boni confitentur, dicentes, « Quasi mane paratum inveniemus eum, » hoc est, ut lumen exoriens, ut solem, ut splendorem fugatis tenebris. Erit autem nobis « ut tempestivus et serotinus imber. » Rigat enim nos qui fidem suscepimus, et adventum ejus rite cognovimus duplici modo, ut opinor. Revelat namque in spiritu veterum et legalium, et insuper propheticarum doctrinarum notitiam. Et hæc, ut puto, est temporanea pluvia : cui quodammodo serotinam addidit, evangelicæ disciplinæ intelligentiam et apostolicarum prædicationum optatissimum beneficium. Facti sumus autem, ut est apud prophetam, « terra cupita. » Ac fortasse de nobis psallit beatus David : « Visitasti terram, et inebriasti eam, multiplicasti locupletare eam [70]. » Quamobrem dedit fructum suum, centesimum, sexagesimum, tricesimum [71], juxta vocem Salvatoris.

A ἠσμεν. Ἥρπασε μὲν γὰρ ἐν ἀρχαῖς τὴν ἀνθρώπου φύσιν ὁ Ἀδάμ· ἐπάρατον γὰρ ἀπέφηνεν εὐθὺς, ὑποθεὶς θανάτῳ καὶ φθορᾷ. Οὐκοῦν ἔπληξεν ἡ ὀργή, ἀλλ' ἐμότωσεν ἡ χάρις. Ἴάσατο γὰρ ὁ Χριστὸς, κέκληκεν πρὸς ἐπίγνωσιν τῆς ἀληθοῦς θεοπτίας, ἐδραίους ἀπέφηνε διὰ τοῦ Πνεύματος εἰς τήρησιν ἐντολῶν, ζηλωτοὺς ἀπέδειξε πάλιν καὶ φθορᾶς ἐπέκεινα τιθεὶς, καὶ τῶν ἀρχαίων ἡμᾶς ἀπαλλάξας ἀῤῥωστημάτων, ἁμαρτίας δὴ, λέγω, καὶ παθῶν. Συμβέβηκε δὲ τὰ τοιάδε τοῖς ἐπὶ τῆς γῆς, οὐχ ὡς ἐν πρώτῳ μᾶλλον, ἤγουν ἐν δευτέρῳ καιρῷ, ἀλλ' ὡς ἐν τρίτῳ, τουτέστι, τῷ λοίσθῳ καὶ τελευταίῳ. Χρόνοι μὲν γὰρ οἱ πάντες ἀριθμοῦνται τρεῖς, πρῶτός τε καὶ μέσος, καὶ τελευταῖος, καθ' ὃν ἡμῖν ἐπέφανεν ὁ Χριστός. Ταύτητοί φασιν, ὅτι τὰ τῆς μοτώσεως ἡμῖν B καθάπερ ἐξ ἰατρικῆς ἐμπειρίας ἔσται μετὰ δύο ἡμέρας, ἡμέραν ἡμῖν εἰς καιρὸν τοῦ προφητικοῦ μετροῦντος λόγου. Τότε, φησὶ, « Διώξομεν, τοῦ εἰδέναι τὸν Κύριον. » Τὸ, Διώξομεν, ἀντὶ τοῦ Σπουδάσομεν φασί. Τότε καὶ ἀναστησόμεθα, καὶ ζησόμεθα ἐνώπιον αὐτοῦ. Συνεγηγέρμεθα γὰρ τῷ Χριστῷ· καὶ ἐπειδὴ εἷς ὑπὲρ πάντων ἀπέθανε, τὴν αὐτοῦ ζῶμεν ζωὴν, οὐκ ἐξ ὀφθαλμῶν ἔτι κείμενοι Θεοῦ, διὰ τὴν παράβασιν· οὔτε μὴν ὡς ἐῤῥιμμένοι κατόπιν, διὰ τὴν ἁμαρτίαν· ἀλλ' ἐν ὄψει λοιπὸν ἐνηνεγμένοι, καὶ παῤῥησίαν ἔχοντες παρ' αὐτῷ, διὰ τὴν ἐν Χριστῷ δικαιοσύνην. Καὶ ὅτι δι' αὐτοῦ, καὶ αὐτὸν ἐγνώκαμεν τὸν Πατέρα, ὅτι δὲ πλήρωσις ἡμῖν ἐστι παντὸς ἀγαθοῦ καθ' ἡμᾶς γεγονὼς ὁ Υἱὸς, ὁμολογοῦσι λέγοντες· C « Ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτὸν, » τουτέστιν, ὡς φῶς ἀνίσχον, ὡς ἥλιον, ὡς αὐγὴν, παρυχηκότος τοῦ σκότους. Ἔσται δὲ ἡμῖν « Ὡς πρώϊμός τε καὶ ὄψιμος ὑετός. » Κατάρδει γὰρ ἡμᾶς τοὺς τὴν πίστιν εἰσδεδεγμένους, καὶ ἐπεγνωκότας ὀρθῶς τὴν ἐπιφάνειαν αὐτοῦ, κατὰ διττὸν, οἶμαι, τρόπον. Ἀποκαλύπτει μὲν γὰρ ἐν πνεύματι τῶν ἀρχαίων τε καὶ νομικῶν καὶ πρὸς τούτοις ἔτι προφητικῶν παιδευμάτων τὴν γνῶσιν. Καὶ τοῦτο, οἶμαι, ἐστὶν ὁ πρώϊμος ὑετός. Ὄψιμον δὲ ὥσπερ [πρὸς] ἐκείνῳ δίδωσι τῶν εὐαγγελικῶν παιδευμάτων τὴν νόησιν, καὶ ἀποστολικῶν κηρυγμάτων τὴν τριπόθητον χάριν. Γεγόναμεν δὲ, ὡς ὁ προφήτης φησὶ, « Γῆ θελητή· » καὶ τάχα περὶ ἡμῶν ψάλλει λέγων ὁ μακάριος Δαβίδ· « Ἐπεσκέψω τὴν γῆν, καὶ ἐμέθυσας αὐτήν· ἐπλήθυνας τοῦ αὐτῆς ἑκατὸν, ἑξήκοντα, καὶ τριάκοντα, κατὰ τὴν

Vers. 5. *Quid tibi faciam, Ephraim? quid tibi faciam, Juda? Misericordia autem mea quasi nubes matutina, et quasi ros matutinus pertransiens.*

D *Τί σοι ποιήσω, Ἐφραΐμ; τί σοι ποιήσω, Ἰούδα; Τὸ δὲ ἔλεός μου ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη.*

LXIII. Non sunt verba dubitantis : neque enim ignorabat Deus quid errantibus expediret, neque illum virtus defecit ad præstanda quæ diabolicis laqueis irretitis prodesse possent ; quin accusat eos potius quod, cum ad curationem nihil ipsis deesset, tamen impetu voluntario ad illicita factitanda deflexerint. Perinde enim est fortasse ac si dicat : Cujus indulgentiæ et auxilii modus excogita-

ΞΓ'. Οὐκ ἠπορηκότος ὁ λόγος· οὐ γὰρ ἂν ἠγνόησε Θεὸς τὸ τοῖς πλανωμένοις χρήσιμον· ἀλλ' οὐδ' ἂν ἠτόνησε πρὸς κατόρθωσιν τῶν ὠφελεῖν πεφυκότων τοὺς τοῖς διαβολικοῖς ἐναλόντας βρόχοις. Ἐπαιτιᾶται δὲ μᾶλλον, ἐκλελοιπότος μὲν αὐτοῖς τῶν πρὸς θεραπείαν οὐδενὸς, ἐθελουσίοις δὲ μᾶλλον ἐκκεκλικότας ὁρμαῖς ἐπὶ τὸ δρᾷν ἃ μὴ θέμις. Ὅμοιον γὰρ ὡς εἰ καὶ λέγοι τυχόν· Ποῖος ἄρα φειδοῦς καὶ ἐπικουρίας

[68] Coloss. III, 1. [69] II Cor. V, 15. [70] Psal. LXIV, 10. [71] Matth. XIII, 8.

Digitized by Google

οὐκ ἐξηύρηται τρόπος; καὶ τί μετ' ἐκεῖνα ποιήσω; ἀποκρούσῃ δὲ ὅπως τὴν ἀῤῥωστίαν; ἢ ποίοις λοιπὸν ἀγιασθήσῃ φαρμάκοις; Ἐξῆν μὲν γὰρ ὑμῖν ὡς νεφέλης καταπιαινούσης, καὶ σφόδρα πλουσίως, καὶ ὡς καταρδούσης δρόσου τῆς ἐωθινῆς μεταλαχεῖν δύνασθαι, καὶ τοῦτο ἀμφιλαφῶς, τῆς ἐμῆς ἡμερότητος καὶ ἀσυγκρίτου φιλανθρωπίας· ἀλλ' οὐδενὸς τὸ χρῆμα, φησὶ, ἠξιώσατε λόγου· παρ' οὐδὲν πεποίησθε τὴν οὕτω σεπτὴν καὶ πολύευκτον χάριν.

Ἁρμόσειε δ' ἂν ὅτι μάλιστα τῇ διὰ Χριστοῦ δωρεᾷ τῆς προφητείας ἡ δύναμις. Αὐτὸς γάρ ἐστιν ἡ κατάρδουσα νεφέλη, ἡ καταπιαίνουσα δρόσος· ἐωθινὴ δὲ, ὅτι μετὰ νύκτα τρόπον τινὰ τὴν ὡς ἐν ἀχλύῖ καὶ σκότῳ νοουμένην διαβολικῷ. Καταπεφοίτηκεν οὖν οὐρανόθεν. Ἀφῖκται γὰρ ἄνωθεν καὶ παρὰ Πατρὸς πρὸς ἡμᾶς ὁ Λόγος. « Πορευομένη » δὲ, ὅτι κατὰ πάσης ἔρχεται τῆς ὑπ' οὐρανόν. Πλατὺ γὰρ λίαν τὸ σωτήριον κήρυγμα, καὶ ἀπάσης τῆς ὑπ' οὐρανὸν μονονουχὶ κατευρύνεται· καίτοι τοῦ νόμου συνεσταλμένου τρόπον τινὰ, καὶ μόνην τὴν Ἰουδαίων περιπολοῦντος χώραν. « Γνωστὸς μὲν γὰρ ἦν ἐν Ἰουδαίᾳ ὁ Θεὸς, » κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν. Ἔγνωκε δὲ ἡ σύμπασα τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, τουτέστι Χριστόν.

Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν, ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου.

ΞΔ'. Φειδοῦς καὶ ἀγάπης τῆς εἰς αὐτοὺς ἀπόδειξις, ἡ τῶν πλανώντων ἀναίρεσις. Γεγόνασι μὲν γὰρ ψευδοπροφῆται κατὰ καιροὺς ἐπὶ τὸν Ἰσραὴλ, τοῖς τοῦ Βάαλ τεμένεσι προσεδρεύοντες, καὶ πλανῶντες, καὶ πλανώμενοι, κατὰ τὸ γεγραμμένον. Πλὴν ἀνῄρηνται κατὰ καιροὺς, προηγορευκότος καὶ τοῦτο Θεοῦ, καὶ ὁσίαν ἐπ' αὐτοῖς ἐξενεγκόντος τὴν ψῆφον. Τοὺς μὲν γὰρ ἀνεῖλεν Ἠλιοὺ παρὰ τὸ Βάαλ θυσιαστήριον, εἰκαιομυθοῦντάς τε καὶ λέγοντας· « Ἐπάκουσον ἡμῶν, ὁ Βάαλ, ἐπάκουσον ἡμῶν· » τοὺς δὲ ἀπέκτεινεν Ἰηοὺ, ὃν κέχρικε βασιλέα ἐπὶ τὸν Ἰσραὴλ ὁ μακάριος προφήτης Ἐλισσαιὲ δι' ἑνὸς τῶν παιδαρίων, Θεοῦ καὶ τοῦτο γενέσθαι προστάττοντος. Ὅς ἐπεί τοι κέχρισται, Θεοῦ τοῖς πλανῶσιν ἐπιμηνίσαντος, πρῶτον μὲν ἀνεῖλε τὸν Ἀχαὰβ, ἐπ' αὐτῷ δὲ τὴν Ἰεζάβελ, εἶτα τοὺς υἱοὺς αὐτοῦ, τοὺς ἐν ὅλῃ Σαμαρείᾳ. Προσποιησάμενος δὲ τὸ βούλεσθαι καὶ ἑορτὴν τῷ Βάαλ ἑορτὴν, πάντας συνεκόμισε τοὺς ψευδοπροφήτας, καὶ θύειν ὑποκρινάμενος, συνειλεγμένους εἰς οἶκον ἀπέσφαξεν καθ' ἕνα. Κατέσπασε δὲ καὶ αὐτὸν τὸν Βάαλ, καὶ τὰς στήλας αὐτοῦ ἐνέπρησε· γέγραπται γὰρ ὧδί. Οὐκοῦν ὅτι φειδοῦς, καὶ ἀγάπης, ὡς ἔφην, τῆς εἰς γε τὸν Ἰσραὴλ ἀπόδειξις ἦν ἡ τῶν ψευδοπροφητῶν ἀναίρεσις, ἐδίδαξεν, εἰπών· « Διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν. » Εὖ δὲ δὴ λίαν καὶ τὸ, « ἀπεθέρισα, » φησί. Πεπτώκασι γὰρ κατὰ πληθὺν, ἀσταχύων δίκην ἀμώμενοι.

Καὶ τὸ κρῖμά μου ὡς φῶς ἐξελεύσεται, διότι ἔλεος θέλω, ἢ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα.

ΞΕ'. Ἕτερον ἡμῖν φειδοῦς καὶ ἀγάπης τῆς εἰς αὐτοὺς ἐξηγεῖται τρόπον, ὃς, εἴπερ τετέλεστο κατὰ τὸ αὐτῷ δοκοῦν, σέσωστο σύμπας ὁ Ἰσραὴλ, καὶ

A tus non est? et quid post hæc faciam? quomodo morbum profligabis? **97** aut quibus in posterum medicamentis sanitatem recipies? Cum enim lenitatem et incomparabilem benignitatem meam ut nubem abundantissime pinguefacientem, et ut rorem matutinum copiose irriganiem consequi possetis, rem tantam nihili fecistis; gratiam adeo venerandam et omnibus votis exoptandam contempsistis.

Præcipue autem in donationem per Christum hoc vaticinium quadrabit. Hæc est namque irrigans nubes, pinguefaciens ros; et matutinus, quia quasi post noctem, quæ in caligine et tenebris diabolicis intelligitur. Descendit igitur de cœlo. Venit enim desuper et a Patre ad nos Verbum. « Pertransiens, »
B quia per omnem qui sub cœlo est mundum pervasit. Valde enim late diffusa Salvatoris prædicatio, perque universas orbis provincias tantum non instar germinis dilatata ac propagata est, cum lex, quasi contracta, solam Judæorum provinciam complexa sit. « Notus enim in Judæa Deus [72], » juxta vocem Psalmistæ. Totus contra terrarum orbis universorum Dominum Salvatoremque, hoc est Christum, cognovit.

Vers. 5. *Propterea demessui prophetas vestros, occidi eos in verbo oris mei.*

LXIV. Indulgentiæ et charitatis in ipsos demonstratio, seducentium interfectio. Exstiterunt enim aliquando pseudoprophetæ in Israel, delubris Baal
C assidentes, seducentes et seducti [73], ut scriptum est. Verumtamen deinde sublati sunt e medio, postquam et hoc Deus prædixit, et justam in eos sententiam tulit. Alios enim occidit Elias juxta altare Baal, inania garrientes, dicentesque : « Exaudi nos, Baal, exaudi nos [74]; » alios Jehu quem beatus propheta Eliseus per servulum super Israel regem unxit [75], Deo et hoc imperante. Qui ubi unctus est, Deo impostoribus irato, primum quidem neci dedit Achab, post ipsum Jezabel, deinde filios ejus per totam Samariam. Et simulans velle se Baal festum agere, omnes pseudoprophetas congregavit, sacrificiumque prætexens, in domo conclusos ad unum peremit. Detraxit item Baal ipsum, et statuas ejus exussit, ut litteris mandatum est. Indulgentiæ igitur
D et charitatis, ut dixi, **98** erga Israelem argumentum certissimum esse pseudoprophetarum cædem, docuit his verbis : « Propterea demessui prophetas vestros. » Apposite « demessui, » inquit; magno enim numero, instar spicarum demessi ceciderunt.

Vers. 6. *Et judicium meum quasi lux egredietur, quia misericordiam volo, et non sacrificium, et scientiam Dei magis quam holocausta.*

LXV. Alium indulgentiæ charitatisque erga illos modum enarrat, qui si, ut ipse volebat, ad finem perductus foret, universus Israel et Judas servatus

[72] Psal. LXXV, 2. [73] Matth. XXIV, 11. [74] III Reg. XVIII, 26. [75] IV Reg. IX, 1.

Digitized by Google

cæset. Non enim tantummodo sceleratorum prophetarum multitudinem detotondit, digna in illos morte constituta : sed etiam temporibus suis ipsum Filium misit Deus et Pater, qui sanguine Israelitico progenatus, præ aliis bonam ejus voluntatem patefaceret, judiciumque declararet. Proinde dicebat illud per os Davidicum : « Ego constitutus sum rex ab eo super Sion montem sanctum ejus, annuntians præceptum Domini [76]. » Et per seipsum, similis nostri factus, id est, homo « A meipso non loquor [77]; sed qui misit me Pater, ipse mandavit mihi quid dicam, et quid loquar [78]. » Inquit ergo, « egredietur judicium meum ut lux, » hoc est, non ænigmatibus obumbrata voluntas mea, sed nude et aperte omnium mentibus inhærebit. Olim autem præsentem Emmanuelem seductos non ad legales religiones revocaturum ; nec quæ in figuris adhuc et umbris contingebant honorare suasurum; potius autem ad æquitatem, benignitatem, misericordiam, et ad veram minimeque fucatam Dei agnitionem deducturum, scopum hunc, inquam, judicii planum facit, et ait, « Quia misericordiam volo, et non sacrificium, et scientiam Dei magis quam holocausta. » Quid enim dicebat Salvator? « Omnia igitur quæcunque vultis ut faciant vobis homines, eadem et vos illis facite similiter [79]. » Tenet autem non postremas apud Deum, qui charitatem exercet. « In hoc, inquit, cognoscent omnes, quod discipuli mei estis, si dilectionem habueritis ad invicem [80]. » Jam illum ad se adeuntium animos ad scientiam veri Dei eduxisse, quo pacto dubitari potest? Seipsum enim nobis pro imagine Genitoris proposuit, cum dixit Philippo germano discipulo : « Non credis quia ego in Patre, **99** et Pater in me est? qui vidit me, vidit et Patrem [81]. Ego et Pater unum sumus [82]. » Quod si quis et ipsum Filium affirmare voluerit Patris misericordiam esse, omni sacrificio et holocausto majorem recte affirmabit. Sic enim a divina Scriptura vocatus est. Ipse enim alicubi de ipso Deus et Pater nobis dicit : « Appropinquat cito justitia mea, et misericordia mea ut reveletur [83]. » Et Propheta ad illum : « Ostende nobis, Domine, misericordiam tuam, et salutare tuum da nobis [84,85]. » Vere enim misericordia a Patre est Christus, utpote qui tollit peccata, et crimina dimittit, et fide justificat, et perditos in pristinum salutis statum restituit, et a morte invictos reddit, et quidnam egregium, et in primis laudabile nobis non donat? Quare melior est sacrificio et holocaustis scientia Dei, ut in Christo perfecta. Cognovimus enim per ipsum et in ipso Patrem, et justificatione in fide locupletati sumus.

τελουμένη. Ἐγνώκαμεν γὰρ δι' αὐτοῦ τε καὶ ἐν πεπλουτήκαμεν.

Ἰούδας. Οὐ γὰρ μόνον τὴν τῶν ἀνοσίων ψευδοπροφητῶν ἀπέκειρε πληθὺν, τὸν αὐτοῖς πρέποντα καθορίσας θάνατον, ἀλλὰ καὶ αὐτὸν κατὰ καιροὺς ἔπεμψε τὸν Υἱὸν ὁ Θεὸς καὶ Πατὴρ, σαφηνιοῦντα καὶ πρό γε τῶν ἄλλων τοῖς ἐξ αἵματος Ἰσραὴλ τὸ ἀγαθὸν αὐτοῦ θέλημα, καὶ ἐναργὲς καθιστῶντα τὸ κρῖμα αὐτοῦ. Τοιγάρτοι καὶ ἔφασκε τὰ [διὰ] μὲν φωνῆς τοῦ Δαβίδ· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. » Αὐτὸς δὲ δι' ἑαυτοῦ γενόμενος καθ' ἡμᾶς, τουτέστιν, ἄνθρωπος, « Ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ἀλλ' ὁ πέμψας με Πατὴρ, αὐτός μοι ἐντολὴν ἔδωκε τί εἴπω, καὶ τί λαλήσω. » — « Ἐξελεύσεται δὴ οὖν τὸ κρῖμά μου, φησὶν, ὡς φῶς, » τουτέστιν, Οὐκ αἰνίγμασι κατεσκιασμένον τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ γυμνῶς καὶ ἀκρύπτως ταῖς ἁπάντων διανοίαις ἐγκείσεται. Ὅτι δὲ ἀφιγμένος κατὰ καιροὺς ὁ Ἐμμανουὴλ, οὐκ ἐπὶ νομικὴν μετοίσει λατρείαν τοὺς πεπλανημένους, οὔτε μὴν τὰ ἐν τύποις ἔτι καὶ σκιαῖς ἀναπείσει τιμᾶν, ἀποκομεῖ δὲ μᾶλλον εἰς ἐπιείκειαν, καὶ χρηστότητα, καὶ εὐσπλαγχνίαν, καὶ εἰς ἀγάπην τὴν πρὸς ἀλλήλους, καὶ εἰς ἀληθῆ καὶ ἀπαραλόγιστον ἐπίγνωσιν τοῦ Θεοῦ, σαφῆ τὸν κρίματος ἀποτελεῖ τὸν σκοπὸν, καί φησιν, « Ὅτι ἔλεος θέλω, καὶ οὐ θυσίαν καὶ ἐπίγνωσιν Θεοῦ, ἢ ὁλοκαυτώματα. » Τί γὰρ ἔφασκεν ὁ Σωτήρ; « Πάντα οὖν ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτω καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως. » Χρῆμα δὲ ὅτι μάλιστα παρὰ Θεῷ τίμιον τὴν ἀγάπην ἐπιδεικνὺς, « Ἐν τούτῳ γνώσονται πάντες, φησὶ, ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε εἰς ἀλλήλους. » Ὅτι δὲ τῶν προσιόντων τὸν νοῦν ἀνεκόμιζε πρὸς ἐπίγνωσιν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ, πῶς ἂν καὶ ἐνδοιάσειέ τις; Ἑαυτὸν γὰρ ἡμῖν εἰς εἰκόνα τοῦ γεγεν[ν]ηκότος παρετίθει, λέγων τῷ γνησίῳ μαθητῇ (Φίλιππος οὗτος ἦν)· « Οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί ἐστιν; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν. » Εἰ δὲ δή τις ἕλοιτο καὶ αὐτὸν εἶναι λέγειν τὸν Υἱὸν τὸ ἔλεος τοῦ Πατρὸς, τὸ ὑπὲρ θυσίαν καὶ ὁλοκαύτωμα, συνήσει καλῶς. Κέκληται γὰρ οὕτως παρά γε τῇ θεοπνεύστῳ Γραφῇ. Αὐτὸς μὲν γὰρ ἔφη που περὶ αὐτοῦ πρὸς ἡμᾶς ὁ Θεὸς καὶ Πατήρ· « Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. » Οἱ δέ γε προφῆται πρὸς αὐτόν· « Δεῖξον ἡμῖν, Κύριε, τὸ ἔλεός σου, καὶ τὸ σωτήριόν σου δῷης ἡμῖν. » Ἔλεος γὰρ ἀληθῶς τὸ παρὰ Πατρὸς ὁ Χριστὸς, ὡς ἀφαιρῶν ἁμαρτίας, ὡς ἀνιεὶς ἐγκλημάτων, καὶ δικαιῶν τῇ πίστει, καὶ ἀνασώζων τοὺς ἀπολωλότας, καὶ θανάτου κρείττονας ἀποφαίνων, καὶ τί γὰρ οὐχὶ τῶν παγκάλων δωρούμενος; Οὐκοῦν ἀμείνων θυσίας, καὶ ὁλοκαυτωμάτων ἡ Θεοῦ γνῶσις, ὡς ἐν Χριστῷ αὐτῷ τὸν Πατέρα, καὶ τὴν ἐν πίστει δικαίωσιν

VERS. 7. *Ipsi autem sunt ut homo prævaricans testamentum.*

Αὐτοὶ δέ εἰσιν ὡς ἄνθρωπος παραβαίνων διαθήκην.

[76] Psal. II, 6. [77] Joan. XIV, 10. [78] Joan. XII, 49. [79] Matth. VII, 12. [80] Joan. XIII, 35. [81] Joan. XIV, 9, 10. [82] Joan. X, 30. [83] Isa. LVI, 1. [84, 85] Psal. LXXIV, 8.

Digitized by Google

ΞϚ'. Πανταχόθεν ἡμᾶς πολυπραγμονεῖν εὖ μάλα τὸ ἀληθὲς σπουδάζοντας, καὶ νῦν εἰπεῖν ἀναγκαῖον, ὡς ἡ καθ' Ἑβραίους ἔκδοσις ἀντὶ τοῦ, « ὡς ἄνθρωπος, » ὡς Ἀδὰμ εἴρηκε παραβαίνων διαθήκην, ἵνα νοοῖτο τοιάδε τις τῶν ἐξ Ἰσραὴλ ἡ παράβασις, ὁποία γέγονεν ἐν Ἀδάμ. Μετὸν γὰρ ἐκείνῳ καὶ τὴν πρὸς Θεὸν οἰκείωσιν ἔχειν, καὶ ἐν ἀφθαρσίᾳ διατελεῖν, καὶ ταῖς τοῦ παραδείσου τρυφαῖς ἐναβρύνεσθαι, κατημέλησε τῆς θείας ἐντολῆς, εἶτα διόλλυται ἐπὶ τὰ αἰσχίω, τῶν ἀρχαίων ἀδοκήτως ἐστερημένος. Οὕτω καὶ αὐτοὶ (φημὶ δὲ δὴ πάλιν, οἱ ἐξ Ἰσραὴλ) εὐμενῆ καὶ φίλον τὸν τῶν ὅλων ἔχοντες Θεὸν, σώζοντα, καὶ προεστηκότα, καὶ προτιθέντα τὸ ἔλεος αὐτοῖς, ὡς νεφέλην πρωϊνὴν, καὶ ὡς δρόσον ὀρθρινὴν πορευομένην, ἐξάγοντα δὲ καὶ ὡς φῶς τὸ κρίμα αὐτοῦ, καὶ τῇ κατὰ νόμον στεφανοῦντα λατρείᾳ, ῥᾴθυμοι γεγόνασι περὶ τὸ σφίσιν αὐτοῖς ἀναγκαῖον, καὶ χρήσιμον εἰς εὐημερίαν καὶ δόξαν, καὶ καταπεφρονήκασι τοῦ πάντων κρατοῦντος Θεοῦ· καίτοι λέγοντος ἐναργῶς διὰ τοῦ πανσόφου Μωσέως, « Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. » Καὶ πάλιν· « Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. » Ἐπειδὴ δὲ ἐν ἴσῳ τῷ πρώτῳ, τουτέστι, τῷ Ἀδὰμ, παρώλισθον εἰς ἀποστασίαν, καὶ αὐτοὶ δὴ πάντως ἔξω πεσοῦνται τοῦ κατευφραίνειν εἰδότος· παραβεβήκασι γὰρ διαθήκην.

Εἰ δὲ δὴ νοοῖτο μυστικώτερον, ὡς ἐπὶ Χριστοῦ, τὸ χρησμῴδημα, πάλιν ἐκεῖνο ἐροῦμεν, ἐμφανῆ τῶν λεγομένων καθιστάντες τὸν νοῦν· Ἔπεμψεν ἐκ τῶν οὐρανῶν ὁ Θεὸς καὶ Πατὴρ τὸν Υἱὸν φωτιοῦντα τοὺς ἐξ Ἰσραὴλ, καὶ φανερὸν καταστήσοντα τὸ κρίμα αὐτοῦ, καὶ ἵνα καταλῦξαι μὲν ἀναπείσῃ θυσιῶν ἀρχαίων, καὶ ὁλοκαυτωμάτων τῶν κατὰ νόμον· ἐλεήσῃ δὲ μᾶλλον, δικαιῶν τῇ πίστει, καὶ καλέσῃ πρὸς ἐπίγνωσιν τοῦ κατὰ ἀλήθειαν ὄντος Θεοῦ. Δι' αὐτοῦ γὰρ καὶ ἐν αὐτῷ τεθεάμεθα τὸν Πατέρα, καὶ ἐσχήκαμεν τὴν προσαγωγὴν, ὥς που καὶ Γράμμα φησὶν ἱερόν. Ἀλλὰ γεγόνασιν οἱ ἐξ Ἰσραὴλ « ὡς ἄνθρωπος παραβαίνων διαθήκην. » Καὶ τί δὴ τοῦτό ἐστιν, ἐρῶ πάλιν, ὅπως ἂν δύνωμαι. Ὅτι ὑφ' ἑτέρου γραφομένην παραβαίνων διαθήκην, ἣ οὐ πρόσεισιν αὐτὸς τῷ ἐκνεμηθέντι κλήρῳ παρὰ τοῦ γεγραφότος αὐτὴν· ἦγουν ἑτέρους τῶν ἐγγεγραμμένων τῶν αὐτοῖς ὀφειλομένων ἀποστερεῖ. Τοιοῦτόν τι πεπράχασιν Ἰουδαῖοι, καὶ τοῦτο ἐπὶ Χριστῷ. Πῶς, ἤ τίνα τρόπον; ὁ μὲν γὰρ Θεὸς καὶ Πατὴρ κλῆρον ὥσπερ τινὰ λαμπρὸν καὶ ἐξαίρετον τὴν κατὰ τοῦ ἔθνους ἡγεμονίαν ἐχαρίζετο τῷ Υἱῷ. Διακέκραγε γάρ, ὡς ἔφην, « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ· » καὶ δέδωκε τῷ Υἱῷ τὸν νοητὸν ἀμπελῶνα, τουτέστι, τὸν Ἰσραήλ. « Ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, » κατὰ τὸ γεγραμμένον, « ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτον, ἠγαπημένον. » Ἀλλ', ὥς φησιν ὁ μακάριος εὐαγγελιστὴς Ἰωάννης· « Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. » Ἐκβεβλή-

A LXVI. Undecunque nos optimo consilio verum diligentius indagare conantes, nunc quoque fateri oportet, editionem Hebræorum pro « ut homo, » habere, « ut Adam transgrediens pactum : » ut talis Israelitarum transgressio intelligatur, qualis Adami fuit. Nam cum illi liceret cum Deo conjunctum immortalemque vivere et paradisi deliciis illustrari, divinum mandatum neglexit : deinde ad indigniora pessumiit, primævis honoribus et excellentiis præter exspectationem spoliatus. Similiter et ipsi Israelitæ, inquam, benignum et amicum universorum Deum habentes, servatorem et tutorem, et qui proposuerat eis misericordiam, et nubem matutinam, et ut rorem matutinum pertranseuntem, et educentem judicium suum quasi lucem, et latria B secundum legem eos cohonestantem, in negotio sibi necessario, et ad felicem statum et gloriam utili, socordes evaserunt, et omnipotentem Deum floccipenderunt, quanquam sapientissimo Moyse claris verbis dicente : « Non facies tibi idolum, nec similitudinem ullius, quæcunque in cœlo sursum, et quæcunque in terra deorsum [86]. » Et iterum : « Non erunt tibi dii alii præter me [87]. » Quoniam autem æque ut primus, hoc est, Adam in apostasiam inciderunt, ipsi quoque omnino ab eo qui lætificare novit destituentur. Transgressi sunt enim testamentum.

100 Quod si oracului μυστικώτερον, ut de Christo, intelligatur, rursum ad sententiam dictorum C aperiendam illud dicemus : Misit de cœlo Deus et Pater Filium, illuminaturum filios Israel et manifestaturum judicium ejus, et ut antiqua sacrificia atque holocausta legalia abrogari curaret, magis autem misericordiam erogaret, fide justificans, et ad agnitionem veri Dei vocaret. Per ipsum enim, et in ipso vidimus Patrem, et accessum adepti sumus [88], ut alicubi est in sacris Litteris. Cæterum Israelitæ facti sunt « ut homo prævaricans testamentum. » Hoc quid sit, dicam ut potero. Ab alio scriptum testamentum transgrediens; aut ad distributam sortem a conditore testamenti non accedit, aut alios certe testamento inscriptos, debitis ipsorum bonis fraudat. Tale quiddam commiserunt Judæi, idque D in Christo. Qui tandem? Deus enim et Pater velut splendidam quamdam et peculiarem hæreditatem principatum gentis ei donavit. Exclamavit enim, ut dixi : « Ego autem constitutus sum rex ab eo super Sion montem sanctum ejus [89], » deditque Filio vineam, quæ mente percipitur, hoc est, Israelem. « Vinea enim Domini Sabaoth, » ut scriptum est, « homo Juda, novella plantatio, dilecta [90]. » Sed, ut est apud beatum evangelistam Joannem, « In propria venit, et sui eum non receperunt [91]. » Extra portam enim ejecerunt eum, et morte multarunt, dicentes : « Hic est hæres; venite, occidamus eum, et habebimus hæreditatem ejus [92]. » Considera

[86] Exod. xx, 4. [87] ibid. 3. [88] Ephes. II, 18. [89] Psal. II, 6. [90] Isa. v, 1. [91] Joan. I, 11. [92] Matth. XXI, 38.

Digitized by Google

igitur quemadmodum facti sint, « ut homo transgrediens testamentum. » Cognovisti hæredem? igitur hæreditatem illi attributam redde. Transgressi sunt ergo testamentum Patris, quantum in ipsis fuit hæredem exhæredantes. Sed neque ipsi ad gratiam accesserunt, quando concessam sibi a Deo sortem non admiserunt. Ait enim per prophetam Deus : « Ecce dies venient, dicit Dominus, et consummabo super Israel, et super domum Juda testamentum novum, non secundum testamentum quod disposui patribus eorum in die in qua appreheudi manum eorum, ut educerem eos de terra Ægypti [93]. » Quod si cum priore testamento novum conferatur, longe maxima promissorum bonorum differentia perspicietur. Illic enim Amorrhæorum, Gergesæorum et Evæorum, **101** et Jebusæorum terra ipsis promissa est. Novum autem testamentum, hoc est, per Christum sancta et instituta, per fidem ad adoptionem filiorum, ad incorruptionem, ad vitam sempiternam, ad communionem Dei per Spiritum, ad regnum cœlorum vocabant. Verum illi sortem per Filium a Deo et Patre ipsis tributam habere noluerunt. Secundum utrumque igitur irritaverunt Deum, et transgredientes testamentum, et hæredem, ut dicebam, quantum in ipsis fuit, data ei a Patre hæreditate expellentes, ipsique a Deo sibi in Christo donatis excidentes.

A κασι γὰρ ἔξω τῆς πύλης, καὶ θανάτῳ παρέδοσαν, λέγοντες, « Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν τὴν κληρονομίαν. » Ἄθρει δὴ οὖν ὅπως γεγόνασιν « ὡς ἄνθρωπος παραβαίνων διαθήκην. » Ἐπέγνως τὸν κληρονόμον; Οὐκοῦν ἀπόδος τὸν ἐκνεμηθέντα κλῆρον αὐτῷ. Παραβεβήκασι τοίνυν τὴν διαθήκην τοῦ Πατρὸς, τὸ ὅσον ἐφ' ἑαυτοῖς, ἀποστεροῦντες τὸν κληρονόμον, ἀλλ' οὐδὲ αὐτοὶ προσῆλθον τῇ χάριτι, οὐ προσήκαντες τὸν δοθέντα αὐτοῖς παρὰ τοῦ Θεοῦ κλῆρον. Ἔφη μὲν γὰρ διὰ τοῦ προφήτου Θεός· « Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐ- B τοὺς ἐκ γῆς Αἰγύπτου. » Εἰ δὲ δὴ δοκιμάζοιτο πρὸς τὴν πρώτην ἡ νέα, πλείστη τις ὅση τῶν ἐπηγγελμένων ἡ διαφορὰ νοηθήσεται. Ἐκεῖ μὲν γὰρ τὴν τῶν Ἀμορῥαίων, καὶ Γεργεσαίων, καὶ Εὐαίων αὐτοῖς, καὶ μὴν καὶ Ἰεβουσαίων ἐπήγγελτο γῆν· ἡ δὲ Καινὴ Διαθήκη, τουτέστι, τὰ διὰ Χριστοῦ υἱοθεσίαν Θεοῦ, εἰς ἀφθαρσίαν, εἰς ἀμήρυτον ζωὴν, εἰς μέθεξιν Θεοῦ, τὴν διὰ Πνεύματος, εἰς βασιλείαν οὐρανῶν. Ἀλλ' οὐκ ἠθέλησαν ἔχειν τὸν ἐκνεμηθέντα κλῆρον αὐτοῖς δι' Υἱοῦ, παρὰ τοῦ Θεοῦ καὶ Πατρός. Κατ' ἄμφω δὴ οὖν λελυπήκασι παραβαίνοντες τὴν διαθήκην, καὶ τὸν κληρονόμον, ὡς ἔφην, τὸ ὅσον ἐφ' ἑαυτοῖς τοῦ δοθέντος αὐτῷ παρὰ τοῦ Πατρὸς ἐξώσαντες κλήρου, ἐκπεπτωκότες δὲ καὶ αὐτοὶ τῶν παρὰ Θεοῦ δεδωρημένων αὐτοῖς ἐν Χριστῷ.

Vers. 8. *Ibi contempsit me Galaad, civitas quæ operatur vana, conturbans aquam, et fortitudo tua viri piratæ.*

C *Ἐκεῖ κατεφρόνησέ μου Γαλαάδ, πόλις ἐργαζομένη μάταια, ταράσσουσα ὕδωρ, καὶ ἡ ἰσχύς σου ἀνδρὸς πειρατοῦ.*

LXVII. Regreditur ad enarranda scelera, propter quæ apud eos scelesta pseudoprophetarum turba jure trucidata est. Ibi enim, inquit (hoc est, illo tempore, quo declinavit Israel, et in eum statum devenit, ut etiam dæmones adorare non reformidaret, hoc enim sibi vult illud, « ibi, » si secundum rem et actionem, non secundum locum potius intelligatur), vehementer contempsit me Galaad. Nomen urbis est trans Jordanem, quæ juxta præscriptum Moysis cessit Levitis [94]. Erat itaque sacerdotum et Levitarum civitas. Sed qui alios ab errore debebant avertere, et ad veritatem cognitionemque utilium erudire, « labia enim sacerdotis custodient judicium, et legem requirent ex ore ejus [95], » ipsi idola introduxerunt et vana fabricati sunt. « Operati sunt enim vana, » hoc est, idola. « Turbaverunt etiam aquam, » id est, confusionis occasio populari multitudini fuerunt. Mos enim sacræ Scripturæ est, innumeram hominum multitudinem aquæ assimilare, inde cum essent frequentissimæ Babylon et Ninive, « sicut piscina, » inquit, « aquarum aquæ ejus [96]. » Quod idem est ac si diceret, ut piscina plena est aquis, ita multitudo ejus. Aut alio modo, turbaverant aquam, quasi turbidam et cœnosam doctrinam se convenientibus proponentes, et simpli-

Ξ'. Ἐπάνεισι πάλιν ὁ λόγος εἰς ἀφήγησιν ἐγκλημάτων, ἐφ' οἷς εἰκότως ἀνῄρηται τῶν παρ' αὐτοῖς ψευδοπροφητῶν ἡ ἀνοσία πληθύς. Ἐκεῖ γὰρ, φησὶ, τουτέστι, κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν κέκλικεν ὁ Ἰσραὴλ, καὶ ἐν τῇ τοιᾷδε καταστάσει γέγονεν, ὥστε καὶ ἐλέσθαι δαιμονίοις προσκυνεῖν (τοῦτο γάρ ἐστι τὸ, « ἐκεῖ, » πραγματικῶς νοούμενον, καὶ οὐχὶ δὴ μᾶλλον τοπικῶς), σφόδρα μου καταπεφρόνηκεν ἡ Γαλαάδ. Πόλις δὲ αὕτη μία τῶν Ἰορδάνου ναμάτων ἐπέκεινα, ἡ καὶ ἐκνεμηθεῖσα τοῖς Λευίταις, κατὰ τὸν Μωσέως νόμον. Ἦν οὖν ἱερέων καὶ Λευιτῶν πόλις. Ἀλλ' οἱ τοὺς ἄλλους ὀφείλοντες ἀποκομίζειν D τῆς πλάνης, καὶ παιδαγωγεῖν εἰς ἀλήθειαν, καὶ εἰς τὴν τοῦ συμφέροντος τὴν γνῶσιν (« Χεῖλη γὰρ ἱερέως, φησὶ, φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ »), γεγόνασιν αὐτοὶ τῶν εἰδώλων εὑρεταὶ, καὶ τῶν ματαίων οἱ τεχνουργοί. « Εἰργάζοντο γὰρ μάταια, » τουτέστι, τὰ εἴδωλα. « Ἐτάραττον δὲ καὶ ὕδωρ, » τουτέστι, συγχύσεως ἀφορμὴ τοῖς ἀγελαίοις γεγόνασιν. Ὕδατι γὰρ παρεικάζειν ἔθος τῇ ἁγίᾳ Γραφῇ τὴν ἀμέτρητον τῶν ἀνθρώπων πληθύν. Καὶ γοῦν πολυανδρούσης ἄγαν τῆς Βαβυλωνίων, καὶ Νινευΐ, φησὶ, « ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς, » ἀντὶ τοῦ, ὡς κολυμβήθρα πλήρης ὑδάτων, οὕτω τὸ πλῆθος αὐτῆς. Ἢ, καθ' ἕτερον τρόπον,

[93] Jerem. xxxi, 31, 32. [94] Num. xxxv, 29. [95] Malach. ii, 7. [96] Nahum ii, 8.

Digitized by Google

ἐτάραττον ὕδωρ, τεθολωμένην ὥσπερ τινὰ καὶ ἰλιώδη διδασκαλίαν τοῖς προσιοῦσι προθέντες, καὶ τὸν τῶν ἀκεραιοτέρων παχύνοντες νοῦν. Ἐδίδασκον γὰρ εἴδωλα προσκυνεῖν. Καὶ γοῦν διὰ φωνῆς Ἰεζεχιὴλ ᾐτιᾶτο πάλιν αὐτοὺς ὁ τῶν ὅλων Θεὸς, καὶ ὡς πρὸς κριοὺς, καὶ τῆς ἀγέλης καθηγητὰς προσεφώνει, λέγων· « Καὶ ὑμεῖς πρόβατα, τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ διακρίνω ἀναμέσον προβάτου καὶ προβάτου, καὶ κριῶν, καὶ τράγων. Καὶ οὐχ ἱκανὸν ὑμῖν, ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε. Καὶ τὰ κατάλοιπα τῆς νομῆς κατεπατεῖτε τοῖς ποσὶ ὑμῶν, καὶ τὸ καθεστηκὸς ὕδωρ ἐπίνετε, καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε, καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο, καὶ τὸ τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. » Νομοθεῖς γὰρ ὄντες οἱ ἐξ αἵματος Λευΐ, καὶ καλλίστην ὥσπερ νομὴν, λεπτόν τε καὶ διειδὲς ἔχοντες ὕδωρ, τὴν διὰ Μωσέως παίδευσιν οὐκ ἀνικάνως ἔχουσαν ποδηγεῖν εἰς ἀλήθειαν, κατεπάτουν τρόπον τινὰ τὴν νομὴν, συνετάραττον δὲ καὶ τὸ ὕδωρ, παχεῖάν τινα, καὶ ἰλυώδη, καὶ γεώδους ἀκαθαρσίας ἔμπλεων παρατιθέντες διδασκαλίαν, τοῖς ἐν τάξει προβάτων ἀκολουθοῦσιν αὐτοῖς ὡς κριοῖς. Ἐγκαλοῦνται τοίνυν οἱ τῆς Γαλαὰδ πολῖται καὶ οἰκήτορες, ὡς ταράττοντες ὕδωρ, ἐλέγχονται δὲ καὶ ὡς ἰσχὺν ἔχοντες ἀνδρὸς πειρατοῦ. Πῶς δ' ἂν καὶ τοῦτο ἡμᾶς συνιέναι πρέποι, σαφὲς καταστήσομεν, τὰ ἑφεξῆς ἑρμηνεύοντες.

A cium mentes incrassantes. Docebant enim adorare idola. Quare per Ezechielem universorum Deus rursum eos accusat et veluti arietes, et gregis duces hunc in modum eos compellat : « Et vos oves meæ, hæc dicit Dominus : Ecce ego dijudicabo inter ovem et ovem, arietes **102** et hircos. Et non satis vobis, quia bonum pastum pascebatis. Et reliquias pastus vestri conculcabatis pedibus vestris, et purissimam aquam bibebatis, et reliquum vestris pedibus turbabatis ; et oves meæ conculcamenta pedum vestrorum pascebantur, et turbatam aquam a pedibus vestris bibebant [97]. » Oriundi enim de domo Levi, cum essent legisperiti, haberentque velut pulcherrima pascua, tenuemque et pellucidam aquam eruditionem Mosaicam, quæ ad deducendum eos in B viam veritatis sufficeret, conculcabant quodammodo pascua, et aquam conturbabant, crassam quamdam et limosam, et terrenæ fæcis plenam doctrinam exhibentes, ipsos tanquam oves arietes sequentibus. Redarguuntur itaque cives et incolæ Galaad ut turbantes aquam ; et reprehenduntur, ut fortitudinem seu robur habentes viri piratæ. Quod quo pacto nobis intelligendum sit, sequentia interpretantes declarabimus.

Ἔκρυψαν ἱερεῖς ὁδὸν, ἐφόνευσαν Σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν ἐν τῷ οἴκῳ τοῦ Ἰσραήλ. Εἶδον φρικώδη ἐκεῖ, πορνείαν τοῦ Ἐφραΐμ, ἐμιάνθη Ἰσραὴλ καὶ Ἰούδα.

Verss. 9, 10. *Absconderunt sacerdotes viam, interfecerunt Sichima, quia iniquitatem fecerunt in domo Israel. Vidi horribilia ibi, fornicationem Ephraim : contaminatus est Israel, et Judas.*

C

Ἐπί. Ἱστοριῶν ἔστ' ὅτε τινῶν ὁ τῶν ἁγίων προφητῶν διαμέμνηται λόγος, ἃς εἴπερ τις ἐλλοιτο σιωπᾷν, οὐδ' ἂν δύναιτο διατρανοῦν τῶν εἰρημένων τὸν νοῦν. Χρὴ τοιγαροῦν ὄκνου μὲν εἶναι κρείττονας τοὺς τὰ τοιάδε σαφῶς διερμηνεύειν ἐθέλοντας, πανταχόθεν δὲ τοῖς ἀκροωμένοις τὸ τελοῦν εἰς δύνησιν ἐξεργάζεσθαι φιλεῖν. Ταύτητοι καὶ νῦν ἐπί τι τοιοῦτον ἥξομεν. Σίκιμα τοίνυν πολίχνη τίς ἐστιν ἐπέκεινα τῶν Ἰορδάνου ναμάτων τε καὶ ὄμορος τῇ Γαλαάδ, ἣν τοῖς ἐξ αἵματος τοῦ Λευΐ δεδόσθαι προείπομεν, διανέμοντος τῆς ἐπαγγελίας τὴν γῆν Ἰησοῦ τοῦ Ναυῆ. Συμβέβηκε τοίνυν, ἑορτῆς οὔσης ἁγίας, τῆς κατὰ νόμον σκηνοπηγίας, φημὶ, ὅτε πάντας πανταχόθεν ἀναβαίνειν ἦν ἔθος εἰς Ἱεροσόλυμα, καὶ τοῦτο τοῦ νόμου τηρεῖσθαι προστάττοντος, τῶν ἀπὸ Σικίμων D τινὰς, ἢ κατανυχθέντας, καὶ ἐπὶ τῇ πλανήσει μεταγινώσκοντας, ἤγουν καὶ εἰς νῆψιν κεκλημένους παρὰ Θεοῦ, λοιπὸν ἐθελῆσαι τοῖς θείοις ὑπείκειν νόμοις, καὶ ἀναβῆναι ζητεῖν εἰς Ἱεροσόλυμα, βούλεσθαί τε θυσίας προσάγειν, καὶ τὴν κατὰ νόμους ἑορτὴν ἀποπεραίνειν ἐκεῖ. Τοῦτο δὲ ἦν ἀρχή τις ὥσπερ ἐπιστροφῆς. καὶ τοῦ καταλήγειν τοῦ προσκεῖσθαι θέλειν ταῖς τῶν εἰδώλων λατρείαις. Ἵνα γὰρ μὴ θυσιῶν ἕνεκά τε καὶ ἑορτῶν τῶν κατὰ νόμον ἀναβαίνωσιν ἐκ τῆς Σαμαρείας εἰς Ἱεροσόλυμα τῶν ἐξ Ἰσραὴλ τινες, τουτέστι, τῶν δέκα φυλῶν, εἶτα κατὰ βραχὺ μεταθοῖντο πρὸς τὸ ἐν ἀρχαῖς, καὶ ὑπό γε τὴν Ἰούδα

LXVIII. Nonnunquam historiarum quarumdam meminit propheticus sermo, quas si quis præterire voluerit, verborum propositorum sententiam enucleare non possit. Quocirca talia exponere cupientes, segnitiem ab se amoveant oportet, et quod in rem audientium sit, unde unde labore suo repræsentent. Hinc et modo ad tale quiddam delabemur. Sichima igitur oppidulum est trans fluenta Jordanis [98], vicinum, et confine Galaad, quam Levi posteris assignatam supra diximus, Jesu filio Nave terram promissionis dispertiente. Contigit ergo cum dies sanctus et festus ageretur ex auctoritate legis, Scenopegia, inquam, quando ex more omnes undequaque Hierosolymam lege sic mandante ascendebant, quosdam de Sichimitis aut compunctos, et super seductione sua pœnitentes, aut ad sanam mentem a Deo vocatos posthac velle divinis legibus obsequi, desiderareque Hierosolymam ascendere, et sacrificare, festumque a lege mandatum obire. Atque hoc conversionis et cessationis a cultu idolorum, cui se devoverant, velut principium erat. Ne enim sacrificiorum et festi causa, ut lex præcipiebat, **103** e Samaria Hierosolymam peterent ex Israele quidam, hoc est, ex decem tribubus, ac deinde paulatim ad mores antiquos religionemque redirent, et sub regno Juda essent, excogitavit initio vitulos aureos Jeroboam, quibus

[97] Ezech. xxxiv, 17-19. [98] Judic. ix, 26.

Digitized by Google

sancitas legibus cærimonias adhibere jussit, gloriam Deo destinatam suis inventis miser decernens, ut sibi regnum suum tuto possideret, et Deus propriis velut fraudaretur. Ergo ascendere Hierosolymam Sichimitas nonnullos aggressos, vicini e Galaad id facere prohibebant; quanquam, ut dixi, de tribu Levi essent, a lege ad sacrificia curanda et factitanda constituti. Quoniam autem operabantur vana (cum artificio enim idola fabricabantur) quasi ars paulo post in nihilum ipsis recasura foret, si de cætero Israel idolorum cultum aversaretur, ira exacerbabantur. Et quia verbis non persuadebant, ad impia consilia et facta descendebant. Collocabant enim quosdam in medio itinere, qui latronum more grassarentur, et Sichimitas Hierosolymam ipsis invitis ascendere instituentes mactarent. Qui autem salvis corporibus eorum manus effugissent, destituti his, quæ ad sacrificium apportabant, difficulter in patriam redibant. Reprehendit igitur universorum Deus Galaaditas, quod cum ut Levitæ, et sacerdotium, et aliis præeundi officium sortiti, seductis viam pietatis conspicuam ac manifestam reddere deberent, ipsi contra eam occultarent, non sinentes recte sapere aut suopte consilio, aut certe superna gratia compunctos, ad onus dæmoniacæ deceptionis deinceps excutiendum. Ait ergo, « absconderunt sacerdotes viam Domini. » Hoc item est, quod ab alio propheta aliis verbis dicitur: « Sacerdotes non dixerunt, Ubi est Dominus? et professentes legem nesciebant me, et pastores impie agebant in me [99]. » Neque vero hic scelera Galaaditarum quieverunt. Nam præterquam quod viam Domini absconderent, etiam Sichimitas per latrocinium raptantes interficiebant. Quamobrem et ita Galaad alloquebatur, « Et fortitudo tua ut viri piratæ. »

Perspice autem quomodo recordationem veteris historiæ Deus nobis renovat, veterumque delictorum Levi meminit. Quod dico, est ejusmodi rursum. Dina Jacob, sive Israelis filia (mutatum est enim illi nomen Jacob in **104** Israel [1]) egressa est aliquando e tentorio patris, quod filias indigenarum videre cuperet. Erat porro in Sichimis. Tum conspecta puella, Emmor filius Sichem de improviso compressam virginitate exuit. Id iniquissime ferentes adolescentulæ fratres Levi et Simeon, dolum struunt. Sichimitas inducunt, uti se circumcidi patiantur. Quo facto, adhuc e vulnere etiam atque etiam vehementerque dolentes, ad unum omnes jugulant, illud patri, impotentem eorum iracundiam castiganti respondentes, « Num tanquam scorto utentur sorore nostra? » Hujusmodi historiam nunc in memoriam nobis redigit, cum quadam urbanitate, ac dissimulatione dicens, « Interfece-

A γένοιντο βασιλείαν, ἐπενόησεν ἐν ἀρχαῖς τὰς δαμάλεις Ἱεροβοὰμ, καὶ πληροῦν ἐκέλευεν ἐπ' αὐταῖς τὰ νενομισμένα, τὴν τῷ Θεῷ πρέπουσαν δόξαν τοῖς ἰδίοις εὑρέμασιν ἀνάπτων ὁ δείλαιος· ἵν' ἔχοι μὲν αὐτὸς τὸ βασιλεύειν ἀσφαλῶς, ἀποστεροῖτο δὲ ὥσπερ τῶν ἰδίων Θεός. Οὐκοῦν ἀναβαίνειν εἰς Ἱεροσόλυμα τῶν ἀπὸ Σικίμων ἐπεχείρουν τινὲς, ἀπεῖργον δὲ τοῦτο δρᾷν οἱ ἀπὸ τῆς γείτονος Γαλαάδ, καίτοι, καθάπερ ἔφην, ἐξ αἵματος ὄντες Λευϊτικοῦ, τεταγμένοι κατὰ τὸν νόμον εἰς ἱερουργίαν. Ἐπειδὴ δὲ εἰργάζοντο τὰ μάταια (τεχνουργοὶ γὰρ ἦσαν εἰδώλων), ὡς ὅσον οὐδέπω τῆς τέχνης αὐτοῖς οἰχησομένης εἰς τὸ μηδὲν, εἰ παραιτοῖτο λοιπὸν εἰδώλοις λατρεύειν ὁ Ἰσραὴλ, κατεπίκραίνοντο πρὸς ὀργάς. Ὡς δὲ οὐκ ἔπειθον λόγοις, ἐπ' ἀνοσίους ἦλθον βουλάς τε καὶ

B πράξεις. Παρεσκεύαζον γάρ τινας κατὰ μέσην τὴν ὁδὸν λῃστρικαῖς ἐφόδοις κεχρῆσθαι, καὶ φονᾶν ἀγρίως κατὰ Σικιμιτῶν, εἰ ἀναβαίνειν ἕλοιντο παρὰ τὸ αὐτοῖς δοκοῦν εἰς Ἱεροσόλυμα. Καὶ πλεῖστοι μὲν ὅσοι διολώλασιν. Οἱ δὲ ὅλως ἀνασεσωσμένοι, καὶ τῆς ἐκείνων χειρὸς ἀποδραμεῖν ἰσχύσαντες, ἔρημοι γεγονότες ὧν ἐπεφέροντο πρὸς θυσίαν, ἀνεκομίζοντο μόλις εἰς τὴν ἑαυτῶν. Ἐγκαλεῖ τοίνυν τοῖς ἀπὸ τῆς Γαλαάδ ὁ τῶν ὅλων Δεσπότης, ὅτι καίτοι μᾶλλον ὀφείλοντες ὡς Λευῖται, καὶ ἱερουργοὶ, καὶ τὸ καθηγεῖσθαι τῶν ἄλλων λαχόντες, κατὰ τὸν νόμον ἐναργῆ

C τοῖς πεπλανημένοις τὴν τῆς εὐσεβείας ἀποφαίνειν ὁδὸν, ἐκ τῶν ἐναντίων καὶ κρύπτουσιν, ὀρθὰ φρονεῖν οὐκ ἐῶντες τοὺς ἐξ ἰδίας βουλῆς, ἤγουν καὶ ἐκ τῆς ἄνωθεν εὐμενείας κατανενυγμένους εἰς τὸ ἐλέσθαι λοιπὸν τὴν τῶν δαιμονίων ἀποφορτίσασθαι πλάνην. « Ἔκρυψαν » τοίνυν, φησὶν, « ἱερεῖς ὁδὸν Κυρίου. » Τοῦτο πάλιν ἐστὶν ἑτέρως τὸ δι' ἑτέρου προφήτου σαφῶς εἰρημένον· « Οἱ ἱερεῖς οὐκ εἶπαν· Ποῦ ἔστι Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμέ. » Ἀλλ' οὐ μέχρι τούτου τῶν Γαλααδιτῶν τὰ γεννήματα. Πρὸς γὰρ τῷ κρύψαι τὴν ὁδὸν Κυρίου καὶ ἀπεκτόνασι Σίκιμα, χερσὶν ὑποσφέροντες λῃστρικαῖς. Διὰ γὰρ τοῦτο καὶ ἔφασκε πρὸς Γαλαάδ, « Καὶ ἡ ἰσχύς σου ὡς ἀνδρὸς πειρατοῦ. »

Ὅρα δὲ ὅπως εἰς ἀνάμνησιν τῆς ἀρχαίας ἡμᾶς ἱστορίας ἀποφέρει Θεὸς, καὶ παλαιῶν ἐγκλημάτων διαμέμνηται τοῦ Λευΐ. Ἔστι δὲ ὃ φημι τοιοῦτόν τι πάλιν. Δίνα μὲν γὰρ ἡ τοῦ Ἰακὼβ, ἤτοι τοῦ Ἰσραὴλ θυγάτηρ (μετωνόμασται γὰρ Ἰακὼβ εἰς τὸ Ἰσραὴλ) ἐξῆλθέ ποτε τῆς τοῦ πατρὸς σκηνῆς· ἐπεθύμησε γὰρ

D ἰδεῖν τὰς τῶν ἐγχωρίων θυγατέρας. Ἦν δὲ ἐν Σικίμοις. Εἶτα τὴν παρθένον εὑρὼν Ἐμμὼρ ὁ Συχὲμ υἱὸς, ἀδοκήτως κατεβιάζετο· διεπαρθένευσε γάρ. Δεδυσφορηκότες τοίνυν πρὸς τοῦτο λίαν οἱ τῆς νεάνιδος ἀδελφοὶ, Λευΐ τε καὶ Συμεὼν, δόλον ἀρτύουσι. Περιτέμνεσθαι γὰρ ἀνέπειθον τοὺς ἀπὸ Σικίμων. Οὗ δὴ γεγονότος, ἀλγοῦντας ἔτι καὶ ταῖς ὀδύναις νενικημένους ἅρδην ἀπεκτόνασιν, ἐκεῖνο λέγοντες ἐγκαλοῦντι τῷ πατρὶ τὸ ἀχάλινον εἰς ὀργάς· « Ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν; » Τῆς τοιαύτης ἱστορίας ἡμᾶς εἰς ἀνάμνησιν ἀποφέρει νῦν, μετά τινος ἤθους λέγων, « Ἐφόνευσαν Σίκιμα, ὅτι ἀνομίαν

[99] Jer. II, 8. [1] Gen. XXXII, 28.

Digitized by Google

ἐποίησαν ἐν τῷ οἴκῳ Ἰσραήλ. » Τοῦτο, φησίν, ἐγκαλοῦντες τότε, ὅτι πεπλημμελήκασιν εἰς τὸν οἶκον Ἰακὼβ, ἤτοι τοῦ Ἰσραὴλ, διαπαρθενεύσαντες τὴν νεάνιδα, ταύτητοι καὶ ἡμεῖς ἀπεκτόναμεν Σίκιμα. Ἀλλὰ νῦν ἐβουλεύσαντο, φησὶν, ἐπιστρέψαι πρὸς τὸν Θεὸν, ἀγαπῆσαι τὰ ἐν νόμῳ, πληρῶσαι θυσίας, ἐπιτελεῖν ἑορτὰς, ἀποφοιτῆσαι λοιπὸν τῶν τῆς εἰδωλολατρείας λογισμῶν. Τί οὖν οἱ Λευῖται; « Ἔκρυψαν τὴν ὁδὸν Κυρίου, ἐφόνευσαν Σίκιμα. » Ἢ τάχα καὶ νῦν ἐγκαλεῖν ἔχουσιν, ὅτι ἀνομίαν ἐποίησαν ἐν τῷ οἴκῳ Ἰσραήλ; Ποία καὶ νῦν ὑβρίσθη νεᾶνις; εἰς ποίαν δίναν ἐξήμαρτον; ποῖα Σικιμιτῶν τὰ ἐγκλήματα; τῶν τετιμηκότων Θεὸν, τῶν ἠγαπηκότων τὰ ὀρθὰ λοιπὸν ἐλέσθαι φρονεῖν, καὶ ἀποπεραίνειν ἐπείγεσθαι τὰ ἐν νόμῳ. « Τεθέαμαι » τοίνυν, φησὶ, « φρικωδεστάτην τὴν ἐκεῖ πορνείαν τοῦ Ἐφραΐμ. » Καταπλαγείη γὰρ ἄν τις, καὶ σφόδρα εἰκότως, τοσούτων ὁρῶν ἀπονενευκὸς τῆς εἰς Θεὸν ἀγάπης τὸ ἱερὸν καὶ ἀπόλεκτον γένος, ὡς μὴ μόνον αὐτοὺς τῶν εἰδώλων εὑρετὰς γενέσθαι τοῖς ἄλλοις, ἀλλὰ καὶ διακωλύειν αὐτοὺς, εἰ ἀγαπᾷν ἕλοιντο τὰ τοῦ Θεοῦ. « Καταμεμίανται τοίνυν, » φησὶν, « Ἰσραὴλ καὶ Ἰούδας. » Ὅπτε καὶ εἴ τι πάθοιεν τῶν προσδοκωμένων, ἐγκαλείτω μηδεὶς ἀγανακτοῦντι Θεῷ.

Ἄρχου τρυγᾶν σεαυτῷ ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου, ἐν τῷ ἰάσασθαί με τὸν Ἰσραήλ.

ΣΘ'. Ἔστι πάλιν ὁ λόγος πρὸς τὸν τῆς Γαλαὰδ οἰκήτορα. Διδάσκει δὲ, ὅτι Ἐγὼ μὲν ἠρξάμην ὡς Θεὸς ἰᾶσθαί τε καὶ ἐπιστρέφειν τὸν Ἰσραήλ. Καὶ γοῦν ἐπεθύμουν Σικιμῖται λοιποὶ ὑποφέρειν Θεῷ τὸν αὐχένα, καὶ τελεῖν ἑορτὰς, τὰς μὲν τοῦ Ἱεροβοὰμ οὐκέτι, τὰς κατὰ νόμον δὲ μᾶλλον, καὶ τῆς οὐκ οἶδ' ὅπως ἐξηυρημένης ἀπάτης ἀποδραμεῖν. Σὺ δὲ αὐτοὺς, ὦ Γαλααδῖτα, μονονουχὶ καὶ ἀπέκειρας, ἤτοι τετρύγηκας, καὶ πλοῦτον ἄδικον ἐποιήσω τὰ ἀπὸ λῃστείας. Ἐπιφωνεῖ δὲ πάλιν ἐν ἤθει τὸ, « Ἄρχου τρυγᾶν σεαυτῷ, » μονονουχὶ τοιοῦτόν τι λέγων, μᾶλλον δὲ κἂν εἰ μὴ λέγοι, λεπτῶς ὑπεμφαίνων, ὅτι Κἀγὼ σὲ ποιήσομαι τῶν κολαζομένων τὴν ἀρχήν. Ἀρχόμενος γὰρ ἀποκείρειν τὸν Ἰσραὴλ, καὶ ἀποτρυγᾶν τοὺς τῆς οὕτω δεινῆς ἀνοσιότητος ἐπιτηδευτὰς, πρωτόλειόν σε ποιήσομαι τῆς ὀργῆς. Εἰδέναι γὰρ ἀναγκαῖον, ὅτι Φούλας βασιλεὺς Ἀσσυρίων, ὁ πρῶτος ἐλθὼν κατά τε τῆς Σαμαρείας καὶ τοῦ Ἰσραὴλ, πρώτας ἀπεκόμισεν εἰς αἰχμαλωσίαν τὰς πέραν τοῦ Ἰορδάνου φυλάς. Πόλις δὲ ἦν τῶν ἐκεῖσε μία καὶ ἡ Γαλαάδ. Οὐκοῦν ὥσπερ ἐμοῦ τὸν Ἰσραὴλ ἐπιστρέφοντος, ἀρξαμένου τε ἰάσασθαι λοιπὸν, σὺ τετρύγηκας, ὦ Γαλααδῖτα, σεαυτῷ τὰ ἀπὸ λῃστείας· οὕτω κἀγὼ παραδιδοὺς Ἀσσυρίοις τὸν Ἰσραὴλ, σὲ ποιήσομαι τῶν πεμπομένων τὴν ἀπαρχήν.

Συγγενῆ δὲ τὰ ἀρχαῖα τοῖς ἐπὶ Χριστῷ τῶν Ἰουδαίων ἐγκλήματα. Ἐκάλει μὲν γὰρ σύμπαντα τὸν Ἰσραὴλ ὁ Θεὸς καὶ Πατὴρ εἰς τὸ ἐλέσθαι λοιπὸν τὰ ἀμείνω φρονεῖν, καὶ καταλῆξαι μὲν τῆς ἐν νόμῳ λα-

[a] Gen. xxxiv, 31.

A runt Sichima, quia iniquitatem fecerunt in domo Israel [a]. » Hoc, inquit, objicientes tunc ; quia peccaverunt in domum Jacob, sive Israel, puella constuprata, idcirco et nos Sichima occidimus. Sed nunc statuerunt, inquit, converti ad Deum, diligere legem, persolvere sacrificia, peragere dies festos, in futurum a cogitationibus superstitiosi deorum cultus discedere. Quid ad hæc Levitæ? « Absconderunt viam Domini, interfecerunt Sichima. » An fortasse etiam nunc eos accusare possunt, quod iniquitatem fecerint in domo Israel? Quæ enim puella et nunc injuriose tractata est? in quam Dinam peccaverunt? quænam Sichimitarum facinora? Qui Deum honorarunt, qui de reliquo mutare mentem magna voluntate decreverunt, et studiose præstare B quæ legibus divinis præcipiuntur. Inquit igitur, « Vidi ibi imprimis horribilem fornicationem Ephraim. » Obstupescat autem quispiam et æquissime, cernens sanctum et electum genus adeo charitate erga Deum abiisse, ut non solum ipsi aliis idola invenerint, sed et alios a diligendis divinis cohibuerint. « Contaminatus est igitur, » inquit, « Israel, et Judas. » Quare si quid etiam passi fuerint eorum, quæ impendent, Deum indignantem nemo criminetur.

VERS. 11. *Incipe vindemiare tibi cum converto ego captivitatem populi mei, cum sano ego Israel.*

LXIX. Sermo rursus ad habitatorem Galaad dirigitur hac sententia. Ego quidem cœpi tanquam C Deus sanare, et convertere Israel. Proinde cupiunt Sichimitæ de cætero subjicere Deo cervices, et celebrare dies festos, non amplius quidem ab Jeroboam institutos illos : sed a lege et a nescio quomodo invecta fallacia refugere. Tu **105** autem Galaadita, propemodum et detondisti, sive vindemiasti, et latrocinio divitias injustas comparasti. Acclamat porro rursum, et cum irrisione quadam illud, « Incipe vindemiare tibi ; » tale quiddam quasi dicens, aut saltem subtiliter tacite insinuans. Et ego te faciam primitias punitorum. Incipiens enim detondere Israel, et vindemiare adeo nefandæ impietatis consectatores, primitias te faciam iræ. Sciendum enim Phulam regem Assyriorum, qui primus Samariam et Israel invasit, primas captivas D duxisse tribus trans Jordanem et ex urbibus illis unam fuisse Galaad. Quocirca sicut me Israelem convertente, et incipiente sanare de cætero, tu vindemiasti tibi, o Galaadita, quæ latrocinio acquisivisti ; ita et ego, cum tradidero Assyriis Israel, te eorum qui abducentur primitias reddam.

Antiqua autem illa scelera his quæ in Christum Judæi perpetrarunt, cognata sunt. Vocabat enim universum Israelem Deus et Pater, ut deinceps aliter sentire et desistere a cultu secundum legem,

Digitized by Google

Verus est autem sermo, quamvis etiam de crucifixoribus Emmanuelis intellectus. **108** Mentientes namque et calumniantes eum, gaudium Herodi et Pontio Pilato, et præsidibus Synagogæ dederunt. Ait enim alicubi et divinus Petrus ad universorum Patrem ac Deum : « Convenerunt enim vere in civitate hac adversus sanctum puerum tuum Jesum, quem unxisti, Herodes et Pontius Pilatus cum gentibus et populis Israel [9]. »

A

Ἀληθὴς δὲ ὁ λόγος, κἂν εἰ νοοῖτο πάλιν ἐπὶ τῶν σταυρωτάντων τὸν Ἐμμανουήλ. Ψευδόμενοι γὰρ, καὶ συκοφαντοῦντες αὐτὸν, χαίρειν παρεσκεύαζον Ἡρῴδην τε καὶ Πόντιον Πιλάτον, καὶ τοὺς προεδρεύοντας τῆς Συναγωγῆς. Ἔφη γάρ που καὶ ὁ θεσπέσιος Πέτρος πρὸς τὸν τῶν ὅλων Πατέρα καὶ Θεόν· « Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρῴδης τε καὶ Πόντιος Πιλάτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ. »

VERS. 4. *Omnes adulterantes quasi clibanus ardens in coctionem combustionis a flamma, a commistione fermenti donec fermentatum est ipsum. Dies regum vestrorum.*

Πάντες μοιχεύοντες ὡς κλίβανος καιόμενος εἰς πέψιν κατακαύματος ἀπὸ τῆς φλογῆς, ἀπὸ φυράσεως στέατος ἕως τοῦ ζυμωθῆναι αὐτό. Ἡμέρα βασιλέων ὑμῶν.

LXXIII. Quonam modo in maleficiis suis exhilaraverint reges, et in mendaciis principes, clare nobis exponitur. Habet autem historia ad hunc modum, quam si quis forte cognorit, utique prophetiæ sensum perfecte cognoscet. Quando igitur abruptis decem tribubus regnum super eas inivit exsecrandus Jeroboam, timuit magnopere ne fortasse propter festos dies in lege præceptos Hierosolymam ascendentes, sensim eo adducerentur, ut de integro sceptris Juda se subderent, veterumque rituum renovata memoria, aut ipsum occiderent, aut certe regno vel repugnantem postea exturbarent. Hac de causa Deo invisus, et miser aureos vitulos ipsis consecrare deliberavit, et scelestæ pseudolatriæ rationem invenit, et novos dies festos in gratiam vitulorum instituit, quemadmodum libris Hebræorum traditur. Principio igitur magno in timore erat, ne forte superiori et avitæ latriæ patrocinantes, aut solio se expellerent, aut etiam, sicut dixi, interficerent, repudiatoque incœpto ad pristinum regem redire mallent, ægre ferentes, et indignantes merito, Moysen contumeliose habitum, et divinum mandatum a se pedibus conculcatum. Quocirca cum esset vulpes, a dolo præsidium petit, multos ex Israel submittit, jactantes dicentesque ipsis vitulum conflandum, et novos dies festos ac proprios inducendos, atque ipsum a rege contendendum. Ubi populum ad hoc perquam paratum ac propensum, et hujus rei suasoribus astipulari, unaque iisdem gaudere didicit, coacta concione palam promulgavit, adorationem vitulis aureis impertiendam, et diem festo octavi mensis decimum quintum sanxit [10], sicut scriptum legimus. **109** Hæc tum Jeroboamo dicente, laudabat populus, et exclamabat : « Hæc est dies regis : » idem et nobis erit propositum, et aliis quibusdam hujuscemodi laudibus eum recreabat. Cum populo autem auferebantur et duces ipsi, cum eo sentientes, et rem approbantes. Horum in præsens propheta meminit. « Omnes, inquit, adulterantes ut clibanus ardens in coctionem combustionis a flamma. » Quia enim in fornicationem spiritualem, sive in defectionem a Deo deflexerant (hoc enim est fornicatio) clibanos jam succensos, et ad im-

B

C

D

ΟΓ'. Κατὰ τίνα δὲ τρόπον ἐν μὲν ταῖς κακίαις αὐτῶν ηὐφράναν βασιλεῖς, ἐν δέ γε τοῖς ψεύδεσιν ἄρχοντας, ἐν τούτοις ἡμῖν ἐξηγεῖται σαφῶς. Ἔχει δὲ οὕτως τῆς ἱστορίας ὁ λόγος, ἣν εἴπερ τις εἰδείη τυχὸν, εἴσεται που πάντως τῆς προφητείας τὸν νοῦν. Ὅτε τοίνυν, ἀποῤῥαγεισῶν τῶν δέκα φυλῶν, βεβασίλευκεν ἐπ' αὐτὰς ὁ ἐπάρατος Ἱεροβοὰμ, ἐδεδίη σφόδρα, μὴ ἄρα πως τῶν ἑορτῶν ἕνεκα τῶν κατὰ τὸν νόμον ἀναβαίνοντες εἰς Ἱεροσόλυμα, μεταπεισθεῖεν καταβραχὺ, τὸ Ἰούδα σκῆπτρον ἀνθελέσθαι πάλιν, καὶ τῶν ἀρχαίων ἐθῶν ἐνεχθέντες εἰς ἀνάμνησιν, ἢ ἀνέλωσιν αὐτὸν, ἤγουν ἐξώσειαν, καὶ οὐχ ἑκόντα λοιπὸν, τῆς κατὰ σφῶν ἀρχῆς. Ταύτης ἕνεκα τῆς αἰτίας ὁ θεομισὴς καὶ δείλαιος τὰς χρυσᾶς αὐτοῖς δαμάλεις ἀφιεροῦν ἐσκέπτετο, καὶ τὸν τῆς ἀνοσίου ψευδολατρίας ἐπενόει τρόπον, καὶ καινοτομεῖν ἐπεχείρει τὰς ἐπὶ ταῖς δαμάλεσιν ἑορτὰς, ὡς ὁ τῆς Ἑβραίων παραδόσεως ἔχει λόγος. Ἦν οὖν ἐν ἀρχαῖς οὐ μετρίως περιδεὴς, μὴ ἄρα τῇ ἄνωθεν καὶ ἐκ πατέρων αὐτοῖς ἠκούσῃ λατρείᾳ συναγορεύοντες, ἢ τῶν θρόνων ἐξώσειαν, ἢ καὶ ἀνέλωσιν, ὡς ἔφην, καὶ παρωσάμενοι τὸ ἐγχείρημα, παλινδρομεῖν ἔλοιντο πρὸς τὸν ἐν ἀρχαῖς, λελυπημένοι τε καὶ ἀγανακτοῦντες εἰκότως, ὡς ὑβρισμένου Μωσέως, καὶ τῆς θείας αὐτοῖς πατηθείσης ἐντολῆς. Ταύτητοι ἀλώπηξ ὢν εἰς δόλους, καθίησι πολλοὺς ἐν τῷ Ἰσραὴλ, διαθρυλλοῦντάς τε καὶ λέγοντας, ὅτι χρὴ καὶ μοσχοποιεῖν αὐτοὺς, καὶ καινουργεῖν ἑορτὰς ἰδίας, καὶ τοῦτο αὐτὸ παρὰ τοῦ βασιλέως αἰτεῖν. Ἐπειδὴ δὲ τοὺς ὄχλους ἐμάνθανε πολὺ δὴ λίαν ἔχοντας ἑτοίμους εἰς τοῦτο, συναινοῦντάς τε καὶ συνηδομένους τοῖς τὰ τοιάδε συμβεβουλευκόσι, συναγαγὼν ἅπαντας, προσπεφώνηκεν ἐναργῶς, ὅτι καὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς προσήκει προσκυνεῖν, καὶ τὴν τῆς ἑορτῆς πεφανέρωκεν ἡμέραν, τοῦ ὀγδόου μηνὸς τὴν πεντεκαιδεκάτην, καθὰ γέγραπται. Ταῦτα δὲ λέγοντος τοτηνικάδε τοῦ Ἱεροβοὰμ ἐπεφήμουν οἱ δῆμοι, καὶ ἀνεκράγησαν, « Αὕτη ἡ ἡμέρα τοῦ βασιλέως· » οὕτω καὶ ἡμεῖς ἐψόμεθα τῷ σκοπῷ, καὶ ἑτέροις δέ τισι τοιούτοις ἐπαίνοις κατευφραίνειν ἤθελον. Συναπεκομίζοντο δὲ τοῖς ὄχλοις καὶ οἱ καθηγεῖσθαι λαχόντες, συνηχοῦντές τε καὶ συναινοῦντες αὐτοῖς. Τούτων ἡμῖν εἰς τὸ παρὸν ὁ τοῦ προφήτου διαμέμνηται λόγος. « Πάντες γὰρ, φησὶ, μοιχεύοντες ὡς κλίβανος καιόμενος εἰς πέψιν κατα-

[9] Act. IV, 27. [10] III Reg. XII, 32.

Digitized by Google

καύματος, ἀπὸ τῆς φλογός. » Διανενευκότες γὰρ εἰς πορνείαν τὴν νοητὴν, ἦγουν εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ (τοῦτο γὰρ ἡ πορνεία), κλιβάνοις ἐοίκεσαν ἐκκεκαυμένοις ἤδη πως, καὶ ἑτοίμοις εἰς πέψιν ὧν ἄν τις ἐμβάλοι. Φλογὸς γὰρ ἦσαν μεμεστωμένοι, θερμῆς δηλονότι, καὶ οἱονεὶ διακεκαυμένης ἐπιθυμίας. Ἐοίκεσαν δὲ καὶ φυράματι στέατος, ἔχοντι μὲν ἤδη τὴν ζύμην, ζυμωθέντι δὲ τελείως, ἐν ἡμέρᾳ βασιλέως αὐτῶν, ὅτι, καθάπερ ἔφην ἀρτίως, ἀναφανδὸν εἰρηκότος τοῦ Ἱεροβοὰμ, ὅτι χρὴ θύειν ταῖς δαμάλεσι, καὶ τὰς ἐπ' αὐτοῖς τελεῖν ἑορτὰς, ἐπεφώνουν αὐτοί· « Αὕτη ἡ ἡμέρα τοῦ βασιλέως, » καθάπερ, ὡς ἔφην, ὁ τῆς παραδόσεως ἔχει λόγος. Τότε καὶ ἐζυμώθη τελείως, τουτέστιν, ὁ λόγος ἐξ ὅλου γέγονε τῇ δυσσεβείᾳ κάτοχος. Οὐκοῦν, προκεκαυμένοι τὸν νοῦν ταῖς εἰς παράβασιν θερμαῖς καὶ ἀκαθέκτοις ἐπιθυμίαις, προζυμωθέντες δὲ ὥσπερ κατὰ τοῦτον αὐτὸν τὸν τρόπον ἐν ἡμέρᾳ βασιλέως, εἰς τὸ τῆς φαυλότητος κατώλισθον πέρας.

A missa coquenda paratos referebant. Flamma enim erant pleni, ferventi videlicet et velut flagranti cupiditate. Similes item massæ habenti jam fermentum, integre autem fermentatæ in die regis ipsorum; utpote cum, ut modo dicebam, manifestissime edicente Jeroboam, sacrificandum esse vitulis et agendos in honorem ipsorum dies festos, succlamarunt illi: « Hæc dies regis, » ut traditum litteris aiebam. Tunc fermentatum est perfecte, hoc est, sermo editus est ex asse impius. Igitur præaccensi animis ferventibus et impotentibus ad transgressionem cupiditatibus, et prius fermentati quodam modo secundum hunc ipsum modum in die regis, in extremam impietatem devoluti sunt.

Τοιοῦτόν τι δεδράκασιν Ἰουδαῖοι πάλιν ἐπὶ Χριστῷ. Καταψευδόμενοι γὰρ τῆς δόξης αὐτοῦ, καὶ κατὰ βραχὺ τοὺς ὄχλους ἐξέλκοντες τῆς εἰς αὐτὸν ἀγάπης οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι πεπορνεύκασι νοητῶς, ἀποστήσαντες αὐτοῦ τὴν ἀγελαίαν πληθύν.

B Tale quiddam et Judæi in Christum fecerunt. Mentientes enim contra gloriam ipsius, paulatimque turbas ab ejus dilectione abstrahentes Scribæ et Pharisæi, fornicati sunt spiritualiter plebeiam multitudinem ab ipso avertentes.

VERS. 5. *Cœperunt principes furere a vino, extendit manum suam cum pestibus, quia succensa sunt quasi clibanus corda eorum.*

Ἤρξαντο οἱ ἄρχοντες θυμοῦσθαι ἐξ οἴνου, ἐξέτεινε τὴν χεῖρα αὐτοῦ μετὰ λοιμῶν, διότι ἀνεκαύθησαν ὡς κλίβανος αἱ καρδίαι αὐτῶν.

ΟΔ'. Οἶνον, ὡς ἔοικεν, ἐνθάδε φησὶ τὸν ἐξ ἀμπέλου Σοδόμων, τὸν καταμεθύσκοντα καρδίας, καὶ ἐπιθολοῦντα τὸν νοῦν, καὶ ἀχλύος αὐτὸν ἀναπιμπλάντα τῆς ὀλεθρίου καὶ βδελυρᾶς. Δεδυσφορηκότων δὴ οὖν ἐνίων ἐπί τε τῇ τῶν δαμάλεων καινοτομίᾳ, καὶ μέν τοι τῶν ἑορτῶν, παρεθήγοντο πρὸς ὀργὰς τῶν ἀρχόντων τινές. Ἵνα δὲ μὴ ὁρῷτο τῶν σεσιγηκότων καὶ εὐφημεῖν οὐκ ἀνεχομένων ἡ σωφρονεστέρα πληθὺς, αὐτοὶ τοῖς ὄχλοις τὰς χεῖρας συνεκτείνοντες, ἐπεφώνουν καὶ ἔτι μειζόνως, « Αὕτη ἡ ἡμέρα τοῦ βασιλέως, » καὶ τοὺς τῆς ἀνοσιότητος ἀπεδέχοντο τρόπους. Ὠργίζοντο τοίνυν μεμεθυσμένοι, φησὶν, ἀνοσίᾳ μέθῃ, καὶ τοῖς μὴ συντρέχουσι τοῖς οὕτως αἰσχροῖς τοὺς ὀδόντας ἐπέτριζον, λοιμοῖς συνεκτείνοντες τὰς ἑαυτῶν χεῖρας. Λοιμοὺς δέ φησι τοὺς ὄχλους. Ἐπεκρότουν γὰρ, φησὶν, ὡς ἔφην, καίτοι παιδαγωγεῖν εἰς εὐσέβειαν ὀφείλοντες, καὶ τὴν τοῦ συμφέροντος ἀνακαλύψαι τρίβον. Ἀλλ' ἦσαν θερμοὶ τὴν καρδίαν καὶ αὐτοὶ, φησὶ, τῆς εἰς παράβασιν ἐπιθυμίας τὴν ὀλεθρίαν εἰς νοῦν δεξάμενοι φλόγα.

C LXXIV. Vinum, ut apparet, appellat hic ex vinea Sodomorum inebrians corda, et turbans mentem, eamque perniciosa et abominanda caligine implens. Quibusdam igitur novitatem vitulorum introductorum, atque etiam festa indignius ferentibus, nonnulli principes ira exarserunt. Ne autem tacentium, et laudare non sustinentium cœtus prudentior putaretur, ipsi cum populo manus extendentes acclamabant validius adhuc: « Hæc dies regis, » **110** et mores impios approbabant. Irascebantur itaque inebriati, inquit, ebrietate scelerata, et super iis qui in tam turpi negotio non conferrent operam, dentibus stridebant, manus suas cum pestibus extendentes. Pestes appellat popularem frequentiam. Applaudebant enim, inquit, ut dixi, quanquam alios erudire ad rationes pietatis et utilitatis iter pandere deberent. Sed fervebant cordibus et ipsi, inquit, perniciosa flamma cupiditatis deficiendi in animum intromissa.

Ἐν τῷ καταῤῥάσσειν αὐτοὺς, ὅλην τὴν νύκτα ὕπνου Ἐφραὶμ ἀνεπλήσθη. Πρωὶ ἐγερθὴ, ἀνεκαύθη ὡς πυρὸς φέγγος.

D VERS. 6. *Cum ipsi præcipitarent, totam noctem somno Ephraim repletus est. Mane factum est, et incensus est velut ignis lumen.*

ΟΕ'. Ἔφην, ὅτι περιδεὴς ἦν ἄγαν ὁ θεομισὴς Ἱεροβοὰμ, ἐν μόναις ὢν ἔτι ταῖς σκέψεσι τῶν ἀνοσίων ἐγχειρημάτων. Ὤμετο γὰρ, καὶ σφόδρα εἰκότως, ἀγανακτήσειν τὸν Ἰσραὴλ, εἰ διαπύθοιτό τι τοιοῦτον, καὶ τῶν πατρίων ἐθῶν τὴν παράβασιν οὐκ ἐν μικρῷ ποιήσεσθαι λόγῳ. Ἐπειδὴ δὲ προσπεφώνηκε μὲν τοῖς ὄχλοις αὐτὸς, ὅτι χρὴ ταῖς δαμάλεσι προσκυνεῖν· προσήκαντο δὲ ἀσμένως τὴν σκέψιν αὐτοὶ, καὶ ὁμοῦ τοῖς ἄρχουσιν ἐπεκρότουν, ὡς ὀρθὰ καὶ συμφέροντα φρονεῖν τε καὶ δρᾷν ἠρημένοι· ἀπέστη δειμάτων, ἀποκεχώρηκεν ὑποψίας, εὐθυμός τε διετέλει λοιπὸν,

LXXV. Monui, Jeroboam, summo versatum in metu, dum adhuc de impio facinore aggrediundo deliberaret. Suspicabatur enim, et quidem rectissime, ægre laturum Israel, si quid hujusmodi comperiret, patriorumque rituum violationem non neglecturum. Postquam autem populum ipse de vitulis adorandis compellavit, et cogitata ejus libenter admiserunt, et simul cum principibus plausum super eo dederunt, tanquam qui justa et fructuosa cum sapere, tum facere instituissent, terrorem deposuit, suspicionem abjecit, tranquilloque

Digitized by Google

propemodum etiam tributa Israeli imponere cupiens. **113** Osee servitute recusata ad resistendum sese comparabat, si forte ad arma Israelem compelleret. Deinde ad Segor Ægyptiorum regem auxilia petitum misit, quod se illo adjuvante, Assyrio superiorem fore confideret. Ob hoc Assyrius ingenti dolore et iracundia concitatus, bellum Israeli facit, et Osee capit, et cum eo captus Israel Samaria emigrare cogitur. Itaque factus est Ephraim ut columba insipientissima, non bene et opportune simplex. Proinde et Christus, « Estote, inquit, prudentes sicut serpentes, et simplices sicut columbæ [12]. Morum quippe simplicitas cum animo liberali merito maximi facienda est. Absente autem prudentia, simplicitas detrimentosa, et stultitia de cætero censenda est. Insipiens igitur Ephraim. Quonam tandem modo? Invocabat enim Ægyptios, sed ibat captivus ad Assyrios, cum Segor auxilium apportare non valeret. Et quomodo non expediebat supernum potius, inexpugnabile, quam humanum quærere præsidium? Proinde et universorum Deus per Isaiam: « Væ qui descendunt in Ægyptum ad auxilium, in equis confidentes et in curribus [13]. » Non autem absque divino nutu auxilia ipsorum defecisse ostendit, cum ait se, quocunque iverint, instar passerculorum eos detracturum, velut sagenam, aut rete superjaciendo, nec sinendo gloriari; sed velut ex alto in terram, hoc est, a sublimi et elato supercilio ad lugubres et modestas cogitationes, et quæ hostibus subjectos deceant deducendo. Subjungit, « Corripiam eos in auditu tribulationis ipsorum, » illud significare volens, ut mihi videtur. Futurorum ipsam experientiam rumores antecedebant, et auditio terribilis omnes in Samaria consternabat. Corripiebantur itaque, jamjam ipsis in cervicibus futuram tribulationem audientes. Quod si sapuissent, et hoc illis ad conversionem sufficisset. Sed cum ab accipiendo dolore essent alienissimi, ne ipsa quidem experientia sunt commoti, animo præfracto et ferreo, et ab incredulitate affecto pessime.

A οὐχὶ καὶ δασμολογεῖν ἐθέλων τὸν Ἰσραήλ. Ὁ δὲ ἀνένευσε τὴν δουλείαν, ἐμελέτα δὲ μᾶλλον τὴν ἀντίστασιν, κἂν εἰ ἔλοιτο τυχὸν τὸν πολέμου νόμον ἐπιθέσθαι τῷ Ἰσραήλ. Εἶτα πρὸς Σηγὼρ ἐπρεσβεύετο τὸν Αἰγύπτου τύραννον, ἐπικουρίαν αἰτῶν. ἬΙδήθη γὰρ, ὅτι περιέσται σὺν αὐτῷ τῆς Ἀσσυρίων χειρός. Πρὸς τοῦτο δὲ μάλιστα λελυπημένος ἐκεῖνος, πόλεμον αἴρεται κατὰ τοῦ Ἰσραήλ. Εἶτα γέγονεν αὐτῷ δοῦλος Ὡσηὲ, δορύληπτος δὲ σὺν αὐτῷ καὶ αὐτὸς ἀπῳκίζετο τῆς Σαμαρείας ὁ Ἰσραήλ. Οὐκοῦν γέγονεν Ἐφραὶμ ὡς ἀνουστάτη περιστερὰ, οὐκ ἐπὶ καλῷ τὸ ἀκέραιον ἔχων. Τοιγάρτοι καὶ ὁ Χριστὸς, « Γίνεσθε, φησὶ, φρόνιμοι ὡσεὶ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. » Ἁπλότης μὲν γὰρ ἠθῶν, καὶ τὸ ἐλεύθερον φρόνημα, γένοιτ' ἂν εἰκότως τοῦ παντὸς ἄξιον λόγου. B Συνέσεως δὲ ἀπούσης, τὸ ἁπλοῦν ἐπιδήμιον, καὶ μωρία τὸ χρῆμα λοιπόν. Ἄνους δὴ οὖν ὁ Ἐφραὶμ, πῶς, ἢ τίνα τρόπον; Ἐπεκαλεῖτο μὲν γὰρ Αἰγυπτίους. Ἀλλ' ἐβάδιζον αἰχμάλωτοι πρὸς Ἀσσυρίους, ἀτονήσαντος εἰς ἐπικουρίαν τοῦ Σηγώρ. Εἶτα πῶς οὐκ ἄμεινον ἦν αὐτῷ μὴ τὴν ἐξ ἀνθρώπων μᾶλλον, ἀλλὰ τὴν ἄνωθεν καὶ ἀκαταγώνιστον ζητῆσαι φροντίδα; Τοιγάρτοι καὶ ἔφασκεν ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς Ἡσαΐου· « Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες καὶ ἐφ' ἅρμασιν. » Ὅτι δὲ οὐ δίχα Θεοῦ καὶ ἡ τῶν ἐπαμυνόντων αὐτοῖς ἠσθένησε χεὶρ, δέδειχεν, εἰπὼν, ὡς ὅποιπερ ἂν πορεύωνται, στρουθίων αὐτοὺς κατάξει δίκην, δίκτυον ὥσπερ ἢ λίνον ἐπιβάλλων, καὶ ἁλιζονεύεσθαι μὲν οὐκ ἐφιεὶς, κατακομίζων δὲ ὥσπερ C ὑφόθεν εἰς γῆν, τουτέστιν, ἐξ ὀφρύος τῆς ἄγαν ὑψηλῆς καὶ ἐπηρμένης εἰς οἰκτρὸν καὶ μέτριον φρόνημα, καὶ ὅπερ ἂν πράσσει τοῖς ὑπὸ χεῖρα γεγενόσιν ἐχθρῶν. Εἶτά φησιν, ὅτι « Παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν, » ἐκεῖνό που, καθάπερ ἐγῷμαι, δηλοῦν ἐθέλων. Προεβάδιζον μὲν γὰρ τῆς πείρας αὐτῆς τῶν ἐσομένων οἱ θρύλλοι, καὶ φρικώδης ἀκοὴ κατεπτόει που πάντας ἐν Σαμαρείᾳ. Οὐκοῦν ἐπαιδεύοντο, τὴν ὅσον οὐδέπω παρεσομένην αὐτοῖς ἀκούοντες θλῖψιν. Ἀλλ' εἴπερ ἦσαν σοφοὶ, ἤρκεσεν ἂν αὐτοῖς εἰς ἐπιστροφὴν καὶ τοῦτο. Ἀσυάλιγητοι δὲ σκληρόν τε καὶ ἄθραυστον, καὶ πολὺ νοσοῦντα τὸ

ὄντες λίαν, οὐδὲ τὴν πεῖραν αὐτὴν δεδυσώπηνται, ἀπειθὲς ἔχοντες νοῦν.

Vers. 13. *Væ eis, quoniam resilierunt a me. Miseri sunt, quoniam impie egerunt in me.*

LXXXI. Causam malorum fuisse ipsis discessionem a Deo, etiam his verbis aperit. **114** Quemadmodum enim qui corporibus ægrotant, sibi morborum cruciamenta accersisse convincuntur, si medicos et medicamenta sedandis pellendisque doloribus idonea respuerint; ita nos quoque charitati erga Deum nosmet subtrahentes, non mediocriter peccabimus. Nam qui Deum offendit, eum quod salvare queat, nihil est. Quia igitur a Deo aufugerunt, idcirco miseri et maledicti. Quia vero impie egerunt, quod falsos deos adorarunt, divinosque illis honores tribuerunt, subjacebunt væ. « Etenim si clauserit Deus

D *Οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ. Δειλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ.*

ΠΑ'. Ὅτι πρόφασις αὐτοῖς τῶν δεινῶν τὸ ἀποστῆναι Θεοῦ, καὶ διὰ τούτων ἡμῖν καθίστησιν ἐναργές. Ὄνπερ γὰρ τρόπον οἱ ἀῤῥωστοῦντες σωματικῶς, ἑαυτοῖς παραίτιοι γεγονότες τῆς τῶν νοσημάτων ἀγριότητος ἁλοῖεν ἄν, εἰ μὴ παραδέχοντο τοὺς ἰατροὺς, καὶ τὰ δι' ὧν ἂν δύναιντο κατευνάζεσθαι τὸ λυποῦν· οὕτω καὶ ἡμεῖς τῆς εἰς Θεὸν ἀγάπης ἑαυτοὺς ἐκκομίζοντες, οὐ μετρίως ἀδικήσωμεν. Σώζει γὰρ οὐδὲν τὸν προσκρούοντα Θεῷ. Ὅτι τοίνυν ἀποδεδραμήκασι Θεοῦ, ταύτητοι δείλαιοι καὶ ἐπάρατοι. Δεδυσσεβηκότες δὲ, διά γε τοῦ προσκυνεῖν τοῖς ψευδωνύμοις θεοῖς, καὶ ἀνάπτειν αὐτοῖς τὸ σέβας, ὑποκείσονται τῷ οὐαὶ

[12] Matth. x, 16. [13] Isa. xxxi, 1.

Digitized by Google

« Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου Θεὸς, τίς ἀνοίξει; » κατὰ τὸ γεγραμμένον.

A contra hominem, quis aperiet[15]? » ut scriptum est.

Ἐγὼ δὲ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ, καὶ οὐκ ἐβόησαν πρός με ai καρδίαι αὐτῶν, ἀλλ' ἢ ὠλόλυζον ἐν ταῖς κοίταις αὐτῶν, ἐπὶ σίτῳ καὶ οἴνῳ κατετέμνοντο.

VERS. 14. *Ego vero redemi eos, ipsi autem locuti sunt contra me mendacia; et non clamaverunt ad me corda eorum, sed ululabant in cubilibus suis. Super frumento et vino concidebantur.*

ΠΒ'. Ὅτι τοῖς ἑκάστου πλημμελήμασιν ἰσομέτρους ἐπάγει τὰς δίκας, ὑπεμφαίνει πάλιν. Κατειρήκασι γὰρ τοῦ λυτρωσαμένου Θεοῦ, καὶ ἐξ οἴκου δουλείας ἐξαγηοχότος « ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ, » καθὰ γέγραπται, καὶ τῆς Αἰγυπτίων πλεονεξίας ἐκκεκομικότος. Κατελάλησαν δὲ τῆς δόξης αὐτοῦ, τὰς ὑπὲρ ὧν ἂν πάθοιεν εὐφημίας τοῖς ἀκαθάρτοις ἀνάπτοντες δαίμοσι, καὶ τοῖς ἔργοις τῶν χειρῶν τῶν ἰδίων, καθάπερ ἀμέλει μεμοσχοποιηκότες κατὰ τὴν ἔρημον, μονονουχὶ τὸν λυτρωτὴν ἀνοσίως περιυβρίζοντες, ἐξ ἀποπληξίας ἔφασκον· « Οὗτοί σοι θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου. » Ὕβρις οὖν ἄρα, καὶ παροινία λοιπὸν εἰς Θεὸν, καὶ ἐναργεστάτη κατάῤῥησις, τὸ γλυπτοῖς καὶ δαίμοσιν ἀναθεῖναι τὸ σέβας, καὶ αὐτοῖς προσάγειν τὰ χαριστήρια, καὶ τῆς ἀνωτάτω δόξης τὴν ὑπεροχὴν καταβιβάζειν εἰς αὐτά. Καὶ οὐχὶ δὴ μόνον κατειρήκασι τοῦ Θεοῦ, καθάπερ ἔφην ἀρτίως, ἀλλὰ καὶ ἀπένευσαν παντελῶς τοῦ κἂν γοῦν οἴεσθαι μόνον, ὅτι παρ' αὐτοῦ τοῖς ἐν κόσμῳ τὰ ζωαρκῆ. « Οὐ γὰρ βεβοήκασι πρός με, φησὶν, αἱ καρδίαι αὐτῶν, » τουτέστιν, οὐδὲν ἐξεζήτησαν παρ' ἐμοῦ, καίτοι διακείμενοι καὶ πεπιστευκότες, ὅτι παντὸς ἀγαθοῦ χορηγός· εἰμι καὶ δοτήρ. Ὅτι δὲ βοῆς οὐ δεῖται Θεὸς, διαθέσεως δὲ μᾶλλον τῆς εἰς νοῦν καὶ καρδίαν, καὶ διὰ τούτων εἰσόμεθα. Οὐκοῦν οὔτε βεβοήκασι πρὸς Θεόν· ἀλλὰ γὰρ καὶ ἀπονενεύκασιν ἀχαλίνως εἰς ἐκτόπους φιλοσαρκίας, ὡς καὶ ὀλολύζειν ἐπὶ κοίταις. Αἰσχρῶν δὲ τρόπων ἀπόδειξις τὸ χρῆμά ἐστι, καὶ τῆς εἰς πορνείαν ἐπιπλήκτου ῥοπῆς, καὶ νοῦ κεκλασμένου πρὸς ἡδονάς. Πρέποι δ' ἂν μόνοις εἰς αἰσχρὰν οὕτω καὶ βδελυρωτάτην ἕξιν κατολισθεῖν τοῖς τὰ τῶν ἀνδρῶν ἐξαίρετα, πρὸς τὰ τῶν γυναίων ἤθη, καὶ σχήματα, καὶ φωνὰς καταβιάζεσθαι μεμελετηκόσι. Γυναικίαι δὲ οὗτοι, καὶ πολὺ λίαν ἐκτεθηλυμένοι, καὶ εἰς λῆξιν ἥκοντες τῆς ἐν ἀνθρώποις ἀκαθαρσίας. Τό γε μὴν ἐπ' οἴνῳ καὶ σίτῳ κατατέμνεσθαι λέγειν αὐτοὺς, ἐκεῖνο, οἶμαί που, παραδηλοῦν ἔοικεν. Εὐχαριστοῦντες γὰρ τοῖς ἑαυτῶν εἰδώλοις ἐπὶ ταῖς ἐξ ἀγρῶν εὐκαρπίαις, σίτῳ τε, φημὶ, καὶ τοῖς ἐξ ἀμπέλου, τὰς καλουμένας τελετὰς ἐπιτηδεύειν ἤθελον. Οἷον ἐνθουσιῶντές τε καὶ μαινόμενοι, καὶ σιδήρῳ τὰ στέρνα, καὶ ἄμφω τῷ χεῖρε χαράττοντες, καὶ ἀτόπως τάχα τὸ ἴδιον αἷμα μονονουχὶ καταθύοντες τοῖς γλυπτοῖς, ἐπ' ἐσχάτῃ λοιπὸν ἀφιλοθείᾳ κατεγινώσκοντο. Τούτοις που τάχα καὶ προφήτης ἕτερος ἐπιμειδιᾷ, λέγων· « Θύσατε ἀνθρώπους· μόσχοι γὰρ ἐκλελοίπασιν. » Ἱκανὰ δὲ τὰ τοιάδε καταλυπεῖν ὅτι μάλιστα τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεὸν, ᾧ

LXXXII. Insinuat item, se uniuscujusque peccata paribus pœnis ulcisci. Oblocuti sunt enim liberatori suo Deo, qui eos de domo servitutis eduxit, « in manu potenti, et brachio excelso[16], » sicut scriptum est, et e dominatu Ægyptiorum asportavit. Detraxerunt autem de gloria ejus, laudes pro acceptis beneficiis impuris dæmonibus, et operibus manuum suarum tribuentes; sicut nempe cum vitulum in solitudine fecissent, propemodum liberatorem impie et contumeliose proscindentes, ex amentia dicebant: « Hi sunt dii tui, Israel, qui eduxerunt te de terra Ægypti[16]. » Injuria igitur et contumelia in Deum minime dubia opprobratio est, sculptilibus et dæmonibus cultum divinum impendere, iisque gratias referre, et supremæ gloriæ excellentiam ad eos derivare. Nec solum male locuti sunt Deo, ut modo dixi; sed etiam ipsam opinionem, omnibus in orbe terrarum animantibus vitæ necessaria ab eo impertiri, penitus abjecerunt. « Non enim clamaverunt ad me, inquit, corda eorum, » hoc est, nihil quæsiverunt a me quamvis sentirent, et crederent, me omnis boni suppeditatorem ac præbitorem esse. Deum autem non egere clamore, sed affectu potius animi et cordis, etiam hinc cognoscemus. Ergo neque clamaverunt ad Deum; imo impotentes ab eo ad studia carnis sordida deflexerunt, ut etiam ululârent in cubilibus suis: qua re fœdi mores et propensio castigabilis ad fornicationem, et **115** mens fracta ad voluptates demonstratur. Ad hujusmodi turpem, maximeque exsecrandum habitum delabi eos tantum convenit, qui quæ virorum peculiaria sunt, ad mores, et habitus, et voces feminarum detorquere contenderunt. Hi sunt muliebres, et immane quantum effeminati, et humanæ immunditiæ fastigium tenent. Quod dicitur eos super frumento et vino concidi, illum, opinor, sensum habet. Gratias agentes idolis suis propter uberes agrorum proventus, frumentum, inquam, et vinum, quæ vocantur mysteria studiose celebrabant, et velut a Deo afflati, et insanientes, ferro quoque pectora ambasque manus inciderunt, et proprium sanguinem, credo, tantum non sculptilibus improbe sacrificantes, propter extremam deinceps a Deo alienationem damnantur. Hos forsitan et alius propheta irridet, dicens: « Immolate homines, vituli enim defecerunt[17]. » Talia ad Deum omnia potestate comprehendentem summe irritandum satis valent, cui gratias agere potius, quam convenientem gloriam lignis et lapidibus stulte tribuere conveniebat.

[15] Isa. xxii, 22. [16] Psal. cxxxv, 12. [16] Exod. xxxii, 4. [17] Ose. xiii, 2.

Digitized by Google

μᾶλλον ἔδει προσάγειν τὰ χαριστήρια, καὶ οὐχὶ τὴν αὐτῷ πρέπουσαν δόξαν ἀπονέμειν ἀβούλως ξύλοις τε καὶ λίθοις.

VERS. 15. *Eruditi sunt in me, et ego confortavi brachia eorum, et contra me cogitaverunt mala. Aversi sunt in nihil, facti sunt quasi arcus extensus.*

Ἐπαιδεύθησαν ἐν ἐμοὶ, καὶ ἐγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά Ἀπεστράφησαν εἰς οὐδὲν, ἐγένοντο ὡς τόξον ἐντεταμένον.

LXXXIII. Aliud ingrati animi crimen illis objicit, impios negligentesque demonstrans. Ego enim, inquit, quanquam olim nihil a brutis animantibus differentes, et imperitissimos, et lege institui, et sapientes, et utilitatis gnaros, et viam justitiæ, et omnem decentiæ rectam administrationem scientes effeci, ut jam etiam apud se gaudentes dicerent : « Beati sumus Israel, quoniam quæ placita sunt Domino, nota sunt nobis [18]. » Neque hic ejus erga ipsos beneficentia quievit; sed insuper fortissimos, et ad quemvis adversarium debellandum valentes reddidit. Multas quippe magnasque gentes sine labore devicerunt. Nihilominus in me talium bonorum ipsis auctorem perversi exstiterunt, contemptores videlicet et desertores, et aversionis ratio illis in nihilum recidit. Nihil enim penitus est ex materia sub sensum cadente manufactum simulacrum. Ac si quidem meliora reperissent, posset transgressio ipsorum probabiliter defendi. Quoniam autem cum Deo collata nihil sunt, **116** ista prorsus, nisi risus et fatuitas, et quæcunque horum similia, aversionis suæ rationem verisimilem nullam habent. Itaque ad nihil aversi sunt. Ad hæc facti sunt « ut arcus extensus, » non se submittentes ad pœnitentiam, non remittentes intentionem, qua ad tantum dedecus dementiamque pervenerunt. Sciendum porro alios interpretes edidisse, « facti sunt ut arcus in contrarium versus, » seu obversus ut præterea quidpiam hujusmodi fecisse Israel intelligeretur. Quos enim potius conveniebat quasi arcum contra hostes intendi, et ad oppugnandum paratos valide ferire, non animadverterunt, quo pacto semetipsos velut emissis ab arcu sagittis acerbe vulnerarent. Deum enim offendentes juxta modos jam dictos quid aliud agere convincantur, quam contra semetipsos suas armare manus?

ΠΓ'. Ἕτερον αὐτοῖς ἀχαριστίας αὐτῶν ἐπιστυνάπτει τρόπον, ἀνοσίους ὄντας καὶ ὀλιγογνώμονας ἀποφαίνων. Ἐγὼ μὲν γὰρ, φησὶ, καίτοι πάλαι κτηνῶν ἀλόγων διενεγκόντας οὐδὲν καὶ ἀσυνέτους ὄντας κομιδῇ, καὶ νόμῳ πεπαίδευμαι, καὶ σοφοὺς ἀπέδειξα, καὶ τὸ συμφέρον εἰδότας, καὶ τὴν τῆς δικαιοσύνης ὁδὸν, καὶ ἁπάσης εὐκοσμίας κατόρθωσιν οὐκ ἠγνοηκότας, ὡς ἤδη καὶ λέγειν χαίροντας ἐφ' ἑαυτοῖς, « Μακάριοί ἐσμεν, Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστι. » Καὶ οὐ μέχρι τούτων τὰ τῆς εἰς αὐτοὺς γέγονε φιλοτιμίας· ἀλλὰ γὰρ ἀλκιμωτάτους ἀπέφηνα, καὶ ἱκανῶς ἔχοντας πρὸς τὸ δύνασθαι παντὸς καταθλεῖν τοῦ πολεμεῖν ἐθέλοντος καὶ ἀνθεστηκότος. Νενικήκασι γὰρ ἔθνη πολλὰ καὶ μεγάλα, καὶ τοῦτο ἀμογητί. Ἀλλ' εἰς ἐμὲ τὸν τοιούτων αὐτοῖς δοτῆρα θεὸν γεγόνασι πονηροὶ, καταφρονηταὶ δηλονότι καὶ ἀποστάται· καὶ ὁ τρόπος αὐτοῖς τῆς ἀποστροφῆς γέγονεν εἰς οὐδέν. Οὐδὲν γὰρ ὅλως τὸ ἐξ ὕλης αἰσθητῆς χειροποίητον ἄγαλμα. Ἀλλ' εἰ μέν τοι τὸ ἄμεινον εὑρήκασιν, ἔχοι ἂν εἰκότως καὶ λόγον αὐτοῖς ἡ παράβασις. Ἐπειδὴ δὲ πρὸς θεὸν οὐδὲν παντελῶς τὰ τοιάδε, γελοιότης δὲ καὶ ἠλιθιότης, καὶ ὅσα τούτοις ἐγγὺς, οὐδεὶς αὐτοῖς ἐστι λόγος τῆς ἀποστροφῆς, πιθανὴν ἔχων αἰτίαν. Οὐκοῦν εἰς οὐδὲν ἀπεστράφησαν. Γεγόνασι δὲ πρὸς τούτοις καὶ « ὡς τόξον ἐντεταμένον, » οὐ χαλώμενοι πρὸς μετάγνωσιν, οὐ καθυφιέντες τουτουΐ τοῦ πρὸς τοσαύτην αὐτοὺς ἀποφέροντος αἰσχύνην καὶ ἀβουλίαν. Ἰστέον δὲ, ὅτι τοῦτο διερμηνεύοντες ἐκδεδώκασιν ἕτεροι, « Ἐγένοντο ὡς τόξον ἀντεστραμμένον, » ἵνα τι τοιοῦτον πεπραχὼς νοῆται πάλιν ὁ Ἰσραήλ. Οὓς γὰρ ἔδει μᾶλλον, καθάπερ τι τόξον, ἐντείνεσθαι κατ' ἐχθρῶν, καὶ βάλλειν εὐτόνως τοὺς ἀντανίστασθαι μεμελετηκότας, διαλελῆθασι σφᾶς αὐτοὺς οἱονεὶ τόξων ἀκίσι πλήττοντες πικραῖς. Θεῷ γὰρ προσκρούοντες, κατά γε τοὺς ἤδη προειρημένους τρόπους, τί δρῶντες ἕτερον ἀλοῖεν ἂν, ἢ καθ' ἑαυτῶν τὰς ἰδίας ὁπλίζοντες χεῖρας;

Poterit autem quod propositum est ad declarandum, si cupiam placebit, et aliter intelligi. Universorum namque Deus Israelem veluti arcum suum intendit, diaboli tyrannidem pugna lacessens, et eum idololatricæ imposturæ opponens. Solus enim Israel ex omnibus gentibus per orbem universum, juxta mentem legis repulsa idolorum adoratione natura, et revera universitatis Domino addictus et consecratus erat. Sed in contrarium versi sunt. Qui enim illud facere debebant, pro gloria idolorum cum Deo pugnaverunt. Facti sunt igitur, ut arcus obversus, sagittas in contrarium dirigentes.

Νοοῖτο δ' ἂν τὸ προκείμενον, εἴπερ τῷ δοκεῖ, καὶ καθ' ἕτερον τρόπον. Ὁ μὲν γὰρ τῶν ὅλων θεὸς ἐντέτεινεν οἱονείπως τὸν Ἰσραὴλ ὡς ἴδιον τόξον, τῇ τοῦ διαβόλου τυραννίδι μαχόμενος, καὶ τῇ τῆς εἰδωλολατρείας ἀντεξάγων ἀπάτῃ. Μόνος γὰρ ἐκ πάντων τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν ὁ Ἰσραὴλ, κατά γε τῷ νόμῳ δοκοῦν, ἀπεσείετο μὲν τὴν τῶν εἰδώλων προσκύνησιν, προσέκειτο δὲ τῷ φύσει τε καὶ ἀληθῶς τῶν ὅλων Δεσπότῃ. Ἀλλ' ἐτράποντο πρὸς τὸ ἐναντίον. Οἱ γὰρ ἐκεῖνο πράττειν ὀφείλοντες, ὑπὲρ τῆς τῶν εἰδώλων δόξης πεπολεμήκασι τῷ Θεῷ. Γεγόνασι τοίνυν ὡς τόξον ἀντεστραμμένον, ἐναντίᾳ χρώμενοι τῇ τοξείᾳ.

[18] Baruch iv, 4.

Digitized by Google

Πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν, διὰ A *ἀπαιδευσίας γλώσσης αὐτῶν.*

ΠΔ'. Οὐ κατὰ μόνον ἦξει, φησὶ, τῶν τοῖς ἡγουμένοις ὑπεστρωμένων τὰ ἐξ ὀργῆς, καταλήψεται δὲ, καὶ μάλα γοργῶς, καὶ τοὺς ταῖς ἀνωτάτω τιμαῖς ἐντρυφᾷν εἰωθότας. Πεσοῦνται γὰρ ἐν ῥομφαίᾳ, καὶ πρόφασις ἔσται τοῦ παθεῖν αὐτοὺς, τῆς γλώσσης τὸ ἀσελγές. Ἀπαιδευσία γὰρ ἀληθῶς τὸ τῷ ξύλῳ λέγειν, « Θεός μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. »

Ἁρμόσειε δ' ἂν εὖ μάλα καὶ τὰ τοιάδε λέγειν τῷ Ἐμμανουὴλ, καθ' οὗ τὴν ἀπαίδευτον κεκινήκασι γλῶσσαν οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι, καίτοι παιδεύοντός τε καὶ κατισχύοντος, δῆλον δὲ ὅτι πνευματικῶς. Ὧν οὐδὲν ὑπολογισάμενοι, καὶ ἀπεστράφησαν εἰς οὐδέν. Ἐτράποντο γὰρ εἰς διδασκαλίας, B ἐντάλματα ἀνθρώπων. Καὶ γεγόνασιν ὡς τόξον ἀντεστραμμένον, βάλλοντες ἀνοσίως τὸν ἑαυτῶν Δεσπότην, οὗ μᾶλλον ἐχρῆν ὑπεραθλῆσαι γενικῶς, καὶ νικᾷν ἐπείγεσθαι τοὺς ἀντιτεταγμένους, καθὰ καὶ οἱ τῶν πιστευσάντων γνήσιοι μαθηταί.

Vers. 16. *Cadent in gladio principes eorum, propter imperitiam linguæ eorum.*

LXXXIV. Non contra solos principibus subditos ira suppliciis sæviet; comprehendet etiam, et velocissime, qui in summis honoribus suas habere voluptates consueverunt. « Cadent enim in gladio, » quod malum illis pariet linguæ protervitas. Vere enim stultitia est, ligno dicere : « Deus meus es tu; et lapidi : Tu me genuisti [19]. »

Talia et Emmanuel apte dicet, in quem linguam imperitam moverunt Scribæ et Pharisæi, quanquam eos erudientem et confirmantem, spiritualiter nimirum. Quorum nihil reputantes, et aversi sunt ad nihil (conversi sunt quippe ad doctrinas et mandata hominum [20]), et facti sunt ut arcus in contrarium versus scelerate Dominum suum ferientes, pro quo potius viriliter **117** certare, et ad adversarios superandos, sicut ex credentibus germani discipuli dare sese debuerunt.

ΚΕΦΑΛ. Η'.

Οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτῳ, εἰς κόλπον αὐτῶν. Ὡς γῆ, ὡς ἀετὸς ἐπ' οἶκον Κυρίου, ἀνθ' ὧν παρέβησαν τὴν διαθήκην μου, καὶ κατὰ τοῦ νόμου ἠσέβησαν.

ΠΕ'. Ἀσαφῶς μὲν λίαν εἴρηται ταυτὶ, τῆς Ἑβραίων, καθάπερ ἐγᾦμαι, φωνῆς πολλὴν ἐμποιούσης τοῖς διερμηνεύουσι τὴν δυσχέρειαν. Ἑπόμενοι δὲ C ἡμεῖς τῇ τῶν νοημάτων τάξει, τὸ εἰς νοῦν ἦκον ἐροῦμεν. « Οὗτος τοίνυν ὁ φαυλισμὸς αὐτῶν, » φησὶν, « ἐν γῇ Αἰγύπτῳ, » τουτέστιν, ἐπειδήπερ ἐμὲ τὸν ἀεὶ σώζοντα, καὶ παιδεύοντα, καὶ ἀκαταγώνιστον τιθέντα τοῖς ἀνθεστηκόσιν (ἐνίσχυσα γὰρ αὐτοὺς) ἐξεφαύλησαν ἀνοσίως, δαιμονίοις μὲν ἀπονέμοντες λατρείας, ἐπιθαρσήσαντες δὲ καὶ τῇ τῶν Αἰγυπτίων γῇ, καὶ ἀποχρήσειν αὐτοῖς εἰς εὐημερίας τὰς ἐκεῖθεν ἐπικουρίας οἰόμενοι, ταύτητοι καὶ εἰς κόλπον αὐτῶν ἀποστραφήσεται τὸ ἐγχείρημα, καὶ τῆς ἑαυτῶν εἰκαιοβουλίας οὐκ ἀγαθὰς εὑρήσουσιν ἀμοιβάς. Ἀπολήψονται δὲ καθάπερ εἰς κόλπον τὰς δίκας. Ἥξει γὰρ, ἥξει, φησὶν, ὁ καταδηώσας αὐτοὺς, τῶν Ἀσσυρίων ὁ τύραννος ἀριθμοῦ κρείττονα τὴν τῶν μαχίμων ἔχων πληθύν. D Ἥξει τε αὐτοῖς ὡς ὅλη γῇ, καὶ χώρα καὶ πατρὶς, ἵνα τις οἴηται τὴν Περσῶν καὶ Μήδων ὅλην ἐξ ὅλου μεταστῆναι χώραν, καὶ εἰς Σαμάρειαν ἐλθεῖν· τοῦτό ἐστι τὸ, « ὡς γῆ. » Ἥξει δὲ καὶ ὡς ὁ ἀετὸς εἰς οἶκον Κυρίου, τουτέστιν, ἀναπτήσεται ἐπ' αὐτὸν ὀξὺς καὶ δεινὸς τὸν ναὸν τοῦ Θεοῦ, καὶ καταδραμεῖται τῆς Ἰούδα βασιλείας καὶ τῶν Ἱεροσολύμων, ἁρπάζων ἀμογητὶ, καὶ ἀποκομίζων εἰς τὴν ἑαυτοῦ. Πρώτη μὲν γὰρ ἡ Σαμαρειτῶν πεπόρθηται χώρα, καὶ ἐν αὐτῇ που πάντως ὁ Ἰσραήλ. Ὕστερον δὲ καὶ αὐτὴ λοιπὸν ἡ διαβόητος ἑλήφθη πόλις, ἐφ' ᾗ καὶ ὁ προφήτης Ἱερεμίας ἐθρήνει, λέγων· « Πῶς ἐκάθισε μόνη ἡ πόλις

CAP. VIII.

Vers. 1. *Ista subsannatio eorum in terra Ægypto, in sinum eorum. Quasi terra, quasi aquila super domum Domini, pro eo quod transgressi sunt testamentum meum, et contra legem meam impie egerunt.*

LXXXV. Hæc, ut ego sentio, lingua Hebræa obscurissime scripta sunt, unde interpretibus multa difficultas objicitur. Nos vero sententiæ ordinem sequentes, quod in mentem venerit, dicemus. Inquit igitur, « Ista subsannatio eorum in terra Ægypto, » hoc est, postquam me semper servantem eos, et erudientem, et ab adversariis invictos præstantem (corroboravi enim eos) impie subsannaverunt, dæmones pro diis colentes, et fiderunt terræ Ægyptiorum, et auxilia illorum sibi ad prosperam vitæ conditionem suffectura judicarunt, idcirco in sinum eorum revertetur conatus eorum, et temeritatis suæ mercedem non bonam invenient; velut enim in sinum pœnas recipient. Veniet siquidem, veniet, inquit, qui vastabit eos Assyriorum tyrannus cum innumerabili exercitu, venietque ipsis ut tota terra, et regio, et patria, ut quis Persarum et Medorum totam e toto regionem migrasse, et in Samariam venisse existimet. Hoc vult, quod dicitur, « quasi terra. » Veniet item « quasi aquila in domum Domini, » hoc est, subitus et terribilis templum Dei involabit, et regnum Judæ, atque Hierosolymam incursabit, citra laborem rapiens, et in regnum suum exportans. Primum enim Samaritarum regio depopulationem subiit, et in ea utique Israel. Postmodum et illa celebrata urbs capta est, quam et propheta Jeremias deflevit, his usus verbis : « Quomodo sedet sola civitas plena populis? princeps provinciarum fact:

[19] Isa. II, 27. [20] Matth. XV, 9.

Digitized by Google

μᾶλλον ἔδει προσάγειν τὰ χαριστήρια, καὶ οὐχὶ τὴν αὐτῷ πρέπουσαν δόξαν ἀπονέμειν ἀβούλως ξύλοις τε καὶ λίθοις.

VERS. 15. *Eruditi sunt in me, et ego confortavi brachia eorum, et contra me cogitaverunt mala. Aversi sunt in nihil, facti sunt quasi arcus extensus.*

A *Ἐπαιδεύθησαν ἐν ἐμοὶ, καὶ ἐγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά Ἀπεστράφησαν εἰς οὐδὲν, ἐγένοντο ὡς τόξον ἐντεταμένον.*

LXXXIII. Aliud ingrati animi crimen illis objicit, impios negligentesque demonstrans. Ego enim, inquit, quanquam olim nihil a brutis animantibus differentes, et imperitissimos, et lege institui, et sapientes, et utilitatis guaros, et viam justitiæ, et omnem decentiæ rectam administrationem scientes effeci, ut jam etiam apud se gaudentes dicerent : « Beati sumus Israel, quoniam quæ placita sunt Domino, nota sunt nobis [18]. » Neque hic ejus erga ipsos beneficentia quievit; sed insuper fortissimos, et ad quemvis adversarium debellandum valentes reddidit. Multas quippe magnasque gentes sine labore devicerunt. Nihilominus in me talium bonorum ipsis auctorem perversi exstiterunt, contemptores videlicet et desertores, et aversionis ratio illis in nihilum recidit. Nihil enim penitus est ex materia sub sensum cadente manufactum simulacrum. Ac si quidem meliora reperissent, posset transgressio ipsorum probabiliter defendi. Quoniam autem cum Deo collata nihil sunt, **116** ista prorsus, nisi risus et fatuitas, et quæcunque horum similia, aversionis suæ rationem verisimilem nullam habent. Itaque ad nihil aversi sunt. Ad hæc facti sunt « ut arcus extensus, » non se submittentes ad pœnitentiam, non remittentes intentionem, qua ad tantum dedecus dementiamque pervenerunt. Sciendum porro alios interpretes edidisse, « facti sunt ut arcus in contrarium versus, » seu obversus ut præterea quidpiam hujusmodi fecisse Israel intelligeretur. Quos enim potius conveniebat quasi arcum contra hostes intendi, et ad oppugnandum paratos valide ferire, non animadverterunt, quo pacto semetipsos velut emissis ab arcu sagittis acerbe vulnerarent. Deum enim offendentes juxta modos jam dictos quid aliud agere convincantur, quam contra semetipsos suas armare manus? Poterit autem quod propositum est ad declarandum, si cuipiam placebit, et aliter intelligi. Universorum namque Deus Israelem veluti arcum suum intendit, diaboli tyrannidem pugna lacessens, et eum idololatricæ imposturæ opponens. Solus enim Israel ex omnibus gentibus per orbem universum, juxta mentem legis repulsa idolorum adoratione natura, et revera universitatis Domino addictus et consecratus erat. Sed in contrarium versi sunt. Qui enim illud facere debebant, pro gloria idolorum cum Deo pugnaverunt. Facti sunt igitur, ut arcus obversus, sagittas in contrarium dirigentes.

ΠΓ'. Ἕτερον αὐτοῖς ἀχαριστίας αὐτῶν ἐπιτυνάπτει τρόπον, ἀνοσίους ὄντας καὶ ὀλιγογνώμονας ἀποφαίνων. Ἐγὼ μὲν γὰρ, φησὶ, καίτοι πάλαι κτηνῶν ἀλόγων διενεγκόντας οὐδὲν καὶ ἀσυνέτους ὄντας κομιδῇ, καὶ νόμῳ πεπαίδευμαι, καὶ σοφοὺς ἀπέδειξα, καὶ τὸ συμφέρον εἰδότας, καὶ τὴν τῆς δικαιοσύνης ὁδὸν, καὶ ἁπάσης εὐκοσμίας κατόρθωσιν οὐκ ἠγνοηκότας, ὡς ἤδη καὶ λέγειν χαίροντας ἐφ' ἑαυτοῖς, « Μακάριοί ἐσμεν, Ἰσραὴλ, ὅτι τὰ ἀρεστὰ Κυρίῳ γνωστὰ ἡμῖν ἐστι. » Καὶ οὐ μέχρι τούτων τὰ τῆς εἰς αὐτοὺς γέγονε φιλοτιμίας· ἀλλὰ γὰρ ἀλκιμωτάτους B ἀπέφηνα, καὶ ἱκανῶς ἔχοντας πρὸς τὸ δύνασθαι παντὸς καταθλεῖν τοῦ πολεμεῖν ἐθέλοντος καὶ ἀνθεστηκότος. Νενικήκασι γὰρ ἔθνη πολλὰ καὶ μεγάλα, καὶ τοῦτο ἀμογητί. Ἀλλ' εἰς ἐμὲ τὸν τοιούτων αὐτοῖς δοτῆρα Θεὸν γεγόνασι πονηροὶ, καταφρονηταὶ δηλονότι καὶ ἀποστάται· καὶ ὁ τρόπος αὐτοῖς τῆς ἀποστροφῆς γέγονεν εἰς οὐδέν. Οὐδὲν γὰρ ὅλως τὸ ἐξ ὕλης αἰσθητῆς χειροποίητον ἄγαλμα. Ἀλλ' εἰ μέν τοι τὸ ἄμεινον εὑρήκασιν, ἔχοι ἂν εἰκότως καὶ λόγον αὐτοῖς ἡ παράβασις. Ἐπειδὴ δὲ πρὸς Θεὸν οὐδὲν παντελῶς τὰ τοιάδε, γελοιότης δὲ καὶ ἠλιθιότης, καὶ ὅσα τούτοις ἐγγὺς, οὐδεὶς αὐτοῖς ἐστι λόγος τῆς ἀποστροφῆς, πιθανὴν ἔχων αἰτίαν. Οὐκοῦν εἰς οὐδὲν ἀπεστράφησαν. Γεγόνασι δὲ πρὸς τούτοις καὶ « ὡς τόξον ἐντεταμένον, » οὐ χαλώμενοι πρὸς μετάγνωσιν, C οὐ καθυφιέντες τουτουΐ τοῦ πρὸς τοσαύτην αὐτοὺς ἀποφέροντος αἰσχύνην καὶ ἀβουλίαν. Ἰστέον δὲ, ὅτι τοῦτο διερμηνεύοντες ἐκδεδώκασιν ἕτεροι, « Ἐγένοντο ὡς τόξον ἀντεστραμμένον, » ἵνα τι τοιοῦτον πεπραχὼς νοῆται πάλιν ὁ Ἰσραήλ. Οὓς γὰρ ἔδει μᾶλλον, καθάπερ τι τόξον, ἐντείνεσθαι κατ' ἐχθρῶν, καὶ βάλλειν εὐτόνως τοὺς ἀντανίστασθαι μεμελετηκότας, διαλελῆθασι σφᾶς αὐτοὺς οἱονεὶ τόξων ἀκίσι πλήττοντες πικραῖς. Θεῷ γὰρ προσκρούοντες, κατά γε τοὺς ἤδη προειρημένους τρόπους, τί δρῶντες ἕτερον ἀλοῖεν ἄν, ἢ καθ' ἑαυτῶν τὰς ἰδίας ὁπλίζοντες χεῖρας;

Νοοῖτο δ' ἂν τὸ προκείμενον, εἴπερ τῳ δοκεῖ, καὶ καθ' ἕτερον τρόπον. Ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς ἐνέτεινεν οἱονείπως τὸν Ἰσραὴλ ὡς ἴδιον τόξον, τῇ τοῦ D διαβόλου τυραννίδι μαχόμενος, καὶ τῇ τῆς εἰδωλολατρείας ἀντεξάγων ἀπάτῃ. Μόνος γὰρ ἐκ πάντων τῶν ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐθνῶν ὁ Ἰσραὴλ, κατά γε τῷ νόμῳ δοκοῦν, ἀπεσείετο μὲν τὴν τῶν εἰδώλων προσκύνησιν, προσέκειτο δὲ τῷ φύσει τε καὶ ἀληθῶς τῶν ὅλων Δεσπότῃ. Ἀλλ' ἐτράποντο πρὸς τὸ ἐναντίον. Οἱ γὰρ ἐκεῖνο πράττειν ὀφείλοντες, ὑπὲρ τῆς τῶν εἰδώλων δόξης πεπολεμήκασι τῷ Θεῷ. Γεγόνασι φαίνουν ὡς τόξον ἀντεστραμμένον, ἐναντίᾳ χρώμενοι τῇ τοξείᾳ.

[18] Baruch IV, 4.

Digitized by Google

Πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν, δι' ἀπαιδευσίας γλώσσης αὐτῶν.

ΠΔ'. Οὐ κατὰ μόνον ἥξει, φησὶ, τῶν τοῖς ἡγουμένοις ὑπεστρωμένων τα ἐξ ὀργῆς, καταλήψεται δὲ, καὶ μάλα γοργῶς, καὶ τοὺς ταῖς ἀνωτάτω τιμαῖς ἐντρυφᾷν εἰωθότας. Πεσοῦνται γὰρ ἐν ῥομφαίᾳ, καὶ πρόφασις ἔσται τοῦ παθεῖν αὐτοὺς, τῆς γλώσσης τὸ ἀσελγές. Ἀπαιδευσία γὰρ ἀληθῶς τὸ τῷ ξύλῳ λέγειν, « Θεός μου εἶ σύ· καὶ τῷ λίθῳ, Σὺ ἐγέννησάς με. »

Ἁρμόσειε δ' ἂν εὖ μάλα καὶ τὰ τοιάδε λέγειν τῷ Ἐμμανουὴλ, καθ' οὗ τὴν ἀπαίδευτον κεκινήκασι γλῶσσαν οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι, καίτοι παιδεύοντός τε καὶ κατισχύοντος, δῆλον δὲ ὅτι πνευματικῶς. Ὧν οὐδὲν ὑπολογισάμενοι, καὶ ἀπεστράφησαν εἰς οὐδέν. Ἐτράποντο γὰρ εἰς διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Καὶ γεγόνασιν ὡς τόξον ἀντεστραμμένον, βάλλοντες ἀνοσίως τὸν ἑαυτῶν Δεσπότην, οὗ μᾶλλον ἐχρῆν ὑπεραθλῆσαι γενικῶς, καὶ νικᾷν ἐπείγεσθαι τοὺς ἀντιτεταγμένους, καθὰ καὶ οἱ τῶν πιστευσάντων γνήσιοι μαθηταί.

Vers. 16. *Cadent in gladio principes eorum, propter imperitiam linguæ eorum.*

LXXXIV. Non contra solos principibus subditos ira suppliciis sæviet; comprehendet etiam, et velocissime, qui in summis honoribus suas habere voluptates consueverunt. « Cadent enim in gladio, » quod malum illis pariet linguæ protervitas. Vere enim stultitia est, ligno dicere : « Deus meus es tu; et lapidi : Tu me genuisti [19]. »

Talia et Emmanuel apte dicet, in quem linguam imperitam moverunt Scribæ et Pharisæi, quanquam eos erudientem et confirmantem, spiritualiter nimirum. Quorum nihil reputantes, et aversi sunt ad nihil (conversi sunt quippe ad doctrinas et mandata hominum [20]), et facti sunt ut arcus in contrarium versus scelerate Dominum suum ferientes, pro quo potius viriliter **117** certare, et ad adversarios superandos, sicut ex credentibus germani discipuli dare sese debuerunt.

ΚΕΦΑΛ. Η'.

Οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτῳ, εἰς κόλπον αὐτῶν. Ὡς γῆ, ὡς ἀετὸς ἐπ' οἶκον Κυρίου, ἀνθ' ὧν παρέβησαν τὴν διαθήκην μου, καὶ κατὰ τοῦ νόμου ἠσέβησαν.

ΠΕ'. Ἀσαφῶς μὲν λίαν εἴρηται ταυτὶ, τῆς Ἑβραίων, καθάπερ ἐγῷμαι, φωνῆς πολλὴν ἐμποιούσης τοῖς διερμηνεύουσι τὴν δυσχέρειαν. Ἑπόμενοι δὲ ἡμεῖς τῇ τῶν νοημάτων τάξει, τὸ εἰς νοῦν ἧκον ἐροῦμεν. « Οὗτος τοίνυν ὁ φαυλισμὸς αὐτῶν, » φησὶν, « ἐν γῇ Αἰγύπτῳ, » τουτέστιν, ἐπειδήπερ ἐμὲ τὸν ἀεὶ σώζοντα, καὶ παιδεύοντα, καὶ ἀκαταγώνιστον τιθέντα τοῖς ἀνθεστηκόσιν (ἐνίσχυσα γὰρ αὐτοὺς) ἐξεφαύλησαν ἀνοσίως, δαιμονίοις μὲν ἀπονέμοντες λατρείας, ἐπιθαρσήσαντες δὲ καὶ τῇ τῶν Αἰγυπτίων γῇ, καὶ ἀποχρήσειν αὐτοῖς εἰς εὐημερίας τὰς ἐκεῖθεν ἐπικουρίας οἰόμενοι, ταύτῃτοι καὶ εἰς κόλπον αὐτῶν ἀποστραφήσεται τὸ ἐγχείρημα, καὶ τῆς ἑαυτῶν εἰκαιοβουλίας οὐκ ἀγαθὰς εὑρήσουσιν ἀμοιβάς. Ἀπολήψονται δὲ καθάπερ εἰς κόλπον τὰς δίκας. Ἥξει γὰρ, ἥξει, φησὶν, ὁ καταδῃώσας αὐτοὺς, τῶν Ἀσσυρίων ὁ τύραννος ἀριθμοῦ κρείττονα τὴν τῶν μαχίμων ἔχων πληθύν. Ἥξει τε αὐτοῖς ὡς ὅλη γῆ, καὶ χώρα καὶ πατρὶς, ἵνα τις οἴηται τὴν Περσῶν καὶ Μήδων ὅλην ἐξ ὅλου μεταστῆναι χώραν, καὶ εἰς Σαμάρειαν ἐλθεῖν· τοῦτό ἐστι τὸ, « ὡς γῆ. » Ἥξει δὲ καὶ ὡς ὁ ἀετὸς εἰς οἶκον Κυρίου, τουτέστιν, ἀναπτήσεται ἐπ' αὐτὸν ὀξὺς καὶ δεινὸς τὸν ναὸν τοῦ Θεοῦ, καὶ καταδραμεῖται τῆς Ἰούδα βασιλείας καὶ τῶν Ἱεροσολύμων, ἁρπάζων ἀμογητὶ, καὶ ἀποκομίζων εἰς τὴν ἑαυτοῦ. Πρώτη μὲν γὰρ ἡ Σαμαρειτῶν πεπόρθηται χώρα, καὶ ἐν αὐτῇ που πάντως ὁ Ἰσραήλ. Ὕστερον δὲ καὶ αὐτὴ λοιπὸν ἡ διαβόητος ἐλήφθη πόλις, ἐφ' ᾗ καὶ ὁ προφήτης [illegible] ρεμίας ἐθρήνει, λέγων· « Πῶς ἐκάθισε μόνη [illegible]

CAP. VIII.

Vers. 1. *Ista subsannatio eorum in terra Ægypto, in sinum eorum. Quasi terra, quasi aquila super domum Domini, pro eo quod transgressi sunt testamentum meum, et contra legem meam impie egerunt.*

LXXXV. Hæc, ut ego sentio, lingua Hebræa obscurissime scripta sunt, unde interpretibus multa difficultas objicitur. Nos vero sententiæ ordinem sequentes, quod in mentem venerit, dicemus. Inquit igitur, « Ista subsannatio eorum in terra Ægypto, » hoc est, postquam me semper servantem eos, et erudientem, et ab adversariis victos præstantem (corroboravi enim eos [illegible]
subsannaverunt, dæmones pro diis col[illegible]
derunt terræ Ægyptiorum, et auxili[illegible]
ad prosperam vitæ conditionem suff[illegible]
runt, idcirco in sinum eorum [illegible]
eorum, et temeritatis suæ merced[illegible]
invenient; velut enim in sinum [illegible]
niet siquidem, veniet, inqu[illegible]
Assyriorum tyrannus cum [illegible]
venietque ipsis ut tota terr[illegible]
ut quis Persarum et M[illegible]
nem migrasse, et in [illegible]
Hoc vult, quod dict[illegible]
« quasi aquila [illegible]
tus et terribili[illegible]
Juda, atque [illegible]
rem [illegible] ad
[illegible] fex
[illegible] nihil
[illegible] eran-
[illegible] n vitu-

[19] Jer. II, 27. [20] Matth. XV [illegible]

Digitized by Google

est tributaria [21].» Quin enim una cum urbe crematum sit templum, nulla est dubitatio. Atque hæc illis evenient, inquit, quia divinum transgressi sunt testamentum, et contra legem de qua diximus, impie egerunt. Omnino enim per sapientissimum Moysen divinitus effata parviducentes, vitam pro libidine sua transigere conabantur, et **118** quilibet arbitrium suum et religionem, et legem sibi statuebat.

VERS. 2, 3. *Me clamabunt, Deus, cognovimus te ; quia Israel projecit bona, inimicum persecuti sunt.*

LXXXVI. Super frumento et vino concisi, et immundis dæmonibus festos dies peragentes, qui cordibus suis ad Deum non clamaverunt, neque omnis eorum prosperitatis largitorem, et custodem cognoverunt, neque debitis eum gratiis honorarunt, quoniam in rerum secundarum amplitudine eum nescierunt, saltem scient, ubi quæ eos manent patientur ; et cum in infelicis consilii sui acerbum et aversandum finem devenerint, clamabunt, et vix tandem invocabunt me, horribilibus et teterrimis calamitatibus oppressi. Ac velut consiliaria ascita eorumdem malorum experientia, tunc stultitiam suam accusabunt, illud forsitan dicentes : « Israel projecit bona. » Cum enim liceret ea habere, idque affatim, cum Deo constabilitos, et ei placita in opus conferre enisos, « inimicum persecuti sunt, » hoc est, tantum non sponte sua ad inimicos cucurrerunt, et sub potestatem Deum odientium redacti sunt, semper tuentem et adversariis valentiores reddentem, quorum defectionibus fuerat irritatus. Sapientissimum igitur vereque utile factum malorum experientiam non exspectare ; sed adhuc absentem repudiare et aversari potius, et antevertendo ad conducibilia perspicienda contendere.

VERS. 4. *Sibimetipsis regnaverunt, et non per me principes extiterunt, et non indicaverunt mihi. Argentum suum et aurum suum fecerunt sibi idola, ut dispereant.*

LXXXVII. Non agnoscit regnum et Jeroboami, et reliquorum deinceps regum Israel in Samaria, quamvis ipse expresse dixerit, « A me factum est verbum hoc [22], » et minatus sit Salomoni ipsi, qui alienigenis mulieribus obsecutus, templum et aras illarum numinibus construxerat, his verbis : « Discindam regnum tuum, et dabo illud servo tuo [23]. » Quid dicemus igitur ? falsiloquum esse universorum Deum ? absit ! potius ad rectam dictorum intelligentiam nos dabimus, cogitantes illud. Scriptum est [24] : «Non est malum in civitate, quod non fecit Dominus. » Malum appellat afflictionem. Res enim alias ipse sua sententia ac voluntate facit : **119** alias fieri permittit, ut puniat quosdam, tametsi citra voluntatem ejus fiant. Quia vero cum prohibere possit, sinit quidpiam dispensatorie sæpenumero fieri, etiam

A ἡ πεπληθυσμένη λαῶν; ἄρχουσα ἐν χώραις ἐγενήθη εἰς φόρον. » Ὅτι γὰρ συνεπρήσθη τῇ πόλει καὶ ὁ ναὸς, οὐδαμόθεν ἀμφίλογον. Ταῦτα δὲ αὐτοῖς συμβήσεται, φησὶν, ὅτι τὴν θείαν παραβεβήκασι διαθήκην, καὶ ἠσέβησαν κατὰ τοῦ λαληθέντος νόμου. Ὀλίγου γὰρ παντελῶς ἀξιοῦντες λόγου τὰ διὰ τοῦ πανσόφου Μωσέως τεθεσπισμένα, τοῖς ἰδίοις θελήμασι διαζῆν ἐσπούδαζον, καὶ ἕκαστος τὸ δοκοῦν, καὶ θρησκείας τρόπον ἐποιοῦντο, καὶ νόμον.

Ἐμὲ κεκράξονται, ὁ Θεός, ἐγνώκαμέν σε· ὅτι Ἰσραὴλ ἀπεστρέψατο ἀγαθὰ, ἐχθρὸν κατεδίωξαν.

ΠΣ'. Οἱ ἐπὶ σίτῳ καὶ οἴνῳ κατατεμνόμενοι, καὶ τοῖς ἀκαθάρτοις δαίμοσι τελοῦντες τὰς ἑορτὰς, οἱ ταῖς ἑαυτῶν καρδίαις οὐ βεβοηκότες πρὸς Θεὸν, οὐδὲ μὴν B ἐπεγνωκότες τὸν πάσης αὐτοῖς εὐθηνίας δοτῆρα καὶ πρύτανιν, ἀλλ' οὐδὲ ταῖς καθηκούσαις εὐχαριστίαις τετιμηκότες, ἐπειδήπερ ἐν τῷ πλάτει τῆς εὐημερίας ἠγνοήκασιν αὐτὸν, ἀλλ' οὖν εἴσονται παθόντες ἃ δεῖ, καὶ τῆς ἑαυτῶν δυσβουλίας εἰς πικρόν τε καὶ ἀπευκτὸν καταίροντες τέλος, κεκράξονται, καὶ ἐπικαλέσονται μόλις, δειναῖς τε καὶ ἀνηκέστοις ἐνολισθήσαντες συμφοραῖς. Σύμβουλον δὲ ὥσπερ τὴν αὐτῶν τῶν δεινῶν δεξάμενοι πεῖραν, κατηγορήσουσι τότε τῆς ἑαυτῶν εὐηθείας, ἐκεῖνό που λέγοντες, « Ἰσραὴλ ἀπεστρέψατο ἀγαθά. » Ἔξὸν γὰρ ἦν αὐτὰ, καὶ τοῦτο πλουσίως, ἐρηρεισμένους μετὰ Θεοῦ, καὶ τὰ αὐτῷ δοκοῦντα διαπεραίνειν εὖ μάλα διεσπουδακότας, « Ἐχθρὸν κατεδίωξαν, » τουτέστι, μονονουχὶ καὶ ἐκόντες αὐτοὶ δεδραμήκασι πρὸς ἐχθροὺς, καὶ ὑπὸ χεῖρα C γεγόνασι τῶν μεμισηκότων, τὸν ἀεὶ σώζοντα Θεὸν, καὶ ἀμείνους τιθέντα τῶν ἀνθεστηκότων, ταῖς ἀποστασίαις λελυπηκότες. Πάνσοφον οὖν ἄρα καὶ ὠφέλιμον ἀληθῶς, τὸ μὴ τὴν τῶν δεινῶν ἐκδέχεσθαι πεῖραν· παραιτεῖσθαι δὲ μᾶλλον ἀποῦσαν ἔτι, καὶ πρὸ αὐτῆς ἐπείγεσθαι καταθρεῖν τὸ συμφέρον.

Ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ ἦρξαν, καὶ οὐκ ἐγνώρισάν μοι. Τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν ἐποίησαν αὐτοῖς εἴδωλα, ὅπως ἐξολοθρευθῶσιν.

ΠΖ'. Ἀρνεῖται τὴν βασιλείαν τήν τε τοῦ Ἱεροβοὰμ, καὶ τῶν καθεξῆς βεβασιλευκότων ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ Σαμαρείᾳ, καίτοι διαῤῥήδην αὐτὸς εἰρηκὼς, ὅτι « Παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο· » ἀπειλήσας D δὲ καὶ αὐτῷ Σολομῶνι ταῖς τῶν ἀλλοφύλων γυναικῶν ἀκολουθήσαντι γνώμαις, καὶ τεμένη καὶ βωμοὺς τοῖς ἐκείνων σεβάσμασιν ἀνατεθεικότι, ὅτι « Διαῤῥήξω τὴν βασιλείαν σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. » Τί οὖν ἐροῦμεν; ψευδοεπῆ τὸν τῶν ὅλων Θεόν; Μὴ γένοιτο· τετραψόμεθα δὲ μᾶλλον ἐπὶ τὸ χρῆναι φρονεῖν ὀρθῶς, περινοοῦντες ἐκεῖνο. Γέγραπται, « Μὴ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε; » Κακίαν δὲ λέγει τὴν κάκωσιν. Τὰ μὲν γὰρ τῶν πραγμάτων αὐτὸς κατ' ἰδίαν ἐργάζεται γνώμην, τὰ δὲ καὶ γίνεσθαι συγχωρεῖ, κολάζων τινὰς, κἂν εἰ πράττοιτό πως ἀνεθελήτως αὐτῷ. Ἐπειδὴ δὲ κωλύειν δυνάμε-

[21] Thren. I, 1. [22] III Reg. XII, 30. [23] III Reg. XIV, 8. [24] Amos III, 6

Digitized by Google

νος, ἐφίησί τι καὶ γίνεσθαι πολλάκις οἰκονομικῶς, ὡς αὐτὸς ὑπάρχων ἐργάτης καὶ τούτων λέγεται. Οἷον (ἐπ' αὐτὸν γὰρ ἤδη τὸν Σολομῶνα βαδιούμεθα) δέδωκε μὲν γὰρ αὐτῷ τὸν ἐκ λίθων ἐν τοῖς Ἱεροσολύμοις ἀναδείμασθαι ναὸν, σοφὸν ἀπετέλει, καὶ ἐπ' ἀσυγκρίτῳ συνέσει διαπρεπῆ. Ἔργον τοῦτο τῆς αὐτοῦ γνώμης. Συγκεχώρηκεν αὐτοῦ ῥαγῆναι τὴν βασιλείαν, οὐκ αὐτὸς εἰς τοῦτο κατὰ γνώμην ἰδίαν ἀποφέρων τὰ πράγματα, σιωπῶν δὲ ὥσπερ, καὶ ἐπὶ τοῖς ἀβουλήτοις, διὰ τὴν πρὸς αὐτὸν ἀγανάκτησιν. Οὐκοῦν εἰ καὶ βεβασίλευκεν Ἱεροβοὰμ, καὶ οἱ καθεξῆς, ἀλλ' οὐχὶ δὲ πάντως Θεοῦ συννεύοντος. Τὰ γὰρ ἐξ ὀργῆς τῆς πρός τινας ὡς ἐν κολάσει συμβαίνοντα, τρόπον ἕτερον ἔχει, καὶ οὐκ ἂν νοοῖτο τοιαῦτα τυχὸν, ὁποῖά περ ἂν εἴη τὰ κατὰ βούλησιν ἀληθῶς. Ἑαυτοῖς τοιγαροῦν βεβασιλεύκασι, καὶ οὐ δι' ἐμοῦ. Ἐπειδὴ δὲ ἤρξαν, μονονουχὶ μηδὲ ἐγνωκότος Θεοῦ (τὸ γὰρ παρὰ γνώμην οὐδὲ εἰδέναι δοκεῖ), γέγονεν ἀσθενὴς καὶ εὐάλωτος ἡ ἀρχὴ, καὶ ἀνικάνως ἔχουσα πρὸς ἀντίστασιν, καὶ διασώζειν οὐχ οἷά τε τοὺς ὑπεζευγμένους. « Δι' αὐτοῦ γὰρ βασιλεῖς βασιλεύουσι, καὶ τύραννοι κρατοῦσι γῆς. » Ὅτι δὲ πολλὴν ἐπὶ τούτῳ νοσοῦσιν ἀναισθησίαν, καὶ τοῖς δοθεῖσι παρὰ Θεοῦ πρὸς τὴν κατ' αὐτοῦ λύπην ἐχρήσαντο, μᾶλλον δὲ καὶ εἰς ὄλεθρον τῶν ἰδίων ψυχῶν, ἐδίδαξεν εἰπών· « Τὸ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον ἐποίησαν ἑαυτοῖς εἴδωλα, ὅπως ἐξολοθρευθῶσιν. » Ὅθεν γὰρ ἦν αὐτοὺς εὐδοκιμεῖν δύνασθαι, κατοικτείροντας ἀδελφοὺς, ἐντεῦθεν Θεῷ προσκρούουσι, καὶ τῆς σωτηρίας τὸν τρόπον μετανιστᾶσιν ἀβούλως ἐπί γε τὸ ἐξ αὐτοῦ διόλλυσθαι δεῖν.

A hæc operari, eorumque auctor dicitur. Exempli causa (ut ad Salomonem veniamus) dedit illi, de lapidibus templum Hierosolymis excitare ; sapientia perfectissimum et incomparabili intelligentia conspicuum reddidit. Opus hoc fuit voluntatis ipsius. Permisit ejus regnum scindi, non ipse huc voluatate sua rem perducens, sed propter indignationem adversus ipsum, quasi super involuntariis tacens. Quamobrem etsi regnarunt Jeroboam et successores ejus, non tamen Deo plane approbante regnarunt. Quæ enim ex ira adversum aliquos loco pœnæ contingunt, aliam rationem habent, nec possunt forte talia intelligi, qualia quæ vere secundum voluntatem fiunt. Sibimetipsis igitur, non per me regnarunt. Postquam autem principes exstiterunt, tantum non nesciente Deo (quod enim præter ejus sententiam fit, nec scire quidem videtur), debilitatus et expugnatu facilis evasit principatus, et ad resistendum imbecillus, et impotens ad tuendos subjectos. « Per ipsum enim reges regnant, et tyranni dominantur terræ [25]. » Ipsos autem propterea multa dementia laborare, et donatis a Deo ad ipsum irritandum, imo ad animarum suarum perniciem abusos, docuit ita : « Argentum et aurum suum fenerunt sibi idola, ut dispereant. » Unde enim laudari poterant ab omnibus, ex misericordia in fratres erogantes, inde Deum offendunt, et instrumentum salutis ad exitium inde sibi comparandum fatue convertunt.

B

C

Ἀπότριψαι τὸν μόσχον σου, Σαμάρεια, παρωξύνθη ὁ θυμός μου ἐπ' αὐτῷ. Ἕως τίνος οὐ μὴ δύνωνται καθαρισθῆναι ἐν τῷ Ἰσραήλ; Καὶ αὐτὸ τέκτων ἐποίησε, καὶ οὐ Θεός ἐστι, διότι πλανῶν ἦν ὁ μόσχος σου, Σαμάρεια.

Vers. 5, 6. *Extere vitulum tuum, Samaria, concitatus est furor meus super eo. Usquequo non poterunt emundari in Israel? Et hoc artifex fecit, et non Deus est, quia seducens erat vitulus tuus, Samaria.*

ΠΗ'. Ὡς εὖγε δὴ λίαν τὸ « ἀπότριψαι » φησὶ, ὡς ἐπὶ κηλίδος, καὶ μολυσμοῦ, καὶ τῆς ἐσχάτης ἀκαθαρσίας! Τοῦτο γὰρ ἀληθῶς τῆς εἰδωλολατρίας τὸ χρῆμα, βδελυράν τε καὶ κάκοσμον, καὶ κατη[φη]μένην παρὰ Θεῷ τὴν τοῦ ἀκαθάρτου ψυχὴν ἀποτελοῦν. Συμβουλεύει δὴ οὖν ὡς φιλοικτίρμων, καὶ ἀγαθὸς, μετατίθεσθαι πρὸς τὸ ἄμεινον, καὶ ἀποσκευάζεσθαι τὴν ὀργὴν, καὶ τὰς τῶν συμβησομένων αἰτίας περιστεῖλαι λοιπὸν, καὶ ταῖς μεταγνώσεσιν ἀνακόψαι τὰ δεινά, κἂν γοῦν ὀψὲ διεκνήψαντας. Ἐπ' αὐτῷ γὰρ δηλονότι τῷ μόσχῳ παρωξύνθαι φησὶ, δεικνὺς, ὅτι παρίησι μὲν ἔσθ' ὅτε φιλάνθρωπος ὢν τὰ ἐξ ἀσθενείας τῆς ἀνθρωπίνης πταίσματα, κολάζει δὲ πάντως τὴν ἀποστροφὴν. Δύσοιστόν τε ποιεῖται τὴν τῶν ὑβριζόντων ἀπόνευσιν, εἴς γε τὸ χρῆναι, φημὶ, τοῖς δαιμονίοις προσκυνεῖν. Μέχρι γὰρ τίνος ἐν ἀκαθαρσίᾳ γεγονότες ἀμεταποίητοι μενεῖτε; Ποῖος ὑμῖν ἀρκέσει καιρὸς εἰς τὴν τῆς εὐηθείας ἀπόθεσιν; Ὃ γὰρ εἰργάσατο τέκτων, Θεὸν εἶναι πιστεύετε· καὶ τὸ ὠφελοῦν οὐδὲν, ἀποκομίζον δὲ μᾶλλον ὄλεθρον, καὶ ἀπώλειαν, σεπτὸν ἡγεῖσθε, καὶ ἀξιόληπτον. Πλανᾷ γὰρ ὁ μόσχος, καὶ ἕτερον οὐδέν.

LXXXVIII. Quam belle et accommodate inquit « extere, » quasi de macula et inquinamento, ac de extrema quapiam spurcitie loqueretur! Vere enim idololatria ista abominandam, et male olentem, et odiosam apud Deum immundi animam facit. Suadet igitur ut misericors et bonus transferre se ad meliora, et amoliri iram, et causas futurorum cohibere de cætero, et pœnitentia præcidere mala, D **120** sero saltem resipiscentes. Propter ipsum enim vitulum scilicet se concitatum dicit, ostendens se nonnunquam delicta ex humana imbecillitate admissa ex benignitate præterire, sed aversionem omnino punire. Protervorum autem declinationem ad colendos dæmones intolerandam ducit. Quousque enim in immunditiam delapsi, immutabiles manebitis? Quod vobis tempus ad deponendam fatuitatem sufficit? Quod enim artifex fabricatus est, deum esse creditis ; et quod nihil prodest, imo pestem et interitum affert, venerandum amplectendumque statuitis. Seducit enim vitulus, aliud nihil valet

[25] Prov. VIII, 15.

Digitized by Google

VERS. 7. *Quia corrupta vento seminaverunt, et subversio eorum suscipiet ea. Manipulus non habens vires, ut faciat farinam. Si autem fecerit, alieni comedent eam.*

LXXXIX. Similitudine quadam frustra in agricultura laborantium, infelicis eorum consilii et studii vanarum rerum exitum infructuosum subindicat. In iis enim velle quosdam laborem ponere, et superstitionis interdum diligenter uti cæremoniis anathematisque, et sacrificiis honorem exhibere, nihil fuerit aliud, quam vento corruptum semen colligere; e quo qui laborat, utilitatem consequi nullam possit. Quæ enim studii idololatrici remuneratio? aut quæ e sculptilibus commoditas? aut quonam modo recreabunt quempiam, quæ omnino subvertenda sunt? Itaque qui talia facere consueverunt, et seriam operam idolis dicant, eorum videntur similes, qui a vento corrupta seminarunt, spicarumque manipulo frumentum non habenti, et ad usum farinæ minime facti. Quod si quid etiam præstiterint, hoc est, quamvis videri possint aliquo modo boni et sinceri circa opera seductionis: et hoc in alienos ab ipsis conferetur, Deo vero neutiquam gandio erit. Alienos nominat falso nomine appellatos deos. Caret igitur omni mercede et probitas nostra in his, quæ Deus odit; et mores boni ad verum bonum non eminentes, semper et omnimodis ab eo reprehendentur.

VERS. 8, 9. *Absorptus est Israel, nunc factus est in gentibus quasi vas inutile, quia ipsi ascenderunt ad Assyrios. Reflоruit per seipsum Ephraim, munera dilexerunt, propterea tradentur in gentibus.*

121 XC. Absorptum dicit Israelem, ut miserabile naufragium perpessum, et in peccatorum suorum fluctibus suffocatum, ac velut ad petram quamdam divinæ iræ impulsibus allisum contritumque. Aut certe juxta aliam interpretationem absorptum dicit quasi ab horribili et insatiabili dracone Nabuchodonosore. Sic enim est apud alium sanctorum prophetarum, in persona Israelis jam captivi, et dominis suis servientis: « Comedit me, divisit me, comprehenderunt me tenebræ tenues. Nabuchodonosor rex Babylonis absorbuit me quasi draco, implevit ventrem suum a cibo meo [96]. » Est et alioqui verum, draconem multicipitem charitate in Deum excidentes sorbere quodammodo, et suum sibi cibum facere; quem et Psalmista dicit escam datum populis Æthiopibus. Inquit enim: « Tu confregisti caput draconis, dedisti eum escam populis Æthiopibus [97]. » Qui enim nigerrimam et lucis orbam in seipsis mentem habent, jure Æthiopes et intelligi et dici a nobis ipsis et a Deo possunt. Hi multicipitem draconem pascunt, ipsique vicissim ab eo pascuntur. « Absorptus est igitur Israel, et factus est inter gentes tanquam vas inutile. » Abductus enim ad Assyrios et Medos

A *Ὅτι ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐτῶν ἐκδέξεται αὐτά. Δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον. Ἐὰν δὲ καὶ ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό.*

ΠΘ'. Ὡς ἐξ ὁμοιότητος τῶν εἰκῇ καμνόντων ἐν γεωπονίαις, τῆς ἐνούσης αὐτοῖς δυσβουλίας, καὶ τῆς περὶ τὰ μάταια σπουδῆς τὸ ἄκαρπον ὑποδηλοῖ. Τὸ γὰρ ἐπ' αὐτοῖς πονεῖν ἐλέσθαι τινὰς, ἐπιμελῶς ἔκθ' ὅτε θρησκεύειν, ἀναθήμασί τε καὶ θυσίαις τιμᾷν, εἴη ἂν ἕτερον οὐδὲν, ἢ τὸν ἀνέμῳ κατεφθαρμένον συναγείρειν σπόρον, οὐδὲν ὠνῆσαι παντελῶς τὸν ποιοῦντα δυνάμενον. Ποία γὰρ ἀντίδοσις τῆς εἰς εἰδωλολατρίαν σπουδῆς; ἢ ποία παρὰ γλυπτῶν ὄνησις; ἢ κατά τίνα τρόπον εὐφραινοῦσί τινας ἃ δεῖ πάντως ἐλθεῖν εἰς καταστροφήν; Ἔοικασι τοίνυν οἱ τὰ τοιάδε B ποιεῖν εἰωθότες, καὶ ταῖς εἰδώλων τιμαῖς ἀνατιθέντες τὸ σπούδασμα, τοῖς σπείρουσιν ἀνεμόφθορα, καὶ ἀσταχύων δράγματι, σῖτον οὐκ ἔχοντι, καὶ εἰς ἀλεύρου χρείαν οὐ πεποιημένῳ. Εἰ δὲ δή τι καὶ γένοιτο παρ' αὐτῶν, τουτέστι, κἂν εἰ δόξειάν πως εἶναι σπουδαῖοι, καὶ γνήσιοι περὶ τὰ τῆς πλάνης ἔργα, καὶ τοῦτο εἰς ἀλλοτρίους γενήσεται παρ' αὐτῶν, κατευφρανεῖ δὲ Θεὸν κατ' οὐδένα τρόπον. Ἀλλοτρίους δέ φησι τοὺς ψευδωνύμους θεούς. Ἄμεινον οὖν ἄρα παντελῶς καὶ τὸ σπουδαῖον ἡμῶν, ἐν τοῖς λυποῦσι Θεὸν, καὶ τῆς ἐπιεικείας οἱ τρόποι πάντοτε, καὶ πάντως διαβεβλήσονται παρ' αὐτῷ, τῆς τοῦ ἀγαθοῦ διεκπίπτοντες θήρας.

Κατεπόθη Ἰσραὴλ, νῦν ἐγένετο ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον, ὅτι αὐτοὶ ἀνέβησαν εἰς C *Ἀσσυρίους. Ἀνέθαλεν καθ' ἑαυτὸν Ἐφραΐμ, δῶρα ἠγάπησαν, διὰ τοῦτο παραδοθήσονται ἐν τοῖς ἔθνεσι.*

ϟ'. Καταπεπόσθαι φησὶ τὸν Ἰσραὴλ, ὡς οἰκτρὰν ὑπομείναντα ναυαγίαν, καὶ τοῖς τῶν ἰδίων ἁμαρτιῶν ἐναποπνιγέντα κύμασι, καὶ ὥσπερ τινὶ πέτρᾳ τοῖς ἐκ θείας ὀργῆς κινήμασι περιτεθραυσμένον. Ἦγουν καὶ καθ' ἕτερον τρόπον, καταπεπόσθαι φησὶν αὐτὸν, ὡς ὑπὸ δεινοῦ καὶ ἀπλήστου δράκοντος, τοῦ Ναβουχοδονόσορ. Ἔφη γὰρ ὧδε καὶ ἕτερος ἡμῖν τῶν ἁγίων προφητῶν, τὸ τοῦ Ἰσραὴλ πρόσωπον ἑαυτῷ περιτιθεὶς, δορικτήτου τε ὄντος ἤδη, καὶ τοῖς ἐλοῦσι δουλεύοντος· « Κατέφαγέ με, ἐμερίσατό με, κατέλαβέ με σκότος λεπτόν. Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶνος, κατέπιέ με ὡς δράκων, ἔπλησε τὴν κοιλίαν αὐτοῦ ἀπὸ τῆς τροφῆς μου. » Ἀληθὲς δὲ καὶ ἑτέρως, ὡς καταῤῥοφεῖ τρόπον τινὰ τοὺς τῆς εἰς Θεὸν ἀγάπης ἐκπίπτοντας, καὶ ἰδίαν ποιεῖται τροφὴν ὁ πολυκέφαλος δράκων, ὃν καὶ ἡ τοῦ Ψάλλοντος φωνὴ βρῶμα διδόσθαι φησὶ λαοῖς τοῖς Αἰθίοψι. « Σὺ γὰρ, φησὶ, συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος· ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν. » Οἱ γὰρ μελάντατον ἔχοντες ἔν γε δὴ σφίσιν αὐτοῖς, καὶ ἀφεγγῆ τὸν νοῦν, Αἰθίοπες εἰκότως καὶ νοοῖντ' ἂν, καὶ λέγοιντο πρός τε ἡμῶν αὐτῶν, καὶ παρὰ Θεοῦ. Οὗτοι τρέφουσι τὸν πολυκέφαλον δράκοντα, καὶ αὐτοὶ δὲ αὐτὸν σιτοῦνται πάλιν. « Καταπέποται τοίνυν ὁ

[96] Jer. LI, 34. [97] Psal. LXXIII, 14.

Digitized by Google

Ἰσραὴλ, καὶ γέγονεν ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον. » Ἀπενηνεγμένος γὰρ εἰς Ἀσσυρίους καὶ Μήδους, ἠχρειώθη παντελῶς, τὰ ἐκείνοις δοκοῦντα φρονεῖν τάχα που βεβιασμένος. Ἤγουν, ὅτι γέγονε σκεῦος ἄχρηστον, ταύτητοι καὶ κατεπόθη, καὶ τὴν ἐνεγκοῦσαν ἀφεὶς, μετεχοίτησεν εἰς τὰ ἔθνη. Τοιοῦτό τί φησιν ὁ πάντων Δεσπότης καὶ διὰ φωνῆς Ἱερεμίου, περί τινος τῶν ἐν Σαμαρείᾳ βεβασιλευκότων ἐπὶ τὸν Ἰσραήλ· « Ἠτιμώθη Ἰεχονίας ὡς σκεῦος, οὗ οὐκ ἔστι χρεία αὐτοῦ, ὅτι ἐξερρίφη, καὶ ἐξεβλήθη εἰς γῆν, ἣν οὐκ ᾔδει. Γῆ, γῆ, ἄκουε λόγον Κυρίου, γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον. » Ἠχρειώθη τοίνυν ὁ Ἰσραὴλ, καὶ ἠτιμώθη. Ποία γὰρ χρεία ψυχῆς τῷ Θεῷ πλανωμένης, καὶ φιλαμαρτήμονος, καὶ ἀποτρεχούσης εὐκόλως εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων, καὶ εἰς τὸ πάντων ἐπέκεινα τῶν κακῶν, τῆς ὑπὸ Θεοῦ δουλείας τὴν ἀποστροφήν ; Τί οὖν ἡ αἰτία τοῦ τὰ τοιάδε πάσχειν τὸν Ἰσραήλ ; « Ὅτι αὐτοὶ ἀνέβησαν. » Μονονουχὶ γὰρ, φησὶν, αὐτόμολοι δεδραμήκασι πρὸς ἐχθρούς. Πῶς, ἢ τίνα τρόπον ; Δεδιότες γὰρ τὴν ἐκείνων ἔφοδον, οὐ τὴν Θεοῦ μᾶλλον ἐπικουρίαν ἐζήτουν, μεταγινώσκοντες. Δώροις δὲ μᾶλλον μετεπείκασι, κατηρεμῆσαι βραχὺ, εἶτα τὴν τοιάνδε σκέψιν, ὡς εἰκαίαν αὐτοῖς ἐσομένην, καὶ ἄχρηστον, διαγελᾷ τρόπον τινὰ, λέγων περὶ τῶν ἐκ φυλῆς Ἐφραὶμ βεβασιλευκότων, οἳ καὶ δῶρα πεπόμφασι τοῖς Ἀσσυρίων τυράννοις· « Ἀνέθαλε καθ' ἑαυτὸν Ἐφραίμ. » Ὅμοιον ὡς εἰ λέγοι· Μέλλων ἐκκόπτεσθαι καθάπερ τι στέλεχος ὁ ἐκ φυλῆς Ἐφραὶμ βεβασιλευκὼς, καὶ οἷον ὑπὸ πυρὸς τῆς θείας ὀργῆς καταμαραίνεσθαι, ἀνέθαλε καθ' ἑαυτὸν, τουτέστιν, ἐμοῦ δίχα, καὶ σύμπνοιαν τὴν ἐμὴν οὐκ ἔχων, ᾠήθη, φησὶν, ὅτι ζήσεται, καὶ δώσει ῥίζαν εἰς βάθος, καὶ τῶν ἰδίων οὐκ ἀπολισθήσεται θρόνων. Ἐξεπρίατο γὰρ πρόσκαιρόν τε καὶ ὀλίγην ἀνάβλησιν τοῦ κακοῦ, δῶρα ἀγαπήσας οὐ δέχεσθαι μᾶλλον, ἀλλὰ διδόναι. Καὶ τί τὸ ἐντεῦθεν ; ὄφελος μὲν οὐδὲν, παραδοθήσονται δὲ τοῖς ἔθνεσι, καὶ δι' αὐτῶν μαθήσουσι τῶν συμβησομένων, ὡς οὐκ ἄν τις ἀναθάλοι καθ' ἑαυτὸν, οὐδ' ἂν ὀνήσειε τοὺς Θεῷ προσκρούοντας τὸ δῶρα διδόναι τοῖς ἐχθροῖς· ὑποκείσονται γὰρ, καὶ οὐκ εἰς μακρὰν, τῇ δίκῃ.

Νῦν εἰσδέξομαι αὐτούς, καὶ κοπάσουσι μικρὸν, τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας.

ιΑ'. Ἁπάσης, ὡς ἔπος εἰπεῖν, τῆς τοῦ Ἰσραὴλ φαυλότητος παραίτιοι γεγόνασιν οἱ ἐκ φυλῆς τοῦ Ἐφραὶμ ἐπ' αὐτοὺς βεβασιλευκότες. Πρῶτος μὲν γὰρ ὁ ἐπάρατος Ἱεροβοὰμ τῆς ἀποστασίας γέγονεν εὑρετὴς, δαμάλεις αὐτοῖς ἀναστήσας χρυσᾶς, καὶ τῶν καλουμένων ὑψηλῶν, τουτέστι, τῶν ἐν ὄρεσι, καὶ βουνοῖς τεμενῶν καθιστὰς ἱερεῖς, τοὺς οὐκ ἐκ φυλῆς Λευΐ. ἀλλ' ὅσοι μᾶλλον « Ἐπλήρουν τὴν χεῖρα αὐτῶν, » κατὰ τὸ γεγραμμένον. Εἶτα μετ' ἐκεῖνον, τῶν Ἀσσυρίων προσδοκωμένων, ἐν καιρῷ τῆς βασιλείας Μαναὶμ, πεπόμφασι χρήματα, πείθοντες ἀποσχέσθαι τῆς γῆς. Ταύτητοι δικαίως ἡ θεία γέγονεν ἀπειλὴ κατὰ τῆς βασιλείας, τῆς ἐκ φυλῆς Ἐφραὶμ γεγενημένης ἐπὶ τὸν Ἰσραήλ. « Νῦν γὰρ αὐτοὺς εἰσδέξομαι, » φησὶν, οὐχ ὡς τρόπον ἔχοντας ἀγαθὸν,

A evasit inutilis penitus, ex eorum cerebro supere forsitan compulsus. Aut sane quia factus est vas inutile, idcirco et absorptus est, et relicta patria ad gentes transmigravit. Simile quid ait etiam per Jeremiam omnium Dominus de quodam rege Israelis in Samaria : « Inhonoratus est Jechonias, quasi vas cujus non est usus ejus, quia projectus est in terram quam nesciebat. Terra, terra, audi verbum Domini. Scribe virum istum abdicatum hominem [28]. » Factus est igitur inutilis et inhonoratus Israel. Quæ namque utilitas ab anima Dei desertrice, et peccatis dedita, et facile in omne genus a ratione abhorrentium præcipitante, et quod malorum caput est, a servitute Dei sese avertente, exspectanda est ? Quam igitur ob causam hæc passus B est Israel ? « Quia ipsi ascenderunt. » Ad hostes quasi ultro transfugerunt. Qui tandem ? Timentes enim illorum irruptionem, non, ut par erat, Dei opem pœnitentes poposcerunt ; sed muneribus potius illis persuaserunt aliud, ut aliquantum quiescerent. Deinde hujuscemodi consilium ut vanum ipsis et inutile futurum irridet aliquo modo, **122** dicens de regibus ex tribu Ephraim, qui et dona Assyriorum tyrannis miserunt : « Refloruit per seipsum Ephraim. » Ac si dicat : Exscindendus sicut truncus rex de tribu Ephraim, et tanquam ab igne divinæ iræ consumendus, refloruit per seipsum, hoc est, sine me ; et aspirationem meam non habens, putavit se victurum, et radices altas acturum, et thronum suum non amissurum. Emit C enim dilationem mali ad tempus modicum, contentus dona non accipere, sed dare. Quid inde ? Utilitas nulla. Tradentur autem gentibus, et per ea quæ futura sunt cognoscent, neminem regerminare per se, neque prodesse Deum offendentibus dona dare hostibus ; paulo post enim supplicio subjacebunt.

Vers. 10. *Nunc suscipiam eos, et quiescent parum, ut ungant regem et principes.*

XCI. Omnis improbitatis Israel, ut dicam paucis, D causa fuerunt, qui de tribu Ephraim regnum in eos tenuerunt. Primus enim exsecrandus Jeroboam apostasiæ inventor fuit, quando ipsis erexit duos vitulos, et excelsa quæ vocantur, hoc est, templa in montibus et collibus, constitutis sacerdotibus qui non erant de tribu Levi, sed qui potius « implerent manum suam [29], » ut scriptum est. Deinde post illum, cum Assyrii exspectarentur, regnante Manaim, miserunt pecunias, quibus eos a vastitudine inferenda abstinerent [30]. Quare merito minæ contra regnum, ex tribu Ephraim super Israel institutum divinitus intentatæ sunt. « Nunc enim eos suscipiam, » inquit, non ut bene moratos, neque ut optimam vivendi viam ingressos, neque

[28] Jer. xxii, 28-30. [29] III Reg. xiii, 33. [30] IV Reg. xv, 19.

Digitized by Google

legalium institutorum cupidos, sed ut corrector et pœnas exigens, et jam ad judicium vocans. Supplicia enim, quæ iratus inveherem, præterito tempore ex mansuetudine distuli. Sed «Nunc suscipiam eos, » inquit, ut malorum experientia discant tandem se sub Domino, nec extra manum meam esse. Non autem pœnas diutius dilatum iri, certo testatur, utendo particula nunc. Suscepti igitur ut corripiantur, deinceps ungere regem et principes desistent. Assyriis namque et Medis servientes, ad opera apostasiæ frequentanda quod tandem otium haberent, **123** lamentantes assidue,et inexspectatam calamitatem deplorantes? Sciendum autem, postquam Cyrus Cambysæ filius Israelem liberum dimisit, non fuisse unctos in Samaria de tribu Ephraim, sed censos ab uno jugo omnes, Hierosolymis de tribu Juda regnantibus. Non enim ultra divisim habitabant, sed Hierosolymis universi. Incipit autem primus post captivitatem tenere utrumque regnum, Israel, inquam, et Juda, sive omnium duodecim tribuum, Zorobabel filius Salathiel de tribu Juda [21], Jesu filio Josedec principe ordinis Levitici, et summi sacerdotii ministerium administrante.

A οὐδὲ ὡς ἄριστα βιοῦν ἑλομένους, οὔτε μὴν κατὰ τὸν νόμον πολιτείας ἐφιεμένους, ἀλλ' ὡς παιδευτὴς, καὶ δίκας αἰτῶν, καὶ ὑπὸ κρίσιν ἤδη καλῶν. Παρῆκα μὲν γὰρ ἐξ ἡμερότητος εἰς ὑπέρθεσιν τὰ ἐκ θείας ὀργῆς, κατὰ τὸν ἤδη παρῳχηκότα καιρόν. Ἀλλὰ νῦν αὐτοὺς εἰσδέξομαι, » φησὶν, ἵνα τῇ τῶν δεινῶν πείρᾳ μανθάνωσι μόλις, ὅτι καὶ ὑπὸ δεσπότην εἰσὶ, καὶ τῆς ἐμῆς οὐκ ἔξω χειρός. Ὅτι δὲ, οὐκ εἰς ἀνάβλησιν τὰ ἐξ ὀργῆς, ἔτι πεπληροφόρηκε, λέγων τὸ, νῦν. Εἰσδεχθέντες δὴ οὖν ἵνα παιδεύωνται, πεπαύσονται λοιπὸν τοῦ χρίειν βασιλέα καὶ ἄρχοντας. Δουλεύοντες γὰρ Ἀσσυρίοις καὶ Μήδοις, ποίαν γὰρ ἔσχον σχολὴν τὰ τῆς ἀποστασίας ἔργα πληροῦν, οἵγε καὶ κατοιμώζοντες διετέλουν, καὶ τὴν ἀδόκητον κατεθρήνουν συμφοράν; Ἰστέον δὲ ὅτι, μετὰ τὸ ἀνεῖναι Κῦρον B τοῦ Καμβύσου τῆς αἰχμαλωσίας τὸν Ἰσραὴλ, οὐ κεχρίκασιν ἐν Σαμαρείᾳ τοὺς ἐκ φυλῆς Ἐφραΐμ, ἀλλ' ὑφ' ἕνα πάντες γεγόνασι ζυγὸν, βασιλευόντων ἐν Ἱεροσολύμοις τῶν ἐξ Ἰούδα φυλῆς. Κατῳκήκασι γὰρ οὐκέτι διῃρημένως, ἀλλ' ἐν τοῖς Ἱεροσολύμοις ἅπαντες. Ἄρχεται δὲ πρῶτος μετὰ τοὺς τῆς αἰχμαλωσίας καιροὺς τῆς ἐπ' ἀμφοῖν βασιλείας, φημὶ δὴ τοῦ τε Ἰσραὴλ καὶ τοῦ Ἰούδα, ἤτοι πασῶν ἁπλῶς τῶν δυοκαίδεκα φυλῶν Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, τῶν Λευιτικῶν καθηγουμένου ταγμάτων, καὶ τὴν τῆς ἀρχιερωσύνης διέποντος λειτουργίαν Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως τοῦ μεγάλου.

Vers. 11, 12. *Quia multiplicavit Ephraim altaria in peccata, facta sunt ei altaria dilecta. Describam ei multitudinem, et legitima eorum. In aliena reputata sunt ei altaria dilecta.*

Ὅτι ἐπλήθυνεν Ἐφραὶμ θυσιαστήρια εἰς ἁμαρτίας, ἐγένοντο αὐτῷ θυσιαστήρια ἠγαπημένα. Καταγράψω αὐτῷ πλῆθος, καὶ τὰ νόμιμα C *αὐτῶν. Εἰς ἀλλότρια ἐλογίσθησαν αὐτῷ θυσιαστήρια τὰ ἠγαπημένα.*

XCII. Causam profert, propter quam juste potestas regia tollatur in posterum.Longe plurima quippe altaria in peccata, seu ad peccandum fecit Ephraim. Tangitur prior Jeroboam, qui de tribu Ephraim natus regnavit, et qui eum ordine exceperunt, quique in omni monte et colle aras dæmonibus erexerunt, et Israelitas ad sacrificandum induxerunt. Deinde cum super adeo infandis facinoribus dolere deberent, «multiplicarunt enim altaria in peccata,» fecerunt, inquit, etiam «dilecta, et insuper in aliena reputata sunt illi,» utique Ephraim,«altaria dilecta.»Significat plane in veteri tabernaculo, sive Hierosolymis in divino templo posita. Erant autem duo, unum victimarum in primo seu exteriore tabernaculo, alterum thymiamatis aureum, in secundo et intimo tabernaculo [22]. Multa igitur regum Ephraimitarum scelera: primum quidem, quia multiplicarunt altaria in peccata; postea, quia et dilecta fecerunt, ob quæ jure lamentari et lugere debuissent, ut qui Deum offendissent; et quod majus est, ut qui in vecordiam abiissent, alienaque duxissent dilecta altaria, quæ adeo diligere et omni reverentia prosequi conveniebat. Interjectum est autem: «Describam, seu conscribam ei multitudinem et legitima ejus.» Quonam sensu? **124** Multitudinem enim altarium, inquit, in peccata ab ipsis constructorum, et legitima eo-

ΚΒ'. Ἐξηγεῖται τὴν αἰτίαν, δι' ἣν εἰκότως τοῖς βασιλεύουσι τὸ ἀποπεσεῖσθαι τῆς ἀρχῆς δεῖν, ἐπιφέρει λοιπόν. Πλεῖστα μὲν γὰρ ὅσα θυσιαστήρια, τὰ εἰς ἁμαρτίας πεποίηται τῷ Ἐφραΐμ. Ἅπτει δὲ ὁ λόγος καὶ ἐπὶ τὸν πρῶτον Ἱεροβοὰμ, τὸν ἐκ φυλῆς Ἐφραΐμ βασιλεύσαντα, καὶ μετ' ἐκεῖνον εἰς τοὺς ἑφεξῆς, οἳ ἐν ὄρει παντὶ καὶ βουνῷ βωμοὺς ἀνιστάντες τοῖς δαίμοσι, θύειν ἔπειθον τοὺς ἐξ Ἰσραήλ. Εἶτα λυπεῖσθαι δέον ἐπὶ τοῖς οὕτως ἐκτόποις ἐπιχειρήμασιν, « Ἐπλήθυναν γὰρ θυσιαστήρια τὰ εἰς ἁμαρτίας,» ἐποιήσαντο, φησὶν, αὐτὰ καὶ « Ἠγαπημένα, καὶ προσέτι τούτοις εἰς ἀλλότρια ἐλογίσθησαν αὐτῷ (δῆλον δὲ ὅτι τῷ Ἐφραΐμ) θυσιαστήρια τὰ ἠγαπημένα.» Δηλοῖ δὲ D πάντως τὰ ἐν τῇ ἀρχαίᾳ σκηνῇ, ἤγουν ἐν τοῖς Ἱεροσολύμοις, ἐν τῷ θείῳ κείμενα ναῷ. Δύο δὲ ἦσαν ταυτὶ, τὸ μὲν τῶν καρπωμάτων, ἐν τῇ πρώτῃ σκηνῇ, τὸ δὲ ἕτερον τοῦ θυμιάματος τὸ χρυσοῦν, ἐν τῇ δευτέρᾳ, καὶ ἐσωτάτῳ. Πολλὰ τοιγαροῦν τῶν ἐξ Ἐφραΐμ βεβασιλευκότων τὰ ἐγκλήματα· πρῶτον μὲν ὅτι ἐπλήθυναν θυσιαστήρια εἰς ἁμαρτίας· εἶτα ὅτι καὶ ἠγαπημένα πεποίηνται, τά, ἐφ' οἷς ἦν εἰκὸς ὀλοφύρεσθαι καὶ θρηνεῖν, ὡς προσκεκρουκότας· καὶ τὸ ἔτι μεῖζον, ὡς ἀπονενευκότες εἰς ἀπόνοιαν, ἀλλότρια πεποίηνται τὰ ἠγαπημένα θυσιαστήρια, ἃ ἐχρῆν οὕτως ἀγαπᾶν καὶ ἐν παντὶ ποιεῖσθαι λόγῳ. Προσέρριπτε δὲ διὰ μέσου τό· « Καταγράψω αὐτῷ πλῆ-

[21] I Esdr. III, 8. [22] Exod. XL, 27.

Digitized by Google

θος, καὶ τὰ νόμιμα αὐτοῦ. » Καὶ τί τοιοῦτον ὑποδηλοῖ; Τὸ γάρ τοι πλῆθος, φησὶ, τῶν εἰς ἁμαρτίας αὐτοῖς πεποιημένων θυσιαστηρίων, καὶ τὰ νόμιμα αὐτῶν, τουτέστι, πάλιν τὰς αὐτοῖς νενομισμένας θυσίας, ἤτοι τοὺς τῶν θυσιῶν καιροὺς ἢ τρόπους, καθ' οὓς τὰς βεβήλους προσῆγον τελετὰς (κατετέμνοντο γὰρ ἐπὶ σίτῳ καὶ οἴνῳ, καὶ ἕτερα ἄττα τούτοις ἐοικότα δρᾶν ἐσπούδαζον) εἰς ἁμαρτίας αὐτοῖς καταγράψω τὰ ἐγκλήματα.

A rum, hoc est, præterea legitima ipsorum sacrificia, sive sacrificiorum tempora, aut modos, quibus impuras cærimonias tractabant (concidebantur enim super frumento et vino, et alia nonnulla istis cognata facere studebant), in peccata ipsis et delicta conscribam.

Χρῆμα δὴ οὖν σωτήριον, τὸ τῶν θείων ἔχεσθαι θυσιαστηρίων, καὶ μεταποιεῖσθαι τῶν παρὰ Θεοῦ, καὶ μὴ ζητεῖν τὰ ἑτέρων, ἃ καὶ ἔστιν εἰς ἁμαρτίαν. Τοῦτο ποιοῦσιν οἱ μὴ γνησίως χριστιανίζοντες, ἐκπίπτοντες δὲ μετὰ τὸ σωτήριον βάπτισμα πρὸς ἔθη καὶ παρατηρήσεις Ἑλληνικὰς, οἷς ἀκόλουθον εἰπεῖν τὸ διὰ τῆς τοῦ Παύλου φωνῆς· « Οὐ δύνασθε B τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων. » Καὶ μὴν καὶ οἱ τοῖς ἀνοσίοις αἱρετικοῖς συναπτόμενοι, καὶ τῶν παρ' αὐτοῖς θυσιαστηρίων μετέχοντες, οἷς καὶ κατὰ ἀλήθειαν εἰς ἀλλότρια ἐγενήθησαν θυσιαστήρια τὰ ἠγαπημένα. Ἐπλήθυναν γὰρ ἑαυτοῖς τὰ εἰς ἁμαρτίας, ἔξω θύοντες τὸν ἀμνὸν, τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς, τουτέστι, τῆς Ἐκκλησίας.

Salutare itaque divinis altaribus adhærere, et quæ sunt a Deo, capessere, nec aliorum quærere, quæ in peccatum sunt. Hoc faciunt non sinceri Christiani, qui post salutarem baptismum ad consuetudines et observationes ethnicas delabuntur : quibus consentaneum est occinere illud Pauli : « Non potestis mensæ Domini participes esse, et mensæ dæmoniorum[33]. » Quinetiam qui sceleratis hæreticis se adjungunt, et quæ apud ipsos sunt, altarium participes fiunt, quibus vere in aliena facta sunt altaria dilecta ; multiplicarunt enim sibi altaria in peccata, Agnum extra sacrum et divinum ovile, Ecclesiam videlicet, sacrificantes.

Διότι ἐὰν θύσωσι θυσίαν, καὶ φάγωσι κρέα, Κύριος οὐ προσδέξεται αὐτά. Νῦν μνησθήσεται τὰς ἀδικίας αὐτῶν, καὶ ἐκδικήσει τὰς ἁμαρτίας αὐτῶν.

Vers. 13. *Quia si immolaverint hostiam, et comederint carnes, Dominus non suscipiet ea. Nunc recordabitur iniquitates eorum, et ulciscetur peccata eorum.*

ΚΓ'. Ὅτι γεγόνασι καὶ πεπλήθυνται παρὰ τοῦ Ἐφραὶμ τὰ εἰς ἁμαρτίας θυσιαστήρια, καὶ διὰ τούτων εὖ μάλα δηλοῖ.' Ἃ γὰρ θύουσι, φησὶν, οὐ Θεῷ C μᾶλλον, ἀλλὰ τοῖς τῶν εἰδώλων τεμένεσι παρ' αὐτῶν προσφέρεται. Κἂν ἑορτάζωσιν ἐπὶ ταῖς θυσίαις, τροφῶν ἢ ποτῶν ἀναπιμπλάμενοι, πρὸς Θεὸν τὸ χρῆμα οὐδέν. Οὐ γὰρ αὐτῷ τελοῦσι τὴν πανήγυριν, ὅτι τὰ εἰς δόξαν δαιμονίων πραττόμενα, κατ' οὐδένα τρόπον παραδέξαιτο ἂν ἡ θεία τε καὶ ἀκήρατος φύσις. Παροξύνεται δὲ μᾶλλον ὡς ὑβρισμένη. Μόνον δὲ οὐχὶ καὶ οὐχ ἑκοῦσα καταβιάζεται πρός γε τὸ χρῆναι λοιπὸν τοῖς εἰς τοῦτο καλοῦσιν ὀργῆς ἐπάγειν τὰς δίκας, καὶ λοιπὸν εἶναι πρὸς ἀνάμνησιν πάντων, ὡς ἔπος εἰπεῖν, τῶν τοῖς προσχρούουσι πεπλημμεληκότων. Οὗ δὴ γεγονότος, ὀξεῖς οἱ θυμοὶ, παρὰ πόδας ἡ δίκη, καὶ οὐδεὶς ὁ ἐξαιρούμενος. « Φοβερὸν οὖν ἄρα τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. » Προσῆκει δὲ μᾶλλον, καὶ ἄμεινον ἀσυγκρίτως, καὶ πάσης ἡμῖν εὐημερίας πρόξενον, τὸ, Θεῷ προσάγειν θυσίας, πνευματικὰς δηλονότι, καὶ αὐτῷ πληροῦν ἑορτὰς, διαβιοῦν ὀρθῶς ῥηθέντος, καὶ τὸ κατά τι γοῦν ὅλως διαπίπτειν ἀποσπουδάζοντας.

XCIII. Facta et multiplicata esse ab Ephraim altaria in peccata, etiam his evidenter ostendit. Quæ enim sacrificant, inquit, non Deo magis, quam idolorum delubris ab ipsis offeruntur. Atque etiam si diem festum in sacrificiis cibo aut potione completi duxerint, nihil hoc ad Deum. Non enim ipsi panegyrim seu celebritatem instituunt. Quæ namque ad dæmonum gloriam fiunt, divina immortalisque natura nullo modo admittit ; quin irritatur potius, ut injuriam passa, et tantum non invita ad pœnas huc eam provocantibus ex ira infligendas adigitur, et ad recordandum de cætero omnium, ut verbo dicam, quæ a delinquentibus in se patrata sunt. Quod ubi factum fuerit, vehemens erit furor, ante pedes vindicta, et nemo qui eripiat. « Horrendum igitur incidere in manus Dei viventis[34]. » Decet magis, et citra comparationem melius est, et omnem nobis felicitatem conciliat, Deo hostias offerre, spirituales nimirum, et ipsi celebrare festa, vitam recte instituendo, et vel minimas animi labes prorsus repellendo.

Αὐτοὶ δὲ εἰς Αἴγυπτον ἀπέστρεψαν, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται.

125 *Ipsi vero in Ægyptum conversi sunt, et in Assyriis immunda comedent.*

ΚΔ'. Αἰτιᾶται πάλιν, ὡς ἀνούστατά τε καὶ ἀνοσίως κομιδῇ διαζῆν ἐθέλοντας, καὶ εἰσάπαν ἠγνοηκότας τὴν τοῦ συμφέροντος τρίβον. Ἐγὼ μὲν γὰρ, φησὶν, εἰς τοῦτο γνώμης ἐνηνεγμένους λοιπὸν, ὑπενεγκεῖν ἠπείλησα ταῖς ὀργαῖς, καὶ ἐκδικήσειν τὰς ἁμαρτίας αὐτῶν, καὶ ἀναμνησθήσεσθαι πάσας τὰς ἀνομίας

XCIV. Rursum eos in reprehensione ponit, ut qui insipientissime et impiissime vitam agitare constituerint, et qui semitam utilitatis ignorarint penitus. Ego quidem, inquit, in eam mentem jam delatis iratum fore me comminatus sum, et vindicaturum peccata eorum, et recordaturum omnes

[33] I Cor. x, 20. [34] Hebr. x, 31.

Digitized by Google

Iniquitates eorum. Et imminebat, quod futurum exspectabatur, terrore jam Israelem bello, et ferme jam provinciam invadente. Deinde cum supplicando et resipiscendo Deum mitigare deberent, aliterque ad ejus beneplacitum erudiri, et conversione ad meliora iram ejusdem flectere, tanquam ad utilissimum quiddam, et unde liberari possent, aversi sunt in Ægyptum, hominem Ægyptium, non Deum, subsidio vocantes, « carnes equorum [35], » juxta Scripturam. « Atqui non salvabit rex propter multam virtutem, et gigas non salvabit propter multitudinem fortitudinis suæ; fallax equus ad salutem [36]. Bonum confidere in Domino, quam confidere in hominibus [37]. » Nihil autem eis tam temerarium consilium profuisse, ipsa, inquit, experientia magistra cognoscent. Deportati enim ad Assyrios atque Medos, « ibi immunda comedent, » hoc est, ævum traducent rejecta quæ restabat erga legem reverentia, et quidvis citra omnem scrupulum comedentes. Sed objiciet fortasse quispiam : Quomodo hoc scrupulo esse Israelitis potuit, si quidem falsos deos colendos susceperant? Respondemus huic quæstioni, in errorem se induisse concorditer; sed in animis eorum adhuc aliquantam sollicitudinem legis superfuisse, et eos a Judaicis consuetudinibus non ad unguem discessisse, tametsi in idolorum templis preces conciperent. Quocirca et beatus propheta Elias ut duobus poplitibus claudicantes, et neque Baal omnino, neque Deo perfecte adhærere volentes aliquando reprehendit [38]. Verum redactus in captivitatem Israel, legis reverentiam funditus abjecit, mores et leges dominorum suorum necessitate adactus sequens. Et hoc, opinor, est, quod et ipse Christus dixit : « Omni habenti dabitur, et abundabit. Ab eo autem qui non habet, et quod videtur habere, auferetur ab eo [39]. » Non sunt igitur nobis spernenda divina charismata; sed quæ habuerimus a Deo, maximi æstimanda. Nam si cordi nobis fuerint, libenter gratia et donum in nobis habitabit. Sin autem ignavi et remissi in eo custodiendo fuerimus, ipsum prorsus avolabit.

126 VERS. 14. *Et oblitus est Israel ejus qui fecit illum. Et ædificaverunt fana. Et Judas multiplicavit urbes muratas. Et mittam ignem in civitates ejus, et devorabit fundamenta illarum.*

XCV. Ambo regna objurgat, Samariæ, inquam, et Juda, nempe quod est Hierosolymis. Quid autem ambo fecerint, videndum et exponendum est. Cum bellum exspectaretur, et terror propemodum ipsis foribus immineret, oporteretque tum Samaritas, tum de tribu Juda regnantes a Deo Salvatore auxilium quærere, si quidem et inutiles et improbas cogitationes suas mutarent, et cum pœnitentiis colere, amplius omnipotentem Dominum adversus se irritabant. Israel enim, hoc est, decem tribus,

αὐτῶν. Καὶ ἦν ἐν ἀρχαῖς τὸ συμβήσεσθαι προσδοκώμενον, καταπτοοῦντος ἤδη τὸν Ἰσραὴλ τοῦ πολέμου, καὶ μονονουχὶ τῇ χώρᾳ προβάλλοντος. Εἶτα, δέον αὐτοὺς λιταῖς τε καὶ μεταγνώσεσιν ἐκμειλίσσεσθαι Θεὸν, καὶ μεταπαιδεύεσθαι μὲν τὸ δοκοῦν αὐτῷ, ταῖς δὲ εἰς τὸ ἄμεινον ἀναδρομαῖς ἐπιδυσωπεῖν τὴν ὀργὴν, ὡς ἐπί τι τῶν ἄγαν χρησίμων ἐξελέσθαι δυναμένων αὐτοὺς, ἀπέστρεψαν εἰς Αἴγυπτον, καλοῦντες εἰς ἐπικουρίαν ἄνθρωπον Αἰγύπτιον, καὶ οὐ Θεόν. « Ἵππων σάρκας, » κατὰ τὸ γεγραμμένον. « Ἀλλ' οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ, ψευδὴς ἵππος εἰς σωτηρίαν. Ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. » Ὅτι δὲ εἰς οὐδὲν αὐτοῖς τῶν ἀναγκαίων τὰ τῆς τοιᾶσδε, φησὶν, εἰκαιοβουλίας ἐκβέβηκεν, ἐξ αὐτῆς εἴσονται τῆς πείρας, ἀποκομισθέντες γὰρ εἰς Ἀσσυρίους καὶ Μήδους, « ἐκεῖ ἀκάθαρτα φάγονται, » τουτέστι, διαβιώσονται τῆς εἰς τὸν νόμον αἰδοῦς ἀποβαλόντες τὸ λεῖψανον, καὶ ἀφυλάκτως ἐσθίοντες τὸ παρατυχόν. Ἀλλ' ἴσως ἐρεῖ τις· Πῶς τοῦτο λελύπηκεν ἂν τοὺς ἐξ Ἰσραὴλ, εἰδωλολατρεῖν ἑλομένους; Πρὸς τοῦτά φαμεν, ὅτι πεπλάνηνται μὲν ὁμολογουμένως, ἀλλ' ἦν τις αὐτοῖς κατὰ νοῦν ἔτι μικρὰ τοῦ νόμου φροντὶς, καὶ τῶν Ἰουδαϊκῶν ἐθῶν οὐκ ἀπώλισθον παντελῶς, καίτοι προσκυνοῦντες ἐν τοῖς τῶν εἰδώλων ναοῖς. Ταύτῃτοι καὶ ὁ μακάριος προφήτης Ἠλιοὺ, ὡς δυσὶν ἰγνύαις ἐπιχωλεύοντας κατῃτιᾶτό ποτε, καὶ μήτε τῷ Βάαλ ὁλοτρόπως, μήτε μὴν Θεῷ τελείως προσκεῖσθαι βεβουλημένους. Οὐκοῦν γεγονὼς αἰχμάλωτος ὁ Ἰσραὴλ, ἀποβέβληκε τελείως τὴν εἰς τὸν νόμον αἰδῶ, τοῖς τῶν κρατούντων ἔθεσί τε, καὶ νόμοις, ὡς ἐξ ἀνάγκης ἑπόμενος. Καὶ τοῦτο, οἶμαι, ἐστὶν ὃ καὶ αὐτὸς ἔφη Χριστὸς, ὅτι « Παντὶ τῷ ἔχοντι δοθήσεται, καὶ περισσευθήσεται· Ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ' αὐτοῦ. » Δεῖ δὴ οὖν ἄρα τῶν θείων ἡμᾶς χαρισμάτων μὴ καταφρονεῖν· ἀλλ' ὧν ἂν ἔχοιμεν παρὰ Θεοῦ, πλεῖστον ὅσον ποιεῖσθαι λόγον. Πεφροντικόσι μὲν γὰρ ἐμφυλοχωρήσει τὸ χάρισμα. Εἰ δὲ ῥᾴθυμοι, καὶ ἀναπεπτωκότες περὶ αὐτὸ γινόμεθα, καὶ αὐτὸ δὴ πάντως ἀποπτήσεται.

Καὶ ἐπελάθετο Ἰσραὴλ τοῦ ποιήσαντος αὐτόν. Καὶ ᾠκοδόμησαν τεμένη. Καὶ Ἰούδας ἐπλήθυνε πόλεις τετειχισμένας. Καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ, καταφάγεται τὰ θεμέλια αὐτῶν.

ΛΕ'. Ἀμφοτέραις ἐπιπλήττει ταῖς βασιλείαις, τῇ τε ἐν Σαμαρείᾳ, φημὶ, καὶ τῇ τοῦ Ἰούδα, τουτέστι, τῇ οὔσῃ κατὰ τὴν Ἱερουσαλήμ. Τί γὰρ ἄμφω δεδράκασι, καταθρῆσαί τε ἅμα καὶ εἰπεῖν ἀναγκαῖον. Προσδοκωμένου γὰρ ἔσεσθαι τοῦ πολέμου, μονονουχὶ δὲ καὶ ἐπ' αὐταῖς ἤδη γεγονότος ταῖς θύραις τοῦ δείματος, δέον αὐτοὺς τούς τε ἐν Σαμαρείᾳ, καὶ τοὺς βασιλεύοντας ἐκ φυλῆς Ἰούδα, τὴν παρὰ Θεοῦ σώζοντος ἐπικουρίαν ζητεῖν, εἰ ἐκτόπους, καὶ ἀνωφελεῖς ἐτράποντο γνώμας, καὶ ταῖς μεταγνώσεσι θεραπεύειν

[35] Ezech. xxxix, 20. [36] Psal. xxxii, 16, 17. [37] Psal. cxvii, 8. [38] III Reg. xviii 21. [39] Luc. xix, 26.

Digitized by Google

ὀφείλοντες, κατηρέθιζον ἐφ' ἑαυτοῖς καὶ ἔτι μειζόνως τὸν τῶν ὅλων κρατοῦντα Θεόν. Ὁ μὲν γὰρ Ἰσραὴλ, τουτέστιν, αἱ δέκα φυλαὶ, καὶ οἱ τούτων ἀνημμένοι τὸ κράτος, ὡς λελυπημένοις τὴν ἅλωσιν, καὶ τὰς τῶν πολεμίων ἀνατρέπειν φάλαγγας, καὶ πλείονας ἔτι τὰς θεραπείας προσῆγον. Ἐκμελισσόμενοι δὲ ὥσπερ, καὶ καθιστάντες εὐμενεῖς ᾠκοδόμουν τεμένη, καὶ βωμοὺς ἐναπετίθεντο, καὶ πλείοσιν ἔτι θυσίαις ἐτίμων. Ὁ δέ γε Ἰούδας ὀχυρωτέρας ἐποίει τὰς ἑαυτοῦ πόλεις, λίθοις μᾶλλον ἐπιθαρσήσας, καὶ οὐ Θεῷ, καίτοι λέγοντι σαφῶς περὶ τῆς Ἱερουσαλὴμ, ὅτι « Ἐγὼ ἔσομαι αὐτῇ, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. » Ἀλλ' οὐδὲν μὲν ὤνησε τὸ χρῆμα τὸν Ἰσραήλ. Πῦρ δὲ ταῖς πόλεσιν ἐπαφήσειν ταῖς Ἰούδα, λοιπὸν ἐπηπείλει Θεός· καταπιμπράντων αὐτὰς δηλονότι τῶν Βαβυλωνίων, οἱ τῆς εἰς αὐτοὺς ὀργῆς γεγόνασιν ὑπουργοί.

A et in eas tenentes imperium, diis, ut a miseris captivitatem depellerent, et hostium phalangas everterent, majora obsequia exhibebant, et quasi eos demulcentes, eorumque sibi benevolentiam comparantes, fana ædificabant, et aras in iis construebant, et pluribus eos sacrificiis honorabant. Judas urbes suas communiebat validius, potius lapidibus quam Deo confisus, quamvis ille de Jerusalem perspicuis verbis dixisset : « Ego ero ei, dicit Dominus, murus igneus in circuitu, et in gloriam ero in medio ejus [40]. » Verum nihil ex eo profecit Israel. Ignem autem deinceps in urbes Juda se immissurum minatur Deus, Babyloniis nimirum iræ divinæ administris eas incendentibus.

ΚΕΦΑΛ. Θ'.

Μὴ χαῖρε, Ἰσραὴλ, μηδ' εὐφραίνου καθὼς οἱ λαοὶ, ὅτι ἐπόρνευσας ἀπὸ τοῦ Θεοῦ σου. Ἠγάπησας δόματα ἐπὶ πάντα ἅλωα σίτου. Ἅλων, καὶ ληνὸς οὐκ ἔγνω αὐτούς, καὶ ὁ οἶνος ἐψεύσατο αὐτούς. Οὐ κατῴκησαν ἐν τῇ γῇ τοῦ Κυρίου. Κατῴκησεν Ἐφραὶμ Αἴγυπτον, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα φάγονται. Οὐκ ἔσπεισαν τῷ Κυρίῳ οἶνον, καὶ οὐχ ἡδυναν αὐτῷ, αἱ θυσίαι αὐτῶν ὡς ἄρτος πένθους αὐτοῖς. Πάντες οἱ ἐσθίοντες αὐτὰ μιανθήσονται, διότι οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον Κυρίου.

CAP. IX.

VERS. 1-4. *Ne gaudeas, Israel, neque læteris sicut populi, quia fornicatus es a Deo tuo. Dilexisti data super omnem aream frumenti. Area et torcular non cognovit eos, et vinum decepit eos. Non habitaverunt in terra Domini. Habitavit Ephraim Ægyptum, et in Assyriis immunda comedent. Non libaverunt Domino vinum, et non placuerunt ei; sacrificia eorum, quasi panis luctus ipsis. Omnes manducantes ea contaminabuntur, quia panes animabus eorum non ingredientur in domum Domini.*

127 ΚΖ'. Ταῖς τῶν ἐθνῶν ἀγέλαις, ἐπεί τοι πλείστην ὅσην νοσοῦσι τὴν ἀβουλίαν (πεπλάνηνται γὰρ ὁμολογουμένως[1], ἔθος ἦν ἀρχομένοις τῆς γεωπόνου, καὶ ἀροῦν μέλλουσι τὴν γῆν, θυσίας ἐπιτελεῖν τοῖς δαίμοσι, καὶ παρ' αὐτῶν αἰτεῖν τὰς τῶν ἀγρῶν εὐκαρπίας. Ἀμῶντες δὲ πάλιν, καιροῦ καλοῦντος εἰς τοῦτο, καὶ μὴν καὶ ληνοῖς ἐντιθέντες τὸν βότρυν, ἔσπενδον, ἔθυον ταῖς ὥραις, ᾖδον τὰς ἐπιληνίους ᾠδὰς, ἀναφέροντες τὰ χαριστήρια, χαίροντές τε καὶ εὐφραινόμενοι διετέλουν. Τοῦτο ὁρῶντας τοὺς ἐξ Ἰσραὴλ ἐπαιτιᾶται Θεός. Μὴ γὰρ δὴ χρῆναι χαίρειν αὐτὸν διισχυρίζεται σαφῶς, καθὰ καὶ τὰ λοιπὰ τῶν ἐθνῶν. Διὰ ποίαν αἰτίαν, οἱ μὲν γὰρ ἠγνοηκότες παντελῶς τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, γεννηθέντες δὲ μᾶλλον ἐν πλάνῃ, τάχα που τῆς ἀῤῥωστίας, ἦγουν ἀμαθίας οὐκ ἀπίθανον ἔχουσι λόγον. Ὁ δέ γε Ἰσραὴλ, καίτοι νόμῳ παιδαγωγούμενος, καὶ τὸν τῶν ὅλων Δεσπότην ἐπεγνωκὼς, πεπόρνευκεν εἰς ἀπόστασιν. Οὐκοῦν νοοῖτ' ἂν εἰκότως καὶ ἐν αἰτίᾳ γεγονὼς τῇ φορτικωτέρᾳ, καὶ δυσδιάφυκτον ἔχων τῆς δυσσεβείας τὸ ἔγκλημα. Εἰδὼς γὰρ τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ, κατημέλησεν, οὐ πεποίηκε. Δαρήσεται δὴ οὖν πολλὰς· τοῦ μὴ εἰδότος, εἶτα μὴ δεδρακότος, ὀλίγας δαρησομένου, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Μὴ χαῖρε δὴ οὖν καθὼς οἱ λαοὶ, φησίν. Οἱ μὲν γὰρ « Ἐκ μήτρας πεπλάνηνται· » σὺ δὲ νόμῳ παιδαγωγηθεὶς, ἐκπεπόρνευκας ἀπὸ Θεοῦ. Καὶ τίς αὐτῶν γέγονε τῆς πορνείας ὁ τρόπος; Ἠγάπησε δόματα, φησὶν, οὐ

127 XCVI. Gentium gregibus, utpote stultitia plurimum laborantibus (aberraverunt enimvero uno consensu), mos erat agriculturam auspicantibus, et terram aratro proscissuris, hostias mactare dæmonibus, ab iisque frugum ubertatem comprecari. Rursus tempore hortante segetem demetentes, atque etiam torcularibus uvas inferentes, deabus quatuor anni temporum præsidibus libabant et sacrificabant, torcularesque cantilenas modulantes gratias, et gaudium lætitiamque continenter agitabant. Hoc idem facientes Israelitas accusat Deus, affirmans clare, non decere ipsos more cæterarum gentium lætari. Quam ob causam? Qui enim natura et vere Deum non agnoverunt, erroremque cum lacte nutricis suxerunt, fortassis morbi sive ruditatis suæ excusationem non incredibilem habent. Israel autem tametsi lege institutus, et Dei cognitione imbutus, ad defectionem est fornicatus. Quare merito gravioris culpæ reus, et crimine impietatis neutiquam excusabili obstrictus intelligi potest. Nam sciens voluntatem Domini sui, facere neglexit, vapulabit igitur multis; cum e diverso, qui nescivit, et tamen non fecit, vapulaturus sit paucis [41], juxta vocem Salvatoris. Ne gaude itaque sicut populi, inquit. Illi enim « ab utero erraverunt [42] : » tu autem legis doctrina instructus, a Deo fornicatus es. Quonam autem modo fornicati sunt? Dilexit data, inquit, non quidem a Deo, sed

[40] Zach. II, 5. [41] Luc. XII, 47, 48. [42] Psal. LVII, 4.

Digitized by Google

a vitulis et a Baal, quanquam nihil darent petentibus. Quænam ergo data seu munera ab ipsis ambebant? « Super omnem aream frumenti. » Impie siquidem et insipienter visum est eis ab idolis inanibus frugum copiam ex agris petere, ut dixi. Quæsivit igitur Israel data seu beneficia ab idolis. An vero petitiones ei evenerunt ex sententia? Nihil minus. « Area enim, et torcular non cognovit eos, et vinum decepit eos. » Ac neminem discendi studiosiorem latent pestilentiæ, sterilitates et siccitates longæ, quæ Samariam occuparunt. Lapsus est ergo spe, non adeptus quæ petebat. Et insuper ab ipsa terra sancta recesserunt, et ingressi sunt Ægyptum, ut regionem munitam, ubi pluribus etiam diis servierunt. Mille enim in Ægypto idola visebantur, et colentium ipsa mirifica de eorum potentia opinio. **128** Magicis quippe artibus omnia levi negotio commode efficiebant. Vetiti sunt igitur etiam habitare in terra a Deo electa, quam idolorum regione commutarunt. Sed quamvis hoc fecerint, migrabunt ad Assyrios. « Non libabant Domino. » Congesto enim in torcular fructu vineæ, primitias libabant dæmoni, non Deo, unde acceperant. Dedicabant etiam panes, ut primitias messis. At enim in contaminationem et profanationem ea res ipsis cedet, inquit, et ut panes luctus reputabantur, quæ offeruntur, hoc est, abominanda, et profana, et odiosa. Cur ita? Lex enim immundum decernebat, qui appropinquaret mortuo [43]. Appropinquaret autem, aut per sanguinis communitatem, aut per ipsum contactum. Oportebat igitur genere propinquos, aut amicos mortuorum propter luctum contaminari, curantes mortuum, et justæ ei facere cupientes. Et erant immunda omnia, quæ illi forte attigissent. Panis itaque luctus est, qui mortuum lugentibus apponitur in alimentum, quem vel gustare durissimum videbatur, pollutionem super mortuo effugere nitentibus. Polluti igitur et abjiciendi etiam ipsi panes, inquit, qui loco primitiarum messis oblati fuerint, « et qui comedunt eos, polluentur. » Utiles autem potius erunt animabus ipsorum, id est, ad esum ipsorum. « Non ingredientur enim in domum Domini [44]. » Sciendum porro legem quoque primitias messis, manipulosque et panem in sacrificium offerri præcepisse [45]. Jam vero Israel, quæ sibi gloria Dei vindicabat, simulacris offerebat, Deo licet manifeste dicente : « Gloriam meam alteri non dabo, neque virtutes meas simulacris [46]. »

Quocirca ad vitam sustentandam requisita a Deo petenda sunt, confitendumque ipsum esse datorem et largitorem omnis ubertatis nostræ, sive illa ad corpus, sive ad spiritum pertineat. Nec enim alius est præter illum qui pluat [47], ut scriptum est; sed nutu ejus fruges temporibus suis ruri exsistunt, et

A παρὰ Θεοῦ μᾶλλον, ἀλλὰ τὰ ἐκ τῶν δαμάλεων, καὶ Βάαλ· καίτοι διδόντων τοῖς αἰτοῦσιν οὐδέν. Ἐπὶ τίσι δὲ παρ' αὐτῶν ἐζήτει δόματα; « Ἐπὶ πάντα ἅλωνα σίτου. » Ἐδόκει γὰρ ἀνοσίως αὐτοῖς καὶ ἀβούλως τὰς ἐξ ἀγρῶν αἰτεῖν εὐκαρπίας, ὡς ἔφην, ἐκ τῶν διακενῶν σεβασμάτων· « Ἆρ' οὖν ἐζήτει μὲν ὁ Ἰσραὴλ παρὰ τῶν εἰδώλων τὰ δόματα. Ἐκδέδηκε δὲ αὐτῷ κατ' εὐχὴν τὰ αἰτήματα; Οὔμενουν. « Ἅλων γὰρ, καὶ ληνὸς οὐκ ἔγνω αὐτούς, καὶ ὁ οἶνος ἐψεύσατο αὐτούς. » Ἔστι δὲ οὐδὲν τῶν φιλομαθεστέρων ἀμφίλογον, ὅτι λοιμοὶ γεγόνασιν ἐν τῇ Σαμαρείᾳ, ἀφορίαι τε καὶ ἀβροχίαι μακραί. Ἡμάρτηκε δὴ οὖν ἐλπίδος, οὐ λαβὼν τὰ αἰτήματα· καὶ προσέτι τούτῳ, καὶ αὐτῆς ἀπῴχοντο τῆς ἁγίας γῆς, καὶ εἰσῆλθον εἰς Αἴγυπτον, ὡς εἰς χώραν τετειχισμένην, καὶ τοῖς B ἔτι πλείοσι θεοῖς ἐλάτρευον. Μυρία γὰρ ἦν ἐν Αἰγύπτῳ τὰ σεβάσματα, καὶ τῶν θεραπευόντων αὐτὰ θαυμαστή τις ὑπόληψις ἐπὶ δυναστείαις, ὡς ταῖς μαγικαῖς ἐμπειρίαις πάντα κατορθοῦν εὐκόλως δεδυνημένων. Ἀπειρήκασι δὴ οὖν τὸ κατοικεῖν ἐν τῇ ἀπολέκτῳ παρὰ Θεῷ γῇ, καὶ τὴν τῶν εἰδώλων ἠλλάξαντο χώραν. Ἀλλ' εἰ καὶ τοῦτο δεδράκασι, βαδιοῦνται πρὸς Ἀσσυρίους « Οὐκ ἔσπενδον τῷ Κυρίῳ. » Συνενεγκόντες γὰρ ἐν ληνοῖς τὸν ἐξ ἀμπέλου καρπὸν, ἔσπενδον τοῖς δαίμοσι τὰς ἀπαρχὰς, καὶ οὐχὶ τῷ δόντι Θεῷ. Ἀνέφερον δὲ καὶ ἄρτους, ὡς ἐν ἀπαρχῇ θερισμοῦ. Πλὴν εἰς μολυσμὸν καὶ βεβήλωσιν τὸ χρῆμα αὐτοῖς γενήσεται, φησὶ, καὶ ὡς ἄρτους πένθους καταλογισθήσεται τὰ προσκομιζόμενα, τουτέστι, βδελυρά τε, C καὶ βέβηλα, καὶ ἀπηχθημένα. Διὰ ποίαν αἰτίαν; ὁ νόμος μὲν γὰρ ἀκάθαρτον ἐποίει τὸν ἐγγίζοντα νεκρῷ· ἐγγίζοντα δὲ, ἢ καθ' αἵματος οἰκειότητα, ἤγουν καὶ κατ' αὐτὴν τὴν τοῦ σώματος ἁφήν. Ἦν οὖν ἀνάγκη τοὺς κατὰ γένος ἐγγὺς, ἢ φίλους τῶν τετελευτηκότων ἐπὶ τῷ πένθει μιαίνεσθαι, περιέποντας τὸν νεκρὸν, καὶ δρᾷν ἐθέλοντας ἐπ' αὐτῷ τὰ νενομισμένα· πάντα δὲ ἦν ἀκάθαρτα ὧν ἂν αὐτοὺς συνέβη θίγειν. Ἄρτος οὖν πένθους ὁ τοῖς πενθοῦσι νεκρὸν παρακείμενος εἰς τροφήν· οὗ καὶ ἀπογεύεσθαι, πάνδεινον ἐδόκει τοῖς παραιτεῖσθαι μεμελετηκόσι τὸν ἐπὶ νεκρῷ μολυσμόν. Μιαροὶ τοιγαροῦν καὶ ἀπόβλητοι καὶ αὐτοὶ, φησὶν, οἱ ἄρτοι, οἵπερ ἂν προσκομισθεῖεν ὡς ἐν ἀπαρχῇ θερῶν, « Καὶ οἱ ἐσθίοντες αὐτοὺς, μιανθήσονται. » Ἔσονται δὲ χρήσιμοι μᾶλλον ταῖς ψυχαῖς D αὐτῶν, τουτέστιν, εἰς βρῶσιν αὐτοῖς. « Οὐκ εἰσελεύσονται γὰρ εἰς οἶκον Κυρίου. » Εἰδέναι δὲ χρὴ, ὅτι καὶ ὁ νόμος, ἀπαρχὴν θερισμοῦ, δράγματά τε καὶ ἄρτον προσάγειν ἐκέλευεν εἰς θυσίαν. Μετεκόμισε δὲ ὁ Ἰσραὴλ τὰ εἰς δόξαν Θεοῦ τοῖς γλυπτοῖς. Καίτοι Θεοῦ λέγοντος ἐναργῶς· « Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. »

Οὐκοῦν ἀναγκαῖον αἰτεῖν παρὰ Θεοῦ τὰ ζωαρκῆ, καὶ αὐτὸν ὁμολογεῖν δοτῆρα καὶ χορηγὸν ἁπάσης ἡμῖν εὐκαρπίας σωματικῆς καὶ πνευματικῆς· οὐ γάρ ἐστιν ἕτερος παρ' αὐτὸν ὑετίζων, κατὰ τὸ γεγραμμένον, ἀλλὰ τοῖς αὐτοῦ νεύμασι, καὶ τὰ ἐξ ὡρῶν ἀνίσχει κατ' ἀγροὺς, καὶ τῆς ἄνωθεν εὐλογίας ἀνα-

[43] Num. XIX, 22. [44] Exod. XXIII, 19. [45] Levit. VII, 11, 12. [46] Isa. XLII, 8. [47] Jer. XIV, 22.

Digitized by Google

πιμπλάμεθα, τὸν νοητὸν ἄρτον τρεφόμενοι, καὶ οἶνον ἔχοντες τὸν ἐξ οὐρανοῦ, « Τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου. » Ταῦτα φρονεῖν ἠρημένοι, κατοικήσομεν τὴν ἁγίαν γῆν. Ἐσόμεθα γὰρ μετὰ Θεοῦ, καὶ ἐν Ἀσσυρίοις ἀκάθαρτα οὐ φαγόμεθα. Καταβόσκουσι γὰρ ἐν ἀκαθαρσίαις τοὺς προσιόντας αὐτοῖς « Οἱ κοσμοκράτορες τοῦ αἰῶνος τούτου, τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. »

Τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ ἐν ἡμέραις ἑορτῆς Κυρίου;

ιζ'. Ἐπειδὴ γὰρ εἰς τοῦτο, φησὶ, καθίκεσθε δυσβουλίας καὶ ἀσεβημάτων, βδελυροὶ δὲ οὕτω γεγόνατε, καὶ ἀπηχθημένοι, ποῖος ὑμῖν ἄρα βοηθήσει τρόπος; ἢ τί πεπραχότες καὶ βουλευσάμενοι, τῆς οὕτω δεινῆς καὶ ἀγρίας ἐκνεύσετε συμφορᾶς, ὅταν ἡ ἐμὴ τελῇται πανήγυρις, δαπανῶντος τοῦ πολέμου τοὺς B λελυπηκότας; Οὐκοῦν ἑορτὴν ἰδίαν ὀνομάζει ὁ Θεὸς, τὸν καιρὸν δηλονότι, καθ' ὃν ὁ Ἰσραὴλ ἐξαιτοῖτο δίκας τῶν εἰς αὐτὸν πεπλημμεληκότων.

Χρὴ τοιγαροῦν μὴ ἁπλῶς τὸ δοκοῦν ἀπερισκέπτως ἐπιτελεῖν, καὶ τοῖς παροῦσιν ἐφήδεσθαι, συναρπαζομένους ταῖς ἐπιθυμίαις εἰς τὸ προσκρούειν Θεῷ, περιαθρεῖν δὲ μᾶλλον καὶ τὰ ἐσόμενα, καὶ διεκδύνειν ἐπείγεσθαι τὰ ἐκ θείας ὀργῆς· ἐσόμεθα γὰρ οὕτω σοφοὶ, καὶ τῶν συμφερόντων ἐπιστήμονες.

Διὰ τοῦτο ἰδοὺ πορεύονται ἐκ ταλαιπωρίας Αἰγύπτου, καὶ ἐκδέξεται αὐτοὺς Μέμφις, καὶ θάψει αὐτοὺς Μαχμάς. Τὸ ἀργύριον αὐτῶν ἔλεθρος κληρονομήσει, ἄκανθαι ἐν τοῖς σκηνώμασιν αὐτῶν.

C

ιη'. Καταδηούντων τὴν Σαμάρειαν τῶν Βαβυλωνίων, οἱ διαφυγεῖν ἰσχύσαντες, μόλις ἀπέδραμον εἰς τὴν Αἰγυπτίων. Ἀλλὰ καὶ αὐτὴν ἑλόντων τὴν Ἱερουσαλὴμ, ἐν χρόνοις τῆς Ἱερεμίου προφητείας, εὐαρίθμητοι κομιδῇ κατελείφθησαν ἐκ τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίν. Οὗτοί τε εἰσῆλθον εἰς Αἴγυπτον, καίτοι παρεγγυῶντος Θεοῦ διὰ φωνῆς Ἱερεμίου, καὶ λέγοντος ἐναργῶς, μὴ χρῆναι βαδίζειν τὴν ἐνεγκοῦσαν ἀφέντας εἰς τὴν Αἰγυπτίων, ἠπειληκότος δὲ, ὅτι κἂν εἰ τοῦτο δρῷεν παρὰ τὸ αὐτῷ δοκοῦν, περιπεσοῦνται τοῖς ἴσοις, ἢ τοῖς ἔτι φορτικωτέροις. Ἔχει δὲ οὕτω τὸ γεγραμμένον· « Οὕτως εἶπε Κύριος· Ἐὰν ὑμεῖς δῶτε τὸ πρόσωπον ὑμῶν εἰς Αἴγυπτον καὶ εἰσέλθητε ἐκεῖ τοῦ κατοικεῖν, καὶ ἔσται, ἡ ῥομφαία ἣν ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐτῆς, εὑρήσει ὑμᾶς ἐν Αἰγύπτῳ. » Ἐπειδὴ γὰρ ταῖς Αἰγυπτίων ἐπικουρίαις ἐπιθαρσήσαντες ἀντεφέροντο τοῖς Βαβυλωνίοις, ταύτῃτοι ἐλυπημένοι μετὰ τὴν τῶν Ἱεροσολύμων καὶ τῆς Σαμαρείας ἅλωσιν, ἐτράποντο κατὰ τῶν Αἰγυπτίων οἱ Βαβυλώνιοι, καὶ ἀμογητὶ νενικήκασι, τότε συμβέβηκε τοὺς περιλειφθέντας ἐξ Ἰουδαίων συνδιόλλυσθαι τοῖς Αἰγυπτίοις. Οἱ δὲ δὴ διαφυγεῖν τὴν ἐν Αἰγύπτῳ ταλαιπωρίαν ἰσχύσαντες, μόλις ἐπέκεινα δεδραμήκασιν, ἐπὶ τὴν Ἀρκάδων ἰόντες χώραν. Καὶ ὡς εἰς πόλιν ὀχυρωτάτην κατῳκήκασι τὴν Μέμφιν, καὶ τὴν Μαχμὰς, ἑτέρα δὲ αὖτη γείτων που πάντως,

A superna benedictione replemur, pane sub intelligentiam cadente nutriti, et vinum habentes cœleste, « quod lætificat cor hominis[48]. » Ita affecti, terram sanctam habitabimus. Erimus enim cum Deo, et inter Assyrios immundis non vescemur. Pascunt enim in immunditiis ad se accedentes « principes mundi hujus, spiritualia nequitiæ in cœlestibus[49]. »

129 *Quid facietis in die conventus, et in diebus solemnitatis Domini?*

XCVII. Quoniam enim huc usque male vobis consulendo et impie agendo processistis, adeoque detestabiles et odiosi evasistis, quonam modo vobis succurretur? aut quid incipietis, quidve consilii capietis, ut tam diram et atrocem calamitatem effugiatis, quando scilicet bello absumente qui me offenderant, celebritas mea peragetur? Itaque solemnitatem suam vocat Deus, tempus videlicet, quo Israel suorum in ipsum peccatorum pœnas sit daturus.

Quamobrem quod lubescit, non simpliciter et inconsiderate exsequendum, et præsentibus gaudendum est, si nos cupiditates nostræ ad Dei offensam pertrahant; sed futura potius circumspicienda, curandumque sedulo, uti suppliciis ab irato Deo immittendis eluabamur. Sic enim sapientes et utilitatis nostræ scientes erimus.

Vers. 5, 6. *Propter hoc ecce ibunt ex miseria Ægypti, et suscipiet eos Memphis, et sepeliet eos Machmas. Argentum enim eorum interitus hæreditabit; spinæ in tabernaculis eorum.*

XCVIII. Vastantibus Samariam Babyloniis, qui effugere potuerunt, vix in Ægyptum penetrarunt. Qui cum et ipsam Hierosolymam, Jeremia vaticinante, evertissent, paucissimi de tribu Juda et Benjamin relicti, in Ægyptum se contulerunt; tametsi Deus per Jeremiam expresse jubens dixerat, non esse illis patria deserta ingrediendam Ægyptum, comminatus insuper, si id se nolente fecissent, in similes, aut etiam graviores calamitates incursuros. Sic autem est ad verbum: « Sic dixit Dominus: Si vos dederitis faciem vestram in Ægyptum, et ingressi fueritis illuc ut habitetis; et erit, gladius quem vos formidatis a facie ejus, inveniet vos in Ægypto[50]. » Postquam enim Ægyptiorum auxiliis freti, Babyloniis restiterunt, eaque re irritati Babylonii, Hierosolyma et Samaria subjugatis, in Ægyptios moverunt, ac nullo negotio de iis triumpharunt, tum qui restabant Judæi simul cum Ægyptiis perierunt. Quibus autem miseriam Ægyptiam fuga vitare licuit, tandem in Arcadum regionem venerunt, et Memphim urbem, ut munitissimam, incoluerunt, **130** Machmas item aliam urbem, et vicinam plane, et reliquis florentiorem. Ibi quoque, confectis videlicet longis vitæ spatiis, obierunt, cum in Judæam reverti nequivissent. Ait porro rursum Jeremias his verbis: « Propter hoc sic dicit Domi-

[48] Eccli. xl, 20. [49] Ephes. vi, 12. [50] Jer. xl, 15, 16.

Digitized by Google

nus : Ecce ego pono faciem meam, ut disperdam omnes reliquos in Ægypto, et cadent in gladio, et in fame deficient a parvo usque ad magnum, et erunt in opprobrium, et in perditionem, et in maledictionem. Et visitabo super sedentes in terra Ægypti. Et non erit salvatus ullus de reliquis Juda peregrinantibus in terra Ægypti, ut revertatur in terram Juda, ad quam ipsi sperant animabus suis reverti illuc. Non revertentur [81]. » Audis mortuos esse in Ægypto, etiam illic divina eos ultione persequente? Cum igitur miseria in Ægypto declinata, Memphim, ut in urbem præclaram advenerint, suscipiet quidem eos; verumtamen in Machmas morientur. Hoc enim sibi vult, « Sepellet eos Machmas. » Quocirca infesto Deo, nemo periculis agitatum ad salutem pristinam revocabit; sed quocunque iverit quispiam, ejus iram experietur. Et hæc quidem ipsis in Ægypto futura narrat. Quoniam vero etiam e divitiis suis eum offenderunt, « Argentum enim et aurum suum fecerunt sibi idola [82], » inquit, idcirco ipsum jure interitus hæreditabit, hoc est, sors erit vastatori : interitum enim vocat Assyrium, ut qui ferus et crudelis in exscindendo præliandoque fuerit. Producentur autem et « spinæ, inquit, in tabernaculis eorum. » Ad tantam quippe solitudinem redactæ sunt urbes, ut spinis replerentur, quod terræ inviæ et desolatæ signum est.

Quando igitur bonis aut corporalibus, aut spiritualibus a Deo suppeditatis quispiam nec recte, nec ad ejus gloriam utitur, facit autem citra ullam religionem, quibus eum offendere et irritare convincatur, abibit in exitium, eritque peculium diripientis Satanæ, et spinarum domicilium, immanium scilicet et cum ratione pugnantium cupiditatum, et fructus mites in animo suo non habebit. Contingit hoc, et quidem hæreticis ante omnes, qui sermonem impie in fratribus corrumpendis, **131** et infirma eorum conscientia percutienda consumunt, quamvis Christus pro nobis mortuus sit.

VERS. 7. *Venerunt dies ultionis, venerunt dies tribulationis tuæ, et affligetur Israel sicut propheta insaniens, homo qui habet spiritum.*

XCIX. Solebant Israelitæ sanctorum prophetarum sermones repudiare, quæque a Deo mandabantur, pro nihilo putare, quanquam toties illis mala eventura prædixisset. Itaque alicubi prophetam Ezechielem sic compellat : « Fili hominis, ecce domus Israel exasperans; dicentes dicunt : Visio quam iste videt, in dies multos, et in tempora longa iste prophetat. Propterea dic ad eos : Hæc dicit Adonai Dominus : Non prolongabuntur ultra omnia verba mea, quæcunque locutus fuero. Quia loquar verbum, et

[81] Jerem. XLIV, 11-14. [82] Osee VIII, 4.

καὶ τῶν ἄλλων ἐπισημοτέρα πόλις. Ἐκεῖ καὶ τετελευτήκασι, μακροὺς δηλονότι διατελέσαντες χρόνους, ὑπονοστῆσαί τε μὴ δυνηθέντες εἰς τὴν Ἰουδαίαν. Ἔφη δὲ οὕτω πάλιν ὁ προφήτης Ἱερεμίας· « Διὰ τοῦτο οὕτως εἶπε Κύριος· Ἰδοὺ ἐγὼ ἐφίστημι τὸ πρόσωπόν μου, τοῦ ἀπολέσαι πάντας τοὺς καταλοίπους τοὺς ἐν Αἰγύπτῳ, καὶ πεσεῖται ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ ἐκλείψουσιν ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἔσονται εἰς ὀνειδισμὸν, καὶ εἰς ἀπώλειαν, καὶ εἰς κατάραν. Καὶ ἐπισκέψομαι ἐπὶ τοὺς καθημένους ἐν γῇ Αἰγύπτῳ. Καὶ οὐκ ἔσται σεσωσμένος οὐδεὶς τῶν ἐπιλοίπων Ἰούδα, τῶν παροικούντων ἐν γῇ Αἰγύπτῳ, τοῦ ἐπιστρέψαι εἰς γῆν Ἰούδα, ἐφ' ἣν αὐτοὶ ἐλπίζουσι ταῖς ψυχαῖς αὐτῶν τοῦ ἐπιστρέψαι ἐκεῖ. Οὐ μὴ ἐπιστρέψωσιν. » Ἀκούεις ὅτι τετελευτήκασιν ἐν Αἰγύπτῳ, κἀκεῖ τῆς θείας αὐτοῖς ὀργῆς ἐπενηνεγμένης; Ὅταν τοίνυν τὴν ἐν Αἰγύπτῳ ταλαιπωρίαν παραιτούμενοι, καθάπερ εἰς ἐπίσημον πόλιν ἀφίκοιντο τὴν Μέμφιν, ἐκδέξεται μὲν αὐτοὺς, πλὴν ἐν Μαχμὰς τεθνήξονται. Τοῦτο γὰρ τὸ, « Θάψει αὐτοὺς Μαχμάς. » Ὅταν τοίνυν διώκῃ Θεὸς, οὐδεὶς ἀνασώσει τὸν κινδυνεύοντα, ἀλλ' ἔνθαπερ ἂν ᾖ τις, ἐκεῖ περιτεύξεται τῷ θυμῷ. Καὶ ταυτὶ μὲν αὐτοῖς ἐν Αἰγύπτῳ συμβήσεσθαι λέγει. Ἐπειδὴ δὲ καὶ τοῖς ἐξ ἰδίου πλούτου λελυπήκασι, « Τὸ γὰρ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον ἐποίησαν ἑαυτοῖς εἰδωλα, » φησὶ, ταύτῃτοι δικαίως ὄλεθρος αὐτὸν κληρονομήσει, τουτέστι, κλῆρος ἔσται τῷ ὀλοθρευτῇ. Ὄλεθρον γὰρ ἀποκαλεῖ τὸν Ἀσσύριον, ὡς ἀγρίως τε, καὶ ἀπηνῶς ἀνελόντα καὶ μεμαχημένον. Ἀναφύσονται δὲ καὶ « Ἄκανθαι, φησὶν, ἐν τοῖς σκηνώμασιν αὐτῶν. » Ἐρημίας γὰρ εἰς τοῦτο κατηντήκασιν αἱ πόλεις, ὡς ἀκανθῶν γενέσθαι μεστάς. Σημεῖον δὲ τοῦτο γῆς ἀδάτου καὶ κεχερσωμένης.

Ὅταν τοίνυν τοῖς παρὰ Θεοῦ δοθεῖσιν ἀγαθοῖς, ἢ σωματικοῖς, ἢ πνευματικοῖς μὴ δὴ χρῷτό τις ὀρθῶς, μήτε μὴν εἰς δόξαν αὐτοῦ, πράττοι δὲ ἀπερισκέπτως τὰ δι' ὧν ἂν προσκρούοι, καὶ ἀλίσκοιτο λυπῶν, κατοικήσεται μὲν εἰς ὄλεθρον, ἔσται δὲ κλῆσις τοῦ διαρπάζοντος Σατανᾶ, καὶ ἀκάνθης ἐναύλισμα, ἀγρίων δηλονότι, καὶ ἐκτόπων ἐπιθυμιῶν· καὶ καρποὺς ἡμέρους οὐκ ἂν ἔχοι κατὰ τὸν νοῦν. Πάθοιεν δ' ἂν τοῦτο καὶ πρό γε τῶν ἄλλων αἱρετικοὶ, τὴν τοῦ λόγου χρείαν δαπανῶντες δυσσεβῶς εἰς τὸ παραλύειν ἀδελφοὺς, καὶ τύπτειν αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν, καίτοι Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν.

Ἥκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως, ἥκασιν αἱ ἡμέραι τῆς ἀνταποδόσεώς σου, καὶ κακωθήσεται Ἰσραὴλ ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκὼς, ἄνθρωπος ὁ πνευματοφόρος.

ΙϞΘ'. Ἔθος ἦν τοῖς ἐξ Ἰσραὴλ τοὺς τῶν ἁγίων προφητῶν ἀποσείεσθαι λόγους, καὶ οὐδὲν ἡγεῖσθαι τὰ παρὰ Θεοῦ, καίτοι πολλάκις ὅτι παθεῖν αὐτοῖς συμβήσεται τὰ δεινὰ περιηγορευκότος· καὶ γοῦν ὁ τῶν ὅλων Θεὸς προσπεφώνηκέ που τῷ προφήτῃ Ἰεζεχιὴλ, λέγων· « Υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν· Ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. Διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς· Τάδε λέγει Ἀδωναῖ Κύριος· Οὐ μὴ μηκύνωσιν οὐκέτι

Digitized by Google

πάντες οἱ λόγοι μου, οὓς ἂν λαλήσω. Ὅτι λαλήσω λόγον, καὶ ποιήσω, λέγει Ἀδωναῖ Κύριος. » Τοιοῦτό τί φησι κἀνθάδε. « Ἦκασι γὰρ, φησίν, αἱ ἡμέραι τῆς ἐκδικήσεως. » Ὅμοιον ὡς εἰ λέγοι, ἐγγὺς ἡ δίκη, καὶ ἐπ' αὐταῖς ἤδη θύραις ὁ ἀγών, γείτων ἡ συμφορὰ, καὶ ἐν ὀφθαλμοῖς ὁ πόλεμος. Ἐνέστηκεν ἡ τῆς ἀντ-αποδόσεως ἡμέρα. Κακουμένῳ δέ σοι,·φησὶν, ὦ Ἰσραὴλ, συγκακωθήσεται πάντως, καὶ ἐν ἴσῳ τρόπῳ μεθέξει τῆς δίκης, ὁ πᾶς ἐν σοὶ ψευδοπροφήτης, ὁ παρεξεστηκὼς ἄνθρωπος, τουτέστιν, ὁ ἔνθους καὶ μαινόμενος, καὶ ἀπολωλεκὼς τὰς φρένας, ὃν σὺ νενόμικας εἶναι πνευματοφόρον. Ὁμοῦ γὰρ τοῖς ἄλλοις διαλώλασι οἵ τε ἱερεῖς τῶν ὑψηλῶν, καὶ οἱ τῶν εἰδώλων θεραπευταὶ, καὶ πάντες, ὅσοι ψευδοεπεῖς τε καὶ ψευδομάντεις ἦσαν ἐν τῷ Ἰσραήλ. Ἐπειδὴ γὰρ μαίνεσθαι προσεποιοῦντο τὰς μαντείας ποιησόμενοι, καὶ φοιβᾷν ὑπεκρίνοντο, ταύτῃτοι καὶ ἄνθρωπον παρεξεστηκότα τὸν τοιοῦτον ὀνομάζει.

A faciam, dicit Adonai Dominus [83]. » Tale quiddam et hic loquitur : « Venerunt dies ultionis. » Ac si dicat, prope est ultio, et jam in ipsis foribus discrimen : vicina clades, et bellum ante oculos est. Retributionis dies adest. Dum tu autem affligeris, Israel, omnino et æquali pœna tecum affligetur omnis pseudopropheta apud te, homo de statu mentis dimotus, hoc est, fanaticus, et insanus, et qui mentem perdidit, quem tu putasti spiritualem. Simul siquidem cum aliis perierunt sacerdotes excelsorum, et cultores idolorum, et quotquot mendaces et falsi vates erant in Israel. Quia enim vaticinaturi furere se simulabant, et quasi Phœbæo numine afflatos fingebant, ideo et hominem insanum seu mente captum istiusmodi nominavit.

Ὑπὸ τοῦ πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία σου.

B *Præ multitudine iniquitatum tuarum multiplicata est insania tua.*

Γ'. Πλῆθος ἀδικίας φησὶν, οἱονεὶ τὴν πολύτροπόν τε καὶ πολυειδῆ θρησκείαν τοῦ Ἰσραήλ. Ἐνὶ μὲν λόγῳ, πεπλάνηντο, καὶ πάντες ἦσαν εἰδωλολάτραι. Πλὴν ἐμερίζαντο τοὺς τῆς πλανήσεως τρόπους, ἄλλοι τε ἄλλοις προσῆγον τὰς τελετὰς, καὶ τοῖς προσιοῦσιν ἐποιοῦντο τὰς ψευδομαντείας. Οἱ μὲν γὰρ ταῖς δαμάλεσιν ἐλάτρευον· οἱ δὲ τῷ Χαμὼς, εἰδώλῳ Μωάβ· ἕτεροι δὲ τῇ Ἀστάρτῃ. Ἦσαν δὲ, οἳ καὶ τῷ Βάαλ, καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Ταύτῃτοι Θεὸς ἐπῃτιᾶτο, λέγων διὰ φωνῆς Ἱερεμίου, ὅτι « Κατὰ ἀριθμὸν πόλεών σου, ἦσαν θεοί σου, Ἰούδα. » Ἑκάστη γὰρ πόλις τῶν παρ' αὐτοῖς ἴδιον ἔχειν ὡμολόγει θεόν. Τοῦτο αὐτὸ « Πλῆθος ἀδικίας » ὀνομάζει δικαίως. Ἀδίκημα γὰρ ἀληθῶς, καὶ ὕβρις εἰς Θεὸν, τὸ ἀποφοιτᾷν μὲν αὐτοῦ, προσκεῖσθαι δὲ ξύλοις τε καὶ λίθοις, καὶ « Τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ, » καθάπερ γέγραπται. Μανίαν δὲ λέγει τὴν μαντείαν. Οὐκοῦν ἐπειδήπερ πλῆθος ἀδικίας εὕρηται ἐν σοὶ, φησὶ, ταύτῃτοι καὶ παρὰ σοὶ πεπλήθυνται μανία, τουτέστιν, ἡ ψευδομαντεία, ἑκάστου κατὰ τὸ εἰκὸς τῶν ψευδομάντεων ἴδιον ἔχοντος τρόπον, καθ' ὃν ἐμαντεύετο. Ἔκτοπον οὖν ἄρα, καὶ παράνομον, καὶ βέβηλον ἀληθῶς, καὶ οὐκ ἀνικάνως ἔχον, εἴς γε τὸ δύνασθαι λυπεῖν, καὶ παροτρύναι δεινῶς τὸν τῶν ὅλων Θεὸν, τὸ ψευδοεπείαις προσκεῖσθαι φιλεῖν, τῶν λαλεῖν εἰωθότων « Τὰ ἀπὸ καρδίας αὐτῶν, » καθὰ γέγραπται, « καὶ οὐκ ἀπὸ στόματος Κυρίου. » Παραφυλακτέον δὴ οὖν Χριστιανοῖς τὸ πλημμέλημα. Μόνοις γὰρ ἂν πρέποι τὸ τοιάδε νοσεῖν τοῖς τῶν ἁγίων θεραπευταῖς.

C. Multitudinem iniquitatis nominat quasi multimodam et multiformem superstitionem Israelis. Uno verbo, corrupti erant omnes et idololatræ. Verumtamen secundum modos deceptionis divisi, alii aliis sacra faciebant, et se convenientibus falsa prædicabant. Nam quidam vitulos, quidam Chamos idolum Moab, alii Astarten colebant. Non deerant item qui Baal et militiam cœli in deorum numero venerarentur. Idcirco Deus incusans eos, per Jeremiam ait : **132** « Secundum numerum civitatum tuarum erant dii tui, Juda [84]. » Unaquæque enim urbs illorum proprium deum habere se profitebatur. Hoc ipsum « multitudinem iniquitatis » convenienter appellat. Vere enim iniquitas est in Deum, et injuria, ab illo recedere, et lignis, lapidibus atque « operibus manuum suarum [85], » ut scriptum est, colendis deditum esse. Insaniam autem nuncupat vaticinationem. Quare, quoniam multitudo iniquitatis in te inventa est, inquit, idcirco et apud te multiplicata est insania, id est, vaticinatio, unoquoque falso vate, ut consentaneum est, suum vaticinandi modum habente. Absurdum ergo et iniquum est revera, et quod satis sit ad graviter offendendum et irritandum Deum universorum, libenter attendere falsis sermonibus solitorum loqui « de corde suo, » sicut scriptum est, « et non de ore Domini [86]. » Cavendum igitur Christianis peccatum. Solos enim sanctarum rerum cultores ad hujusmodi languere et infirmos esse condecet.

Σκοπὸς Ἐφραὶμ μετὰ Θεοῦ προφήτης, παγὶς σκολιὰ ἐπὶ πάσας τὰς ὁδοὺς αὐτοῦ.

Vers. 8. *Scopus Ephraim cum Deo propheta, laqueus tortuosus super omnes vias ejus.*

ΡΑ'. Σκοποὺς ὀνομάζειν ἔθος τῇ θείᾳ Γραφῇ τοὺς τῶν λαῶν προεστηκότας, ὑφοῦ τε ἡρμένους διὰ τιμὴν, οἷς ἂν καὶ ἐνορᾷη τις, εἰ δὴ βούλοιτο τὸν ὀρθὸν καὶ ἀνεπίπληκτον διαζῆσαι βίον. Καὶ γοῦν ἔφη που Θεὸς πρὸς τὸν μακάριον προφήτην Ἰεζεχιὴλ · « Υἱὲ ἀνθρώπου, σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ, καὶ

CI. Solet divina Scriptura scopos nominare præsides et moderatores populi, et in sublimi dignitatum gradu collocatos, in quos intueatur qui rectam et inculpatam vitam degere velit. Quare alicubi Deus ad beatum prophetam Ezechielem : « Fili hominis, scopum dedi te domui Israel, et sermonem audies

[83] Ezech. xii, 27, 28. [84] Jer. ii, 28. [85] Osee xiv, 4. [86] Jer. xxiii, 16.

Digitized by Google

ex ore meo, et minaberis eis a me [57]. » Usitatum enim erat his scopis, non solum iis quos instituerent, ad descriptionem et formam virtutis, una cum legibus suam ipsorum vitam proponere, sed etiam optima præcepta tradere, et Dei voluntatem probe interpretari. Cæterum alii quidem scopis bonis subjecti, directum iter officii ambulantes salvabantur; alii pravis et improbis hominibus animorum suorum momenta committentes, seducere et seduci perseverabant, mente ab omni opere bono et cognitione vera inanes. Propter hujuscemodi tribules Ephraim, sive Israelem et nunc castigat. « Factus est enim illi scopus, inquit, cum Deo propheta. » Quasi dicat, cujusque Dei falsi, falsus propheta. Ut enim supra dixi, in multiplices errores dispertiti fuerunt. Et alii quidem servierunt Baal, alii Chamos, sive Beelphegor : **133** et in quolibet fano formatum et manufactum simulacrum aliquod idolumque cernebatur, cui assidebat assiduoque serviebat pseudopropheta proprius, eratque apud eos genus vaticinandi varium. Et eructabant accedentibus quod volebant, sine ratione tanquam conducibile et necessarium. Quoniam igitur factus est scopus tribulibus Ephraim cum unoquoque falso deo etiam propheta proprius, idcirco postea ad quidvis turpissimum impotenter se dederunt. Hoc illis factum est « et laqueus tortuosus. » Non enim poterant dirigi, et recta unquam incedere in tot deorum cultum prolapsi, ut cum quolibet deo et proprium prophetam haberent, et insuper scopum sibi facerent, qui eos a pietate erga Deum abducebat, et in foveam perditionis præcipitabat. Volentes igitur legibus convenienter vivere, auscultare debent non docentibus simpliciter, nec loquentibus de corde suo [58], sed quibus divina et superna gratia sinceræ erga Deum charitatis testimonium dederit. Hinc et Christus : « Attendite, inquit, a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces [59]. »

A crudelibus autem feris parum discrepare non falso affirmamus impiarum hæresum inventores et patronos, qui ore diducto Israelem devorant. Quodammodo enim consumunt simpliciorum animas, fallaciæ dentibus eos comminuentes. Dicatur itaque a nobis etiam : « Deus conteret dentes eorum in ore ipsorum; molas leonum confregit Dominus. Ad nihilum devenient, ut aqua decurrens. Intendet arcum suum donec infirmentur [60]. »

VERS. 9. *Insaniam in domo Dei defixerunt. Corrupti sunt secundum dies collis. Recordabitur iniquitatis eorum, ulciscetur peccata eorum.*

CII. Insaniam et hic more solito falsas prædictiones nominat, domum autem Domini Israelem. Dictum est igitur quodam loco per Jeremiam ad Judæorum Synagogam, velut ex persona Dei : « Nonne

ἀκούσῃ ἐκ στόματός μου λόγον, καὶ διαπειλήσῃ αὐτοῖς παρ' ἐμοῦ. » Ἔθος γὰρ τοῖσδε σκοποῖς, οὐχὶ μόνον τοῖς παιδευομένοις πρὸς ὑποτύπωσιν ἀρετῆς, ἤτοι πολιτείας σὺν νόμοις τὸν ἑαυτῶν προτιθέναι βίον, ἀλλὰ γὰρ καὶ εἰσηγεῖσθαι τὰ χρήσιμα, καὶ τὸ τῷ Θεῷ δοκοῦν διερμηνεύειν ὀρθῶς. Ἀλλ' οἱ μὲν ὑπὸ σκοποὺς ὄντες ἀγαθοὺς, κατ' εὐθὺ τοῦ πρέποντος ἰόντες, ἐσώζοντο· οἱ δὲ πονηροῖς καὶ ψαύλοις ἀνδράσι τῆς ἑαυτῶν διανοίας προσνέμοντες τὴν ῥοπὴν, πλανῶντές τε, καὶ πλανώμενοι διετέλουν, καὶ ἁπάσης ἀγαθουργίας καὶ γνώσεως ἀληθοῦς ἐξῳκισμένον ἔχοντες τὸν νοῦν. Οὕτω πεπονθότας καταιτιᾶται καὶ νῦν τοὺς ἐκ τῆς φυλῆς Ἐφραΐμ, ἤτοι τὸν Ἰσραήλ. « Γέγονε γὰρ αὐτῷ, φησὶ, σκοπὸς μετὰ Θεοῦ προφήτης. » Ὅμοιον ὡς εἰ λέγοι, καθ' ἕκαστον τῶν ψευδωνύμων θεῶν, καὶ ψευδόμαντις ἰδικός. Ὡς γὰρ ἤδη προεῖπον, εἰς πολύτροπον ἐμερίζοντο πλάνην. Καὶ οἱ μὲν λελατρεύκασι τῷ Βάαλ· οἱ δὲ τῷ Χαμὼς, ἤγουν τῷ Βεελφεγώρ. Καὶ ἐν ἑκάστῳ τεμένει πεπλαστούργητό τι καὶ χειρόκμητον ἄγαλμά τε καὶ βρέτας, καὶ ὁ προσεδρεύων ἑκάστῳ ψευδοπροφήτης ἰδικὸς, καὶ διάφορος παρ' αὐτοῖς ὁ τῆς μαντείας ἦν τρόπος. Ἠρεύγοντο δὲ τοῖς προσερχομένοις τὸ δοκοῦν ἁπλῶς ὡς χρήσιμόν τε καὶ ἀναγκαῖον. Οὐκοῦν ἐπειδήπερ γέγονε σκοπὸς τοῖς ἐξ Ἐφραΐμ μεθ' ἑκάστου τῶν ψευδωνύμων θεῶν, καὶ προφήτης ἰδικὸς, ταύτῃτοι λοιπὸν πρὸς πᾶν ὁτιοῦν τῶν αἰσχίστων ἀσχέτως ἀπονενεύκασι. Τοῦτο γέγονεν αὐτῷ « καὶ παγὶς σκώλια. » Οὐ γὰρ ἦν κατευθύνεσθαι, καὶ ὀρθῶς βαδίζειν δύνασθαι ποτε τοὺς εἰς τοσαύτην πολυθεΐαν ὠλισθηκότας, ὡς σὺν ἑκάστῳ Θεῷ καὶ προφήτην ἔχειν ἰδικόν· καὶ προσέτι, ποιεῖσθαι σκοπὸν, τὸν τῆς εἰς Θεὸν εὐσεβείας ἀποκομίζοντα, καὶ τοῖς τῆς ἀπωλείας ἐνιέντα βόθρους. Προσεκτέον δὴ οὖν τοῖς ἐθέλουσι βιοῦν ἐννόμως, οὐχὶ τοῖς διδάσκουσιν ἁπλῶς, οὐδὲ τοῖς λαλοῦσι τὰ ἀπὸ καρδίας αὐτῶν, ἀλλ' οἷς ἂν ἡ θεία καὶ ἄνωθεν ἐπιμαρτυρήσῃ χάρις τῆς εἰς Θεὸν ἀγάπης τὸ γνήσιον. Τοιγάρτοι καὶ ὁ Χριστός· « Προσέχετε, φησὶν, ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. »

Θηρῶν γὰρ ἀγρίων ὀλίγα διενεγκεῖν φαμεν ἀληθεύοντες, τοὺς τῶν ἀνοσίων αἱρέσεων εὑρετὰς, καὶ προεστηκότας, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι. Δαπανῶσι γὰρ ὥσπερ τὰς τῶν ἁπλουστέρων ψυχὰς, τοῖς τῆς ἀπάτης ὀδοῦσι συντρίβοντες. Εἰρήσθω δὴ οὖν καὶ πρὸς ἡμῶν· « Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος. Ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον. Ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσωσιν. »

Μανίαν ἐν οἴκῳ Κυρίου κατέπηξαν. Ἐφθάρησαν κατὰ ἡμέρας τοῦ βουνοῦ. Μνησθήσεται ἀδικίας αὐτῶν, ἐκδικήσει ἁμαρτίας αὐτῶν.

ΡΒ'. Μανίαν κἀνθάδε συνήθως φησὶ τὴν ψευδομαντείαν. Κυρίου δὲ οἶκον ὀνομάζει τὸν Ἰσραήλ. Καὶ γοῦν εἴρηταί που διὰ φωνῆς Ἱερεμίου πρὸς τὴν τῶν Ἰουδαίων Συναγωγὴν, ὡς ἐκ προσώπου τοῦ Θεοῦ·

[57] Ezech. III, 17. [58] Jer. XXIII, 16. [59] Matth. VII, 15. [60] Psal. LVII, 7, 8.

Digitized by Google

« Οὐχ ὡς οἰκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἀρχηγὸν τῆς παρθενίας σου; » Καταπλήττεται δὴ οὖν τῆς ἀποπληξίας τὸ μέγεθος, καὶ τῶν ἀτόπων ἐγχειρημάτων τὴν ὑπερβολήν. Ἐληλάκασι γὰρ πρὸς τοῦτο λοιπὸν ἀνοσιότητος, φησὶν, ὡς μανίαν ἐν οἴκῳ Κυρίου καταπῆξαι, τουτέστι, ψευδομαντείαν, καὶ τὰ τοῖς θείοις νόμοις ἀπηγορευμένα πλημμελεῖν. Εὖ δὲ δὴ καὶ τὸ « κατέπηξαν » φησί. Οὐ γὰρ πέπαυται τολμηθὲν εἰσάπαξ, ἀλλ' οἱονεὶ πέπηγε καὶ ἐνεδοθρεύθη λοιπὸν τῆς δυσσεβείας τὸ χρῆμα· οὐ γὰρ κατέληξε ψευδομάντεις ἔχων καὶ ψευδοπροφήτας ὁ Ἰσραήλ. Ἐπειδὴ δὲ τὰ τοιάδε τετολμήκασιν, εἰκότως ὧν ἔδρασαν ἐξαιτούμενοι δίκας, « Ἐφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ. Μεμνήσεται γὰρ τῆς ἀδικίας αὐτῶν, καὶ ἐκδικήσει πάσας τὰς ἁμαρτίας αὐτῶν. » Καὶ τί δὴ τοῦτό ἐστι τὸ, « Ἐφθάρησαν κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ, » φέρε, διὰ βραχέων ὑπομνήσωμεν. Γέγραπταί τι τοιοῦτον ἐν τῇ βίβλῳ τῶν Κριτῶν, ἐπιτομάδην δὲ ἅπασαν, ὡς ἔνι, ποιήσομαι τὴν ἀφήγησιν, καὶ μακροτέραν οὖσαν συστελῶ. « Ἐν ταῖς ἡμέραις ἐκείναις, φησὶν, οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ, ἀνὴρ τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ ἐποίει. Καὶ ἐγενήθη νεανίας ἐκ Βηθλεὲμ, δήμου Ἰούδα, καὶ αὐτὸς Λευΐτης, καὶ οὗτος παρῴκει ἐκεῖ. Καὶ ἐπορεύθη ὁ ἀνὴρ ἀπὸ Βηθλεὲμ τῆς πόλεως Ἰούδα, παροικῆσαι ἐν ᾧ ἂν εὕρῃ τόπῳ. Καὶ ἦλθεν ἕως ὄρους Ἐφραΐμ, καὶ ἕως ἦκου Μιχαίου, τοῦ ποιῆσαι ὁδὸν αὐτοῦ. Καὶ εἶπεν αὐτῷ Μιχαίας· Πόθεν ἔρχῃ; Καὶ εἶπε πρὸς αὐτὸν Λευΐτης· Ἐγώ εἰμι ἀπὸ Βηθλεὲμ Ἰούδα, καὶ ἐγὼ πορεύομαι κατοικῆσαι ἐν ᾧ ἂν εὕρω τόπῳ. Καὶ εἶπεν αὐτῷ Μιχαίας· Κάθου μετ' ἐμοῦ, καὶ γίνου μοι εἰς πατέρα καὶ εἰς ἱερέα· καὶ ἐγὼ δώσω σοι δέκα ἀργυρίους εἰς ἡμέραν, καὶ στολὴν ἱματίων, καὶ τὰ πρὸς ζωήν σου. Καὶ ἐπορεύθη ὁ Λευΐτης, καὶ ἤρξατο παροικεῖν παρὰ τῷ ἀνδρί. Καὶ ἐγενήθη ὁ νεανίας παρ' αὐτῷ ὡς εἷς ἀπὸ υἱῶν αὐτοῦ. Καὶ ἐπλήρωσε Μιχαίας τὴν χεῖρα τοῦ Λευΐτου, καὶ ἐγενήθη αὐτῷ εἰς ἱερέα, καὶ ἐγένετο ἐν οἴκῳ Μιχαίου. » Εἰδωλολάτρης μὲν οὖν ὁ Μιχαίας, κατεμισθοῦτό γε μὴν τὸν ἐξ αἵματος τοῦ Λευΐ, καὶ θεραπευτὴν ἐποίει γλυπτοῦ, καὶ ταῖς τῶν εἰδώλων ἀνετέθει χρείαις. Καὶ τί μετὰ τοῦτο γενέσθαι συμβέβηκεν; Ἔφη πάλιν ὠδὶ τὸ Γράμμα τὸ ἱερόν· « Καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἡ φυλὴ Δὰν ἐζήτει αὐτῇ κληρονομίαν τοῦ κατοικῆσαι, ὅτι οὐκ ἐνέπεσεν αὐτῇ ἕως τῆς ἡμέρας ἐκείνης ἐν μέσῳ φυλῶν Ἰσραὴλ κληρονομία. Εἶτα πέντε τινὰς ἐπιλεξάμενοι, προβαδίζειν ἑαυτῶν ἀναπείθουσι, καὶ κατερευνῆσαι τὴν γῆν ἣν ἂν δύναιντο λαβεῖν, καὶ οἰκεῖον ποιεῖσθαι κλῆρον. Οἱ δὲ ἀφίκοντο, φησὶν, ἕως ὄρους Ἐφραΐμ, ἕως οἴκου Μιχαίου, καὶ ηὐλίσθησαν ἐκεῖ, καὶ τὸν Λευΐτην ἐπιγινώσκουσιν, ὡς ὁμογενῆ, διά τοι τὸ γλώττῃ χρῆσθαι τῇ κατ' αὐτῆς· Ἑβραίοις γὰρ οὗσιν, ὡς Ἑβραῖος ἐλάλει. Ἐρόμενοι δὲ τὴν αἰτίαν, καὶ ἀναμαθόντες, ὅπως ἐκ φυλῆς ὄντα Λευΐ κατεμισθοῦτο μὲν ὁ Μιχαίας, ἱερουργὸν δὲ τῶν ἑαυτοῦ κεχειροτόνηκε σεβασμάτων, συναλγῆσαι δέον, ὡς αἰχμαλώτῳ, καὶ ὑπατημένῳ, καὶ ἀλητεύοντι,

ut domum me vocasti, et patrem, et ducem virginitatis tuæ [61]? » Magnitudine igitur amentiæ et nefandarum molitionum exsuperantia obstupescit. Progressi sunt enim jam, inquit, eo impietatis, ut insaniam in domo Dei defixerint, hoc est, falsum vaticinium divinarumque legum violationem. Apte autem et illud dictum, « defixerunt. » **134** Non enim desiit audacter patratum semel, sed quodammodo fixa est et in scrobem impacta impietas; quia non cessavit falsos vates et pseudoprophetas habere Israel. Quia vero in hanc audaciam eruperunt, merito factorum pœnas exacti, « corrupti sunt secundum dies collis. Recordabitur enim iniquitatis ipsorum, et ulciscetur omnia peccata eorum. » Quidnam autem sit, « corrupti sunt secundum dies collis, » age, paucis suggeramus. Scriptum est quidpiam hujusmodi in libro Judicum; totam narrationem quam potero brevissime perstringam, et longiorem in pauca conferam. « In diebus illis, inquit, non erat rex in Israel, et quisque quod rectum erat in oculis suis, faciebat. Et fuit juvenis in Bethlehem, tribus Juda, et ipse Levites, et hic habitabat ibi. Et abiit vir ille a Bethlehem civitate Juda habitare in loco quem invenisset, et venit usque ad montem Ephraim, et usque ad domum Michæ, ut faceret iter suum. Et dixit ei Micha : Unde venis? Et respondit Levites : Ego sum de Bethlehem Juda, et ego vado habitare in loco quem invenero. Et dixit ei Micha : Sede mecum, et esto mihi in patrem, et in sacerdotem, et ego dabo tibi decem argenteos in diem, et stolam vestium, et quæ ad victum tuum pertinent. Et abiit Levites, et incepit habitare apud virum. Et fuit adolescens apud illum, ut unus de filiis ejus. Et implevit Micha manum Levitæ, et fuit ei in sacerdotem, et fuit in domo Michæ [62]. » Idololatra igitur fuit Michas, mercede nihilominus de sanguine Levi propagatum conduxit, et cultorem fecit sculptilis, idolorumque usibus eum dedicavit. Quid postea? Narrat rursum Scriptura sacra in hunc modum : « Et in diebus illis tribus Dan quærebat sibi possessionem ad habitandum, quoniam non cecidit illi usque ad diem illum in medio tribuum Israel possessio. Deinde quinque delectis ut præcederent persuaserunt, et explorarent terram, quam possint occupare, et in sortem suam convertere. Illi venerunt usque ad montem Ephraim, in domum Michæ, et requieverunt ibi, et Levitam ut cognatum agnoverunt, quod eorum lingua uteretur. Hebræis enim ut Hebræus loquebatur. Percontati igitur causam, et cognito quomodo ex tribu Levi natus, a Micha conductus esset, et ab eo sacrificus idolorum ejus institutus, cum miserari ut captivum, et deceptum, et erronem deberent, **135** confestim in eosdem deceptionis laqueos inciderunt, et eum ex idolis sciscitatum sibi referre postularunt, si eis ex sententia cœptum esset processurum, ut obtinerent, inquam, regionem, quam exploratum veniebant. Ille

[61] Jer. III, 4. [62] Judic. XVII, 6-13.

Digitized by Google

quod lubebat, tanquam a Deo responsum referebat. Considerata igitur terra, legati renuntiarunt iis, a quibus missi erant, bonam et pinguem esse, nec citra sudorem posse redigi in potestatem. His sermonibus auditis, tribules Dan, sexcenti numero, armati ascenderunt. Venerunt autem et ipsi in ædes Michæ. Et responderunt, inquit, illi quinque viri qui abierant consideratum terram Laisa, et dixerunt fratribus suis : Scitote quod in domo ista est Ephod, et Theraphim, et sculptile, et conflatile. Et nunc scitote quid facietis.» Ephod igitur sonat *liberatio*, Theraphim *remissio*, aut *sanans ipsos*. Idolum enim falsam opinionem habebat, quasi sanare quosdam posset. Græci enim hujusmodi de quibusdam sculptilibus comminiscuntur.«Hoc cum didicissent tribules Dan, tollunt sculptile, et Levitam ut Micha derelicto sequatur permovent. Congressi autem, et victoria potiti, et regione occupata, urbem ædificant vocabulo Dan, primi parentis sui nomen ei decernentes : erant enim, ut dixi, de tribu et sanguine Dan. Collocato autem ibi et idolo, sacrificabant eidem, et cum terra deum quoque possidebant : tanta fuit ipsorum vecordia [93].» Hanc ob causam postea iratus est Deus, et æquissime, ut indigne habitus. Cum autem omne nomen Israelis loco inimicorum infensissimorumque hostium tribules Dan ducere, et admissæ in Deum impietatis rationem eos poscere oporteret, etiam fortasse iis assensi sunt, et laudandos censuerunt, ut qui nihil plane deliquissent. Jam vero quæ hujus ignaviæ stipendia acceperint, age commemoremus. Nullo adhuc rege Israelis, vir quidam Levites, habitans in latere montis Ephraim, uxorem Bethleemitidem duxit. Quæ cum fugisset ad patrem suum, secutus eam maritus, persuasit, ut secum redire ac de cætero cohabitare vellet. Quo facto, in medio itinere cum ea in Gabaa oppidum, quod interpretantur *collem*, divertit. Gabaæ, sive collis incolæ erant Benjamitæ. **136** Iis apud senem quemdam diversantibus, nocte media venientes nonnulli cives Benjamitæ, homines improbi, ut scriptum est, Levita et aliis abuti ad libidinem voluerunt. Vix tandem re scelestissima precibus condonata, corripiunt uxorem ejus, mulierculamque per totam noctem impura libidine vexatam mori cogunt. Vir corpus exanime in partes concisum, per tribus Israeliticas distribuit, Benjamitarumque et in hospites facinus, et effrenatam lasciviam, et Sodomitici flagitii imitationem manifestat [94]. Ex eo indignatus totus Israel congregatur, et copias contra Benjamitas Gabaam, seu ad collem educit. Tantas autem strages ediderunt, ut quamvis populosa esset admodum, vix perpauci incolumes in solitudinem fuga se eriperent. Ex omni item Israel bellicosi viri ingenti numero interierunt. At enim non permisisset Deus Israelitas conserere manus, nisi sculptile ex domo Michæ sublatum qui erant de tribu Dan coluissent, et aliæ

A συγκατώλισθον εὐθὺς εἰς τοὺς τῆς ἀπάτης βρόχους, καὶ ἀγορεύειν αὐτὸν ἠξίουν, ἐπερωτῶντα τὸ εἴδωλον εἰ κατὰ γνώμην αὐτοῖς ἐκβήσεται τὸ ἐγχείρημα, τὸ κρατῆσαι, φημὶ, τῆς χώρας, ἣν ἀφίκοντο κατοπτεύσοντες. Ὁ δὲ τὸ δοκοῦν λελάληκεν ὡς παρὰ Θεοῦ. Κατασκεψάμενοι δὲ τὴν γῆν οἱ ἀπεσταλμένοι, τοῖς πεπομφόσιν ἀπήγγελλον, ὡς ἀγαθὴ καὶ πίων, καὶ οὐ σὺν ἱδρῶτι ληπτή. Ἐπειδὴ δὲ τῶν τοιούτων ἐπύθοντο λόγων, οἱ ἀπὸ φυλῆς τοῦ Δὰν, ἑξακόσιοι τὸν ἀριθμὸν, ἐν ὅπλοις ὄντες ἀνέβαινον. Ἀφίκοντο δὲ καὶ αὐτοὶ μέχρις οἴκου Μιχαίου. Καὶ ἀπεκρίθησαν, φησὶν, οἱ πέντε ἄνδρες, οἱ πορευθέντες κατασκέψασθαι τὴν γῆν Λαΐσὰ, καὶ εἶπον πρὸς τοὺς ἀδελφοὺς αὐτῶν. Ἔγνωτε, ὅτι ἔστιν ἐν τῷ οἴκῳ τούτῳ Ἐφὼδ, καὶ Θεραφὶμ, καὶ γλυπτὸν, καὶ χωνευτόν. Καὶ νῦν γνῶτε B τί ποιήσετε.» Τὸ μὲν οὖν Ἐφὼδ ἑρμηνεύεται *λύτρωσις*, Θεραφὶμ δὲ πάλιν, *ἄνεσις* ἢ *ἰώμενος αὐτούς*. Εἴδωλον γὰρ ἦν ὑπόληψιν ἔχον ἐφ' ἑαυτῷ ψευδῆ, τοῦ θεραπεύειν δύνασθαί τινας. Περιπλάττουσι γὰρ Ἑλλήνων παῖδες ἔσθ' ὅτε ταῖς τοιαύταις δόξαις τὰ χειροποίητα.«Τοῦτο μεμαθηκότες οἱ ἀπὸ Δὰν, ἀναλαμβάνουσι τὸ γλυπτὸν, ἀναπείθουσι δὲ καὶ τὸν ἐξ αἵματος τοῦ Λευῖ καταχολουθῆσαί σφισιν, ἀποφοιτῶντα Μιχαίου. Παραταξάμενοι δὲ, καὶ νενικηκότες, καὶ ὑπὸ χεῖρα λαβόντες τὴν γῆν, ἀνεδείμαντο πόλιν, ἣν ἐπωνόμασαν Δὰν, τὸ τοῦ προπάτορος γράφοντες αὐτῇ· φυλῆς γὰρ ἦσαν καὶ αἵματος τῆς ἀπὸ Δὰν, ὡς ἔφην. Ἱδρυσάμενοι δὲ καὶ τὸ εἴδωλον ἐν αὐτῇ, θυσίας προσῆγον, καὶ ὁμοῦ τῇ γῇ καὶ θεὸν ἐκτήσαντο· πρὸς τοῦτο αὐτοῖς ἀβουλίας κατεκομίσθη τὸ φρόντημα. C Ταύτῃτοι Θεὸς ἠγανάκτει λοιπὸν, καὶ μάλα εἰκότως, ὡς ὑβρισμένος. Εἶτα δέον πάντας τοὺς ἐξ Ἰσραὴλ, ἐχθροὺς ἡγεῖσθαι καὶ πολεμιωτάτους τοὺς ἀπὸ Δὰν, καὶ τῆς εἰς Θεὸν δυσσεβείας ἐξαιτῆσαι λόγους, τάχα που καὶ συνηνέχθησαν, καὶ ἐπαινεῖν ἠξίουν, ὡς κατ' οὐδὲν ὅλως ἡμαρτηκότας, καὶ ποῖα γέγονεν αὐτοῖς τῆς εἰς τοῦτο ῥᾳθυμίας τὰ ὀψώνια, φέρε λέγωμεν ἐφεξῆς. Ἀβασιλεύτου μεμενηκότος τοῦ Ἰσραὴλ, ἀνήρ τις Λευίτης, παροικῶν ἐν μηροῖς ὄρους Ἐφραΐμ, σύνοικον ἐποιήσατό τινα τῶν ἐκ Βηθλεέμ. Ἐπειδὴ δὲ γύναιον ἀπέδρα πρὸς τὸν πατέρα, εἴπετο μὲν ὁ Λευίτης. Ἀναπείθει δὲ αὖθις ὑπονοστῆσαι σὺν αὐτῷ, καὶ οἶκοι γενέσθαι λοιπόν. Οὗ δὴ γεγονότος, κατὰ μέσην ἰὼν τὴν ὁδὸν, ὁμοῦ τῷ γυναίῳ κατέλυσεν ἐν D Γαβαὰ, ἢ διερμηνεύεται *βουνός*. Ὥκουν δὲ τὴν Γαβαὰ, ἤτοι τὸν βουνὸν οἱ ἐκ φυλῆς Βενιαμίν. Ἐπειδὴ δὲ παρά τινα κατηυλίζετο πρεσβύτῃ, κατὰ μέσην τὴν νύκτα ἐλθόντες τῶν ἐκ φυλῆς Βενιαμὶν, ἄνδρες παράνομοι, καθὰ γέγραπται, καταβιάζεσθαι πρὸς ἀσέλγειαν τόν τε Λευίτην, καὶ αὐτὸν, καὶ ἑτέρου· ἤθελον. Δυσωπηθέντες δὲ μόλις τῆς ἀτοπίας τὴν ὑπερβολὴν, τὴν τοῦ Λευίτου συλλαμβάνουσι παλλακίδα. Καὶ δὴ καὶ ἀπεκτόνασι, δι' ὅλης τῆς νυκτὸς εἰς τὸ γύναιον ἀσελγαίνοντες. Ὁ δὲ διελὼν εἰς μέλη τὸ σῶμα διένειμε τοῖς ἐκ φυλῆς Ἰσραὴλ, καταφαντῇ καθιστὰς τῶν ἐκ φυλῆς Βενιαμὶν τήν τε εἰς τοὺς ξένους ἁμαρτίαν, καὶ τὸ ἀχάλινον εἰς ἀσέλγειαν· καὶ

[93] Judic. xviii, 1-31. [94] Judic. xix, passim.

Digitized by Google

ὅτι τὰ Σοδομιτῶν μεμίμηνται πλημμελήματα. Ἐντεῦθεν ἀγανακτήσας συναγήγερται πᾶς Ἰσραὴλ, καὶ κατεστρατεύοντο τῆς φυλῆς Βενιαμὶν ἐν Γαβαάν, τουτέστιν, ἐν τῷ βουνῷ· οὕτω τε αὐτὴν ἀνῃρήκασι, καίτοι πολυανδροῦσαν λίαν, ὡς ὀλίγους κομιδῇ περισωθέντας, μόλις ἀναφυγεῖν εἰς τὴν ἔρημον. Διολώλασι δὲ καὶ ἐκ παντὸς Ἰσραὴλ τῶν μαχίμων οὐκ εὐαρίθμητοι. Ἀλλ' οὐκ ἂν ἤφιεν Θεὸς ἀλλήλοις συμπλέκεσθαι τοὺς ἐξ Ἰσραὴλ, εἰ μὴ τὸ ἐξ οἴκου Μιχαίου γλυπτὸν οἱ μὲν ἀπὸ Δὰν τετιμήκασι, κατηρέμησαν δὲ παραλόγως οἱ ἐκ τῶν ἑτέρων φυλῶν. Τοιοῦτόν τι γέγονε καὶ ἐπὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς λελυπημένου Θεοῦ. Συνεπλάκησαν γὰρ ἀλλήλαις αἵ τε τοῦ Ἰούδα φυλαὶ δύο, καὶ αἱ δέκα τοῦ Ἐφραΐμ. Καὶ ὡς ἐν ταῖς συνωλεθρεύοντο δὲ τοῖς νικῶσιν οἱ ἡττημένοι, θείας Ἀμασίου μὲν βασιλεύοντος ἐπὶ τὸν Ἰούδαν, τοῦ γε μὴν Ἰωὰς ἐπὶ τὸν Ἰσραὴλ, ὃς εἷλεν οὕτω τὰ Ἱεροσόλυμα, ὡς καὶ καθελεῖν τοῦ τείχους μέρος εἰς πήχεις τετρακοσίας.

A tribus id inique dissimulantes quievissent. Simile quid etiam propter vitulos aureos Deo exacerbato evenit. Conflixerunt enim duæ tribus Juda cum decem Ephraim; et perinde ut temporibus collis, millia multa occubuerunt, et ira Dei instigante cum victis ipsi victores dati sunt exitio [66]. Gesta sunt hæc super Judam regnante Amasia, super Israel Joa, qui ita subegit Hierosolymam, ut partem muri cubitorum quadringentorum dirueret [66].

Ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν Ἰσραὴλ, καὶ ὡς σῦκον ἐν συκῇ πρώϊμον εἶδον πατέρας αὐτῶν. Αὐτοὶ εἰσῆλθον πρὸς τὸν Βεελφεγὼρ, καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην. Καὶ ἐγένοντο οἱ ἠγαπημένοι ὡς οἱ ἐβδελυγμένοι.

B Vers. 10. *Sicut uvam in deserto inveni Israel, et sicut ficum in ficu tempestivam vidi patres eorum. Ipsi ingressi sunt ad Beelphegor, et abalienati sunt in confusionem. Et facti sunt dilecti sicut abominabiles.*

ΡΓ'. Ὅτι μὴ μάτην αὐτοῖς τὸ καταφθαρῆναι συμβέβηκεν, ἀλλ' ἐν δίκῃ, λοιπὸν πειρᾶται διδάσκειν. Ἐγὼ μὲν γάρ, φησὶ, ἐπελεξάμην αὐτούς, ὡς ἐν ἐρήμῳ σταφυλὴν εὑρών, καὶ ὡς σῦκον πέπειρον ἀπὸ συκῆς ἁρπάσας· ἐξήγαγον γὰρ τῆς Αἰγυπτίων χώρας, εἰδωλολατρούσης ὅλης, καὶ πεπλανημένης, καὶ πολλὴν νοσούσης τὴν ἐρημίαν παντὸς ἀγαθοῦ. Τί οὖν οἱ ἀπάλεκτοι, οἱ διὰ τῆς ἐμῆς ἡρπαγμένοι χειρός; Προσκέκλινται τῷ Βεελφεγὼρ, ἐξῆλθον οἰκειότητος τῆς πρός με εἰς αἰσχύνην, τοῦτό ἐστι τὸ, « Ἀπηλλοτριώθησαν εἰς αἰσχύνην· » αἰσχύνην δὲ ὀνομάζει τοῦ Βεελφεγὼρ· ἦν γὰρ ἐν ἀκαλλεστάτῳ σχήματι τῶν ἄλλων μάλιστα, καὶ ἄσεμνον ἰδεῖν.

CIII. Non temere, sed jure perniciem illis illatam esse conatur modo ostendere. Ego enim, inquit, elegi eos ut in solitudine uvam inventam, et ut ficum maturam ab arbore decerptam : eduxi enim ex Ægypto, quam totam idololatria, et error, et magna omnis boni penuria obsidebant. Quid igitur electi, quid manu mea erepti? Declinaverunt ad Beelphegor, ab amicitia mea desciverunt in confusionem; hoc enim est, quod ait : « Abalienati sunt in confusionem. » **137** Confusionem autem vocat C Beelphegor : erat enim idolum forma omnium turpissima et aspectu inhonestum.

Οὐκοῦν, ἀγαπῶντες μὲν τὸ εἶναι μετὰ Θεοῦ, καὶ τιμῶντες ὡς καλέσαντα, καὶ ἐπιλεξάμενον, καὶ ὥσπερ ἐξ ἐρήμου καὶ ἀκανθοτόκου γῆς ἁρπάσαντα τῆς ἐν τῷδε τῷ κόσμῳ καταστάσεως, ὡς σταφυλήν τε καὶ σῦκον ἠγαπηκότα πρώϊμον, διεσώσωμεν ἀῤῥαγῆ τὴν πρὸς αὐτὸν ἕνωσιν, δῆλον δὲ ὅτι τὴν πνευματικήν. Εἰ δὲ δή γένοιτό τις ἀπόνευσις εἰς τὸ ἀκαλλὲς, καὶ εἰς τὸ λυποῦν αὐτὸν, οὐδὲν ἔτι διοίσομεν τῶν ἐθνῶν. Ἐσόμεθα γὰρ οἱ ἠγαπημένοι ὡς οἱ ἐβδελυγμένοι, οἷ καὶ εὐλόγως μεμίσηνται. « Δικαιοσύνη γάρ, φησὶ, δικαίου οὐ μὴ ἐξέληται αὐτόν· ἐν ᾗ ἂν ἡμέρᾳ ἁμάρτῃ, ἀποθανεῖται. » Καὶ σφόδρα σοφῶς ὁ μακάριος γράφει Παῦλος· « Ὥστε ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ. »

Quare cupientes esse cum Deo, eumque venerantes, ut qui nos vocavit, et elegit, et tanquam ex solitudine et terra spinas generante eripuit, ex statu videlicet mundi hujus, atque ut uvam et ficum tempestivam adamavit, conjunctionem cum ipso indissolubilem, spiritualem, inquam, retineamus. Quod si ad indecora quædam eique odiosa deflexerimus, nihil a gentibus differemus. Erimus enim nos dilecti eo loco quo exsecrati, quos æquum est odisse. « Justitia enim justi, inquit, non liberabit eum; in die qua peccaverit, morietur [67]. » Et persapienter scribit beatus Paulus : « Itaque qui se existimat stare, D videat ne cadat [68]. »

Ἔφραΐμ ὡς ὄρνεον ἐξεπετάσθη.

Vers. 11. *Ephraim quasi avis extensa est.*

ΡΔ'. Ὅσα τῶν ὀρνέων μὴ ἔστι τίθασά τε καὶ κατοικίδια, συλληφθέντα φυλάττεται, καὶ κατατέρπει τοὺς ἔχοντας. Εἰ δὲ δή γένοιτό τις τοῦ διαδράναι καιρὸς, ἀνυπερθέτως ἀποφοιτᾷ, καὶ ὀξείᾳ φέρεται πτήσει πρὸς τὸ αὐτοῖς σύνηθες ἐνδιαίτημα. Οὐκοῦν τεθήρευτο μὲν τρόπον τινὰ διὰ Μωσέως ὀρνέου δίκην ὁ Ἰσραὴλ, καὶ προσκεκόμιστο τῷ Θεῷ, καὶ ἦν ἐν καλῷ τῆς εὐημερίας νόμῳ παιδαγωγούμενος, καὶ φροντίδος ἀπολαύων, καὶ φειδοῦς τῆς ἄνωθεν. Ἀπ-

CIV. Quæcunque aves non cicures et domesticæ, ubi captæ fuerint, custodiuntur, et dominos suos delectant. Sin quæ opportunitas volandi inciderit, citra moram celerrime ad consuetum sibi vitæ genus avolant. Itaque captus est quodammodo a Moyse volucris instar Israel, et oblatus Deo, et bene ac beate habebat, disciplina legis docefactus, et cum cura indulgentiaque tractatus desuper. Sed rursum ubi prius erat avolavit, tantum non manu aucupis

[66] Judic. xx, passim. [66] IV Reg. xiv, 13. [67] Ezech. xxxiii, 12. [68] I Cor. x, 12.

Digitized by Google

sui elapsus. Poteris et alio sensu quod dictum est accipere. Multæ aves climatis sui hiemem non ferentes, aliena petunt, et sine magistro quid sibi expediat noverunt, prout Conditori placuit. Simili modo et Ephraim bellicarum calamitatum metu percussus, in Ægyptum avolavit.

VERS. 12. *Gloriæ eorum ex partubus, et doloribus, et conceptibus. Quare etiamsi nutrierint filios suos, sine filiis erunt ex hominibus, quia et væ eis est.*

CV. Aufugiens ad Ægyptios a patriis sedibus Israel, Deum regni illius tutelarem auxilium orabat. Num quasi Deus esset imbecillus, eosque servare non posset? Neutiquam. Est enim valentissima Divinitas, et bellum ab Assyriis imminens reprimere facile poterat. Contigit autem hæc perpeti Ephraim, sive Israelem, quia relicto Deo salvatore, et in ipso ac solo gloriandi **138** perseverantia, ut re jam veteri atque obsoleta, posthabita, existimabant per se hostibus formidabiles fore, nec ab iis subactum iri, cum in tantam frequentiam essent aucti, abundarentque liberorum multitudine infinita. Pariebant enim mulieres eorum secundum promissionem et benedictionem, Moyse ita vaticinato : « Non erit infecunda, nec sterilis in filiis Israel [69]. » Sed mire fatuum erat propter multitudinem corporum contemnere Dei auxilium. Cogitandum illis potius, si saperent, cum ipso, et per ipsum « persequi posse unum mille, et duos fugaturos decem millia [70]. » Placent itaque sibi, et jactant se, inquit, non in Deo potissimum; sed gloriæ sibi ducunt partus, et conceptiones, et dolores parturientium feminarum suarum. Sciant igitur, etiamsi genuerint filios, etiamsi laborarint enutrientes liberos, fore ut pœnitudine capiantur, cum se frustra viderint laborasse. Filiorum enim orbitatem omnimodis plorabunt, et gladius Babylonicus ad genus ipsorum facile delendum sufficiet. « Quia et væ illis est. » Quasi dicat, Deo in illos væ vibrante, quis illis lætitiam suppeditabit? Si enim « clauserit contra hominem, quis aperiet [71]? » ut scriptum exstat.

CVI. *Caro mea ex eis.*

Minante Deo atque etiam dicente de Ephraim, sive de omni Israel, radicitus periturum, et deploraturum orbitatem, laboraturumque frustra in educatione liberorum, seipsum propheta ab ultione subducit, et immunitatem ab ira sic precatur : « Caro mea ex eis. » Intellige « ex eis, » procul ab eis. Extra illos, inquit, enim, et quam longissime ego sim, et omne genus meum. Interdum enim huic voci « caro, » generis quoque subjecta est notio. Sic enim et illud Pauli, ut recte dictum accipiemus, cum scribit : « Quandiu ego quidem sum gentium apo-

έπτη δὲ πάλιν, ἐφ' ὅπερ ἦν ἐν ἀρχαῖς, μονονουχὶ τὴν τοῦ λαβόντος χεῖρα διεκφυγών. Ἢ καὶ καθ' ἕτερον τρόπον συνήσεις τὸ εἰρημένον. Πολλὰ τῶν ὀρνέων τοὺς ἐπιχωρίους χειμῶνας οὐ φέροντα, πρὸς ἑτέρας μεθίστανται χώρας, ἀδιδάκτως ἔχοντα τὴν τοῦ συμφέροντος γνῶσιν, κατὰ τὸ δοκοῦν τῷ πεποιηκότι. Ἀλλ' ἐν ἴσῳ τρόπῳ καὶ ὁ Ἐφραὶμ τὰς ἐκ πολέμου δεδιὼς συμφορὰς ἀπέπτη πρὸς Αἰγυπτίους.

Αἱ δόξαι αὐτῶν ἐκ τόκων, καὶ ὠδίνων, καὶ συλλήψεων. Διότι καὶ ἐὰν ἐκτρέψωσι τὰ τέκνα αὐτῶν, ἀτεκνωθήσονται ἐξ ἀνθρώπων, διότι καὶ οὐαὶ αὐτοῖς ἐστι.

ΡΕ'. Ἀπέδρα πρὸς Αἰγυπτίους τὴν ἐνεγκοῦσαν ἀφεὶς ὁ Ἰσραὴλ, ἐπαμῦναί τέ οἱ παρεκάλει τὸν Θεὸν τῆς χώρας ἡγούμενον. Ἆρ' ὡς ἀτονοῦντος Θεοῦ, καὶ σώζειν αὐτοὺς οὐχ οἷόν τε ; Οὔμενουν. Παναλκὲς γὰρ τὸ Θεῖον, καὶ οὐκ ἀνικάνως ἔχον, τὸν τῶν Ἀσσυρίων ἀποσοβῆσαι πόλεμον. Συμβέβηκε δὲ τὰ τοιάδε παθεῖν τοὺς ἐξ Ἐφραὶμ, ἤτοι τὸν Ἰσραὴλ, ὅτι Θεὸν ἀφέντες τὸν σώζοντα, καὶ τὸ ἐπ' αὐτῷ δὴ καὶ μόνῳ μεγάλα φρονεῖν διατελῶντες (1) ὡς ἔωλον, ὥροντο κατὰ σφᾶς δεινοὶ, καὶ ἀνάλωτοι γενήσεσθαι τοῖς ἐχθροῖς, διά τοι τὸ εἰς πληθὺν ἐκτετάσθαι πολλὴν, καὶ ἀναρίθμητον ἔχειν τὴν πολυπαιδίαν. Ἔτικτον μὲν γὰρ αἱ παρ' αὐτοῖς γυναῖκες κατ' ἐπαγγελίαν, καὶ ἐν εὐλογίας τάξει, Μωσέως προειρηκότος, « Οὐκ ἔσται ἄγονος, οὐδὲ στεῖρα ἐν υἱοῖς Ἰσραήλ. » Ἀλλ' ἦν εὐηθες κομιδῇ, διὰ πληθὺν σωμάτων ἀφειδῆσαι βοηθείας τῆς παρὰ Θεοῦ. Ἐννοῆσαι δὲ μᾶλλον ὀρθὰ φρονοῦντας ἐχρῆν, ὅτι σὺν αὐτῷ τε καὶ δι' αὐτοῦ « Διώξεται μὲν εἷς χιλίους, δύο δὲ μετακινήσουσι μυριάδας. » Ἀποσεμνύνονται τοίνυν, φησὶν, οὐκ ἐπὶ Θεῷ μᾶλλον, πτοοῦνται δὲ δόξαν τόκους, καὶ συλλήψεις, καὶ ὠδῖνας τῶν παρ' αὐτοῖς γυναικῶν. Ἴστωσαν δὴ οὖν, ὅτι κἂν εἰ τέκοιεν υἱοὺς, κἂν εἰ κάμοιεν ἐκτρέφοντες τέκνα, μεταγνώσονται πονοῦντες εἰκῆ. Θρηνήσουσι γὰρ πάντη τε καὶ πάντως τὴν ἀπαιδίαν. Ἀρκέσει δὲ ξίφος αὐτοῖς τὸ Βαβυλώνιον εἰς τὸ δαπανῆσαι ῥᾳδίως πᾶν ὅσον αὐτῶν γένος. « Διότι καὶ οὐαὶ αὐτοῖς ἐστιν. » Ὅμοιον ὡς εἰ λέγοι, Θεοῦ αὐτοῖς ἐπιῤῥιπτοῦντος τὸ οὐαὶ, τίς ἐπιδώσει τὴν εὐθυμίαν ; Ἐὰν γὰρ « Κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει ; » κατὰ τὸ γεγραμμένον.

Σὰρξ μου ἐξ αὐτῶν.

ΡϚ'. Ἀπειλοῦντος Θεοῦ, καὶ δὴ καὶ φάσκοντος περὶ τοῦ Ἐφραὶμ, ἤτοι παντὸς τοῦ Ἰσραὴλ, ὡς καὶ ὁλόῤῥιζος ἀπολεῖται, καὶ θρηνήσει τὴν ἀπαιδίαν, καὶ πονήσει μάτην ἐπὶ ταῖς τῶν τέκνων ἀνατροφαῖς, ἑαυτὸν ὁ προφήτης ὑπεξάγει τῆς δίκης, ἔξω τε γενέσθαι τῆς ὀργῆς προσεύχεται, λέγων· « Σὰρξ μου ἐξ αὐτῶν. » Τὸ δὲ « ἐξ αὐτῶν » συνήσεις, ἀντὶ τοῦ μακρὰν ἀπ' αὐτῶν. Ἔξω γὰρ αὐτῶν καὶ ἀποστάτω, φησὶν, αὐτός τε γενοίμην ἐγὼ, καὶ τὸ ἐμὸν ἅπαν γένος. Δηλοῖ γὰρ ἑαυτὸ ὅτε καὶ τὸ γένος « ἡ σάρξ. » Ἐκδεξόμεθα γὰρ οὕτω καὶ διὰ τῆς τοῦ Παύλου φωνῆς

[69] Exod. xxiii, 26. [70] Deut. xxxii, 30. [71] Isa. xxii, 22.

(1) Ἴσ. διαπερῶντες.

Digitized by Google

ὁ οὕτως εἰρημένον. Γέγραφε γὰρ ὧδε· « Ἐφ' ὅσον μὲν οὖν ἐγώ εἰμι ἐθνῶν ἀπόστολος, τὴν διακονίαν μου δοξάζω, εἴ πως παραζηλώσω μου τὴν σάρκα, καὶ σώσω τινὰς ἐξ αὐτῶν. » Ἔθος δὲ τοῖς ἁγίοις προφήταις, ὅταν ἴδωσι πολλάκις δεινὰ καὶ δυσφόρητα τά τινων ἐγκλήματα, λοιπὸν τὰ καθ' ἑαυτοὺς τῆς ἐκείνων βδελυρίας ἀλλοτριοῦν. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας πλείστοις ὅσοις αἰτιάμασιν ἐμπεπτωκότας τοὺς Ἰουδαίους, καὶ Θεῷ προσκεκρουκότας ὁρῶν, « Κύριε, φησὶ, παντοκράτωρ, οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ' ἠλαβούμην ἀπὸ προσώπου χειρός σου· καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. » Δεῖ δὴ οὖν ἄρα θαυμάσαι τὸν μακάριον Παῦλον, ὅταν ἡμῖν ἐπιστέλλῃ· « Σαυτὸν ἁγνὸν τήρει, καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις. » Εἶποι δ' ἂν εἰκότως πᾶς ἀσεβὴς περὶ τῶν προσκρουόντων τῷ Θεῷ, καὶ ὅσον οὐδέπω κολασθησομένων, « Σὰρξ μου ἐξ αὐτῶν. »

A stolus, ministerium meum honorificabo, si quo modo ad æmulandum provocem carnem meam, et salvos faciam aliquos ex illis [72]. » Mos porro est sanctis prophetis, si sæpe gravia et intoleranda quorumdam scelera viderint, de cætero se ab illorum impuritate et nequitia sejungere. Quare Jeremias Judæos in plurima delicta prolapsos, et Deum læsisse cernens, « Domine omnipotens, » ait, « non sedi in concilio ludentium, sed timui a facie manus tuæ; seorsum **139** sedebam, quia amaritudine repletus eram [73]. » Admirandus est itaque beatus Paulus, quando nobis ita mandat : « Te ipsum castum custodi, et ne communices peccatis alienis [74]. » Omnis autem impius de offendentibus Deum, et mox puniendis jure dixerit : « Caro mea ex eis. »

Ἐφραὶμ ὃν τρόπον εἶδον, εἰς θήραν παρέστησε τὰ τέκνα αὐτοῦ, τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ.

B Vers. 13. *Ephraim, sicut vidi, in captionem probuit filios suos, ut educeret ad punctionem filios suos.*

ΡΖ'. Ταλανίζει καὶ νῦν ὁ προφήτης τὸν Ἐφραὶμ, ἤτοι τὸν Ἰσραὴλ, αὐτόν τε γενέσθαι παραίτιον ἑαυτῷ φησι καὶ τῆς ἀπαιδίας, καὶ τῆς ἀνηκέστου συμφορᾶς. Ὡς γὰρ τεθέαμαι καὶ ἐκ τῶν σῶν λόγων, ὦ Δέσποτα, φησὶ, καὶ ἀπό γε τῶν πραγμάτων αὐτῶν, αὐτὸς ὁ Ἐφραὶμ εἰς θήραν, καὶ ἀποκέντησιν τὰ ἑαυτοῦ παρέστησε τέκνα. Καὶ οὐκ ἂν ἑτέρους αἰτιῷτο λοιπὸν, οὐδ' ἂν τῆς θείας καταβοήσειεν ὀργῆς, εἰ τὰ εἰκότα φρονεῖν ἐλοιτο. Αἰτιάσεται δὲ μᾶλλον τὴν ἑαυτοῦ δυσβουλίαν καὶ ἀπόστασιν. Ἐπειδὴ γὰρ λελύπηκεν οὐ μετρίως τὸν ἐπαμύνοντά τε καὶ σώζοντα Θεὸν, μονονουχὶ καὶ ἰδίᾳ χειρὶ παραδέδωκεν ἐκὼν τῇ τῶν ἐθνῶν ἀγριότητι τὸ ἴδιον σπέρμα, καὶ παρέστησεν C εἰς ἀπαγωγὴν καὶ αἰχμαλωσίαν. Τοῦτο γάρ ἐστι τὸ « εἰς θήραν, » καὶ μὴν καὶ « εἰς ἀποκέντησιν, » ὅ ἐστι σφαγήν. Τοὺς μὲν γὰρ ἀνεῖλον οἱ Βαβυλώνιοι τῶν Ἰσραὴλ· τοὺς δὲ ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν.

CVII. Deflet etiam nunc Ephraim, sive Israel propheta, et ipsum sibi causam attulisse prædicat et orbitatis filiorum, et calamitatis gravissimæ. Ut enim vidi ex sermonibus tuis, Domine, inquit, et ex rebus ipsis, ipse Ephraim, et capiendos et trucidandos filios suos præbuit, nec alios deinceps criminari poterit, nec divinæ iræ reclamaverit; sed si ex æquo et justo rem æstimare voluerit, suam potius insipientiam et apostasiam accusabit. Postquam enim opitulantem et servantem Deum non mediocriter offendit, tantum non etiam manu sua semen suum sævitiæ gentium volens contradidit, et in captivitatem abducendum exhibuit. Hoc enim vult, « in captionem, » quin et « ad punctionem, » id est, ad jugulationem. Alios quippe de Israelitis occiderunt Babylonii, alios secum abstraxerunt.

Ὅταν τοίνυν πλημμελῶμεν ἡμεῖς, ἑαυτοὺς μᾶλλον αἰτιασόμεθα φρονοῦντες ὀρθῶς, καὶ οὐχὶ τὴν θείαν ὀργήν. Καταπεφρονήκαμεν γὰρ τοῦ πρέποντος, καὶ ῥᾳθυμοι γεγενήμεθα περὶ τὸ ἀνδάνον τῷ Θεῷ. Κολάζεσθαι δὲ ἀνάγκη τὸν ὑβριστὴν, καὶ ἐξήνιον, καὶ μονονουχὶ λέγοντα τῷ πάντων Δεσπότῃ· « Ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι. »

Cum igitur peccaverimus, si non desipimus, nosmetipsos potius, non iram Dei damnabimus. Contempsimus enim officium, et in Dei voluntate exsequenda segnes fuimus. Contemptor autem, et contumax, et propemodum Deo dicens : « Recede a me, vias tuas scire nolo [75], » puniendus est.

Δὸς αὐτοῖς Κύριε. Τί δώσεις αὐτοῖς; δὸς αὐτοῖς μήτραν ἀτεκνοῦσαν καὶ μαστοὺς ξηρούς.

Vers. 14. *Da eis, Domine. Quid dabis eis? da eis vulvam sine filiis et ubera arentia.*

ΡΙΗ'. Εἰ δὴ μέλλοιεν, φησὶν, οὐκ εἰδέναι Θεὸν οἱ Ἰσραὴλ, ἀποφέρεσθαι δὲ μᾶλλον πρὸς ἀνωφελῆ D καὶ ἄνοητον ἐλπίδα, οἴεσθαί τε ὅτι περιέσονται τῶν ἐχθρῶν, διὰ πλῆθος τέκνων, καὶ ὅτι πολὺ παρ' αὐτοῖς τὸ μάχιμον γένος, ταύτης τε ἕνεκα τῆς αἰτίας οὐκ ἀναγκαῖον τὸ παρὰ τῆς σῆς ἐπικουρεῖσθαι χειρὸς, μηδὲ τεκτέτωσαν ὅλως αἱ παρ' αὐτοῖς γυναῖκες. Τοῦτο γὰρ ἡ ἀτεκνοῦσα μήτρα. Κἂν εἰ τέκοιεν δὲ, μὴ ἀνατρεφέτωσαν, τουτέστι, δαπανάσθωσαν πρὸ ὥρας, καὶ πρὶν εἰς ἥβην ἐλθεῖν πιπτέτω τὸ γένος. Περιτεμνομένης γὰρ οὕτω τῆς ἐνούσης αὐτοῖς ἐντεῦθεν ὑπεροψίας, καὶ λοιπὸν

CVIII. Si non scient Dominum Israelitæ, abripienturque magis spe inutili et insipienti, existimabuntque se hostibus propter multitudinem filiorum superiores fore, et se militaribus viris abundare, et hanc ob causam manus tuæ auxiliis non egere, omnino ne pariant mulieres illorum, hoc enim est, « vulva sine liberis. » Quod si pepererint, ne alant, hoc est, absumantur ante tempus, et priusquam annos pubertatis attingat, occidat genus. Sic enim amputata qua hinc tumescunt superbia, **140** et sublata deinceps spe in copia bello idoneorum reposita, ad tuam

[72] Rom. xi, 13, 14. [73] Jer. xv, 17. [74] I Tim. v, 22. [75] Job xxi, 14.

Digitized by Google

indulgentiam confugient, et te Salvatorem liberatoremque vindicabunt. Hæc porro nunc etiam ex amore Dei loquitur, et simul Domini sui gloriam, et Israelitarum coactam conversionem quærit si ultro, et cum bonæ voluntatis fructu converti nolint.

Vulva autem sterilis, et ubera arentia spiritualiter etiam quadrabunt in malos operarios, et quemvis errantem, et a recta via recte ingredi solitos avertentem (in fide, inquam), et in viis suis directe procedentes. Nihil enim ingenio ipsis pariente, nisi sermonem falsum, nisi theorema spurium, nec educaverint in seductione filios suos, secundum doctrinam dico; et arida habentes ubera Ecclesiæ malignantium, deceptorum matres fieri nequeant.

VERS. 15. *Omnes nequitiæ eorum in Galgal, quia ibi odi eos, propter malitias adinventionum eorum. E domo mea ejiciam eos, non addam diligere eos.*

CIX. Incipit rursum universorum Deus enumerare crimina, et meminit Galgal. Urbis nomen est, in qua vehementer imprimis, et infandum in modum superstitiosi statuarum cultus vigebant. Habet autem quod dicit hanc sententiam. Flagitiosi non uno in genere Israelitæ fuerunt. Ac videre licet, quam insigniter improbi fuerint si Galgal cogites. Ibi omnem eorum vidi nequitiam, ibi odi eos. Non quidem propter locum, esset enim id imprudentiæ; sed potius in eo perpetrata ante oculos constituens. Ait igitur, «Expellam eos domo mea,» et arcebo ab atrio meo, et familiaritate mea excludam. Cum autem oderim illos juste, instabo de cætero, nec mutabor amplius, ut velim eos unquam diligere tantis sceleribus alligatos. Occurret aliquis, opinor: Quomodo igitur ex Assyria reduxit eos, aut quomodo e captivitate liberavit? An non mitior factus, et indulgentia, et charitate eos dignatus est? Non negaverim et ego istuc ita esse. Misericordiam enim ex benignitate consecuti sunt, hoc in confesso est. Sed hi de quibus sermo est, abierunt in captivitatem, et longo post tempore in pœna vitam finierunt. Et quemadmodum cum promisisset per Moysen in Ægypto Israelitis, educturum se omnes in terram, quam jurasset patribus eorum, 141 quidam tamen impii sese rebelles præbuerunt, quorum etiam corpora in solitudine ceciderunt, et terra ipsorum filiis potius sorte distributa est; sic etiam hic intelliges. Mortui sunt enim de quibus loquimur; reversi sunt autem quidam aliquando in Judæam Cyro tandem demittente, ubi annum in peregrina tellure septuagesimum complevissent [16].

Ejicientur autem e domo Dei, vel potius ejecti sunt, etiam qui contra Christum indigna, et quæ verbis exprimi satis non possunt, impia facinora

[16] I Esdr. I, passim.

A ἀνηρημένης τῆς ἐπὶ τῷ πλήθει τῶν μαχομένων ἐλπίδος, τὴν σὴν ὑποδραμοῦνται φειδώ, καί σε Σωτῆρα καὶ λυτρωτὴν ἐπιγράψονται. Ἐκ φιλοθεΐας δὲ τὰ τοιάδε καὶ νῦν ὁ προφήτης φησίν. Ἐν ταυτῷ δὲ ζητεῖ καὶ τοῦ ἰδίου Δεσπότου τὴν δόξαν, καὶ τῶν ἐξ αἵματος Ἰσραὴλ, τὴν ὡς ἐξ ἀνάγκης ἐπιστροφήν, εἰ μὴ προαιρέσεως ἀγαθῆς ἔχουσι τὸ χρῆμα καρπόν.

Ἀτεκνοῦσα δὲ μήτρα, καὶ μαστοὶ ξηροὶ, πρέποιεν ἂν νοητῶς καὶ τοῖς τῶν φαύλων ἐργάταις, καὶ παντὶ πλανῶντι, καὶ ἀποφέροντι τῆς εὐθείας ὁδοῦ τοὺς ὀρθοποδεῖν εἰωθότας, ἐν πίστει δὴ, λέγω, καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν. Οὐδὲν γὰρ αὐτοῖς τικτούσης τῆς διανοίας, οὐ λόγον ψευδῆ, οὐ θεώρημα νόθον, οὐδ' ἂν ἐκθρέψειαν ἐν πλάνῃ τὰ ἴδια τέκνα, τὰ κατὰ μάθησιν λέγω, καὶ ξηροὺς ἔχουσαι τοὺς μαB στοὺς αἱ τῶν πονηρευομένων Ἐκκλησίαι, οὐκ ἂν γένοιντο μητέρες τῶν ἠπατημένων.

Πᾶσαι αἱ κακίαι αὐτῶν ἐν Γαλγάλ, ὅτι ἐκεῖ ἐμίσησα αὐτούς, διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων. Ἐκ τοῦ οἴκου μου ἐκβαλῶ αὐτούς, οὐ μὴ προσθήσω ἀγαπῆσαι αὐτούς.

ΡΘ'. Ἄρχεται πάλιν ὁ τῶν ὅλων Θεὸς ἀπαριθμεῖσθαι τὰ ἐγκλήματα, καὶ διαμέμνηται τῆς Γαλγάλ. Πόλις δὲ αὕτη, καθ' ἣν ὅτι μάλιστα δεινῶς καὶ ἐκτόπως ἐθρησκεύετο τὰ χειρόκμητα. Ἔστι δὲ ὃ φησι τοιοῦτόν τι πάλιν. Βδελυροὶ μὲν γὰρ κατὰ πολλοὺς τρόπους οἱ ἐξ Ἰσραὴλ. Ἴδοι δ' ἂν τις τῆς ἐνούσης αὐτοῖς φαυλότητος τὴν ὑπερβολὴν, ἐννενοηκὼς τὴν Γαλγάλ. Ἐκεῖ πᾶσαν αὐτῶν τεθέαμαι τὴν κακίαν, ἐκεῖ μεμίσηκα αὐτούς. Οὐ διά γε τὸν τόπον, εὖηθες C γὰρ, καθεστηκὼς δὲ μᾶλλον τὰ ἐν αὐτῷ γεγονότα. Τοιγάρτοι, φησὶν, ἐξοικιῶ μὲν αὐτοὺς, καὶ αὐλῆς ἀποσοβήσω τῆς ἐμῆς, καὶ οἰκειότητος ἐκβαλῶ. Μεμισηκὼς δὲ δικαίως, ἐνστήσομαί τε λοιπὸν, καὶ οὐκ ἂν μεταθοίμην ἔτι πρὸς τὸ ἀγαπᾷν ἐλέσθαι ποτὲ τοὺς τὰ τοιάδε πεπλημμεληκότας. Ἀλλ', οἶμαι, τις ἐρεῖ· Πῶς, οὖν ἀνεκόμισεν εἰς τὴν Ἰουδαίαν ἐκ τῆς Ἀσσυρίων αὐτοὺς, ἢ πῶς ἀνῆκε τῆς αἰχμαλωσίας; Ἆρ' οὐχὶ μετατεθειμένος εἰς ἡμερότητα, καὶ φειδοῦς, καὶ ἀγάπης ἀξιώσας αὐτούς; Ναὶ φαίην ἂν ἀληθῆ καὶ αὐτὸς τὸν λόγον. Ἠλέηνται γὰρ ἐξ ἡμερότητος, ὁμολογουμένως. Ἀλλ' οἵγε καθ' ὧν ὁ λόγος ἀπῴχοντο μὲν εἰς αἰχμαλωσίαν, τεθνήκασι δὲ τῇ δίκῃ, χρόνου μακροῦ διϊππεύσαντος. Καὶ ὥσπερ D ἐπηγγέλλετο μὲν διὰ Μωσέως κατὰ τὴν Αἴγυπτον τοῖς Ἰσραὴλ, εἰσάξειν ἅπαντας εἰς τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσιν αὐτῶν, οὐκ ἠσέβησαν δὲ ἀπειθήσαντές τινες, ὧν καὶ τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ, κατεκληροδοτήθη δὲ μᾶλλον ἡ γῆ τοῖς ἐξ αὐτῶν γεγονόσιν· οὕτω κἀνθάδε νοήσεις. Τετελευτήκασι μὲν γὰρ οἱ καθ' ὧν ὁ λόγος, ὑπενόστησαν δὲ κατὰ καιροὺς οἱ ἐξ αὐτῶν εἰς τὴν Ἰουδαίαν, Κύρου μόλις ἀνέντος, ὅτε τὸ ἑβδομηκοστὸν ἔτος αὐτοῖς πεπλήρωτο, διατρίβουσιν ἀλλοδαπῇ.

Ἐκβληθήσονται δὲ τοῦ οἴκου τοῦ Θεοῦ, μᾶλλον δὲ καὶ ἐκβέβληνται, καὶ οἱ κατὰ Χριστοῦ τολμήσαντες τὰ δεινὰ, καὶ πέρα λόγου παντὸς δυσσεβήματα, καὶ

Digitized by Google

οἱ πικρὰν καὶ παλίμφημον ἐπ' αὐτῷ τὴν γλῶτταν ἀνέντες, ὑπομενοῦσι δὲ καὶ ἀμεταθέτως τὴν ὀργήν. Οὐ γὰρ εἰς ἕνα τῶν προφητῶν, ἀλλ' εἰς αὐτὸν πεπαροινηκότες, ἀλίσκονται τὸν τῶν προφητῶν Δεσπότην. Σεσιγημένων δὴ οὖν τῶν ἑτέρων πλημμελημάτων, ἃ δεδράκασι κατὰ σφᾶς αὐτούς, πᾶσαν ἂν τις αὐτῶν τὴν κακίαν ἴδοι καὶ τὴν τῆς φαυλότητος ὑπερβολήν, καὶ ὡς ἔν γε δὴ μόνοις τοῖς κατὰ Χριστοῦ γεγονόσιν.

A ausi sunt, qui amaram et detractoriam linguam in ipsum exseruerunt, subibuntque iram immutabilem. Non enim in prophetarum aliquem, sed in ipsum prophetarum Dominum debacchati inveniuntur. Silentio igitur præteritis quæcumque seorsum præterea amiserunt, omnem eorum nequitiam, et pravitatis magnitudinem quodammodo in solis contra Christum susceptis facinoribus videre possis.

Πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες. Ἐκόνεσεν Ἐφραὶμ τὰς ῥίζας αὐτοῦ, ἐξηράνθη, καρπὸν οὐκ ἔτι μὴ ἐνέγκῃ. Διότι καὶ ἐὰν γεννήσωσιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα κοιλίας αὐτῶν. Ἀπώσεται αὐτοὺς ὁ Θεὸς, ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσιν.

VERS. 16, 17. *Omnes principes eorum inobedientes. Doluit Ephraim radices suas, exaruit, fructum nequaquam ultra feret. Quia si genuerint, interficium desideria uteri eorum. Repellet eos Deus, quia non audierunt eum, et erunt vagi in gentibus.*

ΡΙ'. Οὐδένα χρηστὸν, ἤγουν εὐπειθῆ καὶ εὐήνιον ἐν αὐτοῖς ηὑρῆσθαί φησιν, οὐ μικρὸν, οὐ μέγαν, οὐχ ἡγούμενον, οὐ τὸν ὑπὸ χεῖρα καὶ ὑπεζευγμένον. Ταύτητοι καὶ δεῖν ἀπολέσθαι παντελῶς, ῥίζης ὥσπερ αὐτῆς ἐκβεβοθρευμένον διῖσχυρίζεται, ἐν ἴσῳ τε γεγονέναι λοιπὸν τοῖς ἀναινομένοις καὶ πεπληγόσι τῶν ξύλων. Ἃ καὶ μόνης δεῖται τομῆς, ἀναφανδὸν ὥσπερ ὁμολογοῦντα τὴν ἀκαρπίαν. Ὅτι δὲ τοῖς ἀκάρποις ξύλοις καὶ ἀποκείρεσθαι πρέπει, καὶ αὐτὸς ἐδίδαξεν ὁ Σωτὴρ, τὴν καρπὸν οὐκ ἔχουσαν συκῆν ὡς ἐν εἴδει τῆς Ἰουδαίων Συναγωγῆς ἐκκόπτεσθαι ἐπιτάττων. « Ἵνα τί γὰρ, φησὶ, καὶ τὴν γῆν καταργεῖ; » Ἄκαρπος δὴ οὖν εὑρεθεὶς ὁ Ἰσραὴλ, φησὶν, ἐκκόπτοιτο ἂν εἰκότως· οὐ γὰρ ἐκδώσει καρπόν. Ἀλλὰ κἂν εἰς τοῦτο γένοιτο, φησὶν, ἀπολῶ τὰ ἐξ αὐτῶν γεννώμενα. Καὶ τοῦτό ἐστι, « Τὰ ἐπιθυμήματα τῆς κοιλίας αὐτῶν. » Ἀναγκαῖον δὲ οἶμαι κἀκεῖνο περιαθρεῖν, τί τὸ χρῆμα τοῦ λόγου. Διὰ τί γάρ φησιν, ὅτι « Πάντες οἱ ἄρχοντες αὐτῶν ἀπειθοῦντες; » Τί γὰρ ὅλως ἐδεῖτο τῆς τῶν ἀρχόντων ὑποταγῆς; Ἀναφορὰν οὖν ὁ λόγος ἔχει πρὸς ἱστορίαν τινὰ τῶν ἀρχαιοτέρων. Καὶ τίς δὴ αὕτη πάλιν ἐρῶ. Μεμοσχοποίηκε κατὰ τὴν ἔρημον ὁ Ἰσραὴλ, ἀπόντος Μωσέως, ἀναπεφοίτηκε γὰρ ἐν τῷ ὄρει Σινᾷ, τὸν νόμον ὑποδεξόμενος. Εἶτα κατελθὼν, λελύπηται σφόδρα πρὸς τὸ πλημμέλημα, συνέτριψε τὸν μόσχον, ἀγανακτοῦντα Θεὸν ἐδυσώπει τρόπαν τινὰ τῇ ἰδίᾳ γνησιότητι καὶ ἀρετῇ. Προσέπιπτε γὰρ, καὶ ἐξελιπάρει λέγων· « Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου ταύτης, ἧς ἔγραψας. » Κατένευσε δὲ τῷ προφήτῃ Θεὸς εἶναι εἰς ἅπαντας ἡμερότητα, καὶ δὴ καὶ ἔφασκεν· Ἵλεως αὐτοῖς εἰμι, κατὰ τὸ ῥῆμά σου. Ὁρᾷς ὅσον ὤνησε τὸν Ἰσραὴλ ἡ τοῦ προεστηκότος φιλοθεΐα, καὶ εἷς ὑπὲρ πάντων ἀρκέσας εἰς τὸ ἀναπεῖσαι Θεὸν, δι' ὑποταγήν τε, καὶ εὐπείθειαν; Αἰτιᾶται τοίνυν εἰκότως, ὡς ὁλοτρόπως ἐκκεκλικότα τὸν Ἰσραήλ. Εἶτα μὴ ἔχοντά τινα τῶν παρ' αὐτοῖς ἡγουμένων, τὸν ἐπιτιμῶντα τοῖς πταίουσι, τὸν ἀφιστάντα τῆς πλάνης, ἤγουν τῇ ἰδίᾳ λαμπρότητι τῇ κατὰ τρόπαν καὶ ἀρετὴν ἀποστῆσαι δυνάμενον τὴν ὀργὴν, Θεοῦ παραπεπλημένου. Καθάπερ ἀμέλει καὶ ἐν καιροῖς Μωσέως γεγενημένον ἴδοις ἄν.

B CX. Neminem bonum, sive prompte obedientem, et facilem inter eos repertum ait, non parvum, non magnum, non principem, non clientem, et subditum. Quocirca et omnino, velut radicitus effossos periisse confirmat, et jam similes esse lignis arefactis et percussis, quibus sola resectione opus est, utpote sterilitatem suam palam ostentantibus. Lignis autem infructuosis amputationem convenire, ipse quoque Salvator docuit, ficulneam fructu carentem, et Judæorum Synagogam adumbrantem exscindi jubens. Inquit enim [77], « Ut quid etiam terram occupat? » Infructuosus itaque inventus Israel, inquit, merito exscindatur. Non enim dabit fructum. Quod si etiam dederint, inquit, ex ipsis prognata perdam. Et hæc sunt « desideria uteri eorum. » Existimo etiam considerandum, quid illa verba contineant. Cur enim dicit: « Omnes principes eorum inobedientes? » Quid enim omnium principum obedientia opus erat? Spectat oratio historiam quamdam veterem, quam exponam. Absente Moyse, Israel in solitudine **142** vitulum fecit. Ascenderat quippe in montem Sina legem accepturus [78]. Qui ubi descendit, eo scelere majorem in modum contristatus, vitulum comminuit, Deumque indignantem sua virtute et germanitate quodammodo ad ignoscendum compulit. Procidens enim, supplex rogavit, his verbis: « Si quidem dimittis illis peccatum, dimitte; sin autem, dele et me de libro hoc quem scripsisti. » Annuit prophetæ Deus, ut ignosceret omnibus; quinetiam dixit, propitius sum illis secundum verbum tuum. Cernis quantum moderatoris erga Deum amor Israeli profuerit, et quomodo unus ad Deum flectendum propter subjectionem et obedientiam pro omnibus suffecerit. Accusat igitur non injuria Israelem, ut qui penitus a recto itinere declinaverit, et principem de suis nullum omnino habeat, qui peccantes corripiat, qui ab errore avocet, aut certe qui morum ac virtutis suæ splendore Deo exorato, iram ejus amoliri possit, quemadmodum et temporibus Moysis factum legimus. Quamobrem etiam

[77] Luc. XIII, 10. [78] Exod. XXIV, 12.

Digitized by Google

« repellentur, inquit, et erunt vagi in gentibus. »

Hoc illis evenit et tunc quidem ad Assyrios deportatis, et nunc nihilominus propter debacchationes eorum in Christum exosis : ubique enim exsules et extranei, nec civitatem habentes in mundo manent, qui sunt de Israel. « Dispergam enim eos in omnem ventum [79], » dixit per sanctos prophetas Deus. Si ergo amicitia cum Deo nobis curæ est ; si ejus rationem ducimus, subjiciamus ei cervicem, et pia cum obedientia ad Christum accedamus dicentem : « Venite ad me, omnes qui laboratis, et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos [80]. » Sic enim et fructiferi et a percussu immunes erimus ; nec radix nostra exarescet ; nec fructus in nihilum recidet ; haud a Deo longissime vagabimur ; et prope ipsum, et apud ipsum erimus, et civitatem supernam in cœlis habebimus, primogenitorum matrem, sanctorum altricem cœlestiumque spirituum purum habitaculum.

ροῖς γέγονε τοῖς κατὰ Μωσέα. Τοιγάρτοι καὶ ἐξωσθήσονται, φησὶ, καὶ ἔσονται πλανῆται ἐν τοῖς ἔθνεσι.

Τοῦτο συνέβη παθεῖν αὐτοῖς, καὶ τότε μὲν ἀποκομισθεῖσιν εἰς Ἀσσυρίους, καὶ νῦν δὲ οὐδὲν ἧττον ἐπὶ ταῖς εἰς Χριστὸν παροινίαις κατεστυγημένοις. Ἀνέστιοι γὰρ καὶ ἐπηλύται πανταχῇ, καὶ πόλιν οὐκ ἔχοντες οἱ ἐξ Ἰσραὴλ διατελοῦσιν ἐν κόσμῳ. « Αἰκμιῶ γὰρ αὐτοὺς εἰς πάντα ἄνεμον, » διὰ προφητῶν ἁγίων ἔφασκε Θεός. Εἰ τοίνυν ἐπὶ τῇ πρὸς Θεὸν οἰκειότητος φροντὶς ἡμῖν καὶ λόγος, ὑποφέρωμεν αὐτῷ τὸν αὐχένα, καὶ προσίωμεν ὡς ἐξ ἀγαθῆς εὐπειθείας λέγοντι τῷ Χριστῷ· « Δεῦτε πρὸς μὲ, πάντες οἱ κοπιῶντες, καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. » Ἐσόμεθα γὰρ οὕτως ἔγκαρποί τε καὶ ἀπλῆγες, οὐκ ἀναινομένης ἡμῖν τῆς ῥίζης, οὐ καρποῦ πίπτοντος εἰς μηδὲν, οὐ πλανῆται, καὶ ἀποτάτω Θεοῦ, ἀλλ' ἐγγύς τε αὐτοῦ καὶ σὺν αὐτῷ καὶ πόλιν ἔχοντες τὴν ἄνω, καὶ ἐν οὐρανοῖς, τὴν τῶν πρωτοτόκων μητέρα, τὴν τῶν ἁγίων τροφὸν, τῶν ἄνω πνευμάτων τὸ καθαρὸν ἐνδιαίτημα.

TOMUS QUINTUS.

CAP. X.

VERS. 1, 2. *Vinea frondosa Israel. Fructus ejus abundans, secundum multitudinem fructuum suorum multiplicavit altaria. Juxta bona terræ suæ ædificavit simulacra, diviserunt corda sua, nunc disperibunt. Ipse suffodiet altaria eorum, affligentur simulacra eorum.*

143 CXI. Postquam dixit, Ephraim doluisse radices suas, et infructuosum fore, similemque mutatis sedibus alio penitus commigrantium, Assyriorum sævitia deletis eorum fetibus, nunc etiam utiliter ostendit, qualis olim fuerit, perquam fructuosus videlicet, quando vitam legibus respondentem sapienter vivebat. Qualis vinea quæpiam pulchra et bene convestita palmitibus, ante oculos finitimorum populorum in admiratione erat non immerito, et de ipsa alicubi beatus David in libro Psalmorum ad universorum Deum ait : « Vineam de Ægypto transtulisti, ejecisti gentes, et plantasti eam. Dux itineris fuisti in conspectu ejus. Extendit palmites suos usque ad mare, et usque ad flumina propagines suas [81]. » Nata est enim, « in cornu, et in loco pingui [82], » juxta vocem prophetæ. Verumtamen non uvam, sed spinas potius produxit. Nam in multitudine bonorum sibi donatorum velut sociam, et contra Deum colluctatricem iniquitatem exhibuit. Multiplicavit enim altaria, et ædificavit simulacra : quantumque supernis affluebat divitiis, tam prompta fuit ad contaminationem, quia dæmones adoravit et aras excitavit, et in seductionem multiplicis idololatriæ cor suum quodammodo divisit. Verum ista non durabunt, inquit. Quinam? « Ipse enim

ΤΟΜΟΣ ΠΕΜΠΤΟΣ.

ΚΕΦΑΛ. Ι'.

Ἄμπελος εὐκληματοῦσα Ἰσραήλ. Ὁ καρπὸς αὐτῆς εὐθυνῶν, κατὰ τὸ πλῆθος τῶν καρπῶν αὐτοῦ ἐπλήθυνε τὰ θυσιαστήρια. Κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ ᾠκοδόμησε στήλας, ἐμέρισαν καρδίας αὐτῶν, νῦν ἀφανισθήσονται. Αὐτὸς κατασκάψει τὰ θυσιαστήρια αὐτῶν, ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν.

ΡΙΑ'. Ἠλγημένον τὰς ῥίζας εἰπὼν τὸν Ἐφραΐμ, ἔσεσθαι δὲ καὶ ἄκαρπον, καὶ ἐν ἴσῳ τοῖς μετοικοῦσιν ὅλως, τῆς Ἀσσυρίων ἀγριότητος δαπανώσης τὰ γεννώμενα, δείκνυσιν ἀναγκαίως καὶ οἷος ἦν πάλαι, καὶ ὅτι γέγονεν εὔκαρπος, ὅτε τῆς ἐν νόμῳ ζωῆς μετεποιεῖτο σοφῶς. Οἷα γάρ τις ἄμπελος καλὴ, καὶ εὐκληματοῦσα τοῖς τῶν ἐθνῶν περιοίκοις ὁρώμενος, εἰκότως κατεθαυμάζετο. Καὶ περὶ αὐτῆς πού φησιν ὁ μακάριος Δαβὶδ ἐν βίβλῳ Ψαλμῶν, πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς. Ἐξέτεινε τὰ κλήματα αὐτῆς ἕως θαλάσσης, καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς. » Πέφυκε μὲν γὰρ, « Ἐν κέρατι, καὶ ἐν τόπῳ πίονι, » κατὰ τὴν τοῦ προφήτου φωνήν. Πλὴν οὐ τέτοκε σταφυλὴν, ἤνεγκε δὲ μᾶλλον ἀκάνθας. Τῷ γὰρ πλήθει τῶν δοθέντων ἀγαθῶν αὐτῇ σύνδρομον ὥσπερ τινὰ καὶ ἰσοπαλῆ τὴν ἀδικίαν ἐπεδείξατο· δῆλον δὲ ὅτι τὴν κατὰ Θεοῦ. Ἐπλήθυνε γὰρ θυσιαστήρια, καὶ ᾠκοδόμησε στήλας· καὶ ὅσον ἐπλούτει τοῖς ἄνωθεν ἀγαθοῖς, τοσοῦτον ἦν πρόθυμος εἰς βεβήλωσιν, διὰ τοῦ προσκυνεῖν τοῖς δαίμοσι, καὶ βωμοὺς ἐγείρειν, καὶ εἰς τὴν πολύθεον πλάνην τὴν ἰδίαν ὥσπερ καταμερίζειν καρδίαν. Ἀλλ' οὔτω ταῦτα, φησὶν, οὐκ ἔσται. Πόθεν; « Κατασκάψει γὰρ αὐτὸς

[79] Zach. II, 6. [80] Matth. XI, 28. [81] Psal. LXXIX, 9, 10 seqq. [82] Isa. V.

Digitized by Google

τὰ θυσιαστήρια αὐτῶν, » καὶ ταλαιπωρήσουσιν αἱ στῆλαι αὐτῶν, συνθραυόμεναι δηλονότι, καὶ κατασπώμεναι. Τὸ δὲ, αὐτὸς, ἀνοίσεις ἐμφρόνως εἰς τὸν τῶν ὅλων κατεξουσιάζοντα Θεὸν, ἤγουν, εἰς τὸ τοῦ Βαβυλωνίου πρόσωπον, ὡς ἤδη πλειστάκις προδεδειγμένου. Συμβέβηκε γὰρ ταῖς ἐν Σαμαρείᾳ πόλεσι καὶ αὐτοὺς συγκαταπίμπρασθαι τοὺς ναοὺς, καὶ διαρπάζεσθαι τὰ γλυπτά. Χρὴ τοίνυν ἡμᾶς, ἐφ' οἷς ἂν ἔχοιμεν παρὰ Θεοῦ χαίροντας ἀνάπτειν τὰ χαριστήρια, καὶ μὴ τῷ πλάτει τῆς εὐθηνίας ἐνολισθήσαντας, ἀποφέρεσθαί ποι πρὸς τὸ ἀπᾷδον αὐτῷ· ζητεῖν δὲ μᾶλλον καὶ ἀποπεραίνειν ἐπείγεσθαι, καὶ μάλα προθύμως, τὰ εἰς ἀρετὴν αὐχήματα, μὴ μεριζομένους πρὸς τὰ ἐν κόσμῳ πάθη, καὶ ὑποφέροντας τὸν αὐχένα τῷ Σατανᾷ. Καὶ γάρ ἐστιν ἀληθὲς, ὅπερ ἔφη Χριστός· « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν. » Εἰ δὲ μεριζόμεθα, καὶ « Μερίδες ἀλωπέκων ἐσόμεθα, » κατὰ τὴν Ψαλμῳδοῦ φωνήν.

A sufflodiet altaria eorum, » et affligentur simulacra eorum, confracta nimirum, et divulsa. Vocem ipse non male ad omnipotentem Dominum referes, aut ad personam regis Babylonii, de quo jam sæpe facta est mentio. Contigit enim, ut cum urbibus Samariæ etiam templa ipsa exurerentur, et idola diriperentur. Oportet igitur nos propter ea quæ a Deo habuerimus cum gaudio gratias agere, non in amplitudine rerum secundarum offendentes, aliquid Deo displicens abripi; quin potius desiderare, et ad ea promptissime præstanda incumbere, quæ ex virtute gloriam conciliant; non divisos in affectiones mundanas, et cervicem Satanæ subjicientes. Verum est enim illud Christi: « Nemo potest duobus dominis servire [83]. » Quod si dividimur, etiam B juxta vocem Psalmistæ, « partes vulpium erimus [84]. »

Διότι νῦν ἐροῦσι· Οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν Κύριον. Ὁ δὲ βασιλεὺς τί ποιήσει ἡμῖν; λαλῶν ῥήματα προφάσεις ψευδεῖς, διαθήσεται διαθήκην.

Vers. 3, 4. *Idcirco nunc dicent: Non est rex nobis, quia non timuimus Dominum. Rex autem quid faciet nobis? loquens verba occasiones mendaces, disponet testamentum.*

ΡΙΒ'. Οὐχὶ μόνον αὐτῶν σεισθήσεσθαι τὰ θυσιαστήρια, καὶ ταλαιπωρήσειν ἔφη τὰς στήλας, προσεπάγει δὲ, ὅτι καὶ μεταγνώσονται, καὶ θρηνήσουσιν ἐπί γε ταῖς σφῶν δυσβουλίαις, ἡμαρτηκότες δὲ τῆς ἐλπίδος, καὶ ἠπατημένοι τοῖς ἐκ τῶν κρατούντων ψευδηγορήμασιν, ὀψὲ καὶ μόλις συνήσουσιν. Οἱ μὲν γὰρ παρ' αὐτοῖς τοὺς τῆς βασιλείας διέποντες θρόνους, ἀρκέσειν ἔφασκον αὐτοῖς εἰς ἐπικουρίαν τάς τε χρυσᾶς δαμάλεις, καὶ τὴν ἐκ τῶν ἄλλων εἰδώλων ἀσφάλειαν, κἂν εἰ μὴ τὸν θεῖον ἔχοιεν νόμον, κἂν εἰ μὴ δρᾷν ἔλοιντο τὰ διὰ Μωσέως. Ἡ δὲ πεῖρα δέδειχε ψευδοεποῦντας αὐτούς. Τεθέανται γὰρ τοὺς τὰ τοιάδε πάλαι διατιθεμένους αὐτοῖς, καὶ ἀσυνέτως λέγοντας, ὑπὸ χεῖρα πεσόντας ἐχθρῶν. « Ταύτητοι, φασὶ, οὐκ ἔστι βασιλεὺς ἡμῖν, ὅτι οὐκ ἐφοβήθημεν τὸν Κύριον. » Ἰδοὺ γὰρ, φασὶ, ἐπαμύνων οὐδεὶς, ἤγουν ταῖς τῶν Βαβυλωνίων ἐφόδοις ἀντανιστάμενος. Ἀλλ' ἠτονήκασιν ἅπαντες· « Λέλυνται καὶ πεπτώκασιν » οἱ προεστηκότες. Πρόφασις δὲ τῆς ἀῤῥωστίας αὐτοῖς καὶ ἡμῖν, τὸ « Μὴ πεφοβῆσθαι τὸν Κύριον. » Ποία τοίνυν ἡ ὄνησις ἐκ τῶν κρατούντων; φησίν· οὐδὲν ἦν ἄρα τὰ παρ' αὐτοῖς, εἰ μὴ λόγοι ψευδεῖς, καὶ ματαιότης διαθηκῶν, ἤγουν ὑποσχέσεων. Ἔθος γὰρ τῇ θείᾳ Γραφῇ, διαθήκας ἀποκαλεῖν τὰς ἐπαγγελίας.

144 CXII. Non solum eorum altaria dirutum, et simulacra eversum iri dicit, sed addit etiam, fore, ut male consulta sua pœnitudine et lamentis prosequantur, spe autem frustrati et dominorum mendaciis decepti, sero, ac vix tandem intelligant. Qui enim apud ipsos thronum regni obtinebant, ad auxilium satis futurum autumabant vitulos aureos, et tutelam ab idolis cæteris, quamvis divinam C legem non haberent, quamvis præcepta Moysis non servarent. At experientia mentitos esse demonstravit. Viderunt enim eos, qui quondam hæc ipsis constituissent, et insipienter locuti fuissent, sub hostium ditionem venisse. « Ideo, inquiunt, non est rex nobis, quia non timuimus Dominum. » Ecce enim aiunt, opitulator nullus, aut qui Babyloniorum impressionem excipiat. Sed defecerunt omnes, « infirmati sunt; et ceciderunt [85] » qui præerant. Causa autem ipsorum, et nostræ imbecillitatis, quod « non timuimus Dominum. » Quæ ergo utilitas ex dominis? inquit. Nihil igitur erat quod dictitabant, nisi sermones mendaces, et testamentorum, seu promissorum vanitas; consuevit enim divina Scriptura promissiones appellare testa- D menta.

Σοφὸν οὖν ἄρα, καὶ παντὸς ἐπαίνου μεστὸν, τὸ πεποιθέναι μᾶλλον ἐπὶ Θεῷ, καὶ μὴ τοῖς τῶν πλανώντων ἀποφέρεσθαι λόγοις, ἐπὶ τὸ προσκρούειν τῷ Θεῷ, ἐμφρόνως δὲ μᾶλλον πρὸ πείρας αὐτῆς ἀποφοιτᾷν τῆς ὀργῆς, καὶ μὴ ὀψὲ παθόντας ὀλοφύρεσθαι, μόλις εἰς ἀνόνητον ἰόντας ὑστεροβουλίαν.

Sapiens itaque factum et omni laude plenum pati propter Deum, nec seducentium sermonibus ad ipsum offendendum abduci; sed ante experientiam iram ejus declinare, ne puniti jam sero plorantes, aliquando tandem ad posteriora consilia inutiliter descendamus.

Ἀνατελεῖ ὡς ἄγρωστις κρίμα ἐπὶ χέρσον ἀγροῦ, τῷ μόσχῳ τοῦ οἴκου ὤν.

Ibid. *Orietur sicut gramen judicium super desertum agri, vitulo domus ὤν.*

ΡΙΓ'. Ἡ ἄγρωστις φύεται ἐν ἀγροῖς, μάλιστα τοῖς ἀνηρότοις καὶ κεχερσωμένοις, καταδράττεται δὲ, καὶ

CXIII. Agrostis nascitur in agris, inaratis præsertim et desertis, terram obviam et vicinam ma-

[83] Matth. VI, 24. [84] Psal. LXII, 11. [85] Psal. XXVI, 2.

Digitized by Google

gna luxurie corripiens. Serpit enim in latum, nec cohiberi potest ab iis qui ejus ultra metas propagationem coercere conantur. « Judicium » igitur, inquit (a Deo utique), « veluti agrostis quædam super desertum agri, exorietur vitulo domus ὢν. » Perinde ac si dicat: Sententia perditionis et nutus puniens erit a me. Comprehendet autem tanquam agrostis vitulum, sive idola templi, quod est in Bethel; hoc enim sibi vult « domus ὢν. » Sic namque alii interpretes ediderunt, « vituli domus Bethel. » Septuaginta **145** vero pro « domus Bethel, » transtulerunt « domus ὤν. » Causam supra explicavimus; verumtamen repetere non pigebit. Lunæ filium, solis nepotem Apin Ægyptii fabulabantur, apud quos sol est « ὢν. » Ad repræsentandum vero Apin erat vitulus, quem fecit Jeroboam. Itaque ut agrostis comprehendens, inquit, et vincens quidquid apponitur obstaculorum, judicium a me exercebitur « vitulo domus ὢν, » sive Bethel. Semper enim divinum numen viribus pollet maximis, et ejus nutui resistere nihil valet. « Manum enim excelsam quis avertet [46] ? » ut scriptum est.

A μάλα νεανικῶς τῆς παρατυχούσης καὶ γείτονος γῆς. Διέρπει γάρ πως εἰς τὸ εὐρὺ, καὶ ἔτι δυσκαταγώνιστος τοῖς ἀνείργειν αὐτῆς ἐθέλουσι τὸν ἀεὶ τῶν παρακειμένων ἐπέκεινα δρόμον. « Κρίμα » τοίνυν, φησὶ, (δῆλον δὲ, ὅτι παρ' αὐτοῦ τοῦ Θεοῦ) « καθάπερ ἄγρωστις ἐπ' ἀγροῦ χέρσον ἀνατελεῖ τῷ μόσχῳ τοῦ οἴκου ὤν. » Ὅμοιον ὡς εἰ λέγοι· Ψῆφος ὀλέθρου, καὶ νεῦμα κολάζον ἔσται παρ' ἐμοῦ. Καταδράξεται δὲ ὡς ἄγρωστις τοῦ μόσχου, ἤτοι τῶν σεβασμάτων τοῦ ὄντος ναοῦ κατὰ τὴν Βαιθὴλ, σημαίνει γὰρ τοῦτο « Ὁ οἶκος τοῦ ὤν. » Ἐκδεδώκασι μὲν γὰρ οἱ ἕτεροι πάλιν ἑρμηνευταὶ, τοῦ μόσχου τοῦ οἴκου Βαιθήλ. Οἱ δέ γε Ἑβδομήκοντα ἀντὶ τοῦ « οἴκου Βαιθὴλ, οἴκου ὤν » εἰρήκασι. Καὶ τὴν αἰτίαν ἤδη προείπομεν ἐν τοῖς ἀνωτέρω. Πλὴν οὐδὲν ὀκνοῦντες ὑπομνήσομεν. Σελήνης μὲν γὰρ τέκνον, ἔκγονον δὲ ἡλίου τὸν Ἄπιν Αἰγύπτιοι μυθοπλαστοῦντες ἔλεγον. « Ὢν » δέ ἐστι κατ' αὐτοὺς ὁ ἥλιος. Εἰς τύπον δὲ τοῦ παρ' Αἰγυπτίοις Ἄπιδος ἡ δάμαλις ἦν, ἣν ἐποίησεν Ἱεροβοάμ. Οὐκοῦν, ὡς ἄγρωστις καταδραττομένη, φησὶ, καὶ νικῶσα πᾶν ὅσον ἐστὶ παρακείμενον κρίμα γενήσεται παρ' ἐμοῦ, « τῷ μόσχῳ τοῦ οἴκου ὤν, » ἤτοι Βαιθήλ. Παναλκὲς γὰρ τὸ θεῖον ἀεὶ, καὶ τοῖς αὐτοῦ νεύμασιν οὐδὲν ἔσται τὸ ἀντιστατοῦν. « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » κατὰ τὸ γεγραμμένον.

B

Vers. 5. *Peregrini et accolæ erunt habitantes Samariam, quia luxit populus ejus super eum. Et sicut exacerbaverunt eum, gaudebunt super gloriam ejus.*

Παροικήσουσιν οἱ κατοικοῦντες Σαμάρειαν, ὅτι ἐπέρθησεν λαὸς αὐτοῦ ἐπ' αὐτόν. Καὶ καθὼς παρεπίκραναν αὐτὸν, ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ.

CXIV. En dilucide declarat judicium comprehendens vitulum, et instar agrostis se dilatandi vim habens, contra quæ Deo visum fuerit. Meminit autem et nunc historiæ, quam afferri in medium res postulat, aliter enim oraculum haud percipiemus. Solebant omnes qui idola suppliciter venerabantur, miseris temporibus et hostibus ingruentibus, si inopia pecuniæ conflictarentur, ipsa quoque templorum anathemata et donaria ad usum suum convertere. Traditum est itaque in libris Regum, rege Syriæ Manaim urbes Samariæ adoriente, tum regem Israelis, quod pares ad resistendum copias non haberet, ad Phulam Assyriorum regem legatos misisse, eumque donis impulisse, uti se adjuvaret, et Syrum depelleret; quod et factum est. Vi enim et virtute Damascum occupavit, ipsumque Ader interfecit. Aiunt igitur, quod cum ingens auri pondus quæreretur, in eas angustias Manaim conjectum esse, ut unum quoque vitulum aureum subtraheret, et per legatos illis transmitteret. Luxitque Israel, eum, quem putabat Deum, alio mitti conspiceret. Credebat nihilominus, frivolis rationibus se ipsum consolans, Babylonium hunc vitulum in templo majore et illustriore collocaturum. Præterea a pluribus gentibus adoratum iri opinabatur: quam plurimæ siquidem Persarum et Medorum gentes numerantur. Manaim igitur vitulum ut erat, totum ex auro puro puto con-

C

ΡΙΔ'. Ἰδοὺ δὴ καθίστησιν ἐναργὲς τὸ κρίμα τὸ καταδραττάμενον τοῦ μόσχου, καὶ ἀγρώστεως δίκην ἐξευρύνεσθαι πεφυκὸς, καθ' ὅνπερ ἂν βούλοιτο Θεός. Ἱστορίας δὲ διαμέμνηται καὶ νῦν, ἣν ἀναγκαῖον εἰπεῖν· συνήσωμεν γὰρ ὡδὶ, καὶ οὐχ ἑτέρως, τὸ χρησμῳδούμενον. Ἔθος ἦν ἅπασι τοῖς εἰδώλων προσκυνηταῖς, καιροῦ καταθλίβοντος, καὶ πολεμίων ἐφεστηκότων, εἰ ἐν ἐνδείᾳ γένοιντο χρημάτων, ἅπτεσθαι καὶ αὐτῶν τῶν ἐν τοῖς τεμένεσιν ἀναθημάτων. Γέγραπται τοίνυν ἐν ταῖς Βασιλείαις, ὅτι πολιορκοῦντος τὰς ἐν Σαμαρείᾳ πόλεις τοῦ βασιλέως Συρίας, Μαναΐμ, τὸ τηνικάδε βασιλεύων ἐπὶ τὸν Ἰσραὴλ, εἶτα ταῖς ἴσαις δυνάμεσιν ἀντιφέρεσθαι πρὸς ἐκεῖνον οὐκ ἔχων, ἐπρεσβεύετο πρὸς Φοῦλαν τὸν τῶν Ἀσσυρίων βασιλέα, καὶ δώροις ἀνέπειθεν ἐπαμῦναί τέ οἱ, καὶ ἀποστῆσαι τὸν Σύρον, ὃ δὴ καὶ τετέλεσται. Εἶλε γὰρ ἐκεῖνος κατὰ κράτος τὴν Δαμασκόν. Ἀποσφάττει δὲ καὶ αὐτὸν τὸν Ἄδερ. Φασὶ τοίνυν, ὅτι πλείστης ὅσης ὀλκῆς ζητουμένης χρυσίου, περιέστη λοιπὸν εἰς τοῦτο τῷ Μαναΐμ ἀνάγκης τὰ πράγματα, ὡς καὶ μίαν δάμαλιν ὑφελέσθαι χρυσῆν, καὶ συναποστεῖλαι διὰ τῶν πρέσβεων. Καὶ τεθρήνηκε μὲν ὁ Ἰσραὴλ, ἣν ἐνόμιζεν εἶναι Θεὸν, ἐκπεμπομένην ὁρῶν. Ἔρρετό γε μὴν, ψυχροῖς ἑαυτὸν λογισμοῖς παραμυθούμενος, ὡς ἐν μείζοσιν ἔσται, καὶ λαμπροτέροις αὐτὴν ἐνιδρύσει ναοῖς ὁ Βαβυλώνιος. Διέκειτο δὲ πρὸς τούτοις, ὅτι προσκυνηθήσεται καὶ παρὰ πλειόνων ἐθνῶν· μυρία γὰρ ὅσα ἐστὶ τὰ Περσῶν τε καὶ Μήδων ἔθνη. Ὁ μὲν οὖν

D

[46] Isa. xiv, 27.

Digitized by Google

Μαναΐμ, ὡς ὅλην οὖσαν διόλου χρυσῆν, πέπομφε τὴν δάμαλιν. Ὁ δέ γε Φούλας συνέθλασε λαβών· ἕτερον γὰρ παρ' ἐκείνοις τὸ σέβας, καὶ δαμάλεως οὐκ ἀνέχονται. Εἶτά φησιν οὐχ ηὑρῆσθαι χρυσῆν, ὑπόχαλκον δὲ μᾶλλον, χρυσῷ διαπεπασμένην. Ἐντεῦθεν, φησίν, ὁ Ἀσσύριος ἐγέλασε τὸν Ἐφραΐμ, τουτέστι, τὸν Μαναΐμ, τὸν ἐκ φυλῆς Ἐφραΐμ βασιλεύοντα. Διέπτυσε δὲ πρὸς τούτῳ καὶ τὰς τοῦ Ἰσραὴλ εἰκαιοβουλίας. Εἰρηκότες δὴ οὖν τῆς ἱστορίας, ἴωμεν τῆς Ἑβραίων παραδόσεως τὸν λόγον, φέρε λοιπὸν ἀναγκαίως ἐπιτρέχωμεν τὴν λέξιν. Δυσκάτοπτος γὰρ, Ὅτι παροικήσουσιν οἱ κατοικοῦντες Σαμάρειαν, τὸ παροικήσουσιν, ἀντὶ τοῦ μετοικήσουσιν, ἤτοι μετοικισθήσονται, φησίν, οἱ νῦν ὄντες ἐν Σαμαρείᾳ. Λέγει δὲ τοὺς μόσχους, ἤτοι τὰς δαμάλεις ἐξεπέμφθησαν γάρ, ὡς ἔφην, εἰς Βαβυλωνίους. « Καὶ ἐπένθησε μὲν ἐπ' αὐτοῖς ὁ λαὸς αὐτοῦ. » Τίνος δὲ αὐτοῦ; ἢ δῆλον, ὅτι τοῦ ὤν, ὅ ἐστι, τοῦ Ἄπιδος; πλὴν ὡς ὤφθησαν, φησὶ, παρακικραίνοντες, καὶ ἀτιμάζοντες αὐτὸν διὰ τοῦ πέμπειν ἑτέροις, οὕτω ἡσθήσονται ἐπὶ τὴν δόξαν αὐτοῦ. Νομιοῦσι γὰρ, ὅτι καὶ πολὺ λίαν εὐκλεέστερος ἔσται, παρὰ πλειόνων ἐθνῶν προσκυνούμενος. Ἀλλ' ἡμαρτήκασι τῆς ἐλπίδος. Συντέθραυσται γὰρ, καὶ γέλωτος ἀφορμὴ τοῖς Βαβυλωνίοις ἦν. Οὐκοῦν τετελαιπώρηκεν ἡ στήλη αὐτῶν κατὰ τὴν αὐτοῦ τοῦ προφήτου φωνήν. Παρεπίκραναν δὲ τὸν μόσχον, οὐχ ὅτι παρεπικράνθη κατὰ τὸ ἀληθές· πῶς γὰρ ἂν τοῦτο πέπονθεν ἀναίσθητος ὕλη; ἀλλ' ὅτι τῶν ἐγχειρημάτων ἡ δύναμις παρώργισεν ἂν αὐτὸν, εἴπερ ἦν ὄντως θεὸς, καὶ ἐν αἰσθήσει τοῦ παθεῖν τὰ συμβεβηκότα

Ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ, καὶ αὐτὸν εἰς Ἀσσυρίους δήσαντες ἀσηγέτκαν ξένια τῷ βασιλεῖ Ἰαρείμ. Ἐν δόματι Ἐφραΐμ δέξεται, καὶ αἰσχυνθήσεται Ἰσραὴλ ἐν τῇ βουλῇ αὐτοῦ.

ΡΙΕ'. Ἑαυτὸν ἡμῖν ὁ προφητικὸς ἑρμηνεύει λόγος. Ὃ γὰρ εἰρηκεν ἀμυδρῶς, τοῦτο πειρᾶται διατανοῦν. Μετῳκίσθη γὰρ ὁ μόσχος ἀπὸ τοῦ Ἰσραὴλ, καὶ δήσαντες αὐτὸν (χαριεντίζεται δὲ ὁ λόγος) ἀπεκόμισαν ξένια τῷ βασιλεῖ Ἰαρείμ, ὅ ἐστιν, ἐκδίκῳ. Ἐκαλεῖτο γὰρ εἰς ἐπικουρίαν, καὶ οἱονεί πως εἰς τὸ ἐκδικῆσαι τὴν Σαμάρειαν ὀλοθρευομένην ὑπὸ τῶν Σύρων. Ἀλλὰ δέξεται μὲν ὁ Φούλας ὡς ἐν δόματι παρὰ τοῦ Ἐφραΐμ τὴν δάμαλιν, Ἐφραΐμ δέ φησι τὸν τοῦ Ἰσραὴλ βασιλέα. Πλὴν « Αἰσχυνθήσεται, φησὶν, ὁ Ἰσραὴλ ἐπὶ ταῖς ἑαυτοῦ βουλαῖς. » Ὅτι γὰρ, ὡς ἔφην, ἀπέστη μὲν τοῦ πάντα ἰσχύοντος Θεοῦ, εἵλετο δὲ μᾶλλον δαμάλεσι προσκυνεῖν, καταγέλαστος ἦν, καὶ κατεφωράτο πεσὼν εἰς γραῶδη, καὶ ψυχρὰν, καὶ ἀνόνητον εἰκαιοβουλίαν. Ἀληθεύει δὴ οὖν ὁ προφήτης, μᾶλλον δὲ Θεὸς, εἰ λέγοι διὰ φωνῆς ἁγίων περὶ τῶν λελατρευκότων τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, « Ἴδετε ὅτι σποδὸς ἡ καρδία αὐτῶν, » καὶ πλανῶνται.

Ἁρμόσειε δ' ἂν ὁ λόγος καὶ τοῖς τὰ ὀρθὰ τῆς Ἐκκλησίας παραλύουσι δόγματα. Ὥσπερ γὰρ ἡ δάμαλις συντριβομένη τὴν τοῦ Ἰσραὴλ ἤλεγξεν εἰκαιολογίαν, οὕτω καὶ τὰ ἐκείνων δόγματα ταῖς

[67] Sap. xv, 10.

flatum misit. **146** Quem Phulas acceptum confregit; aliud enim numen Assyrii colunt, nec vitulum patiuntur. Postea non amplius aureum, sed ex ære auroque commistum exstitisse narrant. Hinc Assyrium irrisisse Ephraim, hoc est, Manaim regem de tribu Ephraim, et stultitiam Israelis contempsisse. Expositа igitur historia, sive Hebræorum traditione, age deinceps verba contextus, ut debemus, percurramus. Minime enim perspicua est eorum sententia. Dicit igitur accolas fore habitantes Samariam. Accolæ erunt, pro, transmigrabunt alio habitatum, seu alio ad habitandum transferentur incolæ Samariæ. Quo nomine vitulos, seu buculas intelligit; ad Babylonios enim missæ sunt, ut docui. « Et luxit super iis populus ejus. » Cujusnam ejus? an ὤν, id est, Apidis? Verumtamen, quemadmodum visi sunt, inquit, eum exacerbare et contemnere dum allis mittunt, ita lætabuntur super gloria ejus. Existimabunt enim a pluribus gentibus adoratum gloriosiorem futurum. Sed fefellit eos spes. Confractus enim, materia risus et joci Babyloniis fuit. Quocirca afflictum est simulacrum ipsorum, ut hic ipse propheta dicit. Exacerbaverunt autem vitulum, non quia revera exacerbatus sit (qui enim sic afficeretur res sensus expers?), sed quia facti natura ipsum irritasset, si vere deus fuisset, et eventa sua sentire potuisset.

Vers. 6. *Quia translatus est ab eo, et ipsum in Assyrios ligatum abduxerunt munera regi Iarim. In dono Ephraim suscipiet; et confundetur Israel in consilio suo.*

CXV. Seipsum nobis propheticus sermo explanat. Quod enim dixit involutus, hoc evolvere nititur. Translatus est quippe vitulus ab Israel, et ligatum eum (jocatur enim festive propheta) asportarunt pro munere regi Iarim, hoc est, ulteri. Vocatus enim fuerat ad auxilium, et veluti ad vindicandam Samariam, quam Syri perditum veniebant. Sed suscipiet quidem Phulas vitulum ut donum Ephraim, a rege Israel videlicet; nihilominus « confundetur Israel, inquit, in consiliis suis. » Quoniam enim, ut dixi, ab Omnipotente descivit, et vitulos adorare maluit, ridiculus fuit, **147** et in anilem, ineptam, inutilem consilii vanitatem abiisse deprehensus est. Verum igitur dicit propheta, imo Deus, cum per os sanctorum dicit de iis, qui servierunt operibus manuum suarum: « Vidistis quia cinis corda eorum [67], » et seducuntur.

Accommodabitur oratio etiam in eos qui recta Ecclesiæ dogmata depravant. Sicut enim vitulus comminutus Israelis amentiam coarguit, ita et illorum dogmata inquisitionibus contrita, et vi veritatis con-

Digitized by Google

fracta, eorum auctoribus, et implis inventoribus, atque iis etiam qui ea inconsultissime in pectus admittunt, dedecori et pudori erunt.

ἐρεύναις συντριβόμενα, καὶ τῇ δυνάμει τῆς ἀληθείας συντεθραυσμένα, πρὸς αἰσχύνης ἔσονται καὶ ἐντροπῆς τοῖς συντεθεικόσιν αὐτὰ, καὶ ἀνοσίως ἐξηυρηκόσι, καὶ ἀβουλότατα δεχομένοις εἰς νοῦν καὶ καρδίαν.

VERS. 7, 8. *Projecit Samaria regem suum sicut sarmentum super faciem aquæ, et auferentur altaria ὠν, peccata Israel. Spinæ et tribuli ascendent super altaria eorum.*

Ἀπέῤῥιψε Σαμάρεια βασιλέα αὐτῆς ὡς φρύγανον ἐπὶ προσώπου ὕδατος, καὶ ἐξαρθήσονται βωμοὶ ὠν, ἁμαρτήματα τοῦ Ἰσραήλ. Ἄκανθαι καὶ τρίβολοι ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν.

CXVI. Mores Israelitarum, sive Samaritarum solutos et improbos, etiam circa ipsos, quos putabant deos, facile hic quoque locus arguerit. Nec mirum. Qui enim unum, et verum, et natura Deum, et discedendo, et quidvis turpissimum perpetrando impie per summam injuriam læserunt, quomodo erga multos, et falsos, et e lapidibus aut lignis fabrefactos sincere ac legitime se gererent? Ait igitur, projectum esse a Samaritis vitulum, qui apud eos regiis et divinis honoribus colebatur. Sic autem projectum esse, veluti si palea aut stipula aquæ vorticibus illapsa, mox pro impetu earum quovis raptetur. Cum ipsis autem simulacris delubra peritura, et aras destructum iri, et locum spinarum fore, universa eorum provincia devastata, quomodo non certissimum erat? Peccata Israel altaria vocat, aptissime, velut monumentum impietatis erga Deum scelerate excitatum, ὧν autem denuo Apin, seu vitulos in Bethel et Dan, in quorum gloriam et aræ stabant. Quare quod non constituit et firmat Deus, id penitus corruet. Ac tale quidpiam reor ab alio propheta clare dictum esse, « ipsi ædificabunt, et ego evertam [48]. »

ΡΙΓ'. Τὸ ἀνασφαλές τε ἅμα καὶ τὸ ἀνεπιεικὲς τοῦ τρόπου τῶν ἐξ Ἰσραὴλ, ἤτοι τῶν ἐν Σαμαρείᾳ, καὶ περὶ αὐτοὺς οὓς ζῶντο θεοὺς, ἐπιδείξειεν ἂν εὐκόλως καὶ τόδε δὴ πάλιν. Καὶ θαυμαστὸν οὐδέν. Οἱ γὰρ τὸν ἕνα, καὶ ἀληθῆ, καὶ φύσει Θεὸν, καὶ ταῖς ἀποστασίαις, καὶ ταῖς εἰς πᾶν ὁτιοῦν τῶν αἰσχίστων ἀποδρομαῖς ἀνοσίως περιυβρίσαντες, πῶς ἂν ἐγένοντο γνήσιοι περὶ πολλούς τε καὶ ψευδωνύμους, καὶ λίθων πεποιημένους ἢ ξύλων θεούς; Ἀπερρίφθαι δὴ οὖν φησι, παρὰ τῶν ἐν Σαμαρείᾳ τὸν μόσχον, τὸν ἐν δόξῃ τῇ παρ' αὐτοῖς Θεοῦ τε καὶ βασιλέως. Ἀπερρίφθαι δὲ οὕτως, ὡσανεὶ καὶ κάρφος ταῖς τῶν ὑδάτων δίναις ἐμπεπτωκὸς, ἀποφέροιτο λοιπὸν πρὸς τὸ τοῖς δωθοῦσι δοκοῦν. Ὅτι δὲ αὐτοῖς σεβάσμασι τὰ τεμένη συνοιχήσεται, βωμοί τε λυθήσονται, καὶ ἀκανθεῖς ἔσονται τόποι, καταδηωθείσης αὐτοῖς ἁπάσης τῆς χώρας, πῶς ἦν ἀμφίβολον; Ἁμαρτήματα δὲ τοῦ Ἰσραὴλ τοὺς βωμοὺς ἀποκαλεῖ καὶ μάλα εἰκότως, οἷον ὑπόμνημα τῆς εἰς Θεὸν δυσσεβείας αὐτῶν ἀνοσίως ἐγηγερμένους, ὧν δὲ πάλιν, τὸν Ἄπιν ὠνόμασεν, ἤτοι τὰς δαμάλεις τὰς ἐν τῇ Βαιθὴλ τε καὶ Δὰν, ὧν εἷς δόξαν καὶ οἱ βωμοί. Οὐκοῦν, ὃ μὴ ἵστησι Θεὸς, τοῦτο πάντη τε καὶ πάντως λυθήσεται. Καὶ τι τοιοῦτον δηλοῦν ὑπολαμβάνω τὸ δι' ἑτέρου προφήτου σαφῶς εἰρημένον· « Αὐτοὶ οἰκοδομήσουσι, καὶ ἐγὼ καταστρέψω. »

Et dicent montibus : Operite nos ; et collibus : Cadite super nos.

Καὶ ἐροῦσι τοῖς ὄρεσι, Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς, Πέσετε ἐφ' ἡμᾶς.

148 CXVII. Non solum in duabus urbibus Dan, inquam, et Bethel, simulacra superstitiose colebantur ; sed ibidem vituli aurei, in montibus autem, et collibus finitimarum gentium idola, Baal, Beelphegor, Astarte, Chamos. Non modo igitur aras ὧν, hoc est Apidis, sive vitulorum disturbatum iri ; sed omnino ac penitus etiam in collibus et montibus fana collapsura per hæc subindicat. Eo namque calamitatis et errorum redigentur, ut malint montibus sepeliri, quam viventes cernere, quæ oportebit pati vel invitos. Sciendum vero, Christum quoque denuntiantem calamitates propter nefarios in ipsum ausus illis immittendas, similibus verbis usum esse. Inquit enim : « Tunc dicetis montibus : Operite nos ; et collibus : Cadite super nos [49]. » Summa siquidem malorum et incommodorum magnitudines, mortem quamvis alioqui amarам, desideratissimam interdum multis efficiunt. Ipsis igitur montibus et collibus in quibus idola culta et impietatis crimina in Deum impudenter perpetrata

ΡΙΖ'. Οὐκ ἐν μόναις ταῖς δυσὶ πόλεσι, Δάν τε, φημὶ, καὶ Βαιθὴλ ἐθρησκεύοντο τὰ γλυπτὰ, ἀλλ' ἐνταῦθα μὲν αἱ δαμάλεις αἱ χρυσαῖ, ἐν δέ γε τοῖς ὄρεσι, καὶ τοῖς βουνοῖς, τὰ τῶν περιοίκων ἐθνῶν σεβάσματα, ὁ Βάαλ, ὁ Βεελφεγὼρ, ἡ Ἀστάρτη, καὶ ὁ Χαμώς. Ὅτι τοίνυν οὐχὶ μόνον κατασεισθήσονται τοῦ ὧν οἱ βωμοὶ, τουτέστι, τοῦ Ἄπιδος, ἤτοι τῶν δαμάλεων, ἀλλὰ γὰρ πάντη τε καὶ πάντως καὶ τὰ ἐν βουνοῖς, καὶ ὄρεσι τεμένη πεσοῦνται, διὰ τούτων ὑποδηλοῖ. Περιεστήξει γὰρ εἰς τοῦτο αὐτοῖς ἀθλιότητός τε καὶ δειμάτων τὰ πράγματα, ὡς ὑπ' αὐτοῖς γενέσθαι τοῖς ὄρεσι καὶ βουνοῖς ἑλέσθαι μᾶλλον, ἢ ζῶντας ἰδεῖν, ἃ παθεῖν ἦν ἀνάγκη καὶ οὐχ ἑκόντας αὐτούς. Ἰστέον δὲ, ὅτι καὶ αὐτὸς ὁ Χριστὸς ἀπαγγέλλων Ἰουδαίοις τὰς ἐπενεχθησομένας αὐτοῖς συμφορὰς διά γε τὰ εἰς αὐτὸν τολμήματα, τοῖς ἴσοις ἐχρήσατο λόγοις. « Τότε γὰρ ἐρεῖτε, » φησὶ, « τοῖς ὄρεσι· Καλύψατε ἡμᾶς, καὶ τοῖς βουνοῖς, Πέσετε ἐφ' ἡμᾶς. » Τὰ γὰρ εἰς λῆξιν ἥκοντα τῶν κακῶν, καὶ τῶν δεινῶν αἱ ὑπερβολαὶ, καίτοι πικρὸν ὄντα τὸν θάνατον, τοιοῦτον ἔσθ' ὅτε

[48] Malac. I, 4. [49] Luc. XXIII, 30.

Digitized by Google

δεικνύουσι τοῖς πολλοῖς. Αὐτοῖς δὴ οὖν ἄρα τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς, ἐν οἷς αἱ ψευδολατρίαι, καὶ τῆς κατὰ Θεοῦ δυσσεβείας τετόλμηται τὰ ἐγκλήματα, μανουχὶ καὶ ἐροῦσι, φησὶ, « Πέσετε ἐφ' ἡμᾶς, » καὶ φθάσατε τοῦ Βαβυλωνίου ξίφους τὴν ἀγριότητα, ὠμότατον ἀθλιότητα.

A sunt, dicent propemodum, inquit, « Cadite super nos, » et gladii Babylonici crudelitatem atque ingloriam, et intolerandam miseriam abductionis in captivitatem antevertite.

Ἀφ' οὗ οἱ βουνοὶ, ἥμαρτεν Ἰσραὴλ, ἐκεῖ ἔστησαν. Οὐ μὴ καταλάβῃ αὐτοὺς ἐν τῷ βουνῷ πόλεμος, ἐπὶ τὰ τέκνα τῆς ἀδικίας παιδεῦσαι αὐτούς. Καὶ συναχθήσονται ἐπὶ αὐτοὺς λαοὶ ἐν τῷ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀδικίαις αὐτῶν.

καὶ τῆς εἰς αἰχμαλωσίαν ἀπαγωγῆς τὴν ἀκλεᾶ καὶ

Vers. 9, 10. *Ex quo colles, peccavit Israel, ibi steterunt. Non comprehendet eos in colle bellum, super filios iniquitatis corripere ipsos. Et congregabuntur super eos populi, cum corripientur ipsi in duabus iniquitatibus suis.*

ΡΙΗ'. Πρεσβυτέραν εἶναί φησι, τῆς ἐπὶ ταῖς δαμάλεσι πλάνης, τὴν ἐν ὄρεσί τε καὶ βουνοῖς γεγενημένην ἀπόστασιν. Καὶ γοῦν ὅτε τὴν Σαμάρειαν κατειλήφασιν αἱ δέκα φυλαὶ, τῆς Ῥοβοὰμ βασιλείας ἀποσεισάμεναι τὸν ζυγὸν, τότε τὰς δαμάλεις εἰσηκόμισεν Ἱεροβοάμ. Ἐν δέ γε τοῖς Ἱεροσολύμοις ὄντες, τὴν ἐν ὄρεσί τε καὶ βουνοῖς ἐπετήδευον πλάνην, ταῖς ἀλλοφύλοις γυναιξὶν εἴκοντος καὶ κατανεύοντος τοῦ Σολομῶνος, τὸ τηνικάδε καὶ βωμοὺς ἀνιστῶντος, καὶ τεμένη λοιπὸν τοῖς ἐκείνων σεβάσμασιν. Ἐξ οὗ τοίνυν ἐπενοήθησαν οἱ βουνοὶ, καὶ τὰ ἐν αὐτοῖς ἀθύρματα, καὶ αἱ ψευδολατρίαι, ἐξ ἐκείνου τοῦ καιροῦ προσκέκρουκεν ὁ Ἰσραήλ. Ἔνδειξις δὲ καὶ τοῦτο τῆς θείας ἡμερότητος γένοιτ' ἂν οὐκ ἀσυμφανὴς, οὐδὲ ἐν χρόνῳ μακρῷ κολάζειν ἀνεχομένης τοὺς ἠσεβηκότας, ἀνιείσης δὲ μᾶλλον καὶ περιμενούσης τάχα που τῶν πεπλανημένων τὴν μετάγνωσιν. Οἱ δὲ ἦσαν ἀπηνέστεροί τε, καὶ τὰ ἔτι χείρω νοσοῦντες ἠλίσκοντο. Προσέθεσαν γὰρ τοῖς βουνοῖς καὶ τὰ ἐπὶ ταῖς δαμάλεσιν εὑρήματα. Θύοντες δὲ τοῖς δαίμοσιν ἐν ὄρεσί τε καὶ βουνοῖς, καὶ δοκοῦντες εὐσεβεῖν περὶ τὰ μάταια, τάχα που καὶ ὤφοντο κατὰ σφᾶς, μᾶλλον δὲ καὶ ἁρμόττως ἐνόμιζον, ὅτι καὶ ἐν βεβαίῳ στήσονται τῆς εὐημερίας, ἔσονται δὲ καὶ ἀμείνους τῶν ἀνθεστηκότων, καὶ ἀνάλωτοι τοῖς ἐχθροῖς. Σύνηθες δὲ τοῖς πλανωμένοις νόσημα τοῦτο. Καὶ γοῦν ὅτε *κατέβησαν εἰς Αἴγυπτον*, ἀλούσης τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ Βαβυλωνίου, συνεβούλευσε μὲν ὁ προφήτης *Ἱερεμίας*, ἀπέχεσθαι τοῦ θύειν εἰδώλοις, ἵνα τις γένοιτο φειδὼ ἐπ' αὐτοῖς παρὰ τοῦ σώζειν ἰσχύοντος Θεοῦ. Οἱ δὲ ταύτης ἕνεκα τῆς αἰτίας περιπεσεῖν ἔφασκον τοῖς δεινοῖς, ὅτι δὴ οὐ κατέληξαν τοῦ πληροῦν ἐθέλειν τὰ νενομισμένα, καὶ ὀλιγωροῦντες ἠλέγχοντο τῆς εἰς τὰ μάταια τιμῆς. Γέγραπται δὲ οὕτως· « Καὶ ἀπεκρίθησαν τῷ Ἱερεμίᾳ πάντες οἱ ἄνδρες, εἰ γνῶντες ὅτι θυμιῶσιν αἱ γυναῖκες αὐτῶν θεοῖς ἑτέροις, καὶ πᾶσαι αἱ γυναῖκες, συναγωγὴ μεγάλη, καὶ πᾶς ὁ λαὸς, οἱ καθήμενοι ἐν γῇ Αἰγύπτῳ, ἐν γῇ Παθουρῇ, λέγοντες· Τὸν λόγον ὃν λελάληκας πρὸς ἡμᾶς ἐν τῷ ὀνόματι Κυρίου, οὐκ ἀκουσόμεθα, ὅτι ποιοῦντες ποιήσομεν πάντα τὸν λόγον, ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδάς, καθὰ ἐποιήσαμεν ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν, καὶ οἱ βασιλεῖς ἡμῶν, καὶ οἱ ἄρχοντες ἡμῶν ἐν πόλεσιν Ἰούδα, καὶ

CXVIII. Errore in colendis vitulis antiquiorem esse in montibus et collibus factam defectionem affirmat. Quando igitur in Samariam venerunt decem tribus, regni Roboami jugo excusso, tunc vitulos Jeroboam introduxit [90]. Qui autem erant Hierosolymis, in montibus et collibus errorem suum exercebant sedulo, cum alienigenis mulieribus obsecundans et assentiens Salomon, etiam aras et fana insuper illarum numinibus jam tum condidisset [91]. Ex quo igitur excogitati sunt colles, et ludicra, et pseudolatriæ, ex eo tempore peccavit in Deum Israel. Potest et hinc benignitas Dei non obscure cognosci, quæ nec longo intervallo **149** impietatis reos punire sustinuit; sed indulsit potius, et dum seducti pœnitentiam forte agerent, exspectavit. At illi et contumaciores, et scelere corruptiores inventi sunt. Collibus enim vitulos quoque adjecerunt. Sacrificantes autem dæmonibus in montibus et collibus, et se in hoc inani studio religiosos arbitrantes, fortassis etiam apud animum cogitabant, imo congruenter putabant, se rebus secundis constanter usuros, et adversariis valentiores, et a servitute hostibus servienda tutos fore: qui morbus errore deceptis familiaris est. Hoc igitur, quando capta a Babylonio Hierosolyma in Ægyptum descendebant, propheta Jeremias suasit, ut sacrificiis idolorum temperarent, quo Salvatorem Deum propitium haberent. Ast illi hac de causa in calamitates se incidisse prædicabant, quod lege sancitis parere non desiissent, et in cultu deorum commentitiorum socordes evasissent. Sic autem legimus: « Et responderunt Jeremiæ omnes viri scientes, quod adolerent uxores eorum diis alienis, et omnes mulieres, congregatio magna, et omnis populus sedentes in terra Ægypti, in terra Pathures, dicentes: Sermonem quem locutus es ad nos in nomine Domini, non audiemus, quia facientes faciemus omne verbum quod egredietur de ore nostro, ut adoleamus reginæ cœli, et libemus illi libamina, sicut fecimus nos, et patres nostri, et reges nostri, et principes nostri in urbibus Juda, et foris Jerusalem, et saturati sumus panibus, et facti sumus boni, et mala non vidimus. Et ut cessavimus adolentes reginæ cœli, indiguimus omnes nos, et in fame defecimus [92]. » Culpat igitur Israe-

[90] III Reg. XII, 28. [91] III Reg. XI, 4. [92] Jer. XLIV, 15-18.

Digitized by Google

litarum vanos sermones et spem futilem ac de collibus dicit, « ibi steterunt, » hoc est, ut ipsi dictitant, aut saltem existimant, ibi cultis idolis stabilem felicitatem consecuti sunt, et in bonis immobilibus constiterunt, et ut insuper sibi persuadent, non comprehendet eos in colle ulla prorsus molestia, si legitima sculptilibus præstare non recusaverint. Sed decepti, et spe sua delusi sunt, inquit. Invasit enim eos bellum tanquam filios iniquitatis, et experientia ipsa erudientur, odiosam esse rebellionem ; et quinam, aut **150** per quos corripiendi sint, per maximum videlicet hostilemque exercitum : hoc enim est quod dicit, « congregabuntur populi super eos, » et mala belli plane occupabunt illos dum corripientur, « propter duas iniquitates ipsorum » Quæ quales sint, luculenter nobis per os Jeremiæ indicavit : « Obstupuit cœlum super hoc, et inhorruit extra modum vehementer, dicit Dominus, quia duo, et mala fecit populus meus. Me dereliquerunt fontem aquæ viventis ; et foderunt sibi lacus contritos, qui non poterunt aquam continere [22]. »

A ἐξῶθεν Ἱερουσαλὴμ, καὶ ἐπλήσθημεν ἄρτων, καὶ ἐγενόμεθα χρηστοὶ, καὶ κακὰ οὐκ εἴδομεν. Καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, ἠλαττώθημεν πάντες ἡμεῖς, καὶ ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ ἐξελίπομεν. » Αἰτιᾶται τοίνυν τῶν ἐξ Ἰσραὴλ αὐτό τι τὸ εἰκαιόμυθον καὶ τὸ σαθρὸν τῆς ἐλπίδος, καί φησι περὶ τῶν βουνῶν, ὅτι « ἐκεῖ ἔστησαν, » τουτέστιν, ὅτι καθάπερ αὐτοί φασιν, ἢ γοῦν οἴονται κατὰ σφᾶς, ἐκεῖ τοῖς γλυπτοῖς λατρεύσαντες, τὰ ἀσφαλὲς ἐσχήκασι τῆς εὐημερίας, καὶ ἐν ἀκλονήτοις ἔστησαν ἀγαθοῖς. Καὶ ὥς γε οἴονται πάλιν, οὐ μὴ καταλάβῃ αὐτοὺς ἐν τῷ βουνῷ, τὸ κατά τι γοῦν ὅλως λυπεῖν εἰωθὸς, εἰ πληροῦν ἕλοιντο τοῖς γλυπτοῖς τὰ νενομισμένα. Ἀλλ' ἠπάτηνται, φησὶ, καὶ ἀνημαρτήκασι τῆς ἐλπίδος. Ἀφίκται γὰρ δὴ πόλεμος ἐπ' αὐτοὺς, ἀδικίας ὄντας τέκνα, καὶ διὰ πείρας αὐτῆς παιδευθήσονται, πικρὸν ὅτι τὸ ἐξήνιον· καὶ τίνες ἂν εἶεν, δι' ὧν ἔσονται τὰ εἰς παιδείαν αὐτοῖς, ἁπλείστη τις ὅση πολεμίων ὁμήγυρις. Τοῦτο γάρ ἐστι τὸ, « Συναχθήσονται ἐπ' αὐτοὺς λαοὶ, » καὶ τὰ ἐκ τοῦ πολέμου δεινὰ συμβήσεται πάντως, ἐν τῷ παιδεύεσθαι αὐτοὺς, « Ἐπὶ ταῖς δυσὶν ἀδικίαις αὐτῶν. »

B

Καὶ ποῖα δὴ ταῦτά ἐστι, σαφέστερον ἡμῖν διὰ φωνῆς Ἱερεμίου παρέδειξεν, εἰπών· « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. »

Vers. 11. *Ephraim vitula docta diligere victoriam. Ego autem veniam super pulchritudinem colli ejus. Ascendam Ephraim, et reticebo Judam.*

CXIX. Ephraim cum vitulo componit, intractabili et superbo nimis, impetu indomito, in quemcunque forte irruerit, seu cicurationem non patiente, sed victoriam magis semper quærente, et ad id quod sibi complacuerit, incitationibus reprehensionum securis contendenti. Sed quanquam ejusmodi est, cedet tamen vel invitus ; domabitur enim calamitatum incursibus, subjiciente illum Deo, et tantum non per se id agente et pulchritudinem colli ejus disperdente, hoc est, præcipuam et selectam partem in Israel excutiente. Hæc autem erat quæ regnabat apud ipsos, subjectosque populos ad deserendum Deum provocabat. Quamobrem Deo incumbente dissipabitur, hoc enim opinor significare illud, « et ascendam Ephraim. » Œconomice autem dicit : « Reticebo Judam, » pro, paululum differam Judam, non illum pœnis subjiciens, non jam pro ira multans ; sed perferam potius, et agam lentius. Quam ob causam vero ? Quoniam Ephraim, hoc est, decem tribus, sicut jam dixi, prorsus sibi opera seductionis exercenda statuerunt ; duæ autem quæ erant Hierosolymis, Judas, puta, et Benjamin, sæpius habuerunt reges probos et pios, et qui ineptias idololatricas disturbarent, populumque ad vitam bene moratam et legibus consentaneam impellerent : qualis fuit Amasias filius Joas, religiosus et justus vir, et Ezechias, æque ut ille suscipiendus, zelo divino præ-

Ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾶν νίκος. Ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλος τοῦ τραχήλου αὐτῆς. Ἐπιβιβῶ Ἐφραὶμ, καὶ παρασιωπήσομαι Ἰούδαν.

C

ΡΙΘ'. Μόσχῳ παρεικάζει τὸν Ἐφραὶμ, σκληρῷ τε καὶ ἀγεράστῳ λίαν, καὶ ἀνακόπτεσθαι μὴ εἰδότι τῆς ἰδίας ὁρμῆς, ἣν ἂν ἐφ' ὅτῳ ποιεῖτο τυχὸν, ἡγοῦν τιθασσεύεσθαι μὴ ἀνεγομένῳ, ζητοῦντι δὲ μᾶλλον ἀεὶ τὸ νικᾷν, καὶ πρὸς τὸ αὐτῷ δοκοῦν ἀνεπιπλήκτως ἔσεσθαι ταῖς ὁρμαῖς. Ἀλλ' εἰ καὶ ἔστι τοιοῦτος, φησὶν, ἐνδώσει καὶ οὐχ ἑκών. Δαμασθήσεται γὰρ ταῖς τῶν συμφορῶν ἐφόδοις, ὑποζευγνύντος Θεοῦ, μόνον δὲ οὐχὶ καὶ τὸ κάλλος τοῦ τραχήλου αὐτοῦ παραλύοντος, τουτέστι, τὸ ἐξαιρέτως ἀφηνιῶν μέρος ἐν τῷ Ἰσραήλ. Τοῦτο δὲ ἦν ἡ παρ' αὐτοῖς βασιλεία, κατερρθίζουσα πρὸς ἀπόστασιν τοὺς ὑπὸ χεῖρα λαούς. Οὐκοῦν καταῤῥιφθήσεται, Θεοῦ καταβρίθοντος. Τοῦτο

D γὰρ οἶμαι δηλοῦν τὸ, « ἐπιβιβῶ Ἐφραὶμ. » Οἰκονομικῶς δὲ φησὶν, ὅτι « Παρασιωπήσομαι Ἰούδαν, » ἀντὶ τοῦ, μικρὸν ὑπερθήσομαι τὸν Ἰούδαν, οὐ ποιναῖς ἐνιείς· οὐκ ἐπάγων ἤδη τὰ ἐξ ὀργῆς· διακαρτερῶν δὲ μᾶλλον, καὶ ὑπενδιδοὺς ἠρέμα. Καὶ διὰ ποίαν αἰτίαν ; ὁ μὲν γὰρ Ἐφραὶμ, τουτέστιν, αἱ δέκα φυλαὶ, καθάπερ ἤδη προεῖπον, ἀπονενεύκασιν ὁλοτρόπως ἐπὶ τὸ δεῖν ἐλέσθαι πληροῦν τὰ τῆς πλανήσεως ἔργα. Αἱ δὲ τοῖς Ἱεροσολύμοις δύο φυλαὶ, Ἰούδας τε, φημὶ, καὶ Βενιαμὶν, γεγόνασι πολλάκις ὑπὸ βασιλέας ὀρθούς τε καὶ εὐσεβεῖς, καὶ τὰ τῆς εἰδωλολατρίας ἀθύρματα κατασείοντας, οἳ ζῆν ἀνέπειθον ἐπιεικῶς καὶ ἐννόμως· οἷός γέγονεν Ἀμασίας ὁ τοῦ Ἰωὰς, εὐσεβὴς καὶ δίκαιος ἀνὴρ. Ὁμοίως Ἐζε-

[22] Jer. II, 12, 13.

Digitized by Google

κίας, καὶ αὐτὸς ἐν ἴσῳ τεθαυμασμένος τῷ προειρημένῳ, ζηλωτὴς καὶ θεοφιλής. Ταύτητοι προπεπόνθασι μὲν αἱ δέκα φυλαὶ τὴν αἰχμαλωσίαν. Καταστρατεύσας δὲ τῶν Ἱεροσολύμων ὁ Βαβυλώνιος, ἠδίκησεν οὐδέν. Ἦρχετο δὲ μᾶλλον εἰς τὴν ἑαυτοῦ, φυγὰς καὶ περιδεής, ὅτε καὶ πεπτώκασιν ἐν μιᾷ νυκτὶ, διὰ χειρὸς ἀγγέλου, τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες. Ἀνεξικακοῦντος δὴ οὖν τοῦ Θεοῦ, καὶ φέροντος ἡμῶν τὰς ἀσθενείας, μὴ ῥᾳθυμῶμεν ἡμεῖς, μηδὲ ἀναπεπτωκότες ἁλισκώμεθα περὶ τὸ χρῆναι πληροῦν τὰ αὐτῷ δοκοῦντα καὶ φίλα.

Ἐνισχύσει αὐτῷ Ἰακώβ.

ΡΚ'. Ἔφην, ὅτι καταστρατευσας ὁ Ἀσσύριος τὴν ὑπὸ χεῖρα πληθὺν, καὶ πᾶσαν ἐξαναστήσας τὴν Σαμάρειαν, τάς τε πόλεις αὐτὰς καὶ τοὺς ναοὺς ἐμπρήσας, πεπολιόρκηκε μετὰ τοῦτο τὴν Ἱερουσαλήμ. Εἶλε δὲ οὐδαμῶς, Θεοῦ προασπίζοντος· ἀνῄρηνται γὰρ δι' ἀγγέλου ἐν μιᾷ νυκτὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες. Τοῦτό τοι, καθάπερ ἐγῷμαι, προαγγέλλει νυνὶ λέγων, « Ἐνισχύσει αὐτῷ Ἰακώβ. » — « Αὐτῷ » δὴ τίνι; ἢ δῆλον, ὅτι τῷ πολιορκήσειν μέλλοντι Ῥαψάκῃ; κέκληκε δὲ Ἰακὼβ τοὺς ἐξ αἵματος Ἰακὼβ, Ἰούδαν τε, φημὶ, καὶ Βενιαμίν. Ἴοι δ' ἄν, εἴπερ ἔλοιτό τις, καὶ κατὰ πάντος τοῦ Ἰσραὴλ ἡ λέξις. Ἔοικε δὲ πάλιν τῆς προφητείας ὁ νοῦς εἰς ἀνάμνησιν ἡμᾶς ἀναφέρειν ἀρχαιοτέρου πράγματος· μονονουχὶ πληροῦντος Θεοῦ τὴν ὑπόσχεσιν τὴν πρὸς τὸν θεσπέσιον Ἰακώβ. Ἐπειδὴ γὰρ ὡς ἄνθρωπος μετ' αὐτοῦ πεπάλαικεν ἐν νυκτὶ, πέραν τοῦ χειμάρρου Ἰαβὼχ, εἶτα γεγονότος τε ὄρθρου λοιπὸν, καὶ διαυγαζούσης ἡμέρας, ὁ μὲν Θεὸς ἀπαίρειν ἤθελε, λέγων· « Ἀπόλυσόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. » Ὁ δὲ οὐκ ἀνήσειν ἔφασκεν, εἰ μὴ αὐτὸν εὐλογήσειεν. Ἦκουε δὴ τότε, « Ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετὰ ἀνθρώπων δυνατὸς ἔσῃ. » Τοῦτό που τάχα πρὸς τὸ παρὸν ὁ τῆς προφητείας ἡμῖν ὑποσημαίνει λόγος, ἐναργέστατα τιθεὶς τὸ, « Ἐνισχύσει αὐτῷ Ἰακώβ. » Ἄθρει δὲ τῆς ἐπαγγελίας τὸ ἀκριβές· οὐ γὰρ ὅτι κατισχύσει τῶν Ἀσσυρίων ὁ Ἰακὼβ, ἀλλ' « ἐνισχύσει, » φησὶ· ἐν Θεῷ γὰρ ἴσχυσεν, οὐ δι' ἑαυτοῦ.

A ditus et Deo charus. Hac de causa decem tribus captivitatem prius subierunt. Et Babylonius copiis contra Jerusalem adductis, sine maleficio in regnum suum fugitivus, et timoris plenus recessit, **151** ceciderunteque una nocte per manum angeli centum octoginta quinque millia [94]. Tolerante igitur Deo, et infirmitates nostras sufferente, ne desides simus, neque in iis quæ illi placita acceptaque sunt exsequendis remissi inveniamur.

Irroborabitur ipsi Jacob.

CXX. Dixi, Assyrium suis in expeditionem eductis, et tota Samaria eversa, ejusque urbibus et templo incenso, deinde Hierosolymam obsedisse, B quam Deo protegente neutiquam subegit; una enim nocte ab angelo centum octoginta quinque millia interempti sunt [95]. Hoc nunc, ut mea fert opinio, ita prænuntiat, « Irroborabitur ipsi Jacob. » Cui « ipsi? » an obsessuro eam Rabsaci? Jacob vocavit procreatos e stemmate Jacob, Judam inquam, et Benjamin. Potest etiam vox de universo Israele accipi. Videtur porro sensus prophetiæ rursum veteris cujusdam rei memoriam nobis renovare, propemodum implente Deo promissa divino Jacob data. Ut enim quasi homo cum ipso luctatus est nocte trans torrentem Jaboc, factum est mane, et illucescente die abire voluit, dixitque: « Dimitte me, ascendit enim diluculum [96]. » Tum ille non se C dimissurum confirmavit, ni prius sibi benediceret. Audivit igitur, « Quoniam prævaluisti cum Deo, et cum hominibus potens eris [97]. » Hoc in præsenti propheticus sermo forsitan nobis insinuat, et illud « irroborabitur illi Jacob, » manifestissime declarat. Considera autem promissi perfectionem. Non ait, roborabitur contra Assyrios Jacob, sed « irroborabitur; » in Deo enim, non per se ipsum roboratus est.

ΤΟΜΟΣ ΕΚΤΟΣ.

Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, τρυγήσατε εἰς καρπὸν ζωῆς, φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ἐκζητήσατε τὸν Κύριον ἕως οὗ ἔλθῃ γεννήματα δικαιοσύνης ὑμῖν.

ΡΚΑ'. Διττὸς ἀεί πως ἐστὶν ὁ τῆς παραινέσεως τρόπος. Ἢ γὰρ ἐξηγούμενοι τὴν τοῖς θέλουσι ῥᾳθυμεῖν ἐπικεισομένην κόλασιν μετασοβεῖν εἰθίσμεθα, καὶ μάλα γοργῶς ἐπὶ τὸ βιοῦν ἑλέσθαι λαμπρῶς· ἢ τὰς τοῖς ἐπιεικέσιν ἠυτρεπισμένας τιμὰς ἀπαγγέλλοντες προθυμοτέρους ἀποτελοῦμεν τοὺς παιδευομένους ἐπὶ τὸ δεῖν ἰέναι λοιπὸν πρὸς τὴν ἀμείνω τε καὶ ἐννομωτάτην ζωήν. Τοιοῦτόν τι νῦν ὁ τῶν ὅλων Θεὸς ἐργάζεται. Ἠπείλησε μὲν γὰρ τοῖς πεπλανημένοις τοὺς πολέμους, τὰς συμφορὰς, τὴν εἰς ἀλλοφύλους ἀπαγωγὴν, τοὺς τῶν πόλεων ἐμπρησμοὺς,

TOMUS SEXTUS.

VERS. 12. *Seminate vobis in justitia, vindemiate ad fructum vitæ, illuminate vobis lumen scientiæ; quærite Dominum donec veniant fruges justitiæ.* D

CXXI. Duplex semper fere est admonitionis modus. Aut enim commemoratis quæ ignavos manent suppliciis, ad ea amolienda, et ad vitæ conspicuæ rationes celerrime arripiendas assuefacimus; aut bonis paratos honores annuntiantes, quos instituimus, ad vitam adhuc probatiorem, et legibus congruentissimam aggrediendam alacriores efficimus. Tale quiddam et modo Deus universorum facit. **152** Minatus est enim errantibus bella, calamitates, deportationem ad alienigenas, urbium inflammationes, hostium grassationes. Verumta-

[94] IV Reg. XIX, 35. [95] ibid. [96] Gen. XXXII, 26. [97] ibid. 28.

Digitized by Google

men non hic admonitionem suam terminavit; sed ecce rursum alia etiam via illis consulit. Nam dimisso quod inutile et omnis miseriæ illis fons est, quod maxime prodesse consuevit, contra capessere hortatur, colonorum more « seminantes quidem in justitia, vindemiantes autem fructum vitæ. » Ut enim scribit beatus Paulus, « quod seminaverit homo, hoc et metet [98]; » et, qui seminat mala, metet mala [99], ut scriptum est. Operarius autem justitiæ salute et vita replebitur, spectatus, et imitatione dignus : et vinum vindemiabit « lætificans cor hominis [1]. » Adhæc qui bene audire cupiunt, in animum et cor veræ scientiæ lumen inducere debent, quo carent, qui prætermisso Creatore adorant creaturam [2]. Quanam autem ratione possimus bene seminare in justitia, et vindemiare fructum vitæ, et splendidum scientiæ lumen suscipere, ipse docet, subjungens : « Quærite Dominum donec veniant vobis fruges justitiæ. » Quærendus autem a nobis Deus est, non secundum locum, quod fatuum foret, quandoquidem divinum numen loco non continetur; sed ut in affectione animæ, et alacritate mentis ad omnia illi grata inclinatæ, et conscientiam rectam, et nitidam, et ab omni reprehensione alienam spectantis. Sic enim eo invento, aliorum quoque bonorum acquisitione ditescemus. An verum non est quod ait Christus : « Sine me nihil potestis facere [3]? » Sed de hoc nullo modo dubitant, opinor, in quibus verum inest judicium. Hæc enim cum Deo, et per Deum, et a Deo omnis boni possessio nobis est. Dixerit tamen non male quispiam, non solum idolorum cultoribus, « seminate vobis in justitia, » et quæ sequuntur; sed etiam a sincera fide refugientibus, « et spiritibus erroris attendentibus, in hypocrisi dæmoniorum, et cauteriatam habentibus conscientiam [4]. » Ut igitur sapientissimus Paulus scribit, hi seminant quidem, sciendi proficiendique laboribus impense dediti; verumtamen non in justitia, sed in iniquitate et impietate, seducentes et seducti, « et percutientes infirmam conscientiam fratrum, pro quibus Christus mortuus est [5]. » **153** Vindemiant igitur non ad fructum vitæ aliquando, sed pœnam et judicium. Quamobrem dicebat Christus : « Quicunque scandalizaverit unum de pusillis istis in me credentibus, expedit ei ut suspendatur mola asinaria in collo ejus, et demergatur in profundum maris [6]. » Diligant igitur veritatem, hoc est, illud sapientiæ lumen. Ita quæritur Deus. Hinc illis fructus justitiæ orientur in vitam. Vindemiabitur etiam vinum, non quidem corporeum, sed quod intelligentia cernitur, et per spiritum, quod etiam cor et animum hominis lætificat.

Τρυγηθήσεται δὲ καὶ οἶνος, οὐ σωματικὸς, νοητὸς δὲ καὶ νοῦν.

A τῶν μαχομένων τὴν ἀγριότητα. Πλὴν οὐ μέχρι τούτων τὸν τῆς παραινέσεως ἵστησι λόγον, ἀλλ' ἰδοὺ δὴ πάλιν, καὶ καθ' ἕτερον αὐτοὺς ὀνίνησι τρόπον. Καὶ δὴ μεθέντας τὸ ἄχρηστον, καὶ ἁπάσης αὐτοῖς ταλαιπωρίας πρόξενον, τὸ ὅτι μάλιστα πεφυκὸς ὠφελεῖν, ἀνθελέσθαι κελεύει, γηπόνοις ἐνίσω, « Σπείροντας μὲν εἰς δικαιοσύνην, τρυγῶντας δὲ καὶ εἰς καρπὸν ζωῆς. » Ὡς γὰρ ὁ μακάριος γράφει Παῦλος, « Ὃ ἂν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· » καὶ, « Ὁ μὲν σπείρων φαῦλα, θερίσει κακὰ, » κατὰ τὸ γεγραμμένον. Ὁ δὲ τῆς δικαιοσύνης ἐργάτης, σωτηρίας ἔσται καὶ ζωῆς ἔμπλεως, λαμπρὸς καὶ ἀξιοζήλωτος, καὶ οἷνον ἀποτρυγήσει, « Τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου. » Δεῖ δὲ πρὸς τούτῳ τοὺς ἐθέλοντας εὐδοκιμεῖν, εἰς νοῦν καὶ καρδίαν τὸ τῆς ἀληθοῦς γνώσεως εἰσοικίζεσθαι
B φῶς, οὐκ ἐχόντων αὐτὸ τῶν προσκυνούντων τῇ κτίσει παρὰ τὸν κτίσαντα. Πῶς δ' ἂν γένοιτο καλῶς τὸ δύνασθαι σπείρειν εἰς δικαιοσύνην, καὶ μὴν καὶ ἀποτρυγεῖν εἰς καρπὸν ζωῆς, καὶ τὸ λαμπρὸν τῆς γνώσεως εἰσδέχεσθαι φῶς, αὐτὸς ὑπέδειξε, προστιθείς· « Ζητήσατε τὸν Κύριον ἕως οὗ ἔλθῃ γεννήματα δικαιοσύνης ὑμῖν. » Ζητοῖτο δ' ἂν πρὸς ἡμῶν Θεὸς, οὐχὶ τοπικῶς. Τοῦτο γὰρ εὔηθες· ἐπεὶ μὴ ἐν τόπῳ τὸ θεῖον· ἀλλ' ὡς ἐν διαθέσει ψυχῆς, καὶ νοῦ προθυμίαις, εἰς πᾶν ὁτιοῦν τῶν ἀρεσκόντων αὐτῷ διανενευκότος, καὶ εἰς εἴδησιν βλέποντος ὀρθὴν καὶ ἀπεξεσμένην, καὶ οὐδαμόθεν ἔχουσαν τὸ ἐπιτιμᾶσθαι δεῖν. Εὑρόντες γὰρ οὕτως αὐτὸν, καὶ τὴν τῶν ἑτέρων ἀγαθῶν καταπλουτήσομεν κτῆσιν. Ἢ οὐκ ἀληθεύει
C Χριστὸς, ὅταν λέγῃ, « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν; » Ἀλλ' ἔστιν, οἶμαι, τουτὶ τοῖς ὀρθὰ φρονεῖν εἰωθόσιν οὐδαμόθεν ἀμφίβολον. Κτῆσις γὰρ ἡμῖν αὕτη παντὸς ἀγαθοῦ μετὰ Θεοῦ, καὶ διὰ Θεοῦ, καὶ παρὰ Θεοῦ. Εἴποι δ' ἂν τις, καὶ μάλα εἰκότως, οὐχὶ μόνοις τοῖς τῶν εἰδώλων θεραπευταῖς, τὸ, « Σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην, » καὶ τὰ τούτοις ἑφεξῆς, ἀλλὰ γὰρ καὶ τοῖς τῆς ὀρθῆς πίστεως ἀποτρέχουσι, « Προσκειμένοις δὲ μᾶλλον πνεύμασι πλάνης, ἐν ὑποκρίσει δαιμονίων, κεκαυτηριασμένοις τὴν συνείδησιν. » Ὡς γοῦν ὁ σοφώτατος γράφει Παῦλος, οὗτοι σπείρουσι μὲν τοῖς εἰς γνῶσιν καὶ φιλομάθειαν ἐγκείμενοι· πλὴν οὐκ εἰς ἔργα δικαιοσύνης, ἀλλ' εἰς ἀδικίαν καὶ ἀσέβειαν, πλανῶντες καὶ πλανώμενοι, « Καὶ τύπτοντες ἀσθενοῦσαν τὴν συνείδησιν τῶν ἀδελφῶν, ὑπὲρ ὧν
D Χριστὸς ἀπέθανε. » Τρυγῶσι δὴ οὖν οὐκ εἰς καρπὸν ζωῆς πόθεν, ἀλλ' εἰς κόλασίν τε καὶ κρίσιν. Καὶ γοῦν ἔφασκεν ὁ Χριστὸς, ὅτι « Ὃς ἂν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων τῶν πιστευόντων εἰς ἐμὲ, συμφέρει αὐτῷ, ἵνα κρεμασθῇ ὀνικὸς μύλος περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης. » Οὐκοῦν, ἀγαπάτωσαν τὴν ἀλήθειαν, τοῦτό ἐστι τὸ τῆς γνώσεως φῶς. Οὕτω ζητεῖται Θεός. Ἐντεῦθεν αὐτοῖς καρποὶ μὲν δικαιοσύνης ἀνατελοῦσιν εἰς ζωήν.
μᾶλλον, καὶ διὰ πνεύματος, ὃς καὶ καρδίαν εὐφραίνει

VERS. 13. *Quid tacuistis impietatem, et iniquitates* *Ἵνα τί παρεσιωπήσατε ἀσέβειαν, καὶ τὰς ἀδι-*

[98] Galat. VI, 8. [99] Prov. XXII, 8. [1] Eccli. XL, 20. [2] Rom. I, 25. [3] Joan. XV, 5. [4] 1 Tim. IV, 2. [5] Cor. VIII, 11. [6] Matth. XVIII, 6.

Digitized by Google

κίας αὐτῆς ἐτρυγήσατε; Ἐφάγετε καρπὸν ψευδῆ, ὅτι ἠλπίσας ἐν τοῖς ἁμαρτήμασί σου, ἐν πλήθει δυνάμεώς σου, καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται.

ejus vindemiastis? Comedistis fructum mendacem, quia sperasti in turribus tuis, in multitudine fortitudinis tuæ. Et consurget perditio in populo tuo, et omnia murata tua peribunt

ΡΚΒ'. Αἰτιᾶται πάλιν, ὡς ἀπό γε τῆς εἰς τὸ φαῦλον ἡδονῆς ἐφ' οἷς ἥκιστα ἐχρῆν κατηρεμεῖν ἑλομένους, ἀβουλότατά τε σεσιγηκότας, ἐφ' οἷς ἦν εἰκὸς οὐ μετρίως λυπεῖσθαι Θεόν. Δέον γάρ, φησί, παντὶ σθένει διωθουμένους τὴν εἰς ἐμὲ δυσσέβειαν, τοῖς τὰ αἰσχρὰ συμβουλεύουσι ἐπιτιμᾷν, τοῦτό τε δρῶντας ἐν παντὶ γενέσθαι καλῷ, σεσιγήκασι, παρεδέξαντο τοὺς τῆς πλανήσεως τρόπους· οὐκ ἦν ἐν αὐτοῖς ὁ τοῖς ἐκεῖνα καινοτομοῦσιν ἀνθεστηκώς, οὐκ ἀντιτιθεὶς τὰ ἐκ νόμου, καὶ εἰς ἀνάμνησιν ἀποφέρων τῶν τεθεσπισμένων. Γέγραπται γάρ, « Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ. » Καὶ πάλιν· « Οὐ ποιήσεις σαυτῷ εἴδωλον. » Ἀλλ' ὀλίγος αὐτοῖς παντελῶς ὁ περὶ τούτων ἦν λόγος. Σεσιγήκασι γάρ, τιμῶντες τὴν ἀσέβειαν, τουτέστι, τὴν ἀπόστασιν. Οὐκοῦν, « Τετρυγήκασι τοὺς τῆς εἰς τοῦτο λοιπὸν ἀδικίας καρπούς. Κατεδηδόκασι καρπὸν ψευδῆ, » τουτέστιν, ἀθρανῆ τε καὶ ἀνόνητον ἐσχήκασι τὴν ἐλπίδα. Καρπὸς μὲν γὰρ ὁ ἀληθινὸς, ὁ σώζειν τε καὶ ὠφελεῖν δυνάμενος, ἡ εἰς Θεὸν ἀγάπη, καὶ τὰ τῆς δικαιοσύνης αὐχήματα. Καρπὸς δὲ ψευδὴς, ὁ τῆς δυσσεβείας νοοῖτ' ἂν εἰκότως· καταίρει γὰρ πάντως εἰς τέλος τὸ ἀπευκτόν. Ποῖος οὖν ὁ ψευδὴς ἆρα καρπὸς, ὁ ἐκ τῆς δυσσεβείας αὐτοῖς γεγενημένος, παρέδειξεν εὐθύς. Προσεπάγει γάρ, ὅτι « Ἤλπισας ἐν τοῖς ἅρμασί σου, ἐν πλήθει δυνάμεώς σου· καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται. » Δεδυσσέβηκας μὲν γὰρ οὐ μετρίως, φησὶ, ξύλοις τε καὶ λίθοις λελατρευκὼς, καὶ τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς ἀτιμάσας Θεόν. Εἶτα τοῦ πολέμου προηγγελμένου, βεβηκότος δὲ καὶ αὐτῶν εἴσω θυρῶν, οὐ τὴν παρ' ἐμοῦ μᾶλλον ἐζήτεις ἐπικουρίαν, ἀλλὰ ταῖς ἑαυτῶν δυνάμεσι, καὶ τῷ πλήθει τῶν ἁρμάτων ἐπεθαρσήσατε, καὶ τῆς τῶν πολεμίων ἰσχύος κρατήσειν ὑπελαμβάνετε, ἀρκούσης ὑμῖν εἰς τοῦτο τῆς τῶν ψευδωνύμων θεῶν φειδοῦς καὶ ἐπικουρίας. Τοῦτο ὑμῖν γενήσεται καρπὸς ψευδής. Ἔσται γὰρ ὄλεθρος κατὰ τῶν λαῶν. Πᾶσά τε λαμπρὰ καὶ εὐτυχεστάτη κατασεισθήσεται πόλις. Ὁ γὰρ οὐχ ἵστησι Θεὸς, πάντη τε καὶ πάντως πεσεῖται.

CXXII. Iterum eos castigat, ut qui præ voluptate mali quieverint in quibus minime decuit, inconsultissimeque tacuerint in his, propter quæ Deum non mediocriter irasci consentaneum fuit. Nam cum oportuisset, inquit, totis viribus profligare impietatem adversum me, et turpia suadentes increpare, et ita frui bonis omnibus, tacuerunt, seductiones admiserunt, non erat inter eos, qui illa nova molientibus resisteret, non qui legem opponeret, et ad recordationem divinitus præceptorum excitaret. Scriptum quippe exstat : « Non erunt tibi dii alii præter me[7] : » et rursum : « Non facies tibi idolum[8]. » Sed ista parvipendebant. Siluerunt enim, pluris facientes impietatem, hoc est, defectionem. Itaque « vindemiarunt de cætero fructus iniquitatis ejus. Comederunt fructum mendacem, » hoc est, imbecillam et inutilem spem habuerunt. Verus enim fructus salutem et utilitatem continens, est charitas erga Deum et justitiæ ornamenta. Fructus autem mendax, fructus impietatis apposite intelligi potest, ad finem enim prorsus exsecrandum devenit. Quis igitur sit fructus mendax, qui ipsis ex impietate oriatur, statim ostendit. Adjungit enim, « quia sperasti in curribus tuis, in multitudine fortitudinis tuæ. Et consurget perditio in populo tuo, et omnia murata tua peribunt. » Non enim modice fuisti impius, inquit, dum ligna et lapides coleres, unumque, et natura, et vere Deum **154** aspernareris. Deinde bello prænuntiato, et jam intra fores versante, non meam potius opem flagitastis; sed viribus vestris et numero curruum confisi, hostes debellaturos existimastis, quasi ad hoc vobis falsorum deorum favor auxiliumque sufficeret. Hic vobis fructus mendax erit. Erit enim populo pestis. Omnis autem illustris et fortunatissima civitas evertetur. Quod enim Deus non stabilit, plane corruat necesse est.

Λεγέσθω δὴ ταῦτα καὶ πρὸς ἡμῶν, μᾶλλον δὲ παρὰ Θεοῦ, τοῖς προσεδρεύειν ἐθέλουσι τοῖς ἀνοσίοις αἱρετικοῖς, καὶ μαθητιᾷν ὑποκρινομένοις τὰ εἰς ζωήν τε καὶ σύνεσιν. Οὗτοι παρασιωπῶσιν ἀσέβειαν. Ἀνέχονται γὰρ δυσφημούντων ἀκούοντες, καί τοι πλείστην ὀφείλοντες τὴν κατ' αὐτῶν ποιεῖσθαι κατάρρησιν. Μεθέξουσι δὴ οὖν τῆς ἑαυτῶν συμβουλίας, καὶ τοὺς τῆς ἀδικίας ἐκθεριοῦσι καρπούς. Φάγονται γὰρ ψευδῆ, νόθην καὶ ἀπόβλητον δεχόμενοι γνῶσιν, διδασκόμενοί τε τὰ διεστραμμένα, καὶ ὅσα τῆς ἀληθείας τὸ κάλλος παραχαράττειν ἐπιχειρεῖ. Ὅτι δὲ καὶ αὐτῶν πᾶσα πεσεῖται δύναμις, Θεοῦ καταστρέφοντος, οἰχήσονται δὲ καὶ εἰς ὄλεθρον καὶ ἀπώλειαν. πῶς ἂν ἐνδοιάσειέ τις;

Dicamus nos hæc etiam, imo Deus his qui assectantur impios hæreticos, et se teneri cupidine discendi ad vitam, et prudentiam pertinentia simulant. Hi tacent impietatem; æquo enim animo maledicentes audiunt, cum eos maximopere condemnare debeant. Participes igitur erunt eorum consilii, et iniquitatis fructus metent. Comedent enim mendacem fructum, spuriam et explodendam scientiam suscipientes, docentesque perversa, et quibus veritatis pulchritudinem adulterare conantur. Porro et illorum fortitudinem Deo evertente casuram, et in pestem atque exitium abituros dubitandum non est.

[7] Exod. xx, 3. [8] Levit. xxvi, 1.

Digitized by Google

VERS. 14, 15. *Sicut princeps Salmanae de domo Hierobaal, in diebus belli matrem super filios solo allisit; sic faciam vobis, domus Israel, a facie iniquitatis nequitiarum vestrarum.*

CXXIII. In libro Judicum refertur, declinasse Israel post Baalim aliquando. Quo scelere cum Deum offendissent, traditi sunt in manus Madian ad septennium integrum. Adeo autem inclementes dominos senserunt, ut etiam antra et speluncas habitarent, et in eas se abdentes, ægre vitam tuerentur, locorumque difficultates pro muris seu propugnaculis objectarent, quod faustam pugnam omnino desperarent [9]. Contingebat igitur concurrentes cum Madianitis crudeliter interfici, ut cum miseris matribus infantes quoque omni sublata misericordia perirent. Eorum principes erant Oreb, et Zeb [10], et Zebee, et Salmana [11]. Perduravit autem calamitas, donec ærumnosum Israelem miseratus Deus, excitavit Gedeonem, qui et a patre et ab indigenis alio nomine dictus est Hierobaal, **155** ob causam istiusmodi. Cum ei Deus per oracula angelica ita præcepisset, aram Baal destruxit, et lucum ejus succidit, idque clam et noctu. Incolæ oppiduli ubi primo diluculo sacris pro more faciendis ad nemus convenerunt, ibique Baal et nemus super eum illapsum conspexerunt, inde Gedeonis studium erga Deum conjicientes, eidem hujus rei causam ascripserunt. Deinde convento ejus patre dixerunt: « Da nobis filium tuum, ut occidamus eum, quia destruxit Baal [12]. » Ad hæc ille: « Num vos, inquit, ulciscimini Baal? si Deus est, ulciscatur se de eo qui destruxit illum [13]. » Inde cognomen mansit Gedeoni Hierobaal: quod sonat, « ulciscatur se Baal. » Sicut igitur Salmana, inquit, Madianitarum dux, de domo Gedeonis, sive Hierobaal matrem cum filiis allisit; eodem modo Assyriorum dux atrociter et immaniter, citraque ullam misericordiam bello vos tractabit, matremque cum liberis allidet. Evenient autem vobis ista propter nequitias vestras. Punit enim non temere justus judex universorum Deus; sed si ultra modum sese offendentium delicta perrexerint, tunc demum iratus pro portione supplicium irrogat. Si igitur aversamur iram, par est utique, nos etiam peccatum aversari et nolle divinam mitissimamque naturam ad indignationem velut exacuere, et forsitan invitam quoque scelerum diritate huc adigere. Sciendum autem antegressorum explanatorum quosdam scribere, non principem Madianitarum Salmana matrem cum filiis allisisse e domo Hierobaal, sive Israel (a ducibus enim interdum universitas significatur), sed contra potius in domo Salmana Gedeonem allisisse matrem cum liberis. Sed melius et convenientius fuerit, uti reor, illud quam istuc. Sicut enim tempore illo, quo Israel ad Baalim declinavit, apud eos filii cum matribus per manus alienigenarum allisi sunt: sic et nunc,

A *Ὡς ἄρχων Σαλμανὰκ ἐκ τοῦ οἴκου τοῦ Ἱεροβαὰλ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ τέκνοις ἠδάφισε· οὕτως ποιήσω ὑμῖν, οἶκος τοῦ Ἰσραήλ, ἀπὸ προσώπου ἀδικίας κακιῶν ὑμῶν.*

ΡΚΓ'. Ἐν τῇ βίβλῳ γέγραπται τῶν Κριτῶν, ὡς ἐξέκλινε μὲν ὁ Ἰσραὴλ ὀπίσω Βααλείμ κατὰ καιρούς. Ταύτῃτοι Θεῷ προσκεκρούκασι. Παραδίδονται δὲ καὶ εἰς χεῖρας Μαδιὰμ, ἐφ' ὅλοις ἔτεσιν ἑπτά. Ἀπηνῆ δὲ οὕτως ὑπομεμενήκασι τὴν ἐκ τῶν κεκρατηκότων πλεονεξίαν, ὡς ἤδη καὶ πέτρας οἰκεῖν καὶ σώζεσθαι μόλις, ἐν αὐταῖς καταδυομένους, καὶ προτείχισμα ποιεῖσθαι τὰς δυσχωρίας, διά τοι τὸ παντελῶς ἀπειπεῖν πρὸς μάχην. Συμβέβηκε τοίνυν ὡμῶς ἀναιρεῖσθαι τοὺς ἐμπίπτοντας τοῖς Μαδιηναίοις, ὥστε καὶ ἀθλίαις μητράσι συνδιόλλυσθαι τέκνα, φειδοῦς ἀπάσης ἐξῃρημένης. Ἦρχον δὲ αὐτῶν Ὠρήβ τε καὶ Ζήβ, καὶ Ζεβεὲ, καὶ Σαλμανά. Παρετείνετο δὲ τὰ τῆς συμφορᾶς ἄχρις ἂν κατοικτείρας Θεὸς ταλαιπωροῦντα τὸν Ἰσραὴλ, ἤγειρε τὸν Γεδεών, ὃς καὶ μετωνόμασται παρά τε τοῦ πατρὸς καὶ τῶν ἐγχωρίων Ἱεροβάαλ δι' αἰτίαν τοιαύτην. Χρήσαντος μὲν γὰρ αὐτῷ τοῦ Θεοῦ διὰ φωνῆς ἀγγέλου, καθεῖλε τὴν στήλην τοῦ Βάαλ, καὶ τὸ ἄλσος αὐτοῦ ἐξέκοψε λεληθότως καὶ ἐν νυκτί. Ἐπειδὴ δὲ οἱ τῆς πολίχνης οἰκήτορες τὰ συνήθη πληροῦντες ὑπὸ τὴν ἕω σπουδάζοντες, παρῆσαν ἐν τῷ τεμένει, καὶ κατερριμμένον τεθέανται τὸν Βάαλ, καὶ τὸν δρυμὸν ἐπ' αὐτῷ πεπτωκότα, κατεστοχάζοντο τῆς τοῦ Γεδεὼν ἤδη φιλοθεΐας, καὶ αὐτῷ τοῦ πράγματος ἐπέγραφον τὰς αἰτίας. Εἶτα προσῆσαν τῷ πατρὶ, λέγοντες· « Δὸς τὸν υἱόν σου, ἵνα ἀποκτείνωμεν αὐτὸν, ὅτι καθεῖλε τὸν Βάαλ. » Πρὸς ταῦτα ἐκεῖνος· « Μὴ ὑμεῖς, φησὶν, ἐκδικήσετε τὸν Βάαλ; εἰ Θεός ἐστι, δικασάσθω πρὸς τὸν καθελόντα αὐτόν. » Κἀντεῦθεν Γεδεὼν μετωνόμασται λοιπὸν Ἱεροβάαλ, ὃ διερμηνεύεται, « Δικασάσθω ὁ Βάαλ. » Ὥσπερ οὖν, φησὶν, ὁ Σαλμανὰ τῆς Μαδιηναίων πληθύος ὁ καθηγούμενος, ἐκ τοῦ οἴκου Γεδεὼν, ἤτοι τοῦ Ἱεροβάαλ μητέρα ἐπὶ τέκνοις ἠδάφισε, τὸν αὐτὸν τουτονὶ τρόπον τῶν Ἀσσυρίων ὁ στρατηγὸς ὑμῶς, καὶ ἀπανθρώπως, καὶ οἰκτιρμοῦ παντὸς δίχα χρήσεται πολέμῳ τῷ καθ' ὑμῶν, καὶ μητέρα σὺν τέκνοις ἐδαφιεῖ. Συμβήσεται δὲ ταυτὶ διά γε τὰς ὑμῶν κακίας. Κολάζει γὰρ οὐ μάτην, κριτὴς ὢν δίκαιος ὁ τῶν ὅλων Θεός. Ἀλλ' εἰ ἐκτείνοντο λοιπὸν εἰς τὸ ἐπέκεινα μέτρον τὰ τῶν προσκεκρουκότων αὐτῷ πλημμελήματα, τότε ἀναλόγως ἐπιφέρει τὰ ἐξ ὀργῆς. Εἰ δὴ παραιτοίμεθα τὸν θυμὸν, παραιτητέον εὖ μάλα καὶ τὸ πλημμελεῖν, καὶ τὸ οἱονεὶ καταθήγειν εἰς ἀγανάκτησιν τὴν θείαν τε καὶ ἡμερωτάτην φύσιν, τάχα δέ που καὶ οὐχ ἑκοῦσαν εἰς τοῦτο καταδιάζεσθαι ταῖς τῶν πταισμάτων ὑπερβολαῖς. Ἰστέον δὲ, ὅτι τῶν προλαβόντων ἐξηγητῶν τινες, οὐ τὸν τῶν Μαδιηναίων ἄρχοντα Σαλμανὰ μητέρα ἐπὶ τέκνοις ἐδαφίσαι φασὶν, ἐκ τοῦ οἴκου Ἱεροβάαλ, ἤτοι τοῦ Ἰσραὴλ (ἀπὸ γὰρ τῶν ἡγουμένων τὸ σύμπαν ἔθνος ὅτε κατασημαίνεται)· ἀλλὰ μᾶλλον ἐν τῷ οἴκῳ Σαλμανὰ τὸν Γεδεὼν ἐδαφίσαι μητέρα ἐπὶ τέκνοις. Ἀλλ' οἶμαι κρεῖττον, καὶ τὴν

B

C

D

[9] Judic. VI, 1, 2. [10] Judic. VII, 25. [11] Judic. VIII, 5. [12] Judic. VI, 30. [13] Ibid. 32.

Digitized by Google

ἀπὸ τοῦ πρέποντος ἐπικουρίαν ἔχον ἂν εἴη οὐχὶ τοῦτο μᾶλλον, ἀλλὰ τὸ ἕτερον. Ὥσπερ γὰρ κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν προσκέκλιτο τοῖς Βαλαεὶμ ὁ Ἰσραήλ, ἠδαφίσθησαν παρ' αὐτοῖς τὰ τέκνα μητράσιν ὁμοῦ διὰ χειρὸς ἀλλοφύλων, οὕτω καὶ νῦν ἀπονεύσαντος εἰς εἰδωλολατρίαν τοῦ Ἐφραΐμ, ἐδαφισθήσονται πάλιν διὰ χειρὸς Βαρβάρων, τουτέστι τῶν Ἀσσυρίων, ὁμοῦ ταῖς τεκούσαις τὰ γεγεννημένα. Οἶμαι δὴ οὖν, ὅτι τὸ πιθανὸν ὁ λόγος, καὶ τὴν ὁμοιότητα τὴν ὡς ἐξ εἰκόνος τῆς ἀρχαίας ἐπὶ τὰ νεώτερα διασώσει μᾶλλον, εἰ τῇδε νοοῖτο τῶν προκειμένων ἡ δύναμις.

A postquam ad idololatriam deflexit Ephraim, denuo per manus barbarorum, hoc est Assyriorum, nati eum matribus allidentur. Puto itaque si secundum sensum verba recitata intelligamus, quod dicitur probabilius fore, et similitudinem rerum veterum, ut ex imagine, in recentioribus magis appariturum.

ΚΕΦΑΛ. ΙΑ'.

Ὄρθρου ἀπερρίφησαν. Ἀπερρίφη βασιλεὺς Ἰσραήλ.

ΡΚΔ'. Οἱ λοιποὶ πάλιν ἑρμηνευταὶ, καὶ μὴν καὶ τῶν Ἑβραίων ἡ συγγραφὴ, τὸ, « Ὡς ὄρθρος ἀπερρίφησαν, » εἰρήκασιν ἐναργῶς, τὸ, οἷον ὡς ἐν ὀλίγῳ κομιδῇ καιρῷ, ἤγουν, ὀξέως καὶ ἀμελλητὶ τῆς πρὸς Θεὸν οἰκειότητος ἀποπεπτωκέναι τὸν Ἰσραὴλ, « διὰ τούτου σημαίνοντες. Βραχὺς δὲ λίαν, ὁ τοῦ ὄρθρου καιρός· ἅμα τε γὰρ ἄρχεται διαυγασμοῦ τῆς ἡμέρας τὸ φῶς, καὶ τὸν ὄρθρον ἐργάζεται· ἀνασχόντος γε μὴν ἡλίου, καὶ πρώτην ἀκτῖνα προχέοντος, λέλυται καὶ διελήλακεν. Οὐκοῦν ὡς ὄρθρος, τουτέστιν, ἐν ὀλίγῳ καὶ βραχεῖ, καὶ κομιδῇ συνεσταλμένῳ καιρῷ, τοῖς ἡγουμένοις ὁμοῦ συναπερρίφησαν. Ἢ γὰρ οὕτως συνήσομεν, ἢ καθ' ἕτερον τρόπον μεταληψόμεθα. Ὅτε γὰρ τοῖς ἀνθρωπίνοις πταίσμασιν οὔπω τὰς δίκας ἐπιφέρει Θεὸς, ἢ μακροτέραν ποιεῖται τῆς ἀνεξικακίας τὴν παράτασιν, τὸ ἀπεικὸς οὐδὲν, τοῖς ἐν νυκτὶ καθεύδουσι παρεικάζειν αὐτόν. Καὶ γοῦν οἱ μακάριοι προφῆται διακεκράγασι πολυτρόπως ἡμῖν, αὐτὸ δὴ τοῦτο κατασημαίνοντες. Ἱερεμίας μὲν γὰρ ὁ σοφώτατος, « Μὴ ἔσῃ, φησὶν, ὥσπερ ἄνθρωπος ὑπνῶν, ἢ ὡς ἀνὴρ οὐ δυνάμενος σώζειν; » Ὁ δέ γε θεσπέσιος μελῳδὸς, ποτὲ μὲν, φησὶν, ὅτι « Ἐξεγέρθητι, ἵνα τί ὕπνος Κύριε; ἀνάστηθι, καὶ μὴ ἀπώσῃ εἰς τέλος· » ποτὲ δὲ αὖ διεγηγερμένον βλέπων εἰς ἐπικουρίαν τινῶν, « Ἐξηγέρθη, » φησὶν, « ὡς ὁ ὑπνῶν, Κύριος· » ὄρθρον δὴ οὖν ἔοικεν ἀποκαλεῖν, τῆς ἐπ' αὐτοῖς οἱονεὶ ἐγρηγόρσεως τὸν καιρόν. Ὄρθρου γὰρ ἐξ ὕπνου διανιστάμεθα. Ἠγρυπνηκότος δὴ οὖν ἐπ' αὐτοῖς τοῦ Θεοῦ, καὶ μονονουχὶ διεγηγερμένου λοιπὸν εἰς ἐπίσκεψιν ὧν δεδράκασιν, ἀπόβλητοι καὶ ἀπερριμμένοι γενήσονται, καίτοι διὰ πλείστην δσην ἀνεξικακίαν μονονουχὶ καὶ νυστάξοντος ἐπ' αὐτοῖς, κατὰ τὸν ἤδη παρῳχηκότα καιρόν. Συναπερρίφθαι δὲ τοῖς ὄχλοις καὶ τὸν βασιλέα, φησὶν, ὡς ὅσον οὐδέπου καὶ τῆς Ἐφραΐμ βασιλείας ἐσομένης ἐκ μέσου. Ὑπονοστήσαντες γὰρ, ὡς ἔφην, εἰς τὴν Ἰουδαίαν μετὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν, ὑφ' ἕνα πάντες γεγόνασι βασιλέα καθάπερ ἀμέλει, καὶ ἐν ἀρχαῖς, καὶ πρὸ τῶν τῆς ἁλώσεως χρόνων. Ἐβασίλευον γὰρ οἱ ἐκ φυλῆς Ἰούδα, κατὰ τὴν Ἱερουσαλὴμ ὄντος τοῦ Ἰσραήλ.

B Mane igitur appellare videtur velut evigilationis tempus super ipsis : mane siquidem de somno surgimus. Quando ergo vigilaverit super ipsos Deus, et ad ipsorum acta de cætero inspicienda velut experrectus fuerit, rejectitii et projectitii fient, tametsi propter longe maximam patientiam propemodum super ipsis tempore præterito dormiverit. Una autem cum populo etiam regem projectum iri affirmat, utpote brevi regno quoque D Ephraim e medio tollendo. Reduces enim in Judæam, ut dixi, post tempus captivitatis, sub uno rege omnes fuere, sicut etiam principio et ante tempus captivitatis fuerant. Regnabant enim de tribu Juda progeniti, quando universus Israel adhuc Hierosolymam regni sedem agnoscebat.

156 CAP. XI.

VERS. 1. *Mane projecti sunt. Projectus est rex Israel.*

CXXIV. Rursum cæteri interpretes, quin et Hebræa scriptura manifeste habent, « sicut mane projecti, » quo significant quasi, exiguo admodum tempore, sive celeriter, citraque moram Israelem Dei amicitia excidisse : est quippe admodum breve matutinum tempus. Simul enim diurnum lumen illuminare incipit, mane creat; exoriente autem sole, et primos radios jaculante, mox desinit, et præterit. Igitur ut mane, id est, in modico, et brevi, et vehementer angusto tempore una cum principibus projecti sunt. Aut enim sic intelligemus, aut alio sensu accipiemus. Quando enim flagitiis humanis nondum pœnas infert Deus, aut tolerantiam longius producit, nihil habet absurdi noctu dormientibus ipsum comparari. Quamobrem beati prophetæ multimodis clamaverunt, hoc ipsum nobis significantes. Jeremias enim sapientissimus : « Numquid non eris, inquit, sicut homo dormiens, aut vir non potens salvare [14] ? » Divinus autem cantor, nunc ait : « Exsurge, quare obdormis, Domine ? exsurge, et ne repellas in finem [15] ; » nunc rursum excitatum ad quorumdam auxilium cernens, « Excitatus est, inquit, tanquam dormiens Dominus [16]. » Mane igitur appellare videtur velut evigilationis tempus super ipsis : mane siquidem de somno surgimus. Quando ergo vigilaverit super ipsos Deus, et ad ipsorum acta de cætero inspicienda velut experrectus fuerit, rejectitii et projectitii fient, tametsi propter longe maximam patientiam propemodum super ipsis tempore præterito dormiverit. Una autem cum populo etiam regem projectum iri affirmat, utpote brevi regno quoque Ephraim e medio tollendo. Reduces enim in Judæam, ut dixi, post tempus captivitatis, sub uno rege omnes fuere, sicut etiam principio et ante tempus captivitatis fuerant. Regnabant enim de tribu Juda progeniti, quando universus Israel adhuc Hierosolymam regni sedem agnoscebat.

Διότι νήπιος Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ, καθὼς μετεκάλεσα αὐτοὺς, οὕτως ἀπῴχοντο ἐκ προσώπου μου.

VERS. 2. *Quia parvulus Israel, et ego dilexi eum, et ex Ægypto vocavi filios ejus.* **157** *Sicut vocavi eos, ita abibant a facie mea.*

ΡΚΕ'. Ἔοικεν ἡμῖν ἐν τούτοις ὁ λόγος ἀνθυπο-

CXXV. Videtur mihi his verbis objectioni quo-

[14] Jer. XIV, 9. [15] Psal. XLIII, 23. [16] Psal. LXXVII, 65.

Digitized by Google

rumdam occurrere. Fingamus enim quempiam illud apud se cogitare, aut etiam palam proloqui. Si futurum erat ut exciderent, et a facie Dei olim rejicerentur posteri Israel, fierentque abominabiles et exosi, cur omnino a principio vocati sunt? Ad ista Deus perquam congrue respondet quodammodo, et dicit, « Parvulus Israel, et ego dilexi eum. Ex Ægypto accersivi filios ejus. » Homo candidus et sine fuco, inquit, fuit Jacob, mutato nomine dictus Israel; idcirco dilexi eum. Nam cum adhuc essent fratres in utero, « Jacob dilexi, inquit, Esau autem odio habui [17]. » Quoniam igitur dilexi eum, ob eam causam de Ægyptiorum quoque dominatu filios ejus eripui. « Facio enim misericordiam in millia diligentibus me [18]. » Quid honorati et selecti propter patres? libertatis ornati gratia, servituteque et laboribus exempti? Num vicissim honorarunt? num bene affectis animis protectorem Deum lætificare conati sunt? Nequaquam, inquit. Aufugerunt enim a Domino; abierunt ab eo qui eos cohonestaverat; protervi in eum qui vocavit exstiterunt. Abierunt autem, quonam modo? num quia singillatim, et secundum paucos a mente et judicio desciverunt, et quorumdam fallaciis capti sunt? Nullo modo. Resiluerunt enim sic, quomodo videlicet vocati sunt, id est, secundum universam multitudinem, et secundum tribus, totum genus, totæ familiæ. Sic enim quondam de Ægypto exierunt. Meminimus porro, vix tandem Pharaone dimissionem promittente, et de multitudine abitura cognoscere cupiente, et apertis verbis quærente, « quinam et qui sunt, et qui ibunt? » Moysen respondisse: « Cum junioribus et senioribus nostris ibimus, cum filiis, et filiabus, et ovibus, et bobus nostris [19]. » Ergo secundum totas tribus, et secundum multitudinem, secundum genus universum, et familias vocavit. Similem modum habuit apostasis, cujus turpitudinem clarissime ostendit cum dicit, « abibant a facie mea. » Quos enim odisse voluerit universorum Dominus, non dignatur respicere, juxta illud, inquam, in Psalmo cantatum: « Respice me, et miserere mei [20]. » Scriptum est enim: « Oculi Domini super justos [21]. » Et ipse alicubi: « Super quem respiciam, nisi super humilem, et quietum, et trementem sermones meos [22]? »

158 VERS. 3, 4. *Ipsi Baalim immolabant, et sculptilibus adolebant. Et ego colligavi Ephraim, et suscepi eum super brachium meum, et non cognoverunt, quia sano eos in corruptione hominum. Extendi eos in vinculis charitatis meæ.*

CXXVI. Immensam et divinitate ejus dignam inesse Deo mansuetudinem demonstrat. Iis enim qui crediderunt, et ipsum cognoverunt, solumque adorare cœperunt bona tribuere, videri possit conveniens, et ab æquitate alienum non est. Unusquisque enim siquidem recte facere velit, jam deditum

A φορᾷ μάχεσθαι τῇ παρά τινων. Νοείσθω γάρ τις ἐκεῖνο διενθυμούμενος, ἢ καὶ λέγων ἀναφανδόν. Εἰ ἔμελλον ἀποπεσεῖσθαι, καὶ ἐκ προσώπου Θεοῦ γενέσθαι κατὰ καιροὺς οἱ ἐξ αἵματος Ἰσραὴλ, βδελυροί τε ἔσεσθαι καὶ ἀπηχθημένοι, τί καὶ ὅλως κέκληνται τὴν ἀρχήν; Πρὸς ταῦτα Θεὸς, καὶ μάλα εἰκότως, ἐξηγεῖται τρόπον τινά, λέγων· « Νήπιος Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτόν. Ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. » Ἀνὴρ ἁπλαστος γέγονε, φησὶν, Ἰακὼβ, ὃς μετεπωνομάσθη Ἰσραήλ. Ταύτῃτοι καὶ ἠγάπησα αὐτόν. Ἔτι γὰρ ὄντων ἐν μήτρᾳ, « Τὸν Ἰακὼβ ἠγάπησα, φησί· τὸν δὲ Ἡσαῦ ἐμίσησα. » Ἐπειδὴ τοίνυν ἠγάπησα αὐτὸν, ταύτῃτοι καὶ ἐξειλόμην τῆς Αἰγυπτίων πλεονεξίας τὰ τέκνα αὐτοῦ. « Ποιῶ γὰρ ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με. » Τί οὖν οἱ τετιμημένοι καὶ ἀπόλεκτοι διὰ τοὺς πατέρας; οἱ τῇ τῆς ἐλευθερίας τετιμημένοι χάριτι, καὶ δουλείας καὶ πόνων ἀπηλλαγμένοι; Ἆρα τετιμήκασιν; ἆρα ταῖς εὐνοίαις κατευφραίνειν ἐσπούδασαν τὸν ὑπερασπίσαντα Θεόν; Οὐδαμῶς, φησίν. Ἀποδεδραμήκασι γὰρ τοῦ Δεσπότου, ἀπῴχοντο τοῦ τετιμηκότος, ὑβρισαν τὸν κεκληκότα. Ἀπῴχοντο δὲ, τίνα τρόπον; ἆρα καθ' ἕνα, καὶ κατ' ὀλίγους τοῦ φρονεῖν ὀρθῶς ἀπωλισθηκότες, καὶ ταῖς τινων ἀπάταις ὑποκλεπτόμενοι; Οὔμενουν. Ἀπέθορον γὰρ οὕτως, ὥσπερ ἀμέλει καὶ κέκληνται, τουτέστι, κατὰ πληθὺν ὅλην καὶ κατὰ φυλὰς, παγγενῆ τε καὶ πανοικί. Ἐξῆλθον γὰρ οὕτω τῆς Αἰγύπτου κατὰ καιρούς. Μεμνήμεθα δὲ, ὅτι μόλις ἀνήσειν τὸν Ἰσραὴλ ὑπισχνουμένου τοῦ Φαραὼ, καὶ τὴν ἀπαίρουσαν αὐτοῦ πληθὺν ἀναμαθεῖν ἐθέλοντος, λέγοντός τε σαφῶς, « Τίνες καὶ τίνες εἰσὶν οἱ πορευόμενοι; » Μωσῆς ἀπεκρίνετο· « Σὺν τοῖς νεανίσκοις ἡμῶν, καὶ σὺν τοῖς πρεσβυτέροις ἡμῶν πορευσόμεθα, σὺν τοῖς υἱοῖς, καὶ θυγατράσι, καὶ προβάτοις, καὶ βουσὶν ἡμῶν. » Οὐκοῦν κατὰ φυλὰς ὅλας καὶ κατὰ πληθὺν, κατὰ γένος τε καὶ οἶκους ἡ κλῆσις. Κατὰ τὸν ἴσον δὲ τρόπον καὶ ἡ ἀπόστασις, ἧς τὸ ἀκαλλὲς ὅτι μάλιστα σημαίνει, λέγων τὸ, « Ἀπῴχοντο ἐκ προσώπου μου. » Οὓς γὰρ ἂν ἕλοιτο μισεῖν ὁ τῶν ὅλων Δεσπότης, οὐδ' ἂν ἐπισκέψαιτο, κατ' ἐκεῖνο, φημὶ, τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· « Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με. » Γέγραπται γὰρ, ὅτι « Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους· » καὶ αὐτὸς δέ πού φησιν· « Ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου; »

B

C

D

Αὐτοὶ τοῖς Βααλείμ ἔθυον, καὶ τοῖς γλυπτοῖς ἐθυμίων. Καὶ ἐγὼ συνεπόδισα τὸν Ἐφραΐμ, καὶ ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου. Καὶ οὐκ ἔγνωσαν ὅτι ἴαμαι αὐτοὺς ἐν διαφθορᾷ ἀνθρώπων. Ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου.

ΡΚϚ'. Ἀμέτρητον οὖσαν καὶ θεοπρεπῆ τὴν ἐνοῦσαν αὐτῷ δείκνυσιν ἡμερότητα. Τὸ μὲν γὰρ τοῖς ἤδη πεπιστευκόσι, καὶ ἐπεγνωκόσιν αὐτὸν, καὶ αὐτῷ δὴ μόνῳ προσκυνεῖν ἠρημένοις ἀπονέμειν τὰ ἀγαθὰ, λόγον ἂν ἔχοι τὸν πρέποντα, καὶ οὐκ ἔξω τοῦ εἰκότος τὸ χρῆμα κείσεται. Τιμᾷ γάρ τις, εἴπερ ἕλοιτο δρᾷν

[17] Malach. I, 3. [18] Exod. XX, 6. [19] Exod. X, 8. 9. [20] Psal. LXXXV, 16. [21] Psal. XXXIII, 16. [22] Isa. LXVI, 2.

Digitized by Google

ὀρθῶς, τὸν οἰκεῖον ἤδη, καὶ προσδεδραμηκότα. Τὸ δὲ καὶ τοῖς βεβήλοις ἔτι, καὶ οὐκ εἰδόσιν αὐτὸν, παντὸς ἀγαθοῦ φαίνεσθαι χορηγὸν, ὑπερβολὴν ἂν ἔχοι φιλανθρωπίας, καὶ θαύματος, καὶ θεοπρεποῦς ἀληθῶς ἀπόδειξιν ἡμερότητος. Τοιγάρτοι καὶ αὐτὸς ἔφασκεν ὁ Σωτὴρ, κατοικτείρων τὰ καθ' ἡμᾶς, καὶ τὸν οὐδαμόθεν πρέποντα τοῖς φιλαμαρτήμοσιν ἔλεον ἀπονέμων ὡς Θεὸς, ποτὲ μὲν, ὅτι « Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· » ποτὲ δὲ πάλιν, « Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. » Καίτοι τοίνυν, φησὶ... τουτέστιν, οἱ ἐξ Ἰσραὴλ ἐπλανῶντο κατὰ τὴν Αἴγυπτον, οὔπω Θεὸν ᾔδεσαν τὸν ἀληθινὸν, ἐμέ· κατεφωρῶντο δὲ μᾶλλον θυσίας προσάγοντες τοῖς Βααλείμ, τουτέστι, τοῖς εἰδώλοις, θυμιῶντες τοῖς γλυπτοῖς, ἤτοι τοῖς τῶν ἐγχωρίων σεβάσμασιν. Ἐγὼ δὲ ἐπείπερ εἰμὶ χρηστός τε καὶ ἀγαθὸς, καίπερ οὕτως ἔχοντα σκαιότητος τὸν Ἐφραΐμ, ἤτοι καθ' ὅλου τὸν Ἰσραὴλ, ὡς ἐκ μιᾶς ἐνθάδε φυλῆς δηλούμενον, συνεπόδισα, φησίν. Καὶ τί δή τοῦτό ἐστιν, αὐτὸς διεσάφησε, λέγων· « Ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου. » Ἡ δὲ τοῦ παραδείγματος ὁμοιότης, ὡς ἐκ τοῦ δρωμένου περὶ τὰ νήπια. Οἱ γὰρ τὰ μικρὰ τῶν βρεφῶν εἰς χεῖρας ἀναλαμβάνοντες, εἰσὶ συμποδίζουσιν αὐτὰ, συνενεγκόντες τοὺς πόδας. Δεῖ γάρ, οἶμαι, συστέλλεσθαι μηρούς τε καὶ γόνατα παντὸς τοῦ συνιζηκότος, τουτέστι, τὸ « συνεπόδισα· » καθάπερ ἀμέλει καὶ περὶ τοῦ Ἀβραὰμ γέγραπται, ὅτι συνεπόδισεν Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ὅτε καὶ θύειν αὐτὸν προσεδόκησε τῷ Θεῷ. Εἰδέναι δὲ ἀναγκαῖον, ὅτι τῶν Ἑβραίων ἡ ἔκδοσις, καὶ μὴν καὶ ἡ τῶν ἑτέρων, οὐκ ἔχει τὸ, « συνεπόδισα. » Τεθείκασι δὲ μᾶλλον τὸ, « Γέγονεν ὡς τιθηνὸς τῷ Ἐφραΐμ. » Οὐκοῦν ἐγὼ μὲν περὶ αὐτοὺς τοιοῦτος, αὐτοὶ δὲ οὐκ ἔγνωσαν, τουτέστιν, οὐ συνῆκαν, οὐκ ᾔσθοντο ὅτι καταφθείρων ἑτέρους, τῶν κατ' αὐτοὺς ποιοῦμαι τὴν ἐπανόρθωσιν· τοῦτο γὰρ τὸ, « Ἴαμαι αὐτοὺς ἐν διαφθορᾷ ἀνθρώπων. » Κατεφθάρησαν μὲν γὰρ Αἰγύπτιοι πρῶτοι ταῖς δέκα πληγαῖς, οὐκ ἀνιέντος τοῦ Φαραώ. Μετὰ δέ γε τὰς Αἰγυπτίων πληγὰς, διολώλασι Χεταῖοι, Εὐαῖοι καὶ Ἀμορραῖοι, Χαναναῖοι καὶ Ἰεβουσαῖοι, οὓς νενικηκὼς κατακράτος ὁ Ἰσραὴλ, κεκληρονόμηκε τῆς ἐπαγγελίας τὴν γῆν, Θεοῦ πᾶν αὐτοῖς καταψηλεῦντος τὸ ἄναντες, καὶ τὸ δύνασθαι κατευμεγεθεῖν τῶν ἐχθρῶν ἀπονέμοντος. Οὐκοῦν, οὐκ αἰσθάνονται, φησὶν, ὅτι καταφθείρων ἀνθρώπους τοὺς ὁμογενεῖς αὐτοῖς, εὖ ἐτίθουν τὰ κατ' αὐτούς· καὶ ἐξέτεινα αὐτοὺς, τουτέστι, συνέσφιγξα, καὶ συνέσχον ἐν δεσμοῖς ἀγάπης. Ἀλλ' εἴπερ ἦσαν σοφοὶ, πάντως που καὶ ἐνενόησαν, καὶ ἐλογίζοντο κατὰ σφᾶς, ἀνθ' ὅτου τὰ μὲν ἔθνη ταῦτα κατεφθάρη παρὰ Θεοῦ, ἀντεισκεκομίσμεθα δὲ ἡμεῖς. Συνέντες γὰρ οὕτως, ὅτι μεμίσηκε τὸν ἁλιτήριον, καὶ οὐκ ἐν λόγῳ ποιοῦμαι τὸν τῶν δαιμονίων θεραπευτὴν, κατέληξαν ἂν τάχα που τοῦ ὁρᾶν ἐλέσθαι τὰ παραπλήσια. Δεῖ δὴ οὖν ἄρα τοῖς ἐθέλουσιν εὐφραίνειν Θεὸν καὶ λογισμοῦ σώφρονος, καὶ φρενὸς ἀγαθῆς, καὶ τὴν ἐφ' ἑτέροις ὀργὴν, ἀσφαλείας ποιεῖσθαι πρόφασιν. Πάνδεινον δὲ τῆς ἀχαριστίας τὸ χρῆμα, καὶ ὡς ἐφ' ἅπασι τοῖς ἀτόποις

A sibi, et a fide sua ultro pendentem honorat. At vero et profanis adhuc, et ipsum nescientibus omne bonum palam largiri, excellentem benignitatem et admirationem habet, et revera mansuetudinis Deo propriæ indubitabile est indicium. Quare et ipse Salvator, miserans res nostras, et peccandi cupidis neutiquam tribuendam misericordiam ut Deus imperiens, dicebat, jam quidem : « Non est opus bene valentibus medicus, sed male habentibus[23] ; » jam rursum : « Non veni vocare justos, sed peccatores ad pœnitentiam[24]. » Ait ergo.... hoc est, Israelitæ in Ægypto errorem suum sequebantur, nondum Deum verum, me scilicet, sciebant; comperti autem sunt magis Baalim, id est idolis, hostias immolare, et adolere thura simulacris, sive B diis indigenis. Ego vero, quoniam benignus et bonus sum, Ephraim, sive universum Israel (ut ex una tribu hic significatum), quanquam adeo stolidum colligavi, inquit. Quod quid sit, ipsemet declarat, « suscepi eum super brachium meum. » Quæ similitudo ab iis quæ infantibus fiunt, ducitur. Qui enim infantes in ulnas suscipiunt, quasi eos compedibus ligant, dum eorum pedes stringunt. Oportet enim, ut arbitror, contrahi femora et genua cujuslibet considentis. Atque hoc est, « colligavi; » sicut videlicet et de Abraham scriptum est, eum colligasse Isaac filium suum, sacrificaturum Deo[25], ut putabat. Sciendum porro Hebræorum editionem atque aliorum etiam non habere, « colligavi ; » sed illud potius, « factus C sum quasi nutritius Ephraim. » Itaque ego quidem erga ipsos talis fui; « ipsi autem non cognoverunt, » hoc est, non intellexerunt, non senserunt me alios perdendo ipsis consulere, hoc **159** enim est, « sano ipsos in corruptione hominum. » Corrupti enim, seu vexati sunt Ægyptii primi decem plagis, non dimittente Pharaone. Post plagas Ægyptias perierunt Chethæi, Evæi et Amorrhæi, Chananæi et Jebusæi, quibus debellatis Israel terram promissionis adeptus est, Deo omne arduum illis complanante, tribuenteque ut hostibus superiores evadere possent. Igitur, non animadverterunt, inquit, quod homines naturæ ipsorum consortes delens, eorum rebus prospicerem, et extenderem eos, hoc est, constringerem, et cohiberem eos in D vinculis charitatis. Atqui, si sapuissent, utique et cogitassent, et apud se ratiocinati essent, quare hæ gentes a Deo deletæ, et ipsi contra introducti fuissent. Sic enim, cum intellexissent quia odissem peccatorem, dæmonumque cultorem spernerem, desiissent fortasse similia committere. Opus est itaque Deum lætificare volentibus et prudenti cogitatione, et mente bona, et iram in alios in suæ securitatis occasionem convertere. Gravissimum autem esse crimen ingratæ voluntatis, et quasi omnis improbitatis convictum merito puniri qui hoc morbo tenetur, et hinc facile est videre. Ingratus enim, inquit, est similis blasphemo.

[23] Matth. IX, 12. [24] Ibid. 13. [25] Gen. XXII, 9.

Digitized by Google

ἐληλεγμένοις κολάζοιτο ἂν εἰκότως ὁ τῇ νόσῳ περιπεσών, κἀντεῦθεν ἡμῖν εὔκολον ἰδεῖν. Ὁ γὰρ ἀχάριστος, φησίν, ὡς βλάσφημος.

Et ero illis quasi dans alapam homo super maxillas ejus, et respiciam ad illum, prævalebo illi.

CXXVII. Quoniam dicebat se dilexisse eos, et instar infantis in brachia accepisse, et velut constrinxisse vinculis charitatis Ephraim, licet etiamnum profanum et flagitiosum, idcirco et conversurum peccantem inquit : « Quem enim diligit Deus, corripit, flagellat autem omnem filium quem recipit [26]. » Vide autem quomodo mansuetudinis Deo dignæ non expertem etiam correptionis modum polliceatur. Similes enim fore dicit alapis manu humana impactis suos in eos impetus. Potest autem hujusmodi impetus paternus intelligi, remissione et charitate pœnam miscens, et velut lenta manu, et vix percutiens, ne penitus non vindicasse culpam videatur. Quoniam autem dilexit, etiam respecturum super ipsum spondet. Dignatur enim respectu quos honestare voluerit, et prævalet contra nos, **160** doctrina et virtute divina rebelles sibi subjiciens. Nam cum in suadendo nihil proficit, necessitate ad complectenda meliora compellit, et tribulationibus adigit ad id quod nobis plurimum conducit, et ad salutem est necessarium. Audiat ergo a nobis universorum Deus, « in tribulatione parva castigatio tua nobis [27]. » Hæc est alapa. Et rursum : « Castiga nos, Domine, verumtamen in judicio, et non in furore, ne nos ad paucitatem redigas [28]. » Castigari enim credentibus molestum atque acerbum non est. In ira autem puniri et horribile, et intolerabile, imo exitii plenum est.

VERS. 5, 6. *Habitavit Ephraim in Ægypto, et Assur rex ejus ; quia non voluit converti, et infirmatus est gladius in civitatibus ejus, et requievit in manibus illius. Et comedent de cogitationibus.*

CXXVIII. Quod sejungi a Deo, effrenato impetu ad mala facienda præcipites, et rebellando insolescere quodammodo adversus eum, quamvis ad salutem invitantem, ad extremam undequaque miseriam nos deducat, beatus quoque Paulus ostendit, cum ait : « Videte, fratres, ne recusetis loquentem. » Nihilominus et ex propositis verbis id patebit. Relicta enim patria tellure sua, ærumnosissimus Ephraim Ægyptum pro patria habuit, dum calamitates bellicas metuit. Subjectus est item ipsi Assur, et peregrino sceptro cervicem supposuit ; eo namque calamitatis devenit. Causam si quis quærat, ab eo audiet qui novit omnia : « Quia noluit converti. » Et captus est deinde, et subditus factus est osoribus suis. « Infirmatus est namque gladius in urbibus ejus, et requievit in manibus ejus. » Hoc est, in nulla urbium Ephraim quisquam pugnæ sciens, et qui posset versare gladium, in-

Καὶ ἔσομαι αὐτοῖς ὡς βαπίζων ἄνθρωπος ἐπὶ τὰς σιαγόνας αὐτοῦ, καὶ ἐπιβλέψομαι πρὸς αὐτὸν, δυνήσομαι αὐτῷ.

ΡΚΖ'. Ἐπειδὴ γὰρ ἔφασκεν ἠγαπηκέναι τε, καὶ ὡς ἐν τάξει βρέφους εἰς βραχίονα λαβεῖν, συνδεῖναι δὲ ὥσπερ καὶ ἐν δεσμοῖς ἀγάπης, καί τοι βέβηλον ἔτι, καὶ ἀλιτήριον ὄντα τὸν Ἐφραΐμ, ταύτητοι καὶ ἐπιστρέψειν πλημμελοῦντά φησιν· « Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. » Θέα δὲ ὅπως ἡμερότητος οὐκ ἀμοιρήσειν τῆς θεοπρεποῦς, καὶ τὸν τῆς ἐπιπλήξεως ὑπισχνεῖται τρόπον. Ἐν ἴσῳ γὰρ ἔσεσθαί φησι τοῖς εἰς σιαγόνα ῥαπίσμασι διὰ τῆς ἀνθρώπου χειρὸς τὰ ἐπ' αὐτοῖς κινήματα. Πατρὸς δ' ἂν νοοῖτο κίνημα τουτὶ, φειδοῖ καὶ ἀγάπῃ κεραννύντος τὰ ἐξ ὀργῆς, καὶ οἷον ἠρέμα, καὶ χειρὶ πλήττοντος μόλις, ὡς ἂν μὴ ἀνεπιτίμητες ὑπάρχῃ παντελῶς. Ἐπειδὴ δὲ ἠγάπησε, καὶ ἐπιβλέψειν ἐπ' αὐτὸν ἐπαγγέλλεται. Ἀξιοῖ γὰρ ἐπιστρεπτείας, οὓς ἂν ἕλοιτο τιμᾷν, καὶ δύναται πρὸς ἡμᾶς, ἐντεχνίᾳ καὶ δυνάμει τῇ θεοπρεπεῖ χειρούμενος, τοὺς οἵπερ ἂν ἕλοιντο νοσεῖν τὸ ἐξήνιον. Εἰ γὰρ μὴ πείθων ὀνίνησιν, ἐξ ἀνάγκης περιτρέπει πρὸς τὸ ὁρᾷν ἑλέσθαι τὸ ἄμεινον, καὶ μετασοβεῖ ταῖς θλίψεσι πρὸς τὸ ὅτι μάλιστα συμφέρον τε ἡμῖν, καὶ ἀναγκαῖον εἰς σωτηρίαν. Ἀκουέτω δὴ οὖν πρὸς ἡμῶν ὁ τῶν ὅλων Θεός· « Ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν, » τοῦτό ἐστι τὸ ῥάπισμα. Καὶ πάλιν· « Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς. » Οὐ γὰρ τὸ παιδεύεσθαι τοῖς εὖ φρονοῦσι πικρόν. Τὸ δὲ ἐν ὀργῇ κολάζεσθαι, καὶ δεινὸν, καὶ δύσοιστον· μᾶλλον δὲ καὶ ὀλέθρου τὸ χρῆμα μεστόν.

Κατῴκησεν Ἐφραΐμ ἐν Αἰγύπτῳ, καὶ Ἀσσοὺρ αὐτὸς βασιλεὺς αὐτοῦ, ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι, καὶ ἠσθένησεν ἐν ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ· καὶ κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ. Καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν.

ΡΚΗ'. Ὅτι πάντη τε καὶ πάντως εἰς λῆξιν τὴν ἀνωτάτω παντὸς ἡμᾶς ἀποφέρει κακοῦ τὸ ἀπονοσφίζεσθαι Θεοῦ, διανενευκότας ἀσχέτως ἐπὶ τὸ ὁρᾷν ἑλέσθαι τὰ πονηρὰ, καὶ ταῖς ἀπειθείαις περιυβρίζειν τρόπον τινὰ, καίτοι καλοῦντα πρὸς σωτηρίαν αὐτὸν, σαφηνιεῖ μὲν λέγων καὶ ὁ μακάριος Παῦλος· « Βλέπετε, ἀδελφοὶ, μὴ παραιτήσησθε τὸν καλοῦντα. » Οὐδὲν δὲ ἧττον καὶ διὰ τῶν προκειμένων ἡμῖν ἔσται καταφανές. Καταλελοιπὼς γὰρ, φησὶ, τὴν ἐνεγκοῦσαν αὐτὸν ὁ παμμόχθηρος Ἐφραΐμ γῆν, ὥσπερ ἰδίαν, τὴν Αἰγυπτίων ἐποιήσατο, τὰς ἐκ τοῦ πολέμου δεδιὼς συμφοράς. Γέγονε δὲ καὶ ὑπ' αὐτὸν τὸν Ἀσσοὺρ, καὶ ὀθνείοις σκήπτροις ὑπήνεγκε τὸν αὐχένα· κατώλισθε γὰρ εἰς τοῦτο ταλαιπωρίας. Κἂν εἴ τις ἔροιτο τὴν αἰτίαν, ἀκούσεται λέγοντος τοῦ τὰ πάντα εἰδότος· « Ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι. » Ταὐτητοι καὶ ἥλω λοιπὸν, καὶ ὑπὸ χεῖρα γέγονε τῶν μεμισηκότων. « Ἠσθένησε γὰρ ἐν ταῖς πόλεσιν αὐτοῦ ῥομφαία, καὶ

[26] Prov. III, 12. [27] Jer. XXX, 14. [28] Jer. XLVI, 28.

Digitized by Google

κατέπαυσεν ἐν ταῖς χερσὶν αὐτοῦ. » Τουτέστιν, ἐν οὐδεμιᾷ πόλει τοῦ Ἐφραὶμ ηὕρηταί τις ἀνὴρ, ὁ δεινὸς εἰς μάχην, καὶ ῥομφαίᾳ χρῆσθαι δυνάμενος. Παρείθησαν γὰρ, καὶ οἷον ἐλύθησαν τῶν κατέχειν αὐτὴν εἰωθότων αἱ χεῖρες. Ἐπειδὴ δὲ πονηρὰ καθ' ἑαυτῶν καὶ περφρονήκασι, καὶ δεδράκασι, τῆς ἑαυτῶν δυσβουλίας ἔδονται τοὺς καρπούς.

A ventus est. Remissæ enim et velut dissolutæ sunt manus eorum qui ipsam tueri consueverant. Quoniam vero mala contra semetipsos et cogitarunt, et fecerunt, fructus infelicium consiliorum suorum comedent.

Πικρὸν οὖν ἄρα τὸ ἀτιμάζειν ἀποτολμᾷν ταῖς ἀπειθείαις τὸν σώζοντα, κἂν εἰ προκέοιτό τινι τὸ διαφυγεῖν δύνασθαι πλημμελείας ἐξ ἡμερότητος τῆς παρὰ Θεοῦ, τὸ ῥᾳθυμεῖν οὐκ ἀζήμιον. Κατοικήσομεν γὰρ ἐν Αἰγύπτῳ, τουτέστιν, ἔξοικοί τε καὶ ἀλῆται πάντη τε καὶ πάντως ἐσόμεθα, καὶ οὐχὶ γῆν ἀφέντες τὴν αἰσθητὴν, καὶ εἰς ἑτέραν μετανιστάμενοι, ἀλλὰ τὸν τῶν ἁγίων κλῆρον. Ἐσόμεθα δὲ καὶ ὑπὸ τὸν Ἀσσοὺρ, τὸν ἄρχοντα δηλονότι τοῦ αἰῶνος τούτου, ἐπ' αὐτῷ τε κεισόμεθα δοῦλοι καὶ αἰχμάλωτοι, καὶ τοῖς αὐτοῦ θελήμασιν ὑποκύπτοντες, διά τοι τὸ ἀσθενῆσαι, καὶ καταπαῦσαι παρ' ἡμῖν τὴν ῥομφαίαν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τοῖς φιλαμαρτήμοσιν ἐλεῖν δύνασθαι τὴν πανοπλίαν τοῦ Θεοῦ, « Καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. » Μάχαιραν δὲ νοήσεις, καὶ τῆς διανοίας ἡμῶν οἱονεὶ τὴν μαχιμωτάτην τε καὶ φιλοθεωτάτην κίνησιν, ἣν τοῖς πάθεσιν ἀντεξάγοντες, καὶ τοῖς διαβολικοῖς κακουργήμασιν ἀντιτάττοντες, τὴν εὐσεβῆ καὶ ἀμώμητον διατάττομεν τρίβον, καὶ τῆς εὐαγγελικῆς πολιτείας ταῖς ἑαυτῶν κεφαλαῖς ἀνάπτομεν τὰ αὐχήματα.

Acerbum est igitur per inobedientiam sæpius audere despicere Servatorem; nec si quibus facultas peccata fugiendi ex divina lenitate proponatur, inertia manet impunita. **161** Habitabimus enim in Ægypto, hoc est, exsules et errones erimus, non ita ut terram sensibus expositam reliquerimus, et in aliam commigraverimus, sed ut sanctorum sortem amiserimus. Erimus præterea sub potestate B Assur, sub principe, inquam, hujus mundi [39]. Ipsi ut servi et captivi, et dicto audientes subjacebimus, quia infirmatus sit, et quieverit apud nos gladius. Non enim possunt, inquam, peccatis dediti armaturam Dei capessere: « Et gladium spiritus, quod est verbum Dei [39]. » Gladium autem intelligas licet etiam animi nostri veluti ad pugnandum aptissimam, et Dei amantissimam motionem, sive affectum, quem vitiosis moribus quasi in prælio opponentes, et contra diabolicas nequitias instruentes, jam et extra reprehensionem semitam currimus, et evangelicæ vitæ morumque decus capitibus nostris acquirimus.

Καὶ ὁ λαὸς αὐτοῦ ἐπικρεμάμενος ἐκ τῆς κατοικίας αὐτοῦ. Καὶ Θεὸς ἐπὶ τὰ τίμια αὐτοῦ θυμωθήσεται, καὶ οὐ μὴ ὑψώσῃ αὐτόν.

VERS. 7. *Et populus ab eo suspensus ex incolatu suo. Et Deus super honorata ejus irascetur, et non* C *exaltabit eos.*

ΡΚΘ'. Δυσέκφραστος κομιδῇ τῶν προκειμένων ὁ νοῦς, καὶ τραχεῖα τῶν λέξεων ἡ συνθήκη, καὶ πολλῆς ἂν δέοιτο σαφηνείας, τοῖς ἐθέλουσι νοεῖν. Ἔστι δὲ ὃ βούλεται δηλοῦν ὡς ἐν ὀλίγῳ, τοιοῦτον. Ἀπῴχετο, φησὶν, ὁ Ἐφραὶμ εἰς Αἰγυπτίους, γέγονε δὲ καὶ ὑπὸ βασιλέα, τὸν Ἀσσούρ. Εἶτα, ὥσπερ τινὸς πυνθανομένου τε καὶ λέγοντος, Ἀνθ' ὅτου, καὶ τίνα τρόπον συγκεχώρηται παθεῖν, ἢ πῶς ἀλλοφύλοις δεδούλευκεν ὁ Ἰσραήλ; τίθησιν ἐφεξῆς τὰς ἀπολογίας, καί φησιν, πρῶτον μὲν, « Ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι. » Προκειμένης γὰρ ἡμερότητος, ἦλω, φησὶ, καὶ πρὸς τοῦτο ῥᾳθυμος καὶ ἀπειθής. Εἶτα, ὅτι « Καὶ ἠσθένησε ῥομφαία ἐν ταῖς πόλεσιν αὐτοῦ. » Οὐ γὰρ ἦν, ὡς ἔφην, ὁ τοῖς Ἀσσυρίοις ἀντανιστάμενος, ἢ καὶ εὐδόκιμος τὰ τακτικὰ, Θεοῦ τὸ μάχιμον παραλύοντος, καὶ δειλίᾳ που τάχα προκατασείοντος καὶ τὸν εὐσθενῆ λίαν ἐν μάχαις. Αἰτία δὲ καὶ ἑτέρα τοῦ πεσεῖν αὐτὸν ὑπὸ τὸν Ἀσσούρ. Ποία δὲ αὕτη; Ὁ γὰρ λαὸς, τουτέστιν, ὁ Ἐφραὶμ, μονονουχὶ καὶ ἐξεκρέματο αὐτοῦ, τοῦ Ἀσσοὺρ δηλονότι, καὶ ἐκ τῆς αὐτοῦ κατοικίας ἀπαίρειν ἠθέλησεν εἰς τὴν Περσῶν τε καὶ Μήδων. Καὶ οὐ δήπου φαμὲν, ὅτι τοῦτο παθεῖν αὐτὸς ἂν ἠθέλησεν ὁ Ἐφραὶμ, ἀλλ' ὅσον ἦκεν εἰς τὰ αὐτῷ πεπλημμεληκότα, μονονουχὶ καὶ ἐζήτησε παθεῖν τὰ οὕτω δεινά, εἴπερ ἐξὸν διαδρᾶναι τὴν ὀργὴν, μεταφορᾷ ἠρημένῳ πρὸς τὰ ἀμείνω καὶ προπωδέστερα.

CXXIX. Perdifficilis explicatu est verborum istorum sensus, et aspera compositio, et multa indigens illustratione, ut intelligatur. Est autem quod paucis indicare vult, hujusmodi. Abiit Ephraim ad Ægyptios, inquit, et sub potestatem regis Assur concessit. Tum quasi percunctante quopiam, dicenteque, cur et quonam modo permissus est affligi, et quomodo alienigenis servivit Israel, respondet continenter, primum quidem, « Quia noluit converti. » Proposita enim Dei clementia, etiam ad hoc segnis et inobediens inventus est. Deinde « quia infirmatus est gladius in civitatibus ejus; » non enim erat, ut dixi, qui Assyriis resisteret, aut In arte militari probatus, Deo virtutem bellicam enervante, et fortassis etiam in pugna fortissimum injecta timiditate prius convertente. Est item alia causa cur sub Assur redactus sit. Quænam? Populus enim, puta Ephraim, tantum non etiam pependit ab ipso, Assur videlicet, et ex incolatu suo ad Persas et Medos abire voluit. Nec dicimus sane Ephraim istud perpeti voluisse; sed quod ad peccata ejus attinet, tam adversa propemodum affectavit perpeti; siquidem licebat iram effugere, si ad meliora et convenientiora se dare placuisset. Tantum non et pependit ab Assur et patria **162** relicta, hoc est incolatu, seu habitatione sua, in regnum

[39] Joan. XII, 31. [39] Ephes. VI, 17.

Digitized by Google

illius abire concupivit, quantumvis Deus expresse prænuntiasset, omnino talia se inducturum, nisi pœnitentiam agerent. Quoniam ipsi ad hunc scopum descenderunt, « irascetur Deus super honorata ejus. » Honorata, et eximia, et præstantia populi reges nimirum sunt, et duces, qui una cum vulgo abducti sunt miseri, et servi, et captivi, quia subjectos seduxerunt, et facti sunt laqueus iis qui, si voluissent ipsi, viam rectitudinis currere poterant. Semper enim duces subditis præeunt. Erunt itaque humiles et abjecti, quamvis gloria affluxerint. Plane enim regni solium decus magnum habet. Verum non exaltaverit illos Deus; desiit enim, id quod jam sæpius dixi, regnum Ephraim.

Cavenda igitur nobis Christianis maxime ad improbitatem inclinatio. Quod nisi fecerimus, ipsi diaboli jugum nobis volentes imponemus, tantum non ab ejus dilectione suspensi, totaque alacritate ad ejus jugum deinceps ferendum, et ad ipsius libidini obsequendum concedentes. Quo facto Deum irritabimus, et sic in posterum erimus humiles, dejectum et velut pedibus calcatum gerentes animum, Deo debilitante, strenuisque cogitationibus ad bonum comparandum nos erigere non sustinente.

VERS. 8, 9. *Quid tibi faciam, Ephraim? protegam te, Israel, quid tibi faciam? sicut Adama ponam te, et sicut Seboim. Conversum est cor meum. In ipso conturbata est pœnitentia mea, non faciam juxta iram furoris mei. Non derelinquam ut deleatur Ephraim, quoniam Deus ego sum, et non homo, in te sanctus.*

CXXX. Adhibuit reprehensiones, indicans, omnimodis de cætero iram inexorabilem in eos expromendam, ut in sceleratos, et supra modum in Deum impios, ut nullus veniæ relictus sit locus. Quia vero bonus est, mansuetudinis fons et origo, motum comprimit, non ut præter rationem forte excitatum ex ratiocinatione melioris increpans (non enim aliquando a cogitationibus et actionibus sibi accommodatissimis divina et inexplicabilis natura deflexerit), sed quasi cohibens quod illis dignum erat, et prohibens ex lenitate, quod illi imprimis merebantur, **163** hoc est, ut perirent penitus, et veluti ab radice ipsa exstirparentur. Idcirco ait, « Quid faciam tibi? » Qua via, inquit, utar in componendis rebus tuis? Protegam te, et succurram rursus, et insidias meditantibus inexpugnabilem ostendam? Sed quomodo istud fiet? Decet enim puniri magis quam rebus uti ad voluntatem fluentibus, quia tetra in Deum facinora consciverunt. Itaque tribuens tibi pro dignitate, et pares delictis tuis pœnas decernens, « ut Adama ponam te, et ut Seboim. » Fuerunt hæ urbes Sodomiticæ, quas cum ipsis fundamentis ignis cœlo lapsus absumpsit [21].

[21] Gen. XIX, 24.

A Μονονουχὶ καὶ ἐξεκρέματο τοῦ Ἀσσούρ, καὶ τὴν ἐνεγκοῦσαν ἀφεὶς, τουτέστι, τὴν κατοικίαν αὐτοῦ, πρὸς τὴν ἐκείνου βαδίζειν ἀσυνέτως ἐγλίχετο, καί τοι Θεοῦ πάντη τε καὶ πάντως ἐπάξειν αὐτῷ τὰ τοιάδε διειρηκότος, εἰ μὴ βούλοιντο μετανοεῖν. Ἐπειδὴ δὲ πρὸς τοῦτο αὐτοὶ κατώλισθον σκοποῦ, « Θυμωθήσεται Θεὸς ἐπὶ τὰ τίμια αὐτοῦ. » Τίμια δὲ καὶ ἐξαίρετα, καὶ προὔχοντα τῶν λαῶν, βασιλεῖς δηλονότι, καὶ ἡγούμενοι, οἳ καὶ τοῖς ἀγελαίοις συναπεκομίσθησαν, ἐλεεινοί τε καὶ δοῦλοι, καὶ ἐν τάξει δορυκτήτων, ὅτι τοὺς ὑπὸ χεῖρα πεπλανήκασι, καὶ γεγόνασι παγὶς τοῖς, εἴπερ ἤθελον αὐτοὶ, καὶ διάττειν δυναμένοις τὴν ἐπ' εὐθύ. Καθηγεῖται γὰρ ἀεὶ τῶν ὑπεστρωμένων τὸ ἡγούμενον. Ἔσονται δὴ οὖν ταπεινοὶ, καὶ ἀπερριμμένοι, καί τοι πλείστην ὅσην ἐσχηκότες τὴν δόξαν. Πρόσεστι γὰρ πάντως τοῖς τῆς βασιλείας θώκοις τὸ εὐκλεές. Ἀλλ' οὐκ ἂν ὑψώσειεν αὐτοὺς ὁ Θεός. Πέπαυται γὰρ, ὡς ἔφην ἤδη πλειστάκις, ἡ τοῦ Ἐφραὶμ βασιλεία.

B Παραφυλακτέον δὴ οὖν ἡμῖν μάλιστα τοῖς ἐν Χριστῷ, τὴν εἰς τὰ φαῦλα ῥοπήν. Ἢ εἰ μὴ τοῦτο δράσωμεν ἑκόντες, αὐτοὶ τὸν τοῦ διαβόλου ζυγὸν ἑαυτοῖς ἐπιθήσομεν, μονονουχὶ καὶ ἀποκρεμάμενοι τῆς εἰς αὐτὸν ἀγάπης, ὅλῃ τε βαδίζοντες προθυμίᾳ πρὸς τὸ ὑπ' αὐτῷ γενέσθαι λοιπὸν, καὶ τὰ αὐτῷ δοκοῦντα πληροῦν. Ἀλλ' εἰ τοῦτο γένοιτο, παροξυνοῦμεν Θεὸν, οὕτω τε λοιπὸν ἐσόμεθα ταπεινοὶ, χθαμαλὸν καὶ πεπατημένον ἔχοντες νοῦν, Θεοῦ παραλύοντος, καὶ ταῖς εἰς τὸ ἀγαθὸν ἀνδρίαις ἀνορθοῦν ἡμᾶς οὐκ ἀνεχομένου.

Τί σε διαθῶμαι, Ἐφραΐμ; ὑπερασπιῶ σου, Ἰσραὴλ, τί σε διαθῶ; ὡς Ἀδάμα θήσομαί σε, καὶ ὡς Σεβοείμ. Μετεστράφη ἡ καρδία μου. Ἐν τῷ αὐτῷ συνεταράχθη ἡ μεταμέλειά μου, οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. Οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν Ἐφραΐμ, διότι Θεὸς ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος, ἐν σοὶ ἅγιος.

ΡΑ'. Προσήγαγε τὰς μέμψεις, ὑποδεικνὺς, ὅπως πάντη τε καὶ πάντως αὐτοῖς ἀποτομωτάτην ἴδοι λοιπὸν ἐπιφέρεσθαι τὴν ὀργὴν ἀνόσια πεπραχόσι, καὶ ἐπέκεινα μέτρου κατὰ Θεοῦ δεδυσσεβηκόσιν, ὡς μηδεμιᾶς ἔτι φειδοῦς αὐτοῖς περιλελεῖφθαι τρόπον. Ἐπειδὴ δέ ἐστιν ἀγαθὸς, ἡμερότητος πηγὴ καὶ γένεσις, ἀνακόπτει τὸ κίνημα, οὐχ ὡς παραλόγως γεγονότι τυχὸν ἐκ λογισμοῦ τοῦ κρείττονος ἐπιτιμῶν, οὐ γὰρ ἂν ἁμάρτοι ποτὲ τῶν αὐτῇ πρεπωδεστάτων ἐννοιῶν, ἢ πράξεων, ἡ θεία τε καὶ ἄφραστος φύσις· ἀπείργων δὲ ὥσπερ τὸ κατ' ἀξίαν, καὶ κατακωλύων ἐξ ἡμερότητος τὸ ὅτι μάλιστα πρέπον αὐτοῖς, τουτέστι, τὴν εἰσάπαν ἀπώλειαν, καὶ τὸ ἐκ ῥίζης ὥσπερ αὐτῆς ἀναβοθρεύεσθαι δεῖν. Ταύτητοί φησι· « Τί σε διαθῶ; » Ποίᾳ, φησὶν, ὁδῷ χρήσομαι τὰ κατὰ σὲ συντιθείς; Ὑπερασπιῶ σου, καὶ ἐπαμυνῶ πάλιν, καὶ δυσκαταμάχητον ἀποδείξω τοῖς ἐπιβουλεύειν ἐθέλουσιν; Εἶτα πῶς τοῦτο γενήσεται; Πρέπει γὰρ ἂν τὸ κολάζεσθαι μᾶλλον ἢ εὐημερεῖν, τοῖς τὰ δεινὰ κατὰ Θεοῦ δεδρακόσιν. Οὐκοῦν ἀπονέμων τὸ πρὸς ἀξίαν, καὶ ἰσοστάθμους τοῖς πλημμελήμασι τοῖς σοῖς ὁρίζων δίκας, « ὡς Ἀδάμα θήσομαί σε, καὶ ὡς Σεβοείμ. » Πόλεις δὲ αὗται Σοδομιτικαὶ, ἃς μέχρις αὐ-

Digitized by Google

τῶν κατεδήδοκε βάθρων τὸ καταβαῖνον πῦρ. Ἀλλ' οὐδὲ τοῦτο δράσω, φησὶ, καίτοι γενέσθαι δικαίως ὀφεῖλον. Ὑπερθήσομαι δὲ (μεταβεβούλευμαι γὰρ), καὶ οὐκ ἀκράτοις χρήσομαι τοῖς θυμοῖς· οὐκ ἂν δοίην εἰς ἐξέλειψιν παντελῆ, καίτοι πονηρὸν γεγονότα τὸν Ἐφραΐμ. Διὰ ποίαν αἰτίαν; οὐ γὰρ ἦσαν ἄξιοι τοῦ παθεῖν αὐτό; Ναὶ, φησὶν, ἀλλ' εἰμὶ Θεὸς, καὶ οὐκ ἄνθρωπος, ἀγαθὸς δηλονότι, καὶ οὐχὶ τοῖς ἐξ ὀργῆς κινήμασι παραχωρῶν τὸ νικᾷν, ἀνθρώπινον γὰρ τὸ τοιόνδε πάθος. Τί οὖν ἔτι κολάζεις, φησὶν, εἴπερ εἶ Θεὸς ὀργαῖς μὴ κρατούμενος, ἐμφύτῳ δὲ μᾶλλον ἑπόμενος ἡμερότητι; Κολάζω, φησὶν· εἰμὶ γὰρ οὐ μόνον ἀγαθὸς, ὡς Θεός· ἀλλὰ πρὸς τούτῳ καὶ ἅγιος, μισῶν ἀδικίας· ἀποστρεφόμενος τοὺς μεμολυσμένους· παραιτούμενος τὸν θεομισῆ, καὶ ἐπιστρέφων τὸν ἀλιτήριον, καὶ διασμήχων τὸ βέβηλον, ἵνα μοι πάλιν συνάπτηται. Ὠφελεῖ δὴ οὖν ὁ προφήτης ἡμᾶς, ἀνακεκραγὼς τε καὶ λέγων· « Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν, ἐπικαλέσασθε, ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω πρὸς Κύριον, καὶ ἐλεηθήσεται. » Χρὴ γὰρ ἡμᾶς, εἰ περὶ πολλοῦ ποιούμεθα τὸ εἶναι μετὰ Θεοῦ, παντὶ σθένει παραιτεῖσθαι τὸ πλημμελεῖν, μεμνῆσθαί τε λέγοντος· « Ἅγιοι ἔσεσθε, διότι ἐγὼ ἅγιός εἰμι »

Καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν. Ὀπίσω Κυρίου πορεύσομαι.

ΡΛΑ'. Ἐπιτρέχει τῶν ἁγίων προφητῶν ἔσθ' ὅτε τὸν νοῦν ἀκριβῶς τῶν ἐσομένων ἡ γνῶσις, ἐναστράπτοντος τὸ χρῆμα αὐτοῖς τοῦ ἁγίου Πνεύματος. Τοιγάρτοι καὶ μεταξὺ τῶν ἰδίων λόγων, ἤτοι τῶν ἄνωθεν καὶ παρὰ Θεοῦ, τάς τινων ἔσθ' ὅτε προανακεκράγασι φωνὰς, ἢ μετανοούντων, ἢ εὐχαριστούντων, ἢ ἀνασκιρτώντων ἐφ' οἷς ἂν αὐτοὺς εὐφραίνειν ἐπαγγέλληται Θεός. Τοιουτονί τι παθόντα καὶ νῦν τὸν μακάριον εὑρήσομεν Ὠσηέ. Ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς ὑπισχνεῖτο τὴν ἡμερότητα, καὶ οὐκ εἰσάπαν ἔφασκεν ὀλοθρεύσειν τοὺς ἡμαρτηκότας, ὅτι τε εἷς Θεὸς, ἀγαθὸς δηλονότι, καὶ οὐκ ἄνθρωπος. Οὐ γάρ τοι καθ' ἡμᾶς ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν. Οἱ δὲ ὥσπερ ἐπαγνωκότες τὰ οἰκεῖα πλημμελήματα, καὶ κατερυθριῶντες ἤδη πως ἐπὶ τῇ πλείστῃ τε καὶ ἀδοκήτῳ χάριτι, καταλήξειν ἐπαγγέλλονται τῶν σφίσιν ἐξηυρημένων, δι' ὧν καὶ προσκεκρούκασι. Καὶ ποῖα ταῦτά ἐστι, δι' αὐτοῦ πάλιν ἡμᾶς τοῦ προφήτου πεπληροφόρηκεν ὁ Θεός. Ἔφη γὰρ ἐν τοῖς ὀπίσω βραχὺ, τόν τε Ἰούδαν αὖτον, καὶ τὸν Ἐφραΐμ αἰτιώμενος· « Καὶ ἐπαλάθετο Ἰσραὴλ τοῦ ποιήσαντος αὐτὸν, καὶ ᾠκοδόμησε τεμένη, καὶ Ἰούδας ἐπλήθυνε πόλεις τετειχισμένας. Καὶ ἀποστελῶ πῦρ ἐπὶ τὰς πόλεις αὐτοῦ, καὶ καταφάγεται τὰ θεμέλια αὐτῶν. » Ὁ μὲν γὰρ Ἐφραΐμ, ἤγουν ὁ Ἰσραὴλ, βωμοὺς, καὶ τεμένη κατὰ τὴν Σαμάρειαν τοῖς εἰδώλοις ἀναβειμάμενοι, κατῳλίσθον εἰς ἀπόστασιν, ἐπελάθοντο τοῦ Θεοῦ, καὶ τῆς εἰς αὐτὸν ἀγάπης τὸ γνήσιον οὐδενὸς ἀξιοῦντες λόγου, παροτρύνοντες διετέλουν. Ἰούδας δὲ αὖ, καίτοι πεποιθότες ἐπὶ τῷ Θεῷ, κατὰ τοὺς ἄνωθεν ἔτι χρό-

A Sed neque hoc faciam, inquit, quanquam fieri jure deberet; differam autem: mutavi namque consilium, nec summa utar ira; non delebo prorsus, quamvis pravitate corruptum, Ephraim. Quamobrem? an hoc illi non merebantur? Merebantur, inquit, sed Deus sum, non homo; bonus nimirum, nec motibus iræ victoriam cedens. Humana enim est talis affectio. Quid ergo punis adhuc, inquit, si Deus es, et ab ira non teneris; sed insitam potius mansuetudinem sequeris? Punio, inquit: sum enim non tantum bonus, ut Deus; sed præterea sanctus, odio habens iniquitates, aversans inquinatos, repudians Dei osores et convertens peccatorem, pergens impurum, ut mihi rursus copuletur. Commodat igitur nobis propheta exclamans et dicens: B « Quærite Dominum, et cum inveneritis, invocate eum; cum autem appropinquaverit vobis, derelinquat impius vias suas, et vir iniquus consilia sua, et revertatur ad Dominum, et misericordiam consequetur [32]. » Oportet enim nos, si magni æstimamus esse cum Deo, totis viribus refugere a peccato, et meminisse dicentis: « Sancti eritis, quoniam ego sanctus sum [33]. »

Et non ingrediar in civitatem. Post Dominum ambulabo.

CXXXI. Incurrit nonnunquam in animum sanctorum prophetarum perfecta futurorum notitia, sancto Spiritu cum luce quadam rem illis patefaciente. C Proinde et in medio sermonum suorum, sive desuper a Deo suggestorum quorumdam voces aliquando ante pronuntiant, aut pœnitentium, aut gratias agentium, aut prosilientium ad ea, quibus Deus lætificaturum se illos promiserit. Hujusmodi quiddam et in præsens beato Oseæ contigisse **164** videmus. Deus enim universorum clementiam pollicebatur, affirmabatque peccatores non funditus deleturum, quod Deus esset, bonus videlicet, non homo. Non enim nostri similis est, qui omnem creaturam supergreditur. At illi, ut agnoscentes peccata sua, et erubescentes quodammodo super plurima et improvisa gratia, cessaturos se spondent ab invenis suis quibus Deum offenderunt. Quæ porro ista? D Rursus per ipsum prophetam plene docet Deus. Ait enim paulo supra, Judam et Ephraim accusans: « Oblitus est Israel factoris sui, et ædificavit delubra, et Judas multiplicavit urbes muratas. Et mittam ignem in civitates ejus, et devorabit fundamenta illarum [34]. » Ephraim enim, sive Israel, postquam aras et fana idolis in Samaria exædificavit, lapsus est in apostasiam, oblitus est Dei, et charitatem erga illum floccipendens, irritare eumdem non desiit. Judas porro, quamvis in Deo confideret pro consuetudine superiorum temporum, quibus ab ipso et per ipsum servatus fuerat, ad iram tamen multis et aliis modis cum provocabat, hoc

[32] Isa. LV, 6, 7. [33] Levit. XI, 45. [34] Osc. VIII, 14.

Digitized by Google

uno autem præcipue. Nam cum Deus minatus fuisset, missurum se ipsis Assyrium, qui terram vastaret, urbes suas instauratis mœnibus communiebat, ratus, Deo quamvis nolente, bonitate mœnium se salvum et ab oppugnantium viribus invictum fore. Itaque Deo bona ex mansuetudine promittente, et vehementer offenderunt, et conservati deinde, a factis simul et consiliis improbis sese quieturos aiunt. Quin etiam clamet Judas, « non ingrediar in civitatem, » hoc est, murum habebo Deum, securitatem, et tutamen, et spem in ipsum mihi faciam, sub servantis dexteram succedam, ipse et solus ad salutem mihi sufficiet, inane et inutile prorsus confitebor, exspectare, quando bello regionem pervadente in urbem ingressus salvandus sim. Itaque non ingrediar in civitatem. Israel porro sive Ephraim contra alterum illud proclamet, nempe, « post Dominum ambulabo. » Supersedebo, inquit, antiquis criminibus, in futurum Dei leges sequar, ducem mihi universorum Deum deligam. Ac si quis beneplacitum Dei persequatur, plane et ipsum sciet solum, et eidem cultum adhibebit, aliumque præterea neminem adorabit.

Θεόν. Εἰ δὲ δή τις ἔοι πρὸς τὸ δοκοῦν Θεῷ, πάντως ἀνάψει, προσκυνήσει τε ἕτερον παρ' αὐτὸν παντελῶς οὐδένα.

A νους παρ' αὐτοῦ τε καὶ δι' αὐτοῦ σωζόμενοι, κατέθηγον εἰς ὀργάς, κατὰ πολλοὺς μὲν καὶ ἑτέρους τρόπους, μάλιστα δὲ δι' ἑνὸς τούτου. Θεοῦ γὰρ ἡπειληκότος ἐπιπέμψειν αὐτοῖς τὸν Ἀσσύριον ἀφανιοῦντα τὴν γῆν, ἀνετείχιζε τὰς ἑαυτοῦ πόλεις, οἰηθεὶς, ὅτι κἂν εἰ μὴ βούλοιτο Θεὸς, τῇ τῶν πόλεων εὐτειχίᾳ σωθήσεται, καὶ τῆς τοῦ μαχομένου περιέσται χειρός. Οὐκοῦν ἐπαγγελλομένου Θεοῦ τὰ ἐξ ἡμερότητος ἀγαθὰ, καὶ οὐ μετρίως προσκεκρουκόσι, καὶ αὐτοὶ λοιπὸν οἱ σωζόμενοι τῶν ἀτόπων ἐγχειρημάτων τε ὁμοῦ, καὶ μέν τοι καὶ βουλευμάτων ἀποπαύσασθαί φασι· καὶ δὴ καὶ βοάτω μὲν Ἰούδας· « Οὐκ εἰσελεύσομαι εἰς πόλιν, » τουτέστι, Τεῖχος ἔξω Θεόν· ἀσφάλειαν ποιήσομαι τὴν εἰς αὐτὸν ἐλπίδα, τὴν τοῦ σώζοντος ὑποδραμοῦμαι δεξιάν. Αὐτὸς ἀρκέσει, καὶ μόνος εἰς B σωτηρίαν ἐμοί. Εἰκαῖον ὁμολογήσω καὶ ἄχρηστον παντελῶς τὸ προσδοκᾶν ὅτι, πολέμου τὴν γῆν καταθέοντος, εἰσελθὼν εἰς πόλιν, σωθήσομαι. Οὐκοῦν οὐκ εἰσελεύσομαι εἰς πόλιν. Ἰσραὴλ δὲ πάλιν, ἤγουν ὁ Ἐφραΐμ, ἀναφωνείτω τὸ ἕτερον. Τὸ δέ ἐστι, τὸ « Ὀπίσω Κυρίου πορεύσομαι. » Ἀποπεπαύσομαι, φησὶ, τῶν ἀρχαίων αἰτιαμάτων. Λοιπὸν τοῖς θείοις ἕψομαι νόμοις. Καθηγητὴν ποιήσομαι τὸν τῶν ὅλων που, καὶ αὐτὸν εἴσεται μόνον. Αὐτῷ τε τὸ σέβας

165 Vers. 10, 11. *Sicut leo rugiet, quia ipse rugiet, et stupebunt filii aquarum. Avolabunt quasi avis ex Ægypto, et quasi columba ex terra Assyriorum. Et restituam ipsos in domos suas, dicit Dominus.*

Ὡς λέων ἐρεύξεται, ὅτι αὐτὸς ὠρύσεται, καὶ ἐκστήσονται τέκνα ὑδάτων. Ἐκπτήσονται ὡς ὄρνεον ἐξ Αἰγύπτου, καὶ ὡς περιστερὰ ἐκ γῆς Ἀσσυρίων. Καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τοὺς C *οἴκους αὐτῶν, λέγει Κύριος.*

CXXXII. Cum jam adesset tempus definitum, quo captivitate solvi Israelem oportebat, Cyrus, Cambysæ filius, Persarum Medorumque imperium sortitus, cum exercitu ingenti et potentia inexorabili Babylonem ipsam et Assyriam, Deo ad hoc excitante, irrupit. Quare propheta Jeremias prænuntians Babylonem capiendam, de Medis et Persis ita loquitur: « Invadent te, et capieris, Babylon, et non cognosceris. Inventa es, et capta es, quia Domino restitisti [35]. » At de Cyro: « Ascendit leo de cubili suo, ut ponat terram tuam in solitudinem. Et civitates tuæ vastabuntur, quod non habitentur ipsæ [36]. » Esse autem universorum Deum qui dedit Cyro victoriam, fidem certam faciet Isaias: « Hæc dicit Dominus christo meo Cyro, cujus apprehendi dexteram, ut subjiciam ante eum gentes, et fortitudinem regum dirumpam. Aperiam ante eum januas, et urbes non claudentur. Ego ante te ibo, et montes complanabo. Portas æreas conteram, et vectes ferreos confringam, et dabo tibi thesauros tenebrosos, absconditos; invisibiles aperiam tibi [37]. » Victor itaque Cyrus vi subacto Babyloniorum regno, Israelem liberum dimisit, qui reversi, regionem suam

ΡΛΒ'. Ἥκοντος ἤδη τοῦ χρόνου, καὶ πεπερασμένου τοῦ καιροῦ, καθ' ὃν ἔδει λοιπὸν τῆς αἰχμαλωσίας ἀνεῖσθαι τὸν Ἰσραὴλ, Κῦρος ὁ Καμβύσου, Περσῶν τε καὶ Μήδων ἀνημμένος τὸ κράτος, σὺν ὄχλῳ βαρεῖ, καὶ δυσαιτήτῳ (1) δυνάμει, τῆς τε Βαβυλῶνος αὐτῆς, καὶ τῆς Ἀσσυρίων κατεστρατεύετο χώρας, διανιστάντος αὐτὸν εἰς τοῦτο Θεοῦ. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας προαναφωνῶν τῆς Βαβυλῶνος τὴν ἅλωσιν, περί τε Μήδων, φησὶ, καὶ Περσῶν· « Ἐπιθήσονταί σοι, καὶ ἁλώσῃ, Βαβυλὼν, καὶ οὐ γνώσῃ. Εὑρέθης, καὶ ἐλήφθης, ὅτι τῷ Κυρίῳ ἀντέστης. » Κύρου δὲ περὶ· « Ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ, τοῦ θεῖναι τὴν γῆν σου εἰς ἐρήμωσιν, καὶ αἱ πόλεις σου καθαιρεθήσονται, παρὰ τὸ μὴ κατοικεῖσθαι αὐτάς. » D Ὅτι δὲ ἦν ὁ τῶν ὅλων Θεὸς, ὁ τῷ Κύρῳ διδοὺς τὸ κρατεῖν, πληροφορήσει λέγων ὁ προφήτης Ἡσαΐας· « Τάδε λέγει Κύριος τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων διαῤῥήξω. Ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται. Ἐγὼ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλιῶ· θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω, καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀπακρύφους,

[35] Jer. L, 24. [36] Jer. IV, 7. [37] Isa. XLV, 1, 3.

(1) Cotelerius (*Monum. E. G.*, II, 589) legendum monet δυσαντήτῳ, hoc est *inexpugnabili*. Sic mortis δυσάντητον κράτος dixit Cyrillus lib. IV *adv. Nestorium*, p. 107, similiaque multa proferrentur ex ipso si necesse esset. Edit.

Digitized by Google

αοράτους ἀνοίξω σοι.» Νενικηκὼς τοιγαροῦν ὁ Κῦρος, καὶ κατακράτος ἑλὼν τὴν Βαβυλωνίων, ἀνῆκε τὸν Ἰσραήλ. Καὶ δὴ καὶ ὑπονοστήσαντες, κατῳκήκασι τὴν ἑαυτῶν. Τουτὶ τὸ διήγημα διερμηνεύει λέγων ὁ προφήτης Ὡσηὲ, « Ὡς λέων ἐρεύξεται. » Τίς ἐρεύξεται; Κῦρος δηλονότι. Ὅμοιον ὡς εἰ λέγοι τυχὸν, Δεινὸν καὶ διαβριθὲς κατὰ τῆς Βαβυλωνίων, ὁ παρὰ Κύρου κτυπήσει πόλεμος. Ὠρυομένου δὲ αὐτοῦ, καὶ οἱονεί τινος λέοντος κατακεκραγότος τῶν δι' ἐναντίας, « Ἐκστήσονται τέκνα ὑδάτων. » Καὶ τὸ μὲν « ἐκστήσονται », φησὶν, ἀντὶ τοῦ, καταπλαγήσονται. Τέκνα δὲ ὑδάτων, τοὺς Βαβυλωνίους φησὶ, οἳ τοῖς τῶν ὑδάτων τέκνοις, τουτέστι, τοῖς ἐν ὕδατι νηκτοῖς, ἤγουν ἰχθύσι παραχωροῦντες οὐδὲν εἰς δειλίαν, εὐάλωτοί τε καὶ ἄνανδροι διὰ πείρας αὐτῆς γεγονότες ἁλώσονται. Ἑτοιμότατον δὲ πρὸς δειλίαν τῶν ἰχθύων τὸ γένος, καὶ φεύγει μὲν κτύπους, παραιτεῖται δὲ καὶ μόνην τὴν τοῦ θηρῶντος σκιάν. Ὅταν τοίνυν ἐρευγομένου Κύρου, φησὶ, καὶ δεινόν τι καὶ φρικῶδες τῆς Βαβυλωνίων καταλαλάζοντος, καταπλαγείη τῷ φόβῳ τὰ τῶν ὑδάτων τέκνα, τουτέστιν, οἱ Βαβυλώνιοι τοῖς ἰχθύσιν εἰς δειλίαν παραχωροῦντες οὐδέν· τότε καὶ ὀρνέου δίκην καὶ περιστερᾶς ἀποπτήσονται τῆς Αἰγύπτου καὶ οἱ πάλαι συμπεφευγότες ἐν αὐτῇ. Ἀποδραμοῦνται δὲ τῆς Χαλδαίων καὶ οἱ τῆς αἰχμαλωσίας ἐναλόντες τοῖς βρόχοις. Ἐπανήξουσί τε λοιπὸν, καὶ οἰκήσουσι τὴν ἑαυτῶν. Ἐξὸν οὖν ἔχειν τὰ ἀγαθὰ, Θεῷ τῆς διανοίας ὑποφέροντας τὸν αὐχένα, καὶ ὑπ' αὐτῷ πράττοντας μόνῳ, μὴ ἐθελονταὶ βαδίζωμεν ἐπὶ τὸ λυποῦν, αὐτόκλητον ὥσπερ ἐφ' ἑαυτοῖς κατασύροντες κίνησιν· καίτοι μετὸν, ὡς ἔφην, ἐν βαθείαις κεῖσθαι τῆς εὐημερίας, κατευφραίνοντας τὸν Δεσπότην διὰ τῆς ἐννόμου πολιτείας καὶ ζωῆς, καὶ τῆς εἰς αὐτὸν γνησιότητος.

denuo incoluerunt. Narrationem hanc interpretans Oseas ait: « Ut leo rugiet. » Quis rugiet? Cyrus videlicet. Perinde fortassis ac si dicat: Horrendum ac dirum contra Babylonicum imperium bellum a Cyro motum insonabit. Rugiente autem ipso, et veluti leone contra adversarios clamante, « obstupescent filii aquarum. » Obstupescent, inquit, pro, percellentur. Filios autem aquarum Babylonios nominat, qui filiis aquarum, hoc est, in aqua natantibus, sive piscibus, timiditate nihil cedunt, ipsaque experientia captu faciles et imbelles facti capientur. Est autem genus piscium natura timidissimum, et strepitus fugit, et solam piscantis umbram aversatur. Quando igitur, inquit, rugiente Cyro, et ingentem quemdam horribilemque adversus Babyloniæ regnum clamorem tollente, timore aquarum filii perculsi fuerint **166** (nempe Babylonii, piscibus timiditate haud absimiles), tunc et avis instar et columbæ avolabunt ex Ægypto, qui pridem in eam confugerant; et aufugient de terra Chaldæorum, qui captivitatis laqueis implicati tenebantur. Revertentur tum, et regionem suam incolent. Cum liceat igitur habere bona Deo cervicem animi subjicientes, et sub ipso solo degentes, ne sponte eum offensum eamus, ultroneam in nos iram ipsius provocantes, cum fas sit, ut dixi, in multa prosperitate quiescere, Dominum per conversationem, et vitam ad leges conformatam, et sinceritatem erga ipsum lætificantes.

Ἐκύκλωσέ με ἐν ψεύδει Ἐφραΐμ, καὶ ἐν ἀσεβείᾳ οἶκος Ἰσραὴλ, καὶ Ἰούδα.

ΡΛΓ'. Φύσει μὲν ἀγαθὸς ὢν, καὶ φιλοικτίρμων ὁ Θεὸς, καὶ ἀνεθέλητον ἔχει τὸ πλήττειν ὅλως τινὰς, καλεῖται δὲ καὶ ἀναγκαίως εἰς ἀγανάκτησιν ἐπιστρεπτικὴν, ὅταν ἴοι τινῶν πέρα λόγου τε καὶ μέτρου τὰ ἐγκλήματα. Τοῦτο διδάσκει πάλιν ἡμᾶς διὰ τῶν προκειμένων. Μονονουχὶ γάρ φησι· Τῇδε κἀκεῖσε, καὶ οἱονεί πως ἐν κύκλῳ τὸν τῆς θεότητος ὀφθαλμὸν ἐνιέντι τε καὶ περιφέροντι, πανταχῇ τὸ ψεῦδος καὶ τὴν ἀσέβειαν ἦν ἰδεῖν τοῦ τε Ἐφραΐμ, καὶ τοῦ Ἰούδα. Ψεῦδος δὲ ἀποκαλεῖ τὰ τῆς εἰδωλολατρίας παίγνια, καὶ τὴν τῶν ματαίων προσκύνησιν· ἀσέβειαν δὲ τάχα, τὴν ὕβριν τὴν κατὰ Θεοῦ. Πῶς γὰρ οὐκ ἀσέβεια δεινὴ, καὶ ἐκτοπωτάτη, τὸ ἀποσείεσθαι μὲν τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, προσκλίνεσθαι δὲ ἀμαθῶς ξύλοις τε καὶ λίθοις· ἤγουν προσκυνεῖν τῇ κτίσει, παρὰ τὸν κτίσαντα, καὶ Δεσποτικοῖς ὑψώμασιν ἐπιχειρεῖν στεφανοῦν τὰ παρ' αὐτοῦ πρὸς τὸ εἶναι παρενηνεγμένα;

Νῦν ἔγνω αὐτοὺς ὁ Θεὸς, καὶ ναὸς ἅγιος κεκλήσεται Θεοῦ.

ΡΛΔ'. Ἐκύκλωσε μὲν ἐν ψεύδει με καὶ ἀσεβείᾳ, φησὶν, οἶκος Ἐφραΐμ καὶ Ἰούδα. Πλὴν καὶ οὕτως ἔσομαι χρηστὸς, σύμμετρον αὐτοῖς ἐπάγων τὴν κίνησιν. Ἔγνω γὰρ αὐτοὺς, ὡς οὐκ ἂν ἑτέρως δύναιντο τὰ ἀμείνω μεταμαθεῖν, εἰ μή τι καὶ πάθοιεν τῶν,

VERS. 12. *Circumdedit me in mendacio Ephraim, et in iniquitatibus domus Israel, et Juda.*

CXXXIII. Deus natura bonus, misericors, et e plagis quibuscunque metiendis alienus, provocatur tamen, et convertere se ad indignationem cogitur, cum quorumdam scelera majora fuerint, quam dici possit. Quod nos rursum verbis a me recitatis docet. Propemodum enim inquit: Hic et ibi, et quasi circumcirca divinitatis oculum immittenti, et circumferenti, ubique mendacium, et impietatem, et Ephraim, et Juda intueri datur. Mendacium idololatriæ lusus, et inanium simulacrorum adorationem appellat. Impietatem fortasse injuriam adversus Deum. Quomodo enim non est injuria gravis, et rationi maxime contraria, repellere natura et veritate Deum, et ad ligna et lapides se applicare, seu adorare creaturam relicto Creatore, et quæ ab ipso ut essent producta sunt, illa ad fastigium Domino proprium extollere?

Nunc cognovit eos Deus, et templum sanctum vocabitur Dei.

CXXXIV. Circumdedit me quidem in mendacio et impietate domus Ephraim et Juda, inquit. Verumtamen etiam sic clemens ero, si, ut merentur, illis irascar. Sciebat enim eos non aliter denuo posse meliora discere, nisi quædam tristia pateren-

Digitized by Google

tur, et ad sensum commissorum peccatorum adducerentur. Cognovit igitur eos Deus, hoc est, modum industriæ ipsis profuturæ non nescivit. Nec fructu apud eos res carebit. Contingit enim hinc etiam in templis sanctis eos censeri. Semel enim insita pravitate **167** per labores et tribulationes tabefacta, puri et sancti erunt, et experientia docti, germanam in Deum charitatem omnes ipsis delicias felicitatesque conciliaturam; quemadmodum scilicet apostasiæ piacula in servitutem et afflictionem præcipitant.

CAP. XII.

VERS. 1. *Ephraim vero malus spiritus, persecutus est æstum. Tota die inania et vana multiplicavit, et testamentum cum Assyriis pepigit, et oleum in Ægyptum pro merce inferebat.*

CXXXV. A multitudine vulgari rursum ad tribules Ephraim, regnantes super Israel in Samaria, transit oratio, quos et propter difficultatem eos a sententia revocandi, propensionemque ad defectionem a Deo magnam et effrenatam spiritum malum nominat. Inquit enim, « Persecutus est æstum. » Etenim cum liceret sub umbra mea degere, tanquam transfuga ad æstum abiit. Æstum tribulationum fervorem et calamitatem urentem nominat. Itaque sapiens Paræmiastes, labores obscurius sic nuncupat, et ait : « Salvatus est ab æstu filius intelligens; corruptus autem a vento fit in messe filius iniquus [38]. » Itaque Ephraim, quoniam est spiritus malus, persecutus est æstum. Quæsivit, et volens accurrit ad æstum. Sed prudentes de Deo dicunt : « In umbra ejus desideravi, et sedi [39]. » Umbram superni a Deo auxilii tegumentum vocant. Sed hoc Ephraim non fecit. Quæsivit enim æstum. Quomodo, aut qua ratione? « Tota die inania et vana multiplicavit, » hoc est, omni tempore frivola et inutilia et faciebat, et meditabatur. Quænam illa? « Testamentum cum Assyriis pepigit. » Dixi jam antea, et sæpius, reges quosdam Samariæ et Hierosolymorum nonnunquam pecuniis pacem securitatemque ab Assyriis redimere studuisse, nonnunquam Ægyptios subsidio vocasse. Mercantes item promissa amicitiæ ipsorum, cum aliis etiam quæ in provincia sua humus edidisset mittebant. Erat autem tellus Samaritarum ferax olei, et id in Ægypto in magno pretio, quod ea terra id non ferret. Inanis igitur et vana spes quæ **168** collocatur in hominibus; quinimo insultet confidenti in hominibus qui confidit in Deo, illud ex Psalmis usurpans : « Ecce homo qui non posuit Deum adjutorem suum, sed speravit in multitudine divitiarum suarum. Ego autem velut oliva fructifera, in domo Dei, speravi super misericordia Dei in sæculum, et in sæculum sæculi [40]. »

ΚΕΦΑΛ. ΙΒ'.

Ὁ δὲ Ἐφραὶμ πονηρὸν πνεῦμα, ἐδίωξε καύσωνα, ὅλην τὴν ἡμέραν κενὰ καὶ μάταια ἐπλήθυνε, καὶ διαθήκην μετὰ Ἀσσυρίων διέθετο, καὶ ἔλαιον εἰς Αἴγυπτον ἐνεμπορεύετο.

ΡΛΕ'. Μέτεισι πάλιν ὁ λόγος ἐκ τῆς ἀγελαίας πληθύος ἐπὶ τοὺς ἐκ φυλῆς Ἐφραὶμ βεβασιλευκότας ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ Σαμαρείᾳ, οὓς καὶ πνεῦμα πονηρόν φησι διά τοι τῆς γνώμης αὐτῶν τὸ δυσμετακόμιστον, καὶ τὸ λίαν ἀπονενευκὸς καὶ ἀκάθεκτον εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ· « Ἐδίωξε γὰρ καύσωνα, » φησί· καίτοι γὰρ ἐξὸν ὑπὸ τὴν ἐμὴν εἶναι σκιάν, οἱονεί πως αὐτόμολος ἀπεχώρει πρὸς καύσωνα. Καύσωνα δὲ ὀνομάζει τὴν ἐκ τῶν θλίψεων πύρωσιν, καὶ τὴν καταφλέγουσαν συμφοράν. Καὶ γοῦν ὁ σοφὸς Παροιμιαστὴς αἰνιγματωδῶς τοὺς πόνους οὕτως ὀνομάζει, καί φησι· « Διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων· ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμητῷ υἱὸς παράνομος. » Οὐκοῦν ὁ μὲν Ἐφραὶμ, ἐπειδήπερ ἐστὶ πνεῦμα πονηρὸν, ἐδίωξε καύσωνα. Ἐζήτησε, καὶ ἐθελοντὴς ἀπέδρα πρὸς καύσωνα. Ἀλλ' οὔτε συνετοὶ περὶ Θεοῦ λέγουσιν· « Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα. » Σκιὰν δέ φασι τῆς παρὰ Θεοῦ καὶ ἄνωθεν ἐπικουρίας τὴν σκέπην. Ἀλλ' οὐ τοῦτο δέδρακεν ὁ Ἐφραὶμ. Ἐζήτησε γὰρ καύσωνα. Ἠῶς, ἢ τίνα τρόπον; « Ὅλην τὴν ἡμέραν κενὰ καὶ μάταια ἐπλήθυνε, » τουτέστιν, ἐν παντὶ καιρῷ ψυχρὰ, καὶ ἀνωφελῆ καὶ ἕδρα, καὶ ἐβουλεύετο. Ποῖα δὲ ταῦτά ἐστι; « Διαθήκην μετὰ Ἀσσυρίων διέθετο. » Ἔφην δὲ ἤδη προλαβών, καὶ πλειστάκις, ὅτι τῶν βασιλέων τῶν ἐν Σαμαρείᾳ τινὲς, καὶ τῶν ἐν τοῖς Ἱεροσολύμοις, ποτὲ μὲν χρήμασι τὴν πρὸς Ἀσσυρίους εἰρήνην, καὶ τὴν ἐκεῖθεν ἀσφάλειαν ἀγοράζειν ἐπεχείρουν, ποτὲ δὲ τὴν Αἰγυπτίων ἐκάλουν ἐπικουρίαν. Ἐμπορευόμενοί τε τῆς παρ' αὐτῶν εὐνοίας τὴν ὑπόσχεσιν, τὰ ἐκ τῆς ἰδίας ἔπεμπον χώρας, ὁμοῦ δηλονότι τοῖς ἄλλοις. Ἐλαιοφόρος δὲ ἡ Σαμαρειτῶν, καὶ ἦν ἐν Αἰγύπτῳ ἐν τιμῇ τὸ ἔλαιον, οὐκ ἐχούσης αὐτὸ τῆς γῆς. Κενὸν οἶν ἄρα καὶ μάταιον ἡ εἰς ἀνθρώπους ἐλπίς. Καὶ δὴ κατορχείσθω τοῦ πεποιθότος ἐπ' ἀνθρώποις, ὁ ἐπὶ Θεῷ πεποιθώς, τὸ ἐν Ψαλμοῖς ἐκεῖνο λέγων· « Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἤλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ. Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

[38] Prov. x, 5. [39] Cant. 2, 3. [40] Psal. LI, 9-10.

Digitized by Google

Καὶ κρίσις τῷ Κυρίῳ πρὸς Ἰούδαν, τοῦ ἐκδικῆσαι τὸν Ἰακώβ. Κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ ἀνταποδώσει αὐτῷ.

ΡΑϚ'. Ὥσπερ Ἐφραΐμ ὀνομάσας, παρέδειξε νοεῖν τοὺς ἐκ φυλῆς Ἐφραΐμ βεβασιλευκότας, οὕτω κἀνθάδε τοὺς ἐκ φυλῆς Ἰούδα κατὰ καιροὺς βασιλεύοντας, ὡς ἐξ ὀνόματος τῆς βασιλευούσης κατασημαίνει φυλῆς· ἐπιτιμήσας δὴ οὖν τῷ Ἐφραΐμ, ἤτοι τοῖς ἐξ Ἐφραΐμ κρατοῦσι τοῦ Ἰσραὴλ, πνεῦμά τε αὐτοὺς ὀνομάσας πονηρὸν, καὶ κενὰ καὶ μάταια πληθύνειν εἰπὼν, διά γε τοῦ διαθήκας μὲν τίθεσθαι πρὸς Ἀσσυρίους, ἐμπορεύεσθαι δὲ καὶ ἔλαιον εἰς Αἴγυπτον, καταιτιᾶται λοιπὸν τοὺς ἐξ Ἰούδα πάλιν, κριθήσεσθαί τε πρὸς αὐτοὺς τὸν τῶν ὅλων Θεὸν εὖ μάλα φησὶν, οἱονεί πως ἐκδικοῦντα τὸν Ἰακὼβ, φημὶ δὴ τὸν πατριάρχην, ὡς οὐ μετρίως ἠδικημένον, διάτοι τὸ ἴσα μὴ ἐλέσθαι φρονεῖν τοὺς ἐξ αὐτοῦ γεγονότας, μήτε μὴν τῆς πατρῴας κατόπιν ἰέναι γνώμης, ἀποσείεσθαι δὲ ὥσπερ τι τῶν ἄγαν ἐκτόπων τὸ ἀπομιμεῖσθαι θέλειν αὐτόν. Οὐκοῦν ὡς ἠδικημένον εἰς δόξαν διὰ τῆς τῶν τέκνων φαυλότητος τὸν Ἰακὼβ ἐκδικήσειν ἐπαγγέλλεται, τοῖς ἠδικηκόσιν ἀποδιδοὺς κατὰ τὰς ὁδοὺς αὐτῶν, καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐτῶν.

Ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἐν πόνοις αὐτοῦ ἐνίσχυσε πρὸς Θεόν. Καὶ ἐνίσχυσε μετὰ ἀγγέλου, καὶ ἠδυνάσθη.

ΡΑΖ'. Ἀπαριθμεῖται χρησίμως τὰς εὐδοκιμήσεις τοῦ Ἰακὼβ, εἰς ἐλέγχου δύναμιν παρατιθεὶς αὐτὰς τῶν ἕτερα ἅττα φρονεῖν τε καὶ δρᾷν ᾠρημένων· ἀεὶ γάρ πως ἀντιπαραθέσει τοῦ ἀγαθοῦ τὸ φαῦλον ἐλέγχεται, καὶ τῇ παραδείξει τῶν ἐπαινουμένων τὸ μὴ οὕτως ἔχον κατηγορεῖσθαι φιλεῖ. Ὅτι τοίνυν καὶ ἐξ αὐτῶν σπαργάνων εὐφυὴς γέγονεν Ἰακὼβ, μᾶλλον δὲ καὶ πρὸ ὠδῖνος, πειρᾶται δεικνύειν διὰ τοῦ πτερνίσαι τὸν ἀδελφὸν ἐν τῇ κοιλίᾳ. Εἰ γὰρ καὶ θείας δυνάμεως ἐνέργημα τὸ δρώμενον ἦν (οὐ γάρ που τὸ βρέφος τὸ ἐν ἐμβρύῳ καὶ μήτρᾳ πτερνίσαι φαμὲν ἐξ ἑαυτοῦ τὸν Ἡσαῦ), ἀλλ' οὖν κατὰ πρόγνωσιν ὡς ἐσομένῳ χρηστῷ, τὴν τοῦ γεγονότος κατόρθωσιν ἐνετίθει Θεός. Οὕτω καὶ ἔφασκε· « Τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἡσαῦ ἐμίσησα. » Τοῦτο δὲ ἦν κατ' ἐκλογὴν χάριτος, ἑλομένου Θεοῦ τὸν ἀμείνω που πάντως ἐσόμενον, ὡς ἐν προγνώσει δὴ πάλιν. Ἀλλὰ ταυτὶ μὲν ἐν μήτρᾳ. Ἐπειδὴ δὲ προῆλθεν εἰς ἥβην, μᾶλλον δὲ καὶ ἐν ἀνδράσι ἐτέλει λοιπὸν, « Ἐν κόποις αὐτοῦ ἐνίσχυσε πρὸς Θεόν. » Θεοῦ γὰρ πέμποντος οἰκονομικῶς εἰς ἱδρῶτας καὶ πόνους, οὐκ ἠσθένησε, φησίν. Ἦ γὰρ οὐχ ἱδρὼς, τὸ τῆς πατρῴας μὲν ἀπαίρειν ἑστίας, ἀφικνεῖσθαι δὲ πρὸς Λάβαν, καὶ ἀνασχέσθαι θητείας, καὶ τοὺς ἐπὶ τὸ ποιμαίνειν ἀνατλῆναι πόνους; Ἀμῴβολον οὐκοῦν, « Ἐν πόνοις ἐνίσχυσε πρὸς Θεόν. » Οὐχ ὡς Θεῷ μαχόμενος, ὑπακούων δὲ μᾶλλον, καὶ οἱονεὶ περιγιγνόμενος διὰ τοῦ πληροῦν τὰ κεκελευσμένα. Ἔξὸν γὰρ ἀνδρωτὶ πλουτεῖν, καὶ εὐημερεῖν οἴκοι μένοντα τὸν Ἰακὼβ, οὐκ ἀγύμναστον ἠφίει Θεός. Ἐπὶ προφάσει δὲ μᾶλλον τῶν ἐξ Ἡσαῦ δειμάτων ἐπ' ἀλλοδαπὴν ἰόντα χώραν τε καὶ πόλιν, δύσ-

A VERS. 2. *Et judicium Domino contra Judam, ut ulciscatur Jacob. Juxta vias ejus, et juxta studia ejus retribuet ei.*

CXXXVI. Quemadmodum nominato Ephraim ostendit intelligendos reges de tribu Ephraim, ita et hic qui aliquando ex tribu Juda sceptrum tenuerunt, ut ex tribu regnante, indicat. Objurgato igitur Ephraim, sive Ephraimitis Israeli imperantibus, et appellatis spiritu malo, dictoque, illos inania et vana multiplicare, quod testamentum cum Assyriis facerent, et oleum vendendum in Ægyptum importarent, delinceps etiam Judæ reges insimulat, et judicio cum illis universorum Deum certaturum rectissime inquit, quasi Jacob ulciscentem, patriarcham, inquam, ut iniquissime læsum, quod cum ex B eo prodiissent, idem de religione sentire detrectassent, neque patrum vestigiis institissent, et voluntatem illius imitandi ceu quiddam vehementer absurdum repudiassent. Quare, ut ejus gloria per filiorum improbitatem obscurata, Jacob se vindicaturum pollicetur, reddendo injuriosis secundum vias et studia ipsorum.

VERS. 3. *In utero supplantavit fratrem suum, et in laboribus suis prævaluit in Deum. Et prævaluit cum angelo, et potuit.*

CXXXVII. Utiliter laudes Jacob enumerat, ut iis aliter et cogitantes et facientes redarguat; semper enim boni appositione malum seu vitiosum coarguitur, et ex collatione laudabilium, quod ejusmodi C non est, reprehendi ac damnari solet. Ab ipsis igitur incunabulis Jacob fuisse habilem ac dexterum, imo antequam partu ederetur, ex eo probare studet quod fratrem in utero materno supplantarit. Etsi enim divinæ virtutis opus fuit, quod agebatur (non enim infantem in visceribus et utero per se Esau plantam tenuisse dicere audemus), tamen secundum præscientiam, ut qui bonus esset futurus, Deus hoc factum egregium in eo excitavit; qui etiam ita dixit: « Jacob dilexi, **169** Esau autem odio habui [61]. » Hoc porro erat secundum electionem gratiæ, cum elegisset Deus omni ratione meliorem futurum; sed ut ex præscientia. Atque hæc quidem in utero. Ubi autem juvenilem ætatem attigit, imo verius in viris D numeratus est, « In laboribus suis prævaluit in Deum. » Nam cum Deus providenter eum ad sudores laboresque misisset, non defecit, inquit. An non enim sudoris opus est, a paterna domo discedere, ad Laban devenire, ibi mercenariam servitutem sustinere, et pastoritios labores perferre? Hoc igitur est ambiguum, « In laboribus prævaluit in Deum: » non quasi cum Deo pugnans, sed obediens potius, et veluti superior ac victor, quod justa impleret. Nam cum liceret Jacob citra sudorem ditescere, et felicitatem adipisci, si domi maneret, Deus eum exercitatione vacare non permisit; sed occasione minarum ab Esau intentatarum, in peregrinum solum,

[61] Malach. I, 3.

Digitized by Google

et urbem profectum [62], negotium permolestum: sustinere fecit, ut etiam in ipsis casibus sincere in Deum charitate servata, jure esset admirationi. Igitur « prævaluit in laboribus suis in Deum ; » sed « Prævaluit etiam cum angelo, inquit, et potuit. » Luctatus est enim cum eo angelus ut in forma Dei. Tum etiam emarcuit femur ejus. Verumtamen divinus Jacob gratias huic luctæ agebat; dicebat enim : « Quia vidi Deum facie ad faciem, et salva facta est anima mea [63]. »

Mysterium igitur in Christo per luctam cum angelo prænonstratum est. Perseverarunt enim posteri Jacob adversari Christo, quem prophetæ magni consilii Angelum vocant [64]. Et alii quidem marcorem, id est, redemptionem ejus non admittentes; alii etiam se vidisse per ipsum, et in ipso facie ad faciem unum, et natura, et vere Deum confiteri nolentes. In seipso enim ostendit nobis Patrem Emmanuel, dicens : « Qui vidit me, vidit et Patrem [65]. » Adumbravit ergo mysterium modus certaminis. Verum Deus factum istud Jacob laudi apponit.

Vers. 4, 5. *Fleverunt, et deprecati sunt me. In domo mea invenerunt me, et ibi dictum est ad eum. Dominus vero Deus omnipotens erit memoriale ejus.*

CXXXVIII. Adhuc aliarum historiarum meminit, inclytum et undequaque laudabilem nobis Jacob demonstrans. Quare scriptum est in Genesi, filius Jacob Simeonem, et Levi Sichimitas crudeliter immaniterque trucidasse, succensos **170** ira propter Dinam sororem, cui virginitatem Emmor filius Sichem ademerat. Unde in magnum timorem conjectus beatus Jacob, seseque extemplo cum liberis et domesticis omnibus interfectum iri existimans, auctores illarum cædium increpuit, cum ita diceret : « Odiosum me fecistis, ita ut malus ego sim omnibus habitantibus terram, et in Chananæis, et in Pherezæis. Ego autem paucissimus sum in numero, et congregati super me percutient me, et delebor ego, et domus mea [66]. » At juvenes de ferocia nihil remittebant omnino, occurrentesque dicebant : « Sed sicut scorto utentur sorore nostra [67] ? » Quoniam vero magnopere metuebat, sicut dixi, justus ille, denuo cadebat supplex Deo Servatori, qui eum terroribus haud multo post liberaturum spopondit, ita loquens amans justorum Deus : « Surgens, ascende in locum Bethel, et habita ibi, et fac ibi altare Deo, qui apparuit tibi, quando fugiebas a facie Esau fratris tui [68]. » Postea ascensurus in Bethel beatus Jacob, et divinam domum ingressurus (redditur enim Bethel « in domum Dei, ») ita totam domum suam, et omnes qui cum eo erant, compellavit : « Tollite deos alienos de medio vestrum, et mundamini, et mutate vestimenta vestra, et surgentes ascendamus in Bethel, et faciam ibi altare Deo meo, qui exaudivit me in die tribulationis meæ, et fuit mecum in via qua ambulavi. » Et dedit omnia quæ habebat Jacob, et inaures quæ erant in auribus eorum, et abscondit ea sub terebintho quæ est in Sichimis. Et profecti sunt, et factus est terror Dei super omnes urbes quæ in circuitu earum erant, et non persecuti sunt filios Jacob. Et venit Jacob in Luz, quæ est in terra Chanaan, ipsa est Bethel, ipse et omnis populus qui cum eo erat. Et ædificavit ibi altare, et vocavit locum illum domum Dei, quia ibi apparuit ei Deus, quando fugiebat a facie fratris sui. Et mortua est Debbora nutrix Rebeccæ, et sepulta est sub Bethel sub quercu, et vocavit nomen ejus Quercus Fletus. Et apparuit Deus Jacob iterum, quando venit de Mesopotamia Syriæ, et benedixit ei, et dixit ei : « Non vocabitur nomen tuum amplius Jacob, sed Israel vocabitur nomen tuum. » Et vocavit nomen ejus Israel. Et dixit ei Deus : « Ego Deus omnipotens, crescite et multiplicamini. Gentes et populi gentium erunt ex te, et reges de lumbis tuis egredientur. Et terram quam dedi Abraham et Isaac, tibi dabo eam, et semini tuo post te dabo terram. » Et ascendit Deus de loco ubi locutus est ei. Et erexit Jacob titulum in loco ubi locutus est ei Deus, titulum lapideum, et libavit super eum libamen, et fudit super eum oleum. Et vocavit Jacob nomen loci in quo locutus est ei Deus, Bethel. Et profecti sunt de Bethel, et erat adhuc spatium terræ veniendi Ephrata, et peperit Rachel, et dolebat in partu suo. Et factum est cum dolore parturiret, dixit ei obstetrix : « Ne timeas, quoniam et hunc habebis filium. » Et factum est cum exiret anima ejus, quia mortua est, vocavit nomen filii sui Benoni, et vocavit eum pater ejus Benjamin. Et mortua est Rachel, et sepulta est in via Ephrata, ipsa est Bethlehem. Et erexit Jacob titulum super sepulcrum ejus, ipse est titulus sepulcri Rachel usque in hodiernum diem [69]. »

Hæc igitur omnia ita gesta esse, et Jacob ita locutum, Deus ipse testatur. Quare ad Christum hæc omnia referenda sunt, qui ait : « Ego sum Deus Bethel, ubi unxisti mihi lapidem, et ubi vovisti mihi votum [70]. » Et : « Ego sum Deus Israel, qui locutus sum ad te in visione nocte, et dixi : Jacob, Jacob. Et respondisti : Ecce ego. Et dixi : Ego sum Deus tuus, ne timeas descendere in Ægyptum, quia in gentem magnam faciam te ibi. Ego descendam tecum in Ægyptum, et ego ascendere faciam te [71]. » Et : « Ego sum Deus Bethel, ubi locutus sum ad te in loco ubi fugiebas a facie Esau fratris tui [72]. » Et : « Ego sum Deus omnipotens, qui locutus sum ad te in Luz, quæ est in terra Chanaan, et benedixi tibi, et dixi : Ecce ego crescere faciam te, et multiplicabo te, et gentes et populi gentium erunt ex te, et reges de lumbis tuis egredientur. Et terram quam dedi Abraham et Isaac, tibi dabo eam, et semini tuo post te dabo terram. Et ascendit Deus de loco ubi locutus est ei. Et erexit Jacob titulum in loco ubi locutus est ei Deus, titulum lapideum, et libavit super eum libamen, et fudit super eum oleum. Et vocavit Jacob nomen loci in quo locutus est ei Deus, Bethel. Et profecti sunt de Bethel, et erat adhuc spatium terræ veniendi Ephrata, et peperit Rachel, et dolebat in partu suo. Et factum est cum dolore parturiret, dixit ei obstetrix : « Ne timeas, quoniam et hunc habebis filium. » Et factum est cum exiret anima ejus, quia mortua est, vocavit nomen filii sui Benoni, et vocavit eum pater ejus Benjamin. Et mortua est Rachel, et sepulta est in via Ephrata, ipsa est Bethlehem. Et erexit Jacob titulum super sepulcrum ejus, ipse est titulus sepulcri Rachel usque in hodiernum diem [73]. »

Hæc igitur omnia ita gesta esse, et Jacob ita locutum, Deus ipse testatur. Quare ad Christum hæc omnia referenda sunt, qui ait : « Ego sum Deus Bethel, ubi unxisti mihi lapidem, et ubi vovisti mihi votum [74]. » Et : « Ego sum Deus Israel, qui locutus sum ad te in visione nocte, et dixi : Jacob, Jacob. Et respondisti : Ecce ego. Et dixi : Ego sum Deus tuus, ne timeas descendere in Ægyptum, quia in gentem magnam faciam te ibi. Ego descendam tecum in Ægyptum, et ego ascendere faciam te [75]. » Et : « Ego sum Deus Bethel, ubi locutus sum ad te in loco ubi fugiebas a facie Esau fratris tui [76]. » Et : « Ego sum Deus omnipotens, qui locutus sum ad te in Luz, quæ est in terra Chanaan, et benedixi tibi, et dixi : Ecce ego crescere faciam te, et multiplicabo te, et gentes et populi gentium erunt ex te, et reges de lumbis tuis egredientur. Et terram quam dedi Abraham et Isaac, tibi dabo eam, et semini tuo post te dabo terram. Et ascendit Deus de loco ubi locutus est ei. Et erexit Jacob titulum in loco ubi locutus est ei Deus, titulum lapideum, et libavit super eum libamen, et fudit super eum oleum. Et vocavit Jacob nomen loci in quo locutus est ei Deus, Bethel. Et profecti sunt de Bethel, et erat adhuc spatium terræ veniendi Ephrata, et peperit Rachel, et dolebat in partu suo. Et factum est cum dolore parturiret, dixit ei obstetrix : « Ne timeas, quoniam et hunc habebis filium. » Et factum est cum exiret anima ejus, quia mortua est, vocavit nomen filii sui Benoni, et vocavit eum pater ejus Benjamin. Et mortua est Rachel, et sepulta est in via Ephrata, ipsa est Bethlehem. Et erexit Jacob titulum super sepulcrum ejus, ipse est titulus sepulcri Rachel usque in hodiernum diem [77]. »

οιστον ὑπενεγκεῖν παρεσκεύαζε πόνον, ἵνα καὶ ἐν αὐταῖς ταῖς θλίψεσι τῆς εἰς Θεὸν ἀγάπης τετηρηκὼς τὸ γνήσιον, εἰκότως θαυμάζοιτο. Οὐκοῦν, « Ἐνίσχυσεν ἐν πόνοις αὐτοῦ πρὸς τὸν Θεόν. » Ἀλλ' « Ἐνίσχυσε καὶ μετ' ἀγγέλου, φησὶ, καὶ ἠδυνάσθη. » Πεπάλαικε γὰρ ἄγγελος πρὸς αὐτὸν, ὡς ἐν εἴδει Θεοῦ. Τότε καὶ ἐνάρκησεν ὁ μηρὸς αὐτοῦ. Πλὴν ὁ θεσπέσιος Ἰακὼβ πλείστην ὅσην ὡμολόγει τῇ πάλῃ τὴν χάριν. Ἔφη γὰρ, « Ὅτι εἶδον Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή. »

Τὸ μὲν οὖν ἐπὶ Χριστῷ μυστήριον διὰ τῆς πρὸς τὸν ἄγγελον προανεδείκνυτο πάλης. Ἔμενον γὰρ οἱ ἐξ Ἰακὼβ ἀνταγωνίζεσθαι τῷ Χριστῷ, ὃν μεγάλης βουλῆς Ἄγγελον ὁ τῶν προφητῶν ὠνόμασε λόγος. Καὶ οἱ μὲν νάρκησιν τὴν παρ' αὐτοῦ λύτρωσιν οὐ προσηκάμενοι· οἱ δὲ καὶ ὁμολογεῖν, ὅτι τεθέανται δι' αὐτοῦ τε καὶ ἐν αὐτῷ πρόσωπον πρὸς πρόσωπον τὸν ἕνα τε καὶ φύσει, καὶ ἀληθῶς Θεόν. Ἐν ἑαυτῷ γὰρ ἡμῖν ὑπέδειξε τὸν Πατέρα λέγων ὁ Ἐμμανουήλ· « Ὃ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα. » Οὐκοῦν, προανετύπου τὸ μυστήριον ὁ τῆς ἀθλήσεως τρόπος. Πλὴν εἰς κατόρθωμα τῷ Ἰακὼβ καταγράφει Θεὸς τὸ γεγενημένον.

Ἐκλαυσαν, καὶ ἐδεήθησάν μου. Ἐν τῷ οἴκῳ μου εὗρόσάν με, καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτόν. Ὁ δὲ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ἔσται μνημόσυνον αὐτοῦ.

ΡΛΗ'. Ἑτέρων διαμέμνηται πάλιν ἱστοριῶν, λαμπρὸν καὶ εὐδόκιμον πανταχόθεν ἡμῖν ἀποφαίνων τὸν Ἰακώβ. Γέγραπται τοίνυν ἐν τῇ Γενέσει, ὅτι Σικιμῖται μὲν ὠμῶς τε καὶ ἀπανθρώπως ἀπεκτόνασιν οἱ ἐξ Ἰακὼβ Λευΐ τε καὶ Συμεών, ἀνακαιόμενοι πρὸς ὀργὰς ἐπὶ Δίνᾳ τῇ ἀδελφῇ, ἣν διεπαρθένευσεν Ἐμὼρ ὁ Συχὲμ υἱός. Εἶτα περιδεὴς ἐντεῦθεν ὁ μακάριος ἦν Ἰακώβ· καὶ αὐτίκα δὴ μάλα συνδιολεῖσθαι τοῖς τέκνοις καὶ τοῖς κατ' οἶκον ἅπασι προσδοκῶν, ἐπετίμα τοῖς ἐκεῖνα δεδρακόσιν, οὕτω τε ἔφη· « Μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι τοῖς κατοικοῦσι τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις, καὶ τοῖς Φερεζαίοις. Ἐγω δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ' ἐμὲ, συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγὼ, καὶ ὁ οἶκός μου. » Καὶ κατέλεγον μὲν οὐδαμῶς τοῦ θράσους οἱ νεανίαι. Προσυπήντων γὰρ λέγοντες· « Ἀλλ' ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν; » Ἐπειδὴ δὲ, ὡς ἔφην, περιδεὴς ἦν ἄγαν ὁ δίκαιος, προσέπιπτε πάλιν τῷ διασώζοντι Θεῷ. Εἶτα τῶν δειμάτων αὐτὸν ἀπαλλάττειν ὑπισχνεῖτο, καὶ οὐκ εἰς μακρὰν οὕτω λέγων ὁ φιλοδίκαιος Θεός· « Ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθὴλ, καὶ οἴκει ἐκεῖ, καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ, τῷ ὀφθέντι σοι ἐν τῷ σε ἀποδιδράσκειν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου. » Εἶτα, μέλλων ἀναβαίνειν εἰς Βαιθὴλ ὁ μακάριος Ἰακὼβ, καὶ εἰς τὸν θεῖον οἶκον ἐλθεῖν (ἑρμηνεύεται γὰρ ἡ Βαιθὴλ, « εἰς οἶκον Θεοῦ »), προσεφώνει παντὶ τῷ οἴκῳ αὐτοῦ, καὶ πᾶσι τοῖς μετ' αὐτοῦ· « Ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου ὑμῶν, καὶ καθαρίσθητε, καὶ ἀλλάξασθε ἱμάτια, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθὴλ, καὶ ποιήσω ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως μου, καὶ ἐγένετο μετ' ἐμοῦ ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθην. » Καὶ ἔδωκε πάντα τὰ ὄντα τῷ Ἰακὼβ, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ ἔκρυψεν αὐτὰ ὑπὸ τὴν τερέβινθον τὴν οὖσαν ἐν Συχέμοις. Καὶ ἀπῆραν, καὶ ἐγένετο φόβος Θεοῦ ἐπὶ πάσας τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐκ ἐδίωξαν τοὺς υἱοὺς Ἰακώβ. Καὶ ἦλθεν Ἰακὼβ εἰς Λουζὰ, ἥτις ἐστὶν ἐν γῇ Χαναὰν, αὕτη ἐστὶ Βαιθὴλ, αὐτὸς καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ. Καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον, καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον οἶκον Θεοῦ, ὅτι ἐκεῖ ὤφθη αὐτῷ ὁ Θεὸς, ἡνίκα ἔφευγε πρὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ. Καὶ ἀπέθανε Δεββώρα ἡ τροφὸς Ῥεβέκκας, καὶ ἐτάφη ὑπὸ τὴν Βαιθὴλ ὑπὸ τὴν δρῦν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Δρυὸς Κλαυθμῶνος. Καὶ ὤφθη ὁ Θεὸς τῷ Ἰακὼβ πάλιν, ἡνίκα ἦλθεν ἐκ Μεσοποταμίας Συρίας, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ· « Οὐ κληθήσεται τὸ ὄνομά σου ἔτι Ἰακὼβ, ἀλλ' ἢ Ἰσραὴλ κληθήσεται τὸ ὄνομά σου. » Καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσραήλ. Καὶ εἶπεν αὐτῷ ὁ Θεὸς· « Ἐγὼ Θεὸς παντοκράτωρ, αὐξάνεσθε καὶ πληθύνεσθε. Ἔθνη καὶ λαοὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται. Καὶ τὴν γῆν ἣν ἔδωκα Ἀβραὰμ καὶ Ἰσαὰκ, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν. » Καὶ ἀνέβη ὁ Θεὸς ἀπὸ τοῦ τόπου οὗ ἐλάλησε μετ' αὐτοῦ. Καὶ ἔστησεν Ἰακὼβ τιτλὸν ἐν τῷ τόπῳ οὗ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, τιτλὸν λιθοῦν, καὶ ἔσπεισεν ἐπ' αὐτὸν σπονδὴν, καὶ ἐπέχεε ἐπ' αὐτὸν ἔλαιον. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου οὗ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, Βαιθήλ. Καὶ ἀπῆραν ἀπὸ Βαιθὴλ, καὶ ἦν ἔτι χώρα ἐλθεῖν Ἐφραθὰ, καὶ ἔτεκε Ῥαχὴλ, καὶ ἐπόνει ἐν τῷ τόκῳ αὐτῆς. Καὶ ἐγένετο ἐν τῷ πονεῖν αὐτὴν ἐν τῷ τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα· « Μὴ φοβοῦ, ὅτι καὶ τοῦτον ἕξεις υἱόν. » Καὶ ἐγένετο ἐν τῷ ἐξιέναι τὴν ψυχὴν αὐτῆς, ὅτι ἀπέθνησκε, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ υἱοῦ αὐτῆς Βενιὼνι, καὶ ἐκάλεσεν αὐτὸν Ἰακὼβ πατὴρ αὐτοῦ Βενιαμίν. Καὶ ἀπέθανε Ῥαχὴλ, καὶ ἐτάφη ἐν τῇ ὁδῷ Ἐφραθὰ, αὕτη ἐστὶ Βηθλεέμ. Καὶ ἔστησεν Ἰακὼβ τιτλὸν ἐπὶ τὸ μνῆμα αὐτῆς, οὗτός ἐστιν ὁ τιτλὸς τοῦ μνήματος Ῥαχὴλ ἕως τῆς σήμερον ἡμέρας [69]. »

Ταῦτα μὲν οὖν οὕτω γεγενῆσθαι, καὶ Ἰακὼβ οὕτω λελαληκέναι, αὐτὸς ὁ Θεὸς μαρτύρεται. Πρὸς Χριστὸν οὖν ἀναφέρεσθαι χρὴ πάντα ταῦτα, ὃς φησιν· « Ἐγὼ Θεὸς Βαιθὴλ, οὗ ἔχρισάς μοι λίθον, καὶ οὗ ηὔξω μοι εὐχήν [70]. » Καὶ· « Ἐγὼ Θεὸς Ἰσραὴλ, ὃς ἐλάλησα πρὸς σὲ ἐν ὁράσει νυκτὸς, καὶ εἶπα· Ἰακὼβ, Ἰακώβ. Καὶ ἀπεκρίθης· Ἰδοὺ ἐγώ. Καὶ εἶπα· Ἐγὼ Θεὸς σοῦ, μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον, ὅτι εἰς ἔθνος μέγα ποιήσω σε ἐκεῖ. Ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε ἐκεῖθεν [71]. » Καὶ· « Ἐγὼ Θεὸς Βαιθὴλ, οὗ ἐλάλησα πρὸς σὲ ἐν τόπῳ οὗ ἔφευγες ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου [72]. » Καὶ· « Ἐγὼ Θεὸς παντοκράτωρ, ὃς ἐλάλησα πρὸς σὲ ἐν Λουζὰ, ἥτις ἐστὶν ἐν γῇ Χαναὰν, καὶ εὐλόγησά σε, καὶ εἶπα· Ἰδοὺ ἐγὼ αὐξάνω σε, καὶ πληθύνω σε, καὶ ἔθνη καὶ λαοὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται. Καὶ τὴν γῆν ἣν ἔδωκα Ἀβραὰμ καὶ Ἰσαὰκ, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν. Καὶ ἀνέβη ὁ Θεὸς ἀπὸ τοῦ τόπου οὗ ἐλάλησε μετ' αὐτοῦ. Καὶ ἔστησεν Ἰακὼβ τιτλὸν ἐν τῷ τόπῳ οὗ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, τιτλὸν λιθοῦν, καὶ ἔσπεισεν ἐπ' αὐτὸν σπονδὴν, καὶ ἐπέχεε ἐπ' αὐτὸν ἔλαιον. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου οὗ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, Βαιθήλ. Καὶ ἀπῆραν ἀπὸ Βαιθὴλ, καὶ ἦν ἔτι χώρα ἐλθεῖν Ἐφραθὰ, καὶ ἔτεκε Ῥαχὴλ, καὶ ἐπόνει ἐν τῷ τόκῳ αὐτῆς. Καὶ ἐγένετο ἐν τῷ πονεῖν αὐτὴν ἐν τῷ τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα· « Μὴ φοβοῦ, ὅτι καὶ τοῦτον ἕξεις υἱόν. » Καὶ ἐγένετο ἐν τῷ ἐξιέναι τὴν ψυχὴν αὐτῆς, ὅτι ἀπέθνησκε, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ υἱοῦ αὐτῆς Βενιὼνι, καὶ ἐκάλεσεν αὐτὸν Ἰακὼβ πατὴρ αὐτοῦ Βενιαμίν. Καὶ ἀπέθανε Ῥαχὴλ, καὶ ἐτάφη ἐν τῇ ὁδῷ Ἐφραθὰ, αὕτη ἐστὶ Βηθλεέμ. Καὶ ἔστησεν Ἰακὼβ τιτλὸν ἐπὶ τὸ μνῆμα αὐτῆς, οὗτός ἐστιν ὁ τιτλὸς τοῦ μνήματος Ῥαχὴλ ἕως τῆς σήμερον ἡμέρας [73]. »

Ταῦτα μὲν οὖν οὕτω γεγενῆσθαι, καὶ Ἰακὼβ οὕτω λελαληκέναι, αὐτὸς ὁ Θεὸς μαρτύρεται. Πρὸς Χριστὸν οὖν ἀναφέρεσθαι χρὴ πάντα ταῦτα, ὃς φησιν· « Ἐγὼ Θεὸς Βαιθὴλ, οὗ ἔχρισάς μοι λίθον, καὶ οὗ ηὔξω μοι εὐχήν [74]. » Καὶ· « Ἐγὼ Θεὸς Ἰσραὴλ, ὃς ἐλάλησα πρὸς σὲ ἐν ὁράσει νυκτὸς, καὶ εἶπα· Ἰακὼβ, Ἰακώβ. Καὶ ἀπεκρίθης· Ἰδοὺ ἐγώ. Καὶ εἶπα· Ἐγὼ Θεὸς σοῦ, μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον, ὅτι εἰς ἔθνος μέγα ποιήσω σε ἐκεῖ. Ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε ἐκεῖθεν [75]. » Καὶ· « Ἐγὼ Θεὸς Βαιθὴλ, οὗ ἐλάλησα πρὸς σὲ ἐν τόπῳ οὗ ἔφευγες ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου [76]. » Καὶ· « Ἐγὼ Θεὸς παντοκράτωρ, ὃς ἐλάλησα πρὸς σὲ ἐν Λουζὰ, ἥτις ἐστὶν ἐν γῇ Χαναὰν, καὶ εὐλόγησά σε, καὶ εἶπα· Ἰδοὺ ἐγὼ αὐξάνω σε, καὶ πληθύνω σε, καὶ ἔθνη καὶ λαοὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται. Καὶ τὴν γῆν ἣν ἔδωκα Ἀβραὰμ καὶ Ἰσαὰκ, σοὶ δώσω αὐτὴν, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν. Καὶ ἀνέβη ὁ Θεὸς ἀπὸ τοῦ τόπου οὗ ἐλάλησε μετ' αὐτοῦ. Καὶ ἔστησεν Ἰακὼβ τιτλὸν ἐν τῷ τόπῳ οὗ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, τιτλὸν λιθοῦν, καὶ ἔσπεισεν ἐπ' αὐτὸν σπονδὴν, καὶ ἐπέχεε ἐπ' αὐτὸν ἔλαιον. Καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου οὗ ἐλάλησε μετ' αὐτοῦ ὁ Θεὸς, Βαιθήλ. Καὶ ἀπῆραν ἀπὸ Βαιθὴλ, καὶ ἦν ἔτι χώρα ἐλθεῖν Ἐφραθὰ, καὶ ἔτεκε Ῥαχὴλ, καὶ ἐπόνει ἐν τῷ τόκῳ αὐτῆς. Καὶ ἐγένετο ἐν τῷ πονεῖν αὐτὴν ἐν τῷ τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα· « Μὴ φοβοῦ, ὅτι καὶ τοῦτον ἕξεις υἱόν. » Καὶ ἐγένετο ἐν τῷ ἐξιέναι τὴν ψυχὴν αὐτῆς, ὅτι ἀπέθνησκε, καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ υἱοῦ αὐτῆς Βενιὼνι, καὶ ἐκάλεσεν αὐτὸν Ἰακὼβ πατὴρ αὐτοῦ Βενιαμίν. Καὶ ἀπέθανε Ῥαχὴλ, καὶ ἐτάφη ἐν τῇ ὁδῷ Ἐφραθὰ, αὕτη ἐστὶ Βηθλεέμ. Καὶ ἔστησεν Ἰακὼβ τιτλὸν ἐπὶ τὸ μνῆμα αὐτῆς, οὗτός ἐστιν ὁ τιτλὸς τοῦ μνήματος Ῥαχὴλ ἕως τῆς σήμερον ἡμέρας [77]. »

[62] Gen. xxvii, 41. [63] Gen. xxxii, 30. [64] Isa. ix, 6, secund. LXX. [65] Joan. xiv, 9. [66] Gen. xxxiv, 30. [67] Ibid. 31. [68] Gen. xxxv, 1.

Digitized by Google

σασθε, καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν, καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθήλ, καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ Θεῷ, τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ' ἐμοῦ, καὶ διέσωσέ με ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθην. Καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ κατέκρυψε αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις, καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας. » Οὗ δὴ γεγονότος, ἐν καλῷ τῆς ἐλπίδος ἦν ὁ θεσπέσιος Ἰακώβ. Ἀπηλλάττετο γὰρ εἰσάπαν τῆς Σικιμιτῶν ὑποψίας, Θεοῦ κατευνάζοντος ἰδίᾳ δυνάμει τοὺς τὴν ἐπ' αὐτῷ μάχην ὠδίνοντας. Ἕφη γὰρ τὸ Γράμμα τὸ ἱερὸν ἑξῆς· « Καὶ ἐγένετο φόβος Κυρίου ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ. » Ἐπειδὴ δὲ ἐγήγερτο θυσιαστήριον ἐν Λουζᾷ, ὅ ἐστι Βαιθήλ, « Ὤφθη, φησὶ, Θεὸς τῷ Ἰακὼβ, καὶ ηὐλόγησεν αὐτὸν, καὶ εἶπεν· Ἐγὼ ὁ Θεός σου, αὐξάνου, καὶ πληθύνου· ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται, καὶ τὴν γῆν, ἣν ἔδωκα Ἀβραὰμ καὶ Ἰσαὰκ, σοὶ δέδωκα αὐτήν· καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην. » Τούτων ἡμῖν διαμέμνηται τῶν ἱστοριῶν εἰς τὸ παρὸν χρησμῴδημα τὸ προφητικόν. Οὐκοῦν ἦν μὲν ἐκ μήτρας πτερνιστὴς Ἰακώβ, ὑμεῖς δὲ ἀεὶ πτερνίζεσθε, καὶ οὐ πτερνίζετε μᾶλλον τὴν ἁμαρτίαν. Καὶ φιλοπονώτατος μὲν ἐκεῖνος, καὶ ἐν ἱδρῶσι εὐδόκιμος, καὶ γνήσιος πρὸς Θεόν· ὑμεῖς δὲ τρυφῶντες ταῖς ἀποστασίαις, τὸν ἀπάσης ὑμῖν εὐθυμίας οὐ τετιμήκατε χορηγόν. « Ἔκλαυσαν εἱ πατέρες ὑμῶν, καὶ ἐδεήθησάν μου, » φησίν. Εἰ γάρ που γεγόνασιν ἐν ὑποψίαις τοῦ παθεῖν τὰ παρὰ τῆς τινων ἐπιβουλῆς, ἔκλαιον καὶ ἐδέοντό μου. Δι' ἐμοῦ γὰρ καὶ μόνου σώζεσθαι προσεδόκων· ὑμεῖς δὲ πόλεις τειχίζετε, οἴεσθέ τε, ὅτι κἂν εἰ μὴ θέλοιμι, τάχα που σωθήσεσθε, καὶ κρατήσετε τῶν ἀνθεστηκότων. Κἀκεῖνοι δὲ « Ἐν τῷ οἴκῳ εὗρόσάν με. » Ἀνέβη γάρ, ὡς ἔφην, ἐν Βαιθὴλ ὁ Ἰακὼβ, ἐπεφάνη τε Θεὸς αὐτῷ, καὶ ἐκεῖ ἐλαλήθη πρὸς αὐτὸν ἡ τῆς εὐλογίας ὑπόσχεσις, καθάπερ ἐδείξαμεν ἀρτίως, ὑμεῖς δὲ πάλιν οὐ ζητεῖτε Θεὸν ἐν τῷ οἴκῳ αὐτοῦ, εἰστρέχετε δὲ μᾶλλον, καὶ σφόδρα προθύμως, ἐν τοῖς τεμένεσι τοῦ Βάαλ, καὶ ἐξαιτεῖτε λόγους οὐ παρὰ Θεοῦ, ἀλλὰ τὰ ἐκ τῶν δαιμόνων μαντεύματα. Καὶ ὁ μὲν θεσπέσιος Ἰακὼβ ἀναβαίνων εἰς Βαιθήλ, τουτέστιν, « εἰς οἶκον Θεοῦ, » κατηφάνισε τὰ εἴδωλα· ὑμεῖς δὲ τὸ ἐναντίον ἐν οἴκῳ Θεοῦ θεὸν ἐστήσατε γλυπτόν. Ἔστησαν γὰρ εἰς Βαιθὴλ τὴν δάμαλιν τὴν χρυσῆν, καί τοι τῆς Βαιθὴλ ἑρμηνευομένης, ὡς εἶπον, « οἶκος Θεοῦ. » Διὰ τοῦτο καὶ διὰ φωνῆς Ἱερεμίου φησὶν ὁ Θεὸς περὶ τῆς Ἰουδαίων Συναγωγῆς· « Τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα; » τουτέστιν, εἴδωλον. Καὶ ὁ μὲν θεσπέσιος Ἰακὼβ καὶ εἰς οἶκον ἀναβαίνουσι Θεου καθαρίζεσθαί τε καὶ αὐτὰς δὲ τὰς στολὰς μεταμείδειν ἐκέλευσεν· ὑμεῖς δὲ ὁρᾶσθε βέβηλοι καὶ ἀκάθαρτοι, καὶ ἀνίπτοις ἰόντες ποσὶν εἰς τὸν θεῖον οἶκον οὐκ ἐρυθριᾶτε; φησίν. Ἐπειδὴ δὲ ἦν

A gentes ascendamus in Bethel, et faciamus ibi altare Deo, qui exaudivit me in die tribulationis, qui fuit mecum, et salvavit me in via qua ambulavi. Et dederunt Jacob deos alienos, qui erant in manibus eorum, et inaures, quæ in auribus eorum, et abscondit ea Jacob sub terebintho quæ est in Sichimis, et perdidit ea usque in hodiernum diem [49]. » Quo peracto bona spe alebatur sanctus Jacob. Nam Sichimitarum formidine penitus exsolvebatur, Deo virtute sua bellum adversus eum parturientes comprimente. Ita enim in sacra Scriptura deinceps sequitur : « Et factus est timor Dei super civitates in circuitu eorum, et non persecuti sunt post filios Israel [50]. » Postquam autem ædificatum est altare in Luza, quæ est Bethel, « Apparuit, inquit, Deus
B Jacob, et benedixit ei, dixitque : Ego Deus tuus, cresce et multiplicare : gentes et congregationes gentium erunt ex te, et reges de lumbo tuo egredientur, et terram quam dedi Abraham et Isaac, tibi dedi eam, et semini tuo post te dabo terram hanc [51]. » Harum historiarum nos commonefacit in præsenti propheticum oraculum. Erat igitur ex utero supplantator Jacob, vos autem semper supplantamini, et non supplantatis potius **171** peccatum. Et ille quidem laborum erat amantissimus, et sudoribus spectatus, et sincerus erga Deum; vos autem defectionibus ludentes, omnis lætitiæ vestræ largitorem non honorastis. « Fleverunt patres vestri, et
C obsecrarunt me, » inquit. Nam si quando per insidias quidpiam ab aliis se passuros suspicabantur, flebant et supplicabant mihi : per me enim tantummodo salutem exspectabant; at vos urbes communitis, putatisque etiam nolente me fortasse servatum iri, et de hostibus victoriam relaturos. Et illi « in domo invenerunt me. » Ascendit enim in Bethel Jacob, ut dixi, apparuitque illi Deus, et ibi dicta est ad illum benedictionis promissio, ut paulo ante docuimus; at vos rursum non quæritis Deum in domo ejus, sed in delubra Baal potius, et cupidissime curritis; nec a Deo responsa, sed dæmonum vaticinia exquiritis. Et divinus quidem Jacob ascendens in Bethel, hoc est, « in domum Dei, » delevit idola; vos contra in domo Dei Deum sculptilem constituistis. Statuerunt quippe in Bethel vitulum aureum,
D tametsi Bethel interpretationem haberet « domus Dei, » ut dixi. Quocirca et per Jeremiam Deus ait de Judæorum Synagoga : « Quid dilecta in domo mea fecit abominationem [52]? » idolum puta. Ac divinus quidem Jacob etiam in domum Dei ascendentibus mandavit mundari, et mutare vestes; vos autem cernimini profani, et immundi, et illotis pedibus domum divinam ingredi non erubescitis? inquit. Quoniam porro talis erat Jacob, idcirco et « Dominus omnipotens erit memoriale ejus. » Manet enim salvus in memoria Dei, et floret gloria immortali. Glorificat quippe Deus diligentes se. Itaque (dicam enim iterum quidpiam vehementer con-

[49] Gen. xxxv, 2, 4. [50] Ibid. 5. [51] Ibid. 9, 12. [52] Jer. xi, 15.

Digitized by Google

dwelling) honores patrum vestrorum condemnabunt vos, qui cum ipsis sapere, similibusque moribus et studiis exornari nolueritis. Damnabimini autem, non quia animabus tantum vestris iniqui, sed gloriæ quoque patrum insidiati fueritis, majoremque nobilitatem contaminaveritis.

A τοιοῦτος ὁ Ἰακώβ, ταύτῃτοι καὶ « Κύριος παντοκράτωρ ἔσται μνημόσυνον αὐτοῦ. » Σώζεται γὰρ ἐν μνήμῃ Θεοῦ, ἔχει τε ἀειθαλῆ τὴν εὔκλειαν. Δοξάζει γὰρ ὁ Θεὸς τοὺς ἀγαπῶνταί αὐτόν. Οὐκοῦν (ἐρῶ γάρ τι πάλιν τὸ εἰς δυσιν ἀναγκαῖον) κατακρίνουσιν ὑμᾶς τῶν πατέρων αἱ δόξαι, μὴ τὰ ἴσα φρονεῖν ἐλομένους

αὐτοῖς, καὶ διὰ τῶν ὁμοίων καταχαλλύνεσθαι τρόπων εἰς μόνας ἡδικηκότες τὰς ἑαυτῶν ψυχάς, ἀλλ' οἱονεί πως καὶ ταῖς τῶν πατέρων εὐκλείαις ἐπιβουλεύσαντες.

τε καὶ σπουδασμάτων. Κατακριθήσεσθε δὲ, οὐχ ὡς

VERS. 6. *Et tu in Deo tuo converteris, misericordiam et judicium custodi, et appropinqua ad Deum tuum semper.*

Καὶ σὺ ἐν Θεῷ σου ἐπιστρέψεις, ἔλεον καὶ κρίμα φυλάσσου, καὶ ἔγγιζε πρὸς Θεόν σου διὰ παντός.

CXXXIX. Gratiæ pollicitatio minis admista est : comminantis enim magis quam simpliciter promittentis est ista oratio. Verumtamen ex amore procedit comminatio, et est ad probas cogitationes, et ad **172** desiderium officio parendi vocantis oraculum. Erat enim, inquit, sapiens longeque optimus divinus Jacob, et propositi sui fructum habebat Dei erga se charitatem. Sed tu patrem non es imitatus. Verumtamen « Converteris in Deo tuo etiam tu, » hoc est, quamvis insipiens fueris, et apostata, et insolens, nihilominus etiam præter voluntatem ad vitam virtutis norma directam redibis. Redibis autem correptus in Deo, id est, per Deum. Et quoniam bona ratio non persuasit ut recta via ambulares, velleque sapere ut oporteret, restabit tibi plane flagellum, et celeriter ad eligendum et cognoscendum quod expedit te transferet. Atque hæc nobis, ut arbitror, indicaverit merito quod dicitur, « Et tu in Deo converteris, » minas, ut dixi, bonis promissis scitissime permistas habens. Deinde porro, ut jam flagella patienti, et in medio verberum constituto Deus acclamat : « Misericordiam et judicium custodi, et appropinqua ad Deum tuum semper. » Quemadmodum enim si dominus quispiam servo in pœna, et inter ipsa flagella cum venia et indignatione dicat : Modestus esto, et prompte obediens, et herilia jussa ne contemne ; eodem modo, opinor, et universorum Deus, percusso quodammodo Ephraim, et belli calamitatibus castigato, inquit, « Misericordiam et judicium custodi, et appropinqua ad Deum tuum semper. » Perinde fortasse ac si dicat : Hac de causa scito te percuti, quia non custodisti nec magni duxisti quæ mihi grata sunt et dilecta. Misericordia igitur dilectionem significat, « Dilectio autem est legis plenitudo [83] : » proximo enim « Malum non operatur [84], » ut beatus Paulus ait. Judicium vero justam actionem, sive justitiam, et divinæ legis voluntatisque observationem. Judicium enim a divina Scriptura lex vocatur. Appropinquare autem Deo semper, significare potest sincerum mentis in ipsum desiderium et inclinationem, et abhorrere ab aliis qui non sunt dii, aut a creatura forte, aut certe a lignis et lapidibus. Appropinquabit vero Deo, et prope erit secundum affectum, qui et probis actionibus excellere novit, et incorruptam in seipso fidem

ΡΑΘ'. Ἀπειλῇ κεκέρασται τῆς χάριτος ἡ ὑπόσχεσις. Ἀπειλοῦντός γὰρ μᾶλλον, ἢ ὑπισχνουμένου καθαρῶς εἰς τὸ παρὸν ὁ λόγος· πλὴν ἐξ ἀγάπης ἡ ἀπειλὴ, καὶ καλοῦντος εἰς ὀρθότητα λογισμῶν, καὶ εἰς ἕψεσιν εὐκοσμίας τὸ χρησιμώδημα. Ἦν μὲν γὰρ, φησὶ, σοφὸς καὶ πανάριστος ὁ θεσπέσιος Ἰακώβ, καὶ γνώμης ἰδίας ἔχων καρπὸν τὸ θεοφιλές. Ἀλλ' οὐκ ἐμιμήσω τὸν πατέρα. Ἦλθε « Ἐπιστρέψεις ἐν Θεῷ σου καὶ σὺ, » τουτέστι, κἂν ἐξίτηλος ᾖς, καὶ ἀποστάτης, καὶ ὑβριστὴς, ἀλλ' οὖν ἐπανήξῃ, καὶ οὐχ ἑκών, εἰς τὸ ἑλέσθαι βιοῦν ὀρθῶς. Ἐπανήξεις δὲ παιδευόμενος ἐν Θεῷ, τουτέστι, διὰ Θεοῦ. Καὶ ἐπειδή σε λογισμὸς οὐ πέπεικεν ἀγαθὸς, ἐπ' ὀρθὴν ἰέναι τρίβον, καὶ ἀγαπῆσαι φρονεῖν ἃ δεῖ, περιγενήσεταί σου πάντη τε καὶ πάντως ἡ μάστιξ, καὶ μεταθήσει γοργῶς πρὸς τὴν τοῦ συμφέροντος αἵρεσίν τε καὶ γνῶσιν. Ταυτὶ μὲν οὖν ἡμῖν, καθάπερ ὑπολαμβάνω, κατασημήνειεν ἂν εἰκότως τὸ, « Καὶ σὺ ἐν Θεῷ σου ἐπιστρέψεις, » ἀπειλὴν ἔχον, ὡς ἔφην, χρησταῖς ὑποσχέσεσι εὖ μάλα κεκερασμένην. Εἶτα λοιπὸν, ὡς ἤδη μαστιζομένῳ, καὶ ἐν αὐτῷ γεγονότι τῷ πλήττεσθαι, Θεὸς ἐπιφωνεῖ· « Ἔλεον καὶ κρίμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σου διαπαντός. » Ὥσπερ γὰρ εἴ τις δεσπότης οἰκέτῃ παιδευομένῳ, καὶ ἐν αὐτῷ μαστίζεσθαι γεγονότι, λέγοι μετὰ φειδοῦς τε ἅμα καὶ ἀγανακτήσεως, Σώφρων ἴσο καὶ εὐπειθὴς, καὶ μὴ καταφρόνει δεσποτικῶν ἐνταλμάτων· τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ ὁ τῶν ὅλων Θεὸς τυπτομένῳ τρόπον τινὰ τῷ Ἐφραΐμ, καὶ ταῖς τοῦ πολέμου συμφοραῖς ἐκπαιδευομένῳ φησίν· « Ἔλεον καὶ κρίμα φυλάσσου, καὶ ἔγγιζε πρὸς τὸν Θεόν σου διαπαντός. » Ὅμοιον ὡς εἰ λέγοι τυχόν· Ταύτης ἕνεκα τῆς αἰτίας ἴσθι πληττόμενος, ὅτι μὴ ἐφυλάξω, μηδὲ τετίμηκας τὰ ἐμοὶ φίλα καὶ ἠγαπημένα. Τὸ μὲν οὖν ἔλεος τὴν ἀγάπην δηλοῖ. « Ἀγάπη δὲ νόμου πλήρωσις. » Τῷ γὰρ πλησίον « Κακὸν οὐκ ἐργάζεται, » κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν. Τὸ δὲ κρίμα τὴν δικαιοπραγίαν, ἤτοι τὴν δικαιοσύνην, καὶ τὴν τοῦ θείου νόμου βουλήματος τήρησιν. Κρίμα γὰρ ὁ νόμος ὠνόμασται παρά γε τῇ θεοπνεύστῳ Γραφῇ. Τὸ δὲ ἐγγίζειν Θεῷ διαπαντὸς, ὑπέφηνεν ἴν τὴν εἰς αὐτὸν γνησίαν τῆς διανοίας ἔφεσίν τε καὶ ῥοπὴν, καὶ τὸ μὴ προσκεῖσθαι φιλεῖν ἑτέροις τοῖς οὐκ οὖσι θεοῖς, ἢ τῇ κτίσει τυχόν, ἢ γοῦν ξύλοις τε καὶ λίθοις. Ἐγγιεῖ δὲ Θεῷ, καὶ πλησίον ἔσται κατὰ διάθεσιν, καὶ ὁ πράξεσιν ἀγαθαῖς ἐμπρέπειν εἰδώς. καὶ

[83] Rom. XIII, 10. [84] I Cor. XIII, 5.

Digitized by Google

ἀπαράῤῥορον ἐν ἑαυτῷ τηρήσας τὴν πίστιν. Μεσολαβεῖ γὰρ πολλάκις ἡ ἁμαρτία, καὶ διίστησι Θεοῦ. Κατὰ τὸν ἴσον δὲ τρόπον ἀποσοβεῖ πάλιν τῆς πρὸς αὐτὸν οἰκειότητος καὶ τὸ προσκεῖσθαι φωναῖς ἀνοσίων ψευδοδιδασκάλων. Παραιτητέον δὴ οὖν τοῖς ἐθέλουσιν ἐγγὺς εἶναι Θεοῦ, τὰ δι' ὧν ἂν γένοιντο μακράν. A servavit. Sæpe enim peccatum se interponit, et a Deo disjungit ac separat. Eodem quoque modo ab ejus familiaritate arcet pseudomagistrorum impiis sermonibus deditum esse. **173** Volentibus igitur Deo propinquos esse, removenda sunt per quæ longinqui ab eo fiant.

Χαναὰν, ἐν χειρὶ αὐτοῦ ζυγὸς ἀδικίας, καταδυναστεύειν ἠγάπησε. Καὶ εἶπεν Ἐφραΐμ· Πλὴν πεπλούτηκα, εὕρηκα ἀναψυχὴν ἐμαυτῷ. Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ δι' ἀδικίας ἃς ἥμαρτεν.

VERS. 7, 8. *Chanaan, in manu ejus statera iniquitatis, opprimere per potentiam dilexit. Et dixit Ephraim : Verumtamen dives effectus sum, inveni requiem mihi. Omnes labores ejus non invenientur ei propter iniquitates quas peccavit.*

ΡΜ΄. Ὅσον μὲν γὰρ ἥκει εἰς γε τὸ δοκοῦν Θεῷ, τετήρηκεν ἂν ἔλεός τε καὶ κρίμα, καὶ τὸ ἐγγίζειν αὐτῷ διαπαντὸς ὁ Ἐφραΐμ. Ἐπειδὴ δὲ φρενὸς ἀπώλισθεν ἀγαθῆς, καὶ δι' οὐδενὸς πεποίηται λόγου τὰ οὕτω σεπτὰ καὶ τίμια, γέγονεν ἐν ἴσῳ τοῖς ἀλλογενέσι Χαναναίοις ἄθεός τε καὶ δυσσεβὴς, καὶ ὅτι μάλιστα χαίρων ἐπὶ τοῖς τῆς φαυλότητος τρόποις, καὶ βαρβάρῳ γνώμῃ τῆς ἀλλοτρίων ἐπιθυμίας ἀχαλίνως ἡττώμενος. Οὐκοῦν ἔδει μὲν τὸν Ἐφραΐμ ζηλωτὴν ὁρᾶσθαι τοῦ προπάτορος Ἰακὼβ, καὶ τῆς ἐκείνου δικαιοσύνης κατ' ἴχνος ἰέναι φιλεῖν. Ἀλλὰ γέγονε Χαναναῖος. Ἠῦρηται γὰρ « Ζυγὸς ἀδικίας ἐν χερσὶν αὐτοῦ, » τουτέστιν, ἀνισότης καὶ πλεονεξία. Τετίμηκε γὰρ ἐν ἴσῳ τοῖς ἔθνεσι τοῖς οὐκ εἰδόσι Θεὸν, τὴν ἐπάρατον καταδυνασείαν. Καὶ ὅτι μὲν ἐπλημμέλει τοῦτο ὁρῶν, ἐννοεῖν οὐκ ἠξίου. Ἐπετέρπετο δὲ μόνῳ τῷ πλουτεῖν καὶ τρυφᾶν, ὡς οὐκ ἐφορῶντος Θεοῦ, ὡς οὐκέτι κατασκεπτομένου τοὺς ἐπὶ τῆς γῆς, καὶ τοῖς ἀδικεῖν ἐθέλουσιν ἐπιτιμῶντος δικαίως. Ἀπονοίας δὲ τῆς ἐσχάτης εἴη ἂν ἀπόδειξις ἐναργὴς, τὸ ἐκ παντὸς μὲν τρόπου πλουτεῖν ἐπείγεσθαι τὸν Ἐφραΐμ, οὐδὲν δὲ εἶναι νομίζειν τὰ ἐξ ἁρπαγῆς καὶ βίας ἐγκλήματα, σεμνολόγημα δὲ ὥσπερ ποιεῖσθαι λοιπὸν ἐκ πολλῆς ἄγαν ἀποπληξίας, τὰ οἷς ἔδει μᾶλλον ἐπερυθριᾷν. Ἔφη γάρ· « Πλὴν πεπλούτηκα, ηὕρηκα ἀναψυχὴν ἐμαυτῷ. » Τί οὖν πρὸς ταῦτα Θεός; « Πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθήσονται αὐτῷ, διὰ ἀδικίας ἃς ἥμαρτε. » Καὶ γάρ ἐστιν ἀληθὲς, ὅτι « Πλοῦτος ἀδίκως συναγόμενος ἐξεμεθήσεται, » κατὰ τὸ γεγραμμένον. Καὶ δὴ τοῖς ἐθέλουσιν ἐξ ἀδικίας συλλέγειν, καὶ πλουτεῖν ἐκ πλεονεξίας, ἐπιφωνείσω τις ἤδη τὸ διὰ φωνῆς ἁγίου· Βέλτιον ἦν σε « ποιεῖν κρίμα, καὶ δικαιοσύνην καλήν· » προκειμένου γὰρ τοῦ θείου βήματος, « Οὐκ ὠφελήσουσι μὲν θησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου. » Καὶ ᾗ φησι ὁ Παροιμιαστὴς, « Κρείσσων μικρὰ μερὶς μετὰ φόβου Κυρίου, ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας. » Καὶ πάλιν ὁ αὐτός· « Κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. » Πλὴν αἱ πράξεις ἡμᾶς, καὶ ἡ τῶν ἔργων ποιότης, ἀξίους ἔσθ' ὅτε τῆς τῶν ἁγίων Πατέρων εὐγενείας ἀποτελεῖ, ἀπονέμει δὲ καὶ πατράσιν ἁμαρτωλοῖς. Διοίσομεν γὰρ κατ' οὐδένα τρόπον τῶν ἐν ἀσεβείᾳ βεβιωκότων, εἰ τὰ αὐτῶν μιμούμεθα. Ταύτῃτοι, κεκλῆσθαί φαμεν Χαναὰν τὸν Ἐφραΐμ. Πεφρόνηκε γὰρ τὰ ἀλλογενῶν. Ἀλλογενεῖς

CXL. Quod attinet ad beneplacitum Dei, custodisset misericordiam et judicium, et studuisset illi appropinquare semper Ephraim. Sed quia bonam mentem amisit, et res adeo venerandas colendasque nihili fecit, Chananæis alienigenis factus est similis, atheus et impius, et moribus nequam plurimum gaudens, et animo barbarice cupiditate rerum alienarum impotenter subjugatus. Ergo debebat quidem Ephraim primi patris sui Jacob æmulus videri, et per vestigia justitiæ ejus libenter incedere; sed evasit Chananæus. Inventa est enim « statera iniquitatis in manu ejus, » hoc est, inæqualitas et avaritia. Nam more gentium Deum ignorantium exsecrandam oppressionem pro magno habuit. Et se peccare hoc faciendo, cogitare noluit. Solis divitiis acquirendis et voluptatibus delectabatur, quasi Deo non vidente, nec amplius homines in terris visitante, et injuste agentes juste mulctante. Est autem extremæ dementiæ argumentum certissimum, Ephraim modis omnibus ad divitias corradendas incumbere, et rapinæ ac violentiæ crimina nihili facere; sed ex magno stupore adhuc honorifice quodammodo de se prædicare, ob quæ præstaret pudore suffundi. Ait namque, « Verumtamen dives effectus sum, inveni requiem mihi. » Quid igitur ad hæc Deus? « Omnes labores ejus non invenientur ei, propter iniquitates quas peccavit. » Verum est enim, « divitiæ injuste congregatæ evomentur [58], » ut scriptum est. Quin et ex iniquitate conantibus opes colligere, et ex avaritia ditescere illud sancti quispiam acclamet, Melius est te « facere judicium, et justitiam [59]. » Proposito namque divino tribunali « non proderunt thesauri iniquis; justitia autem liberabit a morte [60]. » Et ut ait Paræmiastes : « Melior est parva pars cum timore Domini, quam thesauri magni cum animo intrepido [61]. » Et rursus idem : « Melior pauca acceptio cum justitia, quam multa germina cum iniquitate [62]. » Verumenimvero actiones nos, **174** et operum qualitas sanctorum Patrum nobilitate aliquando dignos efficiunt, et patribus peccatoribus similes reddunt. Nullo quippe modo ab his qui impie vixerunt discrepabimus, si ipsorum mores imitemur. Idcirco dicimus Ephraim vocatum esse Chanaan. Eo enim animo fuerunt quæ alienigenæ; Chananæi autem alienigenæ, et propter impietatem infames. Proinde et quidam

[58] Job xx, 15. [59] Jer. xxii, 3. [60] Prov. x, 2. [61] Prov. xv, 16. [62] Prov. xvi, 8.

Digitized by Google

increpantur, facinorosæ audaciæ suæ convenienter, audientes, « semen Chanaan, et non Juda [60]. »

VERS. 9, 10. *Ego autem Dominus Deus tuus eduxi te de terra Ægypti. Adhuc habitare te faciam in tabernaculis, sicut in diebus solemnitatis. Et loquar ad prophetas. Et ego visiones multiplicavi, et in manu prophetarum assimilatus sum.*

CXLI. Chanaan appellavit Ephraim, ut dixi, manifeste coarguens ut inimicum misericordiæ et justitiæ, et sectantem potius inæqualitatem et avaritiam et iniquitatis omne genus. Verum ecce conatur præterea ostendere, non solum in rebus humanis fuisse talem, sed etiam appropinquare Deo rebus ipsis recusasse. Insimulat igitur ut ignorantem liberatorem suum, ut vecordem ac protervum adversus eductorem suum, « De domo servitutis, in signis et portentis, et in brachio excelso [61]. »—« Ego enim, inquit, eduxi vos ex Ægypto. » Dum autem dicit, « eduxi, » revocat nos ad memoriam patratorum super ipsis, quoad in terram patribus ipsorum promissam profecti sunt. Ea sexcenta sunt, et quæ satis admirari nemo potest. Nullam autem relictam illis excusationem de oblivione horum docet, adjungens : « Adhuc habitare te faciam in tabernaculis, sicut in diebus solemnitatis. » Quod quid sit, audies rursum. Lex Moysis in mense septimo, decimo quinto die, festum Scenopegiæ, seu Tabernaculorum celebrari jussit. Cujus quæ fuerit occasio, ipse legislator declarat, de Scenopegia hunc in modum loquens in Levitico : « In mense septimo celebrabitis ipsam. In tabernaculis habitabitis septem dies. Omnis indigena in Israel habitabit in tabernaculis. Ut videant generationes vestræ, quod in tabernaculis habitare fecerim filios Israel, cum educerem illos de terra Ægypti. Ego Dominus Deus vester [62]. » Itaque ad recordationem exitus de Ægypto festum peragebant. Deinde ait, Quomodo possis mei oblivisci, qui eduxi te ex Ægypto, **175** adhuc habitans in tabernaculis, et ipsum hoc negotium solemnitatis occasionem et causam habens? « Adhuc enim habitare te faciam in tabernaculis, ut in die festi. »—« Habitare te faciam » ait, pro, habitare te facio, aut facio habitare in tabernaculis in diebus festi horum. Igitur defendi oblivio ista non potest. Sed cupiebas forsitan futurorum quædam nosse, et inquirere volebas curiosius quæ tua interessent. Et cur potius adires falsos vates Baal, aut commentitios deos, et ab ipsis ista exquireres, et non magis sapienter meminisses me loqui ad prophetas, et multiplicare visiones quoque, hoc est, a me omnem sermonem propheticum et profecturum, et profectum esse, et non ab aliquo falso nomine deorum tuorum? Mihi enim soli in acceptis referetur et futura scire, et præterita meminisse. Sed imitati sunt me, inquit, honorati abs te adulterini vates et prophetæ. Hoc est quod ait, « In manu prophetarum assimilatus sum. »

δὲ οἱ Χαναναῖοι, καὶ ἐπ' ἀθεότητι διαβεβλημένοι· τοιγάρτοι καὶ ὠνειδίζοντό τινες, τοῖς ἑαυτῶν τολμήμασι πρεπόντως ἀκούοντες, « Σπέρμα Χαναὰν, καὶ οὐκ Ἰούδα. »

Ἐγὼ δὲ Κύριος ὁ Θεός σου ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου. Ἔτι κατοικιῶ σε ἐν σκηναῖς, καθὼς ἐν ἡμέραις ἑορτῆς. Καὶ λαλήσω πρὸς προφήτας. Καὶ ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην.

ΡΜΑ'. Χαναὰν ὠνόμασε τὸν Ἐφραΐμ, ὡς ἔφην, ἀπελέγχων ἐναργῶς, ὡς εἴη μεμισηκὼς ἔλεός τε καὶ κρίμα, ἁνθῃρημένος δὲ μᾶλλον τὴν πλεονεξίαν, καὶ τὴν ἀνισότητα, καὶ πᾶν εἶδος ἀδικίας. Ἀλλ' ἰδοὺ δὴ πάλιν πειρᾶται δεικνύειν, ὡς μὴ μόνον γεγονότα τὰ εἰς ἀνθρώπους τοιοῦτον, ἀλλὰ γὰρ καὶ τὸ ἐγγίζειν Θεῷ διὰ πραγμάτων αὐτῶν παραιτούμενον. Αἰτιᾶται δὴ οὖν, ὡς ἠγνοηκότα τὸν λυτρωτὴν, ὡς ταῖς ἀπονοίαις περιυβρίσαντα τὸν ἐξ οἴκου δουλείας ἐκκεκομικότα σημείοις τε καὶ τέρασι, καὶ ἐν δυνάμει μεγάλῃ, καὶ ἐν βραχίονι ὑψηλῷ. « Ἐγὼ γὰρ, φησὶν, ἀνήγαγον ὑμᾶς ἐξ Αἰγύπτου. » Ἐν δὲ τῷ « ἀνήγαγον » εἰπεῖν, ἀποφέρει πρὸς ἀνάμνησιν τῶν ἐπ' αὐτοῖς γενομένων, ἄχρις ἂν εἰσελάσωσιν εἰς τὴν γῆν τὴν τοῖς ἁγίοις πατράσιν ἐπηγγελμένην. Μυρία δὲ ὅσα ταυτὶ, καὶ παντὸς ἐπέκεινα θαύματος. Ὅτι δὲ προφάσιστον αὐτοῖς τὸ ἐπιλανθάνεσθαι τούτων, παρέδειξε προστιθείς· « Ἔτι κατοικιῶ σε ἐν σκηναῖς, καθὼς ἐν ἡμέραις ἑορτῆς. » Καὶ τί δὴ τοῦτό ἐστι, πεύσῃ δὴ πάλιν. Ὁ διὰ Μωσέως προστέταχε νόμος ἐν τῷ ἑβδόμῳ μηνὶ, τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ, τῆς σκηνοπηγίας τελεῖσθαι τὴν ἑορτήν. Καὶ τίς ἡ τοῦδε πρόφασις, αὐτὸς ἡμῖν ὁ νομοθέτης διεσάφει, λέγων περὶ τῆς σκηνοπηγίας, ἐν τῷ Λευϊτικῷ· « Ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτήν. Ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας. Πᾶς ὁ αὐτόχθων Ἰσραὴλ κατοικήσει ἐν σκηναῖς· ὅπως ᾖσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραὴλ, ἐν τῷ ἐξαγαγεῖν με αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν. » Οὐκ οὖν εἰς ἀνάμνησιν τῆς ἐξόδου τῆς ἐξ Αἰγύπτου γεγενημένης, ἐτέλουν τὴν ἑορτήν. Εἶτα, πῶς ἂν δύναιο, φησὶν, ἐπιλανθάνεσθαί μου, τοῦ ἐξαγαγόντος σε ἐξ Αἰγύπτου, γινόμενος ἔτι καὶ ὑπὸ σκηναῖς, καὶ πρόφασιν ἑορτῆς τὸ χρῆμα ποιούμενος; « Ἔτι γὰρ κατοικιῶ σε ἐν σκηναῖς, καθὼς ἐν ἡμέρᾳ ἑορτῆς. » Τὸ, « κατοικιῶ σε, » φησὶν ἀντὶ τοῦ, κατοικίζω, ἤτοι ποιῶ κατοικεῖν ἐν σκηναῖς, ἐν ταῖς ἡμέραις τῆς ἐπὶ τούτοις ἑορτῆς. Οὐκοῦν ἀπροφάσιστος ἡ λήθη. Ἀλλ' ἐζήτεις ἴσως εἰδέναι τῶν ἐσομένων τινὰ, καὶ πολυπραγμονεῖν ἐβούλου τὰ κατὰ σαυτόν· καὶ τί μᾶλλον ἔδει προσιέναι τοῖς ψευδομάντεσι τοῦ Βάαλ, ἤγουν τοῖς τῶν ψευδωνύμων θεῶν, καὶ παρ' αὐτῶν τὰ τοιάδε ζητεῖν, καὶ οὐχὶ δὴ μᾶλλον ἀναμιμνήσκεσθαι σοφῶς, ὅτι λαλῶ μὲν ἐγὼ πρὸς προφήτας, ἐπλήθυνα δὲ καὶ ὁράσεις, τουτέστι, παρ' ἐμοῦ πᾶς ἔσται λόγος προφητείας, καὶ ἤδη γέγονεν, οὐ παρ' ἑτέρου σου τῶν ψευδωνύμων θεῶν. Ἐμοὶ γὰρ ἀνακείσεται μόνῳ, τὸ καὶ εἰδέναι τὰ ἐσόμενα, καὶ μεμνῆσθαι τῶν παρωχημένων. Ἀλλ'

[60] Dan. XIII, 56. [61] Jer. XXXII. 21. [62] Levit. XXIII, 41-43.

Digitized by Google

ἐμιμήσαντό με, φησὶν, οἱ τετιμημένοι παρὰ σοῦ ψευδομάντεις καὶ ψευδοπροφῆται. Τοῦτό ἐστι τὸ, « Ἐν χερσὶ προφητῶν ὡμοιώθην. » Ἐξήτεις παρ' αὐτῶν εἰδέναι τὰ μέλλοντα. Εἶτα, τοὺς ἐμοὺς πλαττόμενοι λόγους, καὶ τὰ τῶν ἐμῶν προφητῶν ἔργα μιμούμενοι, τὰ ἀπὸ καρδίας αὐτῶν ἠρεύγοντό σοι. Καὶ γοῦν Ἱερεμίας μὲν ὁ προφήτης, κλοιοὺς ἐτίθει ξυλίνους περὶ τὸν τράχηλον αὐτοῦ, Θεοῦ τὸ χρῆμα γενέσθαι προστάττοντος. Ἀντιταττόμενος δὲ τοῖς αὐτοῦ λόγοις ὁ ψευδοπροφήτης Ἀνανίας, λαβὼν συνέτριψε τοὺς κλοιούς, ἔφη τε· « Οὕτως εἶπε Κύριος· Συνέτριψα τὸν ζυγὸν βασιλέως Βαβυλῶνος. » Τοῦτό ἐστιν, ὡς ἔφην, τὸ, « Ἐν χερσὶ προφητῶν ὡμοιώθην. » Ἔγκλημα δὴ οὖν τῷ Ἐφραΐμ, ὅτι καίτοι σαφῆ τὴν ὑπόμνησιν ἔχων ἀπό γε τῆς ἑορτῆς τῆς σκηνοπηγίας, τῆς ἐξόδου τῆς Αἰγύπτου γεγενημένης, ἐπελανθάνετο Θεοῦ, καὶ ὅτι μὴ μᾶλλον αὐτὸν ἐζήτησεν, ὡς λαλοῦντα πρὸς προφήτας, ὡς ὁράσεις πεπληθυκότα, προσέκειτο δὲ μᾶλλον ταῖς τῶν ψευδοπροφητῶν ἀπάταις, πλαττομένων τὰ τοῦ Θεοῦ διά τε λόγων καὶ πράξεων.

A rum assimilatus sum. » Quærebas scire ab illis futura. Deinde illi meos sermones fingentes, meorumque prophetarum opera imitantes, de cordibus suis eructabant tibi. Quare Jeremias propheta, Deo ita mandante, vincula, seu catenas ligneas circumponebat collo suo [63]. Qui autem sermonibus ejus refragabatur falsus propheta Ananias, arreptas contrivit, dixitque : « Sic dicit Dominus : Contrivi jugum regis Babylonis [64]. » Hoc est quod dicebam, « in manu prophetarum assimilatus sum. » Crimen igitur Ephraim est quod, quamvis a solemnitate Tabernaculorum evidenter eductionis de Ægypto admoneretur, obliviscebatur tamen Dei ; et quod non potius ipsum quærebat, ut loquentem ad prophetas, ut visiones multiplicantem ; sed decipi se a pseudo- B prophetis pateretur verbis et factis quæ Dei propria sunt mentientibus.

Εἰ μὴ Γαλαὰδ ἐστιν, ἆρα ψευδεῖς ἦσαν ἐν Γαλγὰλ ἄρχοντες θυσιάζοντες, καὶ τὰ θυσιαστήρια αὐτῶν ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ ;

Vers. 11. *Si Galaad non est, num falsi erant in Galgal principes immolantes, et altaria eorum quasi testudines super desertum agri ?*

ΡΜΒ. Ὅτι προσέκειντο τοῖς ψευδομάντεσιν καὶ ψευδοπροφήταις, ἀναβαίνοντές τε καὶ θύοντες εἰς τε τὴν Γαλαὰδ καὶ Γαλγὰλ, ἀπελέγχει διὰ τούτων· δέχεται δὲ πρὸς ἀπόδειξιν τὰς δύο μάλιστα ταυτασὶ πόλεις, ἐν αἷς ἦν ἐκτοπωτέρα τῶν ἄλλων ἡ πλάνη, καὶ ἅπας μὲν τρόπος τῆς εἰς Θεὸν εὐσεβείας ἀπεσπουδάζετο, πάντα δὲ ἦν ἐν λόγῳ τὰ παροτρύνοντα, καὶ τῆς εἰς ἄκρον ἠκούσης ἀπονοίας ἔμπλεω. Καὶ γοῦν ἐν τοῖς ἀνωτέρω περὶ μὲν τῆς Γαλαὰδ ἔφη Θεός· « Ἐκεῖ κατεφρόνησέ μου Γαλαὰδ, πόλις ἐργαζομένη μάταια, » τουτέστιν, εἰδώλα. Πλαστουργοὶ γὰρ εἰδώλων ἦσαν οἱ ἐν αὐτῇ. Περὶ δέ γε τῆς ἑτέρας· « Πᾶσαι αἱ κακίαι αὐτῶν εἰς Γαλγάλ· ὅτι ἐκεῖ αὐτοὺς ἐμίσησα διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν. » Ἐπειπεῖν δὲ ἀναγκαῖον τῶν συμβεβηκότων τινὰ τῇ Γαλααδιτῶν. Συνήσωμεν γὰρ οὕτω τῶν προκειμένων τὸν νοῦν. Φούλας βασιλεὺς Ἀσσυρίων, πρῶτος ἐλθὼν κατὰ τῆς Σαμαρείας, πρωτόλειον ὥσπερ τι τὰς δύο φυλὰς ἐποιήσατο τὰς πέραν τοῦ Ἰορδάνου, καὶ πάσας αὐτῶν εἶλε τὰς πόλεις, καὶ πρό γε τῶν ἄλλων τὴν Γαλαάδ. Τούτου διαμέμνηται Θεὸς, ὡς ἐν παρόδῳ, λέγων· « Εἰ μὴ Γαλαάδ ἐστιν. » Εἰ μὴ ἔστι, φησὶ, καὶ μὴ σώζεται νῦν ἡ Γαλαάδ· εἰ καὶ ἀπόλωλε, καὶ οὐκ ἔστιν ἐξ αὐτῆς τὴν τοῦ Ἐφραΐμ ἐλέγξαι παρανίαν, διὰ τὸ μὴ ὁρᾶσθαι νυνὶ, ἆρα καὶ οἱ θυσιάζοντες ἄρχοντες ἐν τῇ Γαλγὰλ ψευδεῖς ἦσαν, καὶ οὐκ ἀληθεῖς. Γαλγὰλ δὲ πόλις ἐστὶ τῶν Ἰορδάνου πέραν, ἐν ᾗ μάλιστα συντρέχοντες μικροὶ καὶ μεγάλοι, τοῖς τῆς εἰδωλολατρίας προσέκειντο μολυσμοῖς. Οὐκοῦν εἰ μὴ ἔστιν ἡ Γαλαὰδ, ἆρα τίς ἐστιν ὁ φάναι τολμῶν, ὅτι καὶ οἱ θυσιάζοντες ἄρχοντες εἰς Γαλγὰλ ψευδεῖς ἦσαν, καὶ οὐκ ἀληθεῖς ; . . . . . .

. . . . . .

ὑψηλὰ, καὶ ἀπόβλεπτα τοῖς γλυπτοῖς ἀνιστάντες θυσιαστήρια, χελώναις ἐν ἴσῳ ταῖς κατ' ἀγρούς.

CXLII. Addictos falsis vatibus et falsis prophetis, ascendentesque et sacrificantes in Galaad et Galgal his verbis reprehendit. Demonstrationis ergo duas hasce civitates potissimum accipit, in quibus vigebat seductio enormius, et omnis ratio pietatis contemnebatur, omniaque magnificabant, quæ animos incenderent, et extrema essent plena insania. **176** Igitur C supra de Galaad dixit Deus : « Ibi contempsit me Galaad, civitas operans vana [65], » hoc est, idola. Incolæ enim illius idolorum artifices erant. De altera vero : « Omnes nequitiæ eorum in Galgal, quia ibi odi eos propter malitias adinventionum eorum [66]. » Non erit abs re nonnulla proferre in medium, quæ Galaaditis acciderunt : sic enim sensus verborum adductorum liquebit. Phulas rex Assyriorum, qui primus Samariam adortus est, veluti primitias sibi fecit duas tribus trans Jordanem, omnesque earum urbes subegit, et ante alias Galaad. Horum velut in transitu meminit Deus, dicens : « Si Galaad non est. » Si non est, inquit, et nunc salva non est Galaad ; si et periit, non est ex ea Ephraim redarguere petulantiam, D quia nunc non videtur ; nam et sacrificantes principes in Galgal mendaces erant, et non veri. Galgal oppidum est trans Jordanem, in quam parvi et magni confluentes sese idololatriæ sordibus inquinabant. Itaque si non est Galgal, num quis dicere audet, etiam sacrificantes principes in Galgal falsos ac non veros fuisse ? . . . . . .

. . . . . excelsa et conspicua simulacris erigentes altaria, similia testudinibus in agro. Testudines esse dicit, non illa animalia, cave putes ; sed aggeres excitatos, quos quidam ad aquam in colles derivandam faciunt : innumera enim hujusmodi ab agricolis solerter excogitata sunt. Principes autem sacrificantes nominat, aut exercitui præfectos et dis-

[63] Jer. xxvii, 2. [64] Jer. xxviii, 11. [65] Ose. vi, 7, 8. [66] Ose. ix, 15.

Digitized by Google

ciplinæ militaris duces; aut certe ex familia Levi procreatos, penes quos erat ex lege principatus: nam et ipsi, cum aliis lapsi, servierunt sculptilibus non pauci numero. Scriptum est igitur apud Ezechielem: « Ideo hæc dicit Dominus: Omnis filius alienigena incircumcisus corde et incircumcisus carne, non ingredietur in sancta mea in omnibus alienigenis qui sunt in medio domus Israel; sed Levitæ, qui resiluerunt a me, cum erraret Israel a me post cogitationes suas, et accipient iniquitatem suam [47]. »

A Χελώνας δὲ εἶναί φησιν, οὐχὶ δὴ τὰ ζῶα, μὴ τοῦτο νομίσῃς, ἀλλὰ γὰρ τὰς τῶν χωμάτων ἐγέρσεις, ἃς ποιοῦντό τινες, εἰς βουνοὺς ἀναλαμβάνοντες τοὺς ὀδραγωγούς. Μυρία δὲ ὅσα τοιαῦτα τοῖς γηπόνοις ἐσπούδασται. Ἄρχοντας δέ φησι θυσιάζοντας ἢ στρατηγοὺς, καὶ τῶν τακτικῶν ἡγουμένους, ἢ γοῦν τοὺς ἐξ αἵματος Λευΐ, τὴν ἐκ νόμου φρονοῦντας ἡγεμονίαν. Συναπώλισθον γὰρ καὶ αὐτοὶ τοῖς ἄλλοις, καὶ λελατρεύκασι τοῖς γλυπτοῖς οὐκ ὀλίγοι τὸν ἀριθμόν. Γέγραπται οὖν ἐν τῷ Ἰεζεκιήλ· « Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεός· Πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ, καὶ ἀπερίτμητος σαρκὶ, οὐκ εἰσελεύσεται εἰς τὰ ἅγιά μου, ἐν πᾶσιν υἱοῖς ἀλλογενῶν, τῶν ὄντων ἐν μέσῳ οἴκου Ἰσραήλ· ἀλλ' ἢ οἱ Λευῖται, οἵτινες ἀφήλαντο ἀπ' ἐμοῦ ἐν τῷ πλανᾶσθαι τὸν Ἰσραὴλ ἀπ' ἐμοῦ, κατόπισθεν τῶν ἐνθυμημάτων αὐτῶν, καὶ λήψονται τὴν ἀδικίαν αὐτῶν. »

VERS. 12. *Et recessit Jacob in campum Syriæ, et servivit Israel in uxore, et in uxore custodivit.*

B *Καὶ ἀνεχώρησεν Ἰακὼβ εἰς πεδίον Συρίας, καὶ ἐδούλευσεν Ἰσραὴλ ἐν γυναικὶ, καὶ ἐν γυναικὶ ἐφυλάξατο.*

177 CXLIII. Ad primævi patris germanitatem bonitatemque, et ex eo progenitorum stultitiam et impietatem considerandam redit, et illius in parvis rebus tolerantiam velut admiratur. Deinde eam ipsam ad reprehensionem ignaviæ decem tribuum in rebus maximis accommodat. Quomodo enim non esset admirationi Jacob, qui adeo molestos et vix sufferendos labores exhausit, et propter uxores ducendas mercenarii loco Laban servire non recusavit [48]? Sed quamvis primi parentis merces exigua fuerit, connubium videlicet, ut dixi, custodivit tamen, et servavit fidem, qui ei matrimonium promisit. Laboravit autem non pro patria, aut C terra, aut domo sua; sed advena, et in peregrina regione commorans. Et talis quidem erat Jacob. Videamus nunc peccata posterorum Israel. Non in alienam regionem missi, sed in ea quam armis comparant, collocati sunt; et cum Ægyptiis servirent, sudorumque suorum nullam mercedem acciperent, aliquando virtute Dei e regione opprimentium se discesserunt, et in terra patribus promissa consederunt. Non iis nuptiæ cum muliercula, ut captanti nuptias mercedis loco sunt propositæ; sed omnis boni copia potius, terra fluens lacte et melle, debellatio adversariorum, gloria et divitiæ, et hinc promanantia decora, et quid non tandem, quod ad felicem statum deliciasque specţaret? Sed non custodierunt. Transgressi sunt D enim, custodiam plane in minimis ponentes. Manifestum igitur, longissime a patrum probitate remotos, nec illis impertitæ gratiæ principes futuros; justus est enim judex.

ΡΜΓ'. Ὑπονοστεῖ δὴ πάλιν ὁ λόγος εἰς βάσανον τῆς τε τοῦ προπάτορος γνησιότητος καὶ ἐπιεικείας, καὶ τῆς τῶν ἐξ αὐτοῦ γεγονότων σκαιότητός τε καὶ δυσσεβείας. Θαυμάζει δὲ ὥσπερ τὸ ἐπὶ μικροῖς ἐκείνου τληπαθὲς, εἶτα παραφέρει τὸ χρῆμα πρὸς ἔλεγχον τῆς ἐπὶ μεγίστοις ῥᾳθυμίας τῶν δέκα φυλῶν. Πῶς γὰρ οὐκ ἂν ἀγάσαιτό τις τὸν Ἰακὼβ, τὸν οὕτω πικρὸν καὶ δύσοιστον ἀνατλάντα πόνον, καὶ τὸ θητεύειν τῷ Λάβαν οὐ παραιτησάμενον ἐπὶ γυναιξὶ καὶ γάμοις; Ἀλλ' εἰ καὶ μικρὸς κομιδῇ προπάτορος ὁ μισθὸς (γάμος ἦν, ὡς ἔφην), πλὴν ἐφυλάξατο καὶ τετήρηκε τὴν πίστιν τῷ τὸν γάμον ὑπεσχημένῳ. Πεπόνηκε δὲ οὐδὲ ἐπὶ οἰκείας πόλεως ἢ γῆς, ἢ ἑστίας, ἀλλ' ὢν ἐπηλύτης, καὶ διατρίβων ἐπ' ἀλλοδαπῆς. Καὶ ἦν μὲν τοιοῦτος ὁ Ἰακὼβ, ἴδωμεν δὲ καὶ τὰ τῶν ἐξ Ἰσραὴλ ἐγκλήματα. Οὐκ εἰς ὀθνείαν ἐπέμπετο γῆν· ἀλλ' ἐν δορυκτήτου μοίρᾳ κείμενος, θητεύων Αἰγυπτίοις, καὶ ἄμισθον ὑπομένων ἱδρῶτα, ποτὲ δυνάμει Θεοῦ τῆς τῶν πλεονεκτούντων ἀπήλλαξέ τε χώρας, καὶ ἐκάθιζεν εἰς γῆν τὴν τοῖς πατράσιν ἐπηγγελμένην. Οὐ γάμος ἦν αὐτῷ γυναίου προκείμενος εἰς ἀντέκτισιν, ὡς τετηρηκότι τὸν γάμον, χορηγία δὲ μᾶλλον ἀμφιλαφὴς παντὸς ἀγαθοῦ, γῆ ῥέουσα γάλα καὶ μέλι, τὸ καταθλεῖν δύνασθαι τῶν ἀνθεστηκότων, δόξα καὶ πλοῦτος, καὶ τὰ ἐντεῦθεν αὐχήματα, καὶ τί γὰρ οὐχὶ τὸ τῶν εἰς εὐημερίαν καὶ τρυφήν; Ἀλλ' οὐκ ἐφυλάξατο. Παραδέδηκε γάρ, ὀλίγου παντελῶς ἀξιώσας λόγου τὴν τήρησιν. Πρόδηλον οὖν, ὅτι τῆς τῶν πατέρων ἐπιεικείας κατόπιν ὄντες, καὶ τοῦτο ἀμέτρως, οὐδὲ τοῖς ἐκείνοις ἐκνεμηθείσης φειδοῦς ἐν μεθέξει γενήσονται· δίκαιος γὰρ ὁ κριτής.

VERS. 13. *Et in propheta eduxit Dominus Israelem ex terra Ægypti, et in propheta servatus est.*

Καὶ ἐν προφήτῃ ἀνήγαγε Κύριος τὸν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυλάχθη.

CXLIV. Hoc loco causam nobis aperit quare Israel præscriptum sibi mandatum non servaverit, et Deum contempserit, dicentem: « Non erunt tibi dii alii præter me [49], » et quare eximia patrum studia æmulari noluerit. Objurgat enim Israelitas quod se humano regno ex asse subjicerent, cum

ΡΜΔ'. Τὴν αἰτίαν ἡμῖν ἐν τούτοις διατρανοῖ τοῦ μήτε φυλάξαι τὸν Ἰσραὴλ τὴν ὁρισθεῖσαν ἐντολὴν, καταφρονῆσαι τοῦ Θεοῦ λέγοντος, « Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ, » καὶ τοῦ μὴ ἐθέλειν ταῖς τῶν πατέρων ἐπιεικείαις διαμιλλᾶσθαι φιλεῖν· ἐπιπλήττει γὰρ, ὅτι γεγόνασιν ὅλως οἱ ἐξ Ἰσραὴλ ὑπὸ τὴν ἀν-

[47] Ezech. XLIV, 9-10. [48] Gen. XXIX, 20. [49] Exod. XX, 3.

Digitized by Google

θρώπων βασιλείαν, καίτοι βασιλεύοντος αὐτῶν τοῦ Θεοῦ διὰ προφητῶν ἁγίων· καὶ ἐκλελοιπότος αὐτοῖς οὐδενὸς, εἰς τὸ εἶναι μακαρίους. Μεμνήμεθα γὰρ ὅτι περιόντος τε καὶ προφητεύοντος ἔτι τοῦ μακαρίου Σαμουὴλ, ἐζήτησαν βασιλέα. Καὶ πρός γε δὴ τοῦτο Θεὸς ὠργίζετο, καὶ ὡς ὑβρισμένος οὐ μετρίως λελύπηται μὲν, πλὴν ἀνέδειξε τὸν Σαούλ. Οὐκοῦν αἰτιᾶται λίαν, ὅτι γεγόνασιν ὅλως ὑπὸ τὴν ἀνθρώπων βασιλείαν, οὐκ ἀνασχόμενοι τὸ παρὰ Θεοῦ διὰ προφητῶν βασιλεύεσθαι. Σέσωκε μὲν γὰρ ὁ Θεὸς, φησὶ, τὸν Ἰσραὴλ, καὶ ἐξ οἴκου δουλείας ἐξήγαγεν, μεσιτεύοντος Μωϋσέως, ὃς καὶ γέγονε προφήτης, καὶ προφητῶν ἀπαρχή· καὶ οὐκ ἐξήγαγε μόνον ἐξ Αἰγύπτου, φησὶν, ἀλλὰ γὰρ καὶ τετήρηκε. Μεμένηκε γὰρ ἐνὶ τῷ φύσει, καὶ ἀληθῶς λατρεύειν Θεῷ. Ἐπειδὴ δὲ γεγόνασιν ἐπὶ βασιλέας, τῆς εἰς Θεὸν ἀγάπης ἐξώκειλαν· Πρῶτος μὲν γὰρ ᾠκοδόμησε Σολομὼν καὶ βωμοὺς, καὶ τεμένη τοῖς Βααλείμ· εἶτα μετ' αὐτὸν ὁ ἐπάρατος Ἱεροβοὰμ τὰς χρυσᾶς ἐποίει δαμάλεις. Αἰτιᾶται τοίνυν ὡς παγκάλην οἰκονομίαν οὐ τετηρηκότας, τὸ γὰρ παρὰ Θεοῦ, φημὶ, διὰ προφητῶν βασιλεύεσθαι, τὸ δὲ ὑπὸ χεῖρα πεσεῖν ἀνθρώπων ἀνθηρημένους, ὃ δὴ καὶ γέγονεν αὐτοῖς τῆς ἀποστασίας πρόξενον.

A tamen regnaret super ipsos Deus per prophetas sanctos, et nihil eis ad prosperitatem deesset. Me minimus enim, superstite adhuc et prophetante Samuele, eos regem postulasse. **178** Quod indigne tulit Deus, et se spretum esse indoluit; veruntamen Saul designavit [70]. Accusat igitur eos majorem in modum, ut totos humano regi subjectos, nec Dei imperium per prophetas sustinentes. Salvavit enim, inquit, Deus Israelem, et de domo servitutis eduxit ministerio Moysis prophetæ et prophetarum antesignani [71]. Nec solum ex Ægypto eduxit, inquit, sed etiam custodivit; in vero enim et natura Deo colendo perstiterunt. Postquam autem sub regno fuerunt, dilectioni erga Deum valedixerunt. Primus enim Salomon et aras, et delubra Baalim ædificavit [72]. Post eum detestandus Jeroboam vitulos aureos fecit [73]. Conqueritur ergo, ut qui pulcherrimam œconomiam non servaverint, ut a Deo per prophetas regerentur, sed sub hominum potestatem se tradere maluerint, quod eos ad apostasiam quoque perduxit.

Ἐθύμωσεν Ἐφραὶμ, καὶ παρώργισε, καὶ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἐκχυθήσεται, καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει Κύριος αὐτῷ.

Vers. 14. *Ad iracundiam concitavit me Ephraim, et irritavit, et sanguis ejus super ipsum effundetur, et opprobrium ejus retribuet Dominus ipsi.*

ΡΜΕ'. Ὅτι πικρὸν, καὶ ἐπισφαλὲς, καὶ ὀλέθρου παραίτιον γέγονε τοῖς ἐξ Ἰσραὴλ, τὸ ἐλέσθαι μᾶλλον ὑπὸ τὴν τῶν ἀνθρώπων εἶναι βασιλείαν, ἐν τούτοις ἡμῖν εὖ μάλα πειρᾶται δεικνύειν. Ἰδοὺ γάρ, φησὶν, ὁ Ἐφραὶμ, τουτέστιν, ὁ ἐκ φυλῆς Ἐφραὶμ Ἱεροβοὰμ, ἐμὲ τὸν τῶν ὅλων Δεσπότην, « τεθύμωκε, καὶ παρώργισε, » καὶ εἰς πᾶν εἶδος ἐκάλεσε παροξυσμοῦ, καινοτομήσας δαμάλεις, καὶ τὸ ἐμὸν αὐταῖς αὔχημα περιθείς. Τοιγάρτοι παραίτιος αὐτὸς τῆς ἑαυτοῦ γέγονεν ἀπωλείας. Ἐπ' αὐτὸν γὰρ ἥξει τὸ αἷμα αὐτοῦ. Ἐπειδὴ δὲ, ὅτε τὰς δαμάλεις ἔστησεν εἰς Βαιθὴλ τε καὶ Δὰν, προσπεφώνηκε τοῖς ἐξ Ἰσραὴλ· « Ἱκανούσθω ὑμῖν τὸ ἀναβαίνειν εἰς Ἱεροσόλυμα. Ἰδοὺ οἱ θεοί σου οἵ τινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, » ταύτητοι λοιπὸν, καὶ μάλα εἰκότως, ἀποτίσει, φησὶν, ἐμοὶ τῷ κρίνοντι τοῦ ὀνειδισμοῦ τὰς δίκας. Ὑβρις γὰρ ἀντίκρυς, καὶ ὀνειδισμοὶ ὁμολογουμένως εἰς Θεὸν, τὸ ὕλαις ἀψύχοις ἀναθεῖναι τολμᾷν τὰ δι' αὐτοῦ γεγονότα λαμπρὰ, καὶ ἀξιοθαύμαστα κατορθώματα. Οὐκοῦν κατὰ τὸν αὐτοῦ τοῦ Ἐφραὶμ ὀνειδισμὸν, τουτέστιν, ἰσομέτρως ταῖς αὐτοῦ δυσφημίαις, καὶ ἀνοσίοις φωναῖς, τὰ ἐξ ὀργῆς ἀντεπενεχθήσονται. Ὥσπερ γὰρ ὅσον ἧκει εἰς ἐγχείρημά τε καὶ λόγους, τῆς αὐτῷ καὶ μόνῳ πρεπούσης δόξης ἐξώσθη Θεός· οὕτω καὶ αὐτὸς τῆς ἰδίας ἀρχῆς ἐξωσθήσεται. Πεπαύσεται γὰρ κατὰ καιροὺς ἡ βασιλεία τοῦ Ἐφραὶμ. Ὡς γὰρ ἤδη προεῖπον, μετὰ τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον οὐδεὶς ἔτι βεβασίλευκεν ἐν Σαμαρείᾳ τῶν δέκα φυλῶν· ἀλλ' ἦσαν ἐν τοῖς Ἱεροσολύμοις ὑφ' ἕνα πάντες, τῶν ἐκ φυλῆς Ἰούδα κατὰ καιροὺς βασιλευσάντων.

CXLV. Triste, periculosum et perniciosum fuisse Israeli, quod sub hominum regno esse præoptaverit, his verbis conatur nos docere planissime. Ecce enim, inquit, Ephraim, hoc est, Jeroboam, qui fuit de tribu Ephraim, me universorum Dominum « ad iracundiam concitavit et irritavit, » omnimodis exacerbavit, fabricatis vitulis novis, et gloria mea in illos collata. Proinde ipse exitium sibi peperit. Super ipsum enim veniet sanguis ejus. Quia enim vitulis in Bethel et Dan erectis denuntiavit Israelitis, ita loquens: « Sufficiat vobis ascendere in Jerusalem. Ecce dii tui, Israel, qui eduxerunt te de terra Ægypti [74]; » idcirco, inquit, et jure optimo, mihi judici hujus probri et contemptus pœnas persolvet. Aperta est namque injuria et omnium confessione opprobratio in Deum, materiæ inanimæ attribuere audere quæ ab ipso splendide et cum admiratione patrata sunt opera laudabilia. Quamobrem secundum ipsius Ephraim probrum, hoc est, proportione ejus blasphemiarum et impiorum sermonum, ab irato Deo illi vicissim supplicia irrogabuntur. Quemadmodum enim qua facto, qua verbo sibi, et soli convenienti gloria pulsus **179** est Deus, sic et ipse suo principatu pelletur. Desinet enim aliquando regnum Ephraim. Nam, ut supra docui, post reditum e Babylone, nemo amplius super decem tribus in Samaria regnavit; sed Hierosolymis erant sub uno omnes, oriundo ex iis qui de tribu Juda antea regnaverant.

[70] I Reg. IX, 17. [71] Exod. XIII, 14. [72] III Reg. XI, 5. [73] III Reg. XII, 28. [74] Ibid.

Digitized by Google

CAP. XIII.

Vers. 1, 2. *Justificationes ejus accepit ipse in Israel, et posuit eas Baal, et mortuus est. Et apposuerunt ut peccarent adhuc. Et fecerunt sibi conflatile ex argento ipsorum, secundum imaginem idolorum, opera artificum confecta eis.*

CXLVI. Non separatim decem tribus, sed universum Israel incusat, et ait, justificationibus ipsis per Moysen traditis, quibus erudiebantur quo pacto Deum colerent et quemadmodum illi sacrificarent, eos talia propemodum Baal, sive idolis consecrasse. Ex parte enim nonnunquam totum significat. Non enim amplius Deo, sed potius operibus manuum suarum sacra fecerunt, et ipsis dies festos peregerunt, divinumque cultum adhibuerunt, et primitias, adorationem, dona gratitudinis ergo obtulerunt, et gloria sua Deum spoliantes, eam sculptilibus dicaverunt. Sed hæc cum fecisset Israel, inquit, « mortuus est, et rursum apposuerunt, ut peccarent. » Ac si dicat: Punitus est post factum, deletus est post hos ausus, sensit indignationem Domini pœnas ultionis errantium sanguini infligentis. Et a stoliditate sua neutiquam cessavit; quinimo in aliis et paribus sceleribus deprehendi potest. Legi enim in Numeris fornicatos esse filios Israel, ad voluptates illegitimas inflammatos, et Moabitarum feminis adhæsisse. Quod facinus atrocissime luerunt. Sic enim habet Scriptura: « Et divertit Israel in Setim, et contaminatus est populus, ut fornicaretur in filias Moab. Et vocaverunt eos ad sacrificia idolorum suorum; et comedit populus de sacrificiis eorum et adoravit idola eorum, et initiatus est Israel Beelphegor, et iratus est furore Dominus Israeli, et dixit Dominus Moysi: Accipe omnes duces populi, et traduc eos Domino contra solem, et avertetur **180** ira furoris Domini ab Israel. Et dixit Moyses tribubus Israel: Occidat unusquisque domesticum suum qui sacrificavit Beelphegor [75]. » Hac strage non mediocris multitudo ex Israel cecidit. Vide igitur quomodo Israel, temporibus Moysis justificationes Dei idolis offerens, miserabiliter sit mortuus: seductus enim, propinquorum gladiis, non aliena manu trucidabatur. Verum apposuit peccare. Fecerunt enim sibi conflatile aureum, et opera artificis, et opificum artibus elaboratos deos. Irridet autem aliquo modo eorum vanitatem. Deos enim credebant esse, quos ipsimet fabricati erant. Exclamet igitur contra hos Psalmista: « Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis [76]. »

Vers. 3. *Ipsi dicunt: Immolate homines, vituli enim defecerunt. Idcirco erunt quasi nubes matutina, et sicut ros matutinus pertransiens, et sicut pulvis exsufflatus ab area, et sicut vapor a camino.*

ΚΕΦΑΛ. ΙΓ'.

Δικαιώματα αὐτοῦ ἔλαβεν αὐτὸς ἐν τῷ Ἰσραὴλ, καὶ ἔθετο αὐτὰ τῇ Βαὰλ, καὶ ἀπέθανε. Καὶ νῦν προσέθετο τὸ ἁμαρτάνειν ἔτι. Καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα ἐκ τοῦ ἀργυρίου αὐτῶν, κατ' εἰκόνα εἰδώλων, ἔργα τεκτόνων συντετελεσμένα αὐτοῖς.

ΡΜϚ'. Οὐκ ἀνὰ μέρος ἐν τούτοις τὰς δέκα φυλὰς, ἀλλ' ὅλον αἰτιᾶται τὸν Ἰσραὴλ, καί φησιν, ὅτι δικαιωμάτων αὐτοῖς δοθέντων διὰ Μωϋσέως, δι' ὧν ἐπαιδεύοντο, τίνα χρὴ τρόπον θεραπεύειν τὸν Θεὸν, ὅπως τε δεήσει προσάγειν θυσίας, αὐτοὶ τὰ τοιάδε μονονουχὶ τεθεσπίκασι τῷ Βάαλ, ἤτοι τοῖς εἰδώλοις. Ἀπὸ μέρους γὰρ ἔσθ' ὅτε σημαίνει τὸ πᾶν. Τεθύκασι γὰρ Θεῷ μὲν οὐκέτι, μᾶλλον δὲ τοῖς ἔργοις τῶν ἰδίων χειρῶν αὐτοῖς ἐτέλουν τὰς ἑορτὰς, καὶ προσῆγον τὴν λατρείαν, τὰς ἀπαρχὰς, τὴν προσκύνησιν, τὰ δῶρα τὰ χαριστήρια· καὶ δόξης ἰδίας ἀποστεροῦντες Θεὸν, ταύτην ἀνέθεσαν τοῖς γλυπτοῖς. Ἀλλὰ τοῦτο ποιήσας ὁ Ἰσραὴλ, « Ἀπέθανε, φησὶ, καὶ πάλιν προσέθετο τοῦ ἁμαρτάνειν. » Ὅμοιον ὡς εἰ λέγοι, κεκόλασται δεδρακὼς, ὠλόθρευται τολμήσας, ἔγνω τοῦ Δεσπότου τὴν ἀγανάκτησιν, εἰς αἷμα τὴν δίκην τοῖς πλανωμένοις ἐπάγοντος. Καὶ τῆς ἑαυτοῦ σκαιότητος κατέληξε μὲν οὐδαμῶς. Ἀλοίη δ' ἂν μᾶλλον ἐφ' ἑτέροις τε καὶ ἴσοις ἐγκλήμασιν. Ἀνέγνω μὲν γὰρ ἐν τοῖς Ἀριθμοῖς, ὅτι πεπορνεύκασιν οἱ υἱοὶ Ἰσραὴλ, ἐκκεκαυμένοι πρὸς ἐκτόπους ἡδονὰς, καὶ ταῖς τῶν Μωαβιτῶν προσέκειντο γυναιξίν. Εἶτα, δίκας ἐπὶ τούτῳ τὰς ἁπασῶν ἐσχάτας ἐξῄτηνται. Ἔχει δὲ οὕτω τὰ Γεγραμμένα· « Καὶ κατέλυσεν Ἰσραὴλ ἐν Σετὶμ, καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεῦσαι εἰς τὰς θυγατέρας Μωὰβ, καὶ ἐκάλεσαν αὐτοὺς εἰς τὰς θυσίας τῶν εἰδώλων αὐτῶν. Καὶ ἔφαγε ὁ λαὸς τῶν θυσιῶν αὐτῶν, καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν, καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγὼρ, καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ. Καὶ εἶπε Κύριος τῷ Μωϋσῇ· Λάβε πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ, καὶ παραδειγμάτισον αὐτοὺς Κυρίῳ, ἀπέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ Κυρίου ἀπὸ Ἰσραήλ. Καὶ εἶπε Μωϋσῆς ταῖς φυλαῖς Ἰσραὴλ, Ἀποκτείνατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ, τὸν τετελεσμένον τῷ Βεελφεγώρ. » Οὗ δὴ καὶ εἰς πέρας ἐνηνεγμένου, πέπτωκε πληθὺς οὐ μετρία τῶν ἐξ Ἰσραήλ. Ἄθρει δὴ οὖν, ὅτι προσάγων τὰ τοῦ Θεοῦ δικαιώματα κατὰ τοὺς Μωϋσέως χρόνους ὁ Ἰσραὴλ, ἀπέθανεν οἰκτρῶς. Ἀπεσφάζετο γὰρ ὁ πεπλανημένος τοῖς τῶν οἰκείων ξίφεσιν, οὐκ ὀθνείᾳ χειρί· ἀλλὰ προσέθετο τὸ ἁμαρτάνειν. Πεποιήκασι γὰρ ἑαυτοῖς χώνευμα χρυσοῦν, καὶ ἔργα τέκτονος, καὶ τεχνουργῶν ἐπιστήμαις ἐκπεποιημένους θεούς. Ἐπιμειδιᾷ δὲ ὥσπερ ταῖς αὐτῶν εἰκαιοβουλίαις ὁ λόγος. Θεοὺς γὰρ εἶναι πεπιστεύκασιν, οὓς αὐτοὶ τεκταίνουσιν. Ἐπιφωνείτω δὴ οὖν καὶ τούτοις ὁ Ψαλμῳδός· « Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. »

Αὐτοὶ λέγουσι· Θύσατε ἀνθρώπους, μόσχοι γὰρ ἐκλελοίπασι. Διὰ τοῦτο ἔσονται ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη, καὶ ὡς χνοὺς ἀποφυσώμενος ἀφ' ἅλωνος, καὶ ὡς ἀτμὶς ἀπὸ καπνοδόχης.

[75] Num. xxv, 1-5. [76] Psal. cxiii, 8.

Digitized by Google

PMZ'. Αἰτιᾶται πάλιν, ὅτι μὴ μόνον δεδυσσεβήκασι, κατ' εἰκόνα εἰδώλων τὸ παρὰ Θεοῦ δοθὲν ἀργύριον διαπλάττοντες, καὶ τοῖς ἀπὸ ξύλου καὶ λίθων πεποιημένοις τὸ τῆς θείας δόξης ἐπιφημίζοντες ὄνομα, ἀλλὰ γὰρ καὶ εἰς τοῦτο κατώλισθον ἀμαθίας, μᾶλλον δὲ σκαιότητος, καὶ ἀπανθρωπίας, καὶ θηριοπρεποῦς ἀγριότητος ἤ καὶ ἔτι τούτων ἐπέκεινα, ὡς μηδὲ αὐτῶν τῶν ἰδίων φείδεσθαι τέκνων. Ἀποσφάττειν δὲ αὐτὰ τοῖς δαίμοσι, καίτοι κατεστυγνάκοτος τὸ χρῆμα Θεοῦ, καὶ οὐδ' ἂν αὐτὴν ἀνασχομένου ποτὲ τὴν φωνὴν ἢ εἰπεῖν ἑτέροις, ἢ γοῦν ἀκοῦσαι παρά τινος. Οὐ γὰρ φιλαίματος ὁ Δεσπότης, οὔτε μὴν ἐπὶ ταῖς τῶν ἀνθρώπων ἥδεται καταφθοραῖς. Πολλοῦ γε καὶ δεῖ. Ἔκτισε γὰρ εἰς τὸ εἶναι τὰ πάντα, κατὰ τὸ γεγραμμένον, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου. Ἐπειδὴ δέ ἐστι θανάτου καὶ εὑρετὴς καὶ πρόξενος ὁ δράκων ὁ ἀποστάτης, ταύτῃ τοι ταῖς ἀνθρώπων ἥδεται σφαγαῖς. Ὅτι τοίνυν καὶ ψιλὸς ὁ ἐπὶ τούτῳ λόγος μεμίσηται παρὰ Θεῷ, διατρανοῖ λέγων· « Αὐτοὶ λέγουσι, Θύσατε ἀνθρώπους, μόσχοι γὰρ ἐκλελοίπασιν. » Οὐκ ἐμὸς, φησὶν, ὁ λόγος οὐδ' ἂν εἰποιμί ποτε τοιάνδε φωνήν· Αὐτοὶ δέ φασιν οἱ τῶν δαιμόνων θεραπευταὶ, τὸ δεῖν ἀνθρώπους καταθύειν αὐτοῖς. Εἶτα διαγελᾷ τὴν σκέψιν, καὶ διασύρει τὸ ἐγχείρημα, προστιθεὶς, καὶ λέγων· « Μόσχοι γὰρ, » κατὰ τὸ εἰκὸς, « οὐκ ἦσαν αὐτοῖς. » Διὰ τοῦτο τετιμήκασι τὴν ἀνδροφονίαν. Ἀλλ' ἔστω, φησὶ, πεπλάνησθε, καὶ τοὺς γλυπτούς τε, καὶ χωνευτοὺς τετιμήκατε θεούς. Ἵνα δὲ καὶ αἵμασι τοὺς ἐκείνων βωμοὺς κατεδεύσατε; Ἀνέγνωμεν δὲ ἐν ταῖς Βασιλείαις, ὅτι γέγονεν Ἰωάθαν υἱὸς Ἀχάζ, ὃς ἐβασίλευσεν ἐπὶ τὸν Ἰούδαν· « Πεπόρευταί γε μὴν ἐν ὁδῷ βασιλέων Ἰσραὴλ, καὶ ἐθυμία μὲν ἐν τοῖς ὑψηλοῖς, διήγαγε δὲ καὶ τὸν ἴδιον υἱὸν ἐν πυρὶ, » καὶ τοῖς δαιμονίοις κατέθυσε τὸν ἐξ αὐτοῦ φύντα, καὶ γεγενημένον. Ἐπειδὴ δὲ τοιαῦτα δεδράκασιν, ἔσονται, φησὶν, « Ὡς νεφέλη πρωϊνὴ, καὶ ὡς δρόσος, ὡς χνοῦς, καὶ ὡς ἀτμὶς ἐκ καπνοδόχης, » τουτέστιν, ὀλίγον ὀφθέντες, οἰχήσονται πρὸς ἀπώλειαν, καὶ βαδιοῦνται πρὸς τὸ μηδέν. Νεφέλη γὰρ πρωϊνὴ, τουτέστιν, ἀχλὺς, δρόσος τε καὶ χνοὺς, καὶ ἀτμὶς ἐκ καπνοδόχης, εὐδιαρίπιστά ἐστι, καὶ ἐν ὀλιγοστῷ παντελῶς διασκίδνανται χρόνῳ, μᾶλλον δὲ δρόσου, ἤγουν τῆς ἐκ καπνοῦ συνισταμένης ἀτμίδος;

A

B

C

CXLVII. Conqueritur rursum, quod non solum impie egerint, donatum a Deo argentum in imaginem idolorum transformantes, et e ligno ac lapidibus fabricatis divinæ gloriæ nomen ascribentes, sed etiam eo inscitiæ, imo stultitiæ, et immanitatis, et ferinæ sævitiæ, aut si quid his majus est, delapsi sint, ut ne filiis quidem suis parcerent, verum eos dæmonibus immolarent, tametsi Deus factum odisset adeo, ut ne ipsam quidem vocem ejus vel aliis dicere, vel ab aliis audire sustineret. Non enim gaudet sanguine Dominus, nec perditione hominum lætatur [17]. Longe abest. Creavit enim omnia ut essent (sicut scriptum est), et salutares sunt generationes mundi [18]. Sed draco apostata, ut mortis inventor et parens, hominum cædibus delectatur. Nudum igitur sermonem quoque super his invisum esse Deo declarat, dicens: « Ipsi dicunt: Sacrificate homines, vituli enim defecerunt. » Non est verbum meum, inquit, nec unquam loquerer ego hujusmodi. Ipsi autem cultores dæmonum dicunt, sacrificandos ab se homines. Deinde consilium irridet et molitionem perstringit, cum ait, « Vituli enim, » ut consentaneum est, « non erant ipsis, » idcirco honoris causa cædem hominum susceperunt. **181** Sed esto, inquit, erraveritis, sculptilibusque et conflatilibus diis venerationem tribueritis; quare etiam humano sanguine illorum aras imbuistis? Legimus in libris Regum, filium Joathan fuisse Achaz, qui regnavit super Judam: « Ambulavit vero in via regum Israel, et adolevit incensum in excelsis, et transtulit filium suum per ignem [19], » et ex se ortum ac gemitum dæmonibus sacrificavit. Et quia ista fecerunt, erunt, inquit, « ut nubes matutina, et ut ros, ut pulvis, ut vapor ex camino, seu vaporario, » hoc est, cum ad breve tempus apparuerint, in exitium abibunt, et in nihilum evanescent. Nubes enim matutina, hoc est, nebula, ros item, et pulvis, et vapor ex camino facile difflantur, et pauxillo tempore, imo hora una, dissipantur. Qualis enim aut pulveris, aut roris, aut ex fumo constantis vaporis subsistentia? καὶ ἐν ὥρᾳ μιᾷ. Ποία γὰρ ὑπόστασις ἢ χνοὸς, ἢ

D

ΤΟΜΟΣ ΕΒΔΟΜΟΣ.

Ἐγὼ δὲ Κύριος ὁ Θεός σου, ὁ στερεῶν τὸν οὐρανὸν, καὶ κτίζων γῆν, οὗ αἱ χεῖρες ἔκτισαν πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ, καὶ οὐ παρέδειξά σοι αὐτὰ, τοῦ πορεύεσθαι ὀπίσω αὐτῶν(1).

PMH'. Ἐλέγχεταί πως ἀεὶ τῆς ψευδοδοξίας τὸ ἀκαλλὲς τῆς ἀληθοῦς γνώσεως εἰς μέσον ἐνηνεγμένης, καὶ οἱονεὶ φωτὸς ἀναλάμποντος ὡς ἐν νυκτὶ, καὶ σκότῳ, τοῦ πρὸς ὀρθότητα λογισμῶν παιδαγωγοῦντος λόγου. Ὅτι τοίνυν τῆς ἁπασῶν ἐσχάτης ἀναπιμπλάμενοι δυσβουλίας, ἀθλότητος εἰς λῆξιν ἰόντες τὴν

TOMUS SEPTIMUS.

Ego autem Dominus Deus tuus, firmans cœlum, et creans terram, cujus manus creaverunt universam militiam cœli, et non ostendi tibi ipsa ut ambulares post ea.

CXLVIII. Perpetuo fere falsarum opinionum turpitudo reprehenditur, vera notitia in medium producta, et quasi cum lumen in nocte et in tenebris resplendet, sermone ad probas cogitationes instituente. Israelitas igitur, ut extrema repletos insipientia, ad extremam progressos miseriam, conflatilibus et

[17] Tob. III, 22. [18] Sap. I, 14. [19] IV Reg. XVI, 3.

(1) Hæc sunt Isaiæ prophetæ, XLV, 18.

Digitized by Google

operibus artificum vere et natura Deo præterito adoratis insectatur, dicens se esse qui cœlum firmaverit, et terram stabiliverit, et astra fecerit. Exprobrat autem, quod ut putidum quiddam prætermittentes, per ea quæ facta sunt posse factoris gloriam cognoscere, iis ad errorem suum abusi sint. Ait enim, non ideo facta, ut de divina gloria aliquid imminuant, a mortalibus diis existimata; sed ut, quemadmodum ait Scriptura sacra, ex magnitudine et pulchritudine creaturarum, proportione mens intelligentium sursum ad Conditoris virtutem et opificium, quantum fieri potest, evehatur [80]. Itaque non ostendit nobis Opifex creaturam, ut adoretur a nobis. Hinc et testificatus est per Moysen: « Et ne, cum respexeris in cœlum, et videris solem, et lunam, et stellas, **182** et omnem ornatum cœli, deceptus adores ea quæ distribuit Dominus Deus tuus omnibus gentibus quæ sub cœlo sunt [81]. » Illi vero distributa ad indicationem temporum, et ad illuminandum orbem [82] constituta deos appellabant, et precibus ea colere non reformidabant. Quin his adhuc infanda magis quærentes miseri, fusilia et ligna in deorum loco honorabant, fabrorum ærariorum, aliorumque artificum artificia adorantes.

A ἀνωτάτω χώνευμά τε, καὶ τεκτόνων ἔργα τετιμήκασιν οἱ ἐξ Ἰσραὴλ, τὸν ἀληθῶς καὶ φύσει παρατρέχοντες Θεὸν, ἀπελέγχει, λέγων, ὡς εἰη μὲν αὐτὸς, ὁ στερεῶν οὐρανὸν, διαστηριξάμενος δὲ καὶ γῆν, καὶ τῶν ἄστρων ὁ ποιητής. Κατονειδίζει δὲ, ὅτι παρέντες ὡς ἔωλον τὸ διὰ τῶν γεγονότων δύνασθαι τὴν τοῦ πεποιηκότος δόξαν ἀναμαθεῖν, πρόφασιν αὐτὰ τῆς οἰκείας πεποίηνται πλάνης. Ἀλλ' οὐ διὰ τοῦτο γεγόνασιν, ἵνα τὴν θείαν ἀδικῶσι δόξαν, ἐν ὑπολήψει θεῶν εἰλημμένα τοῖς ἐπὶ γῆς· ἀλλ' ἵν', ὡς ἔφη τὸ Γράμμα τὸ ἱερὸν, ἀπὸ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ἀναθρώσκοι τῶν συνιέντων ὁ νοῦς εἰς κατάληψιν τὴν ἐνδεχομένην τῆς τοῦ πεποιηκότος δυνάμεώς τε καὶ τέχνης. Οὐκοῦν οὐ παρέδειξε τὴν κτίσιν ἡμῖν ὁ Δημιουργὸς, ἵνα προσκυνῆται πρὸς ἡμῶν. Καὶ γοῦν καὶ B προδιεμαρτύρατο λέγων διὰ Μωσέως· « Καὶ μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἰδὼν τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας, καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς, καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου, πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ. » Οἱ δὲ τὰ ἐκνεμηθέντα πρὸς καιρῶν ἐπίδειξιν, καὶ ἐν φωστῆρων τάξει καθεσταμένα θεοὺς ὠνόμαζον, καὶ προσκυνεῖν ἀπετόλμων, καὶ τὰ ἔτι τούτων αἰσχίονα ζητοῦντες οἱ δείλαιοι, χώνευμά τε, καὶ ξύλα τετιμήκασιν ὡς θεοὺς, τὴν χαλκουργῶν καὶ τεκτόνων προσκυνοῦντες τέχνην.

VERS. 4, 5. *Et ego eduxi te de terra Ægypti, et Deum præter me non cognosces, et salvator non est absque me. Ego pascebam te in solitudine, in terra inhabitabili secundum pascua eorum.*

Καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ Θεὸν πλὴν ἐμοῦ οὐ γνώσῃ, καὶ σώζων οὐκ ἔστι πάρεξ ἐμοῦ. Ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀοικήτῳ, κατὰ τὰς νομὰς αὐτῶν.

CXLIX. Multa inest in his stuporis ac dementiæ redargutio, ponunturque ordine auxiliorum genera, quibus Israelitæ omnium ingratissimi convincuntur. Reprehendit autem, non ut ignorantes, opinor, unde in ea loca venissent; sed ut ex magna stoliditate et stupore quasi eorum oblivione captos, quorum perpetuam conservare memoriam debuissent. Detestabilis quippe Jeroboam, vitulis propositis, aiebat: « Hi sunt dii tui, Israel, qui te eduxerunt de terra Ægypti [83]. » Ast illi, quanquam nossent id non ab aliquo alio, sed a Deo insigniter gestum, nihilominus vitulis manufactis gratias referebant, et se mutuo nescio quomodo ad divinorum miraculorum excellentiam ipsis ascribendam cohortabantur. Quare tanquam vino Sodomorum inebriatos [84] pene vulnerat, dicens, seipsum esse manifeste, qui et e D « domo servitutis [85] » eos eduxerit, et per Moysen ita mandaverit: « Non erunt tibi dii alii præter me [86]; » et solum se esse qui salvet, et citra laborem probe faciat quod voluerit; se, qui in solitudine alimoniam providerit et in terra deserta, invia et inaquosa fontes aquarum produxerit [87], manna demiserit [88], panemque angelorum de cœlo donaverit [89], et instar boni pastoris eos in abundantia, secundum pascua eorum, sive secundum profectiones paverit. Nihil quippe bonorum omnium in deserto

ΡΜΘ'. Πολὺς ἐν τούτοις τῆς ἀναισθησίας ὁ Ἔλεγχος, καὶ τέθεινται στοιχηδὸν τῆς ἐπικουρίας οἱ τρόποι, τῆς ἀχαριστίας, τῶν ἐξ Ἰσραὴλ καταδεικνύντες τὸ μέγεθος. Ἐλέγχει δὲ, οὐκ ἠγνοηκότας, ὥς γε οἶμαι, πόθεν, ἀλλ' ὡς ἐκ πολλῶν ἄγαν σκαιότητος, καὶ λογισμοῦ νενευκότας εἰς ἀναισθησίαν, μονονουχὶ καὶ εἰς λήθην ὑπενηνεγμένους, ὧν ἔδει μεμνῆσθαι διαπαντός. Ὁ μὲν γὰρ ἐπάρατος Ἱεροβοὰμ, τὰ, δαμάλεις αὐτοῖς ἀναστήσας, ἔφασκεν, « Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵ τινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου. » Οἱ δὲ, καίτοι γινώσκοντες, ὅτι μὴ ἑτέρου τινὸς, ἀλλὰ Θεοῦ κατόρθωσις ἦν τὸ χρῆμα αὐτοῖς, χειροκμήτοις δαμάλεσι προσῆγον τὰ χαριστήρια, καὶ αὐταῖς ἀνάπτειν, οὐκ οἶδ' ὅπως, ἀλλήλοις ἀνέπειθον τῶν θείων κατορθωμάτων τὴν ὑπεροχήν. Οὐκοῦν, ὡς ἐξ οἴνου Σοδόμων μεμεθυσμένους, μονονουχὶ διανύττει λέγων· ὅτι τε αὐτὸς εἴη σαφῶς, ὁ καὶ ἐξ « οἴκου δουλείας » ἐξενεγκὼν, καὶ προστεταχὼς διὰ Μωσέως, ὡς « Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ, » καὶ ὅτι μόνος αὐτὸς ὁ σώζων ἐστὶ, καὶ ἀνδρωτὶ κατορθῶν πᾶν ὅπερ βούλοιτο, αὐτὸς ὁ τροφοφορήσας κατὰ τὴν ἔρημον, καὶ ἐν γῇ ἐρήμῳ, καὶ ἀβάτῳ, καὶ ἀνύδρῳ πηγὰς μὲν ὑδάτων ἀνεῖς, καθιεὶς δὲ τὸ μάννα, καὶ ἄρτον ἀγγέλων ἐξ οὐρανοῦ δωρούμενος, καὶ ὡς ἐν τάξει ποιμένος ἀγαθοῦ καταβόσκων εἰς εὐθηνίαν, κατὰ τὰς νομὰς αὐτῶν, ἤτοι τὰς ἀπάρσεις. Ἀνενδεεῖς γὰρ

[80] Sap. XIII, 5; Rom. I, 20. [81] Deut. IV, 19. [82] Gen. I, 14-17. [83] III Reg. XII, 28. [84] Deut. XXXII, 32. [85] Exod. XIII, 3. [86] Exod. XX, 3. [87] Psal. LXXII, 3. [88] Exod. XVI, 14. [89] Psal. LXXVII, 25.

Digitized by Google

ἦσαν παντὸς ἀγαθοῦ κατὰ τὴν ἔρημον οἱ ἐξ Ἰσραὴλ, καίτοι τόπους ἐκ τόπων ἀεὶ μεταμείβοντες, καὶ ἐν γῇ τραχείᾳ καὶ ἀκάρπῳ καταυλιζόμενοι. Χρὴ δὴ οὖν ἄρα μεμνῆσθαι διὰ παντὸς, ὧν ἂν ἔχοιμεν παρὰ Θεοῦ, καὶ τὴν ἐπὶ τούτοις λήθην, ὡς ἀποτάτω ποιεῖσθαι φυλεῖν τῆς ἑαυτῶν διανοίας, ὡς ὀλέθρου πρόξενον, καὶ παροτρύνον εἰς ἀγανάκτησιν τὸν ἀπάσης ἡμῖν εὐημερίας δοτῆρα Θεόν. Ὁ γὰρ ἀχάριστος, καὶ βλάσφημος, κατά γε τὸ ὑπό του σοφῶς εἰρημένον.

Καὶ ἐνεπλήσθησαν εἰς πλησμονήν, καὶ ὑψώθησαν αἱ καρδίαι αὐτῶν, ἕνεκα τούτου ἐπελάθοντό μου.

ΡΝ'. Ὥσπερ οἱ τῶν ἰατρῶν ἐμπειρότατοι τὰς τῶν νοσημάτων εὖ μάλα περιαρθροῦντες αἰτίας, τοῖς ἀπὸ τῆς τέχνης ἐπικουρήμασιν ἀνακόπτειν ἐπάγονται· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ ὁ τῶν ὅλων Θεὸς εἰς νοῦν ἔσω; καὶ καρδίαν ὁρῶν, τὰς τῶν ἐν ἡμῖν παθῶν αἰτίας περιεργάζεται, οὕτω τε λοιπὸν τοῖς καθήκουσι περιστέλλει φαρμάκοις τὸν ἀῤῥωστήσαντα νοῦν. Αἰτιᾶται τοίνυν τοὺς ἐξ Ἰσραὴλ, ὡς ἐκ τῆς ἄγαν εὐημερίας πρὸς λήθην ἐνηνεγμένους τοῦ πάντα αὐτοῖς χορηγοῦντος τὰ ζωαρκῆ· καὶ τὰ ὅσαπερ ἂν φαίνοιντο καταλαμπρύνειν εἰδότα· καίτοι προηγορευκότος τοῦ νόμου σαφῶς· « Πρόσεχε σεαυτῷ, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου, τοῦ μὴ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ κρίματα, καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον. Μὴ φαγὼν, καὶ ἐμπλησθεὶς, καὶ οἰκίας καλὰς οἰκοδομήσας, καὶ κατοικήσας ἐν αὐταῖς, καὶ τῶν προβάτων σου, καὶ τῶν βοῶν σου πληθυνθέντων σοι, ἀργυρίου, καὶ χρυσίου πληθυνθέντων σοι, καὶ πάντων ὅσων σοι ἔσται πληθυνθέντων σοι, ὑψωθῇς τῇ καρδίᾳ σου, καὶ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου, τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου, τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης οὗ ὄφις δάκνων, καὶ σκορπίος, καὶ δίψα, οὗ οὐχ ὕδωρ. » Ἔχει γὰρ οὐκ ἀνικάνως ἀεί πως ἡ τρυφὴ, καὶ τὸ ἀδοκήτοις τιμαῖς ἐναβρύνεσθαι, καὶ εἰς λήθην ἡμᾶς ἀποφέρειν Θεοῦ, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων κατασείειν δύνασθαι τὸν ἀνθρώπινον νοῦν. Ἀρκέσει δὲ, οἶμαι, πρὸς ἔλεγχον ἀποσκιρτήσας ὁ Ἰσραὴλ, καὶ τὸ τῆς εὐημερίας πλάτος τῆς εἰς τοῦτο ξεινῆς ἀῤῥωστίας εὑράμενος ἀφορμήν. Σφαλερὸν οὖν ἄρα καὶ δυσδιοίκητον ἡ τρυφὴ καὶ λεία τις ὥσπερ ἰδεῖν εἰς ἀπόστασιν τὴν ἀπὸ Θεοῦ. Παρὰ πολὺ δὲ ἀμείνων ἡ σύμμετρος θλῖψις. Πιστώσονται δὲ πρὸς τοῦτο ἡμᾶς αἱ τῶν ἁγίων φωναί. Ὁ μὲν γάρ τις ἔφασκε· « Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου· ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. » Ὁ δέ γε σοφώτατος Παῦλος, παντὸς ἡμῖν ἀγαθοῦ ῥίζαν οἷάπερ, καὶ γένεσιν, τὴν θλῖψιν ἐτίθει, λέγων· « Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. » Ψάλλει δέ που καὶ ὁ θεσπέσιος Δαβίδ· « Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. »

A filiis Israel defuit, quantumvis locum loco semper mutarent, et in terra horrida atque infructuosa castrametarentur. Semper igitur accepta a Deo bona in memoria habenda sunt, **183** eorumque oblivio quam longissime repellenda ab animo, quoniam exitium parit, et Deum omnis nostræ felicitatis auctorem ad indignationem provocat. Ingratus enim etiam est blasphemus, ut a quodam sapienter dictum est.

VERS. 6. *Et repleti sunt saturitate, et exaltata sunt corda eorum : propter hoc obliti sunt mei.*

CL. Quemadmodum medicorum experientissimi diligentissime circumspectis morborum causis, eos auxiliis ab arte petitis depellere contendunt: ita sane universorum Deus, mentem et cor introspiciens, causas morborum nostrorum perscrutatur, et ita demum ægrotum animum medicamentis convenientibus componit ac sanat. Castigat igitur Israelitas, qui ex rebus admodum florentibus et secundis omnia ipsis vitæ præsidia suppeditantis, et quibuscunque conspicuis lucem suam dare scientis obliti sint, quanquam claris verbis lex eos ita præmonuerit : « Cave tibi, ne obliviscaris Domini Dei tui, ut non custodias mandata ejus, et judicia ejus, et justificationes ejus, quæcunque ego præcipio tibi hodie. Ne postquam comederis, et satiatus fueris, et domos pulchras ædificaveris, et habitaveris in eis, et ovibus tuis et bobus tuis multiplicatis tibi, argento et auro multiplicatis tibi, elevetur cor tuum et obliviscaris Domini Dei tui; qui eduxit te de terra Ægypti, ex domo servitutis; qui duxit te per desertum magnum, et terribile illud, ubi serpens mordens, et scorpio, et dipsas, ubi non erat aqua [90]. » Luxus enim, et bonorum inexspectatorum splendor satis magnam vim habent, ut nos in oblivionem Dei abducant, et ad quidvis illegitimum humanum animum dissolvant. Ad probationem sufficiet, ut existimo, Israel, qui resiluit et felicitatis suæ copiam tam gravis morbi occasionem invenit. Lubricum igitur quiddam, et moderatu difficile res lætæ, et quasi via plana ad defectionem a Deo. Multo autem melior moderata tribulatio, quod sanctorum voces nobis testabuntur. Ait enim quidam : « Domine, in tribulatione memores fuimus tui. In tribulatione parva castigatio tua nobis . » Sapientissimus vero Paulus omnis boni radicem et originem nobis tribulationem proposuit, cum dixit : **184** « Tribulatio patientiam operatur, patientia autem probationem, probatio spem, spes autem non confundit [91]. » Psallit et alicubi beatus David : « Bonum mihi quia humiliasti me, ut discam justificationes tuas [92]. »

Καὶ ἔσομαι αὐτοῖς ὡς πάνθηρ, καὶ ὡς πάρδαλις. Κατὰ τὴν ὁδὸν Ἀσσυρίων ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη, καὶ διαῤῥήξω συγ-

VERS. 7, 8. *Et ero eis quasi panthera, et sicut pardalis. Per viam Assyriorum occurram eis sicut ursa indigens, et disrumpam conclusionem cordis eorum.*

[90] Deut. VIII, 11-15. [91] Rom. V, 3-5. [92] Psal. CXVIII, 71.

Digitized by Google

Et devorabunt eos ibi catuli silvæ, bestiæ agri dilaniabunt eos.

CLI. Postquam enim rerum prosperitas perniciem illis creavit, desciscendique a Deo occasionem attulit, ideo deinceps tribulationes morbis congruentes importantur. Corpora enim graviter ægrotantia et putrefacta lenibus medicamentis neutiquam curabuntur: sed ferro et igni opus est magis. Itaque quoniam divinæ mansuetudinis magnitudo parum apud Israelitas, ne dicam nihil omnino, profecit, feralis quædam atrocitas in eos immittitur. Seipsum vero bestiis longe acerrimis, et voracibus, magnaque immanitate perditis comparat. Non quia divina et inexplicabilis natura tales iras plane concipiat, sed illud fortasse præterea docet, Assyrios tam implacabili ira usuros, inhumanosque, immites (et quid non tandem hujusmodi?) apparituros. Videri autem queat Dei opus esse, siquidem id permisit ipse tam agrestes et feros peccatores ira convenienti persequens. Inveniam igitur eos ut panthera, ut pardalis. Deportabuntur enim in Assyriam. Occurram porro eis etiam ut ursa indigens, hoc est, esuriens forte, aut captis catulis vehementer tristis et obterrans. Tunc enim potissimum hanc belluam ferunt insitum furorem solere totum effundere. « Et dirumpam conclusionem cordis eorum. » Conclusionem appellat tutamen, seu præsidium: tutamen autem cordis est audacia, quam quis afferat contra hostes; qua dirupta, timoris affectus ingreditur, ut etiam citra pugnam hostibus victoriam concedat. Simile igitur est, ac si dicat fortasse: Ad extremam eos timiditatem adigam, adversariis ursam esurientem et catulis orbatam imitantibus. Quod autem etiam captivitatis irretiti vinculis, et in Assyriorum regionem abducti, **185** neutiquam a scelere declinaturi, sed eos etiam illuc pravitates ipsorum quasi secuturæ sint, ostendit, cum addit: « Et devorabunt eos ibi catuli silvæ, bestiæ agri dilaniabunt eos. » Assyriorum enim populi intractabiles, catulis in silvis sive saltubus propter insignem feritatem comparantur.

A *κλεισμὸν καρδίας αὐτῶν. Καὶ καταφάγονται αὐτοὺς ἐκεῖ σκύμνοι δρυμοῦ, θηρία ἀγροῦ διασπάσει αὐτούς.*

PNA'. Ἐπειδὴ γὰρ τῆς εὐθηνίας τὸ πλάτος γέγονεν αὐτοῖς ὀλέθρου πρόξενον, καὶ ἀποστασίας ἀφορμὴ, ταύτῃ τοι λοιπὸν αἱ θλίψεις ἐπάγονται, καὶ ἀναλόγως τοῖς ἀῤῥωστήμασι. Τὰ γάρ τοι πολὺ νενοσηκότα τῶν σωμάτων, καὶ σεσηπότα λοιπὸν, εἴξειεν οὐδαμῶς ἠπίοις μὲν ἔτι φαρμάκοις. Δέοιτο δ' ἂν μᾶλλον καὶ σιδήρου, καὶ πυρός. Οὐκοῦν ἐπειδήπερ τὸ τῆς θείας ἡμερότητος μέγεθος ὤνησεν ὀλίγα τοὺς ἐξ Ἰσραὴλ (ἵνα μὴ λέγοιμι παντελῶς οὐδὲν) θηριοπρεπὴς αὐτοῖς ἀγριότης ἐπάγεται. Ἑαυτὸν δὲ παρεικάζει τοῖς ὅτι μάλιστα τῶν θηρίων δεινοτάτοις, καὶ βοροῖς, καὶ πολὺ λίαν ἔχουσι τὸ εἰς ὠμότητα βλέπον.

B Οὐχ ὅτι πάντως ἡ θεία τε καὶ ἀπόῤῥητος φύσις γένοιτ' ἂν ἐν τοιαύταις ὀργαῖς, ἀλλ' ἐκεῖνό που τάχα διδάσκει πάλιν, ὅτι κεχρήσονται μὲν οἱ Ἀσσύριοι ταῖς οὕτως ἀκράτοις ὀργαῖς, ἀπάνθρωποί τε, καὶ ἀτεράμονες (καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων;) γεγονότες ἁλώσονται. Δόξειε δ' ἂν εἶναι Θεοῦ τὸ πραττόμενον, ἐπεί τοι γενέσθαι συγκεχώρηκεν αὐτὸς, τοῖς οὕτως ἀγρίως ἡμαρτηκόσι τὴν αὐτοῖς πρεπουσαν ὀργὴν ἐπαφείς. Εὑρήσω τοίνυν αὐτοὺς, ὡς πάνθηρ, ὡς πάρδαλις. Ἀποκομισθήσονται γὰρ εἰς τὴν Ἀσσυρίων. Ἀπαντήσομαι δὲ αὐτοῖς καὶ ὡς ἄρκτος ἀπορουμένη, τουτέστιν, ἡ πεινῶσα τυχὸν, ἢ ἁλύουσα σφόδρα, τῶν σκύμνων ἐξῃρημένων. Τότε γὰρ μάλιστά φασι τῆς ἐμφύτου μανίας εἰς ἄκρον ἔρχεσθαι τὸ θηρίον. « Καὶ διαῤῥήξω συγκλεισμὸν *καρδίας*. »

C Συγκλεισμὸν ἐν τούτοις τὴν ἀσφάλειαν λέγει. Ἀσφάλεια δὲ *καρδίας* τὸ θάρσος, ὅπερ ἂν ἔχοι τις κατ' ἐχθρῶν. Οὗ δὴ καὶ διεῤῥωγότος, τὰ ἐκ τῆς δειλίας εἰσκρίνεται πάθη, ὡς καὶ ἀμαχεὶ τοῖς ἐχθροῖς χαρίσασθαι τὸ νικᾷν. Ὅμοιον οὖν ὡς λέγοι τυχὸν, Εἰς ἐσχάτην αὐτοὺς κατοίσω δειλίαν, τῶν δι' ἐναντίας πεινῶντί τε, καὶ ἠτεκνωμένῳ παρεικασθέντων θηρίων, φημὶ δὴ τῇ ἄρκτῳ. Ὅτι δὲ καὶ τοῖς τῆς αἰχμαλωσίας ἐναλόντες δεσμοῖς, καὶ εἰς τὴν τῶν Ἀσσυρίων ἀπενηνεγμένοι χώραν, οὐδεμίαν ἔξουσιν ἀπόνευσιν τῶν κακῶν, καὶ ἕψονται ὥσπερ αὐτοῖς κἀκεῖσε τὰ μοχθηρὰ, παρέδειξεν, εἰπών· « Καὶ καταφάγονται αὐτοὺς ἐκεῖ σκύμνοι δρυμοῦ, θηρία ἀγροῦ διασπάσει αὐτούς. » Τὰ γὰρ τῶν Ἀσσυρίων ἀτιθασσα γένη, σκύμνοις τοῖς ἐν δρυμοῖς παρεικάζει, πολὺ νενευκότα πρὸς τὸ ἀνήμερον.

VERS. 9-11. *Dispersioni tuæ, Israel, quis auxiliabitur? ubi rex tuus iste? Et salvet te in omnibus urbibus tuis. Judicet te quem dixisti: Da mihi regem et principem. Et dedi tibi regem in ira mea, et habui in furore meo congregationem iniquitatis.*

D *Τῇ διασπορᾷ σου, Ἰσραὴλ, τίς βοηθήσει; ποῦ ὁ βασιλεύς σου οὗτος; καὶ διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσί σου. Κρινάτω σε ὃν εἶπας, Δός μοι βασιλέα καὶ ἄρχοντα. Καὶ ἔδωκά σοι βασιλέα ἐν ὀργῇ μου, καὶ ἔσχον ἐν τῷ θυμῷ μου συστροφὴν ἀδικίας.*

CLII. Dixi jam et paulo ante, incusasse Deum filios Israel, quia nihilominus humanum jugum maluerint, et sub Dei regno vivere abnuerint, tametsi super avos eorum, idque per prophetas sanctos regnavisset. Dixit enim supra: « Et in propheta eduxit Dominus Israel ex Ægypto, et in propheta servatus est [93]. » Vos autem, inquit, sub Deo agere

PNB'. Ἔφην ἤδη καὶ ἐν τοῖς ἀνωτέρω βραχὺ, ὅτι κατηγτιᾶτο Θεὸς τοὺς ἐξ Ἰσραὴλ, καὶ οὐδ' ὅπως ἐλομένους τὸ ἀνθρωπίνοις μᾶλλον ὑπεζεῦχθαι ζυγοῖς, καὶ ἀνῆνασθαι τὴν ὑπ' αὐτῷ βασιλείαν τῷ Θεῷ, καίτοι βεβασιλευκότος τῶν ἀρχαιοτέρων, καὶ διὰ προφητῶν ἁγίων. Ἔφη γὰρ, ὅτι « Καὶ ἐν προφήτῃ ἀνήγαγε Κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου, καὶ ἐν προ-

[93] Osc XII, 13.

Digitized by Google

φήτῃ διεφυλάχθη. » Ὑμεῖς δὲ, φησὶ, τὸ ὑπὸ Θεῷ πράττειν παρωθούμενοι, καταβεβήκατε τοῦ μακαρίου Σαμουὴλ, λέγοντες· « Ἰδοὺ σὺ γεγήρακας, καὶ οἱ υἱοί σου οὐ πορεύονται ἐν τῇ ὁδῷ σου. Καὶ νῦν κατάστησον ἐφ' ἡμᾶς βασιλέα δικάζειν ἡμᾶς, καθὰ καὶ τὰ ἄλλα ἔθνη. » Οὐκοῦν ἐπειδήπερ εὐβεβουλεῦσθαι δοκεῖς, ἀναστήσας ἐπὶ σαυτῷ βασιλέα, καθὰ καὶ τὰ λοιπὰ ἔθνη, σώζεσθαί τε παρ' αὐτοῦ προσεδόκησας, ποῦ νῦν ἄρα ἐστίν; Ἰδοὺ καιρὸς ἐπιδείξεως, πολεμείτω σου τὸν πόλεμον, ὁπλιζέσθω λαμπρῶς, σωζέτω τὰς πόλεις, προασπιζέτω τῶν ὑπὸ χεῖρα, κατασοβείτω τῶν δι' ἐναντίας, ἐλαυνέτω νεανικῶς τοὺς καταδῃοῦν ἐθέλοντας οἴκους τε καὶ πόλεις. Ἀλλ' ἴσως ἐρεῖς, καίτοι φαίνομαι μὲν ὡς αἰτήσας ἐγὼ, σὺ δὲ καὶ δοὺς, καὶ κεχρικὼς ἐν ἀρχαῖς τὸν Σαούλ. Ναί φησιν, ἀλλ' « Ἐν ὀργῇ δέδωκα τὸν ἡγούμενον, καὶ ἔσχον ἐν τῷ θυμῷ μου συστροφὴν ἀδικίας, ὡς ἠδικημένος παρὰ σοῦ, » φησί. Μόνον δὲ οὐχὶ, καὶ τῶν τῆς βασιλείας θώκων ἐξωθούμενος, τό γε ἧκον εἰς τὸ σὸν δοκοῦν, τεθύμωμαι λίαν. Πλὴν, ἀνέδειξα, καίτοι, τὸ χρῆμα, φησὶ, οὐκ ἀναγκαῖον εἰδὼς εἰς ὄνησιν. Ἀλλ' ἵνα σε τῶν πραγμάτων ἡ πεῖρα πληροφορήσῃ καλῶς, ὅτι σκαιὰ, καὶ ἄχρηστα κἀν τούτῳ βεβούλευσαι. Ποῦ γὰρ νῦν ἐστιν, ἢ ποία λοιπὸν ἐξ αὐτοῦ γένοιτ' ἂν τοῖς πολεμουμένοις ἡ ὄνησις; Ἀλλ' εἴπερ ἦσθα πάλιν ὑπὸ τὴν ἐμὴν φειδὼ ἐχθρῶν.

Ἔφραΐμ, ἐγκεκρυμένη ἡ ἁμαρτία αὐτοῦ. Ὠδῖνες ὡς τικτούσης ἥξουσιν αὐτῷ. Οὗτος ὁ υἱός σου, ὁ φρόνιμος, διότι οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων.

ΡΝΓ'. Τοῦτο, οἶμαι ἐστὶ, τὸ, « συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. » Ἐν ἀρχαῖς μὲν γὰρ Ἱεροβοὰμ, ἵνα τῶν σκήπτρων μὴ ἀπώσῃ (τὰς κατὰ νόμον θυσίας ἀποπληροῦν ἐθέλοντος τοῦ Ἰσραὴλ, ταύτης τε ἕνεκα τῆς αἰτίας ἀναφοιτῶντος εἰς Ἱεροσόλυμα), τὰς δαμάλεις ἐπενόησε τὰς χρυσᾶς. Καὶ ὥσπερ τινὰ πονηροῦ σπέρματος κακοβολὴν εἰς νοῦν ἐδέχετο, κατακεχρωσμένην, ὥσπερ καὶ ἐγκεκρυμμένην τὴν ἁμαρτίαν. Ἀλλ' ἥξει, φησὶ, καὶ ὁ τῶν ὠδίνων καιρός. Οὗτος δ' ἂν νοοῖτο πάλιν, ὅ τε τοῦ πολέμου καὶ τῆς αἰχμαλωσίας. Εἰ γὰρ καὶ μὴ αὐτῷ συνέβη τῷ Ἐφραΐμ, ἀλλ' οὖν τοῖς ἐξ αὐτοῦ γεγονόσιν, ἤγουν τοῖς τῆς ἀρχῆς διαδόχοις ἐπῆλθον κατὰ καιροὺς, ὅτι τῆς ἐκείνου δυσσεβείας γεγόνασι μιμηταί. Διαλέγεται τοίνυν ὡς πρὸς τὴν ἐν τῇ Σαμαρείᾳ συναγωγὴν, καὶ φησι, Τίς σε διασώσει; ἆρα ὁ υἱός σου οὗτος ὁ φρόνιμος; Λέγων δὲ τὸ, « οὗτος, » ἢ τὸν κατὰ καιροὺς βασιλεύοντα δείκνυσιν, ὃς καὶ τὴν τοῦ δοκεῖν εἶναι συνετὸς ἐδέχετο δόξαν (παρέπεται γὰρ τοῦτο τοῖς κρατοῦσιν ἀεὶ), ἢ γοῦν ἕτερόν τι, καὶ τῷ καιρῷ πρέπον ὑποδηλοῖ, καθ' ὃ καὶ ὁ τῆς προφητείας ἐγένετο λόγος. « Βασιλεύοντος γὰρ τοῦ Ἀχὰζ ἐπὶ τὸν Ἰούδαν ἐν τοῖς Ἱεροσολύμοις, ἐν ἑνδεκάτῳ ἔτει, βεβασίλευκεν ἐν τῇ Σαμαρείᾳ ἐπὶ τὸν Ἰσραὴλ Ὡσηὲ υἱὸς Ἠλὰ, ὃς ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου. » Ἀλλὰ κατ' ἐκεῖνο καιροῦ κατεστράτευσε τῆς Σαμα-

A nolentes, ursistis beatum Samuelem in hæc verba: « Ecce tu senuisti, et filii tui non ambulant in via tua. Et nunc constitue super nos regem, qui judicet nos, sicut et alias gentes [96]. » Itaque quoniam bene tibi consuluisse videris, dum tibi regem instituisti, sicut habent cæteræ gentes, a quo defendereris, ubi nunc tandem est? En, tempus est uti se exhibeat, gerat pro te bellum, arma fulgentia induat, tueatur urbes, propugnet pro subjectis, profliget adversarios, arceat strenue vastatores domorum atque oppidorum. Sed occurres fortasse: Atqui constat me petisse, te autem dedisse, et unxisse primum regem Saul [97]. Est ita, inquit; sed in ira dedi principem, et habui in furore meo congregationem iniquitatis, » ut injuria abs te affectus,
B et propemodum ipso throno regni expulsus, quod quidem ad te attinet. Iratus sum etiam atque etiam. Verumtamen designavi, quamvis eam rem scirem non esse necessariam et conducibilem; sed ut tu reipsa doctus, probe cognosceres te etiam in hoc stultum et inutile consilium cepisse. Ubi enim nunc est, aut quæ in futurum oppugnatis ab eo exspectanda utilitas? Quod si rursum sub benignitate et potestate mea esses, omnino inimicis tuis superior videreris.

τε, καὶ χεῖρα, πάντως ἂν ὤφθης ἐν ἀμείνοσι τῶν

186 VERS. 12, 13. *Ephraim, absconditum peccatum ejus. Dolores quasi parturientis venient ei.* C *Iste filius tuus, iste prudens, quia non sustinebit in contritione filiorum.*

CLIII. Hoc illud est, uti reor, « concepit dolorem, et peperit iniquitatem [98]. » Principio enim Jeroboam, ne sceptro privaretur, Israele scilicet legitima sacrificia usurpare, et ob hanc causam Hierosolymam ascendere cupiente, vitulos aureos excogitavit, peccatumque velut coloratum et contectum tanquam malum semen in animum recepit. Sed veniet, inquit, et tempus dolorum partus. Quod quidem belli et captivitatis potest intelligi. Quamvis enim non ipsi Ephraim, posteris tamen ejus, sive successoribus in principatu, ut impietatis imitatoribus aliquando evenit. Quasi igitur Synagogam in Samaria
D compellans, inquit: Quis te salvabit? num filius tuus hic prudens? Dicendo « hic » aut illis temporibus regnantem significat, qui et opinionem prudentiæ habebat (ea enim imperantes semper decet), aut certe aliud quidpiam et tempori consentaneum tacite indicat, quo etiam vaticinium spectat. « Regnante enim Achaz super Judam Hierosolymis anno decimo, regnavit in Samaria super Israel Osee filius Ela, qui fecit malum in oculis Domini [97]. » Cæterum per illud tempus irrupit cum exercitu in Samariam Salmanasar rex Assyriorum, « et factus est ei, inquit, Osee servus [98]. » Iratus est autem illi vehementer Assyrius hac de causa. Misit quippe ad eum nuntios, petens manaa (dona) et quæ solebat. Ille sibi ab eo

[96] I Reg. VIII, 6. [97] I Reg. X, 1. [98] Job XV, 35. [97] IV Reg. XVII, 1, 2. [98] Ibid. 3.

Digitized by Google

imperari non sustinens, legatos ad Segor regem Ægypti, ab eo suppetias petitum misit. Ea re offensus Salmanasar, Samariam toto triennio obsedit. Deinde Osee vivum captum vinculis astrinxit, et in suos retulit, Israelem quoque in montana Persarum et Medorum demigrare coegit. Videtur itaque sermo propheticus hic nobis Osee filium Ela exprimere, quem et prudentem nominat ; non quia revera prudens fuerit, sed ironia quadam utitur. Habebatur enim ab Israele pro viro prudente et qui persapienter consuluisset, cum ex Ægypto opem pro ipsis petendam censuisset ; sed frivole et inutiliter fecisse atque consuluisse apparuit. **187** Quis ergo, inquit, te a gravissimis calamitatibus perferendis liberabit ? « Hic filius tuus ille prudens, quia non sustinebit in contritione filiorum. » Dum enim filii tui conterentur, inquit, nec ipse subsistet. Capietur, servusque et captivus una cum aliis ad Assyrios migrabit. Sapienter itaque qui psallit : « Fortitudo mea, et laus mea Dominus [99]. » Ab ipso enim virtus omnis et salus omnis, et extra ipsum nemo est qui salvet [1].

ρείας Σαλμανασὰρ βασιλεὺς Ἀσσυρίων. « Καὶ ἐγενήθη, φησὶν, Ὡσηὲ αὐτῷ δοῦλος. » Ὠργίζετο δὲ λίαν ὁ Ἀσσύριος ἐπ' αὐτῷ δι' αἰτίαν τοιαύτην. Ἔπεμψε μὲν γὰρ πρὸς αὐτὸν ἀγγέλους, αἰτῶν μαναὰ, καὶ τὰ συνήθη. Ὁ δὲ προστάττεσθαι παρ' ἐκείνου μὴ ἀνασχόμενος, ἐπρεσβεύετο πρὸς Σηγὼρ βασιλέα Αἰγύπτου, τὴν παρ' αὐτοῦ βοήθειαν αἰτῶν. Πρὸς τοῦτο λελυπημένος ὁ Σαλμανασὰρ, πεπολιόρκηκε μὲν τὴν Σαμάρειαν, ἐφ' ὅλοις ἔτεσι τρισίν. Εἶτα ζωγρήσας τὸν Ὡσηὲ, δεσμώτην ἐποίει, καὶ κατέγραφεν ἐν οἰκέταις. Ἀπῴκισε δὲ καὶ τὸν Ἰσραὴλ ἐν ὀρείοις Περσῶν καὶ Μήδων. Ἔοικεν οὖν ὁ προφητικὸς ἡμῖν λόγος Ὡσηὲ τὸν Ἠλὰ καταδεικνύειν ἐν τούτοις, ὃν καὶ φρόνιμον ἀποκαλεῖ. Οὐχ ὅτι συνετὸς ἦν κατὰ ἀλήθειαν, ἀλλ' οἱονεί πως εἰρωνεύεται. Ἐδόκει μὲν γὰρ παρὰ τῷ Ἰσραὴλ συνετός εἶναί τις, καὶ σφόδρα σοφῶς βεβουλεῦσθαι, διά τοι τὸ ἐλέσθαι τὴν ἐξ Αἰγύπτου καλεῖν ἐπικουρίαν αὐτοῖς. Ἀλλ' ἦλω ψυχρὰ, καὶ ἀνώνητα, καὶ δράσας, καὶ βουλευσάμενος. Τίς δὴ οὖν ἄρα, φησὶν, ἐξελεῖταί σε τοῦ μὴ παθεῖν τὰς ἀνηκέστους συμφορὰς ; « Οὗτος ὁ υἱός σου φρόνιμος, διότι οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων. » Τῶν γὰρ σῶν τέκνων συντριβομένων, φησὶ, οὐδ' ἂν αὐτὸς ὑποσταίη. Ληφθήσεται γὰρ δοῦλός τε καὶ αἰχμάλωτος, ὁμοῦ τοῖς ἄλλοις βαδιεῖται πρὸς Ἀσσυρίους. Σοφὸς οὖν ὁ Ψάλλων, « Ἰσχύς μου, καὶ ὑμνησίς μου ὁ Κύριος. » Παρ' αὐτοῦ γὰρ πᾶσα δύναμις καὶ σωτηρία· καὶ σώζων οὐκ ἔστι πάρεξ αὐτοῦ.

VERS. 14. *De manu inferni liberabo eos, et de morte redimam illos. Ubi victoria tua, mors? ubi aculeus tuus, inferne?*

CLIV. Postquam ex ira peccatoribus locutus est, et ex dolore suo illis eventura prænuntiavit, ad mansuetudinem Deo decoram revertitur, et se non universum genus humanum aversatum, neque in exsilium irrevocabile sempiternumque misisse, sed datum iri aliquando veniam et revocationem ad veterem statum in Christo, indicat, addens liberaturum se de manu inferi et de morte redemptorum, haud dubie eidem propter peccata in Conditorem commissa, et propter transgressionem Adami a principio subjectos. Facta est enim postea talis promissio non solum Ephraim, seu progeniei Israel, sed mortalibus universis. Nam, ut scribit divinus Paulus, « Non Judæorum Deus tantum, sed et gentium. Justificavit enim circumcisionem ex fide, et præputium per fidem [2]. » Redemit autem nos de manu inferni, hoc est, de tyrannide mortis. Et modus redemptionis, Christi mors intelligitur. Libens enim necem in ligno pro nobis pertulit, et principatus ac potestates, affixo illi contra nos chirographo, triumphavit [3]. Tunc enim, tunc etiam : « Omnis iniquitas oppilavit os suum [4] », et mortis imperium peccato sublato destructum est [5]. Ipsum enim est mortis victoria, et stimulus inferni [6]. Sic enim et sapiens Paulus nobis est interpretatus. Ait namque : « Stimulus mortis peccatum est; virtus autem peccati lex [7]. » Quapropter omnium peccato deleto, et nos jure dixerimus : « Ubi est victoria

Ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτούς, καὶ ἐκ θανάτου λυτρώσομαι αὐτούς. Ποῦ ἡ δίκη σου, θάνατε ; ποῦ τὸ κέντρον σου, ᾅδη ;

ΡΝΔ'. Τὰ ἐκ θυμοῦ λαλήσας τοῖς ἡμαρτηκόσι, καὶ τὰ ἐκ λύπης ἐσόμενα προαπηγγελκὼς, ἀναπεφοίτηκε πάλιν εἰς θεοπρεπῆ τε ἡμερότητα, καὶ ὅτι μὴ εἰσάπαν τὸ ἐπὶ γῆς ἀπέστραπται γένος, μήτε μὴν ἀνῆκεν εἰς καταφθορὰν ἀχάλινόν τι, καὶ ἀτελεύτητον, ἀλλ' ἔσται τις κατὰ καιροὺς φειδὼ, καὶ ἀνάκλησις εἰς τὸ ἀπ' ἀρχῆς ἐν Χριστῷ, καταμεμήνυκε προστιθεὶς, ὡς ῥύσεται μὲν ἐκ χειρὸς ᾅδου, καὶ ἐκ θανάτου λυτρώσεται. Δῆλον δὲ, ὅτι τοὺς ὑπ' αὐτὸν γεγονότας, διὰ τὴν εἰς ποιητὴν ἁμαρτίαν, καὶ τὴν ἐν ἀρχαῖς τοῦ Ἀδὰμ παράβασιν. Πεποίηται γὰρ ἡ τοιάδε πάλιν ὑπόσχεσις, οὐχὶ μόνῳ τῷ Ἐφραΐμ, ἤγουν τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἅπασι δὲ μᾶλλον τοῖς ἐπὶ τῆς γῆς. Ὡς γὰρ ὁ θεσπέσιος γράφει Παῦλος, « Οὐκ Ἰουδαίων ὁ Θεὸς μόνων, ἀλλὰ καὶ ἐθνῶν. Δεδικαίωκε γὰρ περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. » Λελύτρωται δὲ ἡμᾶς ἐκ χειρὸς ᾅδου, τουτέστιν, ἐκ τῆς τοῦ θανάτου καταδυναστείας, καὶ ὁ τῆς λυτρώσεως τρόπος ὁ Χριστοῦ νοεῖται θάνατος. Ἀνέτλη γὰρ ἑκὼν τὴν ὑπὲρ ἡμῶν ἐπὶ ξύλους σφαγὴν, καὶ τεθριάμβευκεν ἀρχὰς καὶ ἐξουσίας, προσηλώσας αὐτῷ τὸ καθ' ἡμῶν χειρόγραφον. Τότε γὰρ, τότε καὶ « Πᾶσα μὲν ἀνομία τὸ ἐξ αὐτῆς ἐνέφραξε στόμα· » κατήργηται δὲ καὶ τὸ τοῦ θανάτου κράτος, ἐξηρημένης τῆς ἁμαρτίας· αὕτη γάρ ἐστιν ἡ τοῦ θανάτου νίκη, καὶ τὸ κέντρον τοῦ ᾅδου. Οὕτω καὶ ὁ σοφὸς ἡμῖν ἡρμήνευσε Παῦλος. Ἔφη γὰρ, ὅτι τόδε « Κέντρον τοῦ θανάτου ἐστὶν ἡ

[99] Psal. CXVII, 14. [1] Isa. XLIII, 11. [2] Rom. III, 30. [3] Coloss. II, 14, 15. [4] Psal. CVI, 42. [5] Hebr. II, 14. [6] I Cor. XV, 55 [7] Ibid. 56.

Digitized by Google

ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος. » Οὐκοῦν τῆς ἁπάντων ἁμαρτίας ἀνῃρημένης ἐν Χριστῷ, φαίημεν ἂν εἰκότως καὶ ἡμεῖς αὐτοί· « Ποῦ ἡ νίκη σου, θάνατε; ποῦ τὸ κέντρον σου, ᾅδη; Θεὸς γὰρ δικαιῶν, τίς ὁ κατακρίνων; Χριστὸς Ἰησοῦς ὁ ἀποθανὼν ὑπὲρ ἡμῶν, » μᾶλλον δὲ « δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, » εἷς ὁ πάντων ἀξιώτερος, δι' οὗ καὶ ἐν ᾧ πεπλουτήκαμεν, τὸ ἀναφοιτῆσαι πάλιν εἰς ἀφθαρσίαν.

A tua, mors? ubi stimulus tuus, inferne? Deus enim qui justificat, quis est qui condemnet? Christus Jesus qui mortuus est pro nobis[8]. » Imo « qui dedit semetipsum redemptionem pro omnibus[9], » unus dignior omnibus, per quem et in quo divites facti sumus[10], ut ad incorruptionem redeamus.

Παράκλησις κέκρυπται ἐξ ὀφθαλμῶν μου, δεῖται· οὗτος ἀναμέσον ἀδελφῶν διαστελεῖ.

188 *Consolatio abscondita est ab oculis meis, quia hic inter fratres separabit.*

PNE'. Ἀναγνωσόμεθα τοῦ προκειμένου τὸν πρῶτον στίχον κατ' ἐπερώτησιν, καὶ ὑποστιγμὴν, καί τι τοιοῦτον ἡμῖν ὑπεμφήνειεν ἄν, ὀρθῶς νοεῖν ᾑρημένοις. Κατηῤῥώστησε, φησὶν, ἡ ἀνθρώπου φύσις, τὸ πολυειδὲς εἰς ἁμαρτίαν, καὶ ἀπονένευκεν οὐ μετρίως εἰς τὸ κἀημμελές. Ταύτῃ τοι δικαίως κατεδικάσθη θανάτῳ. Εἶτα τίς ἔσται τῆς ἐπικουρίας ὁ τρόπος τοῖς τοῦτο παθοῦσιν, ἢ ὅπως ἂν διακρούσαιτο τὸ συμβεβηκὸς, αὐτὸς ἐγὼ διασκέψομαι, μᾶλλον δὲ ᾅδη καὶ ὁρίσας ἔχω. Ἦ ἄρά τις ἐστὶν ἐν ὑμῖν, φρενοβλαβείας εἰς τοῦτο προσήκων, ὡς οἴεσθαί τε, καὶ λέγειν, ὅτι παρακλήσεως καὶ παραμυθίας ἐστί τις τρόπος, ὃν ὁ θεῖός τε καὶ ἀκήρατος οὐχ ἑώρακε νοῦς; Εἰμὶ γὰρ τεχνίτης, ἄναλκίς τε πρὸς οὐδὲν, ἀλλ' εὖ οἶδα πάντα, καὶ ἀμελλητὶ κατορθῶ τὸ δοκοῦν. Καίτοι, φησὶν, « οὗτος ἀναμέσον ἀδελφῶν διαστελεῖ. » Προαπαγγέλλει δὲ διὰ τούτων ἡμῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Αὐτὸς γάρ ἐστιν ἡ πάντων παράκλησις, ὁ τῆς θεραπείας τρόπος, αὐτὸν προώρισεν ὁ Πατὴρ πρὸ χρόνων αἰωνίων Σωτῆρα καὶ Λυτρωτὴν τοῖς τῷ θανάτῳ κεκρατημένοις. Αὐτὸν ἔφη διαστέλλειν ἀναμέσον ἀδελφῶν. Καὶ τί δὴ τοῦτό ἐστιν; αὐτοῦ λέγοντος ἀκηκόαμεν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. Ἦλθον γὰρ διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς, καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ. » Καὶ πάλιν τὰ ἐσόμενα προαπαγγέλλων τοῖς ἁγίοις μαθηταῖς· « Παραδώσει, φησὶν, ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ ἐπαναστήσεται πατὴρ ἐφ' υἱούς. » Ἐπειδὴ γὰρ τὴν τοῦ διαβόλου καθῄρηκε τυραννίδα, καὶ τῶν τῆς εἰδωλολατρίας ἐξείλετο βρόχων τοὺς πεπλανημένους, κατέδησεν οὕτως πρὸς ἀγάπην τὴν πρὸς ἑαυτὸν, ὡς καὶ φυσικῆς ἀλογῆσαι φιλοστοργίας τοὺς πεπιστευκότας, καὶ ἀδελφοὺς ἀνῄνασθαι, καὶ πατέρας, καὶ οἴκους, καὶ γένη, καὶ ἀποχρήσειν αὐτοῖς εἰς ἅπασαν εὐθυμίαν, τὸ προσκεκλῆσθαι τῷ Χριστῷ. Καὶ γοῦν καὶ ὁ μακάριος Δαβὶδ, ὡς ἐκ προσώπου τῶν τοῦτο κατορθωκότων ᾄλλει που, καί φησιν, ὅτι « Ὁ πατήρ μου, καὶ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. »

B C D

Consolatio abscondita est ab oculis meis, quia hic inter fratres separabit.

CLV. Hujus contextus versum primum per interrogationem et subdistinctionem legamus, et tale quiddam nobis insinuabit, si recte intelligere voluerimus. Infirmata est, inquit, natura humana peccatorum diversitate, et ad delinquendum non leviter declinavit. Quocirca morte non immerito damnata est. Jam vero quanam ratione sic affectis succurratur, aut quomodo casus hic depellatur, ipse ego considerabo. Aut est quis inter vos adeo desipiens, ut existimet ac dicat, aliquem consolandi ac demulcendi modum esse, quem divina et incorrupta mens non viderit? Sum enim artifex, nec ad quidquam efficiendum imbecillus; sed novi omnia bene, et sine mora quod placet rite præsto. Etsi, inquit, « hic inter fratres separabit. » Prænuntiat nobis per hæc Dominum nostrum Jesum Christum. Ipse enim est omnium consolatio, modus curationis; ipsum destinavit Pater ante tempora sæcularia Salvatorem ac Redemptorem in mortis tempestate versantibus[11]. Ipsum ait separare inter fratres. Quid hoc est? ipsum dicentem audivimus Christum Salvatorem omnium nostrum. « Nolite putare quoniam veni mittere pacem in terram; non veni pacem mittere, sed gladium. Veni enim separare hominem adversus patrem suum, et filiam adversus matrem suam, et nurum adversus socrum suam; et inimici hominis domestici ejus[12]. » Et rursum, futura sanctis discipulis prænuntians, « Tradet, inquit, frater fratrem in mortem, et insurget pater contra filios[13]. » Ut enim diaboli tyrannidem evertit, et deceptos idololatriæ laqueis expedivit, sic eos per dilectionem erga se sibi astrinxit, ut credentes etiam naturalem amorem posthaberent, et fratres, domos, genus non agnoscerent, et ad Christum vocatos esse ad summam animi lætitiam sufficeret. Quare et beatus David in persona tam præclarum facinus aggressorum psallit alicubi, et inquit: « Pater meus et mater mea dereliquerunt me; Dominus autem assumpsit me[14]. »

Ἐπάξει καύσωνα ἄνεμον Κύριος ἐκ τῆς ἐρήμου ἐπ' αὐτὸν, καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ. Αὐτὸς καταξηρανεῖ τὴν γῆν αὐτοῦ, καὶ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ.

VERS. 15. *Adducet ventum urentem Dominus ex deserto super eum, et siccabit venas ejus. Ipse exsiccabit terram ejus,* **189** *et omnia vasa desiderabilia ejus.*

PNC'. Μεθίστησι μὲν τὸν λόγον ἐπ' αὐτὸ τὸ τοῦ

CLVI. Sermonem ad ipsam personam mortis

[8] Rom. VIII, 33, 34. [9] Ephes. V, 2. [10] I Cor. I, 5. [11] II Tim. I, 9. [12] Matth. X, 34-36. [13] Ibid. 21. [14] Psal. XXVI, 10.

Digitized by Google

transfert, ventoque austro et æstui Christum comparat, quem et de solitudine aliquando adductum iri autumat. Sciendum porro ante alia illud, Judæorum regionem proxime ad austrum latam et immensam habere solitudinem. Quod si quando ventus inde spiraret vehementius, impense metuebant, quod tellus inde exaresceret. Videtur etiam nonnullis, eum ipsas aquarum venas sub terris astringere, et violenti atque igniti flatus impulsibus inhibere. Itaque ex notis et expertis verba facit. Christum igitur adversus mortem sese illaturum, et instar venti urentis omnes fontes et venas ejus exsiccaturum prophetica verba nobis indicant. Manet ergo in translatione et commodissime, mysteriumque ab eo quod contingere consuevit, declarat. Venas porro et fontes mortis perditionis genera, sive malignas et adversarias virtutes esse dicimus. Per eas enim ceu per venas semper suis temporibus pereuntium multitudo ei subministratur. Eodem sensu vasa ejus desiderabilia accipies. Vasa enim perdentia mortales super terram, et morti chara non inepte quis aut malignas et contrarias nobis potestates, aut certe impios quosdam homines, dæmonis perversitati servientes, et secum alios perdentes appellaverit. Cum spiraverit ergo ventus urens, inquit, tota terra mortis arescet. Oratio rursum metaphora constat, ut si dicat fortasse, Mors quasi locum herbidum homines depascebatur; sed arescet locus ille, nec mors pabulum inveniet. Sublata enim est mors, ubi Christus vitam omnibus proposuit, et immortalitatem revocari permisit.

εδόσκετο μὲν ὥσπερ τι χωρίον ὁ θάνατος τοὺς ἐπὶ τῆς γῆς, ἀλλ' ἔσται ξηρὸν, οὐχ εὑρήσει νομὴν ὁ θάνατος. Ἀνῄρηται γὰρ ἡ φθορὰ προθέντος ἅπασι τοῦ Χριστοῦ τὴν ζωὴν, καὶ παλινάγρετον ἐφέντος ποιεῖσθαι τὴν ἀφθαρσίαν.

θανάτου πρόσωπον, ἀνέμῳ δὲ νότῳ, καὶ καύσωνι παρεικάζει Χριστὸν, ὃν καὶ ἐκ τῆς ἐρήμου, φησὶν, ἐνεχθήσεσθαι κατὰ καιρούς. Χρὴ δὲ εἰδέναι, καὶ πρό γε τῶν ἄλλων, ἐκεῖνο, ὅτι τῶν Ἰουδαίων ἡ χώρα πλατεῖαν καὶ ἀκατάληπτον ἔρημον ἔχει, κειμένην ἐν μέρεσι τοῖς νοτιωτάτοις· κἂν εἰ συνέβη ποτὲ τὸν ἐκεῖθεν ἄνεμον κατενεχθῆναι βαγδαΐως, περιδεεῖς ἦσαν οὐ μετρίως, ἀναινομένης τῆς χώρας. Δοκεῖ δέ τισι καὶ αὐτὰς τῶν ὑδάτων τὰς ἐν τῇ γῇ φλέβας ὀκνηροτέρας ποιεῖσθαι τὰς χορηγίας, καὶ ταῖς τοῦ βιαίου καὶ πυρώδους πνεύματος προσβολαῖς ἀνακόπτεσθαι. Οὐκοῦν ἐξ ὧν ἴσασι, καὶ πεπείρανται, ποιεῖται τοὺς λόγους. Ἐπενεχθήσεσθαι δὴ οὖν τῷ θανάτῳ Χριστὸν ὁ προφητικὸς ἡμῖν ἔφη λόγος ἀνέμῳ καύσωνι παραπλήσιον, ὃς πάσας αὐτοῦ τὰς πληγὰς καὶ τὰς φλέβας καταξηρανεῖ. Ἐπιμένει οὖν τῇ τροπῇ, καὶ μάλιστα ὀρθῶς, καὶ ὡς ἀπό γε τοῦ συμβαίνειν εἰωθότος, τὴν τοῦ μυστηρίου ποιεῖται δήλωσιν. Φλέβας δὲ, καὶ πηγὰς τοῦ θανάτου, τοὺς τῆς ἀπωλείας τρόπους εἶναί φαμεν, ἤτοι τὰς πονηρὰς, καὶ ἀντικειμένας δυνάμεις. Δι' αὐτῶν γὰρ ὥσπερ τὴν τῶν ἀεὶ κατὰ καιροὺς ἀπολλυμένων χορηγεῖται πληθύν. Οὕτως νοήσεις καὶ τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ. Σκεύη γὰρ ἀπολλύοντα τοὺς ἐπὶ τῆς γῆς, καὶ τῷ θανάτῳ τίμια φαίη τις ἂν εἰκότως, ἢ τὰς πονηρὰς, καὶ ἀντικειμένας δυνάμεις, ἤγουν ἀνοσίους τινὰς τῶν ἐπὶ γῆς, τῆς ἐκείνου δυστροπίας θεραπευτὰς, καὶ προσαπολλύντας ἑαυτοῖς ἑτέρους. Πνεύσαντος δὴ οὖν τοῦ καύσωνος, ἅπασα, φησὶν, ἡ τοῦ θανάτου ξηρανθήσεται γῆ. Πεποίηται δὲ πάλιν ὡς ἐκ μεταφορᾶς ὁ λόγος. Ὅμοιον γὰρ, ὡς εἰ καὶ λέγοι τυχόν· Κατ-

CAP. XIV.

Vers. 1. *Disperdetur Samaria, quia restitit contra Deum suum. In gladio cadent ipsi, et lactentes eorum elidentur, et in utero habentes eorum disrumpentur.*

CLVII. Opportunissime finito sermone de Christo, et universalis redemptionis mysterio prænuntiato, beatus propheta rursus eorum qui Deum offenderant calamitates 190 lamentatur, et Samaritas quasi luget. Cum enim liceret, et affatim liceret, inquit, frui bonis ex mansuetudine Dei, sponte sua ad supplicia ab irato perpetienda cucurrerunt, quia illi resistere, et Dominicis mandatis suam voluntatem opponere, et propemodum videri acie contra dimicare, aut esse de numero vere illi rebellantium voluerunt. Proinde citra omnem misericordiam ipsi gladio trucidabuntur, et novi crudelitatis modi contra mulieres et liberos ipsarum excogitabuntur. Simul enim cum heri natis infantibus immaturam necem perferent qui vitam nondum etiam acceperunt, exitum ex utero hostilis gladius antevertet. Calamitosum igitur et exitiosum esse Deo repugnare, ipsa quoque experientia cernitur.

ΚΕΦΑΛ. ΙΔ'.

Ἀφαρισθήσεται Σαμάρεια, ὅτι ἀνέστη πρὸς τὸν Θεὸν αὐτῆς. Ἐν ῥομφαίᾳ πεσοῦνται αὐτοὶ, καὶ τὰ ὑποτίτθια αὐτῶν ἐλαφισθήσονται, καὶ αἱ ἐν γαστρὶ ἔχουσαι αὐτῶν διαῤῥαγήσονται.

ΡΝΖ'. Διαπεράνας εὖ μάλα τὸν ἐπὶ Χριστῷ λόγον, καὶ τῆς καθόλου λυτρώσεως τὸ μυστήριον προαπηγγελκὼς ὁ μακάριος προφήτης, ἐποιμώζει πάλιν ταῖς τῶν προσκεκρουκάτων συμφοραῖς, μόνον δὲ οὐχὶ καὶ κατολοφύρεται τοὺς ἐν Σαμαρείᾳ. Μετὸν γὰρ ἀπόνασθαι, φησὶ, καὶ σφόδρα πλουσίως, τῶν ἐξ ἡμερότητος ἀγαθῶν, αὐτόμολοι δεδραμήκασι πρὸς τὰ ἐξ ὀργῆς ἐσόμενα κατ' αὐτῶν, διά τοι τὸ ἀντεξάγειν ἑλέσθαι Θεῷ, καὶ δεσποτικοῖς προστάγμασι τὸ ἴδιον ἀντεγείραι θέλημα, μόνον δὲ οὐχὶ καὶ ἀντιτετάχθαι δοκεῖν, ἢ καὶ ἐν μοίρᾳ γενέσθαι τῶν ἀνθεστηκότων αὐτῷ κατὰ ἀλήθειαν. Τοιγάρτοι φειδοῦς ἁπάσης ἐξῃρημένης ἔργον μὲν ἔσονται ῥομφαίας αὐτοί· ξένιοι δὲ τῆς ἀπανθρωπίας ἐπινοηθήσονται τρόποι κατά γε γυναίων καὶ τέκνων. Ὁμοῦ γὰρ τοῖς ἀρτιγενέσι νηπίοις πρόωρον ὑπομενοῦσι θάνατον καὶ τὰ οὔπω κεκλημένα πρὸς τὸ εἶναι καὶ ζῆν. Καὶ φθάσει τὴν δι' ὠδῖνος πρόοδον τῶν πολεμίων τὸ ξίφος. Πικρὸν οὖν ἄρα τὸ ἀντιτάττεσθαι Θεῷ, καὶ ὀλέθρου πρόξενον, καὶ δι' αὐτῆς ὁρᾶται τῆς πείρας.

Digitized by Google

Ἐπιστράφηθι, Ἰσραὴλ, πρὸς Κύριον τὸν Θεόν σου, διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. Λάβετε μεθ' ἑαυτῶν λόγους, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν. Εἴπατε αὐτῷ, ὅπως μὴ λάβητε ἀδικίαν, καὶ λάβητε ἀγαθὰ, καὶ ἀνταποδώσομεν καρπὸν χειλέων ἡμῶν. Ἀσσοὺρ οὐ μὴ σώσῃ ἡμᾶς, ἐφ' ἵππον οὐκ ἀναβησόμεθα. Οὐκ ἔτι μὴ εἴπωμεν· Θεοὶ ἡμῶν, τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν.

A Vers. 2-4. *Convertere, Israel, ad Dominum Deum tuum, quia infirmatus es in iniquitatibus tuis. Tollite vobiscum sermones, et revertimini ad Dominum. Dicite ei, ut non tollatis iniquitatem, et assumatis bona, et reddamus fructum labiorum nostrorum. Assur non salvabit nos, super equum non ascendemus, non amplius dicemus: Dii nostri, operibus manuum nostrarum.*

ΡΝΗ'. Οὐ μετρίως ἄν τις ἀγάσαιτο κἀν τῷδε δὴ πάλιν τοῦ προφήτου τὸ εὐτεχνὲς, καὶ τοῦ λόγου τὴν οἰκονομίαν. Πεποίηται γὰρ ἁγιοπρεπῶς, καὶ ἔστι τῆς ἄνωθεν μυσταγωγίας ἔμπλεως. Προαναπεφώνηκε μὲν γὰρ τὴν ἐσομένην διὰ Χριστοῦ λύτρωσιν, καὶ ὅτι κατὰ καιροὺς ἐκπονήσει θάνατος, καὶ ἀργήσει τὸ κέντρον τοῦ ᾅδου. Καὶ πρὸς τούτοις, ὅτι παρακλήσεως καὶ παραμυθίας τρόπος ἂν νοοῖτο παντελῶς οὐδεὶς, ὃς οὐκ ἐγνώσθη Θεῷ. Καὶ τὸ μετὰ τοῦτο συμβουλεύειν ἦν ἀναγκαῖον τὰ πρὸς σωτηρίαν αὐτοῖς τελοῦντα λοιπὸν φρονεῖν τε καὶ δρᾷν, καὶ οἱονεὶ πρὸς ἀνάνηψιν ἀνακομίζειν ἐπείγεσθαι τοὺς μεμεθυσμένους οὐκ ἐξ οἴνου ποθὲν, ἐκ φιληδονίας δὲ μᾶλλον κοσμικῆς, καὶ τοῦ προσκεῖσθαι φιλεῖν ταῖς τῶν δαιμόνων ἀπάταις. Ἵνα τοίνυν μὴ ταῖς εἰς χρηστότητα καὶ φιλανθρωπίαν ὑποσχέσεσι πρὸς τὸ ῥᾴθυμον ὑπτιούμενοι, τὸν σωφρονίζειν εἰδότα παρ' οὐδὲν ποιοῖντο λόγον, ταύτῃ τοι χρησίμως πρὸς ὑπόμνησιν αὐτοὺς τῶν δεινῶν ἀναφέρει πάλιν, καὶ ἀναφανισθήσεσθαι μὲν τὴν Σαμάρειαν εἰπὼν, ὅτι ἀντέστη πρὸς τὸν Θεὸν αὐτῆς, εἶτα τούτοις ἐκεῖνα προστιθεὶς, ἃ δὴ μάλιστά γε καταδεδίττεσθαί τε καὶ ἀμᾷν οὐκ ἀνικάνως ἔχοντα φαίνεται τοὺς ἀκροωμένους. Νήπια μὲν γὰρ ἐδαφισθήσεσθαί φησι· συνδιολεῖσθαι δὲ τοῖς ἐμβρύοις καὶ αὐτὰς τὰς μητέρας, οὔπω τῆς λαγόνος ἐξενεγκούσας εἰς φῶς τὸ πολύτευκτον ἄνθος. Προκαταπτοήσας δὴ οὖν τοῖς δείγμασιν, ἐπὶ καιροῦ λοιπὸν ταῖς τῶν νουθετουμένων καρδίαις τὸν καλοῦντα πρὸς μετάγνωσιν ἐνίησι λόγον, ὅτι χρὴ παλινδρομεῖν, καὶ πρὸς Θεὸν ἐπανήκειν εὖ μάλα παραφωνῶν. Λέγων δὲ, ὅτι « Ἠσθένησας ἐν ταῖς ἀδικίαις σου, » δίδωσι νοεῖν, ὅτι πάντη τε καὶ πάντως συγκαταλήξει ταῖς ἀδικίαις καὶ τὸ ἀσθενεῖν αὐτοὺς, καὶ τοῖς τῆς ἀποστασίας τρόποις, εἰ ἐκ μέσου γένοιντο, συνοιχήσεται καὶ τὰ δεινά. Τὸν δέ γε τῆς πρὸς Θεὸν ἐπιστροφῆς καταλείπει τρόπον. Ἔσεσθαι γὰρ ἐν ἀμείνοσι, καὶ ἐν φειδοῖ τῇ παρὰ Θεῷ τοὺς ἡμαρτηκότας εὖ μάλα φησὶν, οὐ τὰ ἐκ πλούτου προσάγοντας, οὐ χρυσὸν ἀναθέντας, οὐ σκεύεσιν ἀργυροῖς τιμᾷν ἠρημένους, οὐ βουθυσίαις, οὐ μήλων σφαγαῖς εὐφραίνοντας, ἀλλ' εἰ χαρίσαιντο λόγους, καὶ εὐστομεῖν ἕλοιντο τὸν τῶν ὅλων δεσπότην ἐκμειλισσόμενοι. « Λάβετε γὰρ μεθ' ἑαυτῶν λόγους, εἴπατε τῷ Θεῷ, ὅπως μὴ λάβητε ἀδικίαν, καὶ λάβητε ἀγαθὰ, » τουτέστιν, ἵνα μὴ ταῖς ἀδικίαις ἰσομέτρως κολάζησθε, καταπλουτῆτε δὲ μᾶλλον, ταῖς τῶν ἀγαθῶν χορηγίαις, ἐπαγγείλασθε δὲ προσκομίζειν αὐτῷ τὰ ἀπὸ χειλέων, χαριστηρίους ᾠδὰς, καὶ ἐξομολόγησιν. Γλῶσσης γὰρ τὰ τοιάδε καρποί. Πλὴν ἐκεῖνο βοᾶτε, φησὶ, καὶ ἀρρήτως ἐπαγγέλλεσθε, ὡς οὔτε ἐρεῖτε·

CLVIII. Etiam in his prophetæ artificium sermonisque œconomiam non leviter admirari queas: nam, ut sanctum decebat, verba fiunt, et superna mystagogia seu doctrina cœlesti plena sunt. Promulgavit enim futuram per Christum liberationem, et olim delassatum iri mortem, et cessaturum B stimulum inferni. Insuper nullum demulcendi et consolandi modum a quoquam posse concipi omnino, qui Deum lateat. Post hoc necesse erat suadere, ut quæ posthac ad eorum salutem pertinerent, ea et commentarentur et facerent; et non ex vino alicunde, sed ex cupiditate potius mundanæ voluptatis, et ex consectatione fallaciarum diaboli inebriatos, conari velut ad sobrietatem reducere. Ne igitur, benignitatis et humanitatis promissionibus supine negligentes, sobrietatis et prudentiæ magistrum sermonem despicerent, ob id eos ad memoriam acerborum denuo revocat. Et cum dixisset disperditum iri Samariam, quia restitisset Deo suo, mox istis illa subjungit, quæ ad audientes perterrendos contristandosque **191** valere satis C videntur. Infantes quippe allidendos narrat, et matres ipsas perituras, optatissimo flore nondum e visceribus in lucem edito. Injecto igitur prius pavore, de cætero sermonem ad pœnitentiam cohortantem cordibus eorum quos admonet opportune immittit, recurrere et ad Deum reverti oportere meritissimo acclamans. Cum porro dicit, quia « Infirmatus es in iniquitatibus tuis, » intelligendum subjicit, omnimodis infirmitatem ipsorum una cum iniquitatibus desituram; et, si apostasiæ multiplices e medio removeantur, res adversas quoque simul abituras. Modum autem reversionis ad Deum lævigat: ait enim pulchre admodum peccatores melius habituros, sensurosque Deum propitium, non de D divitiis offerentes, non aurum dedicantes, non vasis argenteis illum honorare instituentes, non boum sacrificiis, non ovium mactationibus lætificantes; sed si donaverint ei sermones, et laudibus universorum Dominum mitigare decreverint. « Sumite vobiscum sermones, inquit, dicite Deo ut non tollatis iniquitatem, et accipiatis bona, » hoc est, ne æquales iniquitatibus pœnas sustineatis; sed contra bonorum adeptione divites evadatis. Oblaturos autem de labiis vestris cantica gratiarum actoria, et confessionem promittite. Hi enim sunt fructus linguæ. Verumtamen illud clamate, inquit, et congruenter spondete, non amplius etiam dicturos: « Dii nostri, operibus manuum vestrarum. » Hi enim erant modi apostasiæ; propter hæc Deum

Digitized by Google

offenderunt, quia et idolis servierunt, et Deo semper salvatore suo contempto, spem in auxiliis humanis reposuerunt; et oppugnantibus eos Ægyptiis Assyrium implorarunt, [ursum Assyriis Samariam armis appetentibus, Ægyptiorum equites sagittarios, sive equestris militiæ gnaros mercede conduxerunt. Idcirco et a Deo aperte audierunt: « Væ qui descenditis in Ægyptum ad auxilium, qui confidunt in equis et in curribus [15]. » Ridebantur porro, nec injuria, quærentes protectionem ab homine Ægyptio, non a Domino, « equorum carnes [16], » ut scriptum est. Ergo pollicentur, se ab idolorum cultu discessuros, nec ultra in hominibus spem habituros. Emendatio ista perpetratorum delictorum universorum opificem ad lenitatem revocat per **192** prophetam ita loquentem: « Aversione avertimini ab iniquitatibus vestris, domus Israel, et non erunt vobis in pœnam iniquitatis. »

A «Θεοὶ ἡμῶν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν.» Ἦσαν γὰρ οὗτοι τῆς ἀποστασίας οἱ τρόποι. Διὰ ταῦτα προσκεκρούκασιν, ὅτι καὶ λελατρεύκασιν εἰδώλοις, καὶ τὸν ἀεὶ σώζοντα Θεὸν ἀτιμάσαντες, ταῖς ἐξ ἀνθρώπων ἐπικουρίαις προσνενεμήκασι τὴν ἐλπίδα. Καὶ πολεμούντων μὲν αὐτοῖς τῶν Αἰγυπτίων, ἐπεκαλοῦντο τὸν Ἀσσύριον. Ἀσσυρίων δὲ πάλιν ὅπλα κατὰ τῆς Σαμαρείας ἡρμένων, κατεμισθοῦντο χρήμασι τοὺς τῶν Αἰγυπτίων ἱπποτοξότας, ἦγουν ἐν τοῖς πολέμοις ἱππικῆς ἐπιστήμονας. Ταύτῃ τοι καὶ ἤκουον Θεοῦ λέγοντος ἐναργῶς· « Οὐαὶ οἱ καταβαίνοντες εἰς Αἴγυπτον ἐπὶ βοήθειαν, οἱ ἐφ' ἵπποις πεποιθότες, καὶ ἐφ' ἅρμασιν. » Ἐγελῶντο δὲ, καὶ μάλα δικαίως, προασπιστὴν ποιεῖσθαι σπουδάζοντες Αἰγύπτιον ἄνθρωπον, καὶ οὐ Θεὸν, « ἵππων σάρκας, » κατὰ τὸ γεγραμμένον. Θὐκοῦν ἀποφοιτᾷν ἐπαγγέλλονται καὶ τοῦ λατρεύειν εἰδώλοις, καὶ τοῦ τὰς ἐλπίδας ἐπ' ἀνθρώποις ἔχειν ἔτι. Ἐπανόρθωσις δὲ αὕτη τῶν ἧδη προεπταισμένων, καλοῦσα πρὸς ἡμερότητα τὸν τῶν ὅλων δημιουργὸν, τὸν διὰ φωνῆς προφήτου λέγοντα· « Ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῶν ἀνομιῶν ὑμῶν, οἶκος τοῦ Ἰσραὴλ, καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. »

B

Qui in te est, miserebitur orphani.

Ὁ ἐν σοὶ, ἐλεήσει ὀρφανόν.

CLIX. Prophetæ vox ad resipiscendum adhortantis, et lenitatem Domini publicantis, et cunctationem volentis resipiscere præcidentis. Ne dubites, Israel, inquit, te optata consecuturum, si te prius ad pœnitentiam dederis. Qui enim in te est, misereri, et miserari pupillos novit. Sic et divinus David: « Pupillum et viduam suscipiet [17], » ex una re, opinor, sive ex personis maxime miserabilibus divinæ, et inexplicabilis naturæ benignitatem demonstrans. Ac si quis volet pupillum et ipsum Israelem nominari (propemodum enim Patrem Deum amisit, tametsi ille dilucide dixit: « Filius meus primogenitus Israel [18] »), dixerim ego etiam sic recte intelligi. Igitur Domini universorum bonitate et facilitate ad clementiam confisos, promptissime pœnitentiam complecti, et emendationibus in melius delictorum præteritorum maculas eluere oportet.

C

ΡΝΘ'. Τοῦ προφήτου φωνὴ, προτρέποντος εἰς μετάγνωσιν, καὶ τοῦ δεσπότου τὴν γαληνότητα καθιστάντος ἐναργῆ, καὶ τὸν ὄκνον ὑποτεμνομένου τοῦ μεταγινώσκειν ἐθέλοντος. Μὴ γὰρ ἐνδοιάσῃς, φησὶν, ὦ Ἰσραὴλ, ὅτι τεύξῃ τῶν κατ' εὐχὴν εἰ προνομίσειας τὴν μετάγνωσιν. Ὁ γὰρ ἐν σοὶ Θεὸς ἐλεεῖν οἶδε, καὶ κατοικτείρειν ὀρφανούς. Οὕτω τοῦ φησι καὶ ὁ θεσπέσιος Δαβίδ· « Ὀρφανὸν καὶ χήραν ἀναλήψεται, » ἐξ ἑνὸς, οἶμαι, πράγματος, ἦγουν ἐκ προσώπων τῶν ὅτι μάλιστα κατελεεῖσθαι πεφυκότων τῆς θείας τε καὶ ἀπορρήτου φύσεως καταδεικνὺς τὸ φιλάνθρωπον. Εἰ δὲ βούλοιτό τις τῆς ὀρφανίας τὸ χρῆμα, καὶ αὐτῷ καταγράφειν τῷ Ἰσραὴλ, ἀπώλισθε γὰρ μονονουχὶ Πατρὸς τοῦ Θεοῦ, καίτοι λέγοντος ἐναργῶς, « Υἱὸς πρωτότοκός μου Ἰσραὴλ, » φαίην ἂν ἔγωγε καὶ τῇδε νοεῖν ὀρθῶς. Δεῖ δὴ οὖν ἄρα τεθαρρηκότας ὡς ἀγαθός τέ ἐστι, καὶ πρόχειρος εἰς φιλανθρωπίαν ὁ τῶν ὅλων δεσπότης, ἀοκνότατα μετανοεῖν, καὶ ταῖς εἰς τὸ ἄμεινον ἐπανορθώσεσι, τὰς τῶν ἤδη προεπταισμένων ἀπολύειν αἰτίας.

D

Vers. 5. *Sanabo habitationes eorum, diligam eos manifeste, quia averti iram meam ab eis.*

Ἰάσομαι τὰς κατοικίας αὐτῶν, ἀγαπήσω αὐτοὺς ὁμολόγως, ὅτι ἀπέστρεψεν τὴν ὀργήν μου ἀπ' αὐτῶν.

CLX. Mox, et quasi a foribus ipsis a Deo sermo inducitur, promittente ægrotos sanaturum et manifeste dilecturum, hoc est, manifeste et palam de cætero indulgentiæ, et charitatis, et omnis boni incrementum largiturum. Docet insuper se etiam adversus ipsos deposuisse, et a charo sibi humanitate non discessurum. Videtur autem propheta in his non solum meminisse conversionis ex sanguine Israel prognatorum, sed gentium quoque vocationem admiscere. Quoniam non omnes qui ex Israel sunt, hi sunt Israelitæ [19]. Reputantur autem potius filii, qui sectantur vestigia fidei in præputio patris

ΡΞ'. Εἰσκεκόμισται γείτων εὐθὺς, μόνον δὲ οὐχὶ καὶ ἀγχίθυρος ὁ παρὰ Θεοῦ λόγος, ἰᾶσθαί τε τοὺς ἠσθενηκότας ὑπισχνουμένου, καὶ ὁμολόγως ἀγαπᾷν, τουτέστιν, ὁμολογουμένως καὶ ἀκρύπτως, ἤδη λοιπὸν ἐνεργοῦντα τὰ ἐκ φειδοῦς καὶ ἀγάπης φαίνεσθαι, καὶ τὴν παντὸς ἐπίδοσιν ἀγαθοῦ. Δηλοῖ δὲ πρὸς τούτοις, ὅτι καὶ τῆς εἰς αὐτοὺς κατέληξεν ὀργῆς, καὶ τῆς αὐτῷ φιλητῆς οὐκ ἀποδημήσει φιλανθρωπίας. Ἔοικε δὲ πάλιν ὁ λόγος ἡμῖν ἐν τούτοις, οὐ μόνης διαμεμνῆσθαι τῆς τῶν ἐξ αἵματος Ἰσραὴλ ἐπιστροφῆς, συνεισκομίζειν δὲ μᾶλλον καὶ τὴν τῶν ἐθνῶν κλῆσιν· ὅτι μὴ πάντες οἱ ἐξ Ἰσραὴλ οὗτοι

[15] Isa. xxxi, 1. [16] Ibid. 3. [17] Psal. cxlv, 9. [18] Exod. iv, 22. [19] Rom. ix, 6.

Digitized by Google

Ἰσραήλ· καταλογίζονται δὲ μᾶλλον εἰς τέκνα οἱ ἀκολουθοῦντες τοῖς ἴχνεσι τῆς ἐν ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. Οὐκοῦν συνεισφέρεται καὶ ἡ τῶν ἐθνῶν κλῆσις, καὶ πρὸς Θεὸν οἰκείωσις ἐν Χριστῷ, διὰ πίστεως καὶ ἁγιασμοῦ. Κατασημαίνεται δὲ πρὸς τούτῳ καὶ ἡ τῶν πνευματικῶν χορηγία, καὶ τῆς χάριτος τὸ ἀμφιλαφές. Δῆλον δὲ ὅτι τῆς ἐν Χριστῷ.

A nostri Abraham [20]. Ergo simul et vocatio gentium, et conjunctio cum Deo in Christo per fidem et sanctificationem inducitur. Insuper spiritualium suppeditatio et gratiæ copia, ejus videlicet quæ in Christo est, significatur.

Ἔσομαι ὡς δρόσος τῷ Ἰσραήλ.

Πάντως που καταπαίνουσα, καὶ καταρδεύουσα τὸν νοῦν τῶν κεκλημένων εἰς μετάγνωσιν, τῇ ἄνωθεν παρακλήσει. Δῆλον δὲ ὅτι τῇ Πνεύματος· ἄνωθεν γὰρ ἡ δρόσος.

Vers. 6. *Ero quasi ros Israel.*

193 CLXI. Omnimodis mentem vocatorum ad pœnitentiam superna consolatione pinguefaciens et irrigans, utique per Spiritum, ros enim desuper cadit.

Ἀνθήσει ὡς κρίνον.

Ἐκβώσει, φησὶ, τὸ εὐῶδες ἐν Χριστῷ, καὶ τῆς εὐαγοῦς πολιτείας τὴν εὐοσμίαν, καὶ ἀπόλεκτον ἄνθος ἔσται λοιπόν.

Florebit ut lilium.

CLXII. Effabit, inquit, in Christo suavem odorem, et sanctæ conversationis fragrantiam, et electus in futurum flos erit.

Καὶ βαλεῖ τὰς ῥίζας αὐτοῦ ὡς Λίβανος, πορεύσονται οἱ κλάδοι σου.

Ὅτι μὴ εὐκατάσειστος τῶν πιστευόντων ὁ νοῦς, οὐδὲ οἷον ἕτοιμος εἰς τὸ νικᾶσθαι πνεύμασι πονηροῖς, διὰ τούτου δηλοῖ. Ἔσται γὰρ οὕτως ἀσφαλὴς, καὶ ἐρηρεισμένος, καθάπερ ἀμέλει καὶ τὸ τοῦ Λιβάνου φυτὸν, ὃ καθίησι μὲν εἰς βάθος πολὺ τὴν ῥίζαν· τοῖς γε μὴν ἄνωθεν κλάδοις, οὐ μετρίως εὐρύνεται. Σπαταλώσης γὰρ τῆς ῥίζης, ἁδραί που πάντως εἰσὶ καὶ αἱ τῶν ὀρπήκων ἐκδόσεις.

Et mittet radices suas quasi Libanus, ibunt rami ejus.

CLXIII. Mentem credentium vix a suo statu dimoveri, neque vinci facile posse a malignis spiritibus his verbis indicat. Adeo siquidem tuta et firma est, ut arbor nimirum in monte Libano, quæ mittit quidem in profundum radicem, superne autem ramis ample dilatatur. Actis enim alte radicibus, etiam rami omnino latius propagantur.

Καὶ ἔσται ὡς ἐλαία κατάκαρπος.

Ἀειθαλὴς δηλονότι καὶ εὔκαρπος, τοιοῦτον γὰρ τὸ φυτόν.

Vers. 7. *Et erit quasi oliva fructifera.*

CLXIV. Semper virens videlicet et fructifera; tale est enim genus arboris oliva.

Καὶ ὀσφρησις αὐτοῦ ὡς λιβάνου.

Εὐοσμότατον κομιδῇ τοῦ λιβάνου τὸ χρῆμα. Ταύτῃ τοι καὶ ὡς ἱερὸν τῷ Θεῷ, καὶ ὁ Μωσέως αὐτὸ κατεχρησμῴδησε νόμος. Λιβάνῳ γὰρ δεῖν καταπάτεσθαι τὴν προσαγομένην σεμίδαλιν εἰς θυσίαν, διετύπου πολλαχῶς. Εὐώδης οὖν ἔσται, φησὶν, ὁ τῶν κεκλημένων καρπὸς, καὶ εὐπαράδεκτος εἰς θυσίαν τῷ φιλαρέτῳ Θεῷ.

C

Ἐπιστρέψουσι, καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ.

Ρξζ'. Ἀποπαύονται, φησὶ, τῶν ἀρχαίων αἰτιαμάτων, καὶ ὑπονοστήσουσιν εὐσθενῶς εἰς τὸ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ὑπ' αὐτῷ γενήσονται μονοτρόπως, οὐ παρ' ἑτέρου τὸ σώζεσθαι ἀπὸ τῶν ἐχθρῶν, ἀλλὰ παρ' αὐτοῦ προσδοκῶντες μόνου. Τοῦτό τοι πληροῦσα καλῶς ἡ ἐξ ἐθνῶν Ἐκκλησία, περὶ τοῦ πάντων Σωτῆρος, φησὶν, ἐν τῷ Ἁσματι τῶν ἁσμάτων· « Ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα. » Τοῖς τοῦτο δρᾷν εἰωθόσιν ἐπιφωνείτω λέγων καὶ ὁ θεσπέσιος Δαβίδ· « Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. » Τοῦτο τοῖς ἀρχαιοτέροις ἐπετελεῖτο παρὰ Θεοῦ, νεφέλης αὐτοῖς ἐπισκιαζούσης κατὰ τὴν ἔρημον, καὶ τὴν ἄνωθεν, καὶ παρὰ Θεοῦ σκηνὴν ὑποφαινούσης ἀστείως. Εὖ δὲ δὴ σφόδρα καὶ τὸ « καθιοῦνται, » φησὶν, ἵνα τὸ βεβηκὸς καὶ τὸ ἱδρυμένον ἀσφαλῶς τῆς τῶν ἐπιστρεφόντων γνώμης διὰ τούτου νοῆται.

Vers. 8. *Convertentur, et sedebunt sub umbra ejus.*

CLXVI. Finem imponent, inquit, peccatis veteribus, et cum suavi odore ad Deum vivum verumque colendum [22] regredientur, illique tantummodo subjicientur, non ab alio, sed ab illo solo liberationem ab hostibus exspectantes. Hoc præclare implens collecta ex gentibus Ecclesia, de omnium Salvatore in Cantico canticorum, inquit : « In umbra illius desideravi, et sedi [23]. » Ita facere solitis acclamet beatus David : « Per diem sol non uret te, neque luna per noctem [24]. » Hoc vetustioribus a Deo præstabatur, nube illos per diem in solitudine obumbrante [25], supernumque et divinum tabernaculum jucunde submonstrante [26]. Recte admodum præterea, « sedebunt, » inquit, ut hinc constantia et firmitudo voluntatis convertentium se intelligatur.

D

[20] Rom. IV, 12. [21] Levit. II, 1. [22] I Thess. I, 9. [23] Cant. II, 3. [24] Psal. CXX, 6. [25] Exod. XIII, 21. [26] Exod. XL, 32.

Digitized by Google

194 CXVII. *Vivent, et inebriabuntur frumento.* Hæc sunt conversionis et stabilitatis dona acceptabilia. Et vitæ æternæ, inquit, participes erunt, et virtute abundabunt, spirituali, inquam, hoc enim puto velle illud, « inebriabuntur frumento. » Scriptum porro exstat, « panis cor hominis confirmat [27]. » Corpora enim congruentibus nutrimentis gaudent; animum vero hominis divinus et cœlestis sermo corroborat. Quia namque ex eo ab imbecillitate ad robur transire queat, ex errore ad agnitionem Dei sese convertens, et e foveis improbitatis valide ad virtutem complectendam exsiliens, non est cur dubitetur, quandoquidem revera imbecillitatis culpa est, in segnitiem et mundanas voluptates prolabi et idolis colendis delectari. Spiritualis autem roboris insigne facinus perspicitur, alacriter ad bona operanda incumbere, statuereque insuper charitate erga Deum nihil esse præstantius, ac citra lapsum, et cum animi contentione viam eo ducentem ambulare.

Et florebit quasi vinea memoriale ejus, quasi vinum thuris.

CLXVIII. Ait alicubi Deus ad Judæorum matrem, hoc est, Synagogam : « Ego autem plantavi te vineam fructiferam, omnem veram [28]. » Psallit quoque de ea nobis divinus David : « Vineam de Ægypto transtulisti; ejecisti gentes, et plantasti eam [29]. » Itaque vinea pulchre palmitibus diffusa erat Israel. Postquam autem multis modis in Dei offensam incurrit : « Destruxit Dominus maceriam ejus, et vindemiarunt eam omnes qui prætergrediuntur viam. Vastavit eam aper de silva, et asinus agrestis pastus est eam [30]. » Posita est enim velut in conculcationem [31] nocere volentibus, porcis et asinis depascenda, hoc est, voluptatibus et aversis a ratione motibus. Idcirco emarcuit. Verumtamen refloruit in Christo memoriale ejus, nempe Israel. Memoriale dicit, quia non omnes crediderunt, sed quasi in memoriam ejus servatæ sunt reliquiæ. Facta est autem Ephraim, sive Israel gratia a Deo impertita ut vinum Libani, hoc est odorifera et fragrantia thuri parum concedens. Dicuntur autem hæc de Christo, de quo item beatus Sirach : **195** « Vinum lætificat cor hominis [31a], » cui ut nos magna cum alacritate applicare festinemus, sacer nos sermo incitat; sic enim habet : « Comedite, et bibite, et inebriamini, charissimi [32]. » Satietatem enim sanctis nullam afferunt quæ per Christum suppeditantur, et assumpta ad ebrietatem proficiunt.

VERS. 9. *Quid illi adhuc et idolis?*

CLXIX. Si enim tantam copiam adeo venerabilium et supernorum bonorum participaverit, a voluntate errandi penitus recedet, nec operibus manuum suarum colendis adhærescet. Quonam enim bono amplius carens, id ab aliis quæret? Annon ita

A *Ζήσονται, καὶ μεθυσθήσονται σίτῳ.*

Αὗται τῆς ἐπιστροφῆς καὶ τῆς ἑδραιότητος ἀξιάληπτοι δωρεαί. Καὶ ζωῆς γὰρ ἔσονται, φησὶ, τῆς αἰωνίου μέτοχοι, καὶ ἐν πλεονασμῷ δυνάμεως, ὅῆλον δὲ ὅτι πνευματικῆς. Τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ, « μεθυσθήσονται σίτῳ. » Γέγραπται δὲ, ὅτι « ἄρτος στηρίζει καρδίαν ἀνθρώπου. » Σώματα μὲν γὰρ ταῖς καταλλήλοις ἥδεται τροφαῖς. Ψυχὴν δὲ ἀνθρώπου θεῖός τε, καὶ ἄνωθεν διανευρὼν λόγος. Ὅτι γὰρ ἐξ ἀσθενείας εἰς δύναμιν μεταφοιτήσειεν ἄν, ἐπιστρέφων ἐκ πλάνης πρὸς ἐπίγνωσιν Θεοῦ, καὶ ἐκ τῶν τῆς φαυλότητος βόθρων ἀναθρώσκων εὐσθενῶς εἰς ἕφεσιν ἀρετῆς, πῶς ἔστιν ἀμφιβαλεῖν; Εἴπερ ἐστὶν ἀληθῶς ἀσθενείας μὲν ἔγκλημα, τὸ ἀναπίπτειν εἰς ῥᾳθυμίας, καὶ εἰς ἡδονὰς κοσμικὰς, καὶ εἰς τὸ προσκεῖσθαι
B φιλεῖν ταῖς τῶν εἰδώλων λατρείαις. Ἰσχύος δὲ τῆς πνευματικῆς λαμπρὸν νοεῖται κατόρθωμα. Τὸ ἀγαθουργεῖν ἑλέσθαι προθύμως, ἡγεῖσθαί τε πρὸς τούτῳ τῆς εἰς Θεὸν ἀγάπης τὸ ἄμεινον οὐδὲν, καὶ ἀδιαπτώτως ἰέναι μετὰ γοργοῦ τοῦ φρονήματος τὴν εἰς τοῦτο τρίβον.

Καὶ ἐξανθήσει ὡς ἄμπελος τὸ μνημόσυνον αὐτοῦ, ὡς οἶνος Λιβάνου τῷ Ἐφραΐμ.

ΡΞΗ'. Ἔφη που Θεὸς πρὸς τὴν τῶν Ἰουδαίων μητέρα, τουτέστι, τὴν Συναγωγήν· « Ἐγὼ δὲ ἐφύτευσά σε ἄμπελον καρποφόρον, πᾶσαν ἀληθινήν. » Ψάλλει δέ που περὶ αὐτῆς καὶ ὁ θεῖος ἡμῖν Δαβίδ· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. Ὡδοποίησας ἔμπροσθεν αὐτῆς. » Οὐκοῦν ἄμπελος μὲν εὐκλήματοῦσα ὑπῆρ-
C χεν ὁ Ἰσραήλ. Ἐπειδὴ δὲ προσκέκρουκε πολυτρόπως, « Περιεῖλε Κύριος τὸν φραγμὸν αὐτῆς, καὶ τετρυγήκασιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν. Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ ὄνος ἄγριος κατενεμήσατο αὐτήν. » Τέθειται γὰρ ὥσπερ εἰς καταπάτησιν τοῖς ἐθέλουσιν ἀδικεῖν, χοίροις τε καὶ ὄνοις νομὴ, τουτέστιν, ἡδοναῖς τε καὶ ἀλογίαις. Ταύτῃ τοι μεμάρανται. Πλὴν ἀνέθαλεν ἐν Χριστῷ τὸ μνημόσυνον αὐτοῦ. Δῆλον δὲ, ὅτι τοῦ Ἰσραὴλ· μνημόσυνον δέ φησιν, ὅτι μὴ πάντες πεπιστεύκασιν, ἀλλ'
D εἰς μνήμην ὥσπερ αὐτοῦ τετήρηται τὸ κατάλειμμα. Γέγονε δὲ τῷ Ἐφραΐμ, ἤτοι τῷ Ἰσραὴλ παρὰ Θεοῦ χάρις ὡς οἶνος λιβάνου, τουτέστιν, εὐώδης τε καὶ λιβάνῳ πρὸς εὐοσμίαν ὀλίγα παραχωρῶν. Ἔστι δὲ τοιοῦτος ὁ περὶ Χριστοῦ λόγος, καὶ περὶ αὐτοῦ φησιν ὁ μακάριος Δαβίδ· « Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, » ᾧ καὶ σφόδρα προθύμως ἐπείγεσθαι προσβαλεῖν, ἱερὸς ἡμᾶς παραθήγει λόγος· ἔχει γὰρ ὧδε, « Φάγετε, καὶ πίετε, καὶ μεθύσθητε οἱ πλησίον. » Ἀπροσκοπῆ γὰρ ἁγίοις τὰ διὰ Χριστοῦ, καὶ εἰς μέθην ληφθέντα χρησιμώτερα.

Τί αὐτῷ ἔτι καὶ εἰδώλοις;

ΡΞΘ'. Εἰ γὰρ γένοιτο, φησὶν, ἐν πλησμονῇ, καὶ μεθέξει τῶν οὕτω σεπτῶν, καὶ ἄνωθεν ἀγαθῶν, ἀπεχωρήσει παντελῶς τοῦ πλανᾶσθαι θέλειν, καὶ προσκεῖσθαι τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. Τίνος γὰρ ἔτι τῶν ἀγαθῶν ὑπάρχων ἐνδεὴς, τὰ παρ' ἑτέρου ζητή-

[27] Psal. ciii, 17. [28] Jer. II, 21. [29] Psal. LXXIX, 9. [30] Ibid. 13, 14. [31] Isa. v, 5. [31a] Eccli. XL, 20. [32] Cant. v, 1.

Digitized by Google

σει ; Ἢ καὶ ἀνόητος παντελῶς τοῖς πεπλανημένοις ἡ τοιάδε ζήτησις ; Τί γὰρ ἡ ἄψυχος ὕλη χαριεῖται τισιν ; οἷς καὶ δικαίως ἐλέγετο παρὰ Θεοῦ, « Εὖ ποιήσατε, καὶ κακώσατε, καὶ γνωσόμεθα ὅτι θεοί ἐστε. » Ἀλλ' οὐδ' ἂν κακώσειαν ἀνθρώπους τὰ χειρόκμητά ποτε. Πῶς γάρ, ἢ πόθεν ; οὔτε μὴν χρηστὸν ἢ ὀνησιφόρον τι δοῖεν ἂν αὐτοῖς. Οὐκοῦν ἀκουόντων, καὶ μάλα εἰκότως· « Θεοί, οἳ τὸν οὐρανὸν, καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἀπὸ τῆς γῆς, καὶ ὑποκάτωθεν τοῦ οὐρανοῦ τούτου. » Τὸ πεποιηκὸς οὖν ἄρα, καὶ ἀραρὸς εἰς ἀγάπησιν τὴν ἐπὶ Θεῷ κατασημαίνει λέγων, « Τί αὐτῷ ἔτι, καὶ εἰδώλοις ; »

A quærere seductis prorsus est inutile? Quid enim materia sensu destituta quibusdam largietur? quibus et jure dicebatur a Deo : « Benefacite, et malefacite, et sciemus quia dii estis [35]. » Atqui nunquam facient male cuipiam manibus fabricata. Qui enim facerent? neque vero boni quidpiam, aut utile in quemquam conferent. Audiant igitur, et justissime : « Dii qui cœlum et terram non fecerunt, disperdantur de terra, et de sub cœlo isto [36]. » Quod autem fecit, et aptum est diligi divina charitate, indicat, cum ait : « Quid ipsi adhuc et idolis? »

Ἐγὼ ἐταπείρωσα αὐτόν, καὶ ἐγὼ κατισχύσω αὐτόν.

Ego humiliavi illum, et ego confortabo eum.

ΡΟ'. Ἐγὼ, φησὶ, δύναμαι κακοῦν, οὓς ἂν ἴδοιμι τῆς εἰς ἐμὲ γνησιότητος περιορῶντας τοὺς τρόπους. Νευρῶ δὲ δὴ πάλιν τοὺς οἵπερ ἂν ἔλοιντο κατορθοῦν ἀρετὴν, καὶ τὸν φύσει τε καὶ ἀληθῶς εἰδέναι Θεόν. Οὔτ' οὖν ἡ κάκωσις, ἤτοι τὸ ἀσθενῆσαι τὸν Ἰσραὴλ ἐξ ἐκείνων ἦν· οὔτε μὴν ἡ εἴς γε τὸ δύνασθαι μεταζρομὴ δαιμόνων ἂν νοοῖτο δόσις, ἀλλ' ἔστι θεόσδοτον ἀγαθὸν, καθάπερ ἀμέλει καὶ τὰ ἀσθενεῖν τῶν ἐξ ὀργῆς κινημάτων ἀπότευξις ἦν. Σοφῶς οὖν ἄρα, καὶ φιλοὐέως ὁ μέγας ἡμῖν ψάλλει Δαβίδ· « Ἰσχύς μου καὶ ὑμνησίς μου ὁ Κύριος. »

CLXX. Ego, inquit, affligere possum, quos videro B sinceritatem erga me despicere. Corroboro autem contra, qui virtutis munere fungi verumque et natura Deum nosse voluerint. Neque igitur afflictio, neque infirmitas Israel ex illis veniebant, neque ad vires transmutatio dæmonum munus intelligi queat; sed est bonum a Deo datum quemadmodum scilicet et infirmari ex ira divina proficiscebatur. Sapienter itaque, et ut Dei amans psallit nobis David : « Fortitudo, et laus mea Dominus [36]. »

Ἐγὼ ὡς ἄρκευθος πυκάζουσα, ἐξ ἐμοῦ ὁ καρπός σου εὑρηται.

Ego sicut juniperus cooperiens, ex me fructus tuus inventus est.

ΡΟΑ'. Φυτὸν μὲν ἡ ἄρκευθος, δασύ γε μὴν οὕτω, καὶ εἰς κόμην ἁμφιλαφὲς, ὡς δοκεῖν εἶναί πως χειρόκμητον ὀροφὴν, οὔτε ταῖς ἡλίου βολαῖς παραχωροῦσα τὴν διάδυσιν, οὔτε μὴν ταῖς ὑετῶν καταφοραῖς· κἂν εἰ ῥαγδαῖοι τῆς γῆς καταχέωνταί ποτε. Ὅτι τοίνυν ὑπὸ Θεοῦ γεγονότες ἀναπιδαύλευτον ἕξουσι τὸν ἐπισκιασμὸν, ἤτοι τὴν ἐπικουρίαν, ὑπεμφαίνει λέγων· « Ἐγὼ ὡς ἄρκευθος πυκάζουσα. » Ὅτι δὲ πᾶσα καρποφορία τῶν ὑπὸ Θεῷ γένοιτ' ἂν οὐχ ἑτέρως, ἢ ἐν Χριστῷ, καὶ διὰ Χριστοῦ, πληροφορήσει λέγων αὐτὸς εὐαγγελικοῖς θεσπίσμασι· « Χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. » Λεγέτω δὴ οὖν εἰκότως ἑκάστῳ τῶν πεπιστευκότων, εἴπερ τις εἴη λαμπρὸς, καὶ ἀξιάγαστος, καὶ ἐν αὐχήμασιν ἀρετῆς, « Ἐξ ἐμοῦ ὁ καρπός σου εὑρηται. »

CLXXI. Juniperus arbor est, tam densa et frondosa, ut contignatio quædam manufacta videatur, C neque solaribus radiis penetrabilis, neque inebrium defluxibus pervia, quamvis magno impetu terram irrigaverint. Deo igitur subjectos tutam habituros obumbrationem, sive auxilium subindicat, dicens : « Ego ut juniperus contegens. » Universam autem fortilitatem Deo subjectorum **196** non aliter quam in Christo et per Christum constare, testificatur ipse, in oraculis evangelicis ita loquens : « Sine me nihil potestis facere [36]. » Dicatur itaque merito cuilibet credentium : Si quis insignis, et admirandus, et virtute ornatus fuerit, « Ex me fructus tuus inventus est. »

Τίς σοφὸς, καὶ συνέσει ταῦτα ; ἢ συνετὸς, καὶ ἐπιγνώσεται αὐτά ; διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ Κυρίου, καὶ δίκαιοι πορεύσονται ἐν αὐταῖς· οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν αὐταῖς.

VERS. 10. *Quis sapiens, et intelliget ista? aut intelligens, et cognoscet ipsa? quia rectæ viæ Domini, et* D *justi ambulabunt in eis; at impii infirmabuntur in eis.*

ΡΟΒ'. Τὸν συνιέντα ταυτὶ σοφόν τε εἶναι, καὶ συνετώτατον εὖ μάλα φησίν. Ἔκκειται γὰρ οὐχὶ τοῖς ἐθέλουσιν ἑτοίμως ἐλεῖν ἡ τῶν θείων λογίων κατάληψις. Ἀλλ' οὐδ' ἂν δύναιτό τις συνιέναι παραβολὴν, καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν, καὶ αἰνίγματα, κατὰ τὸ γεγραμμένον, εἰ μὴ διὰ τῆς ἄνωθεν δῃδουχίας, Χριστοῦ καθιέντος εἰς νοῦν καὶ καρδίαν, οἵπερ ἀκτῖνα λαμπρὰν, τὴν παρ' ἑαυτοῦ χάριν. Διδάσκει δὲ, ὅτι τὸ μὲν δύνασθαι διάττειν τὴν ἐπ' εὐθὺ, καὶ ἀνδάνουσαν τῷ Θεῷ τρίβον, ἀταλαίπωρον κομιδῇ τῆς κοσμιότητος ἐρασταῖς. Οὐκ ἄτραχυ δὲ

CLXXII. Qui hæc intellexerit, sapientem atque intelligentissimum esse verissime prædicat. Divinorum quippe oraculorum comprehensio non est exposita quibusvis capere statim volentibus. Sed neque possit quis intelligere parabolam, et sermonem tenebricosum, dictaque sapientum, et ænigmata [37], ut scriptum est, nisi desuper lumine prælato Christus in animum et cor, instar splendidi radii, gratiam suam demiserit. Docet porro modestiæ amatores rectam Deoque placentem semitam citra ullam molestiam ac laborem posse currere; aliter animo af-

[35] Isa. XLI, 23. [36] Jer. X, 11. [36] Psal. CXVII, 14. [36] Joan. XV, 5. [37] Prov. I, 6.

Digitized by Google

fectis rem esse asperam. Nam illis ad quodvis bonum cupida ac prompta mens vires sufficit, ut quamvis rapidissimo cursu ad conficiendam sibi bonam famam ferantur, bos autem propensio et inclinatio ad nequitiam et peccatum, timidos et imbelles reddit, nec habentes a Deo unde virtutis officia exsequantur, quoniam ipsam a principio posthabuerunt. Quamobrem, si solertes sumus et sapimus, a Deo petamus, ut quæ decet agere possimus. Faciet voti compotes pro certo, cum sit benignus, et spirituali robore per Christum nos implebit. Per quem et cum quo Deo et Patri gloria, cum sancto Spiritu, in omnem æternitatem. Amen.

A τὸ χρῆμά ἐστι τοῖς οὐχ ὧδε ἔχουσι γνώμης. Τοὺς μὲν γὰρ ἡ εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἕφεσίς τε καὶ προθυμία διανευροῖ, καὶ ἀσχέτῳ φέρεσθαι πείθει δρόμῳ πρὸς τὸ θέλειν εὐδοκιμεῖν. Τοὺς δὲ ῥοπὴ, καὶ διάνευσις ἡ εἰς φαυλότητά τε καὶ ἁμαρτίαν, δειλοὺς καὶ ἀνάνδρους ἀποφήνειεν ἄν, καὶ οὐκ ἔχοντας παρὰ Θεοῦ τὸ κατορθοῦν δύνασθαι τὴν ἀρετὴν, ὅτι μὴ ἐν ἀρχαῖς τετιμήκασιν. Οὐκοῦν, εἴπερ ἐσμὲν ἀγχίνοοι καὶ σοφοὶ, παρὰ Θεοῦ τὸ δύνασθαι δρᾶν ἃ προσῆκεν αἰτήσωμεν. Χαριεῖται δὲ πάντως, φιλάνθρωπος ὢν, καὶ πνευματικῆς ἰσχύος ἐκπλήσει διὰ Χριστοῦ. Δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα, σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ,

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΙΩΗΛ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI,

IN JOELEM PROPHETAM COMMENTARIUS,

CONTINENS TOMOS II.

—

PROŒMIUM.

197 I. Divinum Joelem eadem tempestate vaticinatum apparet, qua cæteri ante ipsum collocati, Oseas, inquam, et Amos prophetasse intelligi possunt. Hebræi namque non post Michæam, sed post illos a me nominatos ponendum arbitrantur. Conqueritur, ut mea est opinio, super Israelitis, eosque gravissime insectatur, quoniam eo demum superbiæ ac stuporis venerint, et ita omnem dolendi sensum amiserint, ut nullo plane supplicio a peccatis reprimantur, nec adeo crebris, et tantum non acervatis calamitatibus expugnentur, quando tempus adhuc nullum inciderit, quo vel aliquantum a miseriis requiescere licuerit. Constat porro Isaiam quoque in eamdem sententiam locutum. « Iratus

B

ΠΡΟΟΙΜΙΟΝ.

Προφητεύει μὲν ὁ θεσπέσιος Ἰωὴλ ἐν χρόνοις, ὡς ἔοικε, καθ' οὓς ἂν νοοῖντο καὶ οἱ πρὸ αὐτοῦ τεταγμένοι, τὸν Ὡσηὲ δέ φημι, καὶ μέντοι καὶ τὸν Ἀμώς. Δοκεῖ γὰρ Ἑβραίοις οὐ μετά γε τὸν Μιχαίαν, ἀλλ' ἐκείνοις αὐτὸν συντετάχθαι δεῖν. Καταγορεύει δὲ, ὥς γέ μοι φαίνεται, τῶν ἐξ Ἰσραὴλ, καὶ πλείστην δσην αὐτῶν ποιεῖται καταβοὴν, ὡς εἰς τοῦτο λοιπὸν ἀγερωχίας ἰγμένων ἀποπληξίας τε καὶ ἀναλγησίας, ὡς ὑπὸ μηδενὸς τοπαράπαν ἀνακόπτεσθαι τῶν κακῶν, μήτε μὲν ταῖς οὕτω συχνῶς, μονονουχὶ δὲ καὶ στοιχηδὸν ἐπενηνεγμένοις ἠττᾶσθαι συμφοραῖς, καίτοι χρόνου μηδενὸς παρεισδεδυκότος, καθ' ὃν ἀναφαίνοιτό τις ἀνάπνευσις τοῦ κακοῦ, κἂν γοῦν βραχεῖα, γεγενημένη. Εὑρήσομεν δὲ καὶ Ἡσαΐαν διὰ τῶν ἴσων λέ-

Digitized by Google

γων ἐρχόμενον. Ἔφη γάρ· « Καὶ ἐθυμώθη ὀργῇ Κύριος Σαβαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς. » Καὶ μετ' ὀλίγον· « Ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. » Συνίης, ὅπως τοῦτο κἀκεῖνο παπόνθασι, καὶ ἡ τοῦ παίοντος χεὶρ ἀπομεμένηκεν ὑψηλή, ὡς ὅσην οὔπω καὶ ἑτέρας αὐτοῖς ἐπαπειλοῦσα πληγάς. Ὅνπερ γὰρ τρόπον τὰ τῶν παθῶν δυσίατα οὐ μιᾶς ἔσθ' ὅτε δεῖται τομῆς, ἀλλ' ἔτι πλειόνων· οὕτω καὶ ὁ ἀνθρώπινος νοῦς εἰς ἕξιν ἥκων ἀναλγησίας, συχνοτέρας δεῖται πληγῆς, ἀνακομιζούσης μόλις εἴς γε δύνασθαι λοιπὸν ἀναμαθεῖν ἐπείγεσθαι τὸ τελοῦν εἰς ὄνησιν. Ἔοικε τοίνυν Ἰωὴλ, ὡς ἐπὶ πλείσταις ἤδη πληγαῖς ἀνουθετήτου μεμενηκότης τοῦ Ἰσραὴλ, ποιεῖσθαι σοφῶς τὴν ἐπίπληξιν. Συμβουλεύει τε ἅμα, τὰ αἰσχίω μεθέντας, μεταφοιτᾷν ἐλέσθαι πρὸς τὸ ἡδύνον Θεόν. Προσεπάγει γε μὴν καὶ τῶν ὅτι μάλιστα φιλτάτων αὐτοῖς τὴν ὑπόσχεσιν, εἴπερ ἐλοιντο μετανοεῖν. Καὶ ὅτι χρηστῷ, καὶ ἡμερωτάτῳ περιτεύξονται τῷ Δεσπότῃ, δίδωσι θαῤῥεῖν. Οὗτος μὲν οὖν ὅλος τῆς προφητείας ὁ σκοπός. Ἕκαστα δὲ τῶν ἐφ' ἑξῆς ἀνὰ μέρος ἐροῦμεν, ταῖς τῶν προκειμένων θεωρίαις ἑπόμενοι.

est, inquit, furor Domini Sabaoth in populum suum, et extendit manum suam super eum [38], » etc. Et paulo post : « In his omnibus non **198** est aversus furor ejus, sed adhuc manus ejus excelsa [39].» Animadvertis quomodo aliud aliudque malum perpessis, manus ferientis adhuc suspensa permanserit, quasi jamjam plagas novas inflictura. Quemadmodum enim ad morbos curatu difficiles non unam tantum sectionem, sed plures interdum necesse est adhibere, ita mens humana, indolentiæ torpore superata, frequentiori plaga tangenda est, ut tandem revocata, de integro discere queat quo pacto in posterum utilitates suas persequatur. Videtur ergo Joel Israelitas, tanquam qui compluribus affecti vulneribus admonitioni locum necdum reliquerint, sapienter objurgare. Suadet item ea illis amplectenda, quæ Deum leniant, et rerum optatissimarum promissa adjungit, si ad pœnitentiam dare se voluerint, clementissimoque ac mitissimo Domino usuros, fiduciam injicit. Atque hic totus prophetiæ scopus ac finis est. Deinceps singula, eo quo proposita sunt ordine considerantes, particulatim explanare aggrediemur.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΚΕΦΑΛ. Α'.

Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Ἰωὴλ, τὸν τοῦ Βαθουήλ.

Β'. Λόγον Θεοῦ φησι γεγενῆσθαι πρὸς ἑαυτὸν ὁ προφήτης, ἵνα τῇ προφητείᾳ τὴν πίστιν προσνέμωμεν, ἀραρότως διακείμενοι, καὶ τεθαῤῥηκότες, ὅτι πάντως εἰς πέρας ἐκβήσεται τὰ προηγγελμένα. Πρὸς τοῦτο ἡμᾶς ἐμπεδοῖ λέγων καὶ αὐτὸς ὁ Σωτήρ· « Οἱ λόγοι μου οὐ μὴ παρέλθωσι. » Χρῆμα γὰρ οὐχὶ ψευδοεπὲς ἡ ἀλήθεια, καὶ ὅπερ ἂν λέγῃ ὁ Θεὸς, ἀτρεκὲς ἔσται πάντως. Αὐτὸς γάρ ἐστιν ὁ ἱστῶν ῥήσεις παιδὸς αὐτοῦ, καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων. Οὐκοῦν εὐτεχνέστατα, καὶ σοφῶς ἐξαιτεῖ τὴν πίστιν τοὺς ἀκροωμένους, ὅτι μὴ κατά τινας εἴη ψευδοεπὴς, ἢ ἐκ καρδίας τὸ δοκοῦν ἀναφέρων, ἀλλ' ἐκ στόματος Κυρίου λελῶν ἐν πνεύματι, σαφέστατα διειπών. Πρόσκειται δὲ ἀναγκαίως « ὁ Βαθουήλ, » ἵνα μή τις ἕτερος παρ' αὐτὸν νοοῖτο τὸν Ἰωήλ. Πολλοὶ μὲν γὰρ ἀναμφιλόγως τῇ τοιαύτῃ κλήσει κατωνομάζοντο· γεγόνασι δὲ οὐ πάντες ἐκ Βαθουήλ. Ἀσφαλείας δὴ οὖν, ὡς ἐγῷμαι, χάριν προσενήνεκται πάλιν ὁ Βαθουήλ.

Ἀκούσατε ταῦτα, οἱ πρεσβύτεροι, καὶ ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν γῆν· εἰ γέγονε τοιαῦτα ἐν ταῖς ἡμέραις ὑμῶν, ἢ ἐν ταῖς ἡμέραις τῶν πατέρων ὑμῶν. Ὑπὲρ αὐτῶν τοῖς τέκνοις ὑμῶν διηγήσασθε, καὶ τὰ τέκνα ὑμῶν τοῖς τέκνοις αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν εἰς γενεὰν ἑτέραν.

Γ'. Ἀποφέρει πρὸς ἀρχαιότητα καιρῶν τε καὶ μνήμης τοὺς γεγηρακότας, καὶ διενθυμεῖσθαι προστάττει, πότε δὴ ἄρα καὶ ἐπὶ τίσι τεθέανται τὰ ἴσα,

TOMUS PRIOR.

CAP. I.

VERS. 1. *Verbum Domini quod factum est ad Joel, filium Bathuel.*

II. Verbum Dei ad se factum ait propheta, ut prædictionibus ejus fidem tribuamus, animis ut decet affecti, et confidentes, omnia quæ prænuntiantur, eventura. In hoc nos item Salvator ipse confirmat, inquiens : « Verba mea non præteribunt [40]. » Veritas quippe non est falsiloqua; et quod Deus dixerit, certissimo fiet; ipse est siquidem « suscitans verbum servi sui, et consilium nuntiorum suorum verificans [41]. » Quamobrem scitissime postulat audientes credere, non se more quorumdam vaniloquum esse [42], nec de corde suo, quod sibi visum sit depromere, verum ex ore Domini, in spiritu verba facere, liquidissime testificatur. Necessario autem addidit, « filium Bathuel, » ne alius quispiam a Joele isto acciperetur. Multi enim sine controversia, nec tamen omnes a Bathuele progenerati, hoc nomen gerebant. Certæ igitur distinctionis causa, ut ego sentio, additum nihilominus est Bathuelis nomen.

VERS. 2, 3. *Audite hæc, senes, et auribus percipite, omnes habitantes terram; si facta sunt talia in diebus vestris, aut in diebus patrum vestrorum. Super iis* **199** *filiis vestris narrate, et filii vestri filiis suis, et filii eorum in generationem alteram.*

III. Ætate confectos antiquorum temporum et veteris memoriæ commonefacit, cogitareque secum jubet, ecquando, et in quibus similes calamitates aut

[38] Isa. v, 25. [39] ibid. [40] Matth. xxiv, 35. [41] Isa. xliv, 26. [42] Jer. xxiii, 16.

Digitized by Google

patribus eorum, aut ipsis posteris a Deo irascente importatæ sint. Reputandum igitur ait, utrum non nova et inusitata, nec ulli fortasse priscorum hominum cognita narraturus sit. Debere etiam in primis cæteros ait disquirere, num quid hujuscemodi ipsorum memoriam contigerit, et fore materiam narrationis sempiternæ, quæ non unam, nec duas, aut tres generationes pervadat, sed multum potius excedat. Sicut enim illustrium rerum, et fortasse delectabilium quoque expositiones, multorum auribus dignas affirmamus; ita nihilominus memoranda jure censentur, quæ cum adversis casibus et calamitatibus conjuncta sunt. Nam et hæc tantum non exprimunt veritatem quodammodo, molestiusque per summam impudentiam instantia, recenseri postulant et cum maxime insignibus de gloria contendunt. Atque ut bona, sic, opinor, et infausta ac tristia, non inutiliter commemorantur. Illa siquidem ad virtutis amorem auscultantes acuunt; hæc, mala antequam veniant sentiantque, deprecari docent; et per quæ alii pœnas susceperunt, per eadem paribus se sceleribus irretire cupientes non sinunt.

τοῖς πατράσιν αὐτῶν, ἤγουν τοῖς ἔτι κατόπιν ἐκ θείας ὀργῆς ἐπενηνεγμένα· ἀναλογίζεσθαί τε δεῖν ἔφη λοιπόν, εἰ μὴ ξένα καὶ ἀήθη τὰ διηγήματα, καὶ οὐδενί πω τάχα τῶν πάλαι διεγνωσμένα. Συνιέναι γε μὴν εὖ μάλα προσήκειν καὶ τοὺς ἑτέρους φησὶ, εἰ τοιαῦτα γέγονεν ἐπ' αὐτῶν· ἔσεσθαι δὲ καὶ ὑπόθεσιν ἀτελευτήτων διηγημάτων, οὐκ εἰς μίαν διήκουσαν, οὔτε μὴν εἰς δύο καὶ τρεῖς γενεάς, διεκβαίνουσαν δὲ μᾶλλον, καὶ εἰς τὸ ἐπέκεινα πολύ. Ὥσπερ γὰρ τὰ λαμπρὰ τῶν διηγημάτων ἀξιάκουστά φαμεν εἶναι τοῖς πολλοῖς, καὶ οἷς ἂν ἔποιτο τυχὸν καὶ τὸ ἐφήδεσθαι δεῖν· οὕτως ἀξιομνημόνευτά πως εἶναι δοκεῖ καὶ τὰ εἰς λῆξιν ἥκοντα συμφορῶν τε καὶ παθῶν. Μονονουχὶ γὰρ καταβιάσεταί πως καὶ τὰ τοιάδε τὴν ἀλήθειαν, καὶ φορτικωτέραν τὴν προσβολὴν ἔχοντα ἐκ πολλῆς ἄγαν ἀναισχυντίας, ἀξιοῖ μνημονεύεσθαι, καὶ ταῖς τῶν μεγίστων δόξαις φιλονεικεῖ. Ἔχει δὲ, ὥσπερ τὰ χρηστὰ, τὴν μνήμην οὐκ ἀκερδῆ, οὕτως, οἶμαι, καὶ τὰ σκαιά που καὶ σκυθρωπά. Τὰ μὲν γὰρ εἰς ἔφεσιν ἀρετῆς παραθήγει τοὺς ἀκροωμένους· τὰ δὲ πρὸ ἐφόδου τὴν τῶν κακῶν πεῖραν παραιτεῖσθαι διδάσκει· καὶ δι' ὧν ἕτεροι τετιμώρηνται, διὰ τούτων αὐτῶν τὸ τοῖς ἴσοις ἐναλῶναι ζητεῖν οὐκ ἀφίησί τινας.

Vers. 4. *Residua erucæ comedit locusta, et residua locustæ comedit bruchus, et residua bruchi comedit rubigo.*

Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρὶς, καὶ τὰ κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος, καὶ τὰ κατάλοιπα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη.

IV. Semper involuta est nonnihil sanctorum prophetarum oratio, et narratu tristissima haud satis libenter proferunt; neve audientes effrenatius irascantur, quas possunt, obscuritatis umbras inducunt; ænigmata etiam et parabolas excogitantes non mediocriter prosunt; nonnunquam et exempla opportuna afferunt. Sic apud Ezechielem « Aquila grandis, magnarum alarum, » proponitur, « longo membrorum ductu, et plena plumis, quæ habet ductum intrandi ad Libanum, et tulit electa cedri. Summitates teneritudinis ejus avulsit, et transportavit eas in terram Chanaan [65]. » Subsignificavit enim Assur, principem terræ Babyloniæ, **200** qui eximia quæque ex Israel diripuit, domumque avexit. Ac sterilitates quidem agrorum, fructuum maturorum penuriam, sævam sæpe et diuturnam famem per Judæam exstitisse, sacra Scriptura refert. Quinetiam quidam fame macerati eo angustiarum adacti sunt, ut caput asini quinquaginta siclis emerent [66]. Calamitosum tempus ostendunt quoque super infantibus rixantes duæ mulierculæ. Altero enim absumpto, de altero vivo judicium a rege petebant [67]. Quare si agrorum infecunditates, et fructuum vitia propheticus sermo nobis per hæc integumenta indicat, etiam sic res intoleranda intelligatur. Nam gradatim, sine intervallo longe plurimis et immanibus detrimentis deformari, quomodo non magnopere intolerandum, et silentio potius quam narratione dignum est? Quod si ex dictis involutio-

Δ'. Κέκρυπταί πως ἀεὶ τῶν ἁγίων προφητῶν ὁ λόγος, καὶ τὰ σφόδρα σκυθρωπὰ τῶν διηγημάτων ὀκνηρῶς ἐκφέρουσι, καὶ διὰ τὰς τῶν ἀκροωμένων ἀτιθάσσους ὀργὰς ταῖς ἐνδεχομέναις ἀσαφείαις κατασκιάζουσιν. Αἰνίγματα δὲ καὶ παραβολὰς ἀνατλάττοντες, ὠφελοῦσιν οὐ μετρίως. Ἔστι δὲ αὐτοῖς ὁ λόγος καὶ διὰ χρησίμων ἔσθ' ὅτε παραδειγμάτων. Ὁποῖόν ἐστι καὶ τὸ παρὰ τοῦ Ἰεζεχιὴλ κείμενον· « Ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ὁ μακρὸς τῇ ἐκτάσει, καὶ πλήρης ὀνύχων, ὃς ἔχει τὸ ἤγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ ἔλαβε τὰ ἐκλεκτὰ τῆς κέδρου. Τὰ ἄκρα τῆς ἀπαλότητος ἀπέκνισε, καὶ ἤνεγκεν αὐτοὺς εἰς τὴν γῆν Χαναάν. » Ὑπεδήλου γὰρ Ἀσσοὺρ, τὸν τῆς Βαβυλωνίων ἄρχοντα γῆς, τὸν ἀποκείραντα τῶν ἐξ Ἰσραὴλ τὰ ἐξαίρετα, καὶ οἴκοι μεταθέντα τὸ διηρπασμένον. Καὶ ὅτι μὲν γεγόνασιν ἀφορίαι τε ἀγρῶν, ἔνδειαι, τῶν ὡρίμων, καὶ λιμοὶ πλειστάκις ἀπηνεῖς τε καὶ κατάγε τὴν Ἰουδαίαν χώραν, ἔφη τὸ Γράμμα τὸ ἱερόν. Ἤδη γάρ τινες λιμοῦ κατατήκοντος εἰς τοῦτο ἀνάγκης κεχωρήκασιν, ὥστε ὄνου κεφαλὴν πεντήκοντα πρίασθαι σίκλων. Παραδείξειε δ' ἂν τὴν κατὰ καιροὺς ἀγριότητα, περὶ τῶν παιδίων μεμαχημένα γύναια. Ἐπεὶ γὰρ κατεδηδόκεισαν αἱ δύο τὸ ἕν, περὶ τοῦ ζῶντος δικάζεσθαι παρὰ τοῖς κρατοῦσιν ἠξίουν. Οὐκοῦν, εἰ μὲν ἀγρῶν ἀφορίας, καὶ καρπῶν καταφθορὰς ὁ προφητικὸς ἡμῖν ἐν τούτοις κατασημαίνει λόγος, νοοῖτο χρῆμα καὶ οὕτως ἀφόρητον· τὸ γὰρ ἐφεξῆς καὶ ἀμέσως πλείσταις τε ὅσαις καὶ χαλεπαῖς κατατιτίζεσθαι πληγαῖς, πῶς οὐ δύσοιστον κομιδῇ,

[65] Ezech. xvii, 7. [66] IV Reg. vi, 25. [67] ibid. 26, 28.

Digitized by Google

καὶ τοῦ μνημονεύεσθαι πρέπειν οὐχ ἁμοιρῶν; Εἰ δὲ δεῖ καὶ εἰς ἑτέρας ἡμῖν ἐννοίας ἀποκομίζειν τὰ θεωρήματα κατεσκιασμένα τὰς ἐμφανεστέρας, ἔοικεν ἡμῖν ὁ προφήτης κάμπην καὶ ἀκρίδα, βροῦχόν τε καὶ ἐρυσίβην, καὶ τὰ ἐντεῦθεν δεινὰ, καὶ ἀφόρητα βλάβη, τὰς ἐν ἑκάστῳ καιρῷ καταβῆναι ὑποδηλοῦν, καὶ τοὺς τῶν αἰχμαλωσιῶν αἰνίττεσθαι τρόπους, ὑφ' ὧν δεδαπάνηνταί τε καὶ ἀπολώλασι, λῃῶν ἐν ἴσῳ τοῖς ἐν ἀγροῖς μονονουχὶ κατεδηδοκότων αὐτοὺς καὶ κατεφθαρκότων τῶν τὰς ἐφόδους ἐξειργασμένων. Πολλαὶ γὰρ γεγόνασιν αἱ ἀνὰ μέρος ἀναστατώσεις, τῆς Ἰουδαίων χώρας τῶν παροικούντων ἐθνῶν κατεστρατευκότων, ἔσθ' ὅτε καὶ τῶν τῆς Αἰγύπτου βεβασιλευκότων. Διέποντος μὲν γὰρ ἐν Ἱεροσολύμοις τὴν βασιλίδα τιμὴν τοῦ Ῥοβοὰμ, ἀνέβη Σουσακεὶμ βασιλεὺς Αἰγύπτου, εἷλέ τε τὰ βασίλεια, καὶ πάντας ἐκένωσε τοὺς ἐν αὐτοῖς θησαυροὺς, καὶ τὰ χρυσᾶ δόρατα, καὶ τὰς ἀσπίδας ἔχων ἃς πεποίηκε Σολομὼν, καὶ λαμπρῶς νενικηκὼς, οἴκαδε πάλιν ἀνεκομίζετο. Καὶ μὴν καὶ Ἀζαὴλ ὁ Σύρος οὐ μετρίας αὐτοῖς ἐπήνεγκε πληγάς. Εἶλε δὲ καὶ Φοὺλ βασιλεὺς Βαβυλωνίων τὰς πέρα τοῦ Ἰορδάνου φυλάς. Καὶ πρό γε δὴ τούτων Νεχαὼ Φαραὼ βασιλεὺς Αἰγύπτου, κρατοῦντος Ἰωσίου, κατεστράτευσε τῆς Σαμαρείας, καὶ δασμοὺς ὑπέθηκε τὴν γῆν. Ἑκατὸν γὰρ ἐζήτησε χρυσίου τάλαντα. Οὐκουν πλεῖστα μὲν ὅσα τὰ συμβεβηκότα κατὰ καιροὺς, δεινὰ δὲ καὶ ἀξιάκουστοι πορθήσεις γεγόνασι τέσσαρες. Βασιλεύοντος μὲν γὰρ ἐν Σαμαρείᾳ Ὠσηὲ υἱοῦ Ἠλὰ, ἀνέβη Σαλμανασὰρ ὁ Ἀσσύριος, καὶ ἀπῴκισε τὸν Ἰσραὴλ εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων. Εἶτα βραχὺ προϊόντος τοῦ καιροῦ, καὶ προφητεύοντος Ἱερεμίου, κατακράτος ἦν Ἱερουσαλὴμ ἥρηκεν ὁ Ναβουχοδονόσορ. Ἀνεῖθη δὲ μόλις ὁ Ἰσραὴλ διὰ Κύρου τοῦ Καμβύσου, τῶν ἑβδομήκοντα τετελεσμένων ἐτῶν. Εἶτα γέγονε κατὰ καιροὺς Ἀντίοχος, ὁ ἐπίκλην Ἐπιφανής. Οὗτος ἀφικόμενος εἰς τὴν Ἰουδαίαν, καὶ τὸν θεῖον ἐνέπρησε νεών· εἷλέ τε τὰ σκεύη τὰ ἐν αὐτῷ, καὶ τῶν πατρίων ἐθῶν καταῤῥᾳθυμεῖν ἐβιάζετο τοὺς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν. Ὅτε καὶ τὰ τῶν Μακκαβαίων συνέβη λαμπρὰ καὶ ἀξιοθαύμαστα κατορθώματα. Τέταρτος δὲ τοῖς ἐξ Ἰσραὴλ ὁ Ῥωμαίων συνέβη πόλεμος, ὅτε καὶ ἐσκορπίσθησαν εἰς πάντα ἄνεμον. Ἔοικεν οὖν ὁ προφήτης ἀσυμφανῶς τε καὶ ἀμυδρῶς, καὶ ὡς ἐν εἴδει παραδειγμάτων, διὰ τῶν τοιούτων διηγημάτων τὸν οἰκεῖον ἡμῖν ἀποκομίζειν βούλεσθαι λόγον, κάμπην, καὶ ἀκρίδα, καὶ βροῦχον, καὶ μέντοι καὶ ἐρυσίβην, ἤτοι τοὺς πολέμους αὐτοὺς πλαγίως παραδηλῶν· ἤγουν τοὺς τῶν στρατειῶν ἐξάρχοντας, ὧν καὶ ἄρτιως πεποιήμεθα μνήμην.

A ribus sensus elicere apertiores conceditur, existimo prophetam per erucam, locustam, bruchum, rubiginem, et inde provenientia mala ac damna intolerabilia, cujusque temporis vastitates insinuare, et captivitatum conditiones tali verborum involucro ante oculos ponere, per quas non secus ac segetes in agris consumpti sunt ac perierunt, pene devorati atque in nihilum redacti ab hostilibus exercitibus. Sigillatim namque finitimæ gentes Judaicam regionem incursationibus infestis sæpe populatæ sunt. Aliquando et Ægypti reges expeditionem eo susceperunt. Roboam quippe Hierosolymis regnante, ascendit Susacim, regiam occupavit, et quotquot ibi erant thesauros, hastasque et clypeos aureos, quos fecerat Salomon, avertit, et cum victoria splendida B domum rediit [46]. Nec parva eos clade Azael Syrus afflixit [47]. Etiam Phulas Babyloniorum rex tribus trans Jordanem subegit. Et ante hos Pharao Nechao rex Ægypti, Josia sceptrum tenente, Samariam invasit, regionem fecit tributariam, exactis auri talentis centum [48]. Plurimæ igitur Judæorum calamitates et vastationes diversis temporibus, insigniores autem et memorabiles quatuor contigerunt. Regnante enim in Samaria Osee, filio Elam, ascendit Salmanasar Assyrius, et Israelem ad Persarum et Medorum montosa transtulit [49]. Haud diu post, Jeremia vaticinante, vi et armis **201** Hierosolymam Nabuchodonosor obtinuit [50], et Israel captivus vix tandem a Cyro Cambysis filio elapsis nempe annis septuaginta, dimissus est [51]. Deinde secundum tempus, C Antiochus cognomento Illustris prodiit. Hic in Judæam profectus, etiam divinum templum incendit, vasa ejus diripuit, et Judæos omnes patria instituta deserere compulit [52]. Unde nata Machabæorum præclara et admiratione prosequenda certamina. Quartum bellum Israelitis Romani fecerunt, quando etiam in omnem ventum dissipati sunt [53]. Apparet ergo prophetam obscure et tanquam in paradigmate per narrationem istiusmodi domesticum nobis sermonem referre voluisse, per erucam, locustam, bruchum et æruginem aut bella ipsa obliique significando, aut ipsos expeditionum duces, quorum modo meminimus.

Εἰ δὲ δή τις βούλοιτο καὶ ἠθικωτέραν ἐν τούτοις ἀφήγησιν ἀναγράφεσθαι, οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος· εἰ γὰρ ὁρῷτο ψυχὴ συχνοῖς καὶ ἐπαλλήλοις καταβαπτομένη πάθεσι, καὶ οἷον ἑκάστην ἀρετὴν ἀπολλύουσα, καὶ κατὰ βραχὺ τοῦτο ἐκείνῳ προστιθεῖσα διὰ ῥᾳθυμίαν, πῶς οὐκ ἀτρεκὲς ἐπ' αὐτῇ τὸ λέγειν, « Τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρὶς, καὶ τὰ ταύτης βροῦχος, τὰ δὲ τοῦ βρούχου ἡ ἐρυσίβη; » Ἐρυσίβης γὰρ δίκην καὶ τῶν ἑτέρων

D Sin quis sentiat moralem expositionem his contineri, a recto non aberraverit. Nam si anima cernatur crebris et succedentibus perturbationibus agitari, et quasi virtutes singulas perdere, paulatimque hanc passionem illi per socordiam addere, quomodo non vere de ipsa dicatur : « Residuum erucæ comedit locusta, et residuum locustæ comedit bruchus, et residuum bruchi comedit rubigo ? » Instar enim rubiginis aliarumque hujus-

[46] III Reg. XIV, 25 27. [47] IV Reg. VIII, 28. [48] IV Reg. XXIII, 33. [49] IV Reg. XVII, passim. [50] IV Reg. XXV, 1. [51] II Paral. XXXVI, passim; I Esdr. I, 3. [52] I Machab. I, 25. [53] Jer. XLIX, 32.

Digitized by Google

modi pestium depascuntur quodammodo quæ in nobis insunt bona, pravi et immundi exercitus animum subeuntes, et insatiabiliter consumere omnia soliti. Bona est igitur custodia. Nec parum nos juvat Paræmiastes: « Si spiritus potestatem habentis, inquit, ascenderit super te, locum tuum ne dimiseris, quia curatio faciet cessare peccata maxima [84]. » Reprehensæ enim ab initio vitiosæ affectiones sedantur et comprimuntur. Sin quasi latum et absque admonitione ad deteriora progressum nactæ fuerint, totam animam per omnia dilaniant, et rationis animadversionem amplius non patiuntur.

VERS. 5. *Resipiscite, ebrii, a vino vestro, et plorate. Plangite, omnes qui bibitis vinum ad ebrietatem; quoniam ablata est ab ore vestro lætitia et gaudium.*

V. Citra negotium rursus, ut arbitror, hinc etiam perspicue videas divini Pauli sapientiam. Per fidem in Christum quasi sagena conclusis alias quidem salutariter acclamat: « Surge, qui dormis [85]; » alias rursus ad laborum patientiam **202** adamandam impellens, ita loquitur: « In disciplina perseverate. Tanquam filiis vobis offert se Deus: quis enim filius, quem non corripit pater [86]? » Percutit enim peccatores, tanquam non volens, quia pius est Deus; sed velut coactus, convertens eos, et de supplicio illis modum auxilii efficiens; quemadmodum scilicet boni quoque medici ægrotantibus perquam acria et insuavia medicamenta ministrant, ut doloris tolerantia morbum depellat. Considera enim quo pacto flagella prius ostentans, et quid ira sit factura ante demonstrans, tantum non « camo et freno maxillas eorum [87], » ut scriptum est, constringat, et retrorsum quodammodo incedere jubeat animos ad id quod præstabat et decentissimum erat applicantes. « Expergiscimini, ebrii, a vino vestro. » Audis quomodo ut filios mente emotos, et jam temulentos deinceps objurgat. Quoniam si vigilassent a principio, sola eruca puniti satis fuissent. Sed quia prima pœna irrogata obfirmati manserunt, adjuncta est altera, et post hanc tertia, et usque ad quartam denique ventum est. Verumtamen saltem sero expergefactos, et resipiscentes, et quasi ebrietatem quamdam mentis studium ad voluptatem et insanam peccandi libidinem deserentes, sentire posthac casus præteritos jubet, gemitibus et lacrymis propter admissa indulgentes.

Sciendum porro, etiam unicuique nostrum velut proprium quoddam vinum esse, quod cor inebriat. Dividimur enim, ut ita dicam, secundum morbos animorum. Ex nobis alius præter cætera vitia sua ad avaritiam rapitur; alter sapit quæ mundi sunt, et cura carnis ægrotat, deliciis et voluptatibus immersus; alius cuicunque domum alii peccato se tradit. Ad flagitiosa autem et impura, Deoque odiosa

A κακῶν, καταβόσκονται πως τὰ ἐν ἡμῖν ἀγαθὰ πονηραὶ καὶ ἀκάθαρτοι δυνάμεις εἰς νοῦν ἐμπίπτουσαι, καὶ ἀπλήστοις ὀδοῦσι δαπανᾷν εἰθισμέναι. Καλὴ τοι γὰρ οὖν ἡ ἀσφάλεια. Καὶ δὴ καὶ ὀνίνησιν ἡμᾶς οὐ μετρίως ὁ Παροιμιαστής, λέγων· « Ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. » Ἐπιτιμώμενα γὰρ ἐν ἀρχαῖς τὰ πάθη, παύονταί τε καὶ ἀνακόπτονται. Πλατεῖαν δὲ ὥσπερ καὶ ἀνουθέτητον εἰ λάβοιεν τὴν εἰς τὰ χείρω πρόοδον, ὅλης δι' ὅλου καταδράττονται τῆς ψυχῆς, καὶ λογισμοῦ τοῦ κολάζοντος οὐκ ἀνέχονται.

Ἐκνήψατε, οἱ μεθύοντες, ἐξ οἴνου αὐτῶν, καὶ κλαύσατε. Θρηνήσατε, πάντες οἱ πίνοντες οἶνον εἰς μέθην· ὅτι ἐξῆρθη ἐκ στόματος ὑμῶν εὐφροσύνη καὶ χαρά.

B

Ε'. Ἀμογητὶ δὴ πάλιν κἀντεῦθεν, οἶμαι, τὶς καταθρήσει σαφῶς, ὡς σοφὸς ἦν ἄγαν ὁ θεῖος Παῦλος, τοῖς διὰ πίστεως τῆς εἰς Χριστὸν σεσαγηνευμένοις εἰς σωτηρίαν ἐπιφωνῶν τε καὶ λέγων, ποτὲ μέν· « Ἔγειραι, ὁ καθεύδων· » ποτὲ δὲ αὖ καὶ τὸ ἐν πόνοις τληπαθὲς ἀγαπᾷν ἀναπείθων, ταύτῃτοι καὶ λέγων· « Εἰς παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; » Καταπαίει γὰρ ὥσπερ τοὺς ἁμαρτάνοντας οὐχ ἑκὼν, καίτοι φιλάνθρωπος ὤν, ὁ Θεὸς, ἀλλ' ὡς ἐξ ἀνάγκης, ἐπιστρέφων, καὶ τρόπον αὐτοῖς ἐπικουρίας τὸ χρῆμα ποιούμενος· καθάπερ ἀμέλει καὶ οἱ τῆς ἰατρικῆς ἐπιστήμονες τοῖς ἀῤῥωστοῦσι προσάγουσι καὶ τὰ σφόδρα καταδάκνοντα τῶν φαρμάκων, ἄκεσιν αὐτοῖς τοῦ πάθους τὸ δεῖν ἀλγῆσαι ποιούμενοι. Θέα γὰρ ὅπως τὰς μάστιγας προϋποδείξας, καὶ προαναφήνας τὰ ἐξ ὀργῆς, μονονουχὶ « χαλινῷ καὶ κημῷ τὰς σιαγόνας αὐτῶν, » κατὰ τὸ γεγραμμένον, ἄγχει καὶ ἀνόπιν ὥσπερ ἰέναι κελεύει, μετατιθέντας τὸν νοῦν ἐπὶ τόδε ἀνελέσθαι, ὅπερ ἦν ἄμεινόν τε καὶ πρεπωδέστατον. « Ἐκνήψατε γὰρ, οἱ μεθύοντες, ἐξ οἴνου αὐτῶν. » Ἀκούεις, ὅπως ὡς τέκνοις ἐξεστηκόσι καὶ ἤδη μεμεθυμένοις ἐπιπλήττει λοιπόν. Ὡς εἴπερ ἐκνήψειαν ἐν ἀρχαῖς, ἤρκεσεν ἂν δίκη αὐτοῖς καὶ τὰ ἐκ μόνης τῆς κάμπης· ἐπεὶ δὲ ἀνάλωτοι μεμενήκασι τῆς πρώτης ὀργῆς αὐτῆς ἐπενηνεγμένης, προστέθειται καὶ δευτέρα, καὶ μετ' ἐκείνην ἡ τρίτη, προβέβηκε δὲ μέχρι τετάρτης. Πλὴν γοῦν κἂν ὀψὲ διεγερμένους, καὶ ἀνανήφοντας, καὶ οἱονεί τινα μέθην ἱέντας τοῦ νοῦ τὴν φιληδονίαν, καὶ τὸ ἐκτόπως ἐλέσθαι πλημμελεῖν, εἰς αἴσθησιν τῶν συμβεβηκότων ἀφικέσθαι κελεύει λοιπὸν, κλαίοντας καὶ κατοιμώζοντας ἐπὶ ταῖς σφῶν αὐτῶν ἁμαρτίαις.

C

D

Ἰστέον δὲ, ὅτι καὶ ἑκάστῳ ἡμῶν οἶνος ὥσπερ τις ἐστὶν ἰδικὸς, ὁ καταμεθύσκων καρδίαν. Καταμεριζόμεθα γὰρ, ἵν' οὕτως εἴπω, τὰ πάθη, καὶ ὁ μέν τις ἡμῶν ἀπονένευκεν ἀχαλίνως εἰς φιλαργυρίαν μετὰ τοῦ καὶ ἕτερα νοσεῖν· ἕτερος δὲ αὖ πεφρόνηκε τὰ τοῦ κόσμου, καὶ κατηῤῥώστησε τὴν φιλοσαρκίαν, τρυφαῖς, καὶ φιληδονίαις ὁλοτρόπως προσκείμενος· ὃς δὲ εἰς ἑτέραν ἠντινοῦν ἀποδεδράμηκεν ἁμαρτίαν,

[84] Eccle. x, 4. [85] Ephes. v, 14. [86] Hebr. xii, 7. [87] Psal. xxxi, 9.

Digitized by Google

Ἡμεν δὲ δὴ πρὸς τὰ βδελυρὰ καὶ θεομισῆ τῶν παθῶν, οἱ μὲν οὐ λίαν ἐσπουδασμένως, οἱ δὲ ὅλαις ὁρμαῖς χρώμενοι, καὶ ἀνουθέτητον ἔχοντες τῆς διανοίας τὴν ῥοπήν. Ταύτητοί φησιν ὁ προφήτης· « Ἐκνήψατε, οἱ μεθύοντες, ἐξ οἴνου αὐτῶν. » Συμβουλεύει δὲ ὅτι προσήκει κατολοφύρεσθαι τοὺς πίνοντας οἶνον εἰς μέθην. Ὡς γὰρ ἔφην ἀρτίως, οὐ μέχρι κόρου καὶ αὐταρκείας ἵστῶσι τὴν φιληδονίαν, ἀλλ' οἷον εἰς μέθην ἐκπίνουσι, καὶ παντὸς ἐπέκεινα πίνουσι μέτρου. Τούτου ἀπὸ τοῦ στόματος ἀφῃρῆσθαί φησι χαρὰν καὶ εὐφροσύνην. Ἀληθεύει γὰρ ὁ Χριστὸς, ὅτι πάντως οἱ μὲν νῦν πενθοῦντες παρακληθήσονται. Ἕψεται δὲ τοῖς εἰωθόσι τρυφᾷν τὸ χρῆναι δακρυβροεῖν, ὅτι τῆς ἀγεροχίας τὸ πέρας θρῆνος ἔσται, καὶ οἰμωγαὶ, καὶ εἰς πέταυρον ᾅδου καταβιβάζει τοὺς ἀγαπῶντας αὐτήν. Ἀληθεύει δὲ καὶ Δαβὶδ, ὅταν λέγῃ πρὸς Θεόν· « Οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου· » καὶ πάλιν, « Οὐ γὰρ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδην. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομέν σε, Κύριε. » Εἰ δὲ δὴ τῶν προκειμένων ἡ δύναμις καὶ γεωδεστέρως νοοῖτο. Εἰ δεδαπάνηνται διὰ τῆς κάμπης καὶ τῶν ἑτέρων τὰ τῆς εὐφροσύνης αἴτια, πάντως που ταῖς εὐκαρπίαις συνδιολεῖται καὶ ἡ τῶν πεπονθότων εὐφροσύνη καὶ χαρά. Ἐπιστυγνάζειν γὰρ ἀναγκαῖον τοῖς ἀνιαρῶς ἔχουσιν εἰς γε τὸ δύνασθαι, φημὶ, πικρᾷ τε καὶ ἀφορήτῳ λύπῃ κατατῆξαι σαρκίον.

Ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον. Οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος, καὶ αἱ μύλαι αὐτοῦ σκύμνου. Ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμὸν, καὶ τὰς συκᾶς μου εἰς συγκλασμὸν, ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν, καὶ ἐξερρίζωσεν, ἐλεύκανε τὰ κλήματα αὐτῆς.

Ϛ'. Ἀμιλλᾶσθαι τρόπον τινὰ τοῖς συμβεβηκόσιν, ἤγουν ἕπεσθαι προσδοκωμένοις, καὶ τὸ ἐπὶ ταῖς μεταγνώσεσιν ἐθέλων δάκρυον, ἀφηγεῖται λεπτῶς τὰ ἐσόμενα, καὶ τῶν σκυθρωπῶν τὴν ἔφοδον μονονουχὶ καὶ ἐνδῦσαι τισὶν, δίδωσί τι τοῖς παιομένοις καὶ θρήνημα, καὶ οἱονεὶ γοερὸν ἐκδιδάσκει μέλος τοὺς ὀδύρεσθαι κεκελευσμένους, ἐκεῖνό τε λέγειν λοιπὸν ἀναπείθει, ὅτι « Ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον· » καὶ ὅσον ἥκει εἰς ὀδόντων ἀκμὰς, λέουσί τε καὶ σκύμνοις ὀλίγα παραχωρεῖ. Ἀληθὲς μὲν οὖν τὸ χρῆμα, κἂν εἰ ἐπὶ ἀκρίδος τυχὸν νοοῖτο, βρούχου τε καὶ κάμπης. Ἄμαχον γὰρ τὸ χρῆμά ἐστι, καὶ ἀκαταγώνιστος κομιδῇ τῶν τοιούτων ἡ ἔφοδος, ἱκανή τε ἅρδην ἀπολέσαι τὰ ἐν ἀγροῖς, καρπούς τε, φημὶ, καὶ πάαν· καταφθεῖραί τε συκᾶς καὶ ἀμπέλους, ψιλὴν δὲ καὶ ἀκαλλῆ τῆς ἀρούρας ἀποφῆναι τὴν ὄψιν. Εἰ δὲ δὴ περιτρέποιτο πάλιν ὁ λόγος εἰς τὴν τῶν πεπορθηκότων ἀπανθρωπίαν, καὶ ὁλοτελῆ τῆς χώρας ἐρήμωσιν, ὑποφήνειεν ἂν ἕτερον οὐδὲν, ἢ ὅτι πᾶσα μὲν αὐτοῖς ἀπόλωλεν ἡ χώρα, δεδαπάνηνται δὲ καὶ οἱ προὔχοντες παρ' αὐτοῖς, δόξῃ τε καὶ πλούτῳ τὸ τῶν ἀγελαίων ὑπερθέοντες μέτρον (ὡς ἐν τάξει νοεῖσθαι συκῆς τε καὶ ἀμπέλου), πλὴν ὑπο-

A piacula alii segnius, alii tota appetitione ruimus, cum nutu et incitatione mentis incastigabili. Hac de causa propheta exclamat : « Expergiscimini, ebrii a vino vestro. » Suadet autem vinum ad ebrietatem bibentibus lamentationem, ut rem convenientem. Sicut enim jam dixi, non quantum satis est voluptatem sequuntur; sed velut ad ebrietatem potant, et omnes limites bibendo egrediuntur. A tali ore ablatum esse sit gaudium et lætitiam. Verax enim est Christi verbum, qui nunc lugent, omnino consolatum iri [88]. **203** Contra, consuetos vivere in jucunditatibus, lacrymas fundere oportebit, quia superbiæ finis et extremum lacrymæ sunt et gemitus, et se diligentes ad inferni laqueos et carceres deducit. Verus est etiam David : « Non est in morte qui memor sit tui [89]; » et iterum : « Non enim mortui laudabunt te, Domine, neque omnes qui descendunt in infernum. Sed nos qui vivimus, benedicemus te, Domine [90]. » Quod si placet, propositorum verborum sententia magis terrene intelligatur. Si per erucam et alia frugum incommoda causæ ipsorum lætitiæ consumptæ sunt, prorsus utique cum ubertate fructuum eorum qui tanta voluptate afficiebantur, gaudium et lætitia evanescet. Necesse est enim contristari ob ea quæ tristia accidunt, et tristitiam generare consueverunt, nec invalida sunt, inquam, ut acerbo et intolerabili cruciatu caruncularn labefacere queant.

Vers. 6, 7. *Gens enim ascendit super terram meam fortis et innumerabilis. Dentes ejus ut dentes leonis, et molares ejus ut catuli leonis. Posuit vineam meam in dissipationem, et ficus meas in confractionem, scrutans scrutatus est eam, et eradicavit, dealbavit ramos ejus.*

VI. Contendere aliquo modo cum eventis, sive potius cum his quæ eventura exspectantur, et ex pœnitentia fletum elicere cupiens, minutim futura enarrat, et rerum tristificarum incursum propemodum sub aspectum subjiciens, iis qui multantur lamentum suppeditat, et quos ad plorandum invitarat, eos lugubre carmen docet, quod in posterum usurpare vocibus hortatur. « Gens ascendit super terram meam fortis et innumerabilis, » quæque dentium acie, leonibus et catulis leonum parum concedit. Verum hoc est, quamvis de locusta forte, ac de bruchio, et eruca accipiatur; expugnari siquidem nequeunt, et eorum impressio prorsus est insuperabilis atque adperdendas ruris opes universas sufficit, ad fructus et herbas, inquam, et ad ficus, vitesque corrumpendas, ad nudandam denique et deformandam agrorum faciem. Quod si verba prophetæ ad vastatorum crudelitatem et summam regionis solitudinem revocemus, aliud nihil subindicabunt, quam toti provinciæ perniciem eos attulisse, et primores consumptos esse. Qui quanquam gloria et divitiis plebeiorum modulum excederent (ut utrosque per ficus et vites intelligamus), nihilominus emarcere debuisse,

[88] Matth. v, 5. [89] Psal. vi, 6. [90] Psal. cxiii, 17, 18.

Digitized by Google

sicut in ipsis 204 vitibus sub sensum cadentibus fieri non ignoramus, si eas locustarum dentes attigerint. Stirpes enim, earum humorem exsugentes, et vim omnem vitalem absorbentes, brevi arefaciunt. Inde etiam est, quod vitis alba conspicitur. Itaque dentes hostium consumentium, locum vitium tenentes, aut etiam ficubus respondentes, penitus consumpserunt, et quisquilias reddiderunt, aut gladiis mactantes, aut servitutis jugo submittentes.

μεῖναι τὸν μαρασμόν· καθάπερ ἀμέλει καὶ ἐπ' αὐτῶν A νοεῖται τῶν αἰσθητῶν ἀμπέλων, εἰ τῶν ἀκρίδων τοῖς ὀδοῦσι συμβαίη περιπεσεῖν. Ἐκπίνουσαι γὰρ τὴν ἐν τοῖς φυτοῖς ἰκμάδα, καὶ πᾶσαν αὐτοῖς τὴν ζωοποιὸν ἀναῤῥοφοῦσαι δύναμιν, οὐκ εἰς μακρὰν ἀποξηραίνουσι· ταύτῃτοι καὶ λευκὴν ὁρᾶσθαι παρασκευάζουσιν. Οὐκοῦν οἱ ὀδόντες τῶν δαπανώντων ἐχθρῶν τοὺς ἐν τάξει κειμένους ἀμπέλων, ἢ καὶ ἐν εἴδει συκῶν, εἰς ἄκρον δεδαπανήκασι, καὶ εἰς ἀχρειότητα πεπόμφασι παντελῆ, ἢ ξίφεσι καταπαίοντες, ἢ καὶ τοῖς τῆς δουλείας καθυπάγοντες ζυγοῖς.

Poterit quispiam, si libuerit, hæc item de peccatoribus interpretari, in quorum mentes et corda, velut locustæ, bruchi et erucæ, irrepunt semper mali spiritus et passionum diversæ species atque modi, eosque despicabiles et turpissimos videri faciunt, B qui et pietatis florem amiserint, et nullum justitiæ germen possideant. His ergo affirmarim convenire perennes lacrymas, et lamentationem coram Deo, ac desiderium assiduis precibus veniæ, et opis a Deo impetrandæ; ut quanquam sero tandem, et vix sapientes ac robusti evadant, liberati iis, in quæ inciderunt. Spectat et hoc ad eos quorum animus ad novarum opinionum doctores et sincera Ecclesiæ dogmata adulterantes audiendos declinavit : de quibus dicatur meritissimo : « Dentes eorum, dentes leonum et molares catulorum leonum. » Genus hominum Deo invisum, adulterinum atque pestiferum, simpliciorum mentes suis commentis devorans et absumens, ut ne reliquiæ quidem prioris doctrinæ in C illis appareant. Hi vineam dominicam ad marcorem redigunt, hortum a ficubus inanem, nudum et incultum reddunt. « Quorum judicium non cessat [61]; » sed damnatio justa erit suo tempore [62]. Qui igitur in inscitia vitam transigunt, locustæ, bruchi et erucæ pabulum erunt, et ab omni decentia destituti permanebunt, nec est in iis quidquam floridum. At vero sapiens et Deum amans anima, et dogmatibus veritatis opulenta, justitiæque fructibus pene circumfluens, et mirifice undique florens cor habens, omni libertate cum sponsa, quæ in Canticis intelligitur, illud dicet : « Descendat nepos meus in hortum suum et comedat fructum pomorum suorum [63]. » Dulces pietatis fructus et dulcia poma, 205 ubi vera D discendi cupiditas, Christo omnium nostrum Salvatori, qui et noster nepos est, utpote ex sorore nostra, domina omnimodis incontaminata progenitus.

Ἐκδέξεται δέ τις, εἴπερ ἕλοιτο νοεῖν καὶ πνευματικῶς, καὶ ἐπ' ἀνθρώπων ἁμαρτωλῶν τὰ τοιάδε πάλιν. Οἷς εἰς νοῦν καὶ καρδίαν, ὡς ἐν ἀκρίδος τρόπῳ καὶ βρούχου, καὶ μέντοι καὶ κάμπης, εἰσδύεταί πως ἀεὶ τὰ πονηρὰ πνεύματα, καὶ αὐτὰ δὲ πολυειδῆ καὶ πολύτροπα πάθη, καὶ δὴ καὶ ἀχρείους καὶ ἀκαλλεστάτους ὁρᾶσθαι ποιεῖ, καὶ τῆς εὐσεβείας τὴν ἄνθην ἀποβεβληκότας, καὶ οὐδὲν ἔχοντας ἐν ἑαυτοῖς δικαιοσύνης βλάστημα. Φαίην δ' ἄν, ὅτι πρέποι ἂν αὐτοῖς τὸ κλαίειν ἀκαταλήκτως, καὶ κατολοφύρεσθαι πρὸς Θεόν· γλίχεσθαί τε τυχεῖν διὰ συχνῆς προσευχῆς ἀφέσεως καὶ ἐπικουρίας, ὡς ἂν εἶεν, κἂν γοῦν ὀψέ ποτε καὶ μόλις, σοφοὶ καὶ εὐσθενεῖς, καὶ διαδιδράσκειν οἷοί τε τὰ συμβεβηκότα. Πάθοιεν δ' ἂν αὐτὸ καὶ οἷς ὁ νοῦς ἀμαθῶς ἐκκέκλικεν εἰς γε τὸ χρῆναι προσέχειν τοῖς ἑτεροδοξεῖν εἰωθόσι, καὶ τὰ ὀρθὰ τῆς Ἐκκλησίας παραλύειν διδάγματα, περὶ ὧν ἂν λέγοιτο, καὶ μάλα εἰκότως· «Οἱ ὀδόντες αὐτῶν ὀδόντες λέοντος, καὶ αἱ μύλαι αὐτῶν σκύμνου· » θεσμιοὶς γὰρ τὸ γένος, κίβδηλόν τε καὶ ἀλιτήριον, καὶ τῶν ἁπλουστέρων τὸν νοῦν τοῖς σφῶν εὑρέμασι κατεσθίον τε καὶ ἀναλίσκον, ὡς μηδὲ ὀρθότητος ἐν αὐτοῖς ὁρᾶσθαι λείψανον. Οὗτοι Δεσποτικὸν ἀμπελῶνα καταμαραίνουσι, συκῶν ἔρημον ἀποφαίνουσι τὸν κῆπον, ψιλόν τε δεικνύουσι καὶ κεχερσωμένον· « Ὧν τὸ κρῖμα οὐκ ἀργεῖ, » ἀλλ' ἔνδικον ἔσται κατὰ καιρούς. Οἱ μὲν οὖν ἀμαθίᾳ συζῆν εἰωθότες, ἀκρίδος καὶ βρούχου καὶ κάμπης ἔσονται τροφή, καὶ ἀπάσης εὐκοσμίας ἀπομενοῦσι ἔρημοι, εὐανθὲς δὲ οὐδὲν ἐν αὐτοῖς. Ἡ δέ γε σοφὴ καὶ φιλόθεος ψυχή, καὶ τοῖς τῆς ἀληθείας δόγμασι κομῶσα πλουσίως, καὶ καρποῖς τοῖς εἰς δικαιοσύνην μονονουχὶ βρύουσάν τε καὶ εὖ μάλα περιηνθισμένην ἔχουσα τὴν καρδίαν, ἐρεῖ πάντως D ἐκ παῤῥησίας, κατά γε τὴν ἐν τῷ Ἄσματι νοουμένην νύμφην· « Καταβήτω ἀδελφιδοῦς μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. » Ἱδεῖς οἱ τῆς εὐσεβείας καρποὶ καὶ τῆς ἀληθοῦς φιλομαθίας ἀκρόδρυα τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ, ὅς ἐστιν ἡμῶν καὶ ἀδελφιδοῦς, ὡς ἐξ ἀδελφῆς τῆς παναχράντου Δεσποίνης γεγεννημένος.

Vers. 8. *Plange ad me super virginem præcinctam sacco, seu cilicio super virum suum virgineum.*

VII. Non levi brachio, nec ut in transitu, aut segniter, et quoquo modo pœnitentia, et qui in ea intelligitur luctu fungi eos postulat ; sed qui cum aliis luctibus multo maxime gravibus non leviter

Θρήνησον πρός με ὑπὲρ νύμφην περιζωσμένην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν

Ζ'. Οὐ πάρεργον αὐτοὺς, οὐδὲ οἷον ἐκ παραδρομῆς, ἢ ῥᾳθυμον ἁπλῶς τὴν μετάγνωσιν ποιεῖσθαι κελεύει καὶ τὸ ἐπ' αὐτῇ νοούμενον πένθος, ἀλλὰ τοῖς ὅτι μάλιστα τῶν ἄλλων δυσαχθεστέροις οὐ μετρίως φιλο-

[61] I Petr. II, 3. [62] Rom. III, 8. [63] Cant. V, 1.

Digitized by Google

νεικοῦν καὶ ἀμιλλᾶσθαι σπουδάζον, ὡς ἰσοστάθμους τοῖς ἡμαρτημένοις ποιεῖσθαι τοὺς πόνους. Φιλεῖ δέ πως ἀρτίγαμος κόρη κατοιμώζειν ἄγαν εἰς τεθνεῶτα νυμφίον, καὶ δριμείας εἰσδέχεσθαι τὰς ἐπὶ τῷδε λύπας, ὡς νουθεσίας ἐπέκεινα τίθεσθαι τὴν φρένα, καὶ μηδένα τρόπον αὐτῇ τοῦ χρῆναι πενθεῖν ἐπαξίως ἀποχρῶντα εἶναι δοκεῖν· χρῆμα γὰρ τὸ θηλειῶν φιλάδακρυ καὶ φιλοπενθὲς ὁμολογουμένως, μάλιστα δὲ τῶν ἄλλων ἡ παρθενικόν τε καὶ ἔφηβον ὁρῶσα νυμφίον οἰκτρῶς ἐν εὐναῖς νεκρόν τε καὶ ἄπνουν κείμενον. Ἧ δὴ παρεικάζεσθαι δεῖν τὴν τῶν Ἰουδαίων πληθὺν εὖ μάλα φησὶν, ἀποκροῦεσθαί τε τὰ ἐξ ὀργῆς, καὶ οἷον ἄσχετον ἐπ' αὐτοὺς ἰοῦσαν τοῖς θρήνοις τὴν θείαν κίνησιν ἀνακόπτειν, τεθαρρηκότας ὅτι χρηστὸς καὶ ἐπιεικὴς ὁ τῶν ὅλων ἐστὶ Δεσπότης, « φιλάνθρωπος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις, κατὰ τὸ γένος. »

Πλὴν οὐ τεθρήνηκεν ἡ τῶν Ἰουδαίων Συναγωγὴ τὸν ἐξ οὐρανοῦ νυμφίον, τοῦτ' ἔστι Χριστόν. Αὕτη γὰρ ἀπέκτεινε, καὶ πεπαρῴνηκεν εἰς αὐτόν. Τοιγάρτοι τῶν θείων εἴργεται παστῶν, ἔξω τε τῶν ἱερῶν ἐστι γάμων, καὶ τῆς ἑορτῆς ἀμέτοχος παντελῶς, ἀπόκληρός τε καὶ ἀπερριμμένη λοιπὸν, καὶ τῆς τῶν ἁγίων ἐλπίδος ὡς ἀποτάτω. Εἰσκέκληται δὲ ἀντ' ἐκείνης ἡ νέα καὶ ἀρυτίδωτος, ἡ πάναγνος, καὶ σοφὴ, καὶ ἐκ Λιβάνου νύμφη, καλή τε περιστερὰ, τουτέστιν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, ἡ καὶ αὐτὸ τὸ πάθος ὁμολογοῦσα Χριστοῦ, μονονουχὶ δὲ καὶ ἐπ' αὐτῷ κλαίουσα διὰ τὸ συμπάσχειν καὶ πενθεῖν, αἴρειν τε τὸν ἴδιον σταυρὸν καὶ ἀκολουθεῖν αὐτῷ, καὶ διὰ τῶν ἴσων ἴέναι φιλεῖν διά τοι τὴν εἰς αὐτὸν ἀγάπην. Παρθενικὸς δὲ ὁ νυμφίος νοεῖτ' ἂν αὐτῆς ὁ Ἐμμανουὴλ (καίτοι δοκούσης μεμοιχεῦσθαι, καὶ τῷ Σατανᾷ πεπορνευμένης κατά γε τὸν τοῦ πλανᾶσθαι τρόπον), διὰ τὴν ἄνωθεν ἀναγέννησιν, ἣν διὰ τοῦ Πνεύματος πεπλουτήκαμεν, τὴν σαρκικὴν ἀρνούμενοι. Γέγραπται γὰρ περὶ Χριστοῦ· « Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτὸν, » καὶ τὰ ἑξῆς.

Ἐξῆρται θυσία καὶ σπονδὴ ἐξ οἴκου Κυρίου. Πενθεῖτε, οἱ λειτουργοῦντες θυσιαστηρίῳ Κυρίου, ὅτι τεταλαιπώρηκε τὰ πεδία. Πενθείτω ἡ γῆ, ὅτι τεταλαιπώρηκε σῖτος, ἐξηράνθη οἶνος, ὠλιγώθη ἔλαιον. Ἐξηράνθησαν.

Η'. Ὅμοιον ὡς εἰ λέγοι σαφῶς· Ἐκλελοίπασιν εὐχαριστίαι, καὶ ὁ θύσων ἔτι παντελῶς οὐδείς, ὁ προσκομιῶν ἀνάθημα, καὶ ληίων ἀπαρχὰς, δράγμα που πάντως τὸ ἱερὸν, εἰς ἀπαρχὴν θερισμοῦ πυρῶν ἀνατιθέμενον τῷ Θεῷ, κατὰ τὸν Μωσέως νόμον. Πρωτόσχα τε τὰ ἐξ ὡρῶν οὐδεὶς ὁ καρτάλλῳ, φησὶν, ἐντιθεὶς, καὶ πορευόμενος εἰς οἶκον Κυρίου, ἀνάπτων δὲ τῷ Θεῷ καὶ ᾠδὰς τὰς χαριστηρίους, ἃς ἦν ἀγορεύειν ἔργον. Ταύτητοι πενθεῖν τὸ ἀπόλεκτον κελεύει γένος, φημὶ δὴ τοὺς ἱερέας, οὐ λημμάτων ἕνεκα διαπονουμένους, ἀλλ' ὡς τῶν ὑπὸ χεῖρα λαῶν ὑπερηλγηκότας, καὶ τεθειμένους εἰς λειτουργίαν τὴν ἱεράν

A contendat, et certare studeat, ut dolores peccatis commissis proportione respondeant. Solet autem puella nova nupta majorem in modum ejulare propter mortuum sponsum suum, et ejus causa acerbo in mœrore versari, ut animus omnem medicinam respuat, nec ullus ei luctus satis magnus et idoneus videatur. Feminæ siquidem lacrymas et luctum amant communiter, præsertim quæ virgineum, seu, cui ipsa adhuc virgo nupsit, et ephebum, seu adolescentem maritum miserabiliter in toro mortuum et exanimem jacentem aspicit. Huic similem fieri Judæorum populum oportere ait, et ita amoliri, quæ ex ira cœlesti metuenda sint, ac velut inevitabilem ipsorumque cervicibus divinitus impendentem impetum lamentis reprimere, confisos,
B quia clemens ac mitis est universorum Dominus, « benignus, et multæ misericordiæ, et præstabilis super malitia natura sua [66]. »

Verumenimvero non luxit Judæorum Synagoga sponsum cœlestem, hoc est Christum, quem ipsa interemit et contumeliose habuit. Quamobrem a divino thalamo arcetur, et sacris nuptiis excluditur, et festi expers et exhæres est, projecta de cætero, atque a sanctorum spe remotissima. Vocata est autem intro in locum ejus illa adolescentula, nuper nata, illa castissima, et sapiens, et sponsa a Libano, columba, pulchra, nempe Ecclesia ex gentibus, quæ ipsam Christi passionem confitetur, et tantum non deplorat, quia compatitur, et luget, et
C tollit crucem suam, et ipsum sequitur, et iisdem incedere vestigiis delectatur, propter charitatem qua in illum est. Virgineus autem sponsus ejus intelligi potest Emmanuel (licet adulterio polluta, et cum Satana fornicata secundum rationem erroris sui videatur), propter supernam regenerationem qua per Spiritum ditati sumus, carnalem generationem abnegantes. Scriptum est enim de Christo: « In propria venit, et sui eum non receperunt. Quotquot autem eum receperunt [67], » et quæ sequuntur.

206 Vers. 9, 10. *Ablatum est sacrificium et libatio de domo Domini. Lugete, sacerdotes, ministrantes altari Domini, quoniam desolati sunt campi. Lugeat terra, quoniam afflictum est triticum; aruit*
D *vinum, imminutum est oleum. Aruerunt.*

VIII. Perinde ac si dicat apertius: Defecerunt gratiarum actiones, et qui sacris operetur; prorsus nemo est amplius, qui sacra dona offerat et frugum primitias, manipulum, puta, pro primitiis messis frumenti, Deo secundum legem Moysis consecrandum. Nec est qui in cartallo ponat, quique primogenita segreget, et in domum Domini veniat, ac Deo laudes gratesque persolvat, ut solebat. Ideo lugere jubet electum genus, sacerdotes scilicet; non ut qui compendia sua perdiderint, quorum causa laborarint, sed crediti populi vicem nimium quantum dolentes, et præfectos obeundæ liturgiæ

[66] Joel II, 13. [67] Joan. I, 11, 12.

Digitized by Google

sacræ, et admirandæ, ut et præ aliis ipsi Deum reconcilient, ipsumque sacrorum antistitem Moysen imitentur, qui Israelem rexit, et dixit : « Obsecro, Domine, peccavit hic populus peccatum maximum ; et si quidem dimittis illis peccatum, dimitte ; sin autem, dele me de libro tuo quem scripsisti [67]. » Interponit enim se sacerdotium inter Deum et populum ; et eos ipsos qui ad sacrificia facienda instituti sunt, cum sit munus adeo venerabile, decet, opinor, nec injuria sane, supplicandi libertas. Propemodum enim supra omnes vitam suam Deo consecrant, pro peccatis sacrificia eomedentes. Sic enim per os Oseæ loquitur universitatis Dominus : « Peccata populi mei comedent, et in iniquitatibus eorum accipient animas eorum [68]. » Sensus est, cum populus legem violaverit et peccaverit, tum sacri divinorum altarium ministri accipient animas suas pro illo. « Accipient » usurpat pro offerent, sive dicabunt, et accipere dixit pro, Deo consecrare. Quæ porro illis occasio lugendi ? « Desolati sunt campi, » inquit; quin et triticum dentibus locustarum corrosum et rubigine velut adustum. Urit enim rubigo, et quasi in cineres redigit agrorum fruges. Oportere terram quoque lugere ait, viduatam suis frugibus. « Afflictum est enim triticum, aruit vinum, imminutum est oleum. Aruerunt, » hoc est, **207** perierunt omnia illius, et quorum causa consentaneum erat eam ut bonorum fructuum parentem nutricemque admirari. Et hæc a nobis ut in rebus quæ sensu percipiuntur dicta sunto.

Lamentabitur vero quicunque est probatissimus sacerdos præ immodica dementia purgationem per fidem repudiantes, nec amantes a Christo sanctificari. Manebunt enim ab frugum spiritualium copia undequaque et omnimodis destituti, et egebunt omni quod eos alere et ad spiritualem virilitatem evehere potest, frumentum et vinum non habentes, usu olei privati. Mystice loquimur: nam fidem recipientibus, seipsum Christus ut panem vitæ apponet (sic enim aiebat : « Ego sum panis vivus »), et ut vinum lætificans cor hominis [69]. Rursum intellige quod intelligentia perspicitur, quod sanctificat nimirum, et de ejus gratia participare intelligitur. Voluntatem autem sævam, acerbam et a Deo alienam, mentem incredulam et contumacem, prorsus inopem, et bonorum quæ modo diximus, omnino exsortem reddit. Sciamus etiam licet Paulum, qui sanctificavit Evangelium in gentibus, tantum non deflevisse incredulos ex Israel, cujus verbum est : « Tristitia est mihi magna [70], » et reliqua deinceps. Est autem mysticus et arcanus, ut dixi, super hæc sermo.

τε καὶ ἀξιάγαστον, ἵνα καὶ πρό γε τῶν ἄλλων αὐτοὶ Θεὸν ἐκμειλίσσωνται, καὶ αὐτὸν δὲ τὸν ἱεροφάντην ἀπομιμοῖντο Μωσέα, προεστηκότα τοῦ Ἰσραὴλ, καὶ Θεῷ λέγοντα· « Δέομαι, Κύριε, ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην, καὶ εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, ἐξάλειψον κἀμὲ ἐκ τῆς βίβλου ταύτης ἧς ἔγραψας. » Μεσιτεύει γὰρ τῆς ἱερωσύνης τὸ χρῆμα Θεῷ τε καὶ λαοῖς· καὶ τοῖς τεταγμένοις εἰς λειτουργίαν τὴν οὕτω σεπτὴν, πρέποι ἂν, οἶμαί που, καὶ μάλα εἰκότως, ἡ ἐν λιταῖς παῤῥησία. Μονονουχὶ γὰρ καὶ ὑπὲρ ἁπάντων τὴν ἰδίαν τῷ Θεῷ καθιεροῦσι ζωὴν, τὰ ὑπὲρ τῆς ἁμαρτίας θύματα ἐσθίοντες. Τοῦτο καὶ διὰ φωνῆς Ὡσηέ φησιν ὁ τῶν ὅλων Θεός· « Ἁμαρτίας λαοῦ μου φάγονται, καὶ ἐν ταῖς ἀδικίαις αὐτῶν λήψονται τὰς ψυχὰς αὐτῶν, » τουτέστιν, ὅταν ἀδικῶσι, τὸ δοκοῦν τῷ νόμῳ πλημμελοῦντες οἱ λαοὶ, τότε δὴ οἱ τῶν θείων θυσιαστηρίων ἱερουργοὶ λήψονται τῷ Θεῷ τὰς ἑαυτῶν ψυχὰς ὑπὲρ ἐκείνων. Τὸ δὲ « λήψονται » φησὶν, ἀντὶ τοῦ, « προσκομιοῦσιν, » ἤγουν ἀναθήσουσι. Ἀμβάνεσθαι γὰρ ἐλέγετο τὸ ἀνατιθέναι τῷ Θεῷ. Τί δὲ καὶ ἡ πρόφασις τοῦ πένθους αὐτοῖς; « Τεταλαιπώρηκε τὰ πεδία, » φησὶ, καὶ μέντοι καὶ σῖτος τοῖς ὀδοῦσι τῶν ἀκρίδων καταψιλούμενος, καὶ οἷον ἐρυσίβῃ καταπιμπράμενα. Φλέγει γὰρ, καὶ ἀφανίζει ὥσπερ τὰ ἐν ἀγροῖς. Δεῖν δέ φησιν οἰονείπως καὶ κατολοφύρεσθαι τὴν γῆν, ἀπολωλότων αὐτῇ τῶν καρπῶν. « Τεταλαιπώρηκε γὰρ σῖτος, ἐξηράνθη οἶνος, ὠλιγώθη ἔλαιον. Ἐξηράνθησαν, » τουτέστιν, οἴχεται πάντα τὰ ἐξ αὐτῆς, καὶ τὰ ἐφ' οἷς ἦν εἰκὸς καταθαυμάζεσθαι λίαν, ὡς καρπῶν ἀγαθῶν μητέρα καὶ τροφόν. Καὶ ταυτὶ μὲν ἡμῖν ὡς ἐν αἰσθηταῖς εἰρήσθω πράξεσι.

Καταθρηνήσει γε μὴν πᾶς, εἴ τίς ἐστι δοκιμώτατος ἱερεὺς, τοὺς ἐξ ἀμέτρου φρενοβλαβείας τὴν διὰ πίστεως κάθαρσιν οὐ προσιεμένους, οὐκ ἠγαπηκότας δὲ τὸ ἁγιάζεσθαι παρὰ Χριστοῦ. Ἀπομενοῦσι γὰρ ἔρημοι πάντη τε καὶ πάντως τῆς νοητῆς εὐκαρπίας, καὶ ἐν ἐνδείᾳ παντὸς ἔσονται τοῦ τρέφειν εἰδότος, καὶ εἰς ἀνδρείαν αὐτοὺς τὴν πνευματικὴν ἀναφέροντος, σῖτον καὶ οἶνον οὐκ ἔχοντες, καὶ τῆς ἐλαίου χρείας ἐστερημένοι· μυστικὸς γὰρ ὁ λόγος. Ὅτι τοῖς μὲν τὴν πίστιν προσιεμένοις, ἑαυτὸν παραθήσει Χριστὸς ὡς ἄρτον ζωῆς (ἔφασκε γάρ· « Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς »), ὡς οἶνον εὐφραίνοντα καρδίαν ἀνθρώπου. Σύνες πάλιν ὃ φημι. Καταχρίσουσι δὲ καὶ ἐλαίῳ, τῷ νοητῷ δηλονότι καὶ ἁγιάζοντι, καὶ ὡς ἐν μεθέξει νοουμένῳ τῆς παρ' αὐτοῦ χάριτος. Τοὺς δὲ γνώμην ἔχοντας ἀπηνῆ, πικρόν τε καὶ ἀφιλόθεον νοῦν, ἀπειθῆ καὶ δυσάγωγον, ἐνδεᾶ που πάντως ἀποφανεῖ, καὶ παντελῶς ἀμέτοχον τῶν ἀρτίως ἡμῖν εἰρημένων ἀγαθῶν. Ἰστέον δὲ, ὅτι καὶ Παῦλος ἱερουργῶν εἰς τὰ ἔθνη τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον, μονονουχὶ κατεθρήνει τοὺς ἀπειθοῦντας ἐξ Ἰσραήλ. Ἔφασκε γὰρ, ὅτι « Λύπη μοί ἐστι μεγάλη, » καὶ τὰ ἑξῆς. Μυστικὸς δὲ, ὡς ἔφην, καὶ κεκρυμμένος ὁ ἐπὶ τῷδε λόγος.

[67] Exod. xxxii, 31, 32. [68] Osee iv, 8. [69] Joan. vi, 41 ; Eccli. xl, 20. [70] Rom. ix, 2.

Digitized by Google

Γεωργοί, θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ κριθῆς, ὅτι ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ. Ἄμπελος ἐξηράνθη, καὶ αἱ συκαῖ ὠλιγώθησαν. Ῥοὰ καὶ φοῖνιξ, καὶ μῆλον, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν, ὅτι ἠσχύναν χαρὰ[ν] υἱοὶ τῶν ἀνθρώπων.

Θ'. Πένθος ἀληθῶς, ἄλγημά τε καὶ θρήνημα τοῖς εἰωθόσι γηπονεῖν, τῶν ἐν ἀγροῖς ἡ πανωλεθρία, καὶ τὸ μηδὲν ὅλως ἀπ' αὐτῶν συγκομίζειν δύνασθαι, καὶ μετὰ μακροὺς ἱδρῶτας ἔσθ' ὅτε. Αὖα δὲ τὰ ἐν κήποις ὁρᾶν τῶν ξύλων ἐξαίρετα, ληΐοις τε ὁμοῦ τὰς ἀμπέλους κατεφθαρμένας, καὶ αὐτὴν δὲ τὴν ἀγρίαν ὕλην τοῖς κήποις συγκαταφθίνουσαν. « Πάντα γὰρ, φησὶ, τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθησαν, ὅτι ἠσχυναν χαρὰ[ν] υἱοὶ τῶν ἀνθρώπων, » τουτέστιν, αἰσχύνης τε καὶ ἐντροπῆς, καὶ ἐλέγχων, ποινῆς τε καὶ δίκης ἀπέδειξαν καιρὸν οἱ κατοικοῦντες τὴν γῆν, καθ' ὃν εἰκὸς ἦν καὶ ἀνευρύνεσθαι ταῖς εὐημερίαις τὰ ἐξ ἀγρῶν συλλέγοντας, καὶ ἀναμετρεῖν μὲν σίτῳ τὰς ἀποθήκας, ἐπιφωνεῖν δὲ τρυγῶσι τὰς ἐπιληνίους ᾠδὰς, καὶ ταῖς οἰῶν ἀγέλαις ἐφῆδεσθαι, πλείστης τε ὄσης καὶ εὐανθοῦς αὐταῖς παρερριμμένης τῆς πόας.

Ἔοικε δὲ κἀν τῷδε πάλιν ὁ λόγος γεωργοὺς ὀνομάζειν αἰνιγματωδῶς τοὺς τῶν Ἰουδαίων ταγμάτων προεστηκότας τοτηνικάδε, οὓς καὶ δεῖν ἔφη καταθρηνεῖν, ὡς ὅσον οὔπω βαδιουμένων εἰς ὄλεθρον ἁπάντων τῶν κατὰ χώραν, ἤτοι τῶν κατοικούντων τὴν γῆν, οἳ καὶ ἐν τάξει πυροῦ, καὶ κριθῆς, καὶ ξύλων ὡραίων νοηθεῖεν ἄν. Ἐφαρμόσει δὲ τῶν νοημάτων ἡ δύναμις πρεπωδέστερόν που τάχα τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις. Οἳ καὶ γηπόνων ἐν τάξει κείμενοι πεπαρῳνήκασιν εἰς Χριστὸν, ἀπεκτόνασί τε τὸν κληρονόμον, ἵν' ἔχοιεν αὐτοὶ τὸν καρπὸν, γένοιντό τε λοιπὸν τοῦ ἀμπελῶνος δεσπόται, μονονουχὶ ληΐοις ὥσπερ ἐπαγαλλώμενοι τῇ πολυάνδρῳ πληθύϊ τῶν ὑποζευγμένων, καὶ τοὺς ἐν αὐτοῖς ὅτι μάλιστα λαμπροὺς, ὡς ῥοὰν, ὡς μῆλον ἀποτρυγᾶν εἰωθότας. Ἀλλ' εἶλεν αὐτοὺς ὁ Ῥωμαίων πόλεμος, δεδαπάνηκε μέγαν καὶ μικρὸν, λαμπρόν τε καὶ ἐπίσημον, ὡς ἐν συκαῖς νοουμένους, καθάπερ ἔφην ἀρτίως, ὡς ἐν ἀμπέλῳ τυχὸν, φοίνικί τε καὶ μήλῳ, καὶ ἐν ξύλοις, ὡς ἐν κριθῇ καὶ πυρῷ· διάφοροι γὰρ οἱ τρόποι, καὶ οὐχ ἐν ἅπασι τοῦ βίου τὸ μέτρον. Ἐπειδὴ δὲ ἅπαξ ἀγρῷ παρείκασε τὴν γῆν τῶν Ἰουδαίων, καὶ γηπόνους ὠνόμασε τοὺς προεστηκότας, σέσωκεν ὁ λόγος μέχρι παντὸς τὴν μεταφορὰν, ληΐοις τε καὶ ξύλοις κατὰ διάφορον τρόπον παραβάλλων τοὺς ὑπ' αὐτούς.

Εἰ δὲ δή τις οἴοιτο εἰς ἐξήγησιν ἠθικὴν ταυτὶ δὴ χρῆναι μετακομίζειν, φρονήσει καλῶς. Παρεικαστέον γὰρ ἀρεταῖς, καὶ τοῖς εἰς νοῦν κατορθώμασιν, ἄμπελον, καὶ συκῆν, καὶ τὰ ἕτερα τῶν ξύλων, ἃ καρποῖς ὡραίοις στεφανοῦσθαι φιλεῖ. Ἀλλ' εἰ μέν τις εἴη σοφὸς καὶ ἀγχίνους, καὶ αὐχημάτων ἀγαθῶν ἐπιμελητὴς, εὐανθῆ τε καὶ εὔξυλον τὸν εἰς νοῦν καὶ καρδίαν φορέσει κῆπον, πολυειδῆ τὴν ἀρετὴν τρέφων ἐν ἑαυτῷ, καὶ πάντα τρόπον ἐπιεικείας. Εἰ δὲ δὴ ῥᾴθυμος καὶ φιλήδονος, καὶ πολὺ λίαν ἐκνενευκὼς ἐπὶ τὰ αἰσχίω, καταθρηνήσει πάντως, μαραινομένης

A VERS. 11, 12. *Agricolæ, lugete possessiones pro frumento et hordeo, quia periit vindemia ex agro. Vinea aruit, et ficus imminutæ sunt. Malum granatum, et palma, et malum, et omnia ligna agri arefacta sunt, quoniam confuderunt gaudium filii hominum.*

IX. Luctum sine dubio, dolorem et ejulatum terræ cultoribus parit rerum in agris ex asse pernicies, cum nihil penitus inde licet colligere, idque post longos sudores aliquando. Et videre in hortis arefactas arbores generosas, et cum satis vites, et cum hortis silvas periisse. « Omnia enim ligna agri arefacta sunt, inquit, quoniam confuderunt gaudium filii hominum, » hoc est, habitatores terræ reddiderunt tempus dedecoris, pudoris, reprehen- B sionis, pœnæ et ultionis, quo tempore æquum erat augeri bonæ tempestatis dies his, qui fruges ex agris comportant, et illos frumento stipare horrea, et messoribus cantilenas messorias accinere, **208** lætari super ovium gregibus, uberi et viridanti herba se subjiciente pascentibus.

Videtur autem propheta hic rursum Judæorum per id tempus præsides et rectores agricolas nominare, quibus lugendum confirmat, ut mox omnibus qui in regione sunt, sive terram incolentibus, seu indigenis, exitium in cervicibus habituris : qui quidem indigenæ, frumenti, hordei et lignorum speciosorum vocabulis intelligendi sunt. Quanquam C hic sensus commodius fortasse in Scribas et Pharisæos conveniet, qui agricolarum locum tenentes, in Christum se injuriosos præbuerunt, et hæredem occiderunt, ut sibi fructum vindicarent, ac de cætero vineam possiderent, ingenti subditorum multitudine tantum non ut segetibus exsultantes, et in ea opibus eminentiores ut mala granata et poma decerpere soliti. Sed eos pessumdedit a Romanis bellum, magnum et parvum, illustrem et obscurum consumpsit, quasi ficus, ut modo dixi, quasi vites, palmam, malum, ligna, hordeum, frumentum : non est enim omnium una vivendi ratio, et institutum. Quia vero semel Judæam agro comparavit, et principes ipsos agricolas nominavit, in translatione mansit, et subditos cum satis atque D arboribus, alia atque alia de causa contulit.

Si quis hæc ad moralem expositionem accommodanda putabit, recte putabit. Conferendæ enim sunt virtutes, et præclaræ actiones animi cum vinea, ficubus et arboribus, quæ fructibus pulcherrimis decorantur. Quod si quis sapiens, et solers, et probatæ gloriæ studiosus fuerit, hortum belle florentem, et felicibus refertum arboribus in corde et animo suo excitabit, multa virtutum genera et omnes bonitatis modos in eo fovens. Sin contra ignavus, voluptati deditus, et ad inhonesta projectus, flebit largiter, marcente sibi bonitate et animo

Digitized by Google

sterilitatem multam experiente. Providenda sunt igitur prudentibus sollicite bona cordis, quæ semper aderunt utique, siquidem illis ipsis oblectare cœlestium bonorum suppeditatorem voluerint.

VERS 13. *Accingimini et plangite, sacerdotes, lamentamini qui ministratis altari. Ingredimini, dormite in saccis ministrantes Deo; quia defecit de domo Dei vestri sacrificium et libatio.*

209 X. Etiam his alte exaggerat quodammodo quæ acciderint, et metum incutit horribilem, remque longe plurimis obsecrationibus procurandam monet ex eo, quod sacerdotes ipsos plangere necesse est. Verumtamen latet quiddam artificii in his verbis. Quia namque idolorum delubris stultissime assederant, ac Deo ex ira perentiente, auxilium inde quæsiverant, utiliter universorum Dominus a sacerdotibus suis requirit, ut suppliciter orando aliis præeant, et ipsi afflicti ardentibus pœnitentiæ studiis præsint, ut cognoscant percussi quod, nisi Deo gratum facere velint eique supplices fieri, ejus ab se iram non aversuri sint. Oportet igitur, ait, sacerdotio fungentes propemodum etiam cæteris commodare de obsecrationum laboribus, ululatu, lamento, sacci amictu, per quem deliciarum et otii depositio significatur, durior tractatio, laborum molestia, et vitæ quæ sanctos deceat, sincerum inculpatumque studium. Deinde causam laboris hujus manifestam promens, defecisse inquit a domo Domini sacrificium et libamen. Dirum dictu : non enim affirmat sacrificium et libationem imminuta, aut inferiora facta ; sed defecisse potius, id est, omnino eversa ac profligata esse. Res gravis et molesta profecto magistratibus, si nullo modo a subjectis colatur Deus.

VERS. 14, 15. *Sanctificate jejunium, prædicate curationem, congregate seniores, omnes habitantes terram in domum Domini Dei vestri, et clamate ad Dominum vehementer: Heu mihi, heu mihi, heu mihi, in diem.*

XI. Quo pacto ipsis lugendum sit rursum demonstrat, seseque illis in viam pœnitentiæ ductorem sapientem præstat, et quibus universorum Dominus mitis ac benevolus efficiatur exponit. Hoc porro est, ut ego existimo, iram volentis inhibere et removere penitus quod contristat, et compescere quod lædit, et vitam insuper felicem bonorumque copiam largiri. Ait ergo, « Sanctificate jejunium. » Id est, tanquam anathema, et sacrificium vere sacratissimum, et a reprehensione alienum, usurpate jejunium. Haud enim fas est, ciborum abstinentia corpusculum emaciare, et inter jejunandum ea facere, quibus ad iracundiam Deus irritetur. Nam si, cum jejunio nos afficimus, a propriis voluntatibus discedere nolimus, et affligamus subditos, et ad judicium ac pugnas jejunemus, **210** et percutiamus pugno conditione

αὐτῷ τῆς ἐπιεικείας, καὶ πολλὴν παθόντος ἀκαρπίαν τοῦ νοῦ. Ἐπιμελητέον δὴ οὖν τοῖς ἐχέφροσι τῶν ἐν καρδίαις ἀγαθῶν, ἃ δὴ προσέσται πάντως, εἰ ἐπί τε σφίσιν αὐτοῖς εὐφραίνειν ἕλοιντο τὸν τῶν οὐρανίων ἀγαθῶν δοτῆρα.

Περιζώσασθε καὶ κόπτεσθε, οἱ ἱερεῖς· θρηνεῖτε, οἱ λειτουργοῦντες θυσιαστηρίῳ. Εἰσέλθατε, ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες Θεῷ· ὅτι ἀπέσχηκεν ἐξ οἴκου Θεοῦ ὑμῶν θυσία καὶ σπονδή.

Ι'. Αἴρει μὲν ὥσπερ καὶ διὰ τούτων ὕψι τὰ συμβεβηκότα, καὶ ἐν ἀφορήτοις ποιεῖται δείμασι, πλείστης μὲν ὅσης δεῖσθαι λιτῆς τὸ χρῆμα δηλῶν, διά γε τοῦ χρῆναι καὶ αὐτοὺς κατοιμώζειν τοὺς ἱερεῖς. Πλὴν ἔχει τι καὶ εὐτυχὲς ὁ λόγος. Ἐπειδὴ γὰρ τοῖς τῶν εἰδώλων τεμένεσιν ἀβουλότατα προσιζήσαντες, καίτοι Θεοῦ καταπαίοντος ἐξ ὀργῆς, τὰς ἐπικουρίας ἐζήτουν ἐκεῖθεν, ἀπονέμει χρησίμως ὁ τῶν ὅλων Θεὸς τοῖς ἰδίοις ἱερουργοῖς τὸ καθηγεῖσθαι λιταῖς, καὶ τληπαθῶς προεστάναι τῶν εἰς μετάγνωσιν σπουδασμάτων, ἵν' εἰδεῖεν οἱ πεπληγότες, ὡς εἰ μὴ Θεῷ μᾶλλον ἕλοιντο τὰ φίλα ζητεῖν, καὶ αὐτῷ προσάγοιεν τὰς λιτάς, οὐκ ἂν διακρούσαιντο τὴν ὀργήν. Χρῆναι δὴ οὖν ἔφη τοὺς ἱερατεύοντας, μονονουχὶ καὶ δανείζειν τοῖς ἄλλοις τοὺς ἐν ταῖς λιταῖς πόνους, κωκυτόν τε καὶ θρῆνον, καὶ σάκκου περιβολήν, δι' οὗ σημαίνεται τρυφῆς καὶ ἀναπαύλης ἀπόθεσις, σκληραγωγία, καὶ πόνος, καὶ ζωῆς ἁγιοπρεποῦς ὀρθὴ καὶ ἀμώμητος ἐπιτήδευσις. Εἶτα τοῦ πόνου τὴν αἰτίαν ἐναργῆ καθιστὰς, ἀπεσχηκέναι φησὶν ἐξ οἴκου Κυρίου θυσίαν καὶ σπονδήν. Δριμὺς ὁ λόγος· οὐ γὰρ πρὸς τὸ μεῖον ἐνηνέχθαι, ἢ ἠλαττῶσθαί φησι θυσίαν καὶ σπονδήν, ἀπεσχηκέναι δὲ μᾶλλον, ὅπερ ἐστὶ παντελῶς ἀνατροπῆς σημαντικόν. Δεινὸν δὲ τὸ χρῆμα καὶ δυσαχθὲς ἀληθῶς τοῖς λαῶν προεστηκόσιν, εἰ κατὰ μηδένα τρόπον ὑπὸ τῶν ὑπεζευγμένων θεραπεύοιτο Θεός.

Ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε πρεσβυτέρους, πάντας κατοικοῦντας γῆν εἰς οἶκον Θεοῦ ὑμῶν, καὶ κεκράξατε πρὸς Κύριον ἐντεύξει· Οἴμοι, οἴμοι, οἴμοι, εἰς ἡμέραν.

ΙΑ'. Τίνα δὴ τρόπον αὐτοὺς ποιεῖσθαι προσήκει τὸ πένθος, διατρανοῖ πάλιν, καὶ ὑφηγητὴς σοφὸς αὐτοῖς φαίνεται τῆς εἰς μετάγνωσιν ὁδοῦ, καὶ τὰ δι' ὧν ἂν γένοιτο πρᾶος καὶ εὐμενὴς ὁ τῶν ὅλων Θεὸς, καταδείκνυσι. Τοῦτο δὴ ἦν, οἶμαι, καὶ ἀνακόψαι θέλοντος τὴν ὀργὴν, καὶ ἀφανίσαι τὸ λυποῦν, καὶ περιστεῖλαι τὸ βλάπτον, ἐπιδοῦναί τε πάλιν αὐτοῖς τὸ εὐημερεῖν, καὶ διαχεῖσθαι τοῖς ἀγαθοῖς. Ἔφη τοίνυν· « Ἁγιάσατε νηστείαν, » τουτέστιν, ὡς ἐν ἀναθήματος ποιεῖσθε τάξει, καὶ ὡς ἐν θυσίας τρόπῳ, τὴν ὡς ἀληθῶς πανάγιον καὶ ἀμώμητον νηστείαν. Οὐ γὰρ δὴ προσήκει ταῖς μὲν ἀσιτίαις κατατήκεσθαι τὸ σαρκίον, ὀργᾶν δὲ αὐτοὺς νενηστευκότας τὰ ἐφ' οἷς ἂν παροτρύνοιτο Θεός. Εἰ γὰρ μέλλοιμεν ἐν καιρῷ νηστείας τῶν ἰδίων οὐκ ἀποπαύεσθαι θελημάτων, ὑπονύττειν δὲ τοὺς ὑποχειρίους εἰς κρίσιν τε καὶ μάχας, τύπτειν τε πυγμαῖς ταπεινὸν κατὰ τὸ γένος, οὕτω νενηστευ-

Digitized by Google

καμεν ὡς δεῖ· πόνων δὲ ζημίας ὑπομενοῦμεν εἰκότως, Θεοῦ διακεκραγότος· « Οὐ γὰρ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην. » Δεῖ δὴ οὖν ἀποσχέσθαι φαυλότητος, ἕπεσθαί τε, καὶ μάλα νεανικῶς, τοῖς τοῦ νομοθέτου δόγμασι, τὴν καρδίαν ἀπευθύνοντας πρὸς πᾶν ὅτιοῦν τῶν ἀρεσκόντων αὐτῷ, καὶ τὸν τῆς διανοίας ὑποσφέροντας αὐχένα, ψάλλοντάς τε καὶ λέγοντας· « Ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας. » Καὶ μὴν πρὸς τῷδε κἀκεῖνο τὸ προφητικόν· « Ἰδοὺ οἵδε ἡμεῖς ἐσόμεθά σοι, ὅτι σὺ Κύριος ὁ Θεὸς ἡμῶν εἶ. » Παράστασις γὰρ ἥδε πνευματικὴ, καὶ ἀνδάνουσα τῷ Θεῷ ὑπὲρ μόσχον νέον, ὑπὲρ ἀμνὸν ἐκ ποιμνίων, ὑπὲρ ἔριφον ἐξ αἰγῶν, ὑπὲρ σεμίδαλιν καὶ λιβανωτόν. Πνευματικαῖς γὰρ θυσίαις εὐαρεστεῖται Θεός. Ἁγιάζοντες δὲ τὴν νηστείαν, κηρύξωμεν θεραπείαν, τουτέστι, τὴν τῶν θείων θελημάτων ἐκπλήρωσιν, ᾗ δὴ καὶ πρεπόντως παρέποιτο ἂν τὸ εὐθὺ, τὸ εὐάγωγον τοῦ τρόπου, τὸ πρὸς πᾶν ἁπλῶν ἕτοιμον τῶν εἰς εὐσεβείας ἡκόντων λόγους. Ἐπιτελέσωμεν δὲ τοὺς τρόπους τῆς θεραπείας, συνειλεγμένων ἐν Ἐκκλησίᾳ τῶν ἐκ γερουσίας, συνδεδραμηκότων καὶ πάντων τῶν κατοικούντων τὴν γῆν, κλαιόντων τε καὶ μάλα συντόνως εἰς ὅλην ἡμέραν, καὶ ἀραρότως διακειμένων, ὅτι πάντων ἐλεεῖ Θεός· *ἔστι γὰρ « μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινὸς, ἐλαίρων ἀνομίας, καὶ ὑπερβαίνων ἀδικίας, »* καὶ οὐ *συνέχων εἰς μαρτυρίαν ὀργὴν* αὐτοῦ κατὰ τὸ γένος, « Ὅτι θελητὴς ἐλέους ἐστί. »

humilem, nondum ut decet jejunamus, et afflictionum pœnas dabimus, merito clamante Deo: « Nunquid hoc est jejunium, quod elegi [73]? » Abstinendum igitur ab improbitate, et mandata legislatoris exhaurienda strenue, dirigendumque cor ad omne Dei beneplacitum, et mentis cervix subjicienda, psallendumque ac dicendum: « Vide humilitatem meam ac laborem meum, et dimitte omnia peccata mea [73]. » Insuper illud propheticum: « Ecce nos tui erimus, quia tu Dominus Deus noster es. » Hæc enim spiritualis est oblatio, et placet Deo super vitulum novellum [74], super agnum de gregibus, super hædum de capris, super thus et similam. Spiritualibus namque sacrificiis recreatur. Sanctificantes autem jejunium prædicemus curationem, hoc est, divinarum voluntatum expletionem, quam decenter comitabitur rectitudo, morum tractabilitas, ad omnia promptus ac paratus animus, quæcunque pietati sunt affinia. Exsequemur vero modos curationis congregatis in Ecclesia senibus, et confluentibus universis terram habitantibus, plorantibusque vehementer tota die, et convenienter affectis, quoniam omnium miseretur Deus: est enim « longanimis, et multæ misericordiæ et verax [75], et auferens iniquitates [76], et superans justitias [77], » neque continens iram suam in testimonium natura sua, « Quoniam volens misericordiam est [78]. »

Ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου, καὶ ὡς ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει. Κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν βρώματα. Ἐξωλοθρεύθη ἐξ οἴκου Θεοῦ ὑμῶν εὐφροσύνη, καὶ χαρά.

Vers. 15, 16. *Quoniam juxta est dies Domini, et quasi miseria de miseria veniet. Ante oculos vestros alimenta. Sublata sunt de domo Dei vestri lætitia et gaudium.*

ΙΒ'. Ἡμέραν Κυρίου φησὶ, καθ' ἣν ἔδει πληροῦσθαι τὰ ἐξ ὀργῆς, ἢ τῆς ἀκρίδος αὐτοῖς ἐπενηνεγμένης, καὶ τὰ ἐν ἀγρῷ δαπανώσης, καὶ εἰς λιμοῦ καὶ ἐνδείας πεμπούσης δείματα, καὶ αὐτὴν ἐντιθείσης τοῦ θανάτου τὴν πτόαν, ἦγουν τῶν Βαβυλωνίων καταφθειρόντων ἅπαντα, πόλεσί τε καὶ κώμαις ἐμφυομένων, ἄλλο τε ἐπ' ἄλλῳ προσεργαζομένων κακὸν, καὶ ταλαιπωρίαν ἐκ ταλαιπωρίας προσεπιῤῥιπτούντων ἀεὶ ἐνοικοῦσι τὴν γῆν, ὡς μηδ' ὅσον εἰπεῖν ἀναπνεῦσαι δύνασθαι βραχὺ, καί τι διὰ μέσου γενέσθαι χρηστόν· ἐφ' ὧνπερ ἦν εἰκὸς, κἂν γοῦν ἀπὸ μέρους μετρίαν δύνασθαι παραψυχὴν ἔχειν τοὺς τῇ συχνότητι λοιπὸν τῶν κακῶν ἀφορήτως ἐντετηγμένους. Ἐπειδὴ δὲ πεπαινομένων τῶν καρπῶν ἤδη, καὶ τὸν ἀμῶντα λοιπὸν καλούντων ἐφ' ἑαυτοῖς τῶν ληΐων, βότρυός τε καταπερκάζοντος, καὶ γλιχομένου ἐκλίβεσθαι, γέγονέ που τάχα τῆς ἀκρίδος ἡ ἐμβολὴ, Βρώματα, φησὶν, ἐξωλοθρεύθη ἐξ ὀφθαλμῶν αὐτῶν, οἷον ἁρπασμένων τῶν ἐν ὄψει γεγενημένων, παρακειμένων ὥσπερ αὐτοῖς, καὶ τὴν ἀπόλαυσιν ἐχόντων ἑτοιμοτάτην. Ἐξῃρῆναι δὲ πάλιν διαβεβαιοῦται καὶ ἐξ οἴκου Κυρίου τὴν εὐφροσύνην καὶ τὴν χαράν. Ἔθουν γὰρ, ταῖς ἐξ ἀγρῶν εὐκαρπίαις ἐπαγαλλόμενοι, καὶ

XII. Diem Domini vocat, qua iræ ejus satisfieri oportet, aut locusta ipsis immissa, et fruges in agro depascente, et famis atque penuriæ horrores inculciente, ipsumque mortis pavorem inferente; aut Babyloniis omnia vastantibus, urbibusque et vicis incumbentibus, et cladem clade cumulantibus, miseriamque ex miseria indigenis superadjicientibus, ut ne ad punctum quidem temporis paulum respirare queant, et interea aliquid boni fiat. Et æquum erat saltem ex parte et mediocri solatio perfrui, qui tot incommodis sese consequentibus intolerandum in modum affecti fuissent. Et quia frugibus **211** maturis, et segetibus messorem jam vocantibus, et uva cocta calcarique desiderante, locusta celeriter forte irrupit, alimenta ab oculis eorum ablata esse pronuntiat, velut si abrepta fuissent, quæ in conspectu et ante oculos sibi posita, et ad fruendum maxime in promptu habuissent. Denuo affirmat de domo Domini lætitiam et gaudium periisse. Sacrificabant enim cum exsultatione de uberi frugum proventu, tradebantque se hilaritati omnimodis, gratiarum munera dedicantes, quod terræ bonis affatim circumfusi essent.

[73] Zach. VII, 5. [73] Psal. XXIV, 18. [74] Psal. LXVIII, 32. [75] Psal. CII, 8. [76] Exod. XXXIV, 7. [77] Psal. LXXIV, 3. [78] Osee VI, 6.

Digitized by Google

τοὺς τῆς εὐφροσύνης τρόπους ἐπετήδευον ἀνατιθέντες τὰ χαριστήρια, διά τοι τὸ περιχεῖσθαι πλουσίως τοῖς ἐκ γῆς ἀγαθοῖς.

Similiter evenit iis qui in Christum petulantissimi exstiterunt. Fuit enim ipsis ante oculos jam « panis vivus qui de cœlo descendit, et dat vitam mundo [79]: » granum tritici, quod lapsum in terram multiplicem fructum protulit [80]; vinum quod mente cernitur, et cor hominis lætificare consuevit [80*]. Sed quia non destiterunt in incredulitatibus suis contumeliam facere, ab eorum conspectu, et tanquam e medio ablata sunt omnia alimenta spiritualia, et abscessit ab eis omnis boni communicatio, periitque a domo eorum lætitia et gaudium. Dati sunt enim in desolationem, et in ærumna relinquuntur, nec regem habentes, nec principem, nec sacrificium, nec altare, nec sacerdotem, nec manifesta [81]. Alio item modo ab oculis eorum alimenta et lætitiam, et gaudium ablata esse dicimus. Ait enim Dominus: « Non in solo pane vivet homo, sed in omni verbo, quod procedit de ore Dei [82]. » Mentis autem cibus verbum est. Nemo dubitaverit affirmare hoc verbum, inquam, a Judæis ablatum esse, ad inopiam enim spiritualis alimoniæ redacti sunt; nec scripta Moysis intellexerunt, « sed usque hodie positum est velamen super cor eorum [83]; » oderunt siquidem Christi oracula. Periit ipsis omnis esca spiritualis; non quod ipsa perniciem passa sit, sed quia passis non apponitur; et quantum in ipsis fuit, nulla est amplius omnino. Verum Dominus in se credentibus delicias impertitur, et vitam lautam ac delicatam in bonis cœlestibus. Scriptum est enim : « Non occidet Dominus fame animam justi; vitam autem impiorum subvertet [84]. »

Εὑρήσομεν δὲ τοιοῦτόν τι πεπονθότας καὶ αὐτοὺς δὴ μάλιστα τοὺς εἰς Χριστὸν πεπαρῳνηκότας. Γέγονε μὲν γὰρ αὐτοῖς ἐν ὀφθαλμοῖς ἤδη πως « ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐξ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, » ὁ κόκκος τοῦ σίτου, ὁ πεσὼν εἰς γῆν, καὶ πολλοστὸς ἀναφὺς, ὁ νοητὸς οἶνος, ὁ καρδίας ἀνθρώπων κατευφραίνειν εἰδώς. Ἐπειδὴ δὲ οὐ διαλελοίπασι ταῖς ἀπειθείαις ὑβρίζοντες, γέγονεν αὐτοῖς ἐξ ὀφθαλμῶν, καὶ οἷον ἐκ μέσου βρώματα πνευματικά. Ἀποπεφοίτηκε γὰρ αὐτῶν ἡ παντὸς ἀγαθοῦ μέθεξις. Ἐξῆρται δὲ καὶ ἐξ οἴκου τοῦ παρ' αὐτοῖς εὐφροσύνη, καὶ χαρά. Δέδονται γὰρ εἰς ἐρήμωσιν, καὶ διατελοῦσιν οἱ τάλανες οὐκ ὄντος βασιλέως οὐδὲ ἄρχοντος, οὐκ οὔσης θυσίας, οὐδὲ ὄντος θυσιαστηρίου, οὔτε ἱερέως, οὔτε δήλων. Καὶ καθ' ἕτερον δὲ τρόπον ἐξῃρῆσθαί φαμεν ἐξ ὀφθαλμῶν αὐτῶν τά τε βρώματα καὶ τὴν εὐφροσύνην, καὶ τὴν χαράν. Ἔφη μὲν γὰρ ὁ Κύριος· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐν παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Νοῦ δὲ τροφὴ, λόγος. Οὐκ ἂν δ' ἐνδοιάσειέ τις τοῦτο τῆς Ἰουδαίων πληθύος ἐξῆρθαι λέγειν. Γεγόνασι γὰρ ἐν ἐνδείᾳ τροφῆς πνευματικῆς, οὐ νενοήκασι τὰ Μωσέως, « ἀλλ' ἄχρι σήμερον κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· » μεμισήκασι γὰρ τὰ τοῦ Χριστοῦ θεσπίσματα. Ὠλόθρευται αὐτοῖς πᾶσα ἡ πνευματικὴ τροφὴ, οὐκ αὐτὴ παθοῦσα τὸν ὄλεθρον, ἀλλὰ τοῖς πεπονθόσιν οὐκ ἔτι παρακειμένη, καὶ ὅσον ἦκεν εἰς ἐκείνους, οὐδὲ ὑπάρχουσα παντελῶς. Ἀλλ' ὅ γε Κύριος τοῖς εἰς αὐτὸν πιστεύουσι τὸ χρῆναι τρυφᾶν διανέμει, καὶ ἐνσπαταλᾷν ἀγαθοῖς τοῖς ἄνωθεν. Γέγραπται γὰρ, ὅτι « Οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίου, ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει. »

Vers. 17,18. *Saltaverunt vitulæ in præsepibus suis, dissipati sunt thesauri, suffossa sunt* 212 *torcularia, quia arefactum est triticum. Quid reponemus nobis? fleverunt armenta boum, quia non erant pascua eis, et greges ovium disperierunt.*

Ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν, ἠφανίσθησαν θησαυροὶ, κατεσκάφησαν ληνοὶ, ὅτι ἐξηράνθη σῖτος. Τί ἀποθήσομεν ἑαυτοῖς; ἔκλαυσαν βουκόλια βοῶν, ὅτι οὐκ ὑπῆρχε νομὴ αὐτοῖς, καὶ τὰ κοίμια τῶν προβάτων ἠφανίσθησαν.

XIII. Etiam brutis animantibus divinitus inspirata Scriptura nonnunquam rationem affingit, naturam rerum lepore quodam et festivitate distinguens, et quasi moralem eorum œconomiam describens, quæ nos intelligere par est. Deinde quid mirum, etiamsi vitula dicatur aliquando saltasse flevisseque armenta boum? Intolerandum enim in modum fame premebantur. Forte enim exsiliissent et lamentata essent ipsa arva, si quam intelligentiæ partem habuissent. « Dissipati sunt thesauri, inquit, et suffossa torcularia; » penitus neglecta forsitan, quod nihil ex agris colligeretur; sed falx otiosa esset ad botrum in vinea, spica in agris utpote prostrata, aruisset, nec ad maturitatem pervenisset. Ideo ait, « Quid reponemus nobis? » Quia autem, ut dicit, cum fructibus mitioribus, et ipsæ

ΙΓ'. Καὶ τοῖς ἀλόγοις τῶν ζώων ἔσθ' ὅτε λόγον περιτίθησιν ἡ θεόπνευστος Γραφὴ, τὰς τῶν πράξεων φύσεις εἰς τὸ εὔχαρί τε καὶ ἀστεῖως ἔχον ἐντέχνως διαποικίλλουσα, καὶ οἷον ἐν εἴδει γράφουσα τὰς οἰκονομίας, ὧν ἂν πρέποι νοεῖν. Εἶτα τί θαῦμα, κἂν εἰ δάμαλις λέγοιτο διασκιρτᾷν τυχὸν, κλαῦσαί τε βουκόλια βοῶν; Ἀφορήτως γὰρ αὐτὰ κατεπιέζοντο τῷ λιμῷ. Τάχα πως καὶ ἀνεσκίρτησαν ἄν, καὶ τεθρηνήκασιν ἀγροὶ, εἴπερ ἦν αὐτοῖς αἴσθησις τῶν ἐπενηνεγμένων. Ἠφανίσθαι δέ φησι θησαυροὺς, καὶ κατεσκάφθαι ληνοὺς, οὐδεμιᾶς που τάχα φροντίδος ἠξιωμένους, διά τοι τὸ μηδὲν ἐξ ἀγρῶν συλλέγεσθαι, ἀλλὰ δρεπάνην μὲν ἀπρακτεῖν τὴν ἐν ἀμπέλῳ καὶ βότρυϊ, ξηρὸν δὲ καὶ ἀτελεσφόρητον τοῖς ἀγροῖς ἐπικλίνειν τὸν στάχυν. Ταύτῃ φησί· « Τί ἀποθήσομεν ἑαυτοῖς; » Ὅτι δὲ, ὡς ἔφην, τοῖς τῶν καρπῶν ἡμέροις καὶ αὐτοῖς

[79] Joan. VI, 33. [80] Joan. XII, 24, 25. [80*] Eccli. XL, 20. [81] Dan. III, 38. [82] Matth. IV, 4. [83] II Cor. III, 15. [84] Prov. X, 3.

Digitized by Google

συνδιολώλασιν αἱ τῆς ἐρήμου πόαι, καθίστησιν ἐναργὲς, ἡφανίσθαι λέγων καὶ αὐτὰ τῶν προβάτων τὰ πίμνια, λιμῷ πάντως κατεφθαρμένα, καὶ τῆς συνήθους καὶ φιλαιτάτης αὐτοῖς ἐστερημένα ζωῆς. Ἐφαρμόττει δὲ καὶ ταῦτα σοφῶς ταῖς Ἰουδαίων συμφοραῖς, οἳ πεπαρφήκασιν εἰς Χριστόν.

Πρὸς σὲ, Κύριε, βοήσομαι, ὅτι πῦρ ἀνήλωσε τὰ ὡραῖα τῆς ἐρήμου, καὶ φλὸξ ἀνῆψε πάντα τὰ ξύλα τοῦ ἀγροῦ, καὶ τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σὲ, ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων, καὶ πῦρ κατέφαγε τὰ τῆς ἐρήμου.

ΙΔ'. Ὡραῖα μὲν τῆς ἐρήμου φησὶ τὰ ἐν πεδίοις τάχα που τοῖς ἀνηρότοις αὐτομάτως ἀναφυόμενα· ξύλα γε μὴν τοῦ ἀγροῦ, τὰ ἐν κήποις καὶ παραδείσοις εὐγενῆ βλαστήματα, καὶ ταῖς ἐξ ὡρῶν εὐκαρπίαις περιανθίζεσθαι πεφυκότα. Ταῦτα δὲ ἐν εἴδει πυρὸς κατεδηδοκέναι φησὶν μονονουχὶ βροῦχόν τε καὶ ἐρυσίβην. Ποιεῖται δὲ χρησίμως τὴν πρὸς Θεὸν εὐχὴν ἐκτενέστατα, διδάσκων, ὡς ἥκιστα μὲν παρ' ἑτέρου ζητεῖν δεήσει τῆς συμφορᾶς τὴν ἀπόστασιν, προσάγειν δὲ μόνῳ τῷ σώζειν ἰσχύοντι τὰς λιτὰς, καὶ ὡς ἐξ ὀργῆς ἐπάγοντι τὰ καταλυπεῖν εἰωθότα. Μὴ γὰρ δὴ χρῆναι φρονεῖν εὖ μάλα φησὶν αὐτομάτως συμβῆναι τὰ τοιάδε τῶν κακῶν, ἐπενηνέχθαι δὲ μᾶλλον ὡς ἐκ θείων αὐτοῖς μηνιμάτων, καὶ τοῦτο αὐτὸς ἡμῖν ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς ἑτέρου προφήτου φησίν· « Εἰ ἔσται κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν. » Οὐ γὰρ ἂν γένοιτό τι τῶν κακοῦν εἰωθότων πόλεις, ἢ χώρας, ὃ πράττοιτο ἂν μὴ οὐκ ἐφιέντος Θεοῦ. Σώζει γὰρ οὓς ἂν ἕλοιτο, καὶ ἀπαλλάττει κακῶν. Ἀναπείθει οὖν τῶν λελυπηκότων τὴν λύσιν ζητεῖν παρὰ Θεοῦ, ῥιπτοῦντας μακρὰν τό γε οἴεσθαι δεῖν τῆς τῶν ψευδωνύμων Θεῶν χειρὸς, καὶ ἐπικουρίας δεδεῆσθαι τὰ κατ' αὐτούς. « Ἐξηράνθησαν δὲ, φησὶν, ἀφέσεις ὑδάτων. » Ὑετοῦ γὰρ οὐκ ἄρδοντος τὴν γῆν, καθιεμένης δὲ πρὸς τούτῳ τῆς ἐρυσίβης, ἐξωπλισμένης δὲ καὶ ἀκρίδος, καὶ βρούχου πηδῶντος, καὶ κάμπης ἑρπούσης, πῶς ἂν ἀμφίβολον ἦν ὡς πάντως οἴχοιτο ἂν αὐτοῖς τὰ ζωαρκῆ πρὸς τὸ μηδέν; Καταφθειρομένης δὲ καὶ πόας, πᾶσά πως ἀνάγκη καὶ κτήνη παθεῖν τὸν ὄλεθρον.

Φαίην δ' ἄν, ὅτι τάχα που καὶ Ἰουδαίοις, ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐπιστρέφουσι πρὸς Θεὸν, πρέποι ἂν εἰπεῖν τὰς τοιάσδε φωνὰς, ταῖς τῶν ἀγαθῶν ἐνδείαις ἐντεθλιμμένοις, καὶ κατοιμώζουσι. Δεδαπάνηται γὰρ αὐτοῖς ὡς ὑπὸ πυρὸς τὰ εἰς νοῦν ἀγαθὰ, ἀκρίς τε αὐτὰ νοητὴ κατεδήδοκε, καὶ ἐξηράνθησαν ἀφέσεις. Ἐντεῖλατο γὰρ ταῖς νεφέλαις τοῦ μὴ βρέξαι ὑετὸν ἐπὶ τῆς γῆς, κατὰ τὸ γένος, καὶ γέγονεν ἄβατός τε καὶ ἄνυδρος γῆ, ἥτις οὐ κατοικηθήσεται. Ἡμῶν δὲ δὴ περὶ τῶν ἐν πίστει δεδικαιωμένων προανεφώνει Θεὸς, καὶ τῶν διὰ Χριστοῦ χαρισμάτων ἀμφιλαφεστάτην ἔσεσθαι τὴν χορηγίαν ὑπεδήλου, λέγων· « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων. » Καὶ

A solitudinis herbæ perierunt, subjicit clare, ovium greges interiisse, fame enectos funditus, consueto et gratissimo ipsorum victu privatos. Hæc porro non inscite ad Judæorum calamitates trahentur-qui Christum injuriis vexaverunt.

Vers. 19, 20. *Ad te, Domine, clamabo, quoniam ignis consumpsit speciosa deserti, et flamma succendit omnia ligna agri, et jumenta campi suspexerunt ad te, quoniam arefactæ sunt emissiones aquarum, et ignis devoravit speciosa deserti.*

XIV. Speciosa deserti appellat fortasse, quæ in campis non aratis sponte enascuntur. Ligna vero agri, hortorum et viridariorum nobilia germina, et tempestiva fructuum copia circumornari solita. B Hæc velut ignem devorasse propemodum bruchum et rubiginem autumat. Intensissime autem Deum precatur, et utiliter, dicens minime apud alium quærendam depulsionem calamitatis, et soli supplicandum illi, qui salutem afferre potest, et iratus repellere, quæ habere molestiam consueverunt. Non enim cogitandum, et recte sane, hujusmodi mala per se contingere, sed ex ira divina potius inferri; id quod nobis universorum Dominus per os alterius prophetæ **213** indicat: « Si erit malum in civitate, quod non fecit Dominus [84]. » Haud enim quidquam eorum quibus civitates et regiones affliguntur, Deo non immittente evenerit. Servat enim quos vult, et malorum immunes reddit. Suadet igitur propheta, eorum quæ nocent repulsam a Deo petere, opinione C illa procul ejecta, falsorum deorum opem manum et auxilium in suis rebus sibi esse imploran-dum. « Arefactæ sunt, inquit, emissiones aquarum. » Pluvia quippe terram non irrigante, et immissa præterea rubigine, armata item locusta, et brucho saltante, et eruca repente, quinam dubium erat, quin ipsis vitæ sustentandæ necessaria perirent funditus? Herba autem intereunte, prorsus et jumenta interire necesse est.

Dixerim porro, fortasse a Judæis, extremis mundi temporibus ad Dominum revertentibus bonorum inopia pressis et ejulantibus, apte dici posse has voces. Consumpta sunt enim, quasi ab igne, ipsorum bona animi, locusta quæ mente concipitur illa D devoravit, et exaruerunt emissiones aquarum. Mandavit enim nubibus ne pluerent imbrem super terram, pro more et natura sua [85], et facta est terra invia et inaquosa [86], » quæ non habitabitur. De nobis autem in fide justificatis prænuntiavit Deus, et per Christum nos charismatis copiosissime donatum iri significavit, his verbis: « In illa die stillabunt montes dulcedinem, et colles fluent lacte; et omnes emissiones Juda fluent aquis, et fons de domo Domini egredietur, et irrigabit torrentem funium [87]. » Quin et aliter: « Ego Dominus Deus; ego exa-

[84] Amos III, 6. [85] Isa. V, 6. [86] Psal. LXII, 3. [87] Joel III, 18.

Digitized by Google

diam eos Deus Israel; non derelinquam eos, sed aperiam in montibus flumina, et in medio camporum fontes, et faciam desertum in paludes, et sitientem terram in aquæductus [88].» In his itaque nos sumus. Quod si ad pœnitentiam se conferent, et Deum respicient, et dicent etiam ipsi, « Ad te clamabo, » accipient aquarum emissiones, et haurient nobiscum aquam quæ sola intelligentia videtur, de fontibus Salvatoris [89], potabunturque torrente voluptatis [90] a Deo Patre, et fontem vitæ in cordibus habebunt. Apponentur ipsis etiam ad delicias speciosa deserti, id est, pascua bona et ampla, convertentia eos ad cognitionem divinam et evangelicam, quæ in Christo mente concipitur.

A μὴν καὶ ἑτέρως· « Ἐγὼ Κύριος ὁ Θεὸς, ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς, ἀλλ' ἀνοίξω ἐπὶ τῶν ὀρέων ποταμοὺς, καὶ ἐν μέσῳ τῶν πεδίων εἰς ἕλη, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. » Οὐκοῦν ἡμεῖς μὲν ἐν τούτοις. Εἰ δὲ δὴ βαδίζοιεν πρὸς μετάγνωσιν, καὶ ἀναβλέψοιεν πρὸς Θεὸν, λέγοιέν τε καὶ αὐτοὶ, « Πρὸς σὲ, Κύριε, κεκράξομαι, » λήψονται τὰς τῶν ὑδάτων ἀφέσεις, ἀντλήσουσί τε μεθ' ἡμῶν τὸ ὕδωρ τὸ νοητὸν, καὶ ἐκ τῶν πηγῶν τοῦ σωτηρίου ποτισθήσονται, καὶ τὸν χειμάρρουν τῆς τρυφῆς παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ τὴν πηγὴν τῆς ζωῆς ἕξουσιν ἐν καρδίαις. Παρακείσεται δὲ αὐτοῖς εἰς τρυφὴν καὶ τὰ ὡραῖα τῆς ἐρήμου, τουτέστι, νομὴ καλὴ καὶ ἀμφιλαφὴς, εἰς γνῶσιν αὐτοὺς ἀποστρέφουσα τὴν ἐν Χριστῷ νοουμένην θείαν τε καὶ εὐαγ-
B γελικήν.

214 CAP. II.

VERS. 1, 2. *Canite tuba in Sion, prædicate in monte sancto meo, et conturbentur omnes habitantes terram, quoniam adest dies Domini; quoniam prope est dies tenebrarum et caliginis, dies nubis et nebulæ.*

XV. Venuste sane rursum nobis belli facies describitur, et vera est descriptio, sive in locusta, sive in brucho forte intelligatur, sive quis de ipsis Babyloniis accipere maluerit. Quasi enim bello jam per portas ingresso, et per totam ferme Sionem, seu per totam Judæam vulgato, tumultu et terroribus urbem completam
C esse dicit: « Adest enim dies Domini. » Quod hanc habet vim: res non est amplius nuda prædictio, sed ante oculos omnia quæ prænuntiata fuerunt, et ipsa experientia gesta sunt. Ac melius erat multo ad meliora se applicare voluisse, et ante adventum præsentiamque malorum sollicitudinem excussisse. Itaque de pœnitentia incertum esse consilii non sinit, sed deposito animi velut languore et ignavia, ad operis studium expedite aggredi, et ad voluntatem sibimetipsis viriliter succurrendi incumbere jubet, ad Deum properando, veterumque delictorum maculas virtutibus sufficiendis delendo videlicet. Ideo ait prope adesse diem Domini, qua futuri sint tanquam in nebula, et tenebris, famem a locusta invehendam, sive ex Assyriorum impres-
D sione supra caput ipsis astantem calamitatem et perniciem metuentes.

VERS. 2, 3. *Sicut mane fundetur super montes populus multus, et fortis; similis ei non fuit a sæculo, et post eum non erit usque ad annos in generationes generationum. Ante eum ignis consumens, et post eum succensa flamma. Sicut paradisus voluptatis terra ante faciem ejus, et posteriora illius sicut campi desolationis, et salvatus non erit ei.*

XVI. Mane videtur appellare aut matutinum rorem qui universe per tines regionis diffusus, nihil

ΚΕΦΑΛ. Β'.

Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, κηρύξατε ἐν ὄρει ἁγίῳ μου, καὶ συγχυθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν γῆν, διότι πάρεστιν ἡμέρα Κυρίου, ὅτι ἐγγὺς ἡμέρα σκότους καὶ γνόφου, ἡμέρα νεφέλης καὶ ὁμίχλης.

ΙΕ'. Γράφεται δὴ πάλιν ἀστείως ἡμῖν τοῦ πολέμου τὸ σχῆμα. Εἴη δ' ἂν καὶ ἐπ' ἀμφοῖν ἀληθὲς, κἂν εἰ ἐπ' ἀκρίδος καὶ βρούχου τυχὸν νοοῖτο, κἂν εἰ ἐκ' αὐτῶν ἕλοιτό τις τῶν Βαβυλωνίων. Ὡς γὰρ ἤδη τοῦ πολέμου βεβηκότος τε εἴσω θυρῶν, καὶ μονονουχὶ κατὰ πᾶσαν τὴν Σιὼν, ἤγουν ἐν ὅλῃ τῇ Ἰουδαίᾳ περιηγγελμένου, καὶ θορύβου, καὶ δειμάτων ἀναπλησθῆναι τὴν πόλιν φησίν· « Πάρεστι γὰρ ἡ ἡμέρα Κυρίου· » τουτέστιν, οὐκέτι προαγόρευσις τὸ χρῆμα μόνον, ἀλλ' ὡς ἐν ὄψει τὰ πάντα, καὶ ἐν αὐταῖς γεγόνασι ταῖς πείραις τῶν πάλαι προηγγελμένων, οὓς ἦν ἄμεινον κατὰ πολὺ μεταφοιτᾷν ἐλέσθαι πρὸς τὰ βελτίω, καὶ πρὸ ἐφόδου καὶ παρουσίας, τὴν τῶν κακῶν ἀποσείεσθαι φροντίδα. Οὐκοῦν πρὸς μετάγνωσιν ἁλύεσθαι οὐκ ἐᾷ· μεθιέντας δὲ ὥσπερ τὸ τῆς γνώμης ἀναπεπτωκὸς καὶ τὸ ῥᾴθυμον, εἰς φιλεργίας ἴέναι κελεύει γοργῶς, καὶ ἐπί γε τὸ βούλεσθαι σφίσιν αὐτοῖς ἐπαμύναι γενικῶς, Θεῷ δηλονότι προσθέοντας, τῶν ἀρχαίων αἰτιαμάτων ἀφανίζοντας τὰ ἐγκλήματα ταῖς τῶν ἀμεινόνων ἐπαγωγαῖς. Ταύτητοί φησιν ἐγγὺς εἶναι τὴν ἡμέραν Κυρίου, καθ' ἣν ἔσονται μὲν ὡς ἐν ὁμίχλῃ καὶ σκότῳ, τὸν ἐκ τῆς ἀκρίδος δεδιότες λιμὸν, ἤγουν τὴν ἐκ τῆς Ἀσσυρίων αὐτοῖς ἐπηρτημένην ἀθλιότητα καὶ καταφθοράν.

Ὡς ὄρθρος κυθήσεται ἐπὶ τὰ ὄρη λαὸς πολὺς καὶ ἰσχυρός· ὅμοιος αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος, καὶ μετ' αὐτὸν οὐ προστεθήσεται ἕως ἐτῶν εἰς γενεὰς γενεῶν. Τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον, καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ. Ὡς παράδεισος τρυφῆς ἡ γῆ πρὸ προσώπου αὐτοῦ, καὶ τὰ ὀπίσθεν αὐτοῦ πεδίον ἀφανισμοῦ, καὶ ἀνασωζόμενος οὐκ ἔσται αὐτῷ.

ΙΣ'. Ὄρθρον ἀποκαλεῖν ἔοικεν ἢ τὴν ἐν ὄρθρῳ δρόσον, ἢ ἐπειδὰν ὅλως καταχέηται τῶν ὀρῶν, ἀφ' ἑσπέρας

[88] Isa. XLI, 17, 18. [89] Isa. XII, 3. [90] Psal. XXXV, 9.

Digitized by Google

τῶν ἐν αὐτοῖς οὐδὲν ἀκατάρδευτον· ἤγουν τὰς πρώτας ἡλίου βολὰς, καὶ τοῦ φωτὸς τῆς ἡμέρας τὴν εὐθύ τε καὶ ἐν ἀρχῇ ἀνάλαμψιν, ἣ ταῖς κορυφαῖς τῶν ὀρέων καὶ πρό γε τῶν ἄλλων μονονουχὶ καὶ ἐνευρύνεται, καὶ κατερυθραίνει βουνούς. Οὕτως φησὶν ἐπὶ τὰ ὄρη ἔσεσθαι τὸν λαὸν τὸν ἰσχυρὸν, ἀκρίδας τυχὸν, ἤγουν ἐξ ὁμοιότητος αὐτῶν, τῶν Ἀσσυρίων, ὡς ἐν πληθύϊ νοουμένων ἀπαραβλήτῳ. Λοιπὸν, « Ὅμοιος γὰρ, φησὶν, αὐτῷ οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος, οὔτε μὴν ἔσται ποτέ. » Ἐπειδὴ δὲ ταῖς τῶν ἀκρίδων ἐμβολαῖς δαπανᾶται μὲν τὸ παρεμπῖπτον εὐθύς· εἰ δὲ δήπου τι καὶ περιλειφθείη τυχὸν, ἔργον καὶ αὐτὸ ἔσται τῶν ἑπομένων ταῖς πρώταις, « Πῦρ ἀναλίσκον, » ἔφη τὰ ἔμπροσθεν αὐτοῦ, φλόγα δὲ ἀναπτομένην τὰ κατόπιν καὶ ἑπόμενα. Τοῦτο δὲ αὐτὸ δράσειεν, οἶμαί που, καὶ πολεμίων στρατός. Ἔφονται γὰρ πάντως ταῖς τῶν φθασάντων ἀγερωχίαις ὁμοῦ καὶ αὐθαδείαις καὶ οἱ κατόπιν ἰόντες βραχύ. Ποιήσονται δὲ τὴν γῆν ὡς τρυφῆς παράδεισον, ἅρδην ἀποχείροντες, καὶ ἐνσπαταλῶντες τοῖς εὐρισκομένοις. Ἔχει δὲ τὸ ἀληθὲς ὁ λόγος, καὶ εἰ ἐπ' αὐτῆς ἐκφέροιτο τῆς ἀκρίδος.

Ὡς ὅρασις ἵππων, ἡ ὅρασις αὐτῶν, καὶ ὡς ἱππεῖς, οὕτως καταδιώξονται. Ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται, καὶ ὡς φωνὴ φλογὸς πυρὸς κατεσθιούσης καλάμην, καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον.

ΙΖ'. Τὴν ἀκρίδα, καὶ τὸν βροῦχον, εἰ δὴ φέροντο κατὰ χωρῶν καὶ πόλεων, οὐδὲν ἐν μεσοῖς φησιν ἔσεσθαι ἵππου τῆς μαχιμωτάτης. Οὕτω γὰρ κατασκιρτήσει τῆς γῆς, ὡς τάχα που καὶ ἁρμάτων ἀπομιμεῖσθαι κτύπον. Ἀπάσαις τε γὰρ ἐπιθρώσκουσι κορυφαῖς ὀρέων, καθίπτανται δὲ καὶ βουνοῦ παντὸς, καὶ φλογὸς ἀποτελοῦσιν ἠχὴν καταπιμπράσης καλάμην. Φασὶ γὰρ οὐ δίχα κτύπου πράττεσθαι παρ' αὐτῶν ἐν ἀγροῖς τὴν κατάπτωσιν· ἠχὼ δέ τινα τῶν ὀδόντων ἀποτελεῖσθαι βληχρὰν, περιθρυουμένων αὐταῖς τῶν πεπτωκότων, ὡς ἀνέμου φλόγα διαῤῥιπίζοντος. Εἰ δὲ δεῖ πολεμίων ὄχλῳ αὐτὴν παρεικάζεσθαι, πάλιν τὸ ἀπεικὸς οὐδέν· ᾄττει γὰρ κατὰ πληθὺν, καὶ ὀλίγα τοῖς ἀνδριζομένοις ἐν μάχαις παραχωρεῖ. Βορὸν γὰρ τὸ χρῆμα, καὶ διὰ πληθὺν ἀμέτρητον οὐκ εὐκαταγώνιστον, μᾶλλον δὲ καὶ δυσάντητον. Ὁ αὐτὸς δ' ἂν γένοιτο καὶ περὶ τῶν Ἀσσυρίων λόγος· εἰ δὲ βούλοιτό τις τάχα που καὶ περὶ αὐτῆς τῆς τῶν Ῥωμαίων στρατείας, οἱ δίκην ἀκρίδος τὸν Ἰσραὴλ κατεδηδόκασιν εἰς Χριστὸν πεπλημμεληκότα, οὐδ' οὕτω κακῶς.

Ἀπὸ προσώπου αὐτοῦ συντριβήσονται λαοί.

ΙΗ'. Χρῆμα γὰρ, ὡς ἔφην, ἄμαχον καὶ δυσκαταγώνιστον παντελῶς ἀνθρώποις, βρούχου καὶ ἀκρίδος ἐμβολή.

Πᾶν πρόσωπον ὡς πρόσκαυμα χύτρας.

ΙΘ'. Ἀληθὲς γὰρ, ὅτι δεῖμασί τε καὶ λύπαις ταῖς ἀφορήτοις ἔσθ' ὅτε καὶ ἡ τῶν προσώπων ἄνθη μαραίνεται, καὶ καταμελαίνεταί πως εἰς τὸ ἀκαλλὲς τοῖς ἐκ νοῦ θορύβοις μονονουχὶ μεταχρωννυμένη.

Ὡς μαχηταὶ διαδραμοῦνται, καὶ ὡς ἄνδρες πολεμισταὶ ἀναβήσονται ἐπὶ τὰ τείχη.

A in ipsis siccum relinquit; aut certe primos solis radios, et diurni luminis repentinum ac primum splendorem, qui in jugis montium prius expanditur et **215** purpurea luce colles convestit. Sic ait super montes fore populum fortem, locustas, credo, aut ex similitudine ipsarum, Assyriorum, per multitudinem incomparabilem intellectorum. Subjicit enim mox, « Similis ei non fuit a sæculo, et post eum non erit. » Quoniam autem locustarum irruptionibus quod occurrit confestim consumitur, et si alicubi quidpiam forte superfuerit, idipsum quæ primas sequuntur absumunt, « ignis consumens, » inquit, ea quæ ante ipsum, flamma autem succensa in his, quæ post ipsum, et sequentibus. Hoc ipsum facient, puto, et hostiles copiæ. Plane enim præce-
B dentium superbiam et arrogantiam imitabuntur, qui parvo intervallo consequentur. Facient autem terram ut paradisum voluptatis, penitus spoliantes eam, et voluptariam viventes vitam in his, quæ in ea invenerint. Hoc verum est, etiam si de locustis pronuntietur.

VERS. 4, 5. *Sicut visio equorum aspectus eorum, et sicut equites, sic persequentur. Sicut vox quadrigarum super vertices montium exsilient, et sicut vox flammæ ignis devorantis stipulam, et sicut populus multus et fortis paratus ad prælium.*

XVII. Locustam et bruchum, si in agros et urbes irruant, non minus valere ait quam equitatum bellicosissimum. Sic enim e terra exsilient, ut pene
C et quadrigarum sonitum imitentur. Et super omnes montium vertices subsultabunt, et de omni colle devolabunt, et flammæ crepitum stipulam exurentis edent. Ferunt enim non citra strepitum eas in agros decidere, et sonitum non tenuem audiri dum prostratas fruges dentibus commolunt, ceu flammis vento diffundente crepitantibus. Quod si eas hostium cuneis comparare velimus, nihil absurdum faciemus. Nocent enim multitudine, et viris in pugna parum cedunt. Res edax, et propter immensam copiam non facile expugnabilis, vel potius oppugnatu difficilis. Hoc idem de Assyriis dicere licet. Quod si cui forte placet, idem de Romanorum exercitu non male affirmet, qui instar locustæ Israelem in Christum
D sceleratum depasti sunt.

VERS. 6. *A facie ejus conterentur populi.*

XVIII. Est enim, ut dixi, inexpugnabilis et insuperabilis **216** omnino hominibus bruchi et locustæ irruptio.

Omnis vultus sicut adustio ollæ.

XIX. Verum est enim terroribus et tristitiis intolerabilibus aliquando et florem vultus marcescere, et denigrari quodammodo ad deformitatem, illis tumultibus tantum non in alium colorem commutatum.

VERS. 7. *Sicut pugnatores discurrent, et sicut vir bellatores ascendent super muros.*

Digitized by Google

XX. Incursabunt enim instar bellicosissimorum, terroribus et pigritia superiores, et super ipsa mœnia se tollent, quasi audacem irruptionem meditantes.

VERS. 8. *Et unusquisque in via sua ambulabit, et non declinabunt a semitis suis, et unusquisque a fratre suo non recedet.*

XXI. Carent enim rege locustæ, et ordinatim uno velut signo dato in expeditionem exeunt. Narrant autem eas serie quadam, et quasi per acies volare, minimeque sejungi, et sic vicissim officiose prosequi et assectari, ac si sorores essent, mutuum amorem natura illis dispensante.

Aggravati in armis suis ibunt.

XXII. Arma, ut arbitror, dentes fortasse nominat, quibus bellum gerunt, et velut in pugna edunt facinora, consumpta herba, segete prostrata et plantis arefactis.

Et in jaculis suis cadent, et non consumentur.

XXIII. Locustæ non quidem telorum cuspidibus vulnerant quos oppugnant, nec arcus alicunde contendunt. Sed dum apta esui perdunt, fame et penuriæ terroribus aliquo modo interficiunt. Nec porro ad talem calamitatem redactis commoda ruri periisse satis erit : insuper in ædes et urbes ingressum, et atrociter turbantem locustarum sustinebunt exercitum. Aut etiam ipsum Assyrium his verbis demonstrat, « Et non consument. » Perinde ac si dicat, nec iste finis erit iræ, ultra enim procedet. Sequitur namque :

VERS. 9, 10. *Urbem apprehendent, et super muros discurrent, super domos ascendent, et per fenestras intrabunt sicut fures. Ante faciem ejus confundetur terra, et commovebitur cœlum; sol et luna contenebrabuntur, et stellæ mittent in occasum lumen suum.*

217 **XXIV.** Audis devolaturas, et super muros ipsos urbis, et ut herbam deprædaturas, sicut grassatores vestimentis viatores nudant. Et per fenestras irruent, et populos conturbabunt, tantum non omnia miscentes, ut jam et ipsum cœlum concuti videatur, et sol, ac luna, atque etiam stellæ suum lumen quasi inhibere. In his porro rursum oratio quod addi possit, nihil relinquit, et terræ habitatoribus intolerabilem ac dolorum refertam calamitatem ante oculos ponit. Est autem vera, quamvis de hominum exercitu accipiatur, cum regiones et urbes incursarint. Instar locustarum enim omnia operientes, agris detrimentosi sunt, civitates vexant, muros ascendentes, et in domos invadentes, feriateque cum horrifico terræ motu certantes.

VERS. 11. *Et Dominus dabit vocem ante faciem fortitudinis suæ; quia multa sunt nimis castra ejus,*

Κ'. Καταθέ[υ]σουσι γὰρ ἐν ἴσῳ τοῖς μαχιμωτάτοις· ὄκνου τε ἀμείνους ὑπάρχουσαι καὶ δειμάτων, καὶ αὐτῶν ὑπεραρθήσονται τῶν τειχῶν, θρασείαν ὥσπερ τινὰ μελετῶσαι τὴν ἐμβολήν.

Καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐτοῦ πορεύσεται, καὶ οὐ μὴ ἐκκλίνωσιν τὰς τρίβους αὐτῶν, καὶ ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ οὐκ ἀφέξεται.

ΚΑ'. Ἀβασίλευτον γὰρ ἡ ἀκρίς· ἐκστρατεύει μὲν γὰρ ἐξ ἑνὸς εὐτάκτως κελεύσματος. Φασὶ δὲ αὐτὰς στοιχηδὸν ἰέναι, καὶ ὡς ἐν τάξει διίπτασθαι, καὶ ἥκιστα μὲν ἀπονοσφίζεσθαι, περιέπειν δὲ οὕτως ἀλλήλας, ὡσανεὶ καὶ ἀδελφαί, φύσεως αὐτῆς βραβευούσης τὸ φιλάλληλον.

Καταβαρυνόμενοι ἐν τοῖς ὅπλοις αὐτῶν πορεύσονται.

ΚΒ'. Ὅπλα δὲ, οἶμαί που, τοὺς ὀδόντας φησὶ, δι' ὧν αὐταῖς ὁ πόλεμος, καὶ τὰ ὡς ἐν μάχαις κατορθώματα. δαπανωμένης μὲν πόας, ληΐου δὲ πίπτοντος, καὶ φυτῶν ἀνατινομένων.

Καὶ ἐν τοῖς βέλεσιν αὐτῶν πεσοῦνται, καὶ οὐ μὴ συντελεσθῶσιν.

ΚΓ'. Βάλλουσι μὲν ἀκρίδες οὐ βελῶν ἀκίσι τοὺς πολεμουμένους, ἀλλ' οὐδὲ τόξον αὐταῖς ἐντείνεται ποθεν, κατακτείνουσι δὲ ὥσπερ τῶν ἐδωδίμων καταφθοραῖς, καὶ τοῖς λιμοῖς, καὶ ἐνδείαις δείμασιν. Ὅτι δὲ καὶ αὐτοῖς τοῖς ὑπὸ τοιάνδε πεσοῦσι συμφορὰν οὐκ ἂν ἐξαρκέσειε τὸ ἀπολέσθαι τὰ ἐν ἀγροῖς, ἀλλὰ γὰρ καὶ οἴκοις αὐτοῖς καὶ πόλεσιν εἰσπεφοιτηκότα, καὶ παρενοχλοῦντα δεινῶς, τὸν ἐκ τῶν ἀκρίδων ἕξουσι στρατόν. Ἥγουν καὶ αὐτὸν τὸν Ἀσσύριον παρέδειξεν, εἰπών· « Καὶ οὐ μὴ συντελέσωσιν. » Ὅμοιον ὡς εἰ λέγοι. Καὶ τοῦτο οὐκ ἔσται τὸ τῆς ὀργῆς πέρας, παρέλθοι δὲ καὶ ἐπέκεινα· φησὶ γάρ·

Τῆς πόλεως ἐπιλήψονται, καὶ ἐπὶ τῶν τειχέων δραμοῦνται, καὶ ἐπὶ τὰς οἰκίας ἀναβήσονται, καὶ διὰ θυρίδων εἰσελεύσονται ὡς κλέπται. Πρὸ προσώπου αὐτοῦ συγχυθήσεται ἡ γῆ, καὶ σεισθήσεται ὁ οὐρανός. Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ τὰ ἄστρα δύσουσι τὸ φέγγος αὐτῶν.

ΚΔ'. Ἀκούεις ὅτι καταπτήσονται μὲν καὶ αὐτῶν τῶν τειχῶν, καὶ οἷον αὐτὴν καταδηοῦσαι τὴν πόαν, ἐν ἴσῳ τοῖς εἰωθόσι λωποδυτεῖν, καὶ διὰ θυρίδων ἐμβαλοῦσι, δήμους συγχέουσαι, καὶ μονονουχὶ διακυκλῶσαι τὸ πᾶν, ὡς ἤδη δοκεῖν καὶ αὐτὸν δεδονῆσθαι τὸν οὐρανὸν, ἥλιον δὲ καὶ σελήνην, καὶ μέντοι καὶ ἄστρα τὸ οἰκεῖον ὥσπερ ἀνακόψαι σέλας. Γέγονε δὲ πάλιν ἐν τούτοις ἡμῖν ὑπερβολικὸς ὁ λόγος, δύσοιστόν τε καὶ πολυαλγῆ τοῖς τὴν γῆν οἰκοῦσι τὴν συμφορὰν ἀποφαίνων. Ἀτρεκὴς δὲ ὁ λόγος, κἂν εἰ ἐπ' ἀνθρώπων στρατιαῖς νοοῖτο πάλιν, εἰ καταθεῖν ἔλοιντο χώραν τε καὶ πόλεις. Ἐν ἴσῳ γὰρ ταῖς ἀκρίσι τὰ πάντα περιχεόμενοι, διαλυμαίνονται μὲν ἀγροὺς, κατατιλίβουσι δὲ καὶ πόλεις, τειχῶν ὑπεραιρόμενοι, καὶ οἴκοις αὐτοῖς ἐπεισθέοντες, καὶ ταῖς ἀπὸ σεισμοῦ δείμασι φιλονεικοῦντες εἰς ἀγριότητα.

Καὶ ὁ Κύριος δώσει φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως αὐτοῦ· ὅτι πολλή ἐστι σφόδρα ἡ

Digitized by Google

παρεμβολὴ αὐτοῦ, ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ· διότι μεγάλη ἡ ἡμέρα Κυρίου, μεγάλη, καὶ ἐπιφανὴς σφόδρα.

A *quoniam fortia opera sermonum illius, quia magna dies Domini, et illustris valde.*

ΚΕ'. Ἔφην ἤδη φθάσας, ὅτι σκοπὸς τῷ προφήτῃ δεινὴν καὶ δυσδιακόμιστον ἀποφῆναι τὴν συμφοράν, ἵνα δὴ μεταχωρεῖεν ἐπὶ τὸ ἐθέλειν τὰ ἀμείνω τε ἤδη δρᾷν, καὶ μὴν καὶ βουλεύεσθαι σωφρονέστερον, οἱ ταῖς εἰς φαυλότητα παρατροπαῖς λελυπηκότες τὸν νομοθέτην. Οἶδε γὰρ, οἶδε ἡ τῶν ἀλγημάτων ὑπερβολὴ μετακομίζειν εὐκόλως τινὰς ὡς ἐξ ἀνάγκης ἐπί γε τὸ ἐλέσθαι δρᾷν τὰ ἀνδάνοντα λοιπὸν τῷ σώζειν εἰωθότι καὶ ἀπαλλάττειν ἰσχύοντι. « Δώσει δὴ οὖν ὁ Κύριος τὴν φωνὴν αὐτοῦ πρὸ προσώπου δυνάμεως αὐτοῦ, » μονονουχὶ στρατηγῶν, καὶ παραθήγων ὡς ἐπ' ἐχθρούς. Πρέποι γὰρ ἂν οὐχ ἑτέρῳ τῳ μᾶλλον, πλὴν ὅτι τοῖς προασπίζουσι, καὶ τῶν ἄλλων προτεταγμένοις τὸ διεγείρειν τὸ μάχιμον, καὶ οἰκείαν ἡγεῖσθαι τὴν παρεμβολήν. Ὑπεμφαίνει δὲ διὰ τούτων, ὅτι μὴ αὐτόματον ἔχει τὴν ἔφοδον τὰ δεινὰ, μήτε μὴν ἐκ τοῦ παρατυχόντος συμβέβηκεν ἁπλῶς, ἀλλ' ὅτι μᾶλλον παρὰ Θεοῦ ἐπενήνεκται, λελυπημένου δηλονότι, καὶ ὁσίως ἤδη κολάζοντος. Καταπτοεῖ δὲ μᾶλλον αὐτοὺς, πλείστην τε δσην εἶναι λέγων τὴν παρεμβολὴν, καὶ ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ. Ἀμήχανον γὰρ μὴ πάντως εἰς πέρας ἐλθεῖν, ὅπερ ἂν γενέσθαι προστάττῃ Θεός. Καὶ γοῦν ἔφη πρός τινα τῶν ἁγίων προφητῶν, Ἱερεμίας οὗτος ἦν· « Οὐχ οἱ λόγοι μου ὥσπερ πῦρ φλέγον, λέγει Κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν; » Διϊκνεῖται γὰρ ὥσπερ διαπαντὸς ὁ τοῦ Θεοῦ λόγος, καὶ οἷς ἂν φθέγξαιτο τὸ ἀντιστατοῦν οὐδὲν, εἶχει δὲ μᾶλλον, καὶ τὰ σκληρὰ, καὶ ἀντίτυπα καταθραύεται εὐκόλως, καὶ τοῖς δεσποτικοῖς θελήμασι καὶ οὐχ ἑκόντα παραχωρεῖ. « Μεγάλη δὴ οὖν καὶ ἐπιφανὴς ἡ ἡμέρα, » φησὶ, διὰ τὴν εἰς ἅπαντας ἀνθρώπους τῶν ἐπαχθησομένων δεινῶν διατρέχουσαν φήμην.

B C

XXV. Dixi jam prophetæ consilium esse atrocem et intolerandam calamitatem ostendere; ut nimirum bene agere velle incipiant, et prudentius sibi consulant qui ad improbitatem detorti, legislatorem offenderunt. Solet enim, solet dolorum magnitudo facile nonnullos, et velut necessitate quadam, eo pervehere, ut de cætero cupiant facere illi grata qui salvare consuevit, et liberare a malis potest. « Dabit igitur Dominus vocem ante faciem fortitudinis suæ, » tantum non ipse dux exercitus eumque in hostem acuens. Non enim aliis potius quam propugnatoribus et aliorum ducibus milites ad pugnam excitare, et castra sua ducere convenit. Subindicat per hæc, non per se advenire mala, nec temere ac fortuito accidere; sed a Deo potissimum infligi, læse videlicet, et juste pœnas reposcente. Perterret autem eos magis, nimis multa castra esse dicens, et fortia opera sermonum ejus. Fieri siquidem haud potest ut non penitus finem consequatur quod Deus fieri mandaverit. Itaque quidam sanctorum prophetarum, Jeremias, inquam, ait: « Nunquid non verba mea quasi ignis ardens, dicit Dominus, **218** et quasi malleus conterens petram [91]? » Pervadit enim quodammodo omnia Dei verbum, et quæ locutus fuerit, nihil illis resistit, imo cedit potius, et dura atque aspera nullo negotio confringit, et Dominicæ voluntati etiam nolentia obsequuntur. « Magna igitur et illustris dies, » inquit, propter famam vagantem de malis in omnes homines invehendis.

Καὶ τίς ἐστιν ἱκανὸς αὐτῇ;

Et quis erit sufficiens ei?

ΚϚ'. Τουτέστιν, οὐδεὶς ἂν γένοιτο τῶν ἐπὶ γῆς ἀτεράμων οὕτως καὶ εὐσθενὴς, ὡς ἀντεξάγειν δύνασθαι ταῖς θείαις ὀργαῖς. Καὶ σοφὸς ἦν ἄγαν ὁ Δαβὶδ πρὸς Θεὸν ἀνακεκραγώς· « Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; »

XXVI. Hoc est, nemo mortalium adeo præfractus et robustus fuerit, ut se divinæ iræ possit opponere. Sapienter Deum compellat David: « Tu terribilis es, et quis resistet tibi ab ira tua [92]? »

Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ἡμῶν· Ἐπιστράφητε πρὸς μὲ ἐξ ὅλης τῆς καρδίας ὑμῶν, ἐν νηστείᾳ, καὶ κλαυθμῷ, καὶ κοπετῷ, καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. Καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστὶ, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Τίς οἶδεν εἰ ἐπιστρέψει, καὶ μετανοήσει, καὶ ὑπολήψεται ὀπίσω αὐτοῦ εὐλογίαν, καὶ θυσίαν, καὶ σπονδὴν Κυρίῳ τῷ Θεῷ ὑμῶν;

D

VERS. 12-14. *Et nunc dicit Dominus Deus noster: Convertimini ad me ex toto corde vestro, in jejunio, et fletu, et planctu, et dirumpite corda vestra, et non vestimenta vestra. Et convertimini ad Dominum Deum vestrum, quia misericors et miserator est, patiens et multæ misericordiæ, et pœnitens super malitiis. Quis scit, si revertetur, et pœnitebit eum, et dimittet post se benedictionem, et sacrificium, et libamen Domino Deo vestro?*

ΚΖ'. Ἐντεῦθεν ἂν μάθοις, καὶ μάλα σαφῶς, ὡς οὐχ ἑτέρου χάριν τινὸς ὑφοῦ μὲν τὰ διηγημένα ἐτέθει. Σκληρὰν δὲ αὐτοῖς, καὶ δυσδιακόμιστον κομιδῇ προανεφώνει τὴν συμφοράν, ἢ ὥστε λοιπὸν μεταστῆσαι τούτους εἰς μετάγνωσιν. Ἀπογινώσκειν γὰρ οὐκ ἐᾷ. Διαβεβαιοῦται δὲ, καὶ μάλα σαφῶς, ὡς εἴπερ ἔλοιντο φρονεῖν τὰ βελτίω, καὶ τὰς ἰδίας ὁδοὺς κἂν

XXVII. Hinc, et quidem admodum clare intelliges, quæ supra narrata sunt, non ob aliud fuisse posita. Duram, et quæ vix perferatur, calamitatem illis prænuntiavit, ut eos scilicet deinceps ad pœnitentiam adduceret. Desperare enim non sinit. Confirmat autem, idque planissimis verbis, si resipiscere velint, et animas suas posterioribus saltem consiliis corri-

[91] Jer. XXIII, 29. [92] Psal. LXXV, 8.

Digitized by Google

gere, ut Deo placeant, et prorsus desitura a Deo exacerbato supplicia, et omnia mox in magnam tranquillitatem ac securitatem commutatum iri; quis autem et conversionis ipsorum, et deprecationis modus esse debeat, liquido subdit his verbis : « Et nunc dicit Dominus Deus noster : Convertimini ad me in toto corde vestro. » Projicianter, inquit, præterita, et quæ antecesserunt in oblivionem abeant, vobisipsis meliores apparete; posterioribus Deum mitigate, jejunio et afflictatione, ploratu et lamentis. Plane enim, qui ita facere instituerint, in felicitate deliciisque versabuntur. Sicut enim fortuna nimium blandiens, et vita voluptatibus in honestis dedita in gemitus et supplicia tandem desinit, ita bonitatis et laborum pœnitentialium exitus est ampla felicitas. **219** Conducit igitur deflere peccata, et contristari secundum Deum. Nam ut est apud Paulum : « Tristitia secundum Deum, pœnitentiam in salutem non pœnitendam operatur[93]. » Beati quoque a Christo pronuntiantur, « qui lugent; quoniam ipsi consolabuntur[94]. » Quin et sapiens Salomon tale quid, quanquam sub integumento, dicit : « Melius est ire ad domum luctus, quam ad domum convivii[95]. » Cæterum illud considerandum est diligenter, quantum valeat jejunium. Dominum mansuefacit, iram sedat, pœnam tollit. Nosmetipsos tantum non verberibus acriter accipientes, ferocientem et furentem contra nos iram divinam commode flectimus, et manum percutientis non difficulter cohibemus. Si enim verum est, nos solum peccata nostra confitentes[96], miserante Deo, justificari, quinam dubitetur quin, asceticis laboribus nos macerantes, et tanquam pœnas a nobismet exigentes, peccatorum veniam a Deo impetremus? Lugere igitur jubet, et discindenda quidem vestimenta minime; potius autem quod percipi animo et cogitatione potest, immite ac sævum, et commutatum seu induratum cor dissolvendum atque explicandum, quo Dei timor ingrediatur. Scribens igitur ad Corinthios Paulus : « Non angustiamini in nobis, » inquit; « angustiamini autem in visceribus vestris. Eamdem autem habentes remunerationem, tanquam filiis dico, dilatamini et vos[97]. » Dilatare ergo cor oportet, tanquam Deo, et prope mentem disrumpere, ut quod ejus est, recipiat. Nam mœstitiam fingere, ruptis frustra ac temere vestimentis, nihil illis profuerit qui id fecerint. Non vile autem lucrum apportabit, aperire cor Deo, et illic reponere quod illi placet; conducet enim res ad salutem. Non autem spe sua lapsuros suppliciter rogantes, propheta confirmat, inquiens Dominum universorum esse benignum, et multæ misericordiæ, et miseratorem, et bonum, et pœnitentem super malitiis. Nam etsi peccatores affligere cœperit, tamen non diu post lenietur, facileque ad benignitatem sese transferet. Hoc puto esse « pœnitere super malitiis. » Salutem porro desperantibus, propheta utiliter cogitationes et consilia propria præcidens, « Quis

A γοῦν τοῖς δευτέροις ἐπανορθοῦν εἰς τὸ ἀρέσκειν Θεῷ, πάντως πεπαύσεται τὰ ἐξ ὀργῆς, καὶ εἰς πλάτος εὐθὺς εὐθυμίας μεταχωρήσει τὰ πράγματα. Τίς δ' ἂν γένοιτο τῆς τε ἐπιστροφῆς αὐτοῦ, καὶ ὁ τῆς λιτῆς τρόπος, καθίστησιν ἐναργὲς, οὕτω λέγων· « Καὶ νῦν λέγει Κύριος ὁ Θεὸς ἡμῶν· Ἐπιστράφητε πρὸς μὲ ἐξ ὅλης τῆς καρδίας ὑμῶν. » Ἐρρίφθω, φησὶ, τὰ παρῳχηκότα, καὶ ἀποδημείτω πρὸς λήθην τὰ φθάσαντα· ἑαυτῶν ἀμείνους ὀφθητε· τοῖς δευτέροις ἐκμειλίσσεσθε Θεὸν, νηστείᾳ, καὶ πόνῳ, κωκυτῷ τε καὶ ὀδυρμῷ. Ἕψεται γὰρ πάντως ταῦτα δρᾶν ἠρημένοις τὸ χρῆναι λοιπὸν ἐν εὐπαθείᾳ εἶναι καὶ τρυφῇ. Ὥσπερ γὰρ τῆς ῥᾳστώνης τὸ τέλος, καὶ τὸ διαπίπτειν εἰς ἡδονὰς καταστρέφει πάντως εἰς οἰμωγὰς καὶ κόλασιν· οὕτω τῆς ἐπιεικείας, καὶ τῶν ἐπὶ ταῖς με-
B ταγνώσεσι πόνων ἡ ἔκβασις εἰς τὸ τῆς εὐημερίας πλάτος ἔρχεται. Χρήσιμον οὖν ἄρα τὸ κλαίειν ἐφ' ἁμαρτίαις, καὶ λυπεῖσθαι κατὰ Θεόν. Ὡς γὰρ Παῦλος γράφει, « Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀναμεταμέλητον κατεργάζεται. » Μακαρίζει δὲ καὶ αὐτὸς ὁ Χριστὸς « τοὺς πενθοῦντας, ὅτι αὐτοὶ παρακληθήσονται. » Καὶ μὴν καὶ ὁ σοφὸς ἡμῖν Σολομῶν τοιοῦτόν τί φησιν αἰνιγματωδῶς· « Ἀγαθὸν τὸ πορευθῆναι εἰς οἶκον πένθους, ἢ τὸ πορευθῆναι εἰς οἶκον πότου. » Πλὴν ἐκεῖνο περιαθρεῖν ἀναγκαῖον, ὅση τις ἐστὶ τῆς νηστείας ἡ δύναμις. Ἐξημεροῖ τὸν Δεσπότην, κατευνάζει τὴν ὀργὴν, ἀνατρέπει τὴν κόλασιν. Ἑαυτοὺς γὰρ αἰκιζόμενοι, μονονουχὶ ἀγριαίνοντα, καὶ λελυττηκότα τὸν θεῖον καθ' ἡμῶν εὖ μάλα δυσωποῦμεν θυμὸν, καὶ τὴν χεῖρα τοῦ καταπαίοντος
C εὐκόλως συστέλλομεν. Εἰ γάρ ἐστιν ἀληθὲς, ὅτι καὶ μόνον ὁμολογοῦντες τὰς ἁμαρτίας κατοικτείροντος Θεοῦ δικαιούμεθα, πῶς ἂν ἐνδοιάσειέ τις ὅτι τοῖς ἐξ ἀσκήσεως πόνοις ἑαυτοὺς κατατήκοντες, καὶ οἷον αἰτοῦντες δίκας, παρὰ Θεοῦ τῶν ἡμαρτημένων κερδανοῦμεν τὴν ἄφεσιν; Πενθεῖν οὖν ἄρα κελεύει, καὶ διαῤῥηγνῦναι σφᾶς, ἥκιστα μὲν τὰ ἄμφια, διαπτύσειν δὲ μᾶλλον νοητῶς τὴν καρδίαν τὴν ἀπηνῆ καὶ πεπιλημένην εἰς ἣν ὁ θεῖος οὐκ εἰσδύεται φόβος. Ἐπιστέλλει οὖν Κορινθίοις ὁ Παῦλος· « Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. Τὴν δὲ αὐτὴν ἀντιμισθίαν ὡς τέκνοις λέγω, πλατύνθητε καὶ ὑμεῖς. » Χρὴ οὖν ἄρα κατευρύνειν μὲν ὥσπερ Θεῷ τὴν καρδίαν, καὶ μονονουχὶ τὸν νοῦν περιῤῥηγνῦναι, ἵν' εἰσδέξαιτο τὸ αὐτοῦ. Τοιγάρτοι
D πλάττεσθαι λύπην, καταῤῥηγνυμένων εἰκῇ καὶ μάτην, ὀνήσειεν ἂν οὐδὲν τοὺς τοῦτο δρᾶν ἠρημένους. Ἐμποιήσῃ δ' ἂν οὐ βραχὺ τὸ κέρδος τὸ ἀνοιγνύναι καρδίαν, καὶ ἐναποτίθεσθαι τὸ δοκοῦν τῷ Θεῷ. Ἀποκομιεῖ γὰρ τὸ χρῆμα πρὸς σωτηρίαν. Ὅτι δὲ οὐκ ἀποτεύξονται τοῦ σκοποῦ ποιούμενοι τὰς λιτὰς, ἐμπεδοῖ λέγων, ὡς εἴη μὲν ὁ τῶν ὅλων Δεσπότης φιλάνθρωπός τε, καὶ φιλέλεος, οἰκτίρμων, καὶ ἀγαθὸς, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Εἰ γὰρ δὴ καὶ ἤλοιτο κακοῦν τοὺς ἡμαρτηκότας, ἀλλ' οὖν ἔσται πρᾶος, καὶ οὐκ ἐς μακράν. Μεταχωρεῖ γὰρ εὐκόλως ἐπὶ τὸ βουλεύεσθαι τὰ χρηστά. Τοῦτο εἶναί φημι τὸ « μετανοεῖν

[93] II Cor. vii, 10. [94] Matth. v, 5. [95] Eccle. vii, 3. [96] I Joan. i, 9. [97] II Cor. vi, 12, 13.

Digitized by Google

ἐπὶ ταῖς κακίαις. » Ὑποτεμνόμενος δὲ χρησίμως ὁ προφήτης τῶν τὴν σωτηρίαν ἀπεγνωκότων τὸ εἰκαιόβουλον, « Τίς οἶδε, » φησὶν, « εἰ μετανοήσει, καὶ ὑπολήψεται ὀπίσω αὐτοῦ εὐλογίαν ; » καὶ τὰ ἑξῆς. Τουτέστι, δώσει τοῖς ἐπιστρέφουσι τὸ μετασχεῖν εὐλογίας, ὥστε καὶ σπονδὴν καὶ θυσίαν ἀναθεῖναι πάλιν αὐτῷ, χαίροντάς τε καὶ εὐφραινομένους ἀναμέλψαι τὰ χαριστήρια.

A novit, » inquit, « si pœnitebit eum, et dimittet post se benedictionem? » etc.; id est, dabit convertentibus se benedictionis fieri participes, ut libamen et sacrificium iterum ipsi offerre queant, gaudioque et lætitia exsultantes gratiarum actiones decantent.

Σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε λαὸν, ἁγιάσατε Ἐκκλησίαν, ἐκλέξασθε πρεσβυτέρους, συνάγετε νήπια θηλάζοντα μαστούς. Ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶνος, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς. Ἀναμέσον τῆς κρηπίδος καὶ τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς, οἱ λειτουργοῦντες Κυρίῳ, καὶ ἐροῦσιν· Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὀνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς ἔθνεσι, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν ;

220 VERS. 15-17. *Clangite tuba in Sion, sanctificate jejunium, prædicate curationem, congregate populum, sanctificate Ecclesiam, eligite seniores, congregate parvulos sugentes ubera. Egrediatur sponsus de cubili suo, et sponsa de thalamo suo. Inter crepidinem et altare plorabunt sacerdotes ministrantes Domino, et dicent : Parce, Domine, populo tuo, et ne des hæreditatem tuam in opprobrium, ut dominentur eorum gentes, ut non dicant in nationibus : Ubi est Deus eorum?*

B

ΚΗ'-ΚΘ'. Διανίστησιν εὖ μάλα καὶ διὰ τούτων αὐτοὺς εἰς μετάγνωσιν, καὶ τρόπον οὐδένα τῆς εἰς τοῦτο σπουδῆς ἀνεπιτήδευτον, ἐᾷν ἐπιτάττει χρησίμως. Δεῖν γὰρ ἔφη λαμπρῷ καὶ διαπρεπεῖ κηρύγματι κεχρημένους, ἁγιάζειν μὲν νηστείαν, κηρύξαι δὲ θεραπείαν, καὶ συναγείρειν ἐν Ἐκκλησίᾳ τοὺς θεραπεύειν ὀφείλοντας, δῆλον δὲ ὅτι λελυπημένον τὸν τῶν ὅλων Θεόν. Εἶεν δ' ἂν οὗτοι νεανίσκοι, καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων, νήπιά τε πρὸς τούτοις ἀρτιγενῆ, καὶ ὑπόστιθα, καὶ μὴν καὶ νυμφίοι, καὶ ἀρτίγαμοι κόραι, τάχα που κατεστεμμένων ἔτι παστῶν ἐκθέουσαι, καὶ γαμηλίους εὐνὰς ἀρνούμεναι, τροφῆς τε, καὶ πότου ὑπερορῶσαι, καὶ ἀλλασσόμεναι τὴν σκληραγωγίαν (κρότου περιεσταλμένου, καὶ ᾀσμάτων ἠρεμούντων, καὶ εὐφημιῶν, ἃς ἔθος τισὶν ἀνάπτειν ἐσθ' ὅτε τοῖς γεγαμηκόσι), καὶ ὁμοῦ νυμφίοις ὀλοφυρόμεναι. Καὶ γάρ ἐστιν ἀληθὲς ὅπερ ἔφη τις τῶν παρ' ἡμῖν σοφῶν· « Μουσικὰ ἐν πένθει, ἄκαιρος διήγησις. » Ἐπηρτημένης δὴ οὖν ἡμῖν θείας ὀργῆς, πενθεῖν ἀναγκαῖον, οὐχὶ πότοις τε καὶ τρυφαῖς ἐνευρύνεσθαι φιλεῖν. Ὅτι γὰρ οὐκ ἀμοιρήσειεν ἂν μομφῆς τε, καὶ δίκης τὸ οὐκ ἐν καιρῷ τρυφᾷν, σαφηνιεῖ τις τῶν ἁγίων προφητῶν, λέγων περὶ τῶν ἐξ Ἰσραήλ· « Καὶ ἐκάλεσε Κύριος Σαβαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμὸν, καὶ κοπετὸν, καὶ ξύρησιν, καὶ ζῶσιν σάκκων, αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνας, σφάζοντες μόσχους, καὶ θύοντες πρόβατα, καὶ λέγοντες· Φάγωμεν, καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. » Ζητητέον οὖν θρήνους, καὶ δάκρυα ἐπηρτημένης ὀργῆς. Καὶ διερρίφθω πότος. Δεῖν δέ φησιν ὁ προφήτης καὶ αὐτὸ τοῖς πενθοῦσι τὸ ἱερὸν ἀναπλέκεσθαι καὶ ἀπάλεκτον γένος, καὶ δὴ πρὸς αὐταῖς κρηπῖσι τοῦ ναοῦ, καὶ ἀναμέσον τοῦ θυσιαστηρίου κατολολύζειν ἐκτενῶς ἀνακωκύοντας, καὶ λέγοντας· « Φεῖσαι, Κύριε, τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν ἔθνη, μήποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν ; » Ἀλλ' εἴπερ μόνον αὐτῷ τῆς ἀκρίδος λόγος ἦν, πῶς οὐχὶ

C

D

XXVIII-XXIX. Etiam his eos ad pœnitentiam rectissime exsuscitat, et modos omnes in hoc studio experiri salubriter præcipit. Oportere enim, inquit, insigni et excellenti denuntiatione adhibita sanctificare jejunium, prædicare curationem, et congregare in Ecclesiam, qui Deum offensum propitient, nempe juvenes et virgines, senes cum junioribus [99], infantes insuper modo genitos [1], et adhuc sub ubere, præterea sponsos et novas nuptas, nimirum e thalamis adhuc coronatis excurrentes, et lectulum genialem deserentes, voluptatemque et epulas despicientes, et vitæ austeriore commutantes (plausu compresso, epithalamiis silentibus, et bonis ominibus, quibus novos conjuges quidam prosequi solent), et una cum sponsis lamentantes. Verum siquidem unus e nostris sapientibus dixit : « Musica in luctu, est importuna narratio [2]. » Opprimente igitur nos ira divina, lugere, non conviviis et deliciis soluto animo vacare necesse est. Nam intempestive dare operam voluptati, et reprehensionem et pœnam mereri, quidam de sanctis prophetis ostendit, his verbis de Israelitis loquens : « Et vocavit Dominus Sabaoth in die illa fletum, et planctum, et calvitium, et cincturam saccorum; ipsi autem fecerunt lætitiam, immolantes vitulos et sacrificantes oves; ita ut comederent carnes, et biberent vinum, dicentes : Comedamus et bibamus, cras enim morimur [3]. » Ad lamenta igitur et lacrymas confugiendum est his in quos cœlestis ira incubuerit. Apage cum conviviis. Lugentibus porro sanctum et electum genus miscendum ait, et ideo inter vestibulum templi et altare ploraturos impense sacerdotes, et cum ululatu dicturos : « Parce, Domine, populo tuo, et ne des hæreditatem tuam in opprobrium, ut dominentur eorum nationes, **221** ne forte dicant gentes : Ubi est Deus eorum? » Quod si tantum de locusta loquitur, quomodo non potius a fame et inopia liberari petunt? Timent autem in manus hostium incidere, et irrisionem atque dedecus

[99] Psal. CXLVIII, 12. [1] I Petr. II, 2. [2] Eccli. XXII, 6. [3] Isa. XXII, 12, 13.

Digitized by Google

deprecantur. Probabile est ergo, quod et verum dixerim, sub locustæ nomine ænigmatice et recte hostilem Assyriorum adventum describi. Quod si quis etiam de ipsis locustis hæc interpretari velit, merito propheticorum oraculorum œconomiam admiretur. Ipse namque supplicii modus tantum non adversus Israelitarum dementiam et imbecillitatem exclamat. Mutabant enim et venerabantur deos qui non sunt dii, universorumque Deo relicto, Baal adorabant. Sed ecce locustæ cum intolerando agmine castrametantur, bruchus armatur, et a commentitiis numinibus suis nullo fulti auxilio sternuntur. Bruchi autem et locustæ victis, et deos colentibus, quantumcunque adhuc profuissent, si contra hostes dimicassent, et a phalangibus adversariorum obsessi fuissent.

A μᾶλλον λιμοῦ, καὶ ἐνδείας αἰτοῦσιν ἀπαλλαγήν; Ἐκδεδίασι δὲ τὸ πεσεῖν εἰς χεῖρας ἐχθρῶν, καὶ παραιτοῦνται γέλωτα, καὶ ὀνειδισμόν. Εἰκὸς οὖν, ὅτι φαίην ἂν καὶ ἀληθὲς, ὡς ἐν τοῖς αἰνίγμασι τοῖς περὶ τῆς ἀκρίδος ἡ τῶν Ἀσσυρίων ἔφοδος λεληθότως ἐγράφετο. Εἰ δὲ δὴ βούλοιτό τις καὶ ἐπ' αὐτῆς τῆς ἀκρίδος τὰ τοιαῦτα νοεῖν, καταθαυμάσειεν ἂν τῶν προφητικῶν θεσπισμάτων εἰκότως τὴν οἰκονομίαν. Αὐτὸς γὰρ ὁ τῆς κολάσεως τρόπος μονονουχὶ κατακέκραγε τῆς τοῦ Ἰσραὴλ ἀβουλίας, καὶ προσέτι τῆς ἐνούσης αὐτοῖς ἀσθενείας. Ἠλλάξαντο γὰρ θεοὺς οἳ οὐκ εἰσι θεοὶ, καὶ τὸν τῶν ὅλων Θεὸν ἀφέντες, τῷ Βάαλ προσκεκυνήκασιν. Ἀλλ' ἰδοὺ αἱ ἀκρίδες ἀφόρητον ποιοῦνται τὴν παρεμβολὴν, βροῦχος ὁπλίζεται, καὶ πεπτώκασιν οὐδεμίαν ἔχοντες ἐπικουρίαν ἐκ τῶν

B ψευδωνύμων αὐτῶν θεῶν. Οἱ δὲ δὴ βροῦχοι καὶ ἀκρίδες ἡττωμένοις ποίαν ἔτι τοῖς προσκυνοῦσιν αὐτοῖς ἐπιδοῖεν τὴν ἄκεσιν εἰ μάχοιντο πρὸς ἐχθροὺς, καὶ ταῖς τῶν ἐναντίων πολιορκοῖντο φάλαγξι.

TOMUS POSTERIOR.

VERS. 18, 19. *Et zelavit Dominus terram suam, et pepercit populo suo. Et respondit Dominus, et dixit populo suo: Ecce ego mittam vobis frumentum, et vinum, et oleum, et implebimini eis; et non dabo vos ultra in opprobrium in gentibus. Et eum qui ab aquilone repellam a vobis.*

XXX. Vide currentem e vestigio misericordiam. Prævertit enim, opinor, luctum serenitas, et lacrymas pœnitentiæ, gratia miserantis. Quippe non solum misericordia commovetur erga miseros; sed etiam zelo ducitur, ut his succenseat qui eos læserunt, et per quos in calamitatem inciderunt. Reprehendit autem Babylonios universorum Dominus, quod crudelius aliquanto quam oportuit, in eos quibus ipse irasceretur, debacchati sint. Ait enim: « Ego illos dedi in manus vestras; vos illis misericordiam non dedistis [4]. » Zachariam item sic alloquitur: « Hæc dicit Dominus: Zelavi Jerusalem et Sion zelo magno, et ira magna ego irascor super gentes quæ mecum superimpositæ sunt; pro eo quod ego quidem iratus sum, sed modicum, ipsi vero simul superimpositi sunt in malum [5]. » Zelans itaque populum suum, ad vitam degendam requisita abundanter suppeditaturum se, et cladem præcedentem lætitia compensaturum, esculentaque ad satietatem largiturum pollicetur. **222** Insuper securitatem, ut in manus hostium non tradantur, nec vitam in servitute miseram et ærumnosam vivant. Ad hæc promittit fugaturum eum qui ab aquilone, hoc est, eum qui vicinus est aquiloni; potius enim ad orientem siti sunt Assyrii. Quod si quis existimat, etiam ex magis aquilonaribus Judææ partibus locustarum impressionem factam, nihil prohibebit quominus explicatio ista probetur.

Jam si cui corrumpuntur etiam bona cordis sui, et quæ cogitatione cernuntur fructuum uberrimorum

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

Καὶ ἐζήλωσεν ὁ Κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ. Καὶ ἀπεκρίθη ὁ Κύριος, καὶ εἶπε τῷ λαῷ αὐτοῦ· Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμῖν τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἐμπλησθήσεσθε αὐτῶν, καὶ οὐ δώσω ὑμᾶς οὐκ ἔτι εἰς ὀνειδισμὸν ἐν τοῖς ἔθνεσιν. Καὶ τὸν ἀπὸ βορρᾶ ἐκδιώξω ἀφ' ὑμῶν.

Λ'. Ἄθρει δὴ τρέχοντα κατὰ πόδας τὸν ἔλεον. Φθάνει γὰρ, οἶμαι, τὸ πένθος ἡ γαληνότης, καὶ τὸ ἐπὶ ταῖς μεταγνώσεσι δάκρυον ἡ χάρις τοῦ κατοικτείραντος. Οὐ γὰρ μόνον ἐλεεῖ τοὺς πεπραχότας ἀθλίως, ζηλοῖ δὲ μᾶλλον, ὡς καὶ ἐπιμηνίσαι τοῖς λελυπηκόσιν,

C οἳ καὶ τῆς ἐπενηνεγμένης αὐτοῖς ἀθλιότητος γεγόνασιν ὑπουργοί. Ἐπισκήπτει δέ που τοῖς Βαβυλωνίοις ὁ τῶν ὅλων Θεὸς, ὡς ἀπηνέστερόν πως ἢ χρὴ τοῖς ὑπὸ θείαν ὀργὴν ἐπενηνεγμένοις. Ἔφη γὰρ, ὅτι « Δέδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. » Καὶ μὴν καὶ πρὸς Ζαχαρίαν· « Τάδε λέγει Κύριος· Ἐζήλωσα τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ θυμῷ μεγάλῳ ἐγω ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτεθειμένα μοι. Ἀνθ' ὧν μὲν ἐγὼ ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακίαν. » Ζηλώσας δὴ οὖν τὸν λαὸν αὐτοῦ, κατεπαγγέλλεται μὲν ἀφθόνως χορηγήσειν τὰ ζωαρκῆ, καὶ τῆς προλαβούσης συμφορᾶς ἰσοπαλῆ τὴν εὐθυμίαν, καὶ εἰς κόρον τὰ ἐδώδιμα· πρὸς τούτοις δὲ ἀσφάλειαν τοῦ μὴ εἰς χεῖρας δοθήσεσθαι τῶν ἐχθρῶν,

D μήτε μὴν ὑποπεσόντας δουλείᾳ τῇ ἐπ' αὐτοὺς οἰκτρὸν, καὶ ἐν ἀθλιότητι ζῆσαι βίον. Ὑπισχνεῖται δὲ πρὸς τούτοις ἀφανιεῖν τὸν ἀπὸ βορρᾶ, τουτέστι, τὸν βορειότερον, πρὸς ἀκτῖνα γὰρ αὐτοῖς μᾶλλον ἡ χώρα. Εἰ δὲ δή τις οἴοιτο καὶ ἐκ τῶν βορειοτέρων μερῶν τῆς Ἰουδαίας, τῆς ἀκρίδος γενέσθαι τὴν ἔφοδον, τὸ κωλύον οὐδὲν ὀρθῶς ἔχειν οἴεσθαι καὶ οὕτω τὸν λόγον.

Εἰ δὲ δή τισι καταφθείροιτο καὶ τὰ εἰς καρδίαν ἀγαθὰ, καὶ τῆς νοητῆς εὐκαρπίας ὁ πλοῦτος οἷάπερ

[4] Isa. XLVII, 6. [5] Zach. I, 14, 15.

Digitized by Google

ἀκρίδος αὐτοῖς ἐπιπηδώσης τῆς τῶν δαιμόνων ἀγέλης, καὶ καταθεουσῶν ἀρχῶν, δυνάμεων καὶ ἐξουσιῶν (δῆλον δὲ ὅτι πονηρῶν), ποιείτω τὸ πένθος, μελετάτω τὴν μετάγνωσιν, δακρυροείτω πρὸς Θεόν. Ἀκούσεται γὰρ εὐθὺς ἐκ φιλανθρωπίας λέγοντος· « Ἰδοὺ ἐγὼ δίδωμι ὑμῖν τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον. » Ἀποφανεῖ γὰρ τὴν αὐτοῦ καρδίαν ὡς εὔσταχυν γῆν, ὡς πρέμνοις ὡραίοις κομῶντα κῆπον, ὡς εὔβοτρυν ἀμπελῶνα, καὶ μὴν καὶ ἐλαίῳ καταπιανεῖ. « Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. » Ἐξελάσει δὲ ἀπ' αὐτοῦ τὸν ἀπὸ βορρᾶ, τουτέστι, τὸν ἀποψύχοντα Σατανᾶν, καὶ ζῆν οὐκ ἐῶντα τῷ πνεύματι τοὺς ὑπ' αὐτῷ γενομένους. Ψυχθήσεσθαι δὲ ὁ Κύριος τὴν ἀγάπην τῶν πολλῶν ἔφασκε διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν. Ἀλλ' οἵγε Χριστοῦ γνώριμοι τῷ πνεύματι ζέουσιν. Ἀνέχονται δὲ οὐδαμῶς τὸ ἀποψύχεσθαί ποι πρὸς τὰς ἐκτόπους ἡδονάς. « Τὴν σάρκα γὰρ ἑαυτῶν ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις. »

A divitiæ, proinde ut locusta insiliente in ipsas gregem dæmonum, et incursantibus principatibus, virtutibus, potestatibus (malis utique), luctui se dedat, pœnitentiam exerceat, ad Deum lacrymas effundat, et statim pro benignitate dicentem audiet : « Ecce ego do vobis frumentum, et vinum, et oleum. » Reddet enim cor ejus ut agrum spicis refertum, ut hortum stirpibus comantem, ut vineam botris plenam. Quin et oleo pinguefaciet : « Impinguasti in oleo caput meum [6]. » Expellet denique ab eo venientem ab aquilone, id est, frigefacientem Satanam, nec sinentem spiritu vivere quos subegerit. Refrigeratum porro iri multorum charitatem, quoniam abundabit iniquitas [7], Dominus testatur. Verum Christo noti fervent spiritu, et neutiquam refrigescere sustinent ad turpes voluptates, quando « carnem suam crucifixerunt cum vitiis et concupiscentiis suis [8]. » B

Καὶ ἐξώσω αὐτὸν εἰς γῆν ἄνυδρον, καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. Καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ, καὶ ἀναβήσεται ὁ βρόμος αὐτοῦ, ὅτι ἐμεγάλυνεν τὰ ἔργα αὐτοῦ.

Vers. 20. *Et expellam eum in terram sine aqua, et disperdam faciem ejus in mare primum, et posteriora ejus in mare novissimum. Et ascendet putredo ejus, et ascendet sonitus illius, quoniam magnificavit opera ejus.*

ΛΑ'. Διαπλαττόμενον καὶ ἔτι τοῦ λόγου τὸ σχῆμα, καθὼς καὶ ἐν ἀρχαῖς ὡς ἐπ' ἀκρίδος, καὶ βρούχου, ἃ καὶ ἀφανισθήσεσθαί φησιν, ἀπενηνεγμένα κατὰ βούλησιν Θεοῦ πρὸς αὐτάς που τάχα τῆς Ἰουδαίων γῆς τὰς ἐσχατιάς, καὶ εἰς τοῦτο δυσωδίας ἐλθεῖν, ὡς καὶ φορτικὴν τὴν διάδοσιν γενέσθαι τοῖς ἀνὰ πᾶσαν τὴν χώραν. Μεθίστησι δὲ οὐδαμῶς ὁ λόγος τοῦ χρὴ νοεῖν καὶ τὰ τοιάδε πάλιν ὡς ἐπί γε τῶν Βαβυλωνίων. Ἐν μὲν γὰρ τοῖς νοτίοις μέρεσι τῆς Ἱερουσαλὴμ βαθεῖά τις ἔρημος ἐξευρύνεται, τερματίζεταί γε μὴν πρὸς ἠῶ τε, καὶ νότον πελάγεσιν Ἰνδικοῖς, πρὸς δύσιν δ' αὖ, καὶ τὰ βορρότερα τῇ Παλαιστινῶν γείτονι θαλάσσῃ, καὶ αὐτοῖς δὲ προσκλυζούσῃ τοῖς Αἰγυπτίοις. Ἐκεῖ τὸν βροῦχον καὶ τὴν ἀκρίδα διολέσαι φησὶ, δυσαχθῆ δὲ γενέσθαι τὸν βρόμον αὐτῶν. Πλὴν ἀνήρηνται καὶ οἱ Βαβυλώνιοι, τὴν βορειοτέραν χώραν, καὶ πρὸς ἠῶ κειμένην οἰκοῦντες. Ἀνήρηνται δὲ ἐν καιροῖς τῆς Ἐζεχίου βασιλείας, καὶ ἦν δυσφόρητος τῶν πτωμάτων βρόμος, ὡς καθαρισθῆναι μόλις ἐν ἑπταμήνῳ τὴν γῆν, καὶ τῆς τῶν πτωμάτων ἀπαλλαγῆναι σαπρίας. Οὕτω γάρ φησιν Ἰεζεχιήλ. Ὅτι δὲ προσκέκλιται τοῖς βορειοτέροις τῶν Βαβυλωνίων ἡ γῆ, σαφὲς ἂν γένοιτο, λέγοντος Θεοῦ διὰ φωνῆς ἁγίων τοῖς ἐξ αἵματος Ἰσραὴλ ἀπενηνεγμένοις ἐν αἰχμαλωσίᾳ· « Ὦ, ὦ, φεύγετε ἐκ γῆς βορρᾶ, λέγει Κύριος· εἰς Σιὼν ἀνασώζεσθε, οἱ κατοικοῦντες θυγατέρα Βαβυλῶνος. »

XXXI. Sermonis figuram adhuc, sicut ab initio, usurpans, velut de locusta et brucho loquitur, et dissipatum iri dicit, sublatos secundum Dei voluntatem celeriter ad oras Judææ ultimas forte adeoque tetrum odorem tota regione diffusuros, ut incolæ molestiam magnam sentiant. Nec mutat sermo ullo modo, quin et hæc de Babyloniis rursum intelligenda sint. Nam qua Hierosolyma austrum respicit, solitudo longa intenditur, quæ ad orientem et austrum mari Indico terminatur, ad occidentem et aquilonem, mari vicino Palæstinæ **223** et ipsam Ægyptum alluente. Ibi bruchum et locustam interiisse ait. Eorum porro sonitum onerosum ac molestum exstitisse. Cæterum ablati sunt etiam e medio Babylonii, aquiloni viciniorem regionem, et ad orientem positam habitantes, quo tempore Ezechias regnavit [9], eratque intolerabilis cadaverum fetor, ut vix septem mensibus terra purgaretur, et a putredine corporum mortuorum liberaretur [10], ut apud Ezechielem legimus. Babyloniorum autem regionem vergere versus aquilonem perspicuum fit ex verbis Domini, quæ sanctorum voce locutus est iis qui de sanguine Israel in captivitatem abducti fuerant : « O, o, fugite de terra aquilonis, dicit Dominus. In Sion salvamini, qui habitatis filiam Babylonis [11]. » C D

Ἐξελάσας δὲ καὶ ἐξ ἡμῶν αὐτῶν τὴν ἀκρίδα Χριστὸς, φημὶ δὴ τὴν νοητὴν, τὰ παμμόχθηρα στίφη τῶν δαιμονίων δηλονότι, κατέκλεισεν αὐτὰ εἰς ᾅδου, καὶ ἐν τοῖς τῆς ἀβύσσου μυχοῖς κατηφάνισε, καθεὶς

Christus vero etiam e nobis ipsis locustam quæ mente videtur expulit, improbissimorum dæmonum catervas puta, eosque inferno conclusit, et in abyssi intima procul removit, quasi si in altum mare

[6] Psal. xxii, 5. [7] Matth. xxiv. 12. [8] Galat. v, 24 [9] IV Reg. xviii, 1. [10] Ezech. xxxix, 12. [11] Zach. ii, 6.

Digitized by Google

eos demergeret. Ascendit autem postea pulor et sonitus eorum, et nobis gravis atque odiosus factus est, quanquam olim talis nobis haud videretur; Satanam siquidem fetere non credebamus. At nunc, et vix tandem talem esse cognovimus. Putabamus enim miseri bene olere, et amabilem esse, quando, vinculis pravitatis constricti, ejus potestate continebamur. Sed postquam Emmanuel nobis apparuit, et hoc verbum edidit: « Ego flos campi, et lilium convallium [12], » tum, sero licet ejus fragrantiam sentientes, illius (dæmonis) graveolentiam detestati sumus.

VERS. 21-24. *Confide, terra, gaude et lætare, quia magnificavit Dominus ut faceret. Confidite, jumenta campi, quoniam germinaverunt campi solitudinis, quia lignum attulit fructum suum, vinea et ficus dederunt fortitudinem suam. Et, filii Sion, gaudete, et lætamini in Domino Deo vestro, quoniam dedit vobis escam in justitiam, et pluet vobis imbrem temporaneum et serotinum, sicut antea. Et replebuntur areæ tritico, et redundabunt torcularia vino et oleo.*

XXXII. Mos est sanctis prophetis a bonis particularibus et in paucos collatis ad universitatem et genus ipsum verba dirigere, ut sunt ea quæ per Christum consecuti sumus. Horsum igitur denuo procedit nobis oratio. Quando enim datum est terræ ut confideret? Rursum, quando magnificavit Dominus facere? **225** nisi quando Verbum, quod erat Deus, humanam naturam induit, ut bonis supernis terram inundans, inveniretur in se credentibus ut flavius pacis, ut torrens voluptatis, ut temporaneus et serotinus imber, et totius ubertatis largitor. Tunc enim vel insipientissimis (qui jumenta campi dicuntur) intellectualis herba germinavit, nempe docentium sermo. Tunc viruerunt campi solitudinis. Et solitudinem quidem vocat Ecclesiam, juxta illud: « Lætare, desertum sitiens, exsultet solitudo, et floreat quasi lilium [13]. » Campi ejus sunt populorum rectores et doctores, qui et divinis e cœlo charismatis animum velut scatentem et pulcherrime undique florentem gerunt, et dogmatum floribus spirantem suaviter, et recenti herba undique pubescentem. Hi bestiarum naturam et ingenia imitantes exhilarant, ut etiam ad prudentiam homine dignam eos adducant. Ait autem, et lignum tulisse fructum suum, et vineam atque ficum propriam dedisse virtutem, firmum ac solidum, opinor, docentium sermonem, cui mista est dulcedo, et ratio delectandi, fructibus fici et vineæ comparans. Convenerit autem, nec injuria sane, adhuc crassis et pecudem instar stupidis, et humiliorem doctrinam, veluti herbam in parva docentibus enatam impertiri, perfectis vero sublimis intelligentiæ, et tanquam e lignis speciosis efflorescentem fructum, nempe de sancta et consubstantiali Trinitate, sive

[12] Cant. II, 1. [13] Isa. XXXV, 1.

A οἱονεί πως εἰς τὰ βάθη τῆς θαλάσσης. Ἀνέδη δὲ λοιπὸν ἡ σαπρία, καὶ ὁ βρόμος αὐτῶν, καὶ γέγονεν ἡμῖν φορτικός τε, καὶ κατεστυγημένος, καίτοι πάλαι μὴ τοιοῦτος εἶναι δοκῶν· δυσώδη γὰρ ὄντα τὸν Σατανᾶν, νῦν δὲ, καὶ μόλις ὅτι τοιοῦτός ἐστιν ἐγνώκαμεν. Ὠόμεθα γὰρ οἱ τάλανες εὐώδη τε εἶναι, καὶ ἀξιέραστον, ὅτε τοῖς δεσμοῖς ὑπειλημμένοι τῆς φαυλότητος ὑπὸ χεῖρα τὴν ἐκείνου πεπτώκαμεν. Ἐπειδὴ δὲ ὁ Ἐμμανουὴλ ἐπέφανεν ἡμῖν, ἀνακεκραγώς τε, καὶ λέγων· « Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων, » τότε δὴ μόλις ἐπῃσθόμενοι τῆς ἐνούσης εὐωδίας αὐτῷ, τῆς ἐκείνου κατεγνώκαμεν δυσωδίας.

Θάρσει, γῆ, χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνεν Κύριος τοῦ ποιῆσαι· θαρσεῖτε, κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκεν πεδία τῆς ἐρήμου, ὅτι B *ξύλον ἤνεγκεν καρπὸν αὐτοῦ, ἄμπελος καὶ συκῆ ἔδωκαν ἰσχὺν αὐτῶν. Καὶ τὰ τέκνα Σιών, χαίρετε, καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ Θεῷ ὑμῶν, διότι ἔδωκε ὑμῖν τὰ βρώματα εἰς δικαιοσύνην, καὶ βρέξει ὑμῖν ὑετὸν πρώϊμον καὶ ὄψιμον, καθὼς ἔμπροσθεν. Καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ οἴνου, καὶ ἐλαίου.*

ΛΒ'. Ἔθος τοῖς ἁγίοις προφήταις, ἐκ τῶν κατὰ μέρος, καὶ πρὸς ὀλίγους ἀγαθῶν, κομίζειν τὸν λόγον ἐπὶ τὰ καθόλου τε καὶ γενικώτερα. Ταῦτα δέ ἐστι τὰ διὰ Χριστοῦ. Πρόεισι δὴ οὖν εἰς τοῦτο πάλιν ἡμῖν ὁ λόγος. Πότε γὰρ δέδοται τὸ χρῆναι θαρσεῖν τῇ γῇ; Πότε δ' αὖ ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι; εἰ μὴ ὅτε, Θεὸς ὤν, ὁ Λόγος γέγονεν ἄνθρωπος, ἵνα τοῖς C ἄνωθεν ἐπικλύζων ἀγαθοῖς τὴν ὑπ' οὐρανὸν, εὑρίσκοιτο τοῖς πιστεύουσιν εἰς αὐτὸν ὡς ποταμὸς εἰρήνης, ὡς χειμάρρους τρυφῆς, ὡς πρώϊμός τε καὶ ὄψιμος ὑετὸς, καὶ ἁπάσης νοητῆς εὐκαρπίας δοτήρ. Τότε γὰρ καὶ τοῖς ἄγαν ἀσυνετωτάτοις (οἳ καὶ κτήνη λέγονται τοῦ πεδίου) νοητή τις ἀνέφυ πόα, τῶν διδασκόντων ὁ λόγος. Τότε βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, καὶ ἔρημον μὲν ὀνομάζει τὴν Ἐκκλησίαν κατὰ τὸ, « Εὐφράνθητι, ἔρημος διψῶσα. Ἀγαλλιάσθω ἡ ἔρημος, καὶ ἀνθείτω ὡς κρῖνον. » Πεδία δὲ αὐτῶν εἰσιν οἱ λαῶν ἡγούμενοι, καὶ παιδαγωγεῖν εἰδότες, οἳ καὶ τοῖς θείοις ἐξ οὐρανοῦ χαρίσμασιν οἱονεὶ βρύοντά τε, καὶ εὖ μάλα περιηνθισμένον φέρουσι τὸν νοῦν καὶ ταῖς τῶν δογμάτων ἄνθαις πνέοντά τε ἡδὺ, καὶ ἀρτιφανεῖ τῇ πόᾳ κατεστεμμένον. D Οὗτοι τῶν ἀποκτηνωθέντων τὸν νοῦν κατευφραίνουσιν, ἵνα καὶ εἰς σύνεσιν ἀνάγωσιν ἀνθρωποπρεπῆ. Ἔφη δὲ ὅτι καὶ ξύλον ἐξήνεγκε τὸν καρπὸν αὐτοῦ, ἄμπελός τε, καὶ συκῆ τὴν ἰδίαν ἐκδέδωκε δύναμιν, τὸν στερεὸν, οἶμαι, τῶν διδασκόντων λόγον, ᾧ μέτεστι μὲν τὸ γλυκὺ, μέτεστι δὲ πρὸς τούτῳ καὶ τὸ κατευφραίνειν εἶδος, τῆς ἀπὸ συκῆς, καὶ ἀμπέλου καρποῖς παρεικάζων. Ἁρμόσειε δ' ἄν, καὶ μάλα εἰκότως, τοῖς μὲν ἔτι παχυτέροις τὸν νοῦν, καὶ νεοθείαν ἔχουσι τὴν κτηνοπρεπῆ κατανέμεσθαι καὶ χθαμαλωτέραν μάθησιν, τὴν ὡς ἐν εἴδει καὶ δυνάμει πόας ἐν τοῖς τὰ μικρὰ διδάσκουσι φυομένην, τοῖς δὲ

Digitized by Google

τελείοις ἤδη τὸν ὑψοῦ τε νοούμενον, καὶ οἷον ξύλοις ὡραίοις ἐπηνθηκότα καρπόν, τὸν περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος, ἤγουν παιδεύσεως ἠθικῆς, τῆς ὡς ἐν ὕψει θεωρουμένης. Τοιγάρτοι κτήνη μὲν ἐκείνους ὀνομάζει, Σιὼν δὲ ἤδη τέκνα τοὺς τελειοτέρους, οἷς καὶ ἐπιγάννυσθαι κελεύει Κυρίῳ τῷ Θεῷ ἡμῶν. Ἡ πᾶσα γὰρ θυμηδία ἡμῶν Χριστὸς, παρ' οὗ καὶ δι' οὗ πᾶσα πλήρωσις ἀγαθῶν, καὶ τῶν οὐρανίων χαρισμάτων χορηγία τοῖς ἀγαπῶσιν αὐτὸν, ὡς ἐν πρωΐμοις τε, καὶ ὀψίμοις ὑετοῖς νοουμένη, καὶ ὡς ἐν σίτῳ ἅλῳ, καὶ οἴνῳ ληνοῖς ὑπερχεομένῳ, καὶ ἐλαίῳ ὑπερβλύζοντι. Ἰστέον δὲ, ὅτι καὶ κατὰ τὸν τρόπον τῆς μυστικῆς πληρώσεως ἀληθὴς ἡ ὑπόσχεσις. Δέδοται γὰρ ἡμῖν ὡς ἐν ὑετῷ τὸ ὕδωρ τὸ ζῶν τοῦ ἁγίου βαπτίσματος, ὡς δ' ἐν σίτῳ ὁ ἄρτος τῆς ζωῆς καὶ ὡς ἐν οἴνῳ τὸ αἷμα. Προεπενήνεκται δὲ καὶ ἡ τοῦ ἐλαίου χρεία, συντελοῦσα πρὸς τελείωσιν τοῖς δικαιουμένοις ἐν Χριστῷ διὰ τοῦ ἁγίου βαπτίσματος.

A de disciplina morali, quam quasi in alto positam contemplamur. Proinde illos jumenta appellat; Sionis autem jam filios, perfectiores, quos et gaudere jubet in Domino Deo nostro. Omne enim animi oblectamentum Christus est, a quo et per quem est omnis bonorum plenitudo, et charismatum cœlestium donatio diligentibus eum, quasi in temporaneis et serotinis imbribus intellecta, et quasi in frumento quo area, et in vino quo torcularia redundarant, et in exuberante oleo. Sciendum præterea etiam secundum mysticum eventum promissionem veram esse. Data est nobis ceu in pluvia aqua vivens sacri baptismatis, et tanquam in frumento panis vivus, et tanquam in vino sanguis. Accessit item usus olei, qui per sacrum baptisma in Christo justificatis ad consummationem conferret. B

Καὶ ἀνταποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κατέφαγεν ἡ ἀκρὶς, καὶ ὁ βροῦχος, καὶ ἡ κάμπη, καὶ ἡ ἐρυσίβη, ἡ δύναμίς μου ἡ μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς, καὶ φάγεσθε βρώσει, καὶ ἐμπλησθήσεσθε, καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὃς ἐποίησεν μεθ' ὑμῶν θαυμάσια.

225 VERS. 25, 26. *Et redaam vobis pro annis quos comedit locusta, et bruchus, et eruca, et rubigo, fortitudo mea magna, quam misi in vos. Et comedetis comestione, et saturabimini, et laudabitis nomen Domini Dei vestri, qui fecit vobiscum mirabilia.*

ΛΓ'. Ὅσον μὲν ἥκει εἰς τὸν τῆς ἱστορίας λόγον, ταῖς προλαβούσαις τῆς ἀκρίδος ἐκβολαῖς τὴν ἰσοσθενῆ καὶ ἰσομεροῦσαν εἰσάπαν ὑπισχνεῖται φιλοτιμίαν, καὶ τῆς ἤδη συμβάσης ἐνδείας αὐτοῖς εὐρυτέραν φησὶν ἔσεσθαι τὴν τῶν ἐδωδίμων παράθεσιν.

XXXIII. Quod ad historiam pertinet, antegressis locustarum irruptionibus non minus validam et æqualem penitus mumificentiam spondet, et quam experti sint penuriam, ea uberiorem ipsis fore proventum esculentorum confirmat.

Εἰ δὲ δὴ νοῆτο πνευματικὸς ὁ λόγος τῆς προφητείας, φαμὲν, ὅτι κατεδηδοκότος ἡμᾶς ὥσπερ τοῦ Σατανᾶ, καὶ ὡς ἐν τάξει κάμπης τε καὶ ἀκρίδος, καὶ μέν τοι καὶ ἐρυσίβης κατεφθαρκότων οὐ φορητῶς τῶν ἀλιτηρίων πνευμάτων ἐπὶ πολυτρόπου παθῶν ἰδέας, ξηροὶ καὶ ἄκαρποι μεμενήκαμεν, ἐψιλωμένοι καὶ γυμνοὶ παντὸς ἀγαθοῦ, οὐκ ἠθικὴν ἔχοντες εἰς νοῦν ἀρετὴν, λιμῷ δὲ ὥσπερ κατεφθαρμένοι, καὶ πάσης ἁπαξαπλῶς εὐκαρπίας ἐστερημένοι. Ἐπειδὴ δὲ πεπλουτήκαμεν παρὰ Χριστοῦ τὸ χρῆναι θαρσεῖν (νενικήκαμεν γὰρ σὺν αὐτῷ τὸν κόσμον, « Καὶ δέδωκεν ἡμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων »), τότε δὴ καὶ ὑετοὺς ἐσχήκαμεν τοὺς πνευματικοὺς πρώϊμόν τε καὶ ὄψιμον, νομικὴν, φημὶ, παίδευσιν, καὶ παράκλησιν εὐαγγελικήν. Τότε καὶ φαγόντες ἐμπεπλήσμεθα, καὶ δοξολογοῦμεν ὡς Δεσπότην τὸν ἑαυτῶν Σωτῆρα Χριστὸν, ἀνακηρύττοντες ὡς θαυματουργὸν, καὶ τὰ τοῦ λόγου, καὶ ἐλπίδος ἐπέκεινα τοῖς ἀγαπῶσιν αὐτὸν δωρούμενον. Ἐγνώκαμεν δὲ πρὸς αὐτὴν ἕτερον παντελῶς οὐδένα. Δεδιδάγμεθα δὲ λέγειν ἐξ ἀγαθῆς διανοίας. Κύριος, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν. Ἄθρει δὲ πῶς ὁ τῶν ὅλων Θεὸς μονονουχὶ καταγελᾷ, καὶ κατειρωνεύεται τὰ ἀνθρώπινα, δύναμιν ἑαυτοῦ μεγάλην κάμπην ἀποκαλῶν, ἣν καὶ εἰς αὐτοὺς πεπομφέναι φησὶ, καὶ οὐδέπω φαμὲν, ὅτι δύναμις Θεοῦ ἡ κάμπη. Ἀλλ' οἷον ἐκεῖνό φησι τοῖς τὴν δι' αὐτῆς οὐκ ἐνεγκοῦσι κόλασιν· Ὦ δεινοὶ, καὶ

C

At si hæc prophetæ verba spiritualiter interpretemur, dicendum est nos a Satana quasi devoratos, et ab eruca et locusta per varia vitiorum genera crudeliter perditos, mansisse aridos ac steriles, omnibus bonis privatos ac nudatos, nihil quod ad morum virtutem attinet, animis possidentes. Ast ubi fiducia in Christum locupletati sumus (vicimus enim cum ipso mundum [14], « et dedit nobis potestatem calcandi supra serpentes et scorpiones [15] »), tunc quoque imbres spirituales accepimus, temporaneum et serotinum, institutionem legum, inquam, et consolationem evangelicam. Tunc enim comedentes repleti sumus, et ut Dominum glorificamus Christum Salvatorem nostrum, eumdem ut mirabilium D effectorem, et majora quam dici aut sperari possint, diligentibus se donantem prædicantes. Sumus autem docti bona conscientia dicere: Domine, extra te alium haud novimus. Perpendé deinde quomodo universorum Dominus tantum non irrideat, et simulatione quadam deludat res hominum, erucam vocans magnam suam fortitudinem, quam et se adversus ipsos misisse autumat. Nos quidem nequaquam dicimus Dei fortitudinem esse erucam. Sed ita quodammodo eos qui invectam ab illa cladem perferre nequiverunt, compellat. O contumaces, ac superbi, et pro nihilo ducentes me offendere! non ignem de cœlo in vos misi, non tonitrua non gran-

[14] Joan. XVI, 33. [15] Luc. X, 19.

Digitized by Google

dinem, non aliud quidpiam sumptum et locis superis, et divinæ gloriæ honestissimum inflixi; vermium abjecta turba in regionem insurrexit, et conturbati estis, et periistis celeriter. Robusta scilicet vehementer est eruca : meam certe magnam fortitudinem illam reputo. **226** Mores igitur sermo exprimit, et est velut irridentis, ac propemodum conviciantis Dei in eos qui peccare nihil pensi habent. Posse eos nempe afficere pœna, si velit, sufficiente ad hoc eruca, pro magnis et invictis deinceps viribus. Non igitur effuse rideant hæretici, nec adversus Unigeniti gloriam nugentur, utpote cum eruca magna fortitudo nominata sit. Nec eodem loco que vermis pollens viribus habeatur; ausi sunt enim miseri etiam in hanc opinionis se præcipitare miseriam.

A ἀγέρωχοι, καὶ ἐν οὐδενὶ γράφοντες λόγῳ τὸ προσκρούειν ἐμοί! οὐ πῦρ ἐφ' ὑμᾶς οὐρανόθεν ἀνῆκα, οὐ βροντὴν, οὐ χάλαζαν, οὐχ ἕτερόν τι τῶν ὑψοῦ τε ἠρμένων, καὶ ὅτι μάλιστα τῇ τοῦ Θεοῦ δόξῃ πρεπωδεστάτων ἐπήνεγκα. Σκωλήκων ἀθλία πληθὺς κατεξανέστη τῆς χώρας, καὶ τεθορύβησθε, καὶ διωλώλατε τάχα που· μεγάλη λίαν ἡ κάμπη. Λογιοῦμαι δὲ αὐτὴν καὶ δύναμιν ἑμαυτοῦ μεγάλην. Ἐν ᾗθει δὴ οὖν ὁ λόγος, καὶ οἱονεί πως ἐν γέλωτι, μονονουχὶ καὶ ἐπιτωθάζοντος Θεοῦ τοῖς καταφρονεῖν εἰωθόσιν, ὥστε εἴπερ ἔλοιτο κολάζειν ἑαυτοὺς, ἀρκούσης εἰς τοῦτο κάμπης ἀντὶ πολλῆς καὶ ἀμάχου λοιπὸν ἰσχύος. Μηδὲ πλατὺ γελώντων αἱρετικῶν, μηδὲ τῆς τοῦ Μονογενοῦς καταφλυαρούντων δόξης, μηδὲ ὡς δὴ καὶ μεγάλης δυνάμεως ἐν ἴσῳ γραφέσθω τῇ σκώληκι· τεταλμήκασι γὰρ οἱ δείλαιοι καὶ εἰς τοῦτ' ὀλισθεῖν ἀθλιότητος ἐννοιῶν.

B

VERS. 27. *Et non confundetur populus meus in æternum. Et scietis quia in medio Israel sum ego. Et ego Dominus Deus vester, et non est præter me; et non confundetur ultra omnis populus meus in æternum.*

Καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα. Καὶ ἐπιγνώσεσθε ὅτι ἐν μέσῳ τοῦ Ἰσραὴλ εἰμι ἐγώ. Καὶ ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ· καὶ οὐ μὴ καταισχυνθήσεται ἔτι πᾶς ὁ λαός μου εἰς τὸν αἰῶνα.

XXXIV. Manifeste modum œconomiæ incarnationis, et sese exinaniturum[16], et cum terricolis habitaturum promittit [17], nostri similem, id est, hominem factum. Tunc enim in medio Israel fuit, et nos ignominiam effugimus, et e confusione exempti sumus, morte nimirum prostrata, peccato interfecto et cognitione veritatis introducta. Haud enim amplius creaturam adoramus præter Creatorem [18], et alium Deum præter illum neminem prorsus suscepimus. Proinde etiam divites evasimus, ut in spe firma viventes, et exspectatione vitæ longævæ in sanctificatione et innocentia vitæ.

ΛΔ'. Ἐπαγγέλλεται σαφῶς τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον, καὶ ὅτι τοῖς ἐπὶ γῆς συνδιαιτήσεται κενώσας ἑαυτὸν, καὶ γενόμενος καθ' ὑμᾶς, τουτέστιν, ἄνθρωπος. Τότε γὰρ γέγονεν ἐν μέσῳ τοῦ Ἰσραὴλ, καὶ διεφύγομεν ἐντροπὴν, καὶ αἰσχύνης ἀπηλλάγμεθα, θανάτου πεσόντος, ἁμαρτίας ἀνῃρημένης, γνώσεως ἀληθοῦς εἰσκεκομισμένης. Οὐκ ἔτι γὰρ τῇ κτίσει προσκυνοῦμεν παρὰ τὸν κτίσαντα, καὶ Θεὸν ἕτερον ἐπ' αὐτῷ παντελῶς οὐδένα παραδεδέγμεθα. Τοιγάρτοι καὶ πεπλουτήκαμεν, ὡς ἐν ἐλπίδι βεβαίᾳ ζῶντες, καὶ δόξῃ τῇ εἰς μακραίωνα βίον, ἐν ἁγιασμῷ καὶ ὁσιότητι πολιτείας.

C

VERS. 28, 29. *Et erit posthæc, et effundam de Spiritu meo super omnem carnem, et prophetabunt filii vestri et filiæ vestræ; et seniores vestri somnia somniabunt, et juvenes vestri visiones videbunt. Atque etiam super servos meos et ancillas in diebus illis effundam de Spiritu meo.*

Καὶ ἔσται μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν. Καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. Καί γε ἐπὶ τοὺς δούλους μου, καὶ ἐπὶ τὰς δούλας ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου.

XXXV. En perspicue sancti Spiritus gratiam se donaturam promittit, id est, donationem largifluam, non ut sibi prophetas unum aut alterum, si ita ferat res, deligat; sed absolute in omnes qui accipere merebuntur. Id quod Christo redivivo, et destructo mortis imperio, factum esse confitemur[19]. Nam velut de integro adeo venerandam et admirabilem gratiam sanctis discipulis immisit, insufflans et dicens : « Accipite Spiritum sanctum [20]. » Oportebat enim, oportebat Ecclesiæ mystagogos et orbis terrarum magistros futuros etiam ante alios dono Spiritus sancti cohonestari, et veluti quoddam ornamentum per fidem in sanctificationem ab initio factos, divina et cœlesti **227** gratia inaurari. Diebus vero sacræ Pentecostes congregatis in unam domum di-

ΛΕ'. Ἰδοὺ δὴ σαφῶς χαριεῖσθαι κατεπαγγέλλεται τὴν τοῦ ἁγίου Πνεύματος χάριν, τουτέστιν, ἀμφιλαφῆ τὴν χορηγίαν, οὐκ εἰς προφήτην ἐξειλεγμένως ἕνα τυχὸν, ἢ δύο, ἀλλ' εἰς ἅπαντας ἁπλῶς τοὺς ἐλεῖν ἀξίους. Ὃ δὴ φαμεν καὶ πεπεράνθαι ἐγηγερμένου Χριστοῦ, καὶ τὸ τοῦ θανάτου καταλύσαντος κράτος. Ἀπ' ἀρχῆς γὰρ ὥσπερ τι ὦδε σεπτὴν, καὶ ἀξιάγαστον χάριν τοῖς ἁγίοις ἐνετίθει μαθηταῖς, ἐμφυσῶν τε καὶ λέγων· « Λάβετε Πνεῦμα ἅγιον. » Ἔδει γὰρ, ἔδει τοὺς τῆς Ἐκκλησίας μυσταγωγοὺς, καὶ τῆς ὑφ' ἥλιον παιδευτὰς ἐσομένους, καὶ πρό γε τῶν ἄλλων τῇ τοῦ ἁγίου Πνεύματος δόσει κατακαλλύνεσθαι, καὶ οἷόν τι κεκοσμημένον διὰ πίστεως εἰς ἁγιασμὸν ἀπ' ἀρχῆς γεγονότας, τῇ θείᾳ γε καὶ οὐρανίῳ καταχρυσοῦσθαι χάριτι. Κατὰ δέ γε τὰς ἡμέρας τῆς ἁγίας Πεν-

D

[16] Philipp. II, 7. [17] Baruch. III, 38. [18] Rom. I, 25. [19] II Tim. I, 10. [20] Joan. XX, 22.

Digitized by Google

τηκοστῆς εἰς οἶκον ἕνα συναγηγερμένων τῶν μαθητῶν, καὶ τὰς συνήθεις Θεῷ προσαγαγόντων λιτὰς, γέγονεν ἄμφω, ἦχος ἐγένετο, καὶ γλῶσσαι ἐφ' ἕνα ἕκαστον ἐκάθισαν, « Καὶ ἤρξαντο λαλεῖν ἐν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι » Ἀπεφθέγγοντο δὲ προφητεύοντες ἦγουν συνιέντες τε, καὶ λέγοντες τὰ διὰ τῶν ἁγίων προφητῶν ἐν τῷ Χριστῷ μυστήρια, καὶ τὰ δι' ὧν εἰκὸς ἦν πρὸς εὐπείθειαν ἑτοίμως ἰέναι ἀναπεπεισμένους εὖ μάλα τοὺς ἀκροωμένους, ὡς ἐνέστηκε λοιπὸν ὁ τῆς εὐδοκίας καιρὸς, καὶ τὰ πάλαι προηγγελμένα ἐπὶ Χριστῷ εἰς πέρας ἦκε λοιπόν. Οὐκοῦν προσφήτευον, ἁπάσῃ γλώσσῃ λαλοῦντες, διὰ φωνῆς ἁγίων Θεοῦ προαναφωνοῦντος καὶ τοῦτο. Γέγραπται γάρ· « Ἐν ἑτερογλώσσοις, καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως πεισθήσονται. » Τοῦτό τοι καὶ Παῦλος συνεὶς, εἰς σημεῖον Ἰουδαίοις δεδόσθαι φησὶ τὴν πολυγλωσσίαν. Ὅτι δὲ καταπτάντος ἐξ οὐρανοῦ τοῦ ἁγίου Πνεύματος πολλοὶ λίαν ἦσαν οἱ τῇ χάριτι τῆς προφητείας ἀναμεσούμενοι, σαφηνιεῖ γράφων ὁ Παῦλος· «Προφῆται δὲ δύο ἢ τρεῖς λαλείτωσαν.» Εἶτα· « Δύνασθε γὰρ καθ' ἕνα πάντες προφητεύειν. » Πάλαι μὲν γὰρ διὰ πολλὴν δυστροπίαν προσκρούοντος τοῦ Ἰσραὴλ, ἔφασκε Θεός· « Ἰδοὺ ἐγὼ λιμὸν ἐπάγω ἐπὶ τὴν γῆν τοῦ ἀκοῦσαι λόγον Κυρίου, καὶ ἀπὸ ἀνατολῶν ἕως δυσμῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσι. » Καὶ πρὸς Ἰεζεχιήλ· « Καὶ τὴν γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθήσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα ἐλέγχοντα, ὅτι οἶκος παραπικραίνων ἐστί. » Ἐπειδὴ δὲ, κατὰ τὴν φωνὴν τοῦ Ψάλλοντος, « Θεὸς Κύριος, καὶ ἐπέφανεν ὑμῖν· » (ἐπέφανε γὰρ ἡμῖν ὁ Χριστὸς, ἀνιεὶς ἐγκλήματα, καὶ τὸ τῆς ἁμαρτίας ἐμφράττων στόμα) δέδοται λοιπὸν ἡ χύσις τοῦ ἁγίου Πνεύματος, Θεοῦ κατευφραίνοντος τὴν τῶν ἀνθρώπων φύσιν, καὶ τῇ ἄνωθεν, καὶ ἐν ἀρχῇ στεφανοῦντος δόξῃ, καὶ εἰς ἐκεῖνο πάλιν αὐτὴν φιλαγάθως ἀνακομίζοντος, εἰς ὃ προῆν, οὔπω τῆς ἁμαρτίας εἰσκεκριμένης. Οὐ γὰρ ἔρημον προφητικοῦ Πνεύματος εὑρήσομεν τὸν Ἀδὰμ, οὕπω τὴν θείαν ἐντολὴν παραβεβηκότα· πεπηγότα δὲ ὥσπερ ἔτι, καὶ τοῖς τῆς φύσεως χρηστοῖς ἐμπρέποντα. Καὶ γοῦν ὅτε τὴν γυναῖκα πλαστουργήσας ὁ Θεὸς ἤγαγε πρὸς αὐτὸν, καίτοι μήπωθεν ἀκούσας τίς τε εἴη, καὶ τίνα τρόπον ἀνέφυ, εὐθὺς ἐπεφώνει· « Τοῦτο καὶ ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη γυνὴ κληθήσεται, ἤτοι κατὰ Ἑβραΐδα φωνὴν, *ἀνδρίς*, ὅτι ἐκ τοῦ ἀνδρὸς ἐλήφθη. » Ἀλλ' ἦργησε μὲν ἡ ἀνθρώπῳ δοθεῖσα χάρις. Ἀνεκαινίσθη δὲ ἐν Χριστῷ, ὃς καὶ ἔστι δεύτερος Ἀδάμ. Ἀνεκαινίσθη δὲ τίνα τρόπον; ᾗ μὲν γάρ ἐστι Θεὸς, καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς (γεγένηται γὰρ ἐκ Θεοῦ καὶ Πατρὸς), ἴδιον αὐτοῦ τε, καὶ ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι, καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. Ἧ δὲ γέγονεν ἄνθρωπος, καὶ γέγονε καθ' ἡμᾶς, ἐπακτὸν ἔχειν τὸ Πνεῦμα λέγεται. Καταπεφοίτηκε γοῦν ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς, ὅτι καθ'

A scipulis, et consuetis precationibus Deo oblatis, utrumque contigit : auditus est sonitus, et linguæ singulis insederunt. « Et cœperunt loqui aliis linguis, prout Spiritus sanctus dabat eloqui illis [20*]. » Loquebantur autem prophetantes, sive per sanctos prophetas de Christo prænuntiata mysteria intelligentes et proloquentes, et ea per quæ consentaneum erat ad obedientiam prompte venire audientes; utpote persuasos plane adesse jam tempus gratiæ, et olim de Christo prædicta, deinceps reipsa compleri. Prophetabant igitur quavis lingua loquentes, quod ipsum quoque a Deo sanctorum voce prædictum fuerat. Scriptum est enim : « In aliis linguis et in aliis labiis loquar populo huic, et ne sic quidem credent [21]. » Hoc et Paulus non ignoB rans, linguas in signum datas ait : Non fidelibus, sed infidelibus [22]. Quia vero postquam devolavit de cœlo Spiritus sanctus, multi admodum erant qui gratiam prophetiæ in medium prodeuntes usurparent, Paulus, quid faciendum sit, declarat. « Prophetæ autem, » inquit, « duo aut tres loquantur [23]. » Et mox : « Potestis enim omnes per singulos prophetare [24]. » Olim quidem, cum multa morum perversitate Israel Deum offenderet, dicebat Deus : « Ecce ego inducam famem super terram audiendi verbum Dei, et ab oriente usque in occidentem circumcursabunt, quærentes verbum Domini, et non invenient [25]. » Et ad Ezechielem : « Et linguam tuam colligabo gutturi tuo, et eris mutus, et non eris illis in virum objurgantem, quia domus exC sperans est [26]. » Sed quia juxta vocem Psallentis : « Deus Dominus, et illuxit nobis [27]: »(illuxit enim nobis Christus remittens crimina, et os peccati obturans :) effusus est de cætero in nos Spiritus sanctus, Deo lætificante naturam humanam, et superna ac primæva gloria coronante, et ad illud denuo ex bonitate sua revehente, ubi ante fuerat, peccato nondum ingresso. Non enim spirituali gratia prophetiæ carebat Adam priusquam divinum mandatum transgrederetur ; sed fixus quasi ac stabilis adhuc manebat, et naturæ bonis præstans et insignis. Itaque cum uxorem a se fabricatam ad eum adduceret Deus, tametsi non audisset, unde, aut quænam esset, aut qua ratione exstitisset, statim acclamavit : D « Hoc nunc os ex ossibus meis, et caro de carne mea. Hæc mulier vocabitur, sive (secundum idioma Hebraicum) **228** *virago*, quia de viro sumpta est [28]. » Verum otiosa fuit gratia desuper concessa; renovata est autem in Christo, qui et secundus Adam est [29]. Quo autem modo renovata? Quatenus enim est Deus, et ex Deo secundum naturam Filius (ex Deo enim et Patre natus est) proprius ipsius, et in ipso, et ex ipso Spiritus est, quemadmodum nempe idem Spiritus, et in ipso Deo ac Patre intelligitur. Quatenus autem factus est homo, nobis similis, impertitum habere Spiritum dicitur.

[20*] Act. II, 2. 4. [21] Isa. XXVIII, 11. [22] I Cor. XIV, 22. [23] Ibid., 27. [24] Ibid., 31. [25] Amos, VIII, 11, 12. [26] Ezech. III, 26. [27] Psal. CXVII, 27. [28] Gen. II, 23. [29] I Cor. XV, 45.

Digitized by Google

Descendit itaque super ipsum in specie columbæ [30], quoniam nostra conditione suscepta, tanquam unus de nobis, et οἰκονομικῶς baptizatus est. Tunc et proprius ejus Spiritus ipsi desuper datus dicitur, propter naturam humanam videlicet. Et hæc est exinanitio.

A ἡμᾶς γεγονὼς, ὡς εἷς ἐξ ἡμῶν οἰκονομικῶς ἐβαπτίζετο, τότε καὶ τὸ ἴδιον αὐτοῦ Πνεῦμα δοτὸν αὐτῷ ἄνωθεν γενέσθαι λέγεται, διὰ τὸ ἀνθρώπινον. Καὶ τοῦτό ἐστιν ἡ κένωσις.

Sic, nec aliter intelligi debet : « Propter nos egenus factus, cum esset dives, ut nos ejus inopia divites fieremus [31]. » Datus est enim Spiritus Adamo, ut dixi, in principio, sed non mansit naturæ humanæ ; quandoquidem declinavit in delictum, et prolapsa est in peccatum. Postquam autem factus est pauper, qui erat dives, Unigenitus, inquam, et nobiscum ut homo esse cœpit, et proprium sibi Spiritum, ut adventitium accepit, mansit super eum [32], ut Joannes evangelista scribit, ut in nobis B quoque in posterum habitet ; quando jam mansit in generis nostri primitiis secundis, id est, in Christo. Ob hoc quippe secundus Adam cognominatus est. Idcirco ad incomparabiliter meliora de integro formamur, et regenerationem per Spiritum felici lucro adipiscimur, non amplius primam habentes, secundum carnem, inquam, quæ peccato et interitui obnoxia est (Prudentia enim carnis mors [33], natura sua), sed quæ superna est, secundam, quæ per spiritum ex Deo est ; siquidem verum est : « Qui non ex sanguinibus, nec ex voluntate carnis, sed ex Deo nati sunt [34]. » Oportebat igitur in filiis Dei numeratos Spiritus sancti gratia locupletari. Operatus est autem et hoc in nobis Christus, cui fidem faciet Petrus : « Dextera igitur Patris exaltatus, » inquit, « et promissione Spiritus sancti accepta a Patre, effudit hunc, quem vos videtis et auditis [35]. » Accepit quidem a Patre Spiritum, qui inest illi naturaliter : « Effudit autem in nos abunde [36], » quia Deus secundum naturam est, et caro factus est. Effudit porro super omnem carnem ; utique non solum super eos qui ex circumcisione crediderunt, sed super omnes simpliciter per fidem vocatos, seu parvos, seu magnos, servos et liberos, barbaros et Scythas. Proposita est enim gratia salutis in Christo **229** mortalibus universis, qui « et ipse est exspectatio gentium [37]. » Quod si quidam lingua petulantes et delirantes dicant carnem dici etiam jumenta, audiant prophetæ hujus scopum ad genus duntaxat humanum pertinere : « Nec de bobus cura est Deo [38], » quod sapiens Paulus ait. Prophetaturos autem dicit filios et filias, gratiæ plenitudinem in hoc, et omnium in eo æqualitatem subindicans. Nec enim aspernatur Deus muliebre genus, si, quæ ipsi placent, prompte præstiterit et sapere voluerit. Nec irremuneratum, aut sanctificationis expers erit, si per fidem et operum bonitatem alicunde inclaruerit. Nam et ipsum gratia et miseratione dignatum est, et pignus Spiritus a Deo accepit, et in filiis ab eo reputatur. Seniores somnia somniaturos,

Νοοῖτο δ' ἂν οὕτω, καὶ οὐχ ἑτέρως, « Δι' ἡμᾶς πτωχεῦσαι πλούσιος ὤν, ἵν' ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν. » Δέδοται μὲν γὰρ, ὡς ἔφην, τὸ Πνεῦμα τῷ Ἀδὰμ ἐν ἀρχῇ, πλὴν οὐ μεμένηκεν τῇ ἀνθρώπου φύσει. Διανένευκε γὰρ εἰς τὸ πλημμελὲς, καὶ παρῴλισθεν εἰς ἁμαρτίαν. Ἐπειδὴ δὲ ἐπτώχευσε πλούσιος ὢν ὁ Μονογενὴς, καὶ μεθ' ἡμῶν ὡς ἄνθρωπος τὸ ἴδιον ὡς ἐπακτὸν ἐδέξατο Πνεῦμα, μεμένηκεν ἐπ' αὐτόν· ἔφη γὰρ οὕτως Ἰωάννης ὁ εὐαγγελιστὴς, ἵνα καὶ ἐν ἡμῖν κατοικήσῃ λοιπὸν, ὡς ἤδη μεμενηκὸς ἐν τῇ τοῦ γένους ἀπαρχῇ δευτέρᾳ, τουτέστι Χριστῷ· κατωνόμασται γὰρ διὰ τοῦτο καὶ δεύτερος Ἀδάμ. Διὸ πρὸς τὸ ἄμεινον ἀσυγκρίτως ἀναστοιχειώμεθα, καὶ τὴν διὰ τοῦ Πνεύματος ἀναγέννησιν εὖ μάλα κερδαίνομεν, οὐκ ἔτι τὴν πρώτην ἔχοντες, τὴν κατὰ σάρκα, φημὶ, τὴν εἰς φθοράν τε, καὶ ἁμαρτίαν (τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, κατὰ τὸ γένος), ἀλλὰ τὴν ἄνωθεν δευτέραν, τὴν ἐκ Θεοῦ διὰ Πνεύματος, εἴπερ ἐστὶν ἀληθὲς, « Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν. » Ἔδει οὖν τοὺς ἐν τέκνοις Θεοῦ τεταγμένους τὴν τοῦ ἁγίου Πνεύματος καταπλουτῆσαι χάριν. Ἐνήργησε δὲ καὶ τοῦτο Χριστὸς εἰς ἡμᾶς, καὶ λέγων πιστώσεται Πέτρος· « Τῇ δεξιᾷ οὖν τοῦ Πατρὸς ὑψωθεὶς, C τήν τε ἐπαγγελίαν τοῦ Πνεύματος τοῦ ἁγίου λαβὼν παρὰ τοῦ Πατρὸς, ἐξέχεε τοῦτο ὃ ὑμεῖς βλέπετε, καὶ ἀκούετε. » Δέχεται μὲν γὰρ ὡς ἄνθρωπος παρὰ τοῦ Πατρὸς τὸ ἐνὸν αὐτῷ φυσικῶς· « Ἐκχεῖ δὲ πλουσίως εἰς ἡμᾶς, » ὅτι Θεὸς κατὰ φύσιν ἐστὶ, καὶ γέγονε σάρξ. Ἐκχεῖ δὲ καὶ ἐπὶ πᾶσαν σάρκα. Καὶ τοῦτο δῆλον, ὡς οὐκ ἐπὶ μόνους τοὺς ἐκ περιτομῆς, ἀλλ' ἐφ' ἅπαντας ἁπλῶς τοὺς διὰ πίστεως καλουμένους, κἂν ἔῤῥτε μικροὶ καὶ μεγάλοι, δοῦλοι καὶ ἐλεύθεροι, βάρβαροί τε καὶ Σκύθαι. Πρόκειται γὰρ τῆς ἐν Χριστῷ σωτηρίας ἡ χάρις τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν, ὅτι « Καὶ αὐτός ἐστι προσδοκία ἐθνῶν. » Εἰ δὲ δή λέγοιέν τινες ἀθυροστομοῦντες, σάρκα λέγεσθαι καὶ τὰ κτήνη, παραληροῦντες, ἤδη πως ἀκουόντων, D ὅτι τῆς προφητείας ὁ σκοπὸς κατὰ μόνου συντείνεται τοῦ ἀνθρωπείου γένους, καὶ οὐχὶ τῶν βοῶν μέλει τῷ Θεῷ, καθὼς καὶ ὁ σοφὸς ἔφη Παῦλος. Προφητεύσειν δέ φησιν υἱοὺς καὶ θυγατέρας, τὸ τῆς χάριτος ἀμφιλαφὲς διὰ τοῦτο ὑποδηλῶν, καὶ τὸ ἐπὶ πάντας ἴσον. Εἴη γὰρ ἂν οὐκ ἀπόβλητον παρὰ τῷ Θεῷ τὸ θῆλυ γένος, εἰ τὰ αὐτῷ δοκοῦντα δρᾷη τε προθύμως, καὶ μὴν καὶ ἕλοιτο φρονεῖν. Οὔτε μὴν ἀγέραστον, ἢ ἀμέτοχον ἁγιασμοῦ, εἰ διά τε πίστεως, καὶ τῆς ἐν ἔργοις ἐπιεικείας εὐδοκιμοῦν ἔσται ποθέν. Ἠξίωται γὰρ καὶ αὐτὸ χάριτός τε, καὶ οἰκτιρμοῦ, καὶ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος δέχεται παρὰ Θεοῦ. Λε-

[30] Matth. III, 16. [31] II Cor. VIII, 8, 9. [32] Joan. I, 32. [33] Rom. VIII, 6. [34] Joan. I, 13. [35] Act. II, 33. [36] Tit. III, 6. [37] Gen. XLIX, 10. [38] I Cor. IX, 9.

Digitized by Google

λόγισται δὲ καὶ ἐν τέκνοις. Πρεσβυτέρους μὲν οὖν ἐνυπνίοις φησὶν ἐνυπνιασθήσεσθαι, ὄψεσθαι δὲ ὁράσεις τοὺς νεανίσκους, πρεσβυτικὴν ἡλικίαν λέγων, καθώσπερ ἐγὼμαι, τὴν ποιότητι τῆς ἀρετῆς προὔχουσάν τε, καὶ ὑπερκειμένην, καὶ οἷον λαμπροῖς πεπολιωμένην κατορθώμασι, καὶ φρονήσει τῇ τελεωτάτῃ διαπρέπουσαν, καὶ τεθαυμασμένην, ὁποῖός τις ἦν καὶ Παῦλος, ὃς τεθέαται καθ' ὕπνον ἄνδρα τινὰ τῶν ἐκ Μακεδόνων, ἐκλιπαροῦντα, καὶ λέγοντα· « Διαβὰς εἰς Μακεδονίαν βοήθησον ἡμῖν. » Ἀνανίας δὲ τῶν ἐν πίστει δεδοκιμασμένων ὅρασιν ἐπ' αὐτῷ Παύλῳ τεθέαται. Ἐπειδὴ γὰρ ἦκεν εἰς Δαμασκὸν, αὐτῷ κατὰ τὴν ὁδὸν ὀφθέντος Χριστοῦ, εἶτα τῇ τοῦ φωτὸς ἀστραπῇ τὴν ὄψιν ἠδίκηται, τεθεράπευται διὰ Χριστοῦ. Γέγραπται δὲ οὕτως πάλιν· « Ἦν δέ τις ἐν Δαμασκῷ μαθητὴς ὀνόματι Ἀνανίας. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι· Ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην, τὴν καλουμένην Εὐθῆ, καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαοὺλ ὀνόματι, Ταρσέα. » Ἀκούεις ὅπως ἐν ὁράματι λελάληκε πρὸς Ἀνανίαν; Ἦν γάρ που τάχα τὴν πίστιν ἀνδρεῖος, καὶ νεανίας τὴν ἕξιν, καὶ σφριγῶσαν ἔχων εἰς τὸ ἀγαθὸν τὴν γνώμην, ἄθραυστος εἰς ἀκὴν, δῆλον δὲ ὅτι τὴν πνευματικήν. Καθ' ὕπνον δὲ Παύλῳ τὰς λιτὰς ἐδόκει προσφέρειν ὁ Μακεδών, ἦν γὰρ τὴν φρένα πρεσβύτης, τὸν νοῦν γηραιὸς, καὶ τῆς ἄνωθεν σοφίας ἔμπλεως. Προσεφώνει δέ που καὶ ὁ σοφὸς Ἰωάννης τοῖς ἡγιασμένοις ἐν Χριστῷ διὰ πίστεως· « Γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ' ἀρχῆς. Γράφω ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε, καὶ νενικήκατε τὸν πονηρόν. » Ἐπαγγέλλεται δὴ οὖν τὴν χύσιν τοῦ Πνεύματος τοῖς δουλεύουσιν αὐτῷ. Τίνες δ' ἂν οἱ τοιοῦδε πάλιν; ἢ ἐκεῖνοι πάντως οἱ τοῖς εὐαγγελικοῖς θεσπίσμασιν ὑποφέρουσι τὸν αὐχένα τῆς διανοίας, τῆς μὲν ἐν τύπῳ λατρείας ἀποφοιτήσαντες, Ἑλληνικῆς δὲ ἀπάτης ἀποπεπαυμένοι, κατὰ τὸν λέγοντα;

A juvenes visiones visuros dicit. Senilem ætatem appellat (ut mihi quidem placet) virtutis præstantia prominentem, et progressam in ea longius, et quasi illustribus factis canam, et absolutissima prudentia eximiam et admirandam : qualis erat Paulus, qui in somnis vidit virum Macedonem orantem ac dicentem sibi : « Transiens in Macedoniam, adjuva nos [39]. » Ananias autem in fide probatus, visionem super ipso Paulo vidit, cum Damascum ille venit, et Christus ei in via apparuit, ac fulgore luminis visu privavit, ubi per Christum curatus est. Scriptum est his verbis : « Erat autem quidam discipulus Damasci, nomine Ananias. Et dixit ad illum in visu Dominus : Surge, et vade in vicum qui dicitur Rectus, et quære in domo Judæ Saulum nomine Tarsensem [40]. » Audis ut visu alloquatur Ananiam. Erat, ut puto, fide fortis, habitu strenuus, animo ad virtutem incitato, spirituali robore infractus. In somnis autem Macedo Paulum rogare videbatur; erat enim Paulus mente senex, animo grandævus et cœlesti sapientia plenus. Compellat vero et sapiens Joannes sanctificatos in Christo per fidem, in hæc verba : « Scribo vobis, patres, quoniam cognovistis eum qui ab initio est. Scribo vobis, juvenes, quoniam fortes estis, et vicistis malignum [41]. » Pollicetur itaque Spiritum sanctum in servientes sibi effusurum. Et qui sunt isti tandem? **230** An illi prorsus qui oraculis evangelicis cervicem cordis submittunt, a cultu in figura discedentes, et a Græcæ superstitionis deceptione desistentes, ut quidam ait?

Καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω, καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω, αἷμα, καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. Ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα, πρὶν ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ.

VERS. 30, 31. *Et dabo prodigia in cœlo sursum, et portenta super terram deorsum, sanguinem, et ignem, et vaporem fumi. Sol convertetur in tenebras, et luna in sanguinem, antequam veniat dies Domini magnus et illustris.*

ΛΖ'. Ἐπὶ ταῖς δυσσεβείαις τῶν Ἰουδαίων, ταῖς εἰς Χριστὸν γεγενημέναις, καὶ αὐτὴ τῶν στοιχείων δεδυσφόρηκεν ἡ φύσις. Κατωλοφύρετο δὲ ὥσπερ ἡ κτίσις, καθυβρισμένον ὁρῶσα τὸν κτίσαντα, καὶ ὁ μὲν θεῖος ναὸς, ὡς τοῖς πενθοῦσιν ἀσχάλλων ἐν ἴσῳ, περιερρήγνυτο. Γέγραπται γὰρ, ὅτι « Τὸ τοῦ ναοῦ κατακπέτασμα ἀπὸ ἄνωθεν ἕως κάτω ἐσχίσθη. » Ὁ ἥλιος δὲ τὸ οἰκεῖον ἀνακύψας σέλας οὐκ ἠξίου φαίνειν ἔτι τοῖς ἐπὶ τῆς γῆς. Ἐποίει γὰρ σκότος ἀπὸ ὥρας ἕκτης ἕως ἐννάτης, ἐσχίζοντο δὲ καὶ πέτραι, τάχα δέ που καὶ περὶ τὸν τῆς σελήνης κύκλον ἐπράττετό τι τῶν ἀσυνήθων, ὡς δοκεῖν εἰς αἷμα μεταπεποιῆσθαι αὐτήν. Σεσίγηται μὲν οὖν τὸ τοιόνδε τοῖς ἁγίοις εὐαγγελισταῖς. Ἀξιόχρεώς γε μὴν ἡ πίστις ἐκ προφητείας, ὅτι μὲν τοῖς τοῦ Δημιουργοῦ νεύμασιν οὐκ ἐν ἡλίῳ μόνον τὰ σημεῖα γέγονεν, ἀλλ' οἷον ὅλη πρὸς τὸ ἀκαλλὲς, καὶ ἀσύνηθες αὐτὴ μετακεχώρηκεν ἡ φύσις, σαφὲς ἂν γένοιτο Θεοῦ λέγοντος διὰ φωνῆς Ἡσαΐου·

XXXVI. A Judæis impie in Christum designata, ipsa quoque elementorum natura indigne tulit, et creatura tam contumeliose habitum intuens Creatorem, quodammodo luxit, ac divinum templum (ut æque cum illis dolens ac mœstum) diruptum est. Scriptum quippe exstat : « Et velum templi scissum est a summo usque deorsum [42], » et sol represso splendore suo, mortalibus lucere amplius noluit, tenebras enim rebus ab hora sexta usque ad nonam induxit. Scissæ sunt item petræ. Fortassis etiam et circa lunæ orbem insuetum quiddam accidit, ut conversa in sanguinem videretur. Tale quiddam igitur sacri evangelistæ omiserunt. Verum ex prophetia satis fit credibile, nutu Conditoris non modo in sole signa facta, sed quasi universam rerum naturam deformitatem et vultum quemdam inconsuetum induisse. Hoc liquebit, Deo per Isaiam sic loquente : « Induam cœlum tenebris, et quasi

[39] Act. xvi, 9. [40] Act. ix, 10, 11. [41] I Joan. ii, 13. [42] Matth. xxvii, 51.

Digitized by Google

cilicium ponam operimentum ejus [43]. » Cum cœlum nominat, omnia quæ in cœlo sunt, velut cilicio tenebris operta dicit, lugentia, et dolentia, et habitu illo quasi ejulantia. Signa igitur in cœlo hæc esse dixerim. In terra autem sanguis, ignis et vapor fumi significaverit, opinor, Judæorum calamitates, quibus eos bellum atrocissimum a Romanis illatum cumulavit; sanguine enim tota eorum regio manavit. Debuit etiam cum urbibus ipsum fama celebre templum conflagrare, fumare domus ex incendio et dirui. Eventura autem hujusmodi Judæis ante diem magnum et manifestum, qua omnibus proponetur divinum Christi tribunal, dantis cuique secundum opera sua [44], ostendit cum dicit : « Priusquam veniat dies Domini magnus et manifestus [45]. » Ad hæc notandum ipsum Salvatorem nostrum interrogatum a sanctis apostolis de consummatione **231** sæculi et eversione Hierosolymorum, miscuisse signa, ut incertum ita faceret forsitan, quæ quando eventura forent.

A « Καὶ ἐνδύσω τὸν οὐρανὸν σκότος, καὶ θήσω ὡς σάκκον τὸ περιβόλαιον αὐτοῦ. » Οὐρανὸν δὲ ὅταν λέγῃ, πάντα φησὶ τὰ ἐν οὐρανῷ οἷον σάκκῳ τῷ σκότει καταμφιέσαι, πενθοῦντα, καὶ ἀλγοῦντα, καὶ ὥσπερ διακεκραγότα τῷ σχήματι. Σημεῖα μὲν οὖν ἐν οὐρανῷ ταυτὶ φαίην. Τὰ δὲ εἰς γῆν αἷμά τε καὶ πῦρ, καὶ ἀτμὶς ἡ καπνοῦ καταδηλώσειεν, οἶμαι, τὰς τῶν Ἰουδαίων συμφορὰς, ἃς ὁ παγχάλεπος αὐτοῖς πόλεμος ἐπεπώρευσεν, ὁ τῆς διὰ τῶν Ῥωμαίων χειρός. Αἵματι γὰρ ἡ πᾶσα μὲν αὐτῶν κατερράινετο χώρα. Ἔμελλε δὲ ὁμοῦ ταῖς πόλεσι καὶ αὐτὸς ὁ διαβόητος καταπίμπρασθαι νεὼς, οἵκοί τε καπνίζεσθαι κατασεσεισμένοι. Ὅτι δὲ καὶ πρὸ τῆς ἡμέρας τῆς μεγάλης καὶ ἐπιφανοῦς, καθ' ἣν ἅπασι προκείσεται τὸ θεῖον βῆμα, Χριστοῦ διδόντος ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τὰ τοιάδε τοῖς Ἰουδαίοις συμβήσεται, διαμεμήνυκεν εἰπών · « Πρὶν ἐλθεῖν τὴν ἡμέραν τὴν μεγάλην καὶ ἐπιφανῆ. » Σημειωτέον δὲ πρὸς τούτοις, ὅτι καὶ αὐτὸς ὁ Κύριος ἡμῶν ἐρωτώμενος παρὰ τῶν ἁγίων ἀποστόλων τὰ περὶ τῆς συντελείας τοῦ αἰῶνος, καὶ τὰ περὶ τῆς τῶν Ἱεροσολύμων καταστροφῆς, ἔμιξε τὰ σημεῖα, ὡς τάχα που καὶ ἀγνοεῖσθαι λοιπὸν, ποῖα δήποτε συμβήσεται.

B

Vers. 32. *Et erit : Omnis quicunque invocaverit nomen Domini, salvus erit; quia in monte Sion, et in Jerusalem erit salvatus, sicut dixit Dominus; et evangelizantes quos Dominus vocavit.*

Καὶ ἔσται · Πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται · ὅτι ἐν τῷ ὄρει Σιὼν, καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καθότι εἶπεν ὁ Κύριος, καὶ εὐαγγελιζόμενοι οὓς ὁ Κύριος προσκέκληται.

XXXVII. Omnino igitur et plane propter Judæorum nefaria facinora in cœlo et in terra signa et prodigia fore ait. Nihilominus etiam sic ipsis Dei placabilitatem esse propositam, salutem videlicet per fidem, in Christo justificationem, pignus Spiritus, sanctificationem, spem regni cœlorum, remittente Deo et obliviscente in Christum ab ipsis commissa scelera. Petrus itaque accusat acriter Judæorum populum, aperte exclamans, universorum Salvatorem ac Redemptorem eos occidisse, in ligno suspendentes, et negasse Sanctum et Justum, et petiisse homicidam donari sibi [46-47]. Adjungit his deinde : « Et nunc scio, fratres, quia per ignorantiam fecistis, sicut et principes vestri. Pœnitemini igitur, et convertimini [48], et baptizetur unusquisque vestrum in nomine Domini Jesu, et accipietis gratiam Spiritus sancti. Vobis enim est repromissio, et filiis vestris [49]. » Quocirca, quamvis, inquit, facta sint signa et prodigia, salvabitur tamen quicunque Dominum ac cœli terræque potentem invocaverit. Verbum vero salutis in ipsa Hierosolyma, quæ prima occidit Dominum, promulgatum, et ita per omnes gentes circumlatum iri per sanctos apostolos, clare perspici ex hoc prophetæ possit : « In monte Sion et in Jerusalem erit salvatus, et annuntiantes quos Dominus vocavit. » Nam ut a Paulo dictum est : « Nemo sumit sibi honorem, sed qui vocatur a Deo [50]. » Vocati sunt igitur cum delectu ex omnibus beati discipuli, nec sponte sua ad

C

ΛΖ'. Ἔσεσθαι μὲν οὖν πάντη τε καὶ πάντως ἐπὶ ταῖς τῶν Ἰουδαίων ἀνοσιεργίαις ἐν οὐρανῷ, καὶ γῇ τὰ σημεῖά φησι, καὶ τὰ τέρατα. Προκεῖσθαί γε μὴν καὶ οὕτως αὐτοῖς τὰ ἐξ ἡμερότητος Θεοῦ, τὴν διὰ πίστεως δηλονότι σωτηρίαν, τὴν ἐν Χριστῷ δικαίωσιν, τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, τὸν ἁγιασμὸν, τὴν ἐλπίδα τῆς τῶν οὐρανῶν βασιλείας, ἀμνησικάκως αὐτοῖς ἀνέντος Θεοῦ καὶ τὰ εἰς Χριστὸν ἐγκλήματα. Πέτρος γοῦν κατηγτιᾶτο μὲν σφόδρα τοὺς τῶν Ἰουδαίων δήμους, διαῤῥήδην ἀνακεκραγὼς, ὡς ἀπεκτόνασι μὲν κρεμάσαντες ἐπὶ ξύλου τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, καὶ ἠρνήσαντο μὲν τὸν ἅγιον, καὶ δίκαιον, ἐζήτησαν δὲ ἄνδρα φονέα χαρισθῆναι αὐτοῖς. Προστίθει δὲ τούτοις · « Καὶ νῦν, ἀδελφοὶ, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε ὥσπερ καὶ οἱ ἄρχοντες ὑμῶν. Μετανοήσατε οὖν, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος · ὑμῖν γάρ εἰσιν αἱ ἐπαγγελίαι, καὶ τοῖς τέκνοις ὑμῶν. » Οὐκοῦν κἂν εἰ γένοιτο, φησὶ, σημεῖα, καὶ τέρατα, σωθήσεται πᾶς ὃς ἂν ἐπικαλέσηται δεσπότην τὸν οὐρανοῦ τε καὶ γῆς Κύριον. Ὅτι δὲ ἔμελλεν ὁ Λόγος τῆς σωτηρίας ἐν αὐτῇ καὶ πρώτῃ λαληθήσεσθαι τῇ κυριοκτόνῳ Ἱερουσαλὴμ, περιενεχθήσεσθαι δὲ οὕτω καὶ εἰς πάντα τὰ ἔθνη διὰ τῶν ἁγίων ἀποστόλων, σαφὲς ἂν γένοιτο, τοῦ Προφήτου λέγοντος · « Ἐν τῷ ὄρει Σιὼν, καὶ ἐν Ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος, καὶ εὐαγγελιζόμενοι, οὓς Κύριος προσκέκληκεν · » ὡς γὰρ Παῦλος γράφει, « Οὐχ ἑαυτοῦ τις λαμβάνει τὴν

[43] Isa. L, 3. [44] Matth. XVI, 37. [45] Act. II, 20 [46-47] Act. III, 13, 14. [48] Ibid., 17, 19. [49] Act. II, 38-39. [50] Hebr. V, 4.

Digitized by Google

τιμὴν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ. » Κέκληνται τοίνυν ἀπολέγδην ἐκ πάντων οἱ μακάριοι μαθηταὶ, καὶ οὐκ αὐτόμολοι παρῆλθον εἰς ἀποστολὴν, καθάπερ ὁ ἀπόπληκτος Φαρισαῖος ἐκεῖνος, ἤγουν νομικὸς, ὃς τοῖς τῆς μαθητείας αὐχήμασιν ἑαυτὸν ἐνιεὶς, προσέθει λέγων· « Κύριε, ἀκολουθήσω σοι ὅπου ἐὰν ἀπέρχῃ. » Ταύτῃτοι καὶ ὁ Σωτὴρ παρενοχλοῦντά τε εἰκῇ, καὶ τῶν εὐαγγελικῶν ἐπιτηδευμάτων οὐδ' ὅσον εἰπεῖν ἐγγὺς γεγονότα, παρωθεῖτο λέγων· « Αἱ ἀλώπεκες, » καὶ τὰ ἑξῆς. Τοῖς γε μὴν ἐπιτηδείως ἔχουσιν εἰς ἀποστολὴν ἐπεφώνει λέγων· « Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς γενέσθαι ἁλιεῖς ἀνθρώπων. » Ματθαῖόν γε μὴν ἐξ αὐτῶν ἀνίστησι τῶν τῆς πλεονεξίας ἐργαστηρίων, ἀκολουθεῖν ἐπιτάττων· προσκέκληνται δὲ, κατ' ἰδίαν βούλησιν, ὥσπερ ἦν εἰκὸς, ἔσεσθαι δυνατώτατοι εἰς γε τὸ ἀποπεραίνειν δύνασθαι, καὶ μάλα νεανικῶς τὸ αὐτῷ δοκοῦν, εἰ καὶ ἥρπασε τὸν προδότην ὁ τῆς ἀνομίας εὑρετὴς, καὶ πατήρ.

A apostolatum accesserunt: sicut stolidus Pharisæus ille, sive legisperitus, qui se discipulum esse velle gloriatus: « Sequar te, » inquit, « quocunque iveris [81]. » Quare et Salvator frustra obturbantem, et a studiis evangelicis remotissimum repellit, dicens: « Vulpes, » etc. Contra, ad apostolatum idoneis ait: **232** « Venite post me, et faciam vos fieri piscatores hominum [82]. » Matthæum quidem ab ipsa avaritiæ officina excitat, sequi jubens [83]. Vocati sunt autem, voluntate illius, ut erat consentaneum, potentissimi futuri ad strenuissime perficiendum quod illi placeret: tametsi iniquitatis repertor et parens proditorem ex eo collegio rapuit.

ΚΕΦΑΛ. Γ'.

B

CAP. III.

Ὅτι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν Ἰούδα, καὶ Ἱερουσαλὴμ, καὶ συνάξω πάντα τὰ ἔθνη, καὶ κατάξω αὐτὰ εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, καὶ διακριθήσομαι πρὸς αὐτοὺς ἐκεῖ, ὑπὲρ τοῦ λαοῦ μου, καὶ τῆς κληρονομίας μου Ἰσραὴλ, οἱ διεσπάρησαν ἐν τοῖς ἔθνεσι, καὶ τὴν γῆν μου κατεδιείλαντο, καὶ ἐπὶ τὸν λαόν μου ἔβαλον κλήρους, καὶ ἔδωκαν τὰ παιδάρια πόρναις, καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ τοῦ οἴνου, καὶ ἔπιον.

VERS. 1-3. *Quia ecce ego in diebus illis, et in tempore illo, quando convertero captivitatem Juda et Jerusalem; et congregabo omnes gentes, et deducam eas in vallem Josaphat, et disceptabo cum eis ibi pro populo meo, et hæreditate mea Israel, quos dispersérunt in gentibus, et terram meam diviserunt, et super populum meum miserunt sortes, et pueros dederunt meretricibus, et puellas vendebant pro vino, et bibebant.*

ΔΗ'. Ἐκ τῆς Ῥοβοὰμ βασιλείας ἀπορραγεισῶν τῶν δέκα φυλῶν, καὶ διῃρημένων αὐτῷ, καὶ παντὸς τοῦ Ἰσραὴλ εἰς τε τὸν Ἐφραΐμ, καὶ τὸν Ἰούδα, οἱ μακάριοι γεγόνασι προφῆται. Λελαλήκασι δὲ τὰ παρ' ἀμφοῖν, τῆς ὅλης αὐτοῖς προφητείας παρατεινούσης μέχρι καιρῶν τῆς αἰχμαλωσίας. Μετὰ δέ γε τὴν ἐν Ἱεροσολύμοις ἐκεῖθεν ὑποστροφὴν, καὶ τὴν γεγενημένην κατὰ καιροὺς ἐπάνοδον, προεφήτευσαν ἐπὶ τὸν Ἰσραὴλ Ἀγγαῖός τε καὶ Ζαχαρίας, καὶ μέν τοι καὶ Μαλαχίας. Φαίνεται δὲ καὶ ὁ Ἔσδρας ὀλίγα ἅττα τῶν κατ' ἐκεῖνο καιρῶν, καὶ ἐν τοῖς αὐτοῦ χρόνοις γεγενημένων προαγορεύσας. Μέμνηται τοίνυν τῶν προκειμένων ὁ λόγος πράγματος οὐκ ἐν καιροῖς προφητῶν τῶν ἀρχαίων γεγενημένου, ἀλλ' ὅτι δὴ μόλις Κύρου τὸν Ἰσραὴλ ἀνένεος ὑπενόστησαν εἰς τὴν Ἰουδαίαν. Καὶ τί τὸ χρῆμα τὸ ἀξιάκουστον, τί δὲ δὴ γενέσθαι συμβέβηκεν, ἐροῦμεν ὡς ἔνι, τὴν τοῦ Ἔσδρα συγγραφὴν κομίζοντες εἰς ἀπόδειξιν. Οὐκοῦν ἐπειδήπερ εἰς τὴν Ἰουδαίαν ἐπανῆλθον ἄρτι, καὶ δασμῶν, καὶ τῶν τῆς δουλείας ἀναπνεύσαντες πόνων οἱ ἐξ Ἰσραὴλ, ἐπὶ τὸ ῥᾴθυμον ἐτράποντο, καὶ ἦσαν οὐκ ἀσφαλεῖς τῶν διὰ Μωσέως τεθεσπισμένων ἐπιτηδευταὶ, καὶ φύλακες. Ἀποφάσκοντος γὰρ τοῦ νόμου, χρῆναί τινας ταῖς θυγατράσι τῶν ἀλλοφύλων συγκατευνάζεσθαι, ὀλίγα φροντίσαντες τῶν θεόθεν αὐτοῖς κεχρησμῳδημένων, ἀλλοτρίαις γυναιξὶν ἐπεμίσγοντο. Καὶ πρὸς τοῦτο λίαν δεδυσφορηκὼς Ἔσδρας, περιερρήγνυτο μὲν τὴν ἐσθῆτα, κατωλοφύρετο δὲ τοὺς ἐξ Ἰσραὴλ, καὶ τῶν ἀλλοφύλων γυναικῶν ἀπαλλάττεσθαι παρεκάλει. Οἱ δὲ

XXXVIII. A regno Roboam avulsis separatisque decem tribubus, et universo Israele in Ephraim et Juda diviso [84], beati prophetæ exstiterunt. Locuti sunt autem quæ ad utrosque pertinerent, tota C eorum prophetia se extendente usque ad tempora captivitatis. Post reversionem deinde Hierosolymam, et susceptum definito tempore reditum, prophetarunt ad Israel Aggæus, et Zacharias, Malachiasque similiter. Videtur item Esdras pauca quædam illis, atque adeo suis temporibus gerenda prædixisse. Meminit ergo propositus sermo rei quæ non ætate veterum prophetarum contigit, sed quando Cyro tandem dimittente, in Judæam Israelitæ redierunt. De re illa auditu digna, et quid factum sit, dicemus, quod satis erit, et ex historia ab Esdra conscripta narrationem petemus. Itaque reduces e servitute nuper in Judæam Israelitæ, vectigalium ac servitutis oneribus molestiisque liberati, desidiæ se tradi- D derunt, nec jam per Moysen sancita sedulo constanterque colebant et conservabant. Cum enim lex vetaret alienigenarum **233** filias ducere, illi divinum oraculum posthabentes, cum uxoribus alienigenis consuescebant. Id ægerrime ferens Esdras, veste conscissa Israelitas lugebat [85], et ut ab alienigenis separarentur obsecrabat [86]. Quod illis est persuasum, timentibus, credo, iram divinam et futuram calamitatem, nisi honorem legi haberent, cum præsertim experientia majorum eis pro magistra esset. Postquam repudiata mulierearum multitudo

[81] Matth. VIII, 19. [82] Matth. IV, 19. [83] Matth. IX, 9 [84] III Reg. XI, 31. [85] I Esdr. IX, 3, [86] I Esdr. X, 11.

Digitized by Google

Hierosolyma discessit, tum finitimæ gentes non immerito exacerbatæ sunt, et ipsæ quoque non mediocri affectæ injuria. Et illud insuper secum fortasse cogitabant. Quoniam enim Hierosolymæ muros Israelitæ instaurabant, et divinum templum reædificare nitebantur, invidiæ telis saucii, et irati hostes, opus impedire aggrediebantur [57], illud, ut est verisimile, animis volventes, si Israel pristinam potentiam recuperaret, urbesque muris communitas possideret, et universorum Deum defensorem haberet, qui in templo, ut antiquitus, coleretur, rursum dominaturum, et ejus jugum omnibus intolerandum fore, et vicinis tributa impositurum, eos in servitutem redacturum, eorum agris penitus devastatis, si qui velint, quamvis longo post tempore tantum eos contra intueri. Hac de causa subornarunt quosdam, qui eos nec templo, nec mœnibus struendis manum admovere paterentur. Cum frustra laborarent, Deo Israelitarum studia prosperante, armis deinde correptis, eos opprimere voluerunt. Verum, adjuvante Deo, victi ab ipsis interfectique sunt. Ad hoc autem prœlium in vallem Josaphat multitudo sese collegit, qui locus non multis ab Hierosolyma stadiis versus orientem distat. Aiunt nudum et equitationi aptum esse. Cæterum potentiores quosdam Israelitis divinum templum exstruentibus invidisse, et nihil tamen profecisse, docebit beatus Esdras ita scribens : « In Artaxerxis autem regis Persarum temporibus, scripserunt ei de his qui habitabant in Judæa et Jerusalem, Balsamus, et Mithridates, et Sabellius, et Reatimus, et Belthetmus, et Geentethmus scriba, et reliqui ejus ordinis in Samaria cæterisque locis habitantes [58], » in hanc sententiam : Jerusalem fore civitatem inexpugnabilem, **234** nec ulla ratione aliis regibus subjectam; sed rebellantem audacissime, et, si antiquum statum ac dignitatem recipiat, Babyloniorum principibus, qui tum fuerint, curarum fluctus excitaturam. At enim his scriptis nihil omnino consecuti sunt. Rogabant porro quidam e Samaria, ut ipsis cum his qui Babylone revenerant, laborare et ædificare liceret. Repulsam tulerunt. Quamobrem dum adversus illorum postea machinationes se tuentur Israelitæ, non parum sunt defatigati.

A τοῦτο δρᾷν ἀνεπείθοντο, δεδιότες τάχα που τὰ ἐξ ὀργῆς καὶ τῶν ἐσομένων αὐτοῖς, εἰ μὴ ἔλοιντο τιμᾷν τὸν νόμον, τῶν προγεγονότων τὴν πεῖραν ἐποιοῦντο διδάσκαλον. Ἐπειδὴ ἀπεβέβλητο, καὶ ἀπεφοίτα τῶν Ἱεροσολύμων ἡ τῶν ἀλλοφύλων γυναίων πληθύς, λοιπὸν ἀναγκαίως κατεπικραίνοντο πρὸς ὀργὰς οἱ περίοικοι τῶν ἐθνῶν, ἅτε δὴ καὶ διὰ τούτων οὐ μετρίως ἐξυβρισμένοι. Καὶ πρός γε δὴ τούτῳ κἀκεῖνό που τάχα διελογίζοντο κατὰ σφᾶς αὐτούς. Ἐπειδὴ γὰρ τὴν Ἱερουσαλὴμ ἀνετείχιζον μὲν, ἐσπούδαζον δὲ καὶ αὐτὸν τὸν θεῖον ἐγείρειν ναόν, τοῖς τοῦ φθόνου βέλεσιν ἀνεκαίοντο πρὸς ὀργὰς, καὶ διακωλύειν ἐπεχείρουν, ἐκεῖνο διενθυμούμενοι, κατά γε τὸ εἰκὸς, ὡς εἰ γένοιτο πάλιν ὁ Ἰσραὴλ ἐν δυναστείαις ταῖς πρώην, καὶ τετειχισμένας μὲν ἔχοι τὰς πόλεις, ἐπαμύνοντα δὲ τὸν B τῶν ὅλων Θεὸν, ἅτε δὴ τοῖς ἀρχαίοις ἔθεσι θεραπευόμενον ἐν ναῷ, πάλιν κατακρατήσει, καὶ ἀφόρητος ἔσται τοῖς ἁπανταχοῦ, καὶ δασμοὺς ἐπιβαλεῖ τῶν ὁμόρων τισὶ, καὶ ἀλώσονται πάντως, καταδηωμένων αὐτοῖς τῶν χωρῶν, εἰ δή τινες ἔλοιντο κἂν γοῦν ὀφὲ ἀντιβλέψαι μόνον. Ταύτης ἕνεκα τῆς αἰτίας παρεσκεύαζον μέν τινας ἀπείργειν αὐτοὺς τῶν τε ἐπ' αὐτῷ τῷ ναῷ, καὶ τοῖς τείχεσι παρεσκευασμένων. Ἐπειδὴ δὲ αὐτοῖς ἀνόνητος ἦν ἡ σπουδὴ, Θεοῦ κατευρύνοντος τοῖς ἐξ Ἰσραὴλ τὴν τῶν ἐπιτηδευμάτων ὁδὸν, ὡπλίζοντο λοιπὸν, καὶ καταστρατεύειν ἤθελον. Ἀλλ' ἥλωσαν, καὶ πεπτώκασι ἐπαμύνοντος αὐτοῖς Θεοῦ. Γέγονε δὲ τῶν εἰς τοῦτο συναγηγερμένων ἡ ἄθροισις ἐν τῇ κοιλάδι Ἰωσαφὰτ, χῶρος δὲ οὗτος οὐ πολλοῖς σταδίοις ἀπέχων τῆς Ἱερουσαλὴμ, ἐν τοῖς C πρὸς ἠῶ μέρεσι. Ψιλὸν δὲ εἶναί φασι, καὶ ἱππήλατον. Ὅτι δὲ διεφθονήκασι μέν τινες τῶν δυνατωτέρων τοῖς ἐξ Ἰσραὴλ τὸν θεῖον ἐγείρουσι ναὸν, ὠνήσαν δὲ οὐδὲν, διδάξει λέγων ὁ μακάριος Ἔσδρας· « Ἐν δὲ τοῖς ἐπὶ Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως χρόνοις, κατέγραψαν κατὰ τῶν κατοικούντων ἐν τῇ Ἰουδαίᾳ, καὶ ἐν Ἱερουσαλὴμ Βήλεμος, καὶ Μιθριδάτης, καὶ Σαβέλλιος, καὶ Ῥάθιμος, καὶ Βέλτεθμος, καὶ Γεέντεθμος ὁ γραμματεὺς, καὶ οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι, οἰκοῦντες δὲ ἐν Σαμαρείᾳ, καὶ τοῖς ἄλλοις τόποις. » Ἦν δὲ τῆς γραφῆς τοιάδε τις ἡ δύναμις, ὡς εἴη μὲν πόλις ἄθραυστον ἔχουσα δύναμιν Ἱερουσαλὴμ, ἥκουσα δὲ οὐδαμῶς τοῖς τῶν ἑτέρων χωρῶν βασιλεῦσιν· ἀντεγειρομένη δὲ μᾶλλον σφόδρα νεανικῶς, ἵν' εἰ γένοιτο πάλιν ὑπονοστῆσαι πρὸς τὸ ἀρχαῖον, καὶ αὐτοῖς σαλεύσει φροντίδας τοῖς τῆς Βαβυλῶνος κατὰ καιροὺς ἡγουμένοις. Ἀλλ' ὠνῆσαν μὲν τὰ τοιάδε γεγραφότες παντελῶς οὐδέν. Παρεκάλουν δέ τινες τῶν ἐν Σαμαρείᾳ, τῶν ἐκ Βαβυλῶνος μετοικισθέντων συνεργάζεσθαί τε, καὶ συνοικοδομεῖν αὐτοῖς. Οἱ δὲ οὐκ ἤθελον, καὶ ταύτης ἕνεκα τῆς αἰτίας κεκμήκασιν οὐ μετρίως, ταῖς ἐκείνων ἐπιβουλαῖς ἀντεξάγοντες.

Est porro apud Esdram in hunc modum : « Et audierunt tribulantes Judam et Benjamin, quod filii transmigrationis ædificant domum Domino Deo Israel. Et accesserunt ad Zorobabelem et principes familiarum, et dixerunt eis : Ædificemus vobiscum, quia sicut vos quærimus Deum vestrum, et ipsi nos sacrificamus a diebus Asaradam, regis Assur, qui duxit nos huc. Zorobabel autem cum comitibus

D Γέγραπται δὲ οὕτως ἐν τῷ Ἔσδρᾳ πάλιν· « Καὶ ἤκουσαν οἱ θλίβοντες Ἰούδαν, καὶ Βενιαμὶν, ὅτι οἱ υἱοὶ τῆς ἀποικίας οἰκοδομοῦσιν οἶκον τῷ Κυρίῳ Θεῷ Ἰσραήλ· καὶ ἤγγισαν πρὸς Ζοροβάβελ, καὶ πρὸς τοὺς ἄρχοντας τῶν πατριῶν, καὶ εἶπον αὐτοῖς· Οἰκοδομήσωμεν μεθ' ὑμῶν, ὅτι ὡς ὑμεῖς ἐκζητοῦμεν τὸν Θεὸν ὑμῶν, καὶ αὐτῷ ἡμεῖς θυσιάζομεν ἀπὸ ἡμερῶν Ἀσαραδὰν βασιλέως Ἀσσοὺρ τοῦ ἐνέγ-

[57] II Esdr. III, passim ; II Esdr. IV, 17. [58] III Esdr. II, 16.

Digitized by Google

καντος ἡμᾶς ὧδε. Οἱ δὲ περὶ τὸν Ζοροβάβελ εἶπον· Οὐχ ὑμῖν καὶ ἡμῖν τοῦ οἰκοδομῆσαι οἶκον τῷ Θεῷ ἡμῶν, ὅτι ἡμεῖς αὐτοὶ ἐπὶ τὸ αὐτὸ οἰκοδομήσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὡς ἐνετείλατο ἡμῖν Κῦρος ὁ βασιλεὺς Περσῶν. Καὶ ἦν ὁ λαὸς τῆς γῆς ἐκλύων τὰς χεῖρας τοῦ λαοῦ Ἰούδα, καὶ ἐνεπόδιζον αὐτοὺς τοῦ οἰκοδομεῖν, καὶ μισθούμενοι ἐπ' αὐτοὺς, ἐβουλεύοντο τοῦ διασκεδάσαι βουλὴν αὐτῶν. » Ἀλλ' ἐπεβούλευον μὲν, ἄπρακτος δὲ καὶ τούτοις ἡ ἐπιχείρησις ἦν. Ὅτι δὲ τῆς λαθραίου λοιπὸν ἀτονούσης ἐπιβουλῆς τὸν πολέμου νόμον ἦσαν στρατευόμενοι πάντες οἱ περίοικοι τῶν ἐθνῶν, ἤλωσάν τε, καὶ πεπτώκασι, κἀντεῦθεν ἂν μάθοις. Γράφει γὰρ ὧδε πάλιν ἐν τῷ δευτέρῳ βιβλίῳ· « Καὶ ἐγένετο ὡς ἤκουσε Σαναβαλὰτ, καὶ Τωβίας, καὶ οἱ Ἄραβες, καὶ οἱ Ἀμμανῖται ὅτι ἀνέβη ἡ φυὴ τοῖς τείχεσιν Ἰερουσαλὴμ, καὶ ὅτι ἤρξαντο αἱ διασφαγαὶ ἀναφράσσεσθαι, καὶ πονηρὸν αὐτοῖς ἐφάνη σφόδρα. Καὶ συνήχθησαν πάντες ἐπὶ τὸ αὐτὸ ἐξελθεῖν, καὶ παρατάξασθαι ἐν Ἰερουσαλήμ. Καὶ πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, φησὶ, προσηυξάμεθα, καὶ ἐστήσαμεν προφύλακας ἐπ' αὐτοὺς, ἡμέρας καὶ νυκτὸς ἀπὸ προσώπου αὐτῶν. Καὶ εἶπεν Ἰούδας· Συνετρίβη ἡ ἰσχὺς τῶν ἐχθρῶν, καὶ ὄχλος πολύς. » Καὶ σεσίγηται μὲν ἐν τούτοις τῆς κοιλάδος ἡ μνήμη. Φέρει δὲ τοῦτο πάλιν εἰς ἡμᾶς ὁ τῆς παραδόσεως λόγος. Ἀξιόχρεως δὲ εἰς πίστιν ἡ προφητεία καὶ αὐτὸν ἡμῖν τὸν τοῦ πολέμου χῶρον κατονομάζουσα. Ταυτησὶ τῆς ἱστορίας μεμνῆσθαί φαμεν, συνάξειν λέγοντα πάντα τὰ ἔθνη εἰς τὴν κοιλάδα τοῦ Ἰωσαφάτ. Δῆλον δὲ ὅτι οὐκ ἄκοντα ἄξει, ἀλλ' ὅτι βουλόμενα ἐλθεῖν οὐ κωλύσει. Διακριθήσεσθαι δὲ πρὸς ταῦτα περὶ τοῦ Ἰσραὴλ, καὶ τῆς ἑαυτοῦ κληρονομίας, ἣν καταδιείλαντο διαρπάζοντές που τάχα τὰ τῶν Βαβυλωνίων λείψανα, καὶ ἐν καιρῷ τῆς ταλαιπωρίας συνεπιτιθέμενοι, καὶ πόρναις μὲν τὰ παιδάρια χαριζόμενοι, προθέντες δὲ τὰ κόρια πρὸς ἀσυνήθη πορνείαν, καὶ οἷον ἐκκαπηλεύοντες ταῖς ἑτέρων ἀσελγείαις, εἶτα τοὺς ἐντεῦθεν μισθοὺς εἰς τροφὰς καὶ μέθας συλλέγοντες.

A suis respondit : Non vobis et nobis, ut ædificemus domum Deo nostro, quoniam nos ipsi idipsum ædificabimus Domino Deo nostro, sicut præcepit nobis Cyrus rex Persarum. Et fuit populus terræ dissolvens manus Juda, et impediebant ipsis ædificationem, et conducebant adversus eos consiliatores, ut destruerent consilium eorum [59]. » Sed eorum insidiæ et molitiones ad nihilum reciderunt. Ubi postmodum omissis fraudibus clandestinis, vicinæ gentes omnes in apertam vim ac bellum eruperunt, cæsæ fugatæque sunt. Quod inde cognoscas. Rursus enim libro secundo sic est : « Et factum est, cum audisset Sanabalat, et Tobias, et Arabes, et Amanitæ, quod ascendit germen muris Jerusalem, quoniam incœperunt cicatrices obduci, B et molestum eis visum fuit valde. Et congregati sunt omnes in unum, ut venirent, et percuterent in Jerusalem, et facerent direptionem. Et oravimus ad Deum nostrum, inquit, et statuimus custodes super eos die ac nocte a facie eorum. Et dixit Judas : Contrita est fortitudo inimicorum et multitudo magna [60]. » In his nulla mentio vallis Josaphat. Hoc autem ad nos traditione pervenit. Meretur quoque fidem prophetia, ipsum nobis conflictus locum nominans. Et hujus historiæ meminisse prophetam dicimus, dum vaticinatur Deum congregaturum in vallem Josaphat omnes gentes : non invitas sine dubio congregabit, sed eo volentes convenire non prohibebit, ut cum illis disceptet **235** de C Israel et hæreditate sua, quam diviserint, Babyloniorum reliquias diripientes, credo, et temporibus miseris eos adorientes, et pueros meretricibus donantes, partesque corporis verecundas inusitatis stupris objicientes, et tanquam nundinis aliorum libidini vendentes, indeque in epulas et ebrietates sumptum colligentes.

Φαμὲν δέ τι καὶ ἐφ' ἡμῶν τοιοῦτον γενέσθαι, τὴν διὰ Χριστοῦ λύτρωσιν ἐννενοηκότες. Ἐξείλετο μὲν γὰρ ἡμᾶς αἰχμαλώτους ὄντας, καὶ ὑπὸ τυράννῳ πράττοντας, πικρῷ, φημὶ, δῆ τῷ Σατανᾷ, ἀνεκόμισε δὲ ὥσπερ εἰς γῆν ἁγίαν, εἰς πολιτείαν εὐαγγελικὴν, εἰς ἕξιν εὐμαθεστάτην, εἰς πόλιν τετειχισμένην τὴν νοητὴν D Ἰερουσαλὴμ, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζώντος, « Οἰκοδομεῖσθαι παρασκευάσας, ὡς λίθους τιμίους εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον Θεοῦ ἐν πνεύματι. » Ἀλλὰ τοῖς ἐκ βασκανίας πόνοις ἡ τῶν δαιμονίων ἀνεφλέχθη ἀνοσία πληθὺς, καὶ μέντοι πρὸς τούτοις οἱ τοῖς δόγμασι τῆς ἀληθείας μαχόμενοι, πολλοὶ μὲν τὰς κατὰ τῶν ἁγίων ἐφόδους πεποίηνται, ἠδίκησαν δὲ οὐδὲν προασπίζοντος Θεοῦ, παραθαρσύνοντος δὲ Χριστοῦ, καὶ λέγοντος, Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ, ἀλλὰ « Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. » Ὕθλος μὲν παρὰ τοῖς Ἰουδαίοις σαθρὸς, καὶ γραώδης, ὡς ἔσται κατὰ καιροὺς ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφὰτ ἡ παρὰ Θεοῦ κατὰ πάντων κρίσις, μετὰ τὸ ἀναβιῶναι

Non dissimile quiddam et in nobis factum affirmare possumus, cum redemptionem Christi cogitamus. Captivos enim nos, et tyranno, importuno, inquam, Satanæ subditos eripuit, et quasi in terram sanctam reduxit, ad vitam evangelicam, ad habitum et mores, quorum facillima est cognitio, ad urbem muro cinctam, novam Jerusalem, quæ est Ecclesia Dei viventis, aptos reddens ut tanquam lapides pretiosi [61], « Superædificemur in templum sanctum, in habitaculum Dei, in spiritu [62]. » Sed invidiæ doloribus nefanda dæmonum turba incensa, atque insuper dogmatum veritatis adversarii crebras in sanctos incursiones fecerunt ; nihil tamen iis nocuerunt, Deo protegente et Christo fiduciam afferente, illis verbis : « Confidite, quia ego vici mundum [63]. » Frivola et anilia sunt quæ apud Judæos circumferuntur, olim in valle Josaphat, ubi mortui in vitam redierint, Deum de omnibus judicium habiturum, et quotquot sub cœlo sunt,

[59] I Esdr. IV, 1-5. [60] II Esdr. IV, 7-10. [61] I Petr. II, 5. [62] Ephes. II, 21, 22. [63] Joan. XVI, 33.

Digitized by Google

de his quæ adversum ipsos perpetraverint, ratio- A nem reddituros [64]. Quæ cogitatio fieri nequit quin ridicula sit, quandoquidem divinitus inspirata Scriptura prophetiam completam esse dicit, et pugna commissa in valle Josaphat, a vicinis gentibus pœnas exactas. Irruerunt enim, ut dixi, in reliquias Israelis, quamvis jactati ærumnis longe plurimis ; Babyloniis siquidem in servitutem traditus fuerat.

τοὺς νεκρούς. Οἴονται δὲ ὅτι τῶν εἰς αὐτοὺς ἕνεκα γεγονότων ἀποτιοῦσι λόγους, οἱ κατὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. Ἀμοιρήσει δ' ἂν οὐδαμῶς τοῦ γελᾶσθαι πρέπειν τὸ ἐνθύμημα αὐτοῖς, τῆς θεοπνεύστου Γραφῆς τὰ τῆς προφητείας ἐκπεπεράνθαι λεγούσης, καὶ ὅτι δίκας ἐξῄτηνται παρὰ Θεοῦ τὰ περίοικα τῶν ἐθνῶν, τοῦ πολέμου γεγονότος ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ. Ἐπέθρωσκεν γὰρ, ὡς ἔφην, τοῖς λειψάνοις τοῦ Ἰσραὴλ, καίτοι πλείστην ὅσην ἀνατλάντος ταλαιπωρίαν, δέδονται γὰρ τοῖς Βαβυλωνίοις.

Vers. 4-6. *Et quidem quid mihi et vobis, Tyrus, et Sidon, et omnis Galilæa alienigenarum ? Nunquid retributionem vos retribuitis mihi, aut iram in corde retinetis mihi? Velociter et cito reddam retributionem vestram in capita vestra. Pro eo quod argentum meum et aurum meum tulistis, et electa mea, et bona* B *intulistis in templa vestra. Filios Juda, et filios Jerusalem vendidistis filiis* **236** *Græcorum, ut ejiceretis eos ex finibus suis.*

Καί γε τί ἐμοὶ καὶ ὑμῖν, Τύρος, καὶ Σιδὼν, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων ; μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι, ἢ μηνισικακεῖτε ; Ὀξέως καὶ ταχέως ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν. Ἀνθ' ὧν τὸ ἀργύριόν μου, καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου, καὶ τὰ καλὰ εἰσενέγκατε εἰς τοὺς ναοὺς ὑμῶν. Τοὺς υἱοὺς Ἰούδα, καὶ τοὺς υἱοὺς Ἱερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν.

XXXIX. Omnes itaque gentes contra Israelem congregati sunt, Moabitæ, Idumæi et Jebusæi, Ammonitæ et reliquæ. Hujus consilii et facinoris antesignanos fuisse reor Damascenos, Tyrios, et qui appellabantur Philistiim, et usque ad ipsam Geth, quæ alienigenarum dicitur. Quocirca sic eos universorum Deus affatur : « Quid mihi et vobis, Tyrus, et Sidon, et omnis Galilæa alienigenarum ? » Quas enim occasiones feritatis, inquit, habentes, ærumna pressum Israelem, et a Babyloniis non vulgaribus incommodis oneratum scelerate opprimitis, et acerbe illi insultantes, et me forte irridentes quodammodo, qui eum servavi et defendi, ac probris non dubitantes lacerare, imo vero reipsa afficere? Quare brevi ultionem recipietis, et veniet vobis in caput vestrum ; pœnas enim mihi vobiscum in valle Josaphat disceptaturo pendetis. Accusat autem eos, ut qui electa templi diripuerint, et aurea vasa compilarint, atque ad suorum deorum honorem dedicaverint. Intolerandum porro, et dirum negotium, et quod satis sit ad offendendum Deum, cujus illa vox : « Gloriam meam alteri non dabo, neque laudem meam idolis [65]. » Quid enim aliud fuerit sacrosanctis anathematis idolorum fana condecorare, quam propemodum proclamare ac D dicere, universitatis hujus Deum secundas tenere, illa autem primas, et salutem dare posse, a quibus adorentur? Nec sufficit vobis, inquit, ad impietatem, divinis donariis spoliasse templum meum, insuper filios Juda et filios Jerusalem vendidistis Græcorum filiis. Factum istud verisimile est, ut aliqui nempe ex Israel in terras gentium deportarentur, ementibus et abducentibus aut Tyriis fortasse, aut aliis mercaturam facientibus, et quæstui comparando deditis.

ΛΘ'. Ἔθνος μὲν οὖν ἅπαν κατὰ τοῦ Ἰσραὴλ συναγήγερται, Μωαβῖται, Ἰδουμαῖοι, Ἰεβουσαῖοι, Ἀμμανῖται, καὶ οἱ λοιποί. Κατάρξαι δὲ, οἶμαι, βουλῆς, καὶ ἐγχειρημάτων Δαμασκηνοὺς, καὶ Τυρίους, καὶ τοὺς καλουμένους Φιλιστιείμ, καὶ μέχρις αὐτῆς τῆς Γὲτ, ἥτις καλεῖται καὶ ἀλλοφύλων. Τοιγάρτοι καὶ πρὸς αὐτοὺς ὁ τῶν ὅλων Θεός· « Καὶ τί ἐμοὶ καὶ ὑμῖν, Τύρος, καὶ Σιδὼν, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων ; » Ποίας γὰρ, φησὶ, τὰς ἀφορμὰς τῆς ἀγριότητος ἔχοντες, ταλαιπορεῖντα τὸν Ἰσραὴλ, καὶ ταῖς ἐκ Βαβυλωνίων συμφοραῖς οὐ μετρίως κατηχθημένον ἀνοσίως C ἐπιφορτίζετε, πικρῶς ἐπιβαίνοντες, καὶ οἷον ἐμὲ γελῶντες τὸν σώζοντα τάχα που, καὶ ἀμυνόμενον, καὶ τὰ ἐχθρῶν εἰς ἐμὲ τολμῶντες λέγειν, μᾶλλον δ' ἤδη καὶ δρᾶσαι ; Οὐκ οὖν εἰς μακρὰν ἀπολήψεσθε τὸ ἀνταπόδομα. Ἥξει δὲ ὑμῖν εἰς κεφαλήν· δίκας γὰρ ἀποτιείτε ἐμοὶ τῷ διακριθησομένῳ πρὸς ὑμᾶς ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ. Ἐγκαλεῖ δὲ αὐτοῖς ὡς διηρπακόσι μὲν τὰ ἐπίλεκτα τοῦ ναοῦ, καὶ τὰ χρυσᾶ σκεύη σεσυληκόσι, καὶ ταῖς τῶν ἰδίων Θεῶν ἀνατεθεικόσι τιμαῖς. Ἀφόρητον δὲ τὸ χρῆμα, καὶ πικρὸν, καὶ οὐκ ἀνικάνως ἔχον εἰς γε τὸ δύνασθαι καταλυπῆσαι Θεόν. Ἔφη γὰρ, ὅτι « Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς. » Τί γὰρ ἕτερον ἂν εἴη τὸ τοῖς θείοις ἀναθήμασι τοὺς τῶν εἰδώλων κατακαλύνειν ναοὺς, ἢ μονονουχὶ διακεκραγέναι, καὶ λέγειν, ὡς εἴη μὲν ὁ τῶν ὅλων Θεὸς ἐν δευτέροις, τὰ δὲ ἐν λόγοις τοῦ προῦχοντος, καὶ σώζειν εἰδότας τοὺς ἰδίους προσκυνητάς ; Καὶ οὐκ ἀπόχρη, φημὶ, εἰς δυσσέβειαν, ὑμῖν τὸ τῶν θείων ἀναθημάτων τὸν ἐμὸν γυμνῶσαι νεὼν, ἀλλὰ γὰρ καὶ τοὺς υἱοὺς Ἰούδα, καὶ τοὺς υἱοὺς Ἱερουσαλὴμ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων. Γενέσθαι δέ τι τοιοῦτον εἰκὸς, ὡς ἐν ταῖς χώραις τῶν ἐθνῶν τινας ἀποκομισθῆναι τῶν ἐξ Ἰσραὴλ, ἀπεμπολούντων αὐτοὺς ἢ Τυρίων τυχὸν, ἢ καὶ ἑτέρων, οἷς ἐμπορία τὸ σπουδαζόμενον, καὶ φιλοκερδεῖν τὸ ἐπιτήδευμα.

[64] I Petr. IV, 5. [65] Isa. XLII, 8.

Digitized by Google

Πρέπει δ' ἂν ὁ λόγος, ὡς γέ μοι φαίνεται, καὶ τοῖς τῶν ἀνοσίων προεστηκόσιν αἱρέσεων, οἳ τοὺς υἱοὺς τῆς Ἐκκλησίας μονόνουχι διαρπάζοντες τῇ τῶν Ἑλλήνων καταπωλοῦσι σοφίᾳ, ἵνα πολυπλόκων ἐννοιῶν ἀναπιμπλάμενοι, πικροὶ γένωνται ζητηταὶ, μᾶλλον δὲ ἀπειθεῖς τε καὶ ἀλιτήριοι, καὶ τὰ ὀρθὰ διαστρέφοντες, καίτοι δέον ἁπλῇ διαβιῶναι φράσει, καὶ τὸν ἀκαπήλευτον λόγον τῆς ἀληθείας μελετᾷν. Ἔξω δὴ οὖν τῶν ἰδίων ὁρίων γενέσθαι τοὺς ἠπατημένους παρασκευάζουσιν. Ὅροι δὲ ὥσπερ καὶ χώρα τῶν τέκνων τῆς Ἐκκλησίας τῆς ἀληθείας ἡ γνῶσις, καὶ τὸ εἰς πᾶν ὁτιοῦν τῶν ἀκριβῶς ἐξητασμένων εἰς ὀρθότητα νενευκός. Λέγοιτο δ' ἂν εἰκότως χρυσᾶ σκεύη, καὶ ἀργυρᾶ, καὶ ἐπίλεκτα Θεοῦ, καὶ κατὰ τὸ ἀληθὲς οἱ πίστει κατηγλαϊσμένοι, καὶ τοῖς ἐξ ἔργων ἀγαθοῖς σὺν ἡμασι κεχρυσωμένοι, καὶ τῷ τῆς εὐσεβείας διαστίλβοντες κάλλει. Ἀλλ' εἰ γένοιτό τινα τῶν ὧδε λαμπρῶν τοῖς τῆς ἀπάτης ἀλῶναι βρόχοις, ἀκούσονται πάντως οἱ τῆς ἀπάτης εὑρεταί, « Τὸ ἀργύριόν μου, καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου εἰσηνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν. » Ἔγκλημα δὲ τοῦτο δεινόν τε καὶ δυσδιάφυκτον. Ἁμαρτάνοντες γὰρ εἰς τοὺς ἀδελφοὺς ἡμῶν, ὑπὲρ ὧν Χριστὸς ἀπέθανεν, αὐτὸν ἀδικοῦσι Χριστὸν, ᾧ πάντη τε καὶ πάντως τὰς τῶν εἰς αὐτὸν πεπλημμεληκότων δίκας ἀποτιοῦσιν.

Καὶ ἰδοὺ ἐγὼ ἐξεγείρω αὐτοὺς ἐκ τοῦ τόπου, οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ· καὶ ἀνταποδώσω ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν. Καὶ ἀποδώσομαι τοὺς υἱοὺς ὑμῶν, καὶ τὰς θυγατέρας ὑμῶν εἰς χεῖρας υἱῶν Ἰούδα, καὶ ἀποδώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν εἰς ἔθνος μακρὰν ἀπέχον, ὅτι Κύριος ἐλάλησεν.

ΜΑ'. Ἄπρακτα μὲν τὰ Τυρίων ἔσεσθαι μηχανήματα, καὶ τὰ ἐκ τῆς δυστροπίας εὑρέματα κατὰ τῶν ἐξ Ἰσραὴλ, ἐναργέστατά φησιν, ἐξ ἀντιστρόφου δὲ ὥσπερ γενέσθαι τοῖς ἠδικηκόσι τὴν συμφορὰν, καὶ τοῖς ἴσοις ἐναλῶναι κακοῖς, μονονουχὶ πιπτούσης εἰς κεφαλὰς τῶν ἀνόσια πεπλημμεληκότων τῆς ἰσοστάθμου δίκης. Ὥσπερ γὰρ αὐτοὶ τὸ ἐξ Ἰούδα γένος εἶλον, εἶτα τοῖς ἀνδραποδισταῖς δεδώκασιν, ἀποκομίζειν εἰπόντες εἰς ἔθνος μακρὰν, οὕτω τὰ αὐτῶν ἀπεμπολησθήσεσθαι τέκνα φησὶ, διὰ χειρὸς Ἰούδα. Καὶ ὅτι πάντως τοιάδε συμβήσεται, προσεμπεδοῖ λέγων, « Ὅτι Κύριος ἐλάλησεν. » Ἀνήνυτον δὲ πάντως οὐδὲν ὃ φθέγγεται Θεός. Καὶ γοῦν ἔφη Χριστός· « Οἱ λόγοι μου οὐ μὴ παρέλθωσι. » Καὶ ταυτὶ μὲν ἱστορικῶς.

Εἰ δὲ δή τις ἕλοιτο περιαθρεῖν τὰ πνευματικὰ, καὶ τῶν κεκρυμμένων ἀναπίμπλασθαι νοημάτων, ἐννοήσει πάλιν, ὅτι καὶ Ἑλλήνων παῖδες οἱ ταῖς δοκησισοφίαις ἐξωφρυωμένοι, καὶ μὴν καὶ αἱρετικοὶ πολυπλόκοις ἀπάτης εὑρήμασι τὸ δοκεῖν τί σφισιν αὐτοῖς ἀπονέμοντες, ἀποφέρουσι τῶν ἁπλουστέρων τινὰς τῆς ὀρθῆς τε καὶ ἀμωμήτου πίστεως, ἧς ἂν ἔχοιεν παρὰ Θεοῦ, καὶ τοῖς βρόχοις τῆς ἀπάτης ἐνδέοντες μονονουχὶ, καὶ ἐν δορυκτήτων μοίρᾳ λαβόντες, ἀποκομίζουσι τῶν τῆς ἀληθείας ὅρων ὡς ἀποτάτω. Ἀλλ' ὅγε

Hic sermo, si recte ratiocinor, etiam in nefandarum hæresum præsides quadrabit, qui Ecclesiæ filios tantum non abripientes, Græcæ philosophiæ vendunt, ut impeditis intelligentiis repleti, molesti disputatores, vel potius increduli et pestilentes evadant, recta pervertentes, cum secundum simplicem locutionem vivere, et sermonem veritatis nulla fraude corruptum meditari oporteat. E finibus igitur ut ejiciantur ab ipsis decepti, in causa sunt. **237** Finis vero, sicut et regio filiorum Ecclesiæ, cognitio veritatis est, et quod ad omne quidquid accurate ad rectitudinem exploratum est, vergit. Ac merito sane, et vere vasa aurea, et argentea, et electa Dei vocari possunt fide exornati, et operum gloria inaurati ac pietatis splendore corusci. Quod si contigerit quempiam horum ita clarum ac nitidum fallaciæ laqueis irretiri, audient plane fallaciarum inventores : « Argentum meum et aurum meum tulistis, et electa mea intulistis in delubra vestra. » Crimen istud horribile est, et supplicium difficulter effugiet. Peccantes namque in fratres nostros, pro quibus Christus mortuus est [66], in Christum ipsum sunt injuriosi, cui omnino, et omnium quæ in eum peccaverint, pœnas persolvent.

VERS. 7, 8. *Ecce ego suscito eos de loco, ubi vendidistis eos illic; et reddam retributionem vestram in capita vestra. Et vendam filios vestros et filias vestras in manus filiorum Juda, et venundabunt eos in captivitatem, in gentem quæ procul, quoniam Dominus locutus est.*

XL. Tyrorum machinationes et perversa inventa contra Israel inania fore, perquam dilucide affirmat, et iis qui læserunt, quasi ex adverso calamitatem remetiendam, paribusque malis probe involutum iri, tantum non simili pœna recidente in capita eorum, qui impie deliquerunt. Quomodo namque ipsi genus Juda captivum fecerunt, deinde pro mancipiis venditum, ad remotas gentes abducendum dederunt : sic eorum liberos per manus Juda venales futuros testatur, et ad unguem idem passuros testificans, ait, « Quia Dominus locutus est. » Nihil autem omnium quæ Deus loquitur, ad rem non confertur. Itaque Christus inquit : « Verba mea non interibunt [67]. » Et hæc quidem historice.

Quod si cui placet considerare spiritualia, et abditis intelligentiis se explere, cogitabit etiam Græcos, falsa opinione sapientiæ supercilium tollentes, ac præterea hæreticos, ob involuta fallaciarum inventa existimantes se esse aliquid, simpliciorum quosdam a recta et inculpata fide, quam a Deo habere possint, avertere, et imposturæ laqueis irretitos, propemodum servorum **238** loco, quos armis ceperint, a finibus veritatis abripere quant longissime. Cæterum universorum Deus eorum im-

[66] I Cor. VIII, 11. [67] Matth. XXIV, 25.

Digitized by Google

probitatem infringit, et deceptos quidem liberos dimittens, filios pravorum doctorum ad Judam adducit. Per hos nihilominus intelligi possint divini discipuli, et quotquot Christi mysterium loquuntur, quique ab illorum fraudibus liberatos, ad præclaram et amabilem ejus servitutem reducunt, et non secus atque captivos rapiunt, ad suum eos habitum sententiamque transferentes, quæ ab illorum multis millibus distat. Magnum quippe intervallum inter sanctorum et istorum doctrinam cernitur. Dicitur etiam Christus ex Græca superstitione ad cognitionem ejus, qui natura est Deus, conversos ut captivos accipere. Sic enim David : « Ascendens in altum, captivam duxit captivitatem, dedit dona hominibus [62]. »

A τῶν ὅλων Θεὸς ἄπρακτον αὐτῶν ἀποφαίνει τὴν κακουργίαν, καὶ ἀνίησι μὲν τοὺς ἠπατημένους, τοὺς δὲ τῶν ἀπατησάντων κατὰ μάθησιν υἱοὺς προσάγει τοῖς ἐξ Ἰούδα. Νοηθείεν δ' ἂν οὗτοι πάλιν οἱ θεσπέσιοι μαθηταὶ, καὶ ὅσοι τὸ Χριστοῦ λαλοῦσι μυστήριον, οἱ δὲ τῆς ἐκείνων πλάνης ἀπαλλάττοντες, εἰς καλήν τε καὶ ἀξιέραστον ἀποφέρουσι δουλείαν, τὴν ὑπὸ Χριστῷ δηλονότι, καὶ οἷον αἰχμαλώτους ἁρπάζουσι, μετατιθέντες εἰς τὴν ἑαυτῶν ἕξιν τε καὶ γνώμην, ἥτις ἐκείνων ἐστὶν ἀποτάτω. Πολὺ γὰρ τὸ μεταξὺ τῆς γνώμης τε τῶν ἁγίων, καὶ τῆς τῶν τοιούτων ὁρᾶται. Λέγεται δὲ καὶ ὁ Χριστὸς τοὺς ἐκ τῆς Ἑλληνικῆς ἀπάτης εἰς ἐπίγνωσιν τοῦ κατὰ φύσιν Θεοῦ μετενηνεγμένους ὡς αἰχμαλώτους ἑλεῖν. Ἔφη γὰρ ὁ Δαβίδ, « Ἀναβὰς εἰς ὕψος, ἠχμαλώτευσεν αἰχμαλωσίαν, δέδωκε δόματα τοῖς ἀνθρώποις. »

B

VERS. 9-12. *Prædicate hæc in gentibus, sanctificate bellum, suscitate pugnatores, accedite, et ascendite, omnes viri bellatores. Concidite aratra vestra in gladios et falces vestras in lanceas. Non fortis dicat : Valeo ego. Congregamini, et intrate omnes gentes per circuitum, et congregamini illuc, mansuetus sit pugnator. Consurgant, et ascendant gentes in vallem Josaphat, quia ibi sedebo ut judicem omnes gentes in circuitu.*

Κηρύξατε ταῦτα ἐν τοῖς ἔθνεσιν· ἁγιάσατε πόλεμον, ἐξεγείρατε τοὺς μαχητὰς, προσαγάγετε, καὶ ἀναβαινέτε πάντες ἄνδρες πολεμισταί. Συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας. Ὁ ἀδύνατος λεγέτω· Ἰσχύω ἐγώ. Συναθροίζεσθε, καὶ εἰσπορεύεσθε πάντα τὰ ἔθνη κυκλόθεν, καὶ συνάχθητε ἐκεῖ, παῦε ἔστω πολεμιστής. Ἐξεγειρέσθωσαν, καὶ ἀναβαινέτωσαν τὰ ἔθνη εἰς τὴν κοιλάδα Ἰωσαφὰτ, ὅτι ἐκεῖ καθιῶ τοῦ διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν.

C

XLI. Comminatus gentibus, passuras malum quod aliis fecerant, et scelera sua pro dignitate luituras, jam orationem ad cultores suos convertit, quos minime timidos et effeminatos, quin potius animosos ac strenuos esse hortatur, et tantum non adhibere præconium, quod ab omnibus exaudiatur, et ad pugnam gentes dehinc colligere, easque inflammare, ut huc gradum accelerent, tametsi fortasse vitam quietam et a bello abhorrentem agere malint. Hoc autem est reddere audentissimos, et persuadere, uti confidant, ipso propugnante, hostium sese posituros. Itaque, « in gentibus hæc prædicate, inquit, et sanctificate bellum. » Jam hoc, « sanctificate, » rursum nihil est aliud quam, nihi velut consecrate; ego enim bellabo et ad gloriam meam res agetur. Occumbent enim, qui honorem meum lignis et lapidibus tribuerunt. Omne autem quod sanctificari dicitur, semper cum divina gloria **239** conjunctum est. Ideo ait : « Sanctificate bellum, suscitate pugnatores. » Et adhuc subjungit, « Accedite, omnes viri bellatores. » Ponat agricola curas et studium sibi charissimum; ex aratro rhomphæam, et e falce lanceam sibi fabricet; non enim terram colendi tempus est, sed Deo contempto dandi pœnas. Quod si quis infirmus fuerit, ne imbecillitatem prætexat; mentiatur potius, si lubet, et sibi vires non deesse autumet. Absit enim ut ab his armis se removeat! Congregamini igitur, omnes, inquit, qui circum Judæam habitatis, et mitis quoque pu-

ΜΑ'. Ἀπειλήσας τοῖς ἔθνεσι τὰς ἐξ ἀντιστρόφου συμφορὰς, καὶ τῶν ἀνοσίων ἔργων ἰσοπαλῆ τὴν δίκην, καθίστησι τὸν λόγον ἐπὶ τοὺς ἰδίους ἤδη προσκυνητὰς, οὓς ἥκιστα μὲν δειλοὺς, καὶ ἀνάνδρους, εἶναι δὲ μᾶλλον κελεύει νεανικοὺς, καὶ μονονουχὶ διαπρυσίῳ κεχρῆσθαι κηρύγματι, συλλέγειν τε ἤδη πρὸς μάχην τὰ ἔθνη, καὶ ἀνάπτειν ἐπείγεσθαι πρὸς τοῦτο αὐτὰ, κἂν εἰ ἕλοιντο τυχὸν τὴν ἠρεμαίαν τε καὶ ἀφιλόμαχον ἐλέσθαι ζωήν. Τοῦτο δὲ ἦν εὐτολμοτάτους ἀποφαίνοντος, καὶ ἐπ' αὐτῷ θαῤῥεῖν ἀναπείθοντος, ὅτι καὶ τῶν ἐχθρῶν ἀμείνους ἔσονται αὐτοῦ προασπίζοντος. « Ταῦτα δὴ οὖν ἐν τοῖς ἔθνεσι κηρύξατε, φησὶ, καὶ ἁγιάσατε πόλεμον. » Καὶ τὸ Ἁγιάσατε πάλιν ἐστὶν, Ἐμοὶ καθιερώσατε τρόπον τινὰ, ἔσομαι γὰρ ὁ μαχητὴς ἐγὼ, καὶ εἰς ἐμὴν δόξαν ἔσται τὸ δρώμενον. Τεθνήξονται γὰρ οἱ τὴν ἐμὴν δόξαν ἀνάψαντες ξύλοις τε καὶ λίθοις. Ἅπαν δὲ τὸ ἁγιάζεσθαι λεγόμενον, εἰς δόξαν ἀεὶ προσάγεται Θεοῦ. Διὰ τοῦτό φησιν « Ἁγιάσατε πόλεμον, ἐξεγείρατε τοὺς μαχητάς. » Καὶ δὴ καὶ ἐπιφωνεῖ, καί φησι, « Προσαγάγετε, πάντες ἄνδρες πολεμισταί. » Καταληγέτω μὲν ὁ γηπόνος τῶν αὐτῷ φιλαιτάτων φροντίδων, καὶ σπουδασμάτων. Μεταχαλκευέτω δὲ τὸ μὲν ἄροτρον εἰς ῥομφαίαν, τὴν δὲ δρεπάνην εἰς σειρομάστας. Οὐ γάρ ἐστι τοῦ γηπονεῖν ὁ καιρὸς, ἀλλὰ τοῦ διδόναι δίκας ἠτιμασμένῳ Θεῷ. Εἰ δὲ δή τις εἴη καὶ ἀδύνατος, φησὶ, μὴ σκῆψιν ἐχέτω τὸ ἀναλκὲς, ψευδέσθω δὲ καὶ αὐτὸς, εἰ βούλεται, καὶ λεγέτω τὸ δύνασθαι. Μὴ γὰρ δὴ τῶν ὅπλων ἦτω μακράν. Συναγείρεσθε δὴ οὖν ἅπαντες, φησὶν, οἱ κύκλῳ τῆς Ἰουδαίας, καὶ ὁ πρᾶος ἔσται

[62] Psal. LXVII, 19.

Digitized by Google

μαχητής, τουτέστι, καὶ εἴ τις τῶν ἀοργήτων εἴη, ἔστω καὶ οὗτος μαχητής. Ὅμοιον ὡς εἰ λέγει, οὐδενὸς τὸ σύμπαν ὑπολελειμμένου· Κἂν εἰ γηπόνος τις εἴη, κἂν εἰ δειλός τε καὶ ἄνανδρος (οὗτος γὰρ ὁ *ἀδύνατος*), κἂν εἰ πρᾶος, καὶ ἀφιλοπόλεμος, παραθηγέσθω πρὸς μάχην. Παραιτήσομαι γὰρ οὐδένα. Διακρινῶ δὲ ἅπαντας ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφάτ. Τὸ δὲ Διακρινῶ σημαίνει, ὅτι Κριτὴς ἔσομαι δυνατὸς, ποιναῖς τε καὶ δίκαις ἐνιεὶς τοὺς διαρπάσαντας μὲν γῆν τὴν ἐμὴν, κλήρῳ δὲ διαλαχόντας τὸν Ἰσραὴλ, καὶ πόρναις μὲν δεδωκότας τὰ παιδάρια, καταπεπρακότας δὲ τὰ κοράσια, καὶ ὡς οἶνον ἐκπεπωκότας.

Talia rursum Ecclesiæ hostibus Dominus acclamaverit : qui quanquam totis copiis et omni robore sanctos oppugnarint, cadent profecto omnes, ipso protegente et illos quidem evertente, suos autem cultores fide, spe, charitate et benignitatis suæ muneribus, murorum instar, corroborante.

Ἐπιφωνήσει δ' ἂν τὰ τοιάδε πάλιν τοῖς τῆς Ἐκκλησίας ἐχθροῖς ὁ Κύριος, οἳ κἂν παμπληθεῖ, καὶ ὅλῃ δυνάμει χρώμενοι τῶν ἁγίων καταστρατεύονται, πεσοῦνται δὴ πάντες αὐτοῦ προασπίζοντος, κἀκείνους μὲν καταστρέφοντος, ἀνατειχίζοντος δὲ τοὺς ἰδίους προστυνητὰς πίστει, καὶ ἐλπίδι, καὶ ἀγάπῃ, καὶ τῆς ἰδίας ἡμερότητος ἀγαθοῖς.

VERS. 13-16. *Emittite falces, quoniam adest vindemia ; introite, calcate, quia plenum torcular ; redundant torcularia, quia multiplicata sunt mala eorum. Sonitus auditi sunt in valle judicii, quia juxta est dies Domini in valle judicii. Sol et luna obtenebrabuntur, et stellæ occidere facient splendorem suum. Et Dominus de Sion clamabit, et Jerusalem dabit vocem suam, et movebitur cœlum et terra.*

Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκεν τρυγητὸς, εἰσπορεύεσθε, πατεῖτε, διότι πλήρης ἡ ληνός· ὑπερχεῖται τὰ ὑπολήνια, ὅτι ἐπληθύνθη τὰ κακὰ αὐτῶν. Ἦχοι ἠκούσθησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου ἐν τῇ κοιλάδι τῆς δίκης. Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσιν, καὶ τὰ ἄστρα δύσουσιν τὸ φέγγος αὐτῶν. Ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακεκράξεται, καὶ ἐξ Ἰερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς, καὶ ἡ γῆ.

XLII. Finitimos Judææ populos, Arabas, inquam, et Tyrios, Gethæos et Philistiim, Moabitas et Idumæos, Ammonitas et Gergesæos velut tubæ clangoribus in vallem Josaphat congregare jussit, ut quamprimum morituros **240** et acerbas judici pœnas persoluturos. Nunc Israelitas ad alacritatem quamdam inexpugnabilem invictamque fortitudinem exsuscitat, adeoque in congregatos insilire, quasi jubet, et ait, eos quam maxime audentes videri oportere, virilesque ac strenuos, etiam belli terroribus consternatos, et pugnam conserere formidantes ; quin potius id habere pro deliciis et ducere voluptati, nec aliter gaudere, quam qui uberem vindemiam faciunt. Proinde, « Emittite, inquit, falces, quoniam adest vindemia. » Ἐξαποστείλατε posuit pro ἐκπέμψατε, emittite et extendite, nimirum ut vindemiantes consueverunt. Jacebunt enim parati ut interficiantur, parati ut amputentur. Abscindatur, inquit, hostis, ut a vite botrus, et pedibus subjectus, sicut in torculari acervatim conculcetur. Ait enim, « Introite, et calcate, quia plenum est torcular, » hoc est, comportata est ad internecionem multitudo gentium, nihil obstat, quominus subjiciantur pedibus tuis. « Redundant torcularia. » Signum perfectum calcandos esse comportatos. Etenim in uvarum abundantia etiam ipsa torcularia vinum sæpe excedit. Frequentiam igitur sub pedibus jacentium hoc verbo demonstrat. « Redundant torcularia. » Sequitur : « Su-

Ἦχοι ἠκούσθησαν ἐν τῇ κοιλάδι τῆς δίκης, ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου ἐν τῇ κοιλάδι τῆς δίκης. Ὁ ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσιν, καὶ τὰ ἄστρα δύσουσιν τὸ φέγγος αὐτῶν. Ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακεκράξεται, καὶ ἐξ Ἰερουσαλὴμ δώσει φωνὴν αὐτοῦ, καὶ σεισθήσεται ὁ οὐρανὸς, καὶ ἡ γῆ.

ΜΒ'. Τὰ μὲν πρόσοικα τῶν ἐθνῶν τῆς Ἰουδαίας γῆς, Ἀραβάς τε φημὶ καὶ Τυρίους, Γεθαίους, καὶ Φιλιστιιεὶμ, Μωαβίτας, καὶ Ἰδουμαίους, Ἀμμανίτας, καὶ Γεργεσαίους, οἱονεὶ σάλπιγγι κεχρημένους συναγείρειν ἐκέλευσεν εἰς τὴν κοιλάδα τοῦ Ἰωσαφάτ, ὡς αὐτίκα δὴ μάλα τεθνηξομένους, καὶ πικρὰς ὑφέξοντας τῷ κρίνοντι δίκας. Παραθήγει δὲ νυνὶ τοὺς ἐξ Ἰσραὴλ εἰς ἄμαχόν τινα προθυμίαν, καὶ δυσάντητον ἀλκὴν, καὶ δὴ συναγηγερμένοις ἐπιθρώσκειν ὥσπερ διακελεύεται, δεῖν δὲ πολέμου δείμασι κατεπτοημένους, οὔτε μὴν εἰς μάχην ἰόντας ὅλως, ἡγουμένους δὲ μᾶλλον τὸ χρῆμα τρυφὴν, καὶ ἐν θυμηδίᾳ αὐτὸ καταγράφοντας, καὶ γεγηθότας ἐν ἴσῳ τοῖς τὰς ἐξ ἀμπέλων εὐκαρπίας συλλέγουσι. Ταύτῃτοί φησιν· « Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκε τρυγητὸς » (τὸ *ἐξαποστείλατε* τιθεὶς, ἀντὶ τοῦ, ἐκπέμψατε), καὶ ἐκτείνατε, καθάπερ ἀμέλει καὶ οἱ τρυγᾷν εἰωθότες. Κείσονται γὰρ ἕτοιμοι πρὸς ἀναίρεσιν, εὐτρεπεῖς εἰς κατατομήν. Ἀποκειρέσθω, φησὶν, ὁ πολέμιος, ὡς ἐξ ἀμπέλου βότρυς· πατείσθω δὲ ὥσπερ ἐν ληνοῖς, σωρηδὸν ὑπὸ πόδας κείμενος. « Εἰσπορεύεσθε γὰρ, φησὶ, πατεῖτε, διότι πλήρης ἡ ληνὸς, » τουτέστι, συγκεκόμισται πρὸς ὄλεθρον τῶν ἐθνῶν ἡ πληθὺς, οὐδὲν τὸ κωλύον ὑπὸ πόδας εἶναι τοὺς σούς. « Ὑπερχεῖται τὰ ὑπολήνια. » Σημεῖον δὲ διὰ τούτων οἷον ἀμφιλαφὲς τῶν εἰς καταπάτησιν συγκεκομισμένων. Ἐν γάρ τοι ταῖς τῶν βοτρύων ἀφθονίαις, καὶ αὐτὰς ὁ οἶνος πολλάκις ὑπεραίρει τὰς ληνούς. Τὸ πλῆθος δὴ οὖν τῶν ὑπὸ πόδας κειμένων δηλοῖ, λέγων, « Ὑπερ-

Digitized by Google

nitus auditi sunt in valle judicii. » Et quidnam istud est? Solent sancti prophetæ eventura prænuntiare, et nonnunquam rerum ipsarum imagines animo concipere, ut jam tum et videre sibi futura, et voces ipsas audire videantur. Et quia omnes ad unum perditurus erat progressus ad dimicationem Nabuchodonosor, ad ipsum fœdum belli spectaculum animo et cogitatione abreptus est Jeremias; et tantum non ipsis oculis innumerabiles occisorum catervas contemplatus, aiebat: « Heu mihi, quia deficit anima mea propter interfectos [69]! » Simile quiddam, ut puto, cum et Joeli accidisset et forte tumultum bellicum auribus accepisset, ideo dixit: « Sonitus auditi sunt in valle judicii. » Et vallem quidem judicii appellat certaminis locum, quasi non aliam ob causam gentibus eo congregatis, quam ut graviter punirentur. « Sonitus autem auditos, » aut oppetentium gemitus, aut vincentium lætisonas voces hoc loco nominat. Mos enim est in acie cadentibus gemitus fundere, et potitos victoria, jacentibus (nec immerito) gloriando insultare. Solem porro et lunam obtenebratum iri ait, ipsasque stellas lumine carituras; non quod hoc ipsum tunc passura sint elementa ullo modo, sed prælio **241** quasi tenebras offundente, et tanquam caliginem eorum qui vincuntur oculis prætexente; semper enim terror mortis tenebras ingerit, et improvisæ calamitatis magnitudo mentem hebetat, perindeque ut solem immensitate perturbationum obscuritate inficit. Clamasse autem Dominum dicit, ut præsentem, et una militantem, atque in morem ducis Israelitas in adversarios incitasse. In primis vero in resurrectione humani generis Christum velut ex Sion clamaturum dicere convenit. Nam, ut Paulus ait: « Ipse Dominus in jussu, et in voce archangeli, et in tuba Dei descendet de cœlo, et mortui qui in Christo sunt, resurgent incorrupti. [70]. » Hoc et lex Moysis adumbravit. Jussit enim in neomenia tuba canere Israelitas [71]. Et neomenia quidem figura futuri ac novi sæculi evidenter potest intelligi. Tuba autem vocis penetrantis omnia, archangeli, inquam, quem Deus mittet cum tuba, quæ ingenti sonitus claritate universitatem mortuorum in vitam revocabit. Præterea ipse Dominus miraculum in Lazarum edens, ad monumentum venit, et, ut narrat evangelista, voce magna clamavit: « Lazare, veni foras [72]. » Quanquam ipse per prophetam dicat: « Non contendet, nec clamabit, nec audietur foris vox ejus [73]. » Signum igitur penetrabilis tubæ, et sonitus ejus usque ad extremos terrarum fines, inquam, et de cœlo, est, quod Salvator alta voce Lazarum ab inferis excitavit.

VERS. 17. *At Dominus parcet populo suo, et confortabit filios Israel, et scietis, quia ego Dominus*

A χεῖται τὰ ὑπολήνια. » « Ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης. » Καὶ τί δὴ τοῦτό ἐστιν; Ἔθος τοῖς ἁγίοις προφήταις τὰ ἐσόμενα προαπαγγέλλειν, καὶ ἐν αὐταῖς ἔσθ' ὅτε γίνεσθαι ταῖς τῶν πράξεων φαντασίαις, ὥστε καὶ ὁρᾷν ἤδη δοκεῖν τὰ δρώμενα καὶ ἀκροᾶσθαι φωνῶν. Καὶ ὅτι πάντας ἅρδην ἀπολέσει κεκινημένος εἰς μάχην ὁ Ναβουχοδονόσορ, καὶ εἰς αὐτὴν τοῦ πολέμου τὴν ἀπρεπῆ θέαν εἱρπάζετο μονονουχὶ καὶ πληθὺν ἀμέτρητον τεθεαμένος νεκρῶν, ἔφασκεν, « Οἴμοι ἐγὼ, ὅτι ἐκλείπει ἡ ψυχή μου ἐπὶ τοῖς ἀνῃρημένοις. » Τοιοῦτόν τι, καθάπερ ἐγῷμαι, καὶ Ἰωὴλ πεπονθὼς, τάχα που τὸν ἐν τῷ πολέμῳ θόρυβον εἰς οὓς ἐδέχετο, ταύτητοί φησιν, « Ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης. » Καὶ κοιλάδα μὲν δίκης ὀνομάζει τοῦ πολέμου τὸν χῶρον, ὡς οὐχ ἑφ' B ἑτέρῳ τινὶ τῶν ἐθνῶν ἐπ' αὐτῷ συνηγμένων, ἢ ἵνα πικρὰς ἐκτίσωσι δίκας. « Ἐξηχοῦντας δὲ ἤχους, » ἢ τὰς τῶν πιπτόντων ὀλολυγὰς ἐνθάδε φησὶν, ἢ τοὺς τῶν νικώντων ἀλαλαγμούς. Συμβαίνει γὰρ ἐν πολέμοις καταστένειν μὲν τοὺς πίπτοντας, ἐπαγάλλεσθαι δὲ τοῖς κειμένοις τοὺς κεκρατηκότας, καὶ εὖ μάλα ἐπικαυχᾶσθαι. Ἥλιον δὲ, καὶ σελήνην σκοτισθήσεσθαί φησι, καὶ αὐτοὺς δὲ ἀφεγγεῖς ἔσεσθαι τοὺς ἀστέρας, καὶ οὐχὶ δὴ πάντως ὡς τοῦτο αὐτὸ πεισομένων τῶν στοιχείων τοτηνικάδε, ἀλλ' ὡς σκότος ἐμποιοῦντος τοῦ πολέμου, καὶ οἷον ἀχλὺν ταῖς τῶν ἡττωμένων ἐνιέντος ὄψεσι. Σκότος γὰρ ἀεὶ τοῦ θανάτου τὸ δεῖμα, καὶ ἀπαμβλύνει τὸν νοῦν συμφορᾶς ἀδοκήτου μέγεθος, καὶ ὥσπερ ἥλιον καταμελαίνει τὴν καρδίαν τοῖς C ὑπὲρ μέτρον τῶν παθῶν. Κεκράξεσθαι δέ φησι τὸν Κύριον, ὡς συνόντα τε καὶ συνασπίζοντα, καὶ στρατηγοῦ δίκην τοῖς ἐναντίοις ἐποτρύνοντα τοὺς ἐξ Ἰσραήλ. Πρέποι δ' ἂν μάλιστα τῷ τῆς ἀναστάσεως καιρῷ τὸ φάναι τὸν Κύριον, ὡς ἐκ Σιὼν ἀνακεκράξεται. Ὅτι καθώς φησι Παῦλος, « Αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, καὶ ἐν φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἐγερθήσονται ἄφθαρτοι. » Τοῦτο καὶ ὁ Μωσέως νόμος προανετύπου. Ἐκέλευε γὰρ ἐν νεομηνίᾳ σαλπίζειν τοὺς ἐξ Ἰσραήλ. Καὶ νεομηνία μὲν τύπος ἂν νοοῖτο, καὶ μάλα σαφὴς, αἰῶνος τοῦ μέλλοντος, καὶ νέου κατὰ τὸν πρῶτον. Ἡ δέ γε σάλπιγξ, τῆς διαπρυσίας φωνῆς τῆς τοῦ ἀρχαγγέλου, τῆς παρὰ Θεοῦ σάλπιγγος, ἣ πάντας ἐγερεῖ τοὺς ἐν τῇ γῇ D κειμένους, ἐξαίσιόν τι καὶ φωνητικὸν ἠχοῦσα. Ἰστέον δὲ ὅτι καὶ αὐτὸς ὁ Κύριος τὸ ἐπὶ Λαζάρῳ θαῦμα πληρῶν, ἀφίκετο μὲν εἰς τὸ μνημεῖον, ὡς δέ φησιν ὁ εὐαγγελιστὴς, φωνῇ μεγάλῃ ἐφώνησε, « Λάζαρε, δεῦρο ἔξω. » καίτοι λέγοντος αὐτοῦ διὰ τοῦ προφήτου, « Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐτοῦ. » Σημεῖον οὖν ἄρα τῆς διαπρυσίας σάλπιγγος, καὶ τῆς ἀπ' αὐτῆς ἠχῆς τῆς ἐπ' ἐσχάτοις, φημὶ, καὶ ἐξ οὐρανοῦ τὸ μεγάλῃ τὸν Σωτῆρα χρήσασθαι φωνῇ, διανιστάντα τὸν Λάζαρον.

Ὁ δὲ Κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχύσει τοῖς υἱοῖς Ἰσραήλ. Καὶ γνώσεσθε, ὅτι

[69] Jerem. IV, 31. [70] I Thess. IV, 15. [71] Psal. LXXX, 4. [72] Joan. XI, 43. [73] Isa. XLII, 2.

Digitized by Google

ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, κατασκηνῶν ἐν Σιὼν A *Deus vester, habitans in Sion monte sancto meo, et*
ὄρει ἁγίῳ μου. Καὶ ἔσται Ἰερουσαλὴμ ἁγία, καὶ
ἀλλογενεῖς οὐ διελεύσονται δι' αὐτῆς ἔτι.

erit Jerusalem sancta, et alienigenæ non transibunt per eam amplius.

ΜΓ'. Ὅτε τὰ ἐγκλήματα τῆς ἀποστασίας τοῖς ἐξ Ἰσραὴλ ἐπεγράφοντο, καὶ δαμάλεσι μὲν προσεκύνουν ταῖς χρυσαῖς, ἔφασκον δὲ ἀνοσίως, Οὗτοί σου, Ἰσραὴλ, οἱ τινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, τότε καὶ ἀσθενεῖς, καὶ εὐάλωτοι, καὶ τοῖς πολεμίοις ἑτοιμοτάτη προὔκειντο θήρα. Ταύτῃτοι καὶ εἰς αἰχμαλωσίαν ἐπέμποντο. Ἐπειδὴ δὲ ἠλέηνται, καὶ τὴν ἑαυτῶν κατῳκήκασι, χαλῶντος Θεοῦ τὰς ὀργάς, ἄμαχοι λοιπὸν, καὶ ἀνανταγώνιστοι γεγόνασι τοῖς ἐχθροῖς, ἀμογητὶ κεκρατήκασι, καίτοι πάντων τῶν ἐθνῶν συνειλεγμένων εἰς μάχην. Γνώσεσθαι δὴ οὖν φησὶν αὐτοὺς ἀπό γε τοῦ κατισχύσαι τῶν δι' ἐναντίας, ὅτι καὶ ἐν αὐτοῖς ἐστι, καὶ ἐπαναπαύεται λοιπὸν τῇ B Σιὼν ὡς ἁγίᾳ πόλει. Ταύτῃτοί φησιν ὅτι φείσεται μὲν τῶν ἰδίων λαῶν, καὶ ἀλκιμωτάτους ἀποφανεῖ, μαθήσεσθαι δὲ αὐτοὺς, ὅτι μετ' αὐτῶν ἐστιν. Ἔσεσθαι δέ φησι τὴν Ἰερουσαλὴμ ἁγίαν, τὴν ἀρχαίαν πάντως ἀθεΐαν ἀποβαλοῦσαν, οὐκ ἔτι ψευδομαντείας, καὶ γοητείας παρ' αὐτῇ τιμωμένης, ἐν νόμῳ δὲ μᾶλλον κρατούσης ζωῆς, καὶ ἀρίστων ἐπιτηδευμάτων σπουδῇ γεγονότων αὐτοῖς. Ἐχούσης δὲ οὕτω, καὶ διαζῆν ἠρημένης, οὐδένα φησὶ τῶν ἐχθρῶν δι' αὐτῆς παρελεύσεσθαι, οἷον οὐκ εὐκαταγώνιστος ἔσται τισὶν οὐδὲ ἐν παρόδῳ τοῖς ἐθέλουσιν ἁρπαζομένη, ὡς πρότερον, μᾶλλον δὲ ἀσφαλὴς, καὶ ταῖς παρ' ἐμοῦ δυνάμεσι, καὶ ἐπικουρίαις εὖ μάλα τετειχισμένη.

XLIII. Quando crimina desertæ patrum religionis intendebantur Israelitis, et vitulos adorabant aureos, nefarie acclamantes : « Ili sunt dii tui, Israel, qui eduxerunt te de terra Ægypti [74], » tunc infirmi erant, et levi negotio subjugabantur, erantque hostibus prædæ expeditissimæ. Ideo et in captivitatem abducebantur. At postquam misericordiam adepti, regionem suam postliminio habitarunt, Deo iras deponente, de cætero invicti et insuperabiles hostibus fuerunt, citraque laborem vicerunt, etsi omnes gentes adversum eos **242** in prælium coirent. Ex eo igitur quod adversariis prævalebunt, cognituros dicit, eum et inter ipsos esse, et in posterum super sancta civitate Sion quieturum. Hinc affirmat parsurum populo suo, et strenuissimos redditurum, et perspecturos, eum cum ipsis esse; fore autem Jerusalem sanctam, repudiato prorsus atheismo veteri, falsis prædictionibus et incantationibus despectis, in lege autem vitæ potentem et institutorum optimorum studiosam. Cum sic se habuerit, et ita vitam exigere constituerit, nullum hostem per eam transiturum, id est, a nemine facile expugnabitur, nec in transitu a volentibus ut antea rapietur, quin tuta erit copiis auxiliisque meis ut muro optime circumsepta.

Ἀληθὲς δὲ τὸ χρῆμα κἂν εἰ ἐπ' αὐτῆς νοοῖτο τῆς Ἐκκλησίας Χριστοῦ. Κήδεται γὰρ τῶν ἰδίων προσκυνητῶν, καὶ τῶν πολεμίων ἀμείνους ἀποτελεῖ, εὐσθενεῖς, καὶ ἀλκιμωτάτους, εὐρωστίας γέμοντας τῆς πνευματικῆς, εἰδότας τε καὶ πεπιστευκότας ὅτι ὁ Θεὸς ἐν αὐτοῖς διὰ τοῦ Πνεύματος. « Κατοικεῖ γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τῆς πίστεως. » Καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης φησὶν, « Ἐκ τούτου γινώσκομεν ὅτι ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος, οὗ ἔδωκεν ἡμῖν. » Ἁγία δὲ κατὰ τὸ ἀληθὲς ἡ νοητή που πάντως Ἰερουσαλὴμ, τουτέστιν, ἡ Ἐκκλησία, τὰ τῶν ἁγίων τάγματα. Οὐ γάρ ἐστι πάροδος ἀλλογενῶν. « Οἱ γὰρ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν. » Μέμνημαι δὲ λέγοντος καί τινος τῶν σοφῶν, « Ἐὰν Πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σὲ, τόπον σου μὴ ἀφῇς, ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. » Ἀσφαλὴς γὰρ D ἔχουσι τὴν καρδίαν, οὐ βάσιμον, οὐδ' ἱππήλατον τοῖς ἀκαθάρτοις πνεύμασι σεσαλευμένην· ἑδραίαν δὲ μᾶλλον, καὶ τοῖς τῆς ἀληθείας δόγμασιν εὖ μάλα πεπυργωμένην.

Istud porro etiam de Christi Ecclesia verum est. C Suorum enim cultorum curam gerit, et hostibus superiores facit, robustos, strenuissimos, spirituali fortitudine plenos, cum sciant et credant, Deum per Spiritum in ipsis esse; « habitat enim in cordibus nostris per fidem [75]. » Et ut Joannes evangelista scribit : « In hoc cognoscimus, quia in nobis est, quia de Spiritu suo dedit nobis [76]. » Sancta autem est revera intellectualis Jerusalem, id est, Ecclesia, sanctorum ordines. Non enim est transitus per eam alienigenis. « Qui namque sunt Christi, carnem suam crucifixerunt [77]. » Venit in mentem sapientis cujusdam effatum, præcipientis : « Si Spiritus potestatem habentis ascenderit super te, locum tuum nedimiseris, quia curatio faciet cessare peccata magna [78]. » Tutum quippe retinent cor, non peditibus, non equitibus pervium, ut ab immundis spiritibus agitatum; sed stabile potius et dogmatibus veritatis quasi turribus perbene communitum.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα, καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα, καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάῤῥουν τῶν σχοινίων.

Vers. 18. *Et erit in die illa. montes stillabunt dulcedinem, et colles fluent lacte, et omnes emissiones Juda fluent aquis, et fons de domo Domini egredietur, et irrigabit torrentem funiculorum.*

ΜΔ'. Ἀναδειμαμένης ἁγίας τῆς Ἰερουσαλὴμ, καὶ οὐκ οὔσης ἔτι βατῆς τοῖς ἀλλογενέσι, διά τε τὸ κατασκηνῶσαι ἐν αὐτῇ τὸν τῶν ὅλων Κύριον, φείσα-

XLIV. Instaurata sancta Jerusalem, nec amplius alienigenis pervia, quod eam incolat universorum Dominus, data venia populo Juda, eoque corrobo-

[74] Exod. xxxii, 4. [75] Ephes. iii, 17. [76] I Joan. iv, 13. [77] Galat. v, 24. [78] Eccle. x, 4.

Digitized by Google

rato, et superiore adversariis effecto, tunc nimirum montes « stillabunt 243 dulcedinem, et colles fluent lacte, et emissiones Juda » fluentum suum dabunt. Emissiones dici opinor fontium emanationes, aut qui alioqui vocari possint aquarum ductus. Montium quidem nomine accipere licet, qui virtutis culmen conscenderunt, et laudibus vitæ secundum virtutem actæ aliis antestantes, conspicuos et illustres : quales erant discipuli Christi, et præ cæteris Baptista, de quo est illud Salvatoris : « Non surrexit major Joanne [79]. » Excellentes igitur isti, et omnibus notissimi, stillant dulcedinem, et tanquam melle illita de Christo verba facient, ut quisquis audierit eximia perfusus lætitia exclamet : « Quam dulcia faucibus meis eloquia tua [80] ! » Et quæ sequuntur. Nunquam enim non dulcis est sanctorum sermo iis qui Deo placere cupiunt. Tales itaque, et aptissime quidem, per montes intelliguntur. Colles esse autumamus, illorum præstantiæ paulum cedentes, et vitæ rationibus inferiores : qui tamen et ipsi se extulerunt, et supra alios multum emineat. Hi recens fide initiatorum animis « rationabile, et sine dolo lac [81] » infundunt, alimentumque infantibus convenienes præbent ; perfectorum enim est cibus solidus, lac autem infantibus opportunissimum. Nec vero quoniam infantibus lac infundere norunt, hoc solo eorum virtutem circumscribimus. Cum enim sint idonei, atque adeo quidem, ut, si velint, impertiri possint habitu confirmatioribus cibos solidiores, per dicentem aperte : « Cognosces animas gregis tui [82]. » Itaque divini discipuli, quantumvis sexcentis mandatis, a Christo datis, nobis qui ex gentibus credidimus pro sua auctoritate præcipiant, cavendum a fornicatione, et suffocato, et sanguine. « Visum est enim, inquiunt, Spiritui sancto et nobis, nihil amplius imponere vobis oneris [83]. » Audis quam sit infantibus congruens præceptum, et quasi infirmioribus lacte robur suppeditans ? Aqua etiam intellectuali circumfluere plantatos in domo Domini, ut in atriis Dei efflorescant [84], divinis irrigati lymphis, et supernis cœlestibusque sermonibus pinguefacti, subostendit per illud, « omnes emissiones Juda fluent aquis. » Confitebantur enim a Deo se vocari etiam beati apostoli. Sed primæ quidem intelligibilium aquarum emissiones, omnino sanctis a Deo per 244 Spiritum munera donata fuerint. Secundæ autem velut emissiones aquarum, ab ipsis ad nos profectus sermo, spiritualibus charismatibus nos replens. Fontem autem de domo Domini egredientem, quem porro præter Christum existimabimus? Sic enim Psaltes eum appellat, Patrem et Deum in cœlis alloquens : « Torrente voluptatis tuæ potabis eos ; quia apud te est fons vitæ [85]. » Itaque torrens et fons vitæ Christus. Torrentis autem juncorum meminit propheta, torrentis alicujus scilicet, cui adnascatur copia juncorum.

A σθαί τε τοῦ ἰδίου λαοῦ, καὶ κατισχύσαι μὲν αὐτὸν, ἀποφῆναι δὲ καὶ τῶν ἀνθεστηκότων ἀμείνω, τότε δὴ τὰ μὲν ὄρη « Σταλάξονται γλυκασμὸν, ῥυήσονται δὲ καὶ οἱ βουνοὶ τὸ γάλα, καὶ αἱ τοῦ Ἰούδα ἀφέσεις » τὸ οἰκεῖον ἐκδώσουσι νάμα. Ἀφέσεις δὲ οἶμαι λέγεσθαι τὰς τῶν πηγῶν ἐκδρομὰς, ἢ καθ' ἕτερον τρόπον, οἵπερ ἂν εἶναι λέγοιντο τῶν ὑδάτων ὀχετοί. Καὶ ὄρη μὲν νοηθεῖεν ἂν οἱ πρὸς ὕψος ἀρετῆς ἠρμένοι, καὶ τοῖς αὐχήμασι τῆς ἐξ ἀρετῆς ζωῆς τὸ τῶν ἄλλων ὑπερφέροντες μέτρον, οἱ περίοπτοι, καὶ περιφανεῖς, ὁποῖοι ἦσαν οἱ μαθηταὶ, καὶ πρόγε τῶν ἄλλων ὁ Βαπτιστὴς, περὶ οὗ ὁ Σωτὴρ φησιν, « Οὐκ ἐγείρεται μείζων Ἰωάννου. » Οὗτοι δὴ οὖν οἱ μεγάλοι, καὶ γνωριμώτατοι σταλάζουσι γλυκασμὸν, καὶ οἷον μέλιτι καταχρίοντες τὸν περὶ τοῦ Σωτῆρος ποιήσονται B λόγον, ὡς τῶν μετεσχηκότων ἕκαστον ἐκ περιχαρίας ἀνακραγεῖν, « Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου ; » καὶ τὰ ἑξῆς. Γλυκὺς γὰρ ἀεὶ τῶν ἁγίων ὁ λόγος, παρά γε τοῖς ἀγαπῶσι τὸ εὐαρεστεῖν τῷ Θεῷ. Ὅρη μὲν οὖν οἱ τοιοῦτοι νοηθεῖεν ἂν, καὶ μάλα εἰκότως. Βουνοὺς δὲ εἶναί φαμεν τοὺς τῆς ἐκείνων ὑπεροχῆς βραχὺ μὲν ἡττωμένους, καὶ πολὺ τῶν ἄλλων ὑπερτέλλοντας. Θῦται ταῖς τῶν ἄρτι πεπιστευκότων ψυχαῖς « τὸ λογικὸν, καὶ ἄδολον παρεγχέουσι γάλα, » νηπιοπρεπῆ χορηγοῦντες τροφὴν, τελείων γάρ ἐστιν ἡ στερεὰ, γάλα δὴ νηπίοις τὸ πρεπωδέστατον. Καὶ οὐ δήπου φαμὲν ὡς ἔν γε τῷ δύνασθαι μόνον ἐγχεῖν τοῖς νηπίοις τὸ γάλα, τῆς ἐκείνων δυνάμεως τὸ μέτρον ἐστὶν · ἔχοντες γὰρ, καὶ μάλα ἐπιτηδείως, εἰς τὸ, εἴπερ ἕλοιντο, διανέμειν δύνασθαι C τοῖς τὴν ἕξιν στερεωτέροις τὰ τῶν τροφῶν ἀδρότερα, διά τε λέγοντος, « Γνωστῶς ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου. » Καὶ γοῦν οἱ θεσπέσιοι μαθηταὶ καίτοι μυρίας ὅσας ἐντολὰς δεδωκότος ἡμῖν Χριστοῦ ἐξ ἐθνῶν πιστεύσασιν, οἰκονομικῶς ἐπιστέλλουσι, φυλάξασθαι δεῖν ἀπό τε πορνείας, καὶ πνικτοῦ, καὶ αἵματος. « Ἔδοξε γὰρ, φησὶν, τῷ ἁγίῳ Πνεύματι, καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος. » Ἀκούεις ὅπως νηπιοπρεπές ἐστι τὸ παράγγελμα, καὶ οἷον ἐν ἴσῳ γάλακτι τοῖς ἀσθενεστέροις τὴν ἕξιν χορηγούμενον ; Ὅτι δὲ καὶ ὕδωρ τὸ νοητὸν ἀμφιλαφὲς τε τοῖς ἐν οἴκῳ Κυρίου πεφυτευμένοις, ἵν' ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἐξανθήσειεν θείοις που ἀρδευόμενοι νάμασι, καὶ ἐν τοῖς ἄνωθεν, καὶ ἐξ οὐρανοῦ καταπιαινόμενοι D λόγοις, ὑπεμφαίνει λέγων, ὅτι « Πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα. » Ὡμολόγουν γὰρ παρακαλεῖσθαι παρὰ Θεοῦ καὶ οἱ μακάριοι μαθηταί. Ἀλλ' αἱ πρῶται μὲν τῶν νοητῶν ὑδάτων ἀφέσεις, ἀφέσεις αὗται πάντως ἂν εἶεν αἱ τοῖς ἁγίοις παρὰ Θεοῦ διὰ τοῦ Πνεύματος τῶν ἀγαθῶν χορηγίαι. Δεύτεραι δὲ ὥσπερ ἀφέσεις ὑδάτων οἱ παρ' αὐτῶν εἰς ἡμᾶς εὐρίσκοντο λόγοι, χαρίσμασιν ἡμᾶς ἀναπιμπλάντες πνευματικοῖς. Ἡ δὲ ἐξ οἴκου Κυρίου ἐκπορευομένη πηγὴ τίς ἂν εἴη πάλιν, πλὴν ὅτι Χριστός ; οὕτω γὰρ αὐτὸν καὶ ὁ Μελῳδὸς ὠνόμαζε λέγων πρὸς τὸν ἐν τοῖς οὐρανοῖς Πατέρα καὶ Θεὸν, « Τὸν χειμάρρουν τῆς

[79] Matth. xi, 11. [80] Psal. cxviii, 103. [81] I Petr. ii, 2. [82] Prov. xxvii, 23. [83] Act. xv, 28. [84] Psal. xci, 14. [85] Psal. xxxv, 9.

Digitized by Google

τρυφῆς σου ποτιεῖς αὐτοὺς, ὅτι παρὰ σοὶ πηγὴ ζωῆς.» Οὐκοῦν πηγὴ ζωῆς, καὶ χειμάρρους ὁ Χριστός. Χειμάρρου δὲ σχοίνων μέμνηται μὲν ὁ προφήτης, χειμάρρου τινὸς ᾧ παραπεφύκασι σχοῖνοι πολλαί. Φασὶ δὲ εἶναι τὸν αὐτὸν τῷ χειμάρρῳ τῶν Κέδρων, πρὸς ὃν ὑβρίσθαι φησὶν ὁ εὐαγγελιστὴς τὸν Κύριον, ὁμοῦ τῇ σπείρᾳ ζητοῦντος αὐτὸν τοῦ προδότου μαθητοῦ.

A Volunt eumdem esse, qui torrens Cedrorum, apud quem indignissime tractatum Dominum evangelista narrat, quando eum cum cohorte militari proditor discipulus quæsivit [86].

Ἔστι δὲ οὐκ ἀκαλλὴς ὁ λόγος, εἰ τῷ χειμάρρῳ τῶν σχοίνων παρεικάζομεν τὴν Ἐκκλησίαν, εἰς ἣν ἐκκέκλικεν ὡς ποταμὸς εἰρήνης ὁ Κύριος ἡμῶν, ἣν οἱονεί πως ἀεὶ παραρρεῖ τὰς ἀειθαλεῖς ποτίζων σχοίνους, τουτέστι, τὰς τῶν ἁγίων ψυχάς. Φίλυδρος γὰρ ἀεί πως ἐστὶ, καὶ ἀειθαλὴς ἡ σχοῖνος. Εἰ δὲ δὴ καὶ ὀρῷτο κεντρουμένη, καλῶς ἂν ἔχοι καὶ οὕτως. Οὐ γὰρ ἄκεντρος παντελῶς τῶν ἁγίων ἡ ἀρετή· εἰσὶ B μὲν γὰρ πραότατοι ἐρασταὶ, πλὴν μετὰ τούτου καὶ μαχηταί.

Nec indecorum erit, si torrenti juncorum Ecclesiam comparemus, in quam Dominus noster ut fluvius pacis cursum deflexit [87] : quam quasi perpetuo circumfluit, juncos semper virentes irrigans ; semper enim aquam amat, nec vivere desinit juncus. Et quamvis in cuspidem exeat, etiam sic bene habet. Non enim prorsus cuspide vacat sanctorum virtus. Sunt quidem mansuetissimi, verumtamen cum hoc etiam acres et bellatores.

Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται, καὶ ἡ Ἰδουμαία εἰς πεδίον εἰς ἀφανισμὸν ἐξ ἀδικιῶν υἱῶν Ἰούδα, ἀνθ' ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. Ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικηθήσεται, καὶ Ἱερουσαλὴμ εἰς γενεὰς γενεῶν. Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν, καὶ οὐ μὴ ἀθῳώσω, καὶ Κύριος κατασκηνώσει ἐν Σιών.

Vers. 19-21. *Ægyptus in perditionem erit, et Idumæa in campum desolationis ex iniquitatibus filiorum Juda, pro eo quod effuderunt sanguinem justum in terra sua. At Judæa in æternum habitabitur, et Jerusalem in generationes generationum. Et ulciscar sanguinem eorum, et non mundabo, et Dominus habitabit in Sion.*

ΜΕ'. Ὅσον μὲν ἥκει εἰς τὸ ἐκ τῆς ἱστορίας παραδηλούμενον, ἐκτέτικε δίκας ἡ Αἴγυπτος, ἐστέρηται γὰρ τῆς βασιλείας, Καμβύσου ταύτην τοῦ Κύρου παιδὸς καταλύσαντος, καὶ Ἰδουμαία δὲ τὴν ἐρημίαν ὑπέμεινεν, ὡς καὶ αὐτὰ μαρτυρεῖ τὰ πράγματα.

XLV. Quod ad sensum historicum attinet, punita est Ægyptus, quando Cambyses Cyri filius regnum subegit. Et Idumæa redacta est in solitudinem, quod res ipsa loquitur.

Πλὴν ἐν τούτοις ἔοικεν ὁ προφητικὸς ἡμῖν ὑποφαίνειν λόγος κεκρυμμένην ὁμολογίαν, ἣν ὅτε γέγονεν ἄνθρωπος πεπλήρωκεν ὁ Μονογενής. Ἀεὶ γάρ πως ἡ θεία Γραφὴ μεμελέτηκεν ἐξομοιοῦν τοῖς ἄγαν εἰδωλολάτραις, καὶ εἰς τοῦτο λίαν ἀπονενευκόσι τὰς ἀγέλας τῶν δαιμονίων, καὶ αὐτοὺς δὲ τοὺς ἀεὶ τοῖς ἁγίοις ἀνθεστηκότας. Πάντα δὴ οὖν ἐχθρὸν ἀπολεῖσθαι φησὶν, Αἰγυπτίοις τε καὶ Ἰδουμαίοις ἐξεικασμένον. Ἀσφαλὴς γὰρ ἡ ὑπόσχεσις τοῦ Χριστοῦ, λέγοντος περὶ τῆς Ἐκκλησίας, ὅτι « Πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Ὅτι δὲ πάντως ἔμελλον δίκας ἐξαιτεῖσθαι τῶν εἰς ἀνθρώπους πεπλημμεληκότων αἵ τε πονηραὶ δυνάμεις, καὶ ὅσοι τολμῶσιν ἐκείναις τὰ παραπλήσια, ἢ πρὸς Ἑλληνικὴν ἀπάτην ἀποφέροντές τινας, ἤγουν εἰς ἀδόκιμον καταστρέφοντες νοῦν, διά γε τοῦ διδάσκειν ἐπείγεσθαι τὰ διαστραμμένα, καθίστησιν ἐναργὲς, ταύτης ἕνεκα τῆς αἰτίας ἀφανισθήσεσθαι λέγων τοὺς τῇ Σιὼν πεπολεμηκότας, ἀνθ' ὧν ἐξέχεαν αἷμα ἀθῶον, ἠδικήκασί τε οὐ φορητῶς τοὺς υἱοὺς Ἰούδα, τουτέστι, τοὺς ἁγίους ἐξομολογήσεως ὄντας τέκνα. Διερμηνεύεται γὰρ Ἰούδας « ἐξομολόγησις. » Ἔφη δέ που καὶ ὁ θεόληπτος Δαβὶδ περὶ τῶν ἀνοσίως ἀνηρημένων· « Ὅτι ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη. » Πρὸς δέ γε τὸν Σατανᾶν ὡς ἐν εἰκόνι γραφόμενον τοῦ Ἀσσοὺρ, « Ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρὸς, διότι τὴν γῆν μου ἐμίανας, καὶ τὸν λαόν μου ἀπώλεσας. Οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον. » Οὐκοῦν κατοικήσε-

C Cæterum videntur prophetica verba pactum occultum tegere, quod Unigenitus homo factus implevit. Semper enim divina Scriptura magnis idololatris, et eo vehementer propensis, catervas dæmonum et sanctorum oppugnatores assimilare consuevit. Omnes igitur inimicos perituros vaticinatur Ægyptiis 245 et Idumæis comparatos. Firma est enim Christi promissio de Ecclesia : « Portæ inferi non prævalebunt adversus eam [88]. » Omnino autem pœnas sumptum iri admissorum in homines et malignas potestates, et quotquot illis paria ausi sunt, aut ad Græcorum errores quosdam abducentes, aut in reprobum sensum præcipitantes, dum perversa consectari docent, manifeste tradit, propterea disperditum iri dicens, qui Sion oppugnarunt, quia sanguinem innocentem effuderint, et intolerabiliter filios Juda vexaverint, hoc est, sanctos, filios confessionis, redditur enim Judas, « confessio. » Cæterum alicubi etiam a Deo afflatus David de impiis morte deletis : « Quoniam, inquit, requirens sanguinem eorum recordatus est [89]. » Ad Satanam autem, ut in persona Assur accusatum : « Quemadmodum vestimentum sanguine mistum non erit mundum, sic nec tu mundus eris. Et quia terram meam polluisti, et populum meum perdidisti, non manebis in sempiternum [90]. » Itaque abituros in exitium Sionis adversarios dicit, et Judæam habitatum iri in sempiternum, et Jerusalem in generationes generationum ; non illam vastatam

[86] Joan. XVIII, 12. [87] Isa. LXVI, 12. [88] Matth. XVI, 18. [89] Psal. IX, 13. [90] Isa. XIV, 19, 20.

Digitized by Google

et exustam (siquidem Dominus ac Deus ut ipsa veritas, falsum dicere non potest), sed eam quæ mente comprehenditur potius, cœlestem Jerusalem, supernam et divinam Sion, gloriosam et præclaram civitatem, cujus artifex, et fabricator, et architectus ipse Deus, in quam et nos utinam per Christum perveniamus.

σθαι μὲν εἰς ὄλεθρον τοὺς τῇ Σιὼν πεπολεμηκότας φησί· κατοικηθήσεσθαι δὲ τὴν Ἰουδαίαν εἰς τὸν αἰῶνα, καὶ εἰς γενεὰς γενεῶν τὴν Ἱερουσαλὴμ οὐ τὴν πεπορθουμένην, καὶ ἐμπεπρησμένην, εἴπερ ἐστὶν ἀναμαρτοέπης ὁ Κύριος καὶ Θεὸς ὡς ἀλήθεια, τὴν νοητὴν δὲ μᾶλλον, τὴν ἐπουράνιον Ἱερουσαλὴμ τὴν ἄνω, καὶ θείαν Σιὼν, τὴν εὐκλεᾶ καλλίπολιν, ἧς τεχνίτης, καὶ δημιουργὸς, καὶ τέκτων ὁ Θεὸς, εἰς ἣν καὶ ἡμᾶς ἀφικέσθαι γένοιτο διὰ Χριστοῦ.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΑΜΩΣ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN AMOS PROPHETAM COMMENTARIUS,

CONTINENS TOMOS IV.

—

PROŒMIUM.

I. **246** Amos fuit opilio pastoritiis moribus et institutis educatus. Vixit in solitudine Judææ, quæ versus austrum sita, usque ad fines maris Indici pertinet, et ad Persidem usque porrigitur, in qua gentes quam plurimæ pascunt : est enim propter amplitudinem, irrigationem, herbarumque diversitatem ad ovium greges alendos percommoda. Natus est in vico Thecua, ad imam solitudinem. Et quoniam erat vir bonus et omnis æquitatis amans, prophetiæ spiritu inde cumulatus, prophetavit non Hierosolymis, sed inter eos qui pecuariam faciebant, principio hominum suæ gentis et professionis curam capessens. Deinde in ipsam Bethel venit. Nam Thecue non Juda, sed regno Ephraim continebatur. Ita esse facili negotio etiam ex ipsius verbis planissime cognosces. **247** Prophetavit enim in Bethel, ut dixi, dissipatum iri aras risus, et defecturas cærimonias Israel. Adjicit his : « Et exci-

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Ἀμὼς γέγονεν αἰπόλος ἀνὴρ, καὶ ποιμενικοῖς ἔθεσί τε καὶ νόμοις ἐντεθραμμένος. Ἐποιεῖτο δὲ τὰς διατριβὰς ἐν ἐρήμῳ, τῇ πρὸς νότον τῆς Ἰουδαίων χώρας, ἣ μέχρις ὅρων διήκει θαλάσσης τῆς Ἰνδικῆς, καὶ εἰς τὴν Περσῶν ἐκτείνεται γῆν, μυρία δὲ ὅσα βαρβάρων γένη αὐτὴν καταδόσκεται, ἔχει δὲ λίαν ἐπιτηδείως εἰς τὸ τρέφειν δύνασθαι τὰς οἰῶν ἀγέλας. Ἔμβροχος γὰρ, καὶ πλατεῖα, καὶ πολυειδεῖ τῇ πόᾳ κατεστεμμένη. Ἦν δὲ ὁ Ἀμὼς ἐκ Θεκουὲ κώμης, πρὸς αὐτοῖς κειμένης τοῖς τῆς ἐρήμου ποσίν. Ἐπειδὴ δὲ ἦν ἀνὴρ ἀγαθὸς, καὶ πάσης ἐπιεικείας ἐργάτης, τὸ τῆς προφητείας εὐθὺς κατεπλούτει πνεῦμα, καὶ προεφήτευεν οὐκ ἐν τοῖς Ἱεροσολύμοις, ἀλλ' ἐν αὐτοῖς ἐπὶ τοῖς ποιμνίοις, ἐν ἀρχαῖς τῶν ἐξ ἔθνους τε αὐτοῦ, καὶ μελέτης ἐχόμενος φροντισμάτων. Εἶτα καὶ εἰς αὐτὴν ἀφικόμενος τὴν Βαιθήλ. Καὶ γὰρ ἦν ὁ Θεκουὲ, οὐχ ὑπὸ τὴν Ἰουδαίαν μᾶλλον, ἀλλ' ὑπὸ τὴν Ἐφραὶμ βασιλείαν. Ὅτι δὲ ἀληθεῖς ἡμῖν οἱ περὶ

Digitized by Google

τούτων γεγόνασι λόγοι, καταθρήσεις ἀκονιτὶ, καὶ διὰ τῶν αὐτοῦ πληροφορηθήσῃ λόγων. Προεφήτευε μὲν γὰρ ἐν Βαιθὴλ, ὡς ἔφην, ἀφανισθήσεσθαι λέγων τοὺς βωμοὺς τοῦ γέλωτος, ἐρημωθήσεσθαι δὲ καὶ τὰς τελετὰς τοῦ Ἰσραήλ· καὶ δὴ τούτοις προστιθεὶς, «Καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ἱεροβοὰμ ἐν ῥομφαίᾳ. » Ὁ δέ γε τῆς Βαιθὴλ ἱερεὺς Ἀμασίας. Οὗτος οὖν ἐπέτριζε τῷ προφήτῃ τοὺς ὀδόντας. Εἶτα πέμπει πρὸς Ἱεροβοὰμ βασιλέα Ἰσραὴλ, λέγων· « Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ οἴκῳ Ἰσραὴλ, οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν ἅπαντας τοὺς λόγους αὐτοῦ· διότι τάδε λέγει Ἀμώς· Ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβοὰμ, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. Καὶ εἶπεν Ἀμασίας πρὸς Ἀμώς· Ὁ ὁρῶν βάδιζε ἐκ χώρας εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις. Εἰς δὲ Βαιθὴλ οὐκέτι μὴ προσθῇς τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστὶ, καὶ οἶκος βασιλέως ἐστί καὶ ἀπεκρίθη Ἀμὼς, καὶ εἶπε πρὸς Ἀμασίαν, Οὐκ ἤμην προφήτης ἐγὼ, οὐδὲ υἱὸς προφήτου, ἀλλ' αἰπόλος ἤμην, κνίζων συκάμινα, καὶ ἀνέλαβε Κύριος ἐκ τῶν προβάτων. Καὶ εἶπε Κύριος πρός με, Βάδιζε, προφήτευσον ἐπὶ τὸν λαόν μου τὸν Ἰσραήλ. » Εἵληπτο δὴ οὖν ἐκ ποιμνίων, καὶ προεφήτευεν ἐν Βαιθὴλ, ἐν ᾗ καὶ δάμαλιν ἀπέθετο χρυσῆν ὁ πρῶτος Ἱεροβοὰμ ὁ Ναβὰτ υἱός. Ἐπισημήνασθαι δὲ κἀκεῖνο οἶμαί που χρήσιμον, ὡς ἕτερος ἦν Ἀμὼς ὁ Ἡσαΐου πατήρ. Τίνες γε μὴν καὶ ἐπὶ τίσιν ὅλως οἱ παρ' αὐτοῦ γεγόνασι λόγοι, τῶν προκειμένων ἁψάμενοι σαφηνιοῦμεν ὡς ἔνι.

tabo super domum Jeroboam gladium [91]. » Sacerdos autem Bethel Amasias prophetæ dentes contrivit, quem postea ad Jeroboam regem Israel misit, cum hoc nuntio : « Conjurationes facit contra te Amos in medio domus Israel, non poterit terra sufferre omnes sermones ejus. Quia hæc dicit Amos : In gladio morietur Jeroboam, et Israel captivus ducetur de terra sua. Et dixit Amasias ad Amos : Videns, vade, discede tu in terram Juda, et illic vive, et illic prophetabis; in Bethel autem non ultra adjicies prophetare, quia sanctificatio regis est, et domus regni est. Et respondens Amos dixit ad Amasiam : Non eram propheta ego, neque filius prophetæ ; sed opilio eram, vellicans sycomoros; et assumpsit me Dominus ab ovibus. Et dixit Dominus ad me : Vade et propheta super populum meum Israel [92]. » Assumptus est igitur de gregibus ovium, et prophetavit in Bethel, ubi deposuit vitulum aureum primus Jeroboam, filius Nabat [93]. Puto hoc etiam operæ pretium scire, alium fuisse Amos, patrem Isaiæ. Quid autem et super quibus toto libro prophetarit, ad propositum aggressi, pro facultate demonstrabimus.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΚΕΦΑΛ. Α'.

Λόγοι Ἀμὼς, οἱ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐκ Θεκουὲ, οὓς ἶδεν ὑπὲρ Ἰερουσαλὴμ, ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ, υἱοῦ Ἰωὰς βασιλέως τοῦ Ἰσραὴλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ.

Β'. « Λόγοι Ἀμὼς, οἱ ἐγένοντο ἐν Ἀκκαρεὶμ ἐκ Θεκουὲ, οὓς εἶδεν ὑπὲρ Ἰερουσαλήμ. » Οὗτοι, φησὶν, Ἀμὼς τοῦ ἐκ Θεκουὲ τῆς προφητείας οἱ λόγοι, οἱ γεγόνασιν ἐν Ἀκκαρείμ. Ἰστέον δὲ, ὅτι τὴν τοιάνδε λέξιν, ἤτοι τὸ « ἐν Ἀκκαρεὶμ, » οὐκ οἶδεν ὅλως τῶν Ἑβραίων ἡ ἔκδοσις. Μόνον γὰρ εἰρήκασι τὸ, « λόγοι Ἀμὼς ἐκ Θεκουέ. » Οἵ γε μὴν ἕτεροι τῶν ἑρμηνευόντων ἀντὶ τῶν « ἐν Ἀκκαρεὶμ » τεθείκασιν, *ἐν τοῖς κτηνοτροφείοις*. Οὗτοι τοίνυν οἱ λόγοι Ἀμὼς ἐκ Θεκουὲ, οἵ τινες γεγόνασιν ἐν καιρῷ τοῦ ποιμαίνειν, ἐπὶ καὶ αὐταῖς τῶν προβάτων αὐλαῖς. Ὑπὲρ δὲ αὐτῆς τῆς Ἱερουσαλὴμ οὐκ ἀκοῦσαι μόνον, ἀλλ' ἑωρακέναι φησὶ τοὺς λόγους. Ἐμφανῆ γὰρ τοῖς προφήταις κατέστησεν ὁ Θεὸς ὁμοῦ ταῖς ἀποκαλύψεσι μονονουχὶ καὶ αὐτὰ πρόντα τὰ πράγματα, ὥστε δοκεῖν καὶ ὁρᾷν αὐτοὺς ἤδη πρὶν γενέσθαι τοὺς λόγους, συνθεούσης τάχα που τῆς τῶν ἐκβησομένων θέας, οἷς ἂν λέγῃ Θεός. Πλὴν ἐκεῖνο ζητήσεως ἄξιον, πῶς γὰρ ἂν τις οἰηθείη γενέσθαι τοὺς λόγους ὑπέρ γε τῆς Ἱερουσαλὴμ μόνον, καίτοι διὰ τῆς αὐτοῦ τοῦ προφήτου φωνῆς καταιτιᾶται Θεὸς τόν τε Ἰούδαν καὶ τὸν Ἰσραήλ; Ἔφη γὰρ πάλιν· ὅτι « Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν

TOMUS PRIMUS.

CAP. I.

VERS. 1. *Sermones Amos, qui facti sunt in Accarim ex Thecue, quos vidit super Jerusalem in diebus Oziæ regis Juda, et in diebus Jeroboam filii Joas regis Israel, ante duos annos terræ motus.*

II. « Sermones Amos, qui facti sunt in Accarim ex Thecue, quos vidit super Jerusalem. » Hi sunt, inquit, sermones prophetici Amos Thecuensis, qui facti sunt in Accarim. Sciendum est hujusmodi vocem, « in Accarim, » ab Hebræorum editione prorsus abesse, in qua tantum est his verbis, « sermones Amos ex Thecue. » Alii interpretes pro, « in Accarim, » posuerunt, ἐν κτηνοτροφείοις, id est, locis ubi armenta seu jumenta pascuntur. Sunt igitur hi sermones Amos ex Thecue, seu Thecuensis, qui facti sunt, quo tempore adhuc pastorem agebat, et in ipsis ovium stabulis sive septis. Super ipsa autem Jerusalem non audisse tantum sermones, sed **248** et vidisse se dicit. Deus quippe prophetis una cum revelationibus res manifestas, et tantum non præsentes facit, ut videre sibi videantur sermones, antequam fiant, concurrente fortassis eventuum futurorum visu cum his quæ Deus dixerit. Cæterum illud quæstione dignum, quomodo existimandum factos esse sermones super Jerusalem solum, cum tamen voce ipsius prophetæ Judam et Israel Deus accuset? Ait enim infra : Quia « hæc

[91] Amos VII, 9. [92] Ibid. 10-15. [93] III Reg. XII, 29.

Digitized by Google

dicit Dominus : Super tribus sceleribus filiorum Juda, et super quatuor non convertam eos [94], » etc. Deinde rursum : « Hæc dicit Dominus : Super tribus sceleribus Israel [94a], » et quæ sequuntur : et recensitis scelerum generibus, atrocia comminatur, et ambos quam sæpissime objurgat. Jam igitur quo pacto super Jerusalem tantummodo sermones facti esse intelligi possunt, cum Deus dicat, « Mittam ignem super Judam [95], » etc. Nunc qua ratione respondendum sit consideremus. Dicimus consuesse sanctos prophetas aliquando quidem distincte duas tribus Hierosolymis, Judam et Benjamin, Israel vocare ; rursus aliquando decem tribus, quæ in Samaria, aliter Israel, sive Ephraim nominare, frequentissime enim confundunt. Et quoniam omnes sanguine Israelis oriundi sunt, hoc nomine item duodecim tribus appellant. Quod si forte velint totam nobis Judæorum multitudinem significare, non jam amplius distincte Israelis vocabulum ponunt. Facti sunt igitur sermones Amos prophetæ super omni multitudine Judæ, tum quæ Hierosolymis esset, tum quæ in Samaria. Jam quomodo sint super ipsis dicendum est. Duplex responsum suppeditat. Primum enim introduxit universorum Deum Judæorum Synagogæ peccata commemorantem ; post, eventura ipsis prænuntiantem, et adjecit his bona ex benignitate sua, et fore, ut largissime veniam consequantur, et ad pristinum statum renoventur. Dicit enim rursus idem Amos, ut ex persona Dei : « Verumtamen non in finem conteram domum Jacob, ait Dominus. Quia ecce ego mando, et conteram in omnibus gentibus domum Israel, sicut concutitur triticum in cribro, et non cadet granum super terram [96]. » Prænuntiat autem necessario etiam futuram redemptionem per Christum, et transituros ad renovationem, 249 Dominoque miserante, vitam jucundam victuros. Ait enim rursum sic : « In die illa suscitabo tabernaculum David [97], » etc.

Sed sermones super Jerusalem etiam alio modo intelligi recte possunt. Syriæ enim et Damasci reges, et finitimarum gentium non paucæ Judæorum regionem devastarunt, alias aliæ insurgentes, eamque assedque vertendo hostili more depopulantes, et ex impotenti ira in extremam miseriam conjicientes. His igitur omnibus vastatoribus ejus prophetæ Deum desolationem comminantem, et nefariorum sceleruin pœnas esse exacturum promittentem introduxit. Ergo super Jerusalem, sive super omnem Juda sermones Amos facti sunt. Id quod perspicue apparebit, si tempora prophetiæ perpenderimus. Sequitur enim : « In diebus Oziæ regis Juda, et in diebus Joroboam filii Joas regis Israel, duobus annis ante terræ motum. » Sed objiciet, opinor, quispiam, Quid proderit lectoribus, si curiose et exquisite regum

A ἀσεβείαις υἱῶν Ἰούδα, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, » καὶ ἑξῆς. Εἶτα τούτοις ἐφεξῆς· « Τάδε λέγει Κύριος, Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Ἰσραήλ, » καὶ ἑξῆς. Προσεπενεγκὼν δὲ τῆς ἁμαρτίας τοὺς τρόπους, ἐπηπείλησε τὰ δεινά, καὶ ὡς πλείστῃ, » ὅσῃ κατ' ἀμφοῖν ὁ λόγος αὐτῷ τὴν ἐπίπληξιν ἔχει. Πῶς οὖν ὑπὲρ τῆς Ἱερουσαλὴμ γεγενῆσθαι λοιπὸν νοοῖντ' ἂν οἱ λόγοι, καίτοι Θεοῦ λέγοντος, « Ἐξαποστελῶ πῦρ ἐπὶ Ἰούδαν, » καὶ τὰ ἑξῆς. Τίς οὖν ἔσται τῆς ἀπολογίας ὁ τρόπος, φέρε, διασκεψώμεθα. Φαμὲν οὖν ὅτι ἔθος τοῖς ἁγίοις προφήταις, ποτὲ μὲν διεστα-
B λμένως τὰς δύο φυλὰς, τὰς ἐν τοῖς Ἱεροσολύμοις, Ἰούδαν τε καὶ Βενιαμὶν, Ἰσραὴλ ἀποκαλεῖν, ποτὲ δὲ αὖ τὰς ἐν τῇ Σαμαρείᾳ δέκα φυλὰς, ἑτέρως Ἰσραὴλ ὀνομάζειν, ἤγουν Ἐφραΐμ, ἀδιαφοροῦσι δὲ πλειστάκις. Καὶ ἐπείπερ εἰσὶν οἱ πάντες ἐξ αἵματος Ἰσραὴλ, οὕτως ὀνομάζουσι τὰς δύο, καὶ δέκα φυλάς. Εἰ δὲ ὀή βούλοιντο καὶ ἅπασαν ἡμῖν κατασημῆναι τυχὸν τὴν τῶν Ἰουδαίων Συναγωγὴν, οὐκέτι διεσταλμένως τῷ τοῦ Ἰσραὴλ ὀνόματι κεχρημένους εὑρήσομεν. Γεγόνασι δὴ οὖν τῆς τοῦ Ἀμὼς προφητείας οἱ λόγοι ὑπὲρ πάσης τῆς Ἰουδαίας πληθύος, τῆς τε ἐν Ἱεροσολύμοις, καὶ τῆς ἐν Σαμαρείᾳ. Πῶς δ' ἂν εἶεν ὑπὲρ αὐτῶν, εἰπεῖν ἀναγκαῖον. Ἔστι τοίνυν διττὸς ἡμῖν τῆς ἀπολογίας ὁ τρόπος. Πρῶτον μὲν γὰρ εἰσκεκόμικε τὸν τῶν ὅλων Θεὸν τῆς τῶν Ἰουδαίων Συναγωγῆς ἁμαρτίας ἀφηγούμενον, εἶτα τὰ ἐσόμενα κατ' αὐτοῦ
C προαπηγγελκότα, προσετίθει δὲ τούτοις τὰ ἐξ ἡμερότητος ἀγαθὰ, καὶ ὅτι κατὰ καιρὸν πλείστη τις γενήσεται αὐτῶν φειδὼ, καὶ ἀνακαινισμὸς εἰς τὸ ἀπ' ἀρχῆς. Ἔφη γὰρ πάλιν αὐτὸς ὁ Ἀμὼς, ὡς ἐκ προσώπου τοῦ Θεοῦ· « Ἤλην ὅτι οὐκ εἰς τέλος ἐξαρῶ τὸν οἶκον Ἰακὼβ, λέγει Κύριος. Διότι ἰδοὺ ἐγὼ ἐνετελλόμαι, καὶ λικμιῶ ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον τοῦ Ἰσραὴλ, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν. » Προκαταμηνύει δὲ ἀναγκαίως καὶ τὴν ἐσομένην λύτρωσιν διὰ Χριστοῦ, καὶ ὅτι μεταχωρήσει πρὸς ἀνακαινισμὸν, καὶ ἐν εὐπαθείᾳ ἔσονται κατοικτείροντος Θεοῦ. Ἔφη δὲ οὕτως πάλιν· « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ, » καὶ τὰ ἑξῆς.

Οὐκοῦν ὑπὲρ τῆς Ἱερουσαλὴμ οἱ λόγοι καὶ καθ' ἕτερον ὑπὲρ αὐτῆς νοοῖντ' ἂν εἰκότως. Συρία τε γὰρ, καὶ οἱ Δαμασκοῦ βασιλεῖς, καὶ τῶν ὁμόρων ἐθνῶν
D οὐκ ὀλίγοι τὴν τῶν Ἰουδαίων χώραν διελυμήναντο, ἄλλοτε ἄλλοι κατεξανιστάμενοι, καὶ καταδηοῦντες αὐτὴν ἄγοντές τε καὶ φέροντες, καὶ τὰ ἐξ ἀκρατοῦς θρῶνες ὀργῆς ὡς εἰς ἐσχάτην αὐτοὺς καθικέσθαι καλαικωρίαν. Τούτοις δὴ οὖν ἅπασι τοῖς πεπορθηκόσιν αὐτὴν εἰσκεκόμικεν ὁ προφήτης ἀπειλοῦντα Θεὸν τὴν ἐρήμωσιν. Καὶ δίκην ἔφη πραχθήσεσθαι τῶν ἀνοσίων ἐγχειρημάτων αὐτούς. Οὐκοῦν ὑπὲρ τῆς Ἱερουσαλὴμ, ἤγουν ὑπὲρ πάσης τῆς Ἰούδα συναγωγῆς οἱ τοῦ Ἀμὼς γεγόνασι λόγοι. Εἰσόμεθα δὲ τοῦτο σαφῶς τοὺς τῆς προφητείας βασανίζοντες χρόνους. Κεῖται γὰρ ἐφεξῆς, « Ἐν ἡμέρᾳ Ὀζίου τοῦ βασιλέως Ἰούδα, καὶ ἐν ἡμέραις Ἱεροβοὰμ τοῦ Ἰωὰς

[94] Amos II, 4. [94a] Ibid. 6. [95] Ibid. 5. [96] Amos IX, 8, 9. [97] Ibid. 11.

Digitized by Google

βασιλέως Ἰσραὴλ, πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. » Ἀλλ', οἶμαι, τίς ἐρεῖ, Καὶ τί τὸ τελοῦν εἰς ὄνησιν τοῖς ἐντευξομένοις τὸ χρῆναι περιεργάζεσθαι, καὶ σφόδρα λεπτῶς τῆς βασιλείας τοὺς χρόνους τῶν ἀρτίως ὠνομασμένων, Ὀζίου τε, φημὶ, καὶ μέντοι καὶ Ἱεροβοάμ; Καὶ πρός γε δὴ τοῦτό φαμεν, ὅτι τὸ χρῆμά ἐστιν ἀναγκαῖον, ὅλην ὥσπερ ὠδῖνον ἐφ' ἑαυτῷ τῆς προφητείας οἱονεὶ τὴν περίστασιν. Συρίᾳ τε γὰρ, καὶ Δαμασκῷ, καὶ τοῖς προσοικοῦσι τὴν Ἰουδαίαν Βαρβάροις ὄλεθρον ἀπειλεῖ, καὶ ἐπαναστάσεις, καὶ ἐμπρησμοὺς, καὶ τῶν ὁσίων χρησμῳδημάτων ἐντεῦθεν αὐτῷ γέγονεν ἡ ἀρχή. Δεῖ δὴ οὖν ἄρα τὰς αἰτίας ἀναμαθεῖν τοῦ προστεθεῖσθαι τῆς βασιλείας τοὺς χρόνους, τίνα τε, καὶ ὅσα τὰ ἑκατέρῳ κατωρθωμένα, διεθίω τε ὅπως, καὶ τί τὸ ἐν ἀμφοῖν ἀξιάκουστον. Ἐκκεκλικότες δὴ οὖν εἰς ἀπόστασιν ὅ τε Ἰσραὴλ καὶ Ἰούδας κατὰ πολλοὺς ἐπαιδεύοντο τρόπους. Ποτὲ μὲν γὰρ οἱ Δαμασκοῦ, καὶ Σύρων ἡγούμενοι, κατέτρεχον, καὶ ἐπολιόρκουν τὰς παρ' αὐτοῖς, καὶ κατελῃΐζοντο χώρας· ποτὲ δὲ αὖ Μωαβῖται, καὶ Ἰδουμαῖοι, Γεργέσηνοί τε καὶ Ἐλαμῖται, Ἀζώτιοί τε καὶ οἱ τῆς Ἀκαρὼν οἰκήτορες κατηκίζοντο τὴν Σαμάρειαν, καὶ μέν τοι καὶ τὴν Ἰούδα βασιλείαν, ἀχαλίνοις ὁρμαῖς, καὶ ἁπλήστῳ γνώμῃ χρώμενοι, καὶ εἰς ἐσχάτας ὀργὰς ἀποταυρούμενοι. Καὶ γοῦν κατὰ διαφόρους τόπους τοῦτο δεδρακότας εὑρήσομεν· οἷον βασιλεύοντος Ἀχαὰβ τῆς Σαμαρείας, καὶ ἐπὶ τὸν Ἰσραὴλ. Γέγραπται οὕτως ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν· « Καὶ συνήθροισεν υἱὸς Ἀδὲρ πᾶσαν τὴν δύναμιν αὐτοῦ, καὶ ἀνέβη, καὶ περιεκάθισε Σαμάρειαν, καὶ τριάκοντα καὶ δύο βασιλεῖς μετ' αὐτοῦ. » Ἄθρει δὴ οὖν, ὅτι συνασπιστὰς ἐποιεῖτο κατὰ τοῦ Ἰσραὴλ ὁ τῆς Δαμασκοῦ βασιλεὺς, τουτέστιν, ὁ Ἀδὲρ, ἑτέρους τριάκοντα δύο τῶν προσοίκων ἐθνῶν ἡγουμένους, πεπολεμηκότας οὕτω τὴν γῆν. Ἀλλὰ καὶ ἐν χρόνῳ Ἰωὰς βασιλέως Ἰούδα πεπολέμηκε τὴν Ἱερουσαλὴμ Ἀζαὴλ ὁ Σύρος, ὡς ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν γέγραπται, « ὅτε καὶ Ἔλαβεν ὁ Ἰωὰς πάντα τὰ ἅγια, καὶ πᾶν τὸ ἐν τοῖς θησαυροῖς χρυσίον, καὶ ἀπέστειλε τῷ Ἀζαὴλ, καὶ ἀπέβη ἀπὸ Ἱερουσαλήμ. » Ἔδρων μὲν γὰρ τὰ τοιάδε κατὰ θείαν ὀργὴν, προσκεκρουκότος τοῦ Ἰσραὴλ, διά τοι τὸ ἀπονεῦσαι λίαν, καὶ ἀνεπτοῆσθαι δεινῶς εἰς τὰς τῶν εἰδώλων λατρείας. Πλὴν νικῶντες οἱ ἀλλόφυλοι τῇ τοῦ Θεοῦ δόξῃ διελυμαίνοντο. Φρόντο γὰρ κατὰ σφᾶς οἱ δείλαιοι, τὴν ἐπαμύνουσαν αὐτοῖς ἀτονῆσαι χεῖρα, καὶ τῆς τοῦ Θεοῦ δόξης καθυπερισχύεσθαι τεθαρσήκασι. Καὶ γοῦν ἡσθενηκότες οἱ Σύροι, βραχὺ πολιορκοῦντος Σαμάρειαν τοῦ Ἀδὲρ, πρόφασιν ἐποιοῦντο τῆς κακανδρίας οὐκ ἀληθῆ, λέγοντες, « Θεὸς ὀρέων Θεὸς Ἰσραὴλ, καὶ οὐχὶ Θεὸς κοιλάδων. » Φρόντο γὰρ ὅτι ἐνίκησαν οἱ ἐξ Ἰσραὴλ, ἐν μόνοις τοῖς ὄρεσιν, ἢ ἐν τοῖς βουνοῖς δυναμένου σώζειν Θεοῦ. Ἠττήμεθα δὴ οὖν, φασὶν, « ὅτι δὴ Θεὸς ὀρέων ὁ Θεὸς Ἰσραήλ. » Εἰ δὲ δὴ γένοιτο συνελθεῖν εἰς μάχην ἐν πεδίοις ἐψιλωμένοις, περισόμεθα, πάντως ἀτονοῦντος ἐν κοιλάσι τοῦ Θεοῦ Ἰσραήλ. Ἑλληνικῆς δὲ ταῦτα φρενοβλαβείας ἐγκλή-

jam nominatorum tempora indagaverint, Oziæ videlicet et Jeroboam? Respondemus : Istud necessarium esse, et quasi omnia adjuncta, seu circumstantias prophetiæ continere. Syriæ enim, et Damasco, et circumjectis Judææ barbaris perniciem, et invasiones, et exustiones minatur, sanctorumque vaticiniorum inde principium sumit. Cognoscendæ sunt igitur causæ, cur regni tempora apposuerit, et quænam et quot utrique recte facta, et quomodo vitam exegerint, et si quid de ambobus auditionem meretur. Postquam igitur ad apostasiam defluxerunt Israel et Judas, multis modis in eos animadversum est. Aliquando enim Damasci et Syriæ principes illos incursarunt, eorumque urbes obsederunt et prædas egerunt. Aliquando Moabitæ, et Idumæi, Gergeseni et Elamitæ, Azotii et Accaronitæ Samariam, quinetiam regnum Juda, effrenato impetu et insatiabili cupiditate, extrema iracundia in morem taurorum efferati, fœde lacerarunt. Variis igitur locis eos sævisse certum est : ut regnante Achab super Samaria et Israel. Scribitur enim libro Regum tertio : « Et congregavit filius Ader rex Syriæ omnem exercitum, **250** et ascendit, et obsedit Samariam. Et triginta duo reges cum ipso [98]. » Considera ergo ut Damasci rex socios expeditionis contra Israel sibi asciverit, hoc est, filius Ader alios triginta duos finitimarum gentium duces, qui sic regionem vexarunt. Quin et Joas rege Juda, Azael Syrus Jerusalem hostiliter adortus est, ut in quarto Regum est litteris proditum : « Quando tulit Joas omnia sanctificata, et omne aurum in thesauris inventum, et misit Azaeli, et recessit a Jerusalem [99]. » Faciebant enim hæc secundum divinam iram, quod Israel Deum offendisset; magnopere enim a recto declinaverat, et cultu idolorum mira religione perculsus se involverat. Verumtamen victores alienigenæ de divina gloria detrahebant. Statuebant enim miseri secum, auxiliantem ipsis manum invalidam factam, et ejus honori insolentius insultare audebant. Fracti igitur Syri, postquam Samariam obsidione mox soluta filius Ader cinxerat, ignaviam suam male excusarunt, dicentes : « Deus montium Deus Israel, et non Deus vallium [1]. » Credebant siquidem Israelitas vicisse, quia Deus eorum in montibus duntaxat aut collibus salvare posset. Victi igitur sumus, aiunt, « quia Deus montium Deus Israel. » Si autem pugnemus cum iis in campestribus, et profecto superabimus, cum in vallibus imbecillis sit Deus Israel. Sed hæ Græcæ dementiæ criminationes sunt, et verum ac natura Deum nescientium linguæ protervitas. Quocirca indignabatur adversum alienigenas omnipotens Deus, et meritissimo, quoniam, devicto ab se Israele, ut dixi, diis suis gratias referebant, delirantesque etiam Deum ipsum se vicisse arbitrabantur. Post defunctum Achab, et reges deinceps alios, ejus successores, rex Israel in Samaria creatur Jeroboam filius Joas, alius a primo qui fuit

[98] III Reg. xx, 1 [99] IV Reg. xii. 18. [1] III Reg. xx, 28.

Digitized by Google

filius Nabat, quanquam nomine, animo et impietate illi similis.

Sed ejus temporibus Deus, cui volupe est misereri, Israelem intoleranda afflictione laborantem miseratus, eum ærumna levavit per Jeroboam, tametsi improbum et transgressorem nimis. Adeo enim viribus alienigenis antecelluerunt, ut urbes quoque antecessorum regum temporibus ereptas recuperarent potestatique suæ subjicerent, et vincere olim solitos, incommodis longe plurimis afficerent. In quarto igitur Regum **251** sic est, in tanta calamitate fuisse filios Israel, ut essent paucissimi, et dispersi, nec inveniretur auxiliator : salvatos tamen esse e manu Jeroboam[a]. « E manu, » dixit, pro, « per manum. » Nec enim ipse atterebat Israel, sed pugnabat potius eumque defendebat. Restituit vero Damascum, et recepit terminum Israel, auctusque est ditionibus multis. Regnante Jeroboam rex super Juda Hierosolymis ungitur Azarias, qui et Ozias, æque gentibus infestissimus, et ad eos exagitandos viriliter incumbens, qui Judææ vastitatem intulissent. Fuit enim vir pius et virtutis studiosus. Ubi jam hostes, Deo annuente, domuit, in superbiæ morbum incidit, ac suopte nutu imposterum sibi sacerdotio fungendum decrevit, et ausus est ad ipsum altare ascendere, illique thymiama offerre. Verum Deus illico hominem coercuit. Lepra enim aspersus est, morbo infando et insanabili, ut etiam velut immundus secundum legem Hierosolymis amandaretur, qui posthac sacerdotii munus obire, et rem divinam omnimodis velle peragere, et templum sacrosanctum contaminare desineret. Ita legere est libro quarto Regum[b]. In altero tamen Paralipomenon narratio hujus historiæ est luculentior[c]. De Ozia lepra infecto satis dictum est. Fuisse autem potentem, et in alienigenarum provincias irrupisse, adeoque fortem ac strenuum, ut oppida quoque apud eos ædificaret, et tributa imponeret, ac sceptro illos subderet, quantumvis olim sibi valde placentes, plene docent sacræ Litteræ. Quoniam ergo propheticus sermo in exordio futuræ alienigenarum vastationis meminit, res postulavit, ut regum Oziæ et Jeroboam mentionem faceremus, per quos illi victi sunt, ut jam diximus. Novimus etiam per Assyrios Damascum incensam, qui insuper alienigenarum populos ferro ignique vastarunt[d]; sed cum id postea factum sit, necessario attigimus quæ ab Jeroboam, et ejus temporibus, alienigenis et ipsis quoque Assyriorum ducibus contigerunt. Quia vero apposuit propheta, « duobus annis ante terræ motum, » necesse fuit etiam de lepra Oziæ memorare, qua contactus est, puniente Deo, postquam sacris fungi

ματα, καὶ τῶν οὐκ εἰδότων τὸν ἀληθῆ, καὶ φύσει Θεὸν ἀθυροστομία δεινή. Οὐκοῦν ἠγανάκτει κατὰ τῶν ἀλλοφύλων, καὶ σφόδρα εἰκότως, ὁ πάντα ἰσχὺν Θεὸς, ὅτι καὶ νικῶντες, ὡς ἔφην, τὸν Ἰσραὴλ, τοῖς ἰδίοις θεοῖς ἀνῆπτον τὰ χαριστήρια, καὶ ληροῦντες ᾤοντο καὶ αὐτοῦ κρατῆσαι Θεοῦ, προϊόντος δὲ τοῦ καιροῦ μετὰ τὴν τοῦ Ἀχαὰβ βασιλείαν, καὶ ἑτέρων τινῶν διὰ μέσου, καὶ καθεξῆς, ἀναδείκνυται βασιλεὺς ἐπὶ τὸν Ἰσραὴλ ἐν τῇ Σαμαρείᾳ Ἱεροβοὰμ ὁ τοῦ Ἰωὰς, ἕτερος παρὰ τὸν πρῶτον, ὃς ἦν τοῦ Ναβὰτ, πλὴν ὁμώνυμος ἐκείνῳ, καὶ ὁμογνώμων, καὶ δυσσεβής.

Ἀλλ' ἐν τοῖς χρόνοις τῆς αὐτοῦ βασιλείας ἠλέει λοιπὸν ὁ φιλοικτίρμων Θεὸς ἀφορήτῳ ταλαιπωρίᾳ κατηχθημένον τὸν Ἰσραὴλ, ἠλευθέρου τε τῶν πόνων διὰ χειρὸς Ἱεροβοὰμ, καίτοι πονηροῦ καὶ ἀποστάτου λίαν ὑπάρχοντος. Κατηνδρίσαντο γὰρ οὕτω τῶν ἀλλοφύλων, ὡς καὶ πόλεις παρ' ἐκείνων ἀπεσπασμένας ἐν καιροῖς βασιλέων τῶν παρῳχηκότων ἀνακομίσασθαι πάλιν, καὶ τοῖς ἰδίοις ὑποτεθῆναι σκήπτροις, πλεῖστά τε ὅσα τοὺς πάλαι νικῶντας ἐργάσασθαι κακά. Ἐν γοῦν τῇ τετάρτῃ τῶν Βασιλειῶν γέγραπται, κατατεθλῖφθαι μὲν τοὺς ἐξ Ἰσραὴλ, οὐκ ὄντος τοῦ σώζοντος, ὡς ὀλιγοστοὺς εἶναι, καὶ διεσπασμένους· σεσῶσθαι γε μὴν ἐκ χειρὸς Ἱεροβοάμ. Τὸ δὲ « ἐκ χειρὸς » τέθεικεν, ἀντὶ τοῦ « διὰ χειρός. » Οὐ γὰρ ἦν αὐτὸς ὁ συντρίβων τὸν Ἰσραὴλ, μαχόμενος δὲ μᾶλλον, καὶ προασπίζων αὐτοῦ. Ἐπέστρεψε δὲ τὴν Δαμασκὸν, καὶ ἀπέσπασε τὸ ὅριον Ἰσραὴλ, καὶ δυναστείας εἴργασται πολλάς. Βασιλεύοντος δὲ Ἱεροβοὰμ χρίεται Ἀζαρίας, ὁ καὶ Ὀζίας, βασιλεὺς ἐπὶ τὸν Ἰούδαν ἐν τοῖς Ἱεροσολύμοις. Ὃς οὐδὲν ἧττον ἦν τοῖς ἔθνεσι φορτικώτατος, καὶ νεανικῶς ἐγκείμενος τοῖς πεπορθηκόσι τὴν Ἰουδαίαν. Γέγονε μὲν γὰρ εὐσεβὴς, καὶ φιλάγαθος ἀνήρ. Ἐπεὶ δὲ κεκράτηκε τῶν ἐχθρῶν τοῦ Θεοῦ τὸ νικᾷν ἐπιτρέποντος, νενόσηκε τὴν ὑπεροψίαν, καὶ αὐτοκελεύστοις ᾖει βουλαῖς ἐπὶ τὸ χρῆναι λοιπὸν καὶ ἱερατεύειν Θεῷ, καὶ δὴ καὶ τετόλμηκεν ἐπ' αὐτὸ τὸ θεῖον ἀναβῆναι θυσιαστήριον, καὶ προσαγαγεῖν αὐτῷ τὸ θυμίαμα. Ἀλλ' εὐθὺς αὐτὸν ἤλεγξε Θεός. Λέπρᾳ γὰρ κατεστίζετο, δεινῷ τε καὶ ἀνιάτῳ πάθει, ἵνα καὶ ὡς ἀκάθαρτος κατὰ νόμον ἐκπέμπηται τῆς Ἱερουσαλὴμ, ἀποπαύσαιτό τε λοιπὸν καὶ ἱερατεύειν Θεῷ, καὶ τῆς παρανόμως ἐπιτετηδευμένης ἱερουργίας αὐτῷ, καὶ τοῦ τὸν θεῖον καταμιαίνειν ναόν. Ταῦτα δέ φησι τὸ Γράμμα τὸ ἱερὸν ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν. Ἐν δὲ τῇ δευτέρᾳ τῶν Παραλειπομένων ἰσχνοτέρα κεῖται ἡ περὶ τούτων ἀφήγησις. Περὶ μὲν οὖν τοῦ λελεπρῶσθαι τὸν Ὀζίαν ἀπόχρη ταυτί. Ὅτι δὲ γέγονεν ἀνὴρ δυνατὸς, καὶ ταῖς τῶν ἀλλοφύλων ἐπεστράτευσε χώραις, καὶ τοσοῦτος γέγονεν εἰς ἀλκὴν, ὡς καὶ ἀναδείμασθαι πόλεις παρ' αὐτοῖς, καὶ δασμολογίαν ἐπιθεῖναι, καὶ σκήπτροις ἰδίοις ὑπενεγκεῖν, καίτοι μεγάλα φυσῶντάς ποτε, δεδίδαχεν ἀρκούντως τὸ Γράμμα τὸ ἱερόν. Οὐκοῦν, ἐπειδήπερ ὁ προφητικὸς ἡμῖν λόγος εἰσκεκόμικεν ἐν ἀρχαῖς τὴν ἐσομένην κατὰ τῶν ἀλλοφύλων ἐρήμωσιν, ἀναγκαία γέγονεν ἡ μνήμη τῆς βασιλείας Ὀζίου τε καὶ Ἱεροβοὰμ, νενίκηνται γὰρ δι' αὐτῶν ὡς προλαβόντες εἰρήκαμεν. Οἶδα μὲν οὖν ὅτι καὶ διὰ χειρὸς Ἀσσυρίων ἐμπέπρησται Δαμασκὸς, δεδῄωνται δὲ οὐδὲν ἧττον καὶ τὰ τῶν ἀλλοφύλων γένη. Ἐπειδὴ

[a] IV Reg. xiv, 26, 27. [b] IV Reg. xv, 5. [c] II Paral. xxvi, 19. [d] IV Reg. xvi, 9.

Digitized by Google

δὲ τούτῳ ἐστὶν ἐκεῖνα μεταγενέστερα, προσάψομεν ἀναγκαίως τῷ τε Ἱεροβοὰμ, καὶ τοῖς ἐκείνου καιροῖς τὰ τοῖς ἀλλοφύλοις συμβεβηκότα, καὶ αὐτοῖς δὲ οὐδὲν ἧττον τοῖς τῶν Ἀσσυρίων καθηγηταῖς. Ἐπειδὴ δὲ προστέθεικεν ὁ προφήτης « πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ, » μνήμην ἀναγκαίως καὶ τοῦ λελεπρῶσθαι τὸν Ὀζίαν πεποιήμεθα. Ἐπειδὴ γὰρ ἱερατεῦσαι τετόλμηκε παρανόμως, λελέπρωται μὲν ἐλέγχοντος Θεοῦ, κατεδονήθη δὲ σεισμῷ τὰ Ἱεροσόλυμα τοῖς τὸ τηνικάδε Θεοῦ τὴν ἰδίαν ὀργὴν ὑπεμφαίνοντος.

A contra legem non dubitavit. Contremuit enim Hierosolyma, incolis iram suam Deo ostendente.

Καὶ εἶπε, Κύριος ἐκ Σιὼν ἐφθέγξατο, καὶ ἐξ Ἰερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ, καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων, καὶ ἐξηράνθη κορυφὴ τοῦ Καρμήλου.

252 VERS. 2. *Et dixit : Dominus de Sion locutus est, et de Jerusalem dedit vocem suam, et luxerunt pascua pastorum, et exsiccatus est vertex Carmeli.*

Γ'. Ὅλος ἡμῖν ἐν τούτοις ὁ τῆς προφητείας διαφαίνεται σκοπὸς, καὶ τοῦ παντὸς χρησμῳδήματος ὅρος ὥσπερ τις, καὶ προαφήγησις, ἀσαφείᾳ πολλῇ κατεσκιασμένη νοοῖτ' ἂν εἰκότως ἡ τοῦ προκειμένου δύναμις· πεποίηται μὲν γὰρ ὡς ἐξ ὁμοιότητός τε καὶ μεταφορᾶς ὁ λόγος, καὶ ὡς ἐκ τοῦ πεφυκότος συμβαίνειν ταῖς εὐπρέμνοις τῶν ὀρῶν κορυφαῖς, ἢ τοῖς εὐφιλωμένοις τῶν πεδίων ἔσθ' ὅτε. Ὄρη μὲν γὰρ καίτοι δρυμοῖς κομῶντα, καὶ ξύλοις, πεδιὰς δὲ αὖ πολλῇ καὶ ἀμφιλαφεῖ τῇ πόᾳ κατεστεμμένη, καταφθείροντός τινος ἢ λοιμοῦ τυχὸν, ἤγουν ἑτέρου του τῶν ἐξ ἀέρος ἀῤῥωστημάτων, ἀδοκήτως αὐαίνεται. Διαπίπτει δὲ οὕτω καὶ τὰ ἀνθρώπινα, καὶ κατασκήπτουσιν ἔσθ' ὅτε πόλεων καὶ χωρῶν πικραὶ, καὶ δύσοιστοι συμφοραὶ, διολλύουσαι, καὶ καταφθείρουσαι μικρόν τε καὶ μέγαν. Τίνος γὰρ ἂν φείσαιτο πολεμίων ξίφος, ἢ, φέρε εἰπεῖν, λοιμός ; Ἄρδην ἀποκείρει καὶ τὸν ἐν πλούτῳ, καὶ δόξαις, καὶ δυναστείαις διαφανῆ, καὶ τὸν ἄσημόν τε καὶ κατερῤῥιμμένον. Γέγονε τοίνυν τῷ προφήτῃ νυνὶ πρέπων ὅτι μάλιστα τοῖς αὐτῷ κατειθισμένοις ὁ λόγος. Ἦν γὰρ, ὡς ἔφην, αἰπόλος, καὶ ποιμαίνεται τὴν τροπὴν ὡς ἐκ τοῦ καταφθείρεσθαι πολλάκις τὰς τῶν θρεμμάτων νομάς. Τίς οὖν ὁ τῶν εἰρημένων ἀληθέστερος νοῦς; Ἐφθέγξατο, φησὶν, ἐκ Σιὼν ὁ Κύριος, ὡς ἐξ ἰδίου τόπου, καὶ ἐξ Ἰερουσαλὴμ, ὡς ἐκ νεμηθείσης αὐτῷ, ἔστι μὲν γὰρ οὐκ ἐν τόπῳ τὸ ἀσώματον. Ἐπειδὴ δὲ ἦν ἐν τοῖς Ἱεροσολύμοις ὁ διαβόητος ἐκεῖνος ναὸς, ἐδόκει πως ἴδιος ὑπάρχειν ὁ χῶρος αὐτοῦ, κατά γε τὴν τῶν ἀρχαιοτέρων ὑπόληψιν, μικρὰ φρονούντων ἔτι περὶ Θεοῦ. Ἀντὶ δὲ τοῦ « ἐφθέγξατο, » τέθεικε τῶν Ἑβραίων ἡ ἔκδοσις « ὠρύσατο, » ἤτοι ἐβρυχήσατο, τὸν λεόντων νόμον. Οὗ δὴ γεγονότος, « Ἐπένθησαν, φησὶν, αἱ νομαὶ τῶν ποιμένων. » Νομὰς δὲ ποιμένων τὰ τῶν ἀλλοφύλων ἔθνη φησὶ, καθάπερ τισὶ ποιμέσι τοῖς αὐτῶν κρατοῦσιν ὑποστρωμένα, οἳ πρὸς πᾶν ὁτιοῦν τῶν κατὰ γνώμην αὐτοῖς ἀγουσί τε καὶ φέρουσι τοὺς ὑπὸ χεῖρας λαούς. « Ἐπένθησαν » τοίνυν, τουτέστιν, ἐν κατηφείαις, καὶ ἐν παντὶ γεγόνασι κακῷ. Γίνεται γὰρ πένθος ἐπὶ νεκροῖς. Αἴτιον δὲ τῆς συμφορᾶς αὐτοῖς τὸ καταβρυχήσασθαι τὸν Θεὸν, καὶ οἷον ἀπειλῆσαι τὸν ὄλεθρον. « Λέων γὰρ ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται ; » Πλὴν οὐ μόνον ἐπένθησαν αἱ νομαὶ τῶν ποιμνίων, ἐξηράνθη δὲ πρὸς τούτῳ καὶ ἡ κορυφὴ τοῦ Καρμήλου, τουτέστι, τὰ Ἱεροσόλυμα. Κάρμηλος μὲν γὰρ ὄρος ἐστὶν ἐν τῇ τῶν Ἰουδαίων κειμένου χώρᾳ, ἐν ᾧ καὶ κατῴκησεν ὁ Θεσβίτης Ἠλίας. Κα-

III. In his verbis totus prophetiæ scopus nobis elucescit, et vaticinii universi quasi terminus, propositorumque verborum sententia, merito ut quædam prægrediens narratio, obscuritate multa obumbrata accipiatur. Constat enim similitudine quadam et metaphora oratio, ceu ex eo quod nonnunquam jugis montium arbustis florentibus, aut campis nudatis solet evenire. Montes enim, quamvis silvis et arboribus comati, et planities multo et denso gramine convestita, corrumpente aut peste fortasse, aut alia cœli lue, repente exarescunt. Sic etiam res humanæ dilabuntur, et interdum urbes ac regiones acerbæ calamitates et vix tolerabiles opprimunt, quæ magna juxta ac parva perdunt, atque e medio tollunt. Cui enim aut hostilis gladius, quæso, aut potius pestilentia parcat? Funditus demetit tam divitiis, gloria et potentia præcellentem, quam obscurum atque abjectum. Propheta igitur nunc quam accommodatissime consueta sibi locutus est. Pascebat enim oves, ut diximus, et quoniam pascua pecorum sæpe corrumpuntur, inde similitudinem est aucupatus. Quis ergo erit verborum verior sensus? Locutus est, inquit, ex Sion Dominus, ut ex loco proprio et ex Jerusalem, ut sibi attributo ; non enim quod corpore vacat, loco continetur. Quia vero Hierosolymis erat templum illud celebre, videbatur quodammodo locus illius proprius, quod veteres opinabantur, quia humilia adhuc de Deo sentiebant. Pro, « locutus est, » Hebræa editio habet « ululavit, » sive, « rugiit, » leonum more videlicet. Quo facto, « Luxerunt, inquit, pascua pastorum. » Quo nomine alienigenarum gentes intelligit, principibus suis tanquam pastoribus quibusdam subjectas, qui ad omnia ipsis collibita populos subjectos rapiunt aguntque. « Luxerunt » igitur, hoc est, in mœroribus et malis omnibus versati sunt Luctus enim super mortuis suscipitur. Causa autem miseriarum ipsis, quod Deus rugiisset, et perniciem illis quasi minatus esset. « Leo rugiet, quis non timebit [a] ? » Verumenimvero non modo luxerunt pascua, **253** insuper et vertex Carmeli exsiccatus est, puta, Hierosolyma. Carmelus enim mons est Judææ, in quo et Elias Thesbites habitavit. Frequenter autem tellus Judæorum Carmeli vocabulo indicatur : quale est, quod voce alterius prophetæ ad filios Israel a Deo dicitur : « Et induxi vos in Carmelum, ut comederetis bona ejus et fructus ejus. Et ingressi estis, et contaminastis terram meam, et hæredita-

[a] Amos III, 8.

Digitized by Google

tem meam posuistis in abominationem [7]. » Quandoquidem igitur inter Judææ civitates nobilior et illustrior Hierosolyma dicta est, ipsam Carmeli verticem appellat, ut gloria exaltatam, ut excellentia præstantem, ut præter alias conspicuam tum propter divinum templum, tum propter eos qui ex tribu Juda olim ibi regnaverunt. Solent autem sancti prophetæ verba sua obscuritatibus involvere, propter immoderatam audientium iram; non enim sine integumentis eos loqui paterentur, nimium quantum audacia furentes, et illos increparent ac dicerent : Alia nobis loquimini, et annuntiate nobis aliam fabulam.

A ταση μαίνεται δὲ πολλάκις ἡ τῶν Ἰουδαίων γῆ διὰ τῆς τοῦ Καρμήλου προσηγορίας. Ὅπερ ἐστὶ τὸ διὰ φωνῆς ἑτέρου προφήτου πρὸς τοὺς υἱοὺς Ἰσραὴλ εἰρημένον παρὰ Θεοῦ· « Καὶ εἰσήγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον τοῦ φαγεῖν τὰ ἀγαθὰ αὐτοῦ, καὶ τοὺς καρποὺς αὐτοῦ, καὶ εἰσήλθετε, καὶ ἐμιάνετε τὴν γῆν μου, καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. » Ἐπειδὴ τοίνυν τῶν ἄλλων πόλεων τῶν κατὰ τὴν Ἰουδαίαν ἐπισημοτέρα, καὶ διαφανὴς ὠνόμασται τὰ Ἱεροσόλυμα, κορυφὴν αὐτὰ τοῦ Καρμήλου φησὶν, ὡς ἐπηρμένην ἐν δόξῃ, ὡς προὔχουσαν ἐν ὑπεροχῇ, ὡς περίοπτον παρὰ τὰς ἄλλας, διά τε τὸν θεῖον ναὸν, καὶ τοὺς ἐκ φυλῆς Ἰούδα κατὰ καιρὸν βασιλεύοντας. Ἔθος δὲ τοῖς ἁγίοις προφήταις καταχρύπτειν ταῖς ἀσαφείαις τοὺς λόγους, διὰ τὸ ἀχάλινον εἰς ὀργὴν τῶν ἀκροωμένων. Οὐ γὰρ ἂν ἠνέσχοντο λαλούντων ἀναφανδὸν πολὺ λίαν ἀνεπτοημένοι πρὸς θράσος, καὶ τοῖς ἁγίοις προφήταις ἐπιτιμῶντες, καὶ λέγοντες· Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἑτέραν πλάνησιν.

VERS. 3-5. *Et dixit Dominus : Super tribus impietatibus Damasci, et super quatuor non convertam eum, eo quod secuerint serris ferreis in utero habentes in Galaad. Et oriri faciam ignem in domum Azael, et devorabit fundamenta filii Ader. Et conteram vectes Damasci, et disperdam habitantes ex campo Ὥν, et concidam tribum ex viris Charran, et captivabitur populus Syriæ inclytus, dicit Dominus.*

B *Καὶ εἶπε Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Δαμασκοῦ, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτὸν, ἀνθ' ὧν ἔπριζον πρίοσιν σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν ἐν Γαλαάδ· καὶ ἐξαποστελῶ πῦρ εἰς τὸν οἶκον Ἀζαὴλ, καὶ καταφάγεται θεμέλια υἱοῦ Ἀδέρ. Καὶ συντρίψω μοχλοὺς Δαμασκοῦ, καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου Ὥν, καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν Χαρράν, καὶ αἰχμαλωτισθήσεται λαὸς Συρίας ἐπίκλητος, λέγει Κύριος.*

IV. Divinus Moyses Deum ut bonum et patientem admiratur, idque rectissime. Postquam enim Israel vitulum conflavit in solitudine, ac stulte dixit : « Hi sunt dii tui, Israel, qui te eduxerunt de terra Ægypti [8], » non potuit in Dei offensionem non incurrere. Sed ubi exitium ipsis minatus est semel, tum C supplex accidens Moyses rogavit, atque etiam persuasit Opifici, ut reis ignosceret, et carmen gratiarum actionis obtulit, in hæc verba : « Domine Deus clemens et misericors, patiens et multæ miserationis, et justitiam servans, et misericordiam faciens in millia, auferens iniquitates, et injustitias, et peccata. Et reum non purificabit, **254** inducens peccata patrum super filios, et super filios filiorum in tertiam et quartam generationem [9]. » Hoc populus Judæorum non bene intellexit. Putabant enim Deum esse adeo durum, et inexorabilem, et iræ retinentem, ut filiis filiorum delicta patrum imponeret. Quamobrem ipsi in sermonibus hoc dictitabant, aientes : « Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt [10]. » Idcirco Deus D ad Ezechielem prophetam : « Fili hominis, quid vobis parabola hæc in terra Israel? dicentes : Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt? Vivo ego, dicit Dominus, quoniam non dicetur ultra hæc parabola in Israel. Quia omnes animæ meæ sunt, quemadmodum anima patris, sic et anima filii. Anima quæ peccaverit, ipsa morietur. Filius non portabit iniquitatem patris sui, nec pater filii [11]. » Quomodo enim adhuc patiens et

Δ'. Ὁ θεσπέσιος Μωσῆς ὡς ἀγαθόν τε καὶ ἀνεξίκακον καταθαυμάζει Θεὸν, καὶ μάλα εἰκότως. Ἐπειδὴ γὰρ μεμοσχοποίηκε κατὰ τὴν ἔρημον ὁ Ἰσραὴλ, ἔρρηται φληνάφως, « Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵ τινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, » προσεκέκρουκε μὲν ἀναγκαίως· ἐπειδὴ δὲ ὀλοθρεύσειν αὐτοὺς εἰσάπαξ ἠπείλει Θεὸς, εἶτα προσέπιπτέ τε καὶ ἐλιπάρει Μωσῆς, καὶ μὴν καὶ ἀνεῖναι τοῖς ἡμαρτηκόσιν ἀνέπειθε τὴν δίκην τὸν Δημιουργὸν, καὶ χαριστηρίους ᾠδὰς ἀνετίθει, λέγων· « Κύριος ὁ Θεὸς οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινὸς, καὶ διακαιοσύνην διατηρῶν, καὶ ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας, καὶ ἀδικίας, καὶ ἁμαρτίας. Καὶ οὐ καθαριεῖ τὸν ἔνοχον, ἐπάγων ἀνομίας πατέρων ἐπὶ τέκνα, καὶ ἐπὶ τέκνα τέκνων, ἐπὶ τρίτην καὶ τετάρτην γενεάν. » Τοῦτο νενοήκασιν οὐκ ὀρθῶς τῶν Ἰουδαίων οἱ δῆμοι. Ἔρροντο γὰρ εἶναι Θεὸν σκληρὸν οὕτω, καὶ ἀτεράμονα, καὶ μακρὸν εἰς ὀργὰς, ὡς τέκνοις τέκνων ἐπιφέρειν τὰ τῶν πατέρων ἐγκλήματα. Καὶ γοῦν αὐτὸ τοῦτο διαγγέλλοντες ἔφασκον, « Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν. » Ταύτῃ τοι Θεὸς τῷ προφήτῃ φησὶν Ἰεζεχιήλ· « Υἱὲ ἀνθρώπου, τί ὑμῖν ἡ παραβολὴ αὕτη ἐν τῇ Ἰσραὴλ, » λέγοντες, « Οἱ πατέρες ἔφαγον ὄμφακα, καὶ οἱ ὀδόντες τῶν τέκνων ἐγομφίασαν; Ζῶ ἐγὼ, λέγει Κύριος, ὅτι οὐ μὴ γένηται ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ Ἰσραήλ. Ὅτι πᾶσαι αἱ ψυχαί μού εἰσιν, ὃν τρόπον ἡ ψυχὴ τοῦ Πατρὸς, οὕτω καὶ τοῦ υἱοῦ. Ψυχὴ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται. Ὁ δὲ υἱὸς οὐ μὴ λήψεται τὴν ἁμαρτίαν τοῦ πατρὸς αὐτοῦ, οὐδὲ ὁ πατὴρ

[7] Jer. II, 7. [8] Exod. XXXII, 4. [9] Exod. XXXIV, 6, 7. [10] Ezech. XVIII, 2. [11] Ibid. 3, 4, 20.

Digitized by Google

τοῦ υἱοῦ. » Πῶς γὰρ ἔτι μακρόθυμος, καὶ πολυέλεος ὁ τῶν ὅλων Δεσπότης, εἰ μὴ ἀνίησιν ἁμαρτίας, καὶ καθαρίζει τὸν ἔνοχον, παρατείνει δὲ μᾶλλον τὴν ἀγανάκτησιν ἐπὶ τρίτην, καὶ τετάρτην γενεάν; Τίς οὖν ὁ λόγος; Ἔστι μὲν οὖν ἀνεξίκακος, ὡς ἔφην, καὶ ἀσυγκρίτως ἀγαθὸς, καὶ οὐκ εὐθὺς τοῖς ἡμαρτηκόσιν ἐπάγει τὴν κόλασιν. Ὑποτίθεται δὲ, καὶ εἰς δευτέραν γενεὰν, εἴ τάχα τις παρεισβαλοῦσα μετάγνωσις ἀνακόψειε τὴν ὀργήν. Ἀλλ' εἰ μὴ τοῦτο γένοιτο τυχὸν, οἱ δὲ ἐκ τοῦ πρώτου τρίτοι τε καὶ τέταρτοι τοῖς ἴσοις, ἢ καὶ τοῖς ἔτι χείροσιν ἐναλοῖεν κακοῖς, καὶ προγονικῆς δυσσεβείας εὑρίσκοιντο μιμηταὶ, τότε δὴ τότε λοιπὸν ἐπάγει τὰς δίκας, ἀποχρῶσαν τῷ γένει τὴν ἐπὶ τοῖς ἤδη παρῳχηκόσιν ἀνεξικακίαν ἐπιδιδοὺς, τουτέστι, τὸ ἐπιφέρειν ἁμαρτίας πατέρων ἐπὶ τρίτην, καὶ τετάρτην γενεάν. Ἂρ' οὖν, φησὶ, μακροθυμήσας τῇ Δαμασκῷ πλειστάκις, οὐκ ἀγανακτήσαιμι λοιπὸν, καὶ σφόδρα εἰκότως, ἐπὶ τρισὶ καὶ τέσσαρσιν ἁμαρτίαις; Τί γὰρ δεδράκασι; Πολλὰ μὲν καὶ ἕτερα. Πλὴν τῆς ἄγαν ὠμότητος ἀποτιοῦσι δίκας· « Οὐκ ἀποστραφήσομαι γὰρ αὐτούς, ἀνθ' ὧν ἔπριζον πρίσι σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν ἐν Γαλαάδ. » Ἔστι μὲν οὖν ἡ Γαλαὰδ πολίχνη τῆς Ἰουδαίας, ἐν μεθορίῳ τῆς Παλαιστινῶν κειμένη. Ταύτην οἱ Σύροι προκατελάβοντο, καὶ πανωλεθρίᾳ διέφθειραν, πρίσι τέμνοντες σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας, καὶ ὁμοῦ νηπίοις ὠμὰ γυναικῶν κτείνοντες ἔμβρυα. Πρίονας δὲ σιδηροῦς τοὺς τῶν ἁμαξῶν ὀνομάζει τροχοὺς, οἷς καταλεπτύνειν ἔθος τὴν ἅλω τοῖς Σύροις. Καὶ γοῦν καὶ διὰ φωνῆς Ἡσαΐου φησί που Θεὸς πρὸς τὴν τῶν Ἰουδαίων Συναγωγήν· « Ἰδοὺ ἐποίησά σε ὡς τροχοὺς ἁμάξης, ἀλοῶντας, καινοὺς, πριστηρειδεῖς. » Ὅμοιον ὡς εἰ λέγοι τυχὸν πρὸς τὴν Δαμασκόν· Καταλοήσω σου τὴν δίκην, καθὸ κατηλόησας, καὶ συνέτριψας τοὺς ἐν Γαλαὰδ, ὡς μηδὲ αὐτῶν φείσασθαι τῶν ἔτι κατὰ γαστρὸς, οἷς ὁ παρὰ πάντων ἔλεος ἀκολουθεῖ, καὶ ὀφείλεται. Ὅτι δὲ ὠμῶς, καὶ ἀγρίως τοῖς ἐξ Ἰσραὴλ, κατεχρήσαντο τῶν ἐκ Δαμασκοῦ τινες, ἀναμάθοις ἂν ἀκονιτὶ τοῖς Ἐλισσαιὲ τοῦ προφήτου λόγοις προσεσχηκώς. Ἀφίκετο μὲν γὰρ εἰς τὸν Δαμασκόν. Ἐπειδὴ δὲ συνήντησε τῷ Ἀζαὴλ, ἀῤῥωστοῦντος ἔτι τοῦ Ἀδὲρ, « Ἔκλαυσε, φησὶν, ὁ ἄνθρωπος τοῦ Θεοῦ. Καὶ εἶπεν Ἀζαὴλ, Τί ὅτι ὁ κύριός μου κλαίει; Καὶ εἶπεν, Οἶδα ὅσα ποιήσεις τοῖς υἱοῖς Ἰσραὴλ κακά. Τὰ ὀχυρώματα αὐτῶν ἐξαποστελεῖς ἐν πυρὶ, καὶ τοὺς ἐκλεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς, καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις, καὶ τὰς ἐν γαστρὶ ἐχούσας αὐτῶν ἀναῤῥήξεις. » Ἐπειδὴ δὲ ταῦτα δέδρακε κατὰ τῆς Γαλαὰδ ἡ Δαμασκὸς, μᾶλλον δὲ καὶ κατὰ πάσης τῆς τῶν Ἰουδαίων χώρας, καταφλέξειν ἀπειλεῖ τὸν οἶκον Ἀζαὴλ, καὶ Ἀδὲρ, καὶ συντρίψειν μοχλοὺς Δαμασκοῦ. Πέπρακται μὲν ταῦτα διὰ μὲν Ὀζίου, καὶ Ἱεροβοὰμ ἀναμέρος, καὶ κατὰ καιρούς· εἶλόν τε γὰρ καὶ αὐτοὶ τὴν Συρίαν, καὶ νενικήκασι κατακράτος· χρόνου δὲ προϊόντος, καὶ παρὰ βασιλέως Ἀσσυρίων. Εἶτά φησι, « Καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου Ὤν. » Ὤν οἱ προφῆται τὴν Βαιθὴλ ὀνομάζουσιν, ἐν ᾗ τὴν δά-

A multum misericors universorum Dominus, si peccata non dimittit, nec reum purgat; sed indignationem potius in tertiam et quartam generationem extendit? Quæ ratio est igitur? Patiens est, ut dixi, et bonus bonitate incomparabili, nec peccantes statim punit; differt autem etiam in alteram generationem, si qua forte resipiscentia subingressa, iram divinam inhibuerit. Id si non contigerit, sed a primis tertii et quarti paribus aut etiam majoribus in sceleribus deprehensi, et avitæ impietatis imitatores fuerint, tunc nimirum jam pœnas infert, postea quam generi sufficientem propter præterita patientiam indulsit. Hoc est inducere peccata patrum in tertiam et quartam generationem. Ait igitur, cum Damascum peccantem sæpenumero leni animo pas-
B sus sim, nonne justissime in posterum indigner super tribus et quatuor peccatis? Quid porro fecerunt? Multa quidem et alia; verumtamen magnæ cujusdam sævitiæ pœnas sustinebunt. « Non enim convertam eos, quoniam secuerunt serris ferreis prægnantes Galaad. » Oppidulum est Galaad in confinibus Palæstinæ situm. Hoc Syri occupaverant, funditusque perdiderant, ipsas etiam gravidas mulieres serris dissecantes, et cum infantibus etiam fetus adhuc imperfectos interimentes. Serras ferreas curruum rotas nominat, quibus aream terere Syris mos est. Itaque et ore Isaiæ alicubi Deus Judæorum Synagogam sic alloquitur: **255** « Ecce feci te quasi rotas plaustri triturantes novas, in
C serrarum modum [12]. » Quasi Damascum ita compellet: Triturabo pœnam tuam sicut tu triturasti et contrivisti incolas Galaad, ut nec in utero adhuc latentibus parceres, quibus ab omnibus misericordia tribuitur et debetur. Crudeliter autem et immaniter a Damascenis quibusdam tractatos esse Israelitas facile discas, si Elisei prophetæ verbis attendas. Venit enim Damascum. Ut autem occurrit Azaeli, adhuc ægrotante filio Ader (Benadab), « Flevit homo dei, » ut Scriptura inquit. « Et dixit Azael, quare Dominus meus flet? Et respondit, Quia scio quæcunque facturus es filiis Israel mala. Tu civitates eorum munitas succendes igne, et electos eorum interficies gladio, et parvulos eorum allides, et prægnantes eorum divides [13]. » Quoniam
D igitur Galaad hunc in modum affecit Damascus, seu totam Judæorum regionem potius, exusturum minatur domum Azael et Ader, et contriturum vectes Damasci: quæ facta sunt per Oziam et Jeroboam seorsum et diversis temporibus. Nam et ipsi Syriam invaserunt, et armis devicerunt, quod et progressu temporis Assyriorum rex fecit. Deinde ait: « Et disperdam habitantes ex campo ὦν. » Prophetæ hoc nomine Bethel significant, ubi exsecrandus Jeroboam vitulum aureum deposuit. Sed quia ex eo tota regio deinceps idola coluit, sic eam nominare consueverunt. Habitantes igitur in terra et campo ὦν, sive ματαίων, vanorum, hoc est, ido-

[12] Isa. xli, 15. [13] IV Reg. viii, 12.

Digitized by Google

lorum (sic enim interpretati sunt alii), delebo et disperdam, inquit. Nihilominus concidam tribum ex viris Charran, quæ est urbs parva et propinquissima Damasco, incolas habens bellicosissimos. In captivitatem præterea ductum iri prædicit ἐπίκλητον Syriæ populum, aut valde celebratum, aut conductitium, et ab ipsis ad auxilia collectum. Mercede enim alienigenas finitimos conducebant, ut dixi, Judææ bellum illaturi. Ergo ἐπίκλητον, id est, aliunde advocatum et advenam. Sciendum enim Hebræam editionem pro, « populus Syriæ, » habere, « Cyrenes. » Syri enim fuerunt Cyrenensium coloni. Meminimus autem, sicut scriptum est rursum quarto libro Regum, **256** regnasse Hierosolymis Achaz, Phacee autem et Raasson, Syriæ et Damasci reges Hierosolymam exercitum adduxisse, et Judææ civitates ei subjectas depopulatos esse. Et quoniam Achaz regem Juda terror ingens invaserat, pecunia Theglatphalasar Assyrium conduxit. « Et adjuvit eum rex Assyriorum, et ascendit in Damascum, et cepit eam, et transtulit urbem, et Raasson interfecit [15]. »

μαλιν ἀπέθετο τὴν χρυσῆν ὁ ἐπάρατος; Ἱεροβοάμ. Ἀλλ' ὡς ἐξ ἐκείνου λοιπὸν πᾶσαν χώραν εἰδωλολατροῦσαν, οὕτω καλεῖν ἔθος ἦν αὐτοῖς. Τοὺς κατοικοῦντας τοίνυν ἐν γῇ, καὶ πεδίῳ Ὢν, ἤτοι τῶν ματαίων, ὅ ἐστιν εἰδώλων (οὕτω γὰρ ἡρμήνευσαν οἱ λοιποὶ) καταφερῶ, καὶ ἐξολοθρεύσω, φησὶ, κατακόψω δὲ οὐδὲν ἧττον, καὶ φυλὴν ἐξ ἀνδρῶν Χαρράν, ἥ ἐστι πολίχνη που πάντως προσοικοῦσα τῇ Δαμασκῷ, μαχιμωτάτους ἔχουσα τοὺς οἰκήτορας. Αἰχμαλωτισθήσεσθαι δέ φησι καὶ τὸν ἐπίκλητον τῆς Συρίας λαόν· ἐπίκλητον λέγων, ἢ τὸν σφόδρα διαβόητον, ἢ τὸν μισθοφόρον, καὶ συνηλεγμένον αὐτοῖς πρὸς ἐπικουρίαν. Κατεμισθοῦντο γὰρ, ὡς ἔφην, τοὺς τῶν ἀλλοφύλων ὁμόρους, τῆς Ἰουδαίων καταστρατευόμενοι χώρας· ἦγουν ἐπίκλητον τὸν ἔξωθεν κεκλημένον, καὶ μέτοικον. Ἰστέον γὰρ ὅτι τῶν Ἑβραίων ἡ ἔκδοσις, ἀντὶ τοῦ « λαὸς Συρίας, » « Κυρήνης » φησὶν, ἀποικοι γὰρ Κυρηναίων οἱ Σύροι. Μεμνήμεθα δὲ, ὅτι καθὼς γέγραπται πάλιν ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν, ἐβασίλευε μὲν Ἀχὰτζ τῶν Ἱεροσολύμων, Φακεὲ δὲ, καὶ Ῥαασσὼν οἱ Συρίας τε καὶ Δαμασκοῦ βασιλεῖς, κατὰ τῶν Ἱεροσολύμων ἦσαν, καταδηοῦντες τὰς ὑπ' αὐτοὺς τῆς Ἰουδαίας πόλεις. Ἐπειδὴ δὲ ἦν ἐν δείμασιν οὐ φορητοῖς ὁ Ἀχὰτζ, βασιλεύων ἐπὶ τὸν Ἰούδαν, κατεμισθοῦτο χρήμασι Θεγλαφαλασὰρ τὸν Ἀσσύριον. « Καὶ ἤκουσεν αὐτοῦ, φησὶ, βασιλεὺς Ἀσσυρίων, καὶ ἀνέβη εἰς Δαμασκὸν, καὶ συνέλαβεν αὐτὴν, καὶ ἀπῴκισεν αὐτὴν, καὶ τὸν Ῥαασσὼν ἐθανάτωσε. »

Vers. 6-8. *Hæc dicit Dominus : Super tribus impietatibus Gazæ, et super quatuor non convertam eos, eo quod captivaverunt ipsi captivitatem Salomon, ut concluderent in Idumæam. Et mittam ignem in muros Gazæ, et devorabit fundamenta ejus. Et disperdam habitantes de Azoto. Et auferam tribus ex Ascalone, et inducam manum meam super Accaronem, et peribunt reliqui alienigenarum, dicit Dominus.*

Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Γάζης, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίαν τοῦ Σολομὼν, τοῦ συγκλεῖσαι εἰς τὴν Ἰδουμαίαν. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη Γάζης, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς. Καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐξ Ἀζώτου. Καὶ ἐξαρθήσεται φυλὴ ἐξ Ἀσκαλῶνος, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπ' Ἀκκαρὼν, καὶ ἀπολοῦνται οἱ κατάλοιποι τῶν ἀλλοφύλων, λέγει Κύριος.

V. Ante alia hoc necessarium dictu arbitror, nec Hebræorum, nec aliorum editionem meminisse Salomonis. Sed in Hebræa quidem est : « Eo quod captivaverunt eos captivitate. » Cæteri pro voce « Salomon » apposuerunt *perfectum*, seu *absolutum*. Sed nos Septuaginta interpretationem omnino sequemur. Accusatur itaque Gaza urbs Philistiim, quæ hodie Palæstina est, quod captivaverit captivitatem Salomonis, ut concluderet eam in Idumæa. Quod si quidem sic intelligamus, quemadmodum cæteri interpretes intellexerunt, non mediocriter Judæam devastarunt, sed ingentem captivorum numerum abduxerunt, eamque Idumæis subjecerunt. Idumæi propagati quidem erant e sanguine Esau ; verum Israelitarum perpetuo inimici, quorum adjutores et militiæ socii Gazæi et Azotii, Ascalonitæ et qui dicuntur Accaronitæ, et alii quidam alienigenæ ad expugnandas Judææ urbes plurimum illis contulerunt. Quod si secundum septuaginta Seniorum translationem eos captivitatem Salomonis captivasse dicimus, sic intelligamus oportet. Salo-

Ε'. Ἀναγκαῖον ἡγοῦμαι καὶ πρό γε τῶν ἄλλων ἐκεῖνο εἰπεῖν, ὡς οὔτε ἡ τῶν Ἑβραίων ἔκδοσις, οὔτε ἡ τῶν ἑτέρων μέμνηται τοῦ Σολομὼν, ἀλλ' εἰρήκασι, Ἑβραῖοι μὲν « Ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς αἰχμαλωσίᾳ· » οἱ δὲ λοιποὶ προσέθεσαν ἀντὶ τοῦ « Σολομὼν » *ἀπηρτισμένην*, ἤτοι *τελείαν*. Ἑψόμεθα δὲ ἀναγκαίως ἡμεῖς καὶ τῇ τῶν Ἑβδομήκοντα γραφῇ. Ἐγκαλεῖται δὴ οὖν ἡ Γάζα, πόλις δὲ αὕτη τῶν Φυλιστιείμ, ἥ νῦν ἐστι Παλαιστίνη, ὡς αἰχμαλωσίαν αἰχμαλωτεύσασα τοῦ Σολομὼν, τοῦ συγκλεῖσαι εἰς τὴν Ἰδουμαίαν. Κἂν μὲν οὕτω νοῶμεν, ὡς γ' οὖν οἱ ἕτεροι νενοήκασιν ἑρμηνευταὶ, οὐ τὴν τυχοῦσαν πεποίηνται κατὰ τῆς Ἰουδαίας πόρθησιν, ἀλλ' αἰχμαλωσίαν ἐλόντες ἱκανὴν, ὑπὸ χεῖρα δεδώκασι τῶν Ἰδουμαίων αὐτήν. Ἰδουμαῖοι γεγόνασι μὲν ἐξ αἵματος Ἡσαῦ, ἐχθρά γε μὴν πεφρονήκασιν ἀεὶ τοῖς ἐξ Ἰσραὴλ, οἷς συνεργασάμενοι, καὶ σύνοπλοι γεγονότες Γαζαῖοί τε καὶ Ἀζώτιοι καὶ Ἀσκαλωνῖται, καὶ οἱ τῆς λεγομένης Ἀκκαρὼν, καὶ ἕτεροι δὲ τῶν ἀλλοφύλων τινὲς, κατακράτος ἐλεῖν τῆς Ἰουδαίας τὰς πόλεις παρεσκεύασαν. Εἰ δὲ δὴ κατὰ τὴν τῶν Ἑβδομήκοντα

[15] IV Reg. xvi, 9.

Digitized by Google

Γραφὴν αἰχμαλωτεῦσαι λέγομεν αὐτοὺς αἰχμαλωσίᾳ τοῦ Σολομών, ἐκεῖνό που πάντως ἐννοεῖν ἀναγκαῖον. Γέγονε μὲν γὰρ εὐσθενέστατος καὶ παναλκὴς βασιλεὺς ὁ Σολομών, κατεκράτησε δὲ οὕτω τῶν περιοίκων ἐθνῶν, ὡς καὶ πολλὰς παρ' αὐτοῖς ἀναδείμασθαι πόλεις, καὶ ἐν αὐταῖς ἱδρύσαι τὸν Ἰσραὴλ, δόντος αὐτῷ τοῦ Χιράμ. Γέγραπται δὲ οὕτω ἐν δευτέρᾳ τῶν Παραλειπομένων· « Καὶ ἐγένετο μετὰ εἴκοσιν ἔτη, ἐν οἷς ᾠκοδόμησε Σολομὼν τὸν οἶκον Κυρίου, καὶ τὸν οἶκον ἑαυτοῦ, καὶ τὰς πόλεις ἔδωκε Χιρὰμ τῷ Σολομών, ᾠκοδόμησεν αὐτὰς Σολομών, καὶ κατῴκισεν ἐκεῖ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἦλθε Σολομὼν εἰς Αἰμὰθ Σωβά. Καὶ κατῴκισεν αὐτὴν, καὶ ᾠκοδόμησε τὴν Θεδμὼρ ἐν τῇ ἐρήμῳ, καὶ πάσας τὰς πόλεις τὰς ὀχυρὰς ᾠκοδόμησεν ἐν Αἰμάθ. » Καὶ μεθ' ἕτερα πάλιν· « Καὶ ὅσα ἐπεθύμησε Σολομὼν κατὰ τὴν ἐπιθυμίαν τοῦ οἰκοδομῆσαι ἐν Ἰερουσαλὴμ, καὶ ἐν τῷ Λιβάνῳ, καὶ πάσῃ τῇ βασιλείᾳ αὐτοῦ. Πᾶς ὁ λαὸς ὁ καταλειφθεὶς ἀπὸ τοῦ Χετταίου, καὶ τοῦ Ἀμορραίου, καὶ τοῦ Φερεζαίου, καὶ τοῦ Εὐαίου, καὶ τοῦ Ἰεβουσαίου, οἳ οὐκ εἰσὶν ἐκ τοῦ Ἰσραὴλ, ἦσαν ἐκ τῶν υἱῶν αὐτῶν καταλειφθέντες μετ' αὐτοὺς ἐν τῇ γῇ, οὓς οὐκ ἐξωλόθρευσαν υἱοὶ Ἰσραὴλ. Καὶ ἀνήγαγεν αὐτοὺς Σολομὼν εἰς φόρον, ἕως τῆς ἡμέρας ταύτης. » Συμφραξάμενοι τοίνυν τοῖς ἐκ τῆς Ἰδουμαίας Γαζαῖοί τε καὶ Ἀζώτιοι, καὶ οἱ λοιποὶ ταύτας που τὰς πόλεις ἀνῃρήκασι, τὰς ὠνομασμένας τοῦ Σολομών, ὡς μηκέτι μὲν αὐτὰς ὑπὸ τὴν Ἰούδα κεῖσθαι βασιλείαν, ἀπονενεμῆσθαι δὲ ὥσπερ τοῖς Μωαβιτῶν ἀνοσίοις καθηγηταῖς. Ταύτῃτοι πυρὶ δαπανηθήσεσθαι ταῖς ἄλλαις ὁμοῦ τὴν Γάζαν φησίν· ἐξολοθρευθήσεσθαι δὲ καὶ Ἀζωτίους, καὶ φυλὴν Ἀσκάλωνος, καὶ ὑπὸ χεῖρα γεν[ήσ]έσθαι τοῦ πλήττοντος τὴν Ἀκκαρών. Συνδιολεῖσθαι δὲ πάντως αὐταῖς καὶ τοὺς καταλοίπους τῶν ὁμοφύλων. Μεμισθοφορήκασι γὰρ, κατὰ τὸ εἰκὸς, καὶ κέκληνται πρὸς ἐπικουρίαν τῶν ἐποίκων βαρβάρων τινές. Χαλεπὸν οὖν ἄρα, καὶ κινδύνου παντὸς ἀνάμεστον ὁρᾶται λοιπὸν, τὸ συμφράττεσθαι πονηροῖς, καὶ καθοπλίζεσθαι φιλεῖν τῶν ἠγαπημένων παρὰ Θεὸν, καὶ διώκειν ἁγίους. Εἰ γὰρ καὶ πάσχομεν ἔσθ' ὅτε πταισμάτων ἕνεκα, παιδευόμεθα παρὰ Θεοῦ, ἀλλ' οὐκ ἀλογήσει παντελῶς τῶν οἰκειωθέντων αὐτῷ. Παιδεύσας δὲ χρησίμως, ὁλέθρῳ περιβαλεῖ τὰ τῆς ὀργῆς σκεύη, τοῦτ' ἔστι, τοὺς ἀχαλίνῳ θυμῷ κατ' αὐτῶν ὁρμήσαντας, κατ' ἐκεῖνο πάντως τὸ πρὸς Βαβυλῶνα καλῶς εἰρημένον περὶ τῶν υἱῶν Ἰσραὴλ· « Ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. » Ἀπάδει γὰρ λίαν καὶ ἀγαναχτοῦντι τῷ Θεῷ τὸ φορτικὸν εἰς αἰκίας τῶν τοῦτο δρᾷν ἐπιτεταγμένων.

A mon rex viribus præpotens fuit, et copiis invictis valuit, vicinasque gentes ita subjugavit, **257** ut etiam urbes apud eas complures ædificaverit, et in iis Israelitas collocarit, Chiram id illi concedente. Sic enim habet secundus liber Paralipomenon : « Et factum est post viginti annos, in quibus ædificavit Salomon domum Domini, et domum suam, et civitates quas dedit Chiram Salomoni, ædificavit ipsas Salomon, et habitare fecit ibi filios Israel. Et venit Salomon in Emath Suba, et prævaluit contra eam, et ædificavit Thedmor in deserto, et omnes civitates munitas quas ædificavit in Emath [15]. » Et paulo post : « Et quæcunque desideravit Salomon secundum desiderium suum, ut ædificaret in Jerusalem, et in Libano, et in omni regno suo. Omnem B populum qui derelictus fuerat de Hethæis, et Amorrhæis, et Pherezæis, et Hevæis, et Jebusæis, qui non erant de stirpe Israel, de filiis eorum, et de posteris, quos non interfecerant filii Israel, subjugavit Salomon in tributarios, usque in diem hanc [16]. » Itaque, consociatis armis, Gazæi, Azotii, et reliqui cum Idumæis, hasce urbes everterunt : quæ Salomonis appellantur, quod non amplius sub regno Juda essent, sed impiis Moabitarum ducibus velut attributæ. Quapropter Gazam una cum aliis igni consumptum iri dicit, et funditus perituros Azoticos, et Ascalonitas, et Accaron sub manu percutientis fore. Prorsus autem cum ipsis etiam reliquos de eadem C gente barbarorum exstinctum iri. Nam, ut consentaneum est, ad auxilium quosdam aliunde accersierant et mercede conduxerant. Durum igitur et periculi plenum videtur, arma capere cum improbis, et oppugnatum ire velle Deo charos, et persequi sanctos. Nam etsi patiamur interdum aliquid, propter lapsus nostros multamur a Deo, qui tamen sibi consecratos non contemnet penitus ; sed cum utiliter pœnis castigarit, iræ vasa exitio mactabit, hoc est, qui furore indomito in eos irruerunt, plane secundum illud quod ad Babylonem de filiis Israel præclare dictum est : « Ego dedi eos in manus tuas, tu autem eis misericordiam non dedisti [17]. » Aversatur enim vehementer, et indignatur Deus eorum insolentiam, etiam usque ad injuriam plagarum, D quibus esse castigationem mandaverat.

Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Τύρου, καὶ ἐπὶ ταῖς τέσσαρσιν, οὐκ ἀποστραφήσομαι αὐτὴν, ἀνθ' ὧν συνέκλεισαν τὴν αἰχμαλωσίαν Σολομὼν εἰς τὴν Ἰδουμαίαν, καὶ οὐκ ἐμνήσθησαν διαθήκης ἀδελφῶν. Καὶ ἀποστελῶ πῦρ ἐπὶ τὰ τείχη Τύρου, καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς.

VERS. 9, 10. *Hæc dicit Dominus : Super tribus impietatibus Tyri, et super quatuor non* **258** *convertam eam, pro eo quod concluserunt captivitatem Salomonis in Idumæam, et non recordati sunt testamenti fratrum. Et mittam ignem in muros Tyri, et devorabit fundamenta ejus.*

Ϛ'. Τύριοι δὲ πάλιν πρὸς τοῖς ἀπὸ τῆς Δαμασκοῦ, καὶ μέντοι καὶ Ἀζωτίοις, Γαζαίοις τε καὶ Ἀσκαλωνίταις, καὶ τοῖς Ἀκκαρὼν τὴν Θεῷ πρέπουσαν

VI. Tyrii quoque, qui cum Damascenis, Azotiis, Gazæis, Ascalonitis et Accaronitis divinam patientiam scelere excesserunt, et impietatum magnitu-

[15] II Paral. VIII, 1-4. [16] Ibid. 6. 8. [17] Isa. XLVII, 6.

Digitized by Google

dine tantum non exsuperarunt, juxta oraculi sententiam pœnas sufferent, et supplicium expendent omnium maximum. Crimen eorum, quod captivitatem Salomonis in Idumæam concluserint, et testamenti fratrum immemores fuerint. Quæ ipsa Salomonis captivitas fuerit, superius sufficienter ostensum est. Quomodo autem et a Tyriis in Idumæam conclusa sit dicere necesse est. Cum ex Juda et Israel innumerabilem multitudinem servitute affecissent, Idumæis vendiderunt. Qui de sanguine fratrum prognatos, et nuper liberos, eodem loco quo bello captos habentes, acerbo servitutis jugo presserunt, et Græcorum legibus vivere coegerunt, gloriam Dei pene conviciis lacerantes, qui neque patriam ipsis libertatem conservasset, neque in florenti statu eos tueri potuisset. Proinde universorum Deus alterius voce inquit, eos qui captivitatem Salomonis in Idumæa concluserunt, non leviter accusans : « Quid mihi et vobis, Tyrus, et Sidon, et omnis Galilæa alienigenarum? Nunquid ultionem vos reddetis mihi, aut iram in corde retinetis mihi? Velociter et cito reddam retributionem vestram in capita vestra, pro eo quod argentum meum et aurum meum tulistis, et electa mea, et bona intulistis in templa vestra, et filios Juda, et filios Israel vendidistis filiis Græcorum, ut ejiceretis eos ex finibus suis [18]. » Tanquam enim finis ac terminus Israelitarum corporeus quidem est Judæa, spiritualis autem lex, quibus exacti sunt, Græcorum filiis indigne venditi. Fecerunt autem istud Tyrii testamenti fratrum immemores. Hoc trifariam a nobis potest intelligi.

Qui enim sint isti fratres, quod hoc testamentum, age, dicamus, sacris etiam Litteris ad horum sensum et intelligentiam quasi manu ducentibus. Chiram quondam Tyriorum rex fuit divino Davidi multo charissimus [19]. **259** Deinde ab ejus filio Salomone dilectus est sic, ut concordiæ et amicitiæ fœdus cum eo pacisceretur [20], et adjuvaret eum in omnibus, et symbolam ei divinum templum ædificanti pro officio conferret [21], et munera longe plurima illi mitteret, quibus ipse majora et opulentiora retulit. Aut igitur hoc dicit, Tyrios bello vexasse Israelitas, oblitos testamenti eorum qui ipsos ut fratres amabant, quique affectu et charitate ita consentiebant, ut etiam consanguinei viderentur; sive, quia ab Esau genus ducentes Idumæi, fratres erant Israelitarum, quos tamen, contempto testamento, armis appetiverunt. Fuit enim animo non bono et hostili Esau in Jacob, primogenita dolens principio. Verum e domo Laban discedenti aliquando, et domum reverti cupienti cum uxoribus et liberis, ei ut frater occurrit; complexi enim et osculati sunt inter se, et amicorum officia mutuo præstiterunt, veterique dissidio posthabito, concordiæ

A ἀνεξικακίαν ὑπερβαλόμενοι, καὶ τρόπον τινὰ νενικηκότες ταῖς τῶν ἀσεβημάτων ὑπερβολαῖς, ὑπενεχθήσονται ποιναῖς, κατά γε τὸν τοῦ χρησμῳδήματος νοῦν, καὶ ποινὴν ὑπομενοῦσι τὴν ἁπασῶν ἐσχάτην. Ἐπίκλημα δὲ αὐτοῖς, ὅτι τὴν αἰχμαλωσίαν τοῦ Σολομὼν συνέκλεισαν εἰς τὴν Ἰδουμαίαν, ἀμνημονήσαντες τῆς τῶν ἀδελφῶν διαθήκης. Τίς μὲν οὖν ἡ αἰχμαλωσία τοῦ Σολομὼν, ἀποχρώντως ἡμῖν διέδειξε λόγος. Συνεκλείσθη δὲ ὅπως εἰς τὴν Ἰδουμαίαν καὶ πρός γε Τυρίων, εἰπεῖν ἀναγκαῖον. Ἐξανδραποδισάμενοι γὰρ οὐκ εὐαρίθμητον πληθὺν τῶν ἐξ Ἰούδα καὶ Ἱερουσαλὴμ, καταπεπράκασιν Ἰδουμαίοις. Οἱ δὲ τοὺς ἐξ αἵματος ἀδελφῶν, καὶ ἄνωθεν ἐλευθέρους ἐν δορυκτήτων μοίρᾳ πεποιημένοι, πικρῷ δουλείας κατέθλιβον ζυγῷ, καὶ τοῖς Ἑλλήνων νόμοις κατεδιάζοντο ζῆν, B μονονουχὶ κατακερτομοῦντες οἱ δεῖλαιοι τὴν τοῦ Θεοῦ δόξαν, ὡς μήτε τὴν ἐκ πατέρων αὐτοῖς ἐλευθερίαν τηρήσαντος, μήτε μὴν ἰσχύσαντος παρασχεῖν τὸ ἐν καλῷ κεῖσθαι τῆς εὐημερίας. Καὶ γοῦν ὁ τῶν ὅλων Θεὸς διὰ φωνῆς ἑτέρου φησὶ, τοὺς συγκλείσαντας εἰς τὴν Ἰδουμαίαν τὴν αἰχμαλωσίαν τοῦ Σολομὼν, οὐ μετρίως καταιτιώμενος· « Καὶ τί ἐμοὶ καὶ ὑμῖν, Τύρος, καὶ Σιδὼν, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων; Μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι, ἢ μνησικακεῖτε ὑμεῖς ἐπ' ἐμοί; Ὀξέως καὶ ταχέως ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν. Ἀνθ' ὧν τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ ἐπίλεκτά μου, καὶ τὰ καλὰ ἠνέγκατε εἰς τοὺς ναοὺς ὑμῶν, καὶ τοὺς υἱοὺς Ἰούδα καὶ Ἰσραὴλ ἀπέδοσθε τοῖς υἱοῖς τῶν Ἑλλήνων, ὅπως ἐξώσητε αὐτοὺς C ἐκ τῶν ὁρίων αὐτῶν. » Ὅριον δὲ ὥσπερ τῶν ἐξ Ἰσραὴλ, σωματικὸν μὲν Ἰουδαία, ψυχικὸν δὲ ὁ νόμος, ὧν ἔξω γεγόνασι τοῖς τῶν Ἑλλήνων υἱοῖς ἐκτόπως καταπωλούμενοι. Δεδράκασι δὲ τοῦτο Τύριοι ἀμνημονήσαντες τῆς τῶν ἀδελφῶν διαθήκης. Νοοῖτο δ' ἂν πρὸς ἡμῶν καὶ τοῦτο τριχῇ.

Τίνες γὰρ οἱ ἀδελφοὶ, τίς δὲ ἡ διαθήκη, φέρε, λέγωμεν, καὶ [ὑπὸ] τῶν ἱερῶν Γραμμάτων εἰς τὰς ἐπὶ τοῦτο ἐννοίας χειραγωγούμενοι. Χιρὰμ ὁ Τυρίων κατὰ καιροὺς βεβασιλευκὼς, τῶν ὅτι μάλιστα φιλτάτων ἦν τῷ θεσπεσίῳ Δαβίδ. Εἶτα μετ' ἐκεῖνον τῷ Σολομὼν γέγονε ἀγαπητὸς, ὡς συνθήκας ὁμαψυχίας ποιήσασθαι πρὸς αὐτὸν, συμπράξαι τε πρὸς ἅπαντα αὐτῷ, καὶ φροντίδα τὴν δέουσαν συνενεγκεῖν τὸν θεῖον ἀποτελοῦντι ναόν. Καὶ πλεῖστα μὲν ὅσα προσκεκόμικε δῶρα, κεκέρδακε δὲ καὶ αὐτὸς τὰ ἔτι D μείζω καὶ πλουσιώτερα. Ἤ τοίνυν ἐκεῖνό φησιν, ὅτι Τύριοι πεπολεμήκασι τὸν Ἰσραὴλ, ἀμνημονήσαντες διαθήκης τῶν ἐξ ἀγάπης ὡς ἀδελφῶν, καὶ εἰς τοῦτο λοιπὸν διαθέσεως καὶ φιλοστοργίας συνενηνεγμένων, ὡς δοκεῖν εἶναι καὶ ὁμαίμονας· ἦγουν ὅτι γεγονότες ἐξ Ἡσαῦ Ἰδουμαῖοι, ἀδελφοὶ μὲν ἦσαν τοῖς ἐξ Ἰσραὴλ, πεπολεμήκασι δὲ, τῆς τῶν ἀδελφῶν διαθήκης ἠφειδηκότες. Πεφρόνηκε μὲν γὰρ ἐχθρὰ καὶ τὰ πολεμίων ὁ Ἡσαῦ κατὰ τοῦ Ἰακὼβ, τῶν πρωτοτόκων ἕνεκα λελυπημένος ἐν ἀρχαῖς. Ἀλλ' ἐκ τῆς Λάβαν ἐστίας ἀπαίροντι κατὰ καιροὺς, καὶ οἴκοι πάλιν ὑπονοστεῖν ἐθέλοντι γυναιξί τε ὁμοῦ καὶ τέκνοις, συνήντησεν ὡς ἀδελφός. Κατησπάσαντο γὰρ

[18] Joel III, 4-6. [19] III Reg. v, 1. [20] Ibid. 12. [21] Ibid. 5

Digitized by Google

ἀλλήλους, καὶ περιέφυσαν, καὶ τὰ φίλοις πρέποντα A et pacis fœdus pepigerunt. Et hæc quidem illi. Tyrii
λελαλήκασι, καὶ τὴν ἀρχαίαν πατοῦντες διαφοράν, autem, fœderis hujus fraterni non recordati, com-
ὁμονοίας καὶ εἰρήνης πεποίηνται διαθήκας. Ἀλλ' miserunt familias, persuaseruntque Idumæis, ut
ἐκεῖνο μὲν ἐν τούτοις. Τύριοι δὲ τῆς τῶν ἀδελφῶν consanguineos et fratres habere servos vellent, quos
διαθήκης ἀμνημονήσαντες, τὰ γένη συνέβαλον, καὶ auxiliis suis seipsis qui vicerant longe potentiores
δούλους ἂν ἔχειν ἔπειθον τοὺς ἐξ αἵματός τε καὶ effecerunt. Jam vero idem hoc quispiam et de Moabitis
ἀδελφοὺς, ταῖς παρὰ σφῶν συμπονίαις πολὺ λίαν accipiat, qui a Lot descendebant, Tyrios videlicet
εὐσθενεστέρους τῶν κεκρατηκότων ἀποφήναντες fratrum testamentum conturbasse, nempe Abrahami
Ἰδουμαίους. Ἤδη δέ τις καὶ ἐπ' αὐτῶν τοῦτο λέγῃ cum Lot. Cum enim amborum pastores jurgarentur,
τῶν Μωαβιτῶν, οἱ ἐξ αἵματος τοῦ Λὼτ, ὅτι λελυπή- « Dixit, inquit Scriptura, Abraham Lot : Ne sit
κασι Τύριοι διαθήκην ἀδελφῶν, δῆλον δὲ ὅτι τὴν ἐξ jurgium inter me et te, et inter pastores meos ac
Ἀβραὰμ πρὸς τὸν Λώτ. Ἐπειδὴ γὰρ οἱ ἀμφοῖν ἐμα- pastores tuos, quia fratres sumus [23]. » Proinde meri-
χέσαντο ποιμένες, « Εἶπε, φησὶν ἡ θεία Γραφὴ, to exustum, et ab ipsis fundamentis eversum iri
Ἀβρὰμ τῷ Λώτ· Μὴ ἔστω μάχη ἀναμέσον ἐμοῦ καὶ sit. Nam illud, Non eris cum pluribus, ubique in
σοῦ, καὶ ἀναμέσον τῶν ποιμένων μου, καὶ ἀναμέσον improbos valet.
τῶν ποιμένων σου, ὅτι ἄνθρωποι ἀδελφοὶ ἡμεῖς ἐσμεν. » Ἐμπρησθήσεσθαι δὴ οὖν ταύτῃτοι δικαίως φησὶν
αὐτὴν, καὶ ἐξ αὐτῶν κατασεισθήσεσθαι βάθρων. Τὸ γὰρ, Οὐκ ἔσῃ μετὰ πλειόνων, ἐπὶ κακίας χρησάμενον
πανταχοῦ.

Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις B VERS. 11. *Hæc dicit Dominus: Super tribus*
τῆς Ἰδουμαίας, καὶ ἐπὶ ταῖς τέσσαρσιν, οὐκ *impietatibus Idumææ, et super quatuor non conver-*
ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ καταδιῶξαι *tam eos, eo quod persecuti sunt in gladio fratrem*
αὐτοὺς ἐν ῥομφαίᾳ τὸν ἀδελφὸν αὐτῶν. *suum.*

Ζ'. Μέτεισιν ὁ λόγος ἐπ' αὐτὸν ἤδη τὸν Ἰδουμαῖον, VII. Nunc sermo ad ipsam Idumæam transit, ni-
δῆλον δὲ ὅτι τοὺς ἐξ Ἡσαῦ. Ὑπενεχθήσεσθαι δὲ καὶ mirum ad Esau posteros. Eos quoque suppliciis ex
αὐτοὺς τοῖς ἐξ ὀργῆς συμβαίνουσιν εὖ μάλα φησί. ira divina infligendis subjectum iri prædicat. Fra-
Πεπολεμήκασι γὰρ ἀδελφὸν ὄντα τὸν Ἰσραὴλ, καὶ tres enim suos Israelitas oppugnarunt, propinqui-
τοῖς ἐγγὺς καὶ ἐξ αἵματος τὸ θρασὺ καὶ ἀνήμερον que et sanguine conjunctis gladium audacem et
οὐ κατέδεισαν ἐπανατεῖναι ξίφος, οὐ νόμου φύσεως crudelem intentare non reformidarunt, **260** non
πεφροντικότες, οὐ πεφροντικότες τι τῶν ἀνθρω- naturæ legem, non jura humanitatis reveriti, sed
πίνων, ἀλλὰ τοὺς ἔξω καὶ πολεμιωτάτους ταῖς εἰς exteros et infensissimos odiis vincere soliti, et ob hoc
ἀδελφοὺς δυσμενείαις νικᾷν εἰθισμένοι, καὶ πεφρονη- etiam forsan spiritus magnos gerentes. Audiant igi-
κότες που τάχα καὶ ἐπὶ τούτῳ μέγα. Οὐκοῦν ἀκουόν- tur a nobis : « Quid gloriaris, potens in malitia [24] ? »
των καὶ πρὸς ἡμῶν· « Τί ἐγκαυχᾷ ἐν κακίᾳ, ὁ δυνα- Ac de iis aptissime dicatur : « Quorum gloria in C
τός; » Καὶ περὶ αὐτῶν ἂν λέγοιτο, καὶ μάλα εἰκό- confusione ipsorum [25]. » Quæ enim præstitisset velle
τως· « Ὧν ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν. » Ἃ γὰρ ἦν remota quam longissime, hæc honestissimo suffragio
ἄμεινον ὡς ἀποτάτω ποιεῖσθαι φιλεῖν, ταυτὶ δὴ honorantes, denuo audient : « Væ qui dicitis malum
παγκάλῃ τιμῶντες ψήφῳ, πάλιν ἀκούσονται· « Οὐαὶ bonum [26], » et reliqua deinceps.
οἱ λέγοντες τὸ πονηρὸν καλὸν, » καὶ ἑξῆς.

Καὶ ἐλυμήνατο μήτραν ἐπὶ τῆς γῆς. *Et violavit vulvam in terra.*

Η'. Ἀπαριθμεῖται χρησίμως τὰ τῶν Ἰουδαίων VIII. Utiliter Judæorum scelera recenset, eaque
ἐγκλήματα, καὶ ἐπ' αὐτὸν ἀνίησι τὸν Ἡσαῦ, δυσγενεῖς ad ipsum Esau refert, pronuntians ignobiles, et ex
ὄντας καὶ ἐξ ἀνοσίου φύντας πατρὸς ἀποφαίνων, ἵν' patre impio progenitos, ut illud forte intelligamus,
ἐκεῖνό που τάχα νοῶμεν, τὸ διὰ φωνῆς Ἡσαΐου πλα- quod per Isaiæ vocem insinuatur : « Ex semine enim
γίως ὑποδηλούμενον· « Ἐκ γὰρ σπέρματος ὄφεων serpentum exsistet progenies aspidum. » Narrat
ἐξελεύσονται ἔγγονοι ἀσπίδων. » Ἀφηγεῖται δὴ οὖν, igitur, etiam primum parentem et auctorem ipsorum
ὅτι καὶ ὁ προπάτωρ αὐτοῖς γεγονὼς Ἡσαῦ τοῖς ἐκ bona ab utero materno et ipso ortu sibi agnata tan-
μήτρας καὶ γενέσεως ἀγαθοῖς προσγεγονόσιν αὐτῷ tum non corrupisse, et in terram projecisse digni-
μονονουχὶ καὶ διελυμήνατο, καὶ κατέῤῥιψεν εἰς γῆν tatem primogenituræ, minimi rem facientem, pro-
τὸ ἐκ τῶν πρωτοτόκων ἀξίωμα, μικροῦ παντελῶς D pter corpoream voluptatem. Edulium enim lentis
ἀξιώσας τὸ χρῆμα λόγου τρυφῆς ἕνεκα σωματικῆς· quæsivit : quo accepto, dedit nativitatis donum.
ἔψημα γὰρ ἐζήτει φακοῦ, καὶ λαβὼν ἐδίδου τὸ τῆς « Propter hoc, inquit, vocatum est nomen ejus
φύσεως δῶρον. « Ἕνεκα τούτου, φησὶν, ἐκλήθη τὸ Edom [26]. » Unde arbitror et Idumæos postea ex ipso
ὄνομα αὐτοῦ Ἐδώμ· » ὅθεν, οἶμαι, καὶ Ἰδουμαῖοι nominatos. Violavit, inquit, dignitatem, quam e par-
κέκληνται λοιπὸν οἱ ἐξ αὐτοῦ γεγονότες. Οὐκοῦν tu et ventre materno consecutus erat, in terra, pro re
τὸ ἐκ τοῦ τόκου καὶ μήτρας ἀξίωμα κατελυμή- terrena commutavit.
νατο φησὶν, εἰς γῆν, ἀντὶ τοῦ, γηΐνου πράγματος
ἠλλάξατο.

[23] Gen. XIII, 8. [24] Psal. LI, 3. [25] Philipp. III, 19. [26] Isa. V, 20. [26] Gen. XXV, 30.

Digitized by Google

Simili scelere obstricti tenentur, qui carnales oblectationes spiritualibus anteponunt, temporanea præ æternis eligunt, et fluxa pro stabilibus. Et gloriam quæ a Deo est contemnentes, quæ apud homines magni fiunt, insipientissime præferunt, quæ ut umbræ habentes prætereunt. Bene admodum et divinus Paulus : « Ne quis fornicator aut profanus, inquit, ut Esau, qui pro una esca vendidit primogenita sua [27]. »

Et rapuit in testimonium horrorem suum.

IX. Alterius adhuc facti meminit, insimulans quasi Idumæum, ut qui semper fuerit stolidus et improbus, et consanguincis etiam atque etiam malevolus atque infestissimus. Exstat igitur in Numeris sic : « Et misit Moyses nuntios ex Cades ad regem Edom, dicens : Hæc **261** dicit frater tuus Israel : Tu scis omnem laborem qui invenit nos. Et descenderunt patres nostri in Ægyptum, et habitavimus in Ægypto dies plures, et afflixerunt nos Ægyptii et patres nostros, et clamavimus ad Dominum, et eduxit nos, et nunc præteribimus per terram tuam. Non transibimus per agros, neque per vineas, neque bibemus aquam e lacu tuo. Et dixit ad eum Edom : Non transibis per me, alioqui armatus occurram tibi. Et exiit in turba gravi. Et declinavit Israel ab eo [28]. » Rursum his verbis expressa intuere atrocia, et supra quam dici potest inhumanitatis plena crimina. Israel non petebat aquam ab Edom gratis. Ast ille, armis sumptis, aciem contra eos dirigebat, et solum transitum improbe invidebat, eoque stolidiatis progressum apparebat, ut nisi declinasset Israel, nec sanguini eorum parsurus fuerit. « Rapuit igitur in testimonium horrorem suum. » Illi enim precabantur et contrahebantur animis formidantes manus conserere, ne charitatem in fratres floccipendere viderentur. At iste contractionem illam, sive hujus rei formidinem (quam horroris vocabulo significat) duræ quasi testificationis in illos occasionem faciebat. Minatus est enim graviter, nisi Israel ab ejus finibus recederet, se armis ipsum depulsurum. Ab amore igitur mutuo alienus Edom, et odii in fratres perquam reus fuit, ideoque non injuria Deo invisus. « Deus enim charitas est, » juxta verbum Joannis, « et qui manet in charitate, in Deo manet [29]. » Qui ergo charitatis expers vitam degere instituit, non in Deo confidit, sed potius extra Dei amicitiam situs est.

Ἐνσχεθεῖεν δ' ἂν τοῖς ἴσοις ἐγκλήμασιν οἱ τῶν σαρκικῶν τὴν ἀπόλαυσιν προτάττοντες τῶν πνευματικῶν, καὶ ἀνθαιρούμενοι τῶν αἰωνίων τὰ πρόσκαιρα, καὶ τῶν μὴ σαλευομένων τὰ σαλευόμενα. Καὶ καταφρονοῦντες μὲν δόξης τῆς παρὰ Θεοῦ, ἀδουλότατά τε προτετιμηκότες τὰ ἐν ἀνθρώποις λαμπρὰ, ἃ καὶ ἐν ἴσῳ σκιαῖς παρελαύνει τοὺς ἔχοντας. Χρησίμως δὲ λίαν καὶ ὁ θεσπέσιος Παῦλος, « Μή τις πόρνος, φησὶν, ἢ βέβηλος ὡς Ἠσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτότοκα αὐτοῦ. »

Καὶ ἥρπασεν εἰς μαρτύριον φρίκην αὐτοῦ.

Θ'. Ἑτέρας πάλιν διαμέμνηται πράξεως, διαβάλλων οἷον τὸν Ἰδουμαῖον, ὡς ἀεὶ γεγονότα σκαιόν τε καὶ πονηρὸν, καὶ τοῖς ἐξ αἵματος ὅτι μάλιστα δυσμενῆ καὶ πολεμιώτατον. Γέγραπται τοίνυν ἐν τοῖς Ἀριθμοῖς· « Καὶ ἀπέστειλε Μωσῆς ἀγγέλους ἐκ Κάδης πρὸς τὸν βασιλέα Ἐδὼμ, λέγων· Τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· Σὺ ἐπίστῃ ἐπὶ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς. Καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν ἐν Αἰγύπτῳ ἡμέρας πλείους. Καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν. Καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ ἐξήγαγεν ἡμᾶς. Καὶ νῦν παρελευσόμεθα διὰ τῆς γῆς σου. Οὐ διελευσόμεθα δι' ἀγρῶν, οὐδὲ δι' ἀμπελώνων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου σου. Καὶ εἶπεν αὐτῷ Ἐδὼμ· Οὐ διελεύσῃ δι' ἐμοῦ, εἰ δὲ μὴ, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σου. Καὶ ἐξῆλθεν ἐν ὄχλῳ βαρεῖ. Ὁ δὲ Ἰσραὴλ ἐξέκλινεν ἀπ' αὐτοῦ. » Ἄθρει δὴ πάλιν ἐν τούτοις, ὡς δεινὰ καὶ πέρα λόγου παντὸς τὰ τῆς ἀφιλοστοργίας ἐγκλήματα. Ὁ μὲν γὰρ Ἰσραὴλ, οὐκ ἀνάργυρον ὕδωρ ἐζήτει τὸν Ἐδὼμ· ὁ δὲ ἦν ἐν ὅπλοις, καὶ παρεστάτεσε, καὶ μόνης παρόδου διεφθόνει κακῶς, καὶ εἰς τοῦτο σκαιότητος ἐλάσας διηλέγχετο, ὡς εἰ μὴ ἐκκέκλικεν ὁ Ἰσραὴλ, οὐδ' ἂν αὐτῶν αἱμάτων ἐφείσατο. « Ἥρπασε τοίνυν εἰς μαρτυρίαν φρίκην αὐτοῦ. » Οἱ μὲν γὰρ παρῃτοῦντο καὶ ὑπεστέλλοντο, τὸ πολεμεῖν δεδιότες, ἵνα μὴ τῆς εἰς ἀδελφοὺς δοκοῖεν ἀλογεῖν ἀγάπης. Ὁ δὲ τὴν ὑποστολὴν, ἤτοι τὴν εἰς τοῦτο δειλίαν, ἣν καὶ τῷ τῆς φρίκης ὀνόματι καταδηλοῖ, πρόφασιν ἐποιεῖτο σκληρᾶς ὥσπερ διαμαρτυρίας αὐτοῖς. Ἠπείλησε γὰρ ἐναργῶς, ὡς εἰ μὴ βούλοιντο τῶν αὐτῷ προσηκόντων ὁρίων ἀποφοιτᾷν, ἐξελεύσεται κατ' αὐτοῦ. Οὐκοῦν ἀφιλάλληλος ὁ Ἐδὼμ, καὶ τοῖς τῆς μισαδελφίας ἐγκλήμασιν οὐ μετρίως ἔνοχος. Ταύτητοι δικαίως καὶ Θεῷ κατεστυγημένος. « Ὁ γὰρ Θεὸς ἀγάπη ἐστὶ, » κατὰ τὴν Ἰωάννου φωνὴν, « καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει. » Οὐκοῦν ὁ ἀγάπης δίχα διαζῆν ἠρημένος, οὐκ ἐν τῷ Θεῷ πέποιθεν, ἀλλ' ἔξω κείσεται μᾶλλον τῆς πρὸς Θεὸν οἰκειότητος.

Et impetum suum servavit in contentionem.

X. Tertium hoc est Esauitarum peccatum. Impetum enim ipsius Esau, ad odium videlicet et impietatem servarunt, usque dum vincerent, semper. Neutiquam enim scelera patrare desierunt, quanquam Esau veterem illam impietatem suam deposuerit, et Jacob odio prosequi desierit, potiusque

Καὶ τὸ ὄρμημα αὐτοῦ ἐφύλαξεν εἰς νεῖκος.

Ι'. Τρίτον δὴ τοῦτο τῶν ἐξ Ἠσαῦ πλημμέλημα. Τὸ γὰρ ὄρμημα αὐτοῦ, τὸ πρὸς ἔχθραν δηλονότι καὶ ἀνοσιότητα, ἐφύλαξαν εἰς ἐκνίκησιν, καὶ μέχρι παντός. Κατέληξαν γὰρ οὐδαμῶς τῶν ἀνοσίων ἐγχειρημάτων, καίτοι ἀποφοιτήσαντος ἤδη τοῦ Ἠσαῦ τῆς ἀρχαίας ἐκείνης ἀνοσιότητος, καὶ φονῶντος μὲν οὐκ

[27] Hebr. XII, 16. [28] Num. XX, 14-21. [29] I Joan. IV, 16.

Digitized by Google

ἔτι κατὰ τοῦ Ἰακὼβ, μετατεθειμένου δὲ μᾶλλον εἰς ἡ- A ad lenitatem conversus, mutuo illum dilexerit. Re-
μερότητα, καὶ φιλαλλ[ηλ]ίαν. Ἐπιστρέφοντα γὰρ ἐκ vertentem quippe e Mesopotamia e domo Laban
τῆς Λάβαν ἑστίας, κατησπάσατο μετὰ κλαυθμοῦ. Φιλεῖ cum lacrymis osculatus est [39]; solent enim in ma-
δέ που καὶ ταῖς ἄγαν εὐθυμίαις ἐγχεῖσθαι τὸ δάκρυον. gna quoque lætitia profundi lacrymæ. Ejus posteri
Σκληροὶ δὲ λίαν οἱ ἐξ αὐτοῦ, τῇ τῶν τρόπων σκαιό- difficiles et asperi fuerunt, et morum inhumanitate
τητι καὶ αὐτὴν ὑπερβαλόμενοι τὴν τοῦ προγόνου ipsam primi parentis sui perversitatem superarunt;
φιλότητα· ἀλλ' ἔστιν ἀληθὲς, ὅτι Πάντῃ τε καὶ **262** sed verum est illud, Omnibus modis viæ mali-
πάντως ὁδοὶ μνησικάκων εἰς θάνατον. Ταύτῃτοί gnantium ad mortem. Ideo ait:
φησιν·

Καὶ ἐξαποστελῶ πῦρ εἰς Θαιμᾶν, καὶ καταφάγεται θεμέλια τειχέων αὐτῆς.

VERS. 12. *Et mittam ignem in Theman, et devorabit fundamenta murorum ejus.*

ΙΑ'. Μητρόπολις δὲ τῆς Ἰδουμαίας αὕτη· ἐμπέ- XI. Hæc est metropolis Idumææ; incensa est
πρησται γὰρ πολεμίων κεκρατηκότων, καὶ ὁμοῦ ταῖς enim, ab hostibus devicta, et una cum aliis periit.
ἄλλαις διόλωλεν ἡ Θαιμάν. Ἐκτελευτήσει δὴ οὖν Desinent igitur tandem in ignem et flammas, qui
εἰς πῦρ τε καὶ φλόγας τὸ μισεῖν ἀδελφοὺς, καὶ fratres oderunt, et in consanguineos insurgunt,
κατεξανίστασθαι τῶν ἐξ αἵματος, ἢ καὶ τῶν ἐξ B aut in eos qui ex familiaritate spirituali concor-
οἰκειότητος πνευματικῆς συνειλεγμένων εἰς ἕνωσιν diaque collecti sunt; nec tales honor et decus cha-
καὶ ὁμοψυχίαν. Ἀπήλλακται δὲ τῶν τοιούτων τὰ τῆς ritatis comitatur.
ἀγάπης αὐχήματα.

Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱῶν Ἀμμὼν, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἀνθ' ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν Γαλααδιτῶν, ὅπως ἐμπλατύνωσιν τὰ ὅρια αὐτῶν. Καὶ ἀνάψω πῦρ ἐπὶ τὰ τείχη Ῥαββάθ, καὶ καταφάγεται θεμέλια αὐτῆς μετὰ κραυγῆς, ἐν ἡμέρᾳ πολέμου, καὶ σεισθήσεται ἐν ἡμέρᾳ συντελέσεως αὐτῆς. Καὶ πορεύσεται ὁ βασιλεὺς αὐτῆς ἐν αἰχμαλωσίᾳ, οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες αὐτῶν ἐπὶ τὸ αὐτὸ, λέγει Κύριος.

VERS. 13-15. *Hæc dicit Dominus: Super tribus sceleribus filiorum Ammon, et super quatuor non convertam eos, eo quod dissecabant in ventre habentes ex Galaaditis, ut dilatarent terminos suos. Et succendam ignem in muros Rabbath, et devorabit fundamenta ejus cum clamore in die belli, et commovebitur in die consummationis ejus. Et ibit rex eorum in captivitatem, sacerdotes eorum et principes eorum in idipsum, dicit Dominus.*

ΙΒ'. Καταγράφεται καὶ Ἀμμανιτῶν ὡς Δαμασκη- C XII. Describitur etiam Ammonitarum ut Dama-
νῶν ἀγριότης. Ἀπεκτόνασι καὶ αὐτοὶ τὰς ἐν γαστρὶ scenorum immanitas. Nam et ipsi uterum ferentes
ἐχούσας τῶν Γαλααδιτῶν, οὐχ ἑτέροις τισὶν ἐπαμύ- Galaaditarum dissecuerunt, non ut aliis opitularen-
νοντες, οὔτε μὴν ὀθνείοις δανείζοντες τὰς ὀργὰς, ἀλλ' tur, neque ut exteris iras suas commodarent, sed
ὑπέρ γε σφῶν αὐτῶν, ἵν' εὐρυτέραν ἔχωσι τὴν ἀρχὴν, sua ipsorum causa, ut ditionem haberent latiorem,
καὶ μέχρι πολλοῦ διήκοντας τῆς βασιλείας τοὺς et regni sui fines longius proferrent, tota Judæa
ὅρους, καταδηωθείσης ἁπάσης τῆς Ἰουδαίας γῆς, καὶ vastata, et eversis Israelitis omnibus, ut Deo imbe-
ἀνατετραμμένων εἰσάπαν τῶν ἐξ Ἰσραὴλ, ὡς πεπον- cilli et impotente eo, qui seipsos servaturum pro-
θότος Θεοῦ τὸ ἀναλκὲς, καὶ ἠσθενηκότος ἀληθῶς τοῦ miserat, ac se hostibus suis captivum tradente. Ca-
διασώζειν ἐπηγγελμένου, καὶ τοῖς πολεμεῖν ἐθέλουσιν ptis igitur et his civitatibus, Deum propugnatorem
ἀνάλωτον ἀποφαίνοντος. Ἑλόντες δὴ οὖν καὶ οὗτοι irridere ausi sunt, diis falsis gratias agentes, et vi-
τὰς πόλεις, καταμειδιᾷν ἀπετόλμων τοῦ προασπί- ctoralia carmina accinentes. Quamobrem conflagraturam dicit Rabbath metropolim regionis Ammonitidæ, et cum clamore perituram: nempe Babyloniis more militari lætum in victoria vociferantibus. Subacti sunt enim, Nabuchodonosore totis copiis Ammonitas incursante. Ibunt etiam captivi, inquit, cum principibus subditi, et cum diis suis sacrifici, nullo ab iis auxilio adjuti. Quid enim faciat, aut quomodo cuipiam prosit surdum simulacrum?

ζοντος Θεοῦ, καὶ τοῖς ψευδωνύμοις θεοῖς ἀνῆπτον τὰ χαριστήρια καὶ ᾠδὰς ἐπινικίους. Ταύτῃτοί φησιν ἐμπρησθήσεσθαι τὴν Ῥαββάθ. Μητρόπολις δὲ αὕτη τῆς τῶν Ἀμμανιτῶν ἐστι χώρας. Ἀπολέ[ῖ]σθαι δὲ D αὐτὴν μετὰ κραυγῆς, τουτέστι, καταλαλαζόντων αὐτῆς τὸν τοῦ πολέμου νόμον τῶν Βαβυλωνίων. Ἠρήκασι γὰρ αὐτοὶ πανστρατιᾷ, καταθέοντος τῶν Ἀμμανιτῶν τοῦ Ναβουχοδονόσορ. Βαδιοῦνται δὲ καὶ αἰχμάλωτοι, φησὶν, ὁμοῦ τοῖς κρατοῦσιν οἱ ὑπὸ χεῖρα, καὶ τοῖς ἰδίοις θεοῖς οἱ ἱερᾶσθαι λαχόντες, οὐδὲν παρ' ἐκείνων ἔχοντες εἰς ἐπικουρίαν. Τί γὰρ ἂν καὶ δράσειεν, ἢ πῶς ἂν ὀνήσοιτό τινας ἄγαλμα κοῦφον;

Ἐοίκασι δὲ καὶ οἱ τῶν αἱρέσεων προεστηκότες τοῖς ἀνατέμνουσι τὰς ἐχούσας ἐν γαστρὶ, ὅπως ἐμπλατύνωσι τὰ ὅρια αὐτῶν. Ἵνα γὰρ φαίνωνται πολλῶν ἡγούμενοι, καταβιάζονται ψυχὰς ἀθλίας, καὶ

263 Similes porro sunt hæresum patroni, prægnantes ad fines dilatandos dissecantibus. Ut enim multis præesse videantur, miseras animas vi adigunt, et verborum fallacia quasi crudam et immaturam ipsos

[39] Gen. xxxiii, 4.

Digitized by Google

fidem abortiri faciunt, loquentes ipsis perversa [31], eructantes de cordibus suis, non ex ore Domini. « Nemo enim dicit, Dominus Jesus, nisi in Spiritu sancto [32]. » Sed neque anathema Jesu dicit, nisi in Beelzebub

ταῖς ἐκ λόγων ἀπάταις ὡμὴν ὥσπερ τινὰ καὶ στελεσφόρητον αὐτοῖς τὴν πίστιν ἀπαμβλώσκειν παρασκευάζουσι, λαλοῦντες αὐτοῖς τὰ διεστραμμένα, ἐρευγόμενοί τε τὰ ἀπὸ καρδίας αὐτῶν, οὐκ ἀπὸ στόματος Κυρίου. « Λέγει γὰρ οὐδείς, ὅτι Κύριος Ἰησοῦς, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ, » ἀλλ' οὐδὲ ἀνάθεμα Ἰησοῦ. εἰ μὴ ἐν Βεελζεβούλ.

CAP. II.

VERS. 1-3. *Hæc dicit Dominus : Super tribus impietatibus Moab, et super quatuor non convertam eos, eo quod combusserunt ossa regis Idumææ in cinerem. Et mittam ignem in Moab, et devorabit fundamenta urbium ejus, et morietur in impotentia Moab, cum voce et cum clamore tubæ. Et disperdam judicem ex ea, et omnes principes ejus interficiam cum ea, dicit Dominus.*

ΚΕΦΑΛ. Β'.

Τάδε λέγει Κύριος· Ἐπὶ ταῖς τρισὶν ἀσεβείαις Μωάβ, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς, ἀνθ' ὧν κατέκαυσαν τὰ ὀστᾶ βασιλέως Ἰδουμαίας εἰς κονίαν. Καὶ ἐξαποστελῶ πῦρ εἰς Μωάβ, καὶ καταφάγεται θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀποθανεῖται ἐν ἀδυναμίᾳ Μωάβ, μετὰ φωνῆς καὶ μετὰ κραυγῆς σάλπιγγος. Καὶ ἐξολοθρεύσω κριτὴν ἐξ αὐτῆς, καὶ πάντας τοὺς ἄρχοντας ἀποκτενῶ μετ' αὐτῆς, λέγει Κύριος.

XIII. Moabitæ insuper non vulgariter scelerati ipsi quoque mansuetudinem et patientiam Dei universorum jam superaverant, quibus criminis loco objicitur peccatum in mortuum. Combussisse eos ait ossa regis Idumææ, et sic combussisse, ut in terram ac pulverem redigerentur. Quid igitur scelus hoc? odium, et inhumanitas, et indomita feritas contra Israelitas. Combusta enim esse memorati regis ossa non ob aliud quispiam affirmarit, quam ob Israelitas tantum. Notam historiam paucis narrabo. In quarto Regum mandatum est litteris, mortuo Achab, regem Moab prævaricatum esse fœdus quod habebat cum rege Israel. Joram autem e Samaria misisse ad Josaphat regem Juda nuntium, in hæc verba: « Rex Moab prævaricatus est in me. Si ibis mecum contra Moab ad prælium? Et respondit: Ascendam. Et abiit rex Israel, et rex Juda, et rex Edom [33]. » Considera igitur quomodo cum regibus istis etiam rex Edom, id est Idumææ, arma sociaverit. Laborantes autem aquæ penuria, accersierunt Elisæum, rogantes ut daretur ipsis a Domino quod petebant. Quo facto, Moabitæ in potestatem venerunt, 264 ut infra exponitur. Irati ergo Moabitæ Israelitis, a quibus olim victi essent, Edom rege ipsis opem ferente, quoniam lædere jam mortuos nequibant, alia ratione peccarunt in reliquias, igne eas absumentes et neque ossibus parcentes, atque ita Israelitis funditus a se deletis, etiam ipsorum aliquando socium adjecerunt. Quare exustum iri dicit urbes ipsorum, et ipsos perituros in impotentia, non morbo exhaustos, nec communibus invaletudinibus contabefactos, « sed cum clamore et voce tubæ, » hoc est, sicut in bello et conflictu. Judices quoque et principes una cum subditis interituros minatur. Illi quippe hujus consilii et incepti auctores, et totius impietatis aliis plane suasores fuerunt.

ΙΓ'. Μωαβῖται πάλιν δεδυσσεβήκασιν οὐ μετρίως, ὡς ἐπέκεινα λοιπὸν καὶ αὐτοὺς ἐλᾶσαι τῆς ἐνούσης ἡμερότητός τε καὶ ἀνεξικακίας τῷ τῶν ὅλων Θεῷ. Ἐπίκλημα δὲ αὐτοῖς ἡ εἰς νεκρὸν ἁμαρτία, τὸ ἐμπρῆσαι, φησί, τὰ ὀστᾶ τοῦ βασιλέως τῆς Ἰδουμαίων· ἐμπρῆσαι δὲ οὕτως, ὡς κατισχνῶσαι λοιπὸν εἰς χοῦν καὶ κονίαν. Τί τοίνυν τὸ ἔγκλημα; Μῖσος, καὶ ἀπανθρωπία, καὶ ἀχάλινος ἀγριότης κατὰ τῶν ἐξ Ἰσραήλ. Ἐμπεπρῆσθαι γὰρ οὐχ ἑτέρου του χάριν τὰ τοῦ μνημονευθέντος βασιλέως ὀστᾶ φαίη τις ἄν, ἢ μόνον ἕνεκα τῶν ἐξ Ἰσραήλ. Σαφῆ δὲ οὖσαν τὴν ἱστορίαν διὰ βραχέων ἀφηγήσομαι. Ἐν τῇ τετάρτῃ γέγραπται τῶν Βασιλειῶν, ὅτι μετὰ τὸ ἀποθανεῖν Ἀχαάβ, ἠθέτησε Μωάβ ἐν βασιλεῖ Ἰσραήλ. Ὁ δὲ Ἰωρὰν ἐκ Σαμαρείας ἀπέστειλε πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα· « Βασιλεὺς Μωάβ ἠθέτησεν ἐν ἐμοί. Εἰ πορεύσῃ μετ' ἐμοῦ ἐπὶ Μωάβ εἰς πόλεμον; Καὶ εἶπεν· Ἀναβήσομαι. Καὶ ἐπορεύθη ὁ βασιλεὺς Ἰούδα, καὶ ὁ βασιλεὺς Ἰσραήλ, καὶ ὁ βασιλεὺς Ἐδώμ. » Ἄθρει δὴ οὖν ὅπως συνωπλίζετο τοῖς βασιλεῦσι καὶ ὁ βασιλεὺς Ἐδὼμ, τουτέστι, τῆς Ἰδουμαίας. Ἐπειδὴ δὲ ἦσαν ὑδάτων ἐν σπάνει, μετεπέμποντο τὸν Ἐλισαῖον, καὶ παρεκάλουν δοθῆναι παρὰ Θεοῦ τὸ ζητούμενον. Οὗ δὴ γεγονότος, ἤλωσαν Μωαβῖται, καθὰ γέγραπται μεθ' ἕτερα. Ἐπιμηνιῶντες τοίνυν οἱ ἀπὸ Μωὰβ ὅτι νενικήκασι κατὰ καιροὺς οἱ ἐξ Ἰσραήλ, ἐπαμύνοντος αὐτοῖς καὶ συνεξάγοντος τοῦ βασιλέως Ἐδὼμ, ἐπειδὴ τεθνεώτων λυπεῖν οὐκ εἶχον, ἑτέρως πεπλημμελήκασιν εἰς τὸ λείψανον, πυρὶ δαπανῶντες αὐτὸν, καὶ μηδὲ ὀστῶν ἔτι φειδόμενοι, προστιθέντες δὲ ὥσπερ ὠλοθρευμένοις τοῖς ἐξ Ἰσραὴλ τὸν ἐπίκουρον αὐτοῖς γεγονότα κατὰ καιρούς. Οὐκοῦν ἐμπρησθήσεσθαί φησι τὰς πόλεις αὐτῶν, καὶ αὐτοὺς δὲ ἀπολεῖσθαι ἐν ἀδυναμίᾳ, οὐ νόσῳ μαραινομένους, οὐδὲ ταῖς κοιναῖς ἀσθενείαις ἐκτετηγμένους, ἀλλὰ μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος, τουτέστιν, ὡς ἐν πολέμῳ καὶ μάχῃ· ἀπειλεῖ δὲ, ὅτι κριταὶ καὶ ἄρχοντες συναπολοῦνται [μετὰ] τῶν ὑπεστρωμένων. Αὐτοὶ γὰρ ἦρχον βουλῆς καὶ ἐγχειρημάτων, καὶ τῆς ὅλης δυσσεβείας πάντως που γεγόνασι τοῖς ἄλλοις εἰσηγηταί.

[31] Act. xx, 30. [32] I Cor. xii, 3. [33] IV Reg. iii, 7-9.

Digitized by Google

Τάδε λέγει Κύριος· Ἐπὶ τρισὶν ἀσεβείαις υἱῶν Ἰούδα, καὶ ἐπὶ τέσσαρσιν, οὐκ ἀποστραφήσομαι αὐτούς, ἕνεκεν τοῦ ἀπώσασθαι αὐτοὺς τὸν νόμον Κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο, καὶ ἐπλάνησαν αὐτοὺς τὰ μάταια αὐτῶν, ἃ ἐποίησαν, οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν. Καὶ ἐξαποστελῶ πῦρ ἐπὶ Ἰούδα, καὶ καταφάγεται θεμέλια Ἰερουσαλήμ.

A VERS. 4, 5. *Hæc dicit Dominus: Super tribus impietatibus filiorum Juda, et super quatuor non convertam eos, eo quod abjecerunt ipsi legem Domini, et præcepta ejus non custodierunt, et deceperunt eos vana eorum quæ fecerunt, quæ secuti sunt patres eorum posteu. Et mittam ignem in Juda, et devorabit fundamenta Jerusalem.*

ΙΔ'. Προσεπενήνεκται τοῖς ἀνόμοις ἔθνεσι καὶ ὁ νόμῳ παιδαγωγούμενος Ἰούδας· ἀπροσωπόληπτος γὰρ ὁ κριτής. Ὅτι δὲ πλημμελοῦντα ἠνέσχετο, καὶ διεκαρτέρησε μακρὰ, τῷ ἐπὶ τρίτῃ μόλις ἁμαρτίᾳ καὶ μὴν καὶ τετάρτῃ κεκινῆσθαι δηλοῖ. Καίτοι ἐχρῆν δήπου, κατά γε τὸ εἰκὸς, τοῖς μὲν ἄλλοις ἔθνεσιν, ἅτε δὴ τὸν θεῖον οὐκ ἔχουσι νόμον, ἀμφιλαφεστέραν ἀπονέμειν τὴν ἡμερότητα, καὶ τὸ τῆς συγγνώμης ἐπιδαψιλεύεσθαι μῆκος, ἐξαιτεῖν δὲ τῆς ῥᾳθυμίας τὰς δίκας παραχρῆμα τὸν Ἰσραὴλ, ἅτε δὴ καὶ ἐντεθραμμένον τοῖς θείοις ἐντάλμασι, καὶ τὴν τοῦ συμφέροντος οὐκ ἠγνοηκότα τρίβον. Ἀλλ' ἠνέσχετο καὶ τῶν εἰδότων τὸν νόμον, ὡς μὴ ἐγνωκότων. Ἐπειδὴ δὲ εἰς λῆξιν ἤδη φαυλότητος καὶ λογισμῶν σκαιότητος ἀπενηνεγμένους κατεθεᾶτο λοιπὸν, τότε καὶ αὐτοῖς τοῖς Ἱεροσολύμοις φησὶν ἐπαφήσειν τὸ πῦρ, καὶ μέχρις αὐτῶν δαπανῆσαι βάθρων τὴν οὕτω λαμπράντε καὶ περιώνυμον πόλιν. Καὶ πλεῖστα μὲν ὅσα τῶν ἐξ Ἰσραὴλ τὰ ἐγκλήματα, μάλιστα δὲ πάντων ἐπαιτιᾶται Θεὸς τὸ ταῖς τῶν πατέρων ἐπακολουθῆσαι πλάναις. Οἱ μὲν γὰρ ἔτι ταῖς Αἰγυπτίων πλεονεξίαις ὑπεζευγμένοι, καὶ τοῖς ἐκείνων ἔθεσί τε καὶ νόμοις ἐντεθραμμένοι, μόσχῳ τὸ σέβας ἀνῆπτον· οἱ δὲ τὴν παμμόχθηρον ἐκείνην διαφυγόντες δουλείαν, καὶ τοῖς θείοις ἐντάλμασι πολυτρόπως παιδαγωγούμενοι πρὸς τὸ εἰδέναι σαφῶς τὸ Θεῷ δοκοῦν, ἀνόπιν ἰόντες ἠλίσκοντο, καὶ εἰς τὴν τῶν πατέρων κατασυρόμενοι πλάνησιν, καίτοι μὴ ἐν ἴσοις ὁρᾶσθαι κακοῖς τάχα που καὶ δεδιότες ὡς ἀκαλλές. Προσκεκυνήκασι γὰρ καὶ αὐτοὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς. Αἴτιον δὲ τῆς τοιαύτης αὐτοῖς γέγονε δυσσεβείας, τὸ ἀπώσασθαι τὸν νόμον Κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ μὴ ἐθελῆσαι τηρεῖν.

XIV. Subjungitur gentibus sine lege, legibus eruditus Juda, non enim respicit personam judex. Sustinuisse autem peccantem, et diu tolerasse significat, quod vix tandem tertio, aut etiam quarto scelere commotus est. Atqui postulabat æquitas, ut gentibus, quæ legem divinam non habebant, benignitatem ampliorem tribueret, multoque diutius ignosceret; ab Israel autem socordiæ pœnas mox reposceret, ut qui in divinis mandatis educatus, ubi sita esset utilitas non ignoraret. Sed scientes legem æque ut nescientes sustinuit. Postquam vero in summam improbitatem cogitationesque stultissimas præcipites jam abiisse vidit, tum in Hierosolymam ipsam ignem missurum dicit, et urbem adeo insignem et nominatam usque ad fundamenta flammis consumpturum. Et multa quidem valde Israelitarum scelera reprehendit; sed maxime omnium illud, quod patrum errores secuti sint. Filii enim adhuc Ægyptiorum **265** dominatui subjecti, illorumque moribus et legibus assuefacti, vitulo divinos honores adhibuerunt. At hi, cum servitutem illam nefandissimam effugissent, et divinorum mandatorum disciplina multimodis instituti essent, ut perspicue Dei beneplacitum scirent, retro conversi, et in patrum suorum errorem pertracti esse deprehensi sunt; quanquam fortasse propter turpitudinem in idem malum videri incidisse metuerent. Nam et ipsi vitulos aureos adorarunt. Causa autem impietatis hujus fuit, quod legem Dei repulerunt et mandata ejus servare noluerunt.

Οὐκοῦν ἕως ἐσμὲν νομοφύλακες, καὶ φιλόθεοι, καὶ τηρεῖν. σπουδάζοντες τὰ προστεταγμένα, σοφοὶ καὶ ἀγχίνοι, καὶ πάσης ἀρετῆς ἐπιστήμονες, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων πεπλουτηκότες εὑρεθησόμεθα. Νενευκότες δὲ πρὸς τὸ ῥᾳθυμον, καὶ τῶν θείων ἀλογήσαντες νόμων, περιενεχθησόμεθα λοιπὸν ἀνέμῳ παντὶ, νοῦ, καὶ φρενὸς τῆς ἀρίστης τητώμενοι. Ἐσόμεθα δὲ καὶ μερίδες ἀλωπέκων, τῇδέ τε κἀκεῖσε περιελκόντων ἡμᾶς τῶν ἀκαθάρτων πνευμάτων. Ὀρθῶς οὖν ἄρα καὶ σοφῶς περὶ δικαίου παντὸς ὁ θεσπέσιος ψάλλει Δαβίδ· « Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. »

Quapropter quandiu leges custodimus, et Deum diligimus, et quæ præcepta sunt nobis, ea conficere studemus, sapientes, solertes, omnis virtutis gnari, et omnibus hujusmodi copiis ditati reperiemur. Sin ad ignaviam deflexerimus, et divinas leges floccipenderimus, circumferemur de cætero omni vento [34], sensu et mente optima orbati. Erimus item partes vulpium [35], huc illuc distrahentibus nos immundis spiritibus. Probe igitur ac sapienter de quovis justo divinus David canit: « Lex Dei ejus in corde ipsius, et non supplantabuntur gressus ejus [36]. »

Τάδε λέγει Κύριος· Ἐπὶ τρισὶν ἀσεβείαις Ἰσραὴλ καὶ ἐπὶ τέσσαρσι οὐκ ἀποστραφήσομαι αὐτὸν, ἀνθ' ὧν ἀπέδοντο ἀργυρίου δίκαιον,

VERS. 6. *Hæc dicit Dominus: Super tribus impietatibus Israel, et super quatuor non convertam eum, eo quod vendiderunt argento justum, et pauperem*

[34] Ephes. IV, 14. [35] Psal. LXII, 11. [36] Psal XXXVI, 31.

Digitized by Google

pro calceamentis conculcantem super pulverem terræ.

XV. Non relinquit impunitum, sed supplicio subjicit Israel, hoc est, tribus in Samaria. Jam eos quoque peccasse libere, ac prodegisse propemodum infirmis debitam a Deo pacem et tranquillitatem, ostendere potest super tribus et quatuor peccatis aversio : quam qui experti sunt, eos calamitatibus subjici, et in omni miseria volutari necesse est. Proinde et David, hoc formidans, nec ignorans eo perniciem apportari, orabat his verbis : « Ne avertas faciem tuam a me, et ne declines in ira a servo tuo [37]. » Ira enim aversiones sequitur omnino, et quodammodo comitatur. Quæ autem sint scelera Israel, clare indicat. « Vendiderunt enim argento justum et pauperem pro calceamentis, » id est, recta et justa loqui **266** non sustinuerunt, et legi congruenter exercere in singulis judicium. Sed si forte contigisset virum justum, modestum, mitem, moderatum et a jactantia alienum (talis enim justi et pauperis, id est, pauperis spiritu, nomine intelligi potest), in judicium a potentioribus vocari, hunc vendiderunt inimicis, quanquam id lege aperte prohibeme, cum ait : « Non accipies personam in judicio [38]. » Et iterum : « Innocentem et justum non interficies [39]. » Etenim cui officium judicis mandatum est, locum Dei plane obtinet, cui et soli proprium est judicare. « Unus est enim legislator et judex [40], » ut sanctus quidam ait. Qui igitur justitiæ rationem adulterat et personam respicit, in divinam excellentiam contumeliosus erit, et Deum offendet dicentem : « Justum judicium judicate, et misericordiam et miserationes facite unusquisque cum proximo suo [41]. » Accusat igitur eos, ut qui justum et pauperem inimicis eorum vendiderint, et istud facere soliti sint propter quæsticulum vilissimum, qui ipsis accipientibus ad comparanda calceamenta tantum prodesse queat. Atqui longe præstabat rectitudinem, et Dei beneplacitum complexos, honoribus ab eo donatis velut inebriari, et bonæ famæ divitias obtinere. « Eligibilius enim bonum nomen, quam divitiæ multæ [42]. » Sciendum porro, etiam per Isaiam tale quid ad Judæorum matrem, nempe ad Jerusalem dictum esse : « Principes tui pupillis non judicant, et judicio viduarum non attendunt [43]. » Et rursus per Jeremiam : « Principes ejus cum muneribus judicabant [43a]. » Exsecranda igitur res apud omnes, non recte, et extra calumniam judicandi munere fungi; sed cum invidia quodammodo et inæqualitate, ut criminationibus sis expositus.

A καὶ πέντε ἕνεκεν ὑποδημάτων καταπατοῦντα ἐπὶ τὸν χοῦν τῆς γῆς.

ΙΕ'. Οὐκ ἀνεύθυνον ἐᾷ, μᾶλλον δὲ ὑποφέρει ταῖς δίκαις τὸν Ἰσραὴλ, τουτέστι, τὰς ἐν Σαμαρείᾳ φυλάς· ὅτι δὲ καὶ αὐτοὶ πλημμελοῦντες ἀφυλάκτως, μονονουχὶ καὶ δεδαπανήκασι τὴν τοῖς ἀσθενοῦσιν ὀφειλομένην παρὰ Θεοῦ γαληνότητα, παραδεῖξειεν ἂν ἡ ἐπὶ τρισὶ καὶ τέτταρσιν ἁμαρτίαις ἀποστροφή, ἣν ἀνάγκη πεπονθόσιν ὑποφέρεσθαι τοῖς δεινοῖς, καὶ ἐν παντὶ γενέσθαι κακῷ. Τοιγάρτοι καὶ Δαβὶδ δεδιὼς τὸ χρῆμα, καὶ ὀλέθρου πρόξενον εἰδὼς, ἐλιπάρει λέγων· « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. » Ἕπεται γὰρ πάντως, καὶ οἱονείπως συνομαρτεῖ ταῖς ἀποστροφαῖς ἡ ὀργή. Τίνα δὲ δὴ τῶν ἐξ Ἰσραὴλ τὰ ἐγ- B κλήματα, διαγορεύει σαφῶς. « Πεπράκασι γὰρ ἀργυρίῳ δίκαιον, καὶ πένητα ἕνεκεν ὑποδημάτων, » τουτέστιν, ὀρθὰ καὶ δίκαια λαλεῖν οὐκ ἠνέσχοντο, καὶ συμβαίνουσαν τῷ νόμῳ τὴν ἐφ' ἑκάστῳ τῶν κρινομένων ποιεῖσθαι δίκην. Ἀλλ' εἰ συνέβη τυχὸν ἄνδρα δίκαιον, σώφρονα καὶ ἐπιεικῆ, μετριόφρονά τε καὶ ἀφιλόκομπον (νοηθείη γὰρ ἂν τοιόσδε δίκαιός τε ὁμοῦ καὶ πένης, ἤτοι πτωχὸς τῷ πνεύματι) παρενεχθῆναι πρὸς κρίσιν ὑπὸ τούτων δυνατωτέρων, οὗτος καταπέπραται τοῖς ἐχθροῖς, καίτοι τοῦ νόμου σαφῶς διηγορευκότος τὸ, « Οὐ λήψῃ πρόσωπον ἐν κρίσει. » Καὶ πάλιν, « Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. » Ὁ γάρ τοι κρίνειν πεπιστευμένος, κάθηταί που πάντως ἐν τάξει Θεοῦ, ᾧ δὴ τὸ κρίνειν καὶ μόνῳ οἰκεῖον. « Εἷς γάρ ἐστι νομοθέτης, καὶ κριτὴς, » C κατὰ τὴν τοῦ ἁγίου φωνήν. Οὐκοῦν ὁ τοῦ δικαίου παρασημαίνων τὸν λόγον καὶ εἰς πρόσωπον βλέπων, ὑβρίσει που τὸ θεῖον ἀξίωμα, καὶ τῷ Θεῷ προσκρούσει, λέγοντι· « Κρῖμα δίκαιον κρίνατε, καὶ ἔλεος καὶ οἰκτιρμὸν ποιεῖτε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. » Αἰτιᾶται τοίνυν ὡς καταπωλοῦντας ἐχθροῖς τὸν δίκαιόν τε καὶ πένητα, καὶ τοῦτο ῥᾳδίως εἰωθότας ὀλίγων ἕνεκα καὶ ἀτελεστάτων λημμάτων, ἃ καὶ μόνοις τοῖς λαβοῦσιν ἀρκέσειεν ἂν πρὸς ὑποδημάτων κτῆσιν. Ἀλλ' ἦν ἄμεινον παρὰ πολὺ τὴν ὀρθότητά τε καὶ τὸ Θεῷ δοκοῦν τιμᾷν ἡρημένους, ταῖς παρ' αὐτοῦ μᾶλλον καταμεθύειν τιμαῖς, καὶ μέντοι καὶ πλοῦτον ἔχειν τὸν ἐξ ἀγαθῆς εὐφημίας. « Αἱρετὸν γάρ, φησὶν, ὄνομα καλὸν, ἢ πλοῦτος πολύς. » Ἱστέον δὲ D ὅτι καὶ διὰ φωνῆς Ἡσαΐου τοιοῦτόν τί φησι πρὸς Ἰουδαίων μητέρα, τουτέστι, τὴν Ἱερουσαλὴμ, ὅτι « Οἱ ἄρχοντές σου ὀρφανοὺς οὐ κρίνουσι, καὶ κρίσεις χήρας οὐ προσέχουσι· » διὰ δὲ Ἱερεμίου πάλιν· « Οἱ ἡγούμενοι αὐτῆς, μετὰ δώρων ἔκρινον. » Ἐπάρατον οὖν πανταχῇ τὸ μὴ ὀρθήν τε καὶ ἀδιάδηλον ποιεῖσθαι τὴν κρίσιν, ἀλλ' ἐπαχθῆ τρόπον τινὰ καὶ ἐπ' ἀνισότητι διαβεβλημένην.

Καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν

IG'. Κατὰ δυναστείαν αὐτοῖς καὶ πλεονεξίαν ἐγκαλεῖ καὶ καταιτιᾶται σαφῶς, ὡς ἀνοσίους τε καὶ

VERS. 7. *Et pugnis percutiebant in capita mendicorum.*

XVI. Secundum potentiam et aliis præeminendi studium eos reprehendit, palamque ut impios et mi-

[37] Psal. xxvi, 9. [38] Deut. i, 17. [39] Exod. xxiii, 7. [40] Jac. iv, 12. [41] Zach. vii, 9. [42] Prov. xxii 1. [43] Isa. i, 23. [43a] Mich. iii, 11.

Digitized by Google

ἀφιλοικτίρμονας, καὶ οὓς ἦν ἄμεινον καὶ φροντίδος ἀξιοῦν, καὶ τιμᾷν ἐλέσθαι, καὶ τοῖς ἐξ ἀγάπης ἐπικουρήμασιν ἀνακτᾶσθαι φιλεῖν ἐκ τῶν ἐναντίων· καὶ ἀδικεῖν εἰωθότας, ἀφορήτοις τε καὶ πικραῖς κατατήκοντας λύπαις τοὺς τῇ πτωχείᾳ πεφορτισμένους. Ἀλλ' ὅ γε Κύριος ἡμῶν εἰς οἰκεῖον ἀναγράφει πρόσωπον τὰ εἰς αὐτοὺς πραττόμενα. Οὐκοῦν οὐ μετρίως Θεῷ προσκρούομεν, πλεονεκτοῦντες τὸν ἀσθενῆ, καὶ τύπτοντες μὲν ταπεινὸν πυγμαῖς, καθὼς γέγραπται, καταπικραίνοντες δὲ ταῖς δυσθυμίαις τοὺς τῇ πτωχείᾳ κατηχθημένους, καίτοι χεῖρα μᾶλλον ὀφείλοντες ὀρέγειν αὐτοῖς τὴν φιλάλληλον. « Πενία γὰρ, φησὶν, ἄνδρα ταπεινοῖ, χεῖρες δὲ ἀνδρείων πλουτίζουσι. » Γράφει δέ που καὶ ὁ Χριστοῦ μαθητής· « Θρησκεία καθαρὰ καὶ ἀμίαντος παρὰ Θεῷ καὶ Πατρὶ αὕτη ἐστὶν, ἐπισκέπτεσθαι ὀρφανοὺς καὶ χήρας ἐν τῇ ταπεινώσει αὐτῶν, καὶ ἄσπιλον ἑαυτὸν τηρεῖν ἀπὸ τοῦ κόσμου. »

Καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν.

ΙΖ'. Τοῦτο νοήσεις δίχα. Ἢ γὰρ ἐκεῖνό φησιν, ὅτι πεφρονήκασιν ὑπέρογκα, καὶ θεοστυγοῦς ἀλαζονείας εἰς τοῦτο ἦκουσιν τὸ μέτρον, ὡς παραιτεῖσθαι καὶ ἀδελφοὺς, εἰ μὴ πλούτῳ περιχέοιντο, καὶ λαμπρὰς ἔχοιεν τὰς περιουσίας, μισεῖν δὲ ὥσπερ ἰέναι καὶ κατὰ ταυτὸ τοῖς οὐκ ἄγαν ἐξησκηκόσι τὸ φιλοχρήματον πάθος, οἳ καὶ εἰσὶ ταπεινοὶ, τὸν εἰκαῖον τοῦ βίου διωθούμενοι σάλον. Ἤγουν ὅτι καθηγηταὶ γεγονότες, καὶ λαῶν ἡγούμενοι, παρευθύνουσι τὴν ὁδὸν τῶν ἀσθενεστέρων, ἤτοι τῶν ταπεινῶν, δῆλον δὲ ὅτι τῶν οἴκοθεν μὲν οὐκ ἐχόντων τὴν τοῦ συμφέροντος εἴσησιν ἀκριβῆ, προσκειμένων δὲ μᾶλλον ταῖς τῶν παιδαγωγούντων φωναῖς. Πλείστη δὲ ὅση πληθὺς ἡ τοιάδε. Ζῶσι μὲν γὰρ ἀπεριεργότερον καὶ ἐν ἁπλότητί τινες, ἀπήρτηνται δὲ τῆς τῶν διδασκόντων φωνῆς, ἤτοι παιδαγωγίας, καὶ ἥνπερ ἂν μάθοιεν εὖ ἔχειν ὁδὸν, ἀγαπῶσι λίαν. Οὐκοῦν οἱ μὲν σοφοὶ καὶ θεοφιλεῖς τῶν καθηγεῖσθαι λαχόντων, τὴν ἐπ' εὐθὺ δεικνύουσι τρίβον, δι' ἧς μάλα διάττοντες, τὴν ἀνδάνουσαν Θεῷ κατορθοῦσι ζωήν. Οἱ δὲ δὴ μακρὰν τοῦ θείου πεφρονηκότες νόμου, παρευθύνουσι τῶν ταπεινῶν τὴν ὁδὸν, ἔξω τοῦ εἰκότος καὶ τοῦ πρέποντος ἀληθῶς γενέσθαι παρασκευάζοντες (ὁποῖόν τι δέδρακεν Ἱεροβοὰμ, ἀναπεπεικὼς προσκυνεῖν ταῖς χειροτεύκτοις δαμάλεσι), καὶ ἀποστήσαντες ὁδοῦ τῆς εἰς εὐθύ τε καὶ ἀγαθὸν, τοῦ προσκεῖσθαι, φημὶ, τῷ φύσει Θεῷ.

Ἐκκλίνουσι τῶν ταπεινῶν τὰς ὁδοὺς καὶ οἱ λέγειν οὐ παραιτούμενοι τῷ ἠπίῳ τὰς φρένας· Ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος ἀδίκου. Ἐκκλίνουσι τῶν ταπεινῶν τὴν ὁδὸν καὶ οἱ τῶν ἐκκλησιαστικῶν δογμάτων παρατρέποντες τὴν ὀρθότητα ἐπί γε τὸ σφίσι δοκοῦν, καὶ σκολιὰν καὶ διεστραμμένην ἰέναι τρίβον τὸν τῶν ἁπλουστέρων ἀναπείθοντες νοῦν· καὶ γὰρ ἔστι παρ' αὐτοῖς ὀρθὸν μὲν οὐδὲν, ἐκτετραμμένα δὲ μᾶλλον καὶ ἀκαλλῆ ῥήματα, καὶ συνθῆκαι λόγων, ἀσεβείας τε ὁμοῦ καὶ ἀμαθείας ἔμπλεοι.

Καὶ υἱὸς καὶ πατὴρ εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδίσκην, ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ Θεοῦ αὐτῶν.

sericordiæ expertes insimulat, et assuetos lædere, quos contra cura dignari, et honoribus prosequi, et auxiliis a charitate profectis demereri melius fuisset ; et solitos injuriosius tractare, intolerandisque et acerbis macerare molestiis paupertatis onere oppressos. Verum Dominus noster sibi facta dicit, quæ in illos fiunt. Quare non mediocriter Deum offendimus, dum infirmum circumvenimus, et humilem pugno percutimus, ut scriptum est, **267** exacerbantes animi mœroribus eos quos paupertatis onus gravat, cum magis manus amoris mutua illis porrigenda foret. « Paupertas enim, inquit, virum humiliat, manus autem fortium ditant [45]. » Scribit alicubi etiam Christi discipulus : « Religio munda et immaculata apud Deum et Patrem hæc est, visitare pupillos et viduas in tribulatione ipsorum, et immaculatum se custodire ab hoc sæculo [46]. »

Et viam humilium declinaverunt.

XVII. Hoc bifariam intelliges. Aut enim illud dicit, supra modum inflatos fuisse, et eo arrogantiæ Deo odibiles venisse, ut et fratres aspernarentur, nisi opibus circumfluerent, et splendidas rerum copias haberent, gravarenturque quodammodo eadem via cum iis ingredi, qui in ratione pecuniæ avare colligendæ non essent egregie exercitati, qui et humiles sunt, fortuitos vitæ fluctus ab se repellentes. Aut quia magistri et duces populi viam declinant infirmorum, sive humilium, eorum scilicet, qui per se accuratam utilium notitiam non habent ; sed erudientium se vocibus potius adhærent. Talium turba longe maxima est. Vivunt enim quidam incuriosius et in simplicitate, a vocibus docentium, sive institutione pendentes, et quam viam bonam cognoverint, vehementer amant. Sapientes igitur et Dei amantes magistri ad id quod rectum est, ostendunt iter, per quod actiones suas componentes, vitam Deo placitam feliciter traducunt. Quorum autem cogitationes a Deo procul distant, detorquent humilium viam, faciuntque, ut extra id quod æquum est, et vere decet, ferantur (quale fecit Jeroboam, qui Israelitis auctor fuit, ut vitulos manufactos adorarent [47]), et a via ad rectum et bonum deducente, ad adhærendum, inquam, ei, qui natura Deus est, averunt.

Etiam illi humilium viam declinant, qui non dubitant mente puero dicere : Veni nobiscum, esto particeps sanguinis injusti. Præterea declinant viam humilium, qui dogmata ecclesiastica ad suam opinionem depravant, et simpliciorum animis obliqua et perversa via ambulare persuadent. Nihil enim apud ipsos rectum est, sed potius verba perversa et indecora, et sermones compositi, impietatis simul et inscitiæ pleni.

268 *Et filius et pater ingressi sunt ad eamdem ancillam, ut violarent nomen Dei sui.*

[45] Prov. x, 4. [46] Jac. i, 27. [47] III Reg. xii, 28.

Digitized by Google

XVIII. Propter protervas et reprehensione dignas voluptates rursum in eos invehitur, et in uno hoc peccato omnem pudorem contempsisse ostendit, cum melius fuisset, turbulentas motiones comprimere, et superiorem esse voluptate insitata ac detestanda, et præcidere cupiditates, voluntatem carnis coercere et legi in membris nostris [46] ferocienti quietem persuadere scientes. Verum illi, ad tam eximiam virtutem non aspirantes, suis passionibus victi sunt, opinor. Deinde quomodo non cum sapientia conjunctum est, in rebus turpibus saltem eligere melius? At stultum prorsus concipere longe nefandissima, et in patris cubile insilire filium, in filii autem cubile scelesto et insano amore percitum ferri patrem, et non dubitare facinus committere, quod sine lege Moysis natura ipsa pro turpi habet, iratoque animo condemnandum censet. Itaque Ruben, paterno cubili violato, magnopere offendit [47]. Indignatus est item vehementer Paulus super tali quodam scelere apud Corinthios perpetrato. Quibus ita scribit : « Omnino auditur inter vos fornicatio, et talis fornicatio qualis nec inter gentes, ut uxorem patris sui quis habeat [48]. » Sed non hic ejus indignatio stetit, tradidit enim eum qui id fecerat Satanæ in interitum carnis. Violant igitur nomen Dei sui hujuscemodi passionibus impliciti. Nec eos sordibus et immunditia divinam naturam aspergere dicimus. Qui enim istud? sed blasphemari faciunt potius universorum Deum, ut qui populis profanis imperet. Hinc ad Judam ait : « Per vos nomen meum blasphematur in gentibus [49]. Quemadmodum enim Deum sanctificare dicuntur qui recte vivunt, sic eum violare intelligi possunt qui impurum et illaudabile vitæ institutum persequuntur.

ΙΗ'. Ἐπὶ θερμαῖς καὶ ἐπιπλήκτοις ἡδοναῖς καταπτᾶται πάλιν, καὶ ἁπάσης εὐκοσμίας ἡφειδοκότας ἐφ' ἑνὶ δὴ τούτῳ δέδειχε πλημμελήματι. Ἦν μὲν γὰρ ἄμεινον τὸ κατανδρίζεσθαι παθῶν, καὶ κατευμεγεθεῖν ἡδονῆς ἐκτόπου καὶ μυσαρᾶς, καὶ ἀποκόπτειν ἐπιθυμίας, τοῖς τῶν σαρκῶν θελήμασιν ἐπιτιμᾶν ἐγνωκότας, καὶ κατηρεμεῖν ἀναπείθοντας τὸν ἐν τοῖς μέλεσιν ἡμῶν ἀγριαίνοντα νόμον. Ἀλλ' ἦσαν ἐκεῖνοι τῆς οὕτω λαμπρᾶς κατόπιν ἀρετῆς, ἥττηνται δὲ τάχα που τῶν εἰς σάρκα παθῶν. Εἶτα πῶς οὐ σοφὸν, κἂν γοῦν ἐν τοῖς αἰσχροῖς αἱρεῖσθαι τὸ ἄμεινον; Ἐννοεῖν τε τῶν ἄγαν ἀτοπωτάτων, πατρὸς μὲν υἱὸν ἐπιθρώσκειν εὐναῖς, πατέρα δὲ αὐταῖς τοῦ υἱοῦ κοίταις ἀνοσίως ἐπιμαίνεσθαι φιλεῖν, καὶ πράξει δεινὸν ἐλέσθαι πληροῦν, ὃ καὶ δίχα νόμου τοῦ διὰ Μωσέως ἡ φύσις οἶδεν αἰσχρὸν, καὶ τοῖς ἐξ ὀργῆς κινήμασι καταδικάζειν ἀξιοῖ. Καὶ γοῦν ὁ Ῥουβεὶμ, τὴν τοῦ πατέρος ἀδικήσας εὐνὴν, προσκέκρουκεν οὐ μετρίως. Ἠγανάκτει δὲ σφόδρα καὶ Παῦλος ἐπὶ τοιῷδέ τινι πεπραγμένῳ παρὰ Κορινθίοις, καὶ ἐπιστέλλει· « Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν ὀνομάζεται, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. » Ἀλλ' οὐ μέχρι τούτων ἵστησι τὴν ἀγανάκτησιν. Παραδίδου δὲ τὸν εἰργασμένον τῷ Σατανᾷ, πρὸς ὄλεθρον τῆς σαρκός. Βεβηλοῦσι δὴ οὖν τὸ ὄνομα τοῦ Θεοῦ αὐτῶν οἱ τοῖς τοιοῖσδε πάθεσιν ἔνοχοι. Καὶ οὗτοι πού φαμεν, ὅτι βεβήλωσιν εἰς ἀκαθαρσίαν τῇ θείᾳ προσέτριβον φύσει· πῶς γὰρ ἄν, ἢ πόθεν; δυσφημεῖσθαι δὲ μᾶλλον παρασκευάζουσι τὸν τῶν ὅλων Θεὸν, ὡς βεβήλων ἄρχοντα λαῶν. Καὶ γοῦν ἔφη που πρὸς Ἰούδαν· « Δι' ὑμᾶς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσιν. » Ὥσπερ γὰρ ἁγιάζειν λέγονται τὸν Θεὸν οἱ ζῶντες ὀρθῶς, οὕτως ἂν νοοῖντο βεβηλοῦν οἱ τὴν ἀκάθαρτον καὶ ἀκλεᾶ ἐπιτηδεύοντες πολιτείαν.

XIX. Dominus noster Jesus Christus non ob aliud divina templa ædificanda docens, quam ut in ipsis universorum Deus glorificetur, et quæ illum decet adoratio adhibeatur, aliquando Judæorum institores increpuit, qui animalia in templum adducerent, cum dixit : « Domus mea, domus **269** orationis vocabitur [50], » adjungitque sacra Scriptura, recordatos fuisse discipulos, quia scriptum sit : « Zelus domus tuæ comedit me [51]. » Objurgat etiam Paulus quosdam similia audere solitos. « Nunquid domos non habetis, inquit, ad manducandum et bibendum, aut ecclesiam Dei contemnitis [52]? » Ubique igitur obesse apparet, divinis ædibus tanquam communibus et profanis, et unicuique propriis abuti. Ubi enim jam Deo conveniens cultus præstetur, si ante oculos ejus carnis voluptatibus serviamus? et in quibus propter sanctimoniam conspici nos splendidos oportebat, si

ΙΘ'. Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, οὐχ ἑτέρου του χάριν τοὺς θείους χρῆναι ναοὺς ἐπιτελεῖσθαι διδάσκων, ἢ ὥστε δοξολογεῖν ἐν αὐτοῖς τὸν τῶν ὅλων Θεὸν, καὶ τὴν αὐτῷ πρέπουσαν ποιεῖσθαι προσκύνησιν, ἐπετίμα ποτὲ τοῖς Ἰουδαίοις ἐμπόροις, παρακομίζουσιν ἐν τῷ ἱερῷ ζῶα. Γέγραπται· « Ὁ οἶκός μου, οἶκος προσευχῆς κληθήσεται. » Ἐπεσήμηνε δὲ τὸ Γράμμα τὸ ἱερὸν, ὡς ἐμνήσθησαν οἱ μαθηταὶ, ὅτι γεγραμμένον ἦν· « Ὁ ζῆλος τοῦ οἴκου σου κατεφάγεταί με. » Ἐπέπληττε δέ τισι καὶ Παῦλος, τοιάδε τινὰ τολμᾶν εἰωθόσι. « Μὴ γὰρ, φησὶν, οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν, ἢ τῆς ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε; » Ἁλυσιτελὲς δὴ οὖν ὁρᾶται πανταχοῦ τὸ τοῖς θείοις οἴκοις κατακεχρῆσθαι τολμᾶν, ὡσανεὶ καὶ τοῖς κοινοῖς καὶ τοῖς ἑκάστῳ προσήκουσιν ἰδικῶς (ποῦ γὰρ ἔτι τῷ Θεῷ προσῆκον ἂν τηροῖτο σέβας, εἰ σαρκὸς ἡδονὰς θεραπεύομεν ἐν

VERS. 8. *Et vestimenta eorum ligantes funibus, velamina faciebant, adhærentia altari; et vinum ex calumniis bibebant in domo Dei sui.*

Καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν ἐχόμενα τοῦ θυσιαστηρίου· καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ αὐτῶν.

[46] Rom. VII, 23. [47] Gen XLIX, 4. [48] I Cor. V, 1. [49] Isa. LII, 5. [50] Matth. XXI, 13. [51] Psal. LXVIII, 10. [52] I Cor. XI, 22.

Digitized by Google

ὀφθαλμοῖς αὐτοῦ), καὶ ἐν οἷς ἔδει λαμπροὺς ὁρᾶσθαι διὰ σεμνότητα, ἐκεῖ γελᾶσθαι κατολισθαίνοντας, ἃ μὴ θέμις. Ὃ δὴ ποιοῦντάς τινας οὐκ ἀμωμήτους ἐᾷ, καὶ σφόδρα εἰκότως. Οὐ γὰρ ἀπήλλαττον, φησὶ, τανυσμάτων τὸ θυσιαστήριον, ἀλλ' ὑπ' αὐτὸ πεπτωκότες, καταμεθύειν ἐτόλμων, καὶ τὰ ἡδονῆς ἔργα πληροῦν, ἵνα καὶ Θεοῦ ἀκούσειαν λέγοντος ἐναργῶς· « Καὶ ἐγὼ μάρτυς, λέγει Κύριος. » Τίνος δ' ἂν ἀπόσχοιτο τῶν ἀτόπων κάτοινος ἀνὴρ, καὶ τὰς φρένας παρενηνεγμένος, καὶ πρὸς πᾶν ὁτιοῦν εὔκολος τῶν κακῶν; Ἐφορᾷ μὲν γὰρ ὁ τῶν ὅλων Θεὸς καὶ τὰ ἐν σκότει, κατὰ τὸ γεγραμμένον, καὶ ἄποπτον αὐτῷ παντελῶς οὐδέν.

Δοκεῖ δέ πως τὰ ἐν ἐκκλησίαις μάλιστα, μονονουχὶ παρόντος τε καὶ θεωμένου, πράττεσθαι πρὸς ὑμῶν. Καὶ εἴπερ ἐστὶ πάναισχρον ἀληθῶς, καὶ τὴν ἐσχάτην ἐκ νόμου κατάῤῥησιν ἔχον, τὸ μεθύειν ὅλως· πῶς οὐ παντὸς ἐπέκεινα λόγου τοῦ πρὸς φαυλότητα βλέποντος, τὸ καὶ ἐν αὐτῇ ἐκκλησίᾳ ὁρᾶσθαι τοιούτους; καὶ τὸ ἔτι φορτικώτερον, εἰ ἐξ ἀδίκων καὶ πονηρῶν αἱμάτων τὰ εἰς τρυφὴν συλλέγοιντο; Οἱ τοῦτο δρῶντες, ἀκούσονται Θεοῦ λέγοντος ἐναργῶς· Μὴ σπήλαιον λῃστῶν ὁ οἶκός μου; Οὐκοῦν τὰ ἑτέρων ἐγκλήματα πρὸς ὠφελείας ἡμῶν ἔσονται πολλῆς, καὶ δι' ὧν ἕτεροι προσκεκρούκασιν, ἀμείνους ἡμεῖς, εἰ παραιτοίμεθα τὰ ἐκείνων. Ἀσφαλέστεροι γὰρ οἱ σώφρονες εἶεν ἂν εἰκότως, εἰ δὴ βούλοιντο διαζῆν ἐννόμως, εἰ μὴ ζηλοῦν ἕλοιντο πονηρούς.

Ἀλλ' εἰ μὲν λέγοιτο πρὸς τὸν Ἰούδαν, ἤτοι τὰς δύο φυλὰς τὰς ἐν Ἱεροσολύμοις, τὸ ῥητὸν, ἔχοι ἂν ὀρθῶς τῆς πρὸς ἡμῶν ἀρτίως εἰρημένης θεωρίας ὁ λόγος. Εἰ δὲ δὴ φέροιτο καὶ κατὰ τοῦ Ἰσραὴλ τὸ πλημμέλημα, φαίην ἄν, ὅτι οὐκ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ τοῦ κατὰ φύσιν, οὐδὲ ἐχόμενα τοῦ θείου θυσιαστηρίου, αἱ τῶν περιτανυσμάτων ἐπλέκοντο σκηναὶ, ἤγουν τὰ ἐκ μέθης ἐπράττετο, ἀλλ' ἐν τῷ οἴκῳ τοῦ θεοῦ αὐτῶν, ἵνα λέγοι τὸν Βαὰλ, ἤγουν ἕτερόν τι τῶν ἐξ ἐπινοίας ἀνθρωπίνης εἰς τύπον εἰδώλου πεποιημένων. Πῶς οὖν ἔτι καταλογισθείη ἂν εἰς ἔγκλημα τῷ Ἰσραὴλ, τὸ ἐν οἴκῳ τυχὸν εἰδώλων, καὶ παρ' αὐτὸ τὸ Βεβὴλ θυσιαστήριον οἴνῳ τε μεθύειν, καὶ ἐξυφαίνειν σκηνὰς, ὅτι ταῦτα τετιμήκασι, καὶ μέθης ὥσπερ καὶ ἁπάσης ἡδονῆς ἐργαστήρια τῶν ἐν ὑπολήψει θεῶν ἐποίουν τοὺς ναούς! Καίτοι δέον ἐφίεσθαι μᾶλλον καθαρῶς καὶ πανάγνως λατρεύειν Θεῷ, καὶ εἰς οἶκον ἰέναι τὸν ἅγιον ἀληθῶς, καὶ σεπτὸν ἡγεῖσθαι τὸ θυσιαστήριον. Οἱ δὲ καὶ τὰ οὕτω σεπτά τε καὶ ἀξιάγαστα παρ' οὐδὲν ἡγεῖσθαι σπουδάζοντες, τὰ πολὺ λίαν αἰσχίω τετιμηκότες, καὶ αὐτοῖς ἐμπαροινεῖν ἀπετόλμων τοῖς ἰδίοις θεοῖς, πανταχοῦ τὸ θεῖον πατοῦντες ἀξίωμα, καὶ περιυβρίζοντες ἀδεῶς τὴν τῷ μόνῳ καὶ φύσει Θεῷ πρέπουσαν δόξαν, ὅτε καὶ τοῖς ψευδωνύμοις περιθέντες αὐτὴν, οὐδενὸς ἀξιοῦν ἠνέσχοντο λόγου.

Ἐγὼ δὲ ἐξῆρα τὸν Ἀμοῤῥαῖον ἐκ προσώπου αὐτῶν, οὗ ἦν καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ, καὶ ἰσχυρὸς ἦν ὡς δρύς. Καὶ ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν, καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτωθεν.

A ibi lapsi in quæ fas non est, rideamur? Quod nonnullos facientes, castigare non parcit, atque istud jure optimo. Non enim auferebant ab altari velamenta, inquit, sed sub ipsis se abdentes, inebriare se et voluptatibus indulgere audebant, ut et Deum manifeste audirent: « Et ego testis, dicit Dominus [53]. » Quonam autem scelere homo vinolentus et mente non constans, et ad quodcunque flagitium facilis, se abstineat? Intuetur enim Deus universorum etiam quæ in tenebris fiunt [54], ut scriptum est, et nihil ei inaspectabile [55].

Videntur autem quæ in ecclesia præcipue a nobis fiunt, tantum non præsente et aspectante Deo fieri. B Quod si vere turpissimum est et summopere a lege condemnatur inebriari universe, quomodo non omni nequitia majus est, etiam in ipsa ecclesia tales conspici? et quod gravius est, si ex injuste et scelerate effuso sanguine in delicias sumptum collegeris? Qui hæc faciunt, Deum audient dicentem palam: Num spelunca latronum domus mea [56]? Igitur aliorum delicta multam nobis utilitatem parient; et per quæ alii offenderunt, nos, si modo ab illorum vestigiis recesserimus, meliores evademus. Tutiores enim fuerint prudentiores, si secundum leges vivere voluerint, si malos æmulari noluerint.

Atenim, si ad Judam, sive ad duas tribus in Jerusalem hoc dicatur, probe a nobis dicta sunt, quæ C modo diximus. Sin autem etiam ad Israel peccatum pertineat, sensus erit, non in domo Dei, qui natura Deus est, tabernaculorum vela divino altari proxima contexisse, sive ebrietati datam operam esse; sed in domo **270** dei ipsorum, ut Baal dicat, aut aliud quidpiam, eorum quæ in formam idolorum ab humano ingenio excogitantur. Quodammodo igitur adhuc Israel pro peccato imputetur, in domo idolorum, et apud ipsum fortasse Baal altare vino inebriari, et tabernacula componere, quoniam talia honorarunt, et tanquam in ebrietatis et cujusque voluptatis officinas deorum qui existimabantur, templa usurparunt. Et cum oporteret cupere potius pure et sanctissime colere Deum, et in templum revera sanctum intrare, D et venerabile ducere altare, illi et tam veneranda et admirabilia nihili facere studentes, et multo fœdiora honorantes, etiam propriis diis illudere audebant, utique divinam majestatem conculcantes, et summa ignominia afficientes libere soli et natura Deo debitam gloriam, quando et diis falsis eam tribuentes, nihili tamen eos faciebant.

VERS. 9. *Ego autem abstuli Amorrhæum a facie eorum. Sicut altitudo cedri, altitudo ejus, et fortis erat ut quercus. Et abstuli fructum ejus desuper, et radices ejus subter.*

[53] Jerem. XXIX, 23. [54] Psal. CXXXVIII, 12. [55] Hebr. IV, 13. [56] Matth. XXI, 13.

Digitized by Google

XX. Cernis quomodo eos deinceps nefarie in se contumeliosos et contemptores fuisse ostendat; et quem potius laudibus et gratiis agendis, et prompta voluntate ad omnem obedientiam exhilarare oportebat, dementissime et stolidissime contristare non reformidasse, propter ingentem morum levitatem et oblivionem acceptorum beneficiorum. Ego quidem, inquit, abstuli Amorrhæum a facie eorum, hoc est, barbaras gentes interemi, per unam Amorrhæorum, ut videtur, ut sævam et potentiorem significatas. Ego feci ut vincerent adeo mire procerum et firmum, ut vel cedros æquare altitudine et durissimam quercum imitari videretur. Non enim erat præter me solum, qui eum marcidum redderet, ut usque ad radicem feriret, et tantum non fructum ejus arefaceret. Quoniam ut de arbore locutus est, persistit accommodate in metaphora, et damnum ejus usque ad radicem pertinuisse dicit, et ita quoque fructum sublatum. Haud enim aliter, quam ad istum modum arbores in silvis moriuntur. Consumptos enim esse, pugnantibus adversum eos Israelitis, Amorrhæos, et Hevæos, Gergesæos, et Pherezæos, et Jebusæos, **271** adjuvante eos Deo videlicet, nemo dubitaverit.

Acerbum est igitur contemnere Christum, qui dedit nobis calcare super serpentes [57], qui evertit inimicos, et robustiores subjicit. « Non enim est nobis colluctatio adversus carnem et sanguinem, sed adversus spiritualia nequitiæ [58]. » Et hæc omnia in Christo superavimus. Quod si Servatorem et Redemptorem nostrum ad ignaviam declinantes contristabimus, rationem et occasionem evitandi supplicii profecto non reperiemus.

VERS. 10. *Et ego eduxi vos de terra Ægypti, et circumduxi vos in deserto quadraginta annis, ut possideretis terram Amorrhæorum.*

XXI. Dilucide interpretatur quod dixit, et quasi retrocedens oratio, ab initio usque ad finem facta breviter indicat. E servitute enim, inquit, vos exemi, et ab Ægyptiorum tyrannide liberavi. Alui autem in solitudine, cœlitus manna demisso [59], et fontibus aquarum, ut dignum erat Deo, emissis, et de petra superficie tenus percussa, improvisos scaturiginum cursus largitus sum [60]. Nec labor profectionis eorum vilia spectabat; sed ut regionem Amorrhæorum patribus ipsorum promissam possiderent. Ast illi eo amentiæ prolapsi sunt, ut quasi ne cognoscerent quidem meum erga ipsos amorem et humanitatem. Meminisse igitur debemus, qui sumus in Christo per fidem [61], nos servitute liberatos, et velut ex Ægypto in solitudinem migrasse, id est, in vitæ genus innocentissimum, et vere latum, et nullo malo permistum, evangelicum scilicet. Panem adepti sumus de cœlo, qui dat vitam mundo [62]. Roboramur enim in

Κ'. Ὁρᾷς ὅπως ἀνοσίως περιυβρίζοντας καὶ καταφρονεῖν ἑλομένους ἀποφαίνει λοιπὸν, καὶ ὃν ἔδει μᾶλλον ταῖς χαριστηρίοις εὐφραίνειν ᾠδαῖς καὶ ταῖς εἰς πᾶν ὁτιοῦν εὐπειθείαις, ἀνούστατά τε καὶ ἀβουλότατα λυπεῖν ἠρημένους, διά τοι τὸ ἐκ πολλῆς ἄγαν σκαιότητος τρόπων, καὶ ὧν εὖ πεπόνθασιν, ἐλάσαι πρὸς λήθην. « Ἐγὼ μὲν γὰρ, φησὶν, ἐξῆρα τὸν Ἀμορραῖον ἐκ προσώπου αὐτῶν· » τουτέστι, Τὰ βάρβαρα καθεῖλον γένη, δι' ἑνός που τάχα τοῦ Ἀμορραίου δηλούμενα, ὡς σκληροῦ τε καὶ ἀδροτέρου. Ἐγὼ νικῆσαι παρεσκεύασα τὸν οὕτως ὑπερφυῆ καὶ ἄθραυστον, ὡς δοκεῖν ἥδηπως ἤρθαι μὲν κέδρου πρὸς ὕψος, δρυὸς δὲ τῆς ἄγαν εὐσθενοῦς ἀπομιμεῖσθαι τὴν δύναμιν. Ἦν γὰρ οὐχ ἕτερος, πλὴν μόνος ἐγὼ, φησὶν, ὁ καταμαραίνων αὐτὸν, καὶ πλήττων εἰς ῥίζας, μονονουχὶ καὶ ἀφαυαίνων αὐτοῦ τὸν καρπόν. Ἐπειδὴ γὰρ ὡς περὶ δένδρων λελάληκεν, ἐπιμένει πιθανῶς ὁ λόγος τῇ τροπῇ, καὶ εἰς ῥίζαν αὐτῷ γενέσθαι τὸ βλάβος φησὶν, ἠφανίσθαι δὲ οὕτω καὶ τὸν καρπόν. Ἀποθάνοι γὰρ ἂν οὐχ ἑτέρως τὸ ἐν δρυμοῖς ξύλον, πλὴν ὅτι κατὰ τοῦτον τὸν τρόπον. Ὅτι γὰρ δεδαπάνηνται, πολεμούντων αὐτοῖς τῶν ἐξ Ἰσραὴλ, Ἀμορραῖοί τε καὶ Εὐαῖοι, Γεργεσαῖοι, καὶ Φερεζαῖοι, καὶ Ἰεβουσαῖοι, συνασπίζοντος δηλονότι Θεοῦ, ἐνδοιάσειεν οὐδείς.

Πικρὸν οὖν ἄρα τὸ καταφρονῆσαι Χριστοῦ, τοῦ δόντος ἡμῖν ἐπάνω ὄφεων πατεῖν, καταστρέφοντος τοὺς ἀνθεστηκότας, καὶ ὑποφέροντος τοὺς εὐσθενεστέρους· « Οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικὰ τῆς πονηρίας. » Καὶ τούτων ἁπάντων ἐν Χριστῷ κεκρατήκαμεν. Καὶ εἰ μέλλομεν λυπεῖν, ἀποκλίνοντες πρὸς τὸ ῥᾴθυμον, τὸν ἑαυτῶν Σωτῆρα καὶ Λυτρωτὴν, ἀπορήσομεν, οἶδ' ὅτι, καὶ λόγου καὶ ἀφορμῆς, ἐξελέσθαι δυναμένης κολάσεως καὶ πυρός.

Καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου, καὶ περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, τοῦ κατακληρονομῆσαι τὴν γῆν τῶν Ἀμορραίων.

ΚΑ'. Ἑρμηνεύει σαφῶς ὅπερ ἔφη, καὶ ἀνόπιν ὥσπερ ὁ λόγος ἰὼν, τὰ ἀπ' ἀρχῆς μέχρι τέλους ὡς βραχέσι καταδηλοῖ. Δουλείας μὲν γὰρ ἐξεῖλον, φησὶ, καὶ τῆς τῶν Αἰγυπτίων πλεονεξίας ἀπήλλαξα. Ἔθρεψα δὲ κατὰ τὴν ἔρημον, καθιεὶς μὲν ἄνωθεν τὸ μάννα αὐτοῖς, πηγὰς δὲ ὑδάτων θεοπρεπῶς ἀνιεὶς, καὶ ἐξ ἀκροτόμου πέτρας ἀδοκήτων ναμάτων ἐκδρομὰς δωρούμενος. Καὶ ἦν ὁ πόνος τῆς ὁδοιπορίας αὐτοῖς οὐκ ἐπὶ μικροῖς, ἀλλ' ἵνα κληρονομήσειαν τῶν Ἀμορραίων τὴν γῆν, τὴν τοῖς πατράσιν ἐπηγγελμένην. Οἱ δὲ πρὸς τοῦτο σκαιότητος ὠλισθήκασιν, ὡς μηδὲ εἰδέναι τάχα που τὴν ἐμὴν περὶ αὐτοὺς ἀγάπησιν, ἢ φιλανθρωπίαν. Μεμνῆσθαι δὴ οὖν ἀναγκαῖον ἡμᾶς τοὺς ἐν Χριστῷ διὰ πίστεως, ὅτι καὶ δουλείας ἀπηλλάγμεθα, καὶ καθάπερ ἐξ Αἰγύπτου μετακεχωρήκαμεν εἰς τὴν ἔρημον, τουτέστιν, εἰς καθαρωτάτην καὶ πλατεῖαν ἀληθῶς καὶ ἀσυμμιγῆ τοῦ χείρονος πολιτείαν, φημὶ δὴ τὴν εὐαγγελικήν. Ἄρτον

[57] Luc x, 19. [58] Ephes. vi, 12. [59] Exod. xvi, 15. [60] Num. xx, 11. [61] Galat. iii, 26. [62] Joan. vi, 33.

Digitized by Google

πεπλουτήκαμεν τὸν ἐξ οὐρανοῦ, τὸν ζωὴν διδόντα τῷ κόσμῳ. Νευρούμεθα γὰρ ἐν Χριστῷ, καὶ πηγὰς ἀκηράτων ὑδάτων ἐσχήκαμεν, τῶν ἁγίων ἀποστόλων τὰς συγγραφάς· οὕτω γὰρ αὐτὰς καὶ Ἡσαΐας ὠνόμαζε λέγων· « Ἀντλήσατε ὕδωρ μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. » Ἐκεῖνοι γὰρ πάντως πηγαὶ σωτηρίου, οἱ τὸν σωτήριον ἡμῖν καὶ ζωοποιὸν ἀνιέντες λόγον, καὶ τὸ Χριστοῦ μυστήριον εὐαγγελιζόμενοι, καὶ μυσταγωγοῦντες τὴν ὑπ' οὐρανόν.

A Christo, et fontes aquarum incorruptibilium acquisivimus, scripta sanctorum apostolorum. Sic enim et Isaias eos nominat dicens : « Haurite aquas cum lætitia de fontibus salvationis [63]. » Vere enim illi fontes sunt salvationis, qui nobis salvatorem et vivificum sermonem emittunt, et Christi mysterium annuntiant, et terrarum orbem cœlestibus mysteriis initiant.

Καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν. Μὴ οὐκ ἔστι ταῦτα, υἱοὶ Ἰσραήλ; λέγει Κύριος. Καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε, λέγοντες· Οὐ μὴ προφητεύσητε.

VERS. 11, 12. *Et accepi de filiis vestris in prophetas, et de juvenibus vestris in sanctificationem. Nunquid non sunt hæc, filii Israel? dicit Dominus. Et vos potabatis sanctificatos* **272** *meos vino, et prophetis mandabatis, dicentes : Non prophetabitis.*

ΚΒ'. Μέγα πρὸς ὀνειδισμὸν καὶ κατάρρησιν ἐπὶ παντὶ κακῷ, τὸ οἱονεί πως ἀχαριστεῖσθαι παρὰ Θεοῦ, τὰ πάντα ἡμῖν διανέμοντος, τά τε εἰς δόξαν καὶ ζωαρκῆ. Πολλῶν μὲν γὰρ ὄντων κατὰ τὴν οἰκουμένην ἐθνῶν, ἀπόλεκτον ἐποιεῖτο μόνον τὸν Ἰσραήλ, καὶ εἰς τοῦτο λοιπὸν εὐκλείας ἐκάλει καὶ ἀνεκόμιζε Θεὸς, ὡς καὶ τῷ τῆς προφητείας ἀξιώματι κατακαλλύνεσθαί τινας τοὺς τὸν εὐαγῆ τε καὶ ἐννομώτατον ἀγαπῶντας βίον, παραλαμβάνεσθαι δὲ καὶ εἰς ἁγιασμὸν τοὺς ἐν αὐτοῖς νεανίσκους, τουτέστι, τοὺς ἀδροτέρους τὸ φρόνημα, καὶ νοητὴν ἔχοντας εὐρωστίαν. Ἡγιάζοντο γάρ τινες κατὰ νόμον, οἱ ἐπίκλην Ναζαραῖοι, τρέφοντες τρίχα κόμην αὐτῶν τῷ Κυρίῳ· οἶνον καὶ ἐξ αὐτοῦ ὄξος, καὶ σταφυλὴν, καὶ σταφίδας, καὶ γίγαρτον παραιτούμενοι· ἀποφοιτῶντες δὲ λίαν καὶ νεκρῶν σωμάτων. Καὶ βαθὺς μὲν ὁ λόγος ὁ περὶ τούτων ἐστί. Πλὴν ἐτίμα Θεὸς καὶ εἰς προφήτας, ὡς ἔφην, καὶ εἰς τὸ ἁγιάζεσθαι τυπικῶς ἀναφέρων τοὺς ἐξ αὐτῶν. Οἱ δὲ καὶ τὴν οὕτω λαμπράν τε καὶ ἀξιόπιστον δόξαν ἀποσπουδάζοντες, ἐπότιζον οἶνον τοὺς ἡγιασμένους, τουτέστι, τοὺς εὐχὴν ἔχοντας ἐφ' αὐτοῖς ἁγιασμοῦ. Ἀνέπειθον γὰρ καὶ αὐτοὺς τοῦ ἁγιάζεσθαι καταφρονεῖν, πάντως που λέγοντες οὐδὲν εἶναι παντελῶς τὸν τοῦ Θεοῦ νόμον, καὶ ἀνόνητον ἀνθρώποις τὸ ἁγιάζεσθαι θέλειν, καὶ πληροῦν ἐπὶ τούτῳ τὰ νενομισμένα. Εἰ γὰρ καὶ ἦν ἐν σκιαῖς ὁ νόμος, ἀλλ' οὐκ ἐστέρητο παντελῶς τῶν τῆς ἀληθείας δογμάτων· ἐναστράπτει γὰρ τοῖς τύποις τῆς εὐσεβείας ἡ μόρφωσις. Τὸ δὲ καὶ αὐτοῖς ἁγίοις προφήταις ἐπιτιμᾷν, ἀποστιομένων ἐστὶ τὸν τοῦ Θεοῦ νόμον, καὶ παιδεύεσθαι μὴ ἀνεχομένων, καὶ ἠγνοηκότων, ὅτι τετίμηνται, εἴπερ ὄντες ἐξ αὐτῶν παρελήφθησαν εἰς κοινολογίαν τὴν ὡς πρὸς Θεόν. Προσεπερωτᾷ δὲ διὰ μέσου, καί φησι· « Μὴ οὐκ ἔστι ταῦτα, υἱοὶ Ἰσραήλ; λέγει Κύριος. » Ἆρα, φησὶ, καὶ τῶν οὕτως ἐναργῶν πράξεων καθορισεῖτε τὸ ψεῦδος; ἆρα μαρτύρων δεήσει Θεῷ πρὸς τὸ ἐλέγχειν ὑμᾶς, καὶ τὰ οὕτως ἐμφανῆ συκοφαντεῖν ἠρημένους; Χρὴ τοιγαροῦν ἁγιάζεσθαι, καὶ λογισμῷ πεπηγότι προσεδρεύειν Θεῷ, τὰς τῶν πονηρῶν οὐ προσιεμένους γνώμας. « Φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί, » καὶ ἀποφέρουσιν ἁγιασμοῦ καὶ ἀπάσης ἐπιεικείας, τῶν φιληδόνων οἱ λό-

B XXII. Ad exprobrationem et accusationem in quovis crimine magnum est, a Deo ingratitudinis quodammodo reprehendi, a quo omnia donata sunt quæque ad gloriam, quæque ad vitam sustentandam spectant. Nam cum multæ essent per orbem gentes, solum Israel sibi delegit, tantoque splendore cumulavit, ut et prophetica dignitate quosdam cohonestaret, qui vitæ sanctimoniam sacrarumque legum perfectam observationem diligerent, et ad sanctificationem juvenes eorum assumeret, hoc est, prudentia eminentiores et intellectuali robore præditos. Sanctificabantur enim quidam secundum legem, qui Nazaræi cognominabantur [64], offerentes comam Deo, vinum, et ex eo acetum, uvam, et uvam passam, et C acinum aversantes, et a mortuorum corporibus longius refugientes. Denique multa super his dicuntur. Verumtamen honorabat eos Deus, et in prophetas, ut dixi, et ad sanctificationem typice ex iis nonnullos evehebat. Astilli, tam magnificam et plenam auctoritatis dignitatem aspernantes, sanctificatos, id est, votum sanctificationis super se habentes, vino potabant. Persuadebant enim et illis, ut sanctificari contemnerent, dicentes, utique Dei legem nihil esse prorsus, et sanctificari velle et ob id lege sancita implere, nihil prodesse hominibus. Nam etsi lex in umbra erat, plane tamen veritatis dogmata continebat. Fulget enim in typis illis pietatis imago. Ipsos quoque sanctos prophetas objurgare, est divinam legem repellere atque institui nolle, et D nescire se honorari; siquidem cum de ipsis essent, assumpti sunt, qui cum Deo quodammodo sermones miscerent. Interrogat insuper in medio, et ait : « Nunquid non ita est, filii Israel? dicit Dominus. » An, inquit, res tam manifestas mendacii arguetis? an testibus opus erit Deo ad vos refellendos, qui etiam adeo aperta calumniari velitis? Sanctificari itaque oportet, et constanti animo adhærere Deo, improborumque consilia repudiare. « Corrumpunt enim bonos mores colloquia prava [65], » et voluptuariorum sermones a sanctificatione et omni bonitate avocant. Nos potius Deo digna loquentium vocibus addicti erimus, quibus et ipse Salvator testimonium

[63] Isa. XII, 3. [64] Num. VI, 21. [65] I Cor. XV, 33.

Digitized by Google

his verbis perhibuit : « Non estis vos qui loquimini, sed Spiritus Patris **273** vestri, qui loquitur in vobis [44]. »

A γοι. Οὐκοῦν προσκεισόμεθα μᾶλλον ἡμεῖς ταῖς τῶν θεηγόρων φωναῖς, οἷς καὶ αὐτὸς ὁ Σωτὴρ ἐπεμαρτύρησε, λέγων· « Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. »

Vers. 13. *Propterea ecce ego devolvo subter vos, sicut devolvitur currus plenus stipula.*

XXIII. Plaustris agrorum fructus, et quæ aream complent, transvehere mos fuit veteribus, qui mos usque hodie in Oriente et Occidente viget. Volvuntur autem circum axes rotæ, lignis gravi et ingrato sono stridentibus, prope occlamantibus, quæ illis imposita sunt oneribus. Ero igitur ipse quoque, inquit universorum Dominus, ut quod volvit in curru, id est, axis. Ille enim, ut dixi, sibi rotas infixas et aptatas habens simul circumvolvit. Clamabo vero quasi qui onus grave peccatorum, ab impiis acervatorum amplius sustinere nequeam. Rejecerunt enim legem Domini, et mandata ejus non custodierunt; sed seduxerunt eos vana eorum, quæ fecerunt patres eorum. Obliti sunt autem mei, qui eduxi eos de Ægypto, qui abstuli Amorrhæum a facie eorum, qui assumpsi de filiis eorum in prophetas et de juvenibus eorum in sanctificationem. Et ego quidem eos honoravi; illi vero eo insipientiæ devenerunt, ut vestimenta sua ligantes funibus, velamina facerent adhærentia altari, et vinum ex calumniis biberent in domo Dei ipsorum, et vino potarent sanctificatos, mandarentque prophetis et dicerent : Ne prophetetis. Talibus igitur impietatibus vestris propemodum oneratus, ut axis in plaustro, quod stipularum manipulis plenum est, clamorem edam multo maximum. Quod hinc detrimentum eis eventurum, aut quæ mala eos invasura sint, mox sequentibus declarat.

Διὰ τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν, ὃν τρόπον κυλίεται ἅμαξα ἡ γέμουσα καλάμης.

ΚΓ'. Ἁμάξαις τὰ ἐξ ἀγρῶν, καὶ ὅσα πληροῖ τὴν ἄλω, μετακομίζειν ἔθος τοῖς ἀρχαιοτέροις· σώζεται δὲ καὶ εἰς δεῦρο τὸ χρῆμα παρά τε τοῖς τὴν Ἑῴαν καὶ τὴν Ἑσπέριον οἰκοῦσι γῆν. Κυλίονται δὲ ὁμοῦ τοῖς ἄξοσιν οἱ τροχοί, βαρύ τι καὶ δυσηχὲς ἀποτριζόντων τῶν ξύλων, καὶ μονονουχὶ κατακεκραγότων ἐπικειμένων αὐτοῖς φορτίων. Ἔσομαι τοίνυν καὶ αὐτὸς ἐγὼ, φησὶν ὁ πάντων Δεσπότης, ὡς τὸ κυλίον ἐπὶ τὴν ἅμαξαν, τουτέστιν, ὁ ἄξων· αὐτὸς γὰρ, ὡς ἔφην, ἑαυτῷ συγκυλίει τοὺς τροχοὺς, ἐμπεπηγότας τε καὶ B ἐνηρμοσμένους ἔχων. Κατακεκράξομαι δὲ ὥσπερ τῶν ἠσεβηκότων, οὐκ ἔτι φέρειν δυνάμενος τῶν πλημμελημάτων τὸ δυσαχθές. Ἀπώσαντο γὰρ τὸν νόμον τοῦ Κυρίου, καὶ τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο· ἀλλ' ἐπλάνησε μὲν αὐτοὺς τὰ μάταια αὐτῶν, ἃ ἐποίησαν οἱ πατέρες αὐτῶν, ἐπελάθοντο δέ μου τοῦ ἐξαγαγόντος ἐξ Αἰγύπτου, τοῦ ἐξάραντος τὸν Ἀμορῥαῖον ἐκ προσώπου αὐτῶν, τοῦ λαβόντος ἐκ τῶν υἱῶν αὐτῶν εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων αὐτῶν εἰς ἁγιασμόν. Ἀλλὰ τετίμηκα μὲν ἐγὼ, καθίκαντο δὲ δυσβουλίας εἰς τοῦτο αὐτοὶ, ὡς τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ποιεῖν ἐχόμενα τοῦ θυσιαστηρίου, καὶ οἶνον ἐκ συκοφαντιῶν πίνειν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ αὐτῶν, καὶ ποτίζειν μὲν οἶνον C τοὺς ἡγιασμένους, ἐντέλλεσθαι δὲ τοῖς προφήταις, καὶ λέγειν· Οὐ μὴ προφητεύσητε. Ταῖς οὖν τοιαύταις ὑμῶν ἀσεβείαις μονονουχὶ καταπεφορτισμένος, ὡς ἄξων ἐπὶ τὴν ἅμαξαν, ἡ καλάμης ἐστὶ καὶ δραγμάτων ἔμπλεως, πλείστην ὄσην ποιήσομαι τὴν κατα-βοήν. Καὶ τί τὸ ἐντεῦθεν ἐσόμενον βλάβος, ἢ ποῖα πάλιν αὐτοῖς συμβήσεται πάθη, διατρανοῖ μὲν εὐθὺς ἐν τοῖς ἑφεξῆς.

Verumtamen et illud dicendum est necessario, vere ante omnia horrendum esse, Deum irritare, et eo usque in improbitatem abire deinceps præcipitem, ut peccata nostra tolerare amplius non possit, tametsi natura sua bonus, clemens et multo mansuetissimus sit. Ab eo igitur offendendo modis omnibus cavendum est. Quod si quidpiam humanum pati contigerit, officii est, non videri ad patientiam D segnes, nec sinere peccata peccatis cumulari; quin potius sancta quadam vigilantia ea cohibere, et ægrotantem animum **274** ad meliora appellere. Sic enim Deus patienter nos sustinebit, et quoniam benignus est, misericordiam tribuet.

Πλὴν ἐκεῖνο εἰπεῖν ἀναγκαῖον, ὅτι πάνδεινον ἀληθῶς τὸ παροξύνειν Θεὸν, καὶ εἰς τοῦτο φαυλότητος κατολισθῆσαι λοιπὸν, ὡς ἀφόρητον αὐτῷ γενέσθαι τὴν παρ' ἡμῶν ἁμαρτίαν, καίτοι χρηστῷ τε καὶ ἀγαθῷ καὶ ἡμερωτάτῳ λίαν ὑπάρχοντι κατὰ φύσιν. Δεῖ δὴ οὖν παραιτεῖσθαι μὲν ὅτι μάλιστα φιλεῖν τὸ προσκρούειν αὐτῷ. Εἰ δὲ δή τι γένοιτο καὶ παθεῖν ἀνθρώ-πινον, μὴ ὁρᾶσθαι μελλητὰς εἰς μετάγνωσιν, μήτε μὴν εἰς αὔξησιν ἰέναι παραχωρεῖν τοῖς διεπταισμένοις· νήψει δὲ μᾶλλον ἁγιοπρεπεῖ χρωμένους ἀνασειράζειν αὐτὰ, καὶ μετακομίζειν ἐπείγεσθαι πρὸς τὸ ἄμεινον ἠρρωστηκότα τὸν νοῦν. Ἀνεξικακήσει γὰρ οὕτως Θεός· καὶ ἐπείπερ ἐστὶν ἀγαθὸς, ἐπιδώσει τὸν ἔλεον.

Vers. 14-16. *Et peribit fuga a cursore, et fortis non obtinebit fortitudinem suam, et pugnator non salvabit animam suam, et sagittator non subsistet, et velox pedibus suis non salvabitur, neque eques salvabit animam suam. Et inveniet animam suam in potentatibus. Nudus persequetur in diebus illis, dicit Dominus.*

Καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως, καὶ ὁ κραταιὸς οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ, καὶ ὁ μαχητὴς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ, καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ οὐ μὴ διασωθῇ, καὶ ὁ ἱππεὺς οὐ μὴ σώσῃ τὴν ψυχὴν αὐτοῦ. Καὶ εὑρήσει τὴν ψυχὴν αὐτοῦ ἐν δυναστείαις. Ὁ γυμνὸς διώξεται ἐν ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος.

Matth. x, 20

Digitized by Google

ΚΔ'. Οὐδὲν ἀνασώσει, φησὶν, ἐν ἡμέρᾳ ὀργῆς τοὺς προσκεκρουκότας· οὐ ποδῶν ὀξύτης τὸν δρομικώτατον ἀπαλλάξει τῶν κακῶν· οὐ σώματος ῥώμη τὸν εὐσθενῆ· οὐκ ἐμπειρία πολεμικὴ τὸν εἰδότα τὰ τακτικὰ, καὶ τὸ τοξεύειν ἄριστα μεμελετηκότα, καὶ ἐπὶ τούτῳ τεθαυμασμένον. Ἀνόνητος δὲ τοῖς χρωμένοις καὶ ἡ τῶν ἵππων ταχύτης, καὶ αὐτὸ δὲ πρὸς τούτῳ τὸ τὴν ἱππόκροτον εἰδέναι μάχην. Ἀλλ' ἕκαστος τούτων εὑρήσει σαφῶς τὴν ἑαυτοῦ καρδίαν ἐν δυναστείαις, τουτέστι, καταδυναστευομένην τοῖς δείμασι, καὶ παραχωροῦσαν ἀμαχεὶ τοῖς καταδῃοῦν ἐθέλουσι τὸ νικᾷν. Ἔσται γὰρ τότε δειλία μὲν τῶν ἐξ Ἰσραὴλ, τοσαύτη δὲ δυναστεία τῶν Βαβυλωνίων, ὥστε καὶ διώκειν δύνασθαι τὸν γυμνὸν, τουτέστι, κατισχῦσαι τῶν ἐν ὅπλοις, κἂν εἴ τις ἀθώρηκτος τῶν Βαβυλωνίων· καὶ διώκειν δύνασθαι τοὺς ἐν παντευχίᾳ τὸν ἄοπλόν τε καὶ ἄσκευον. Οὐκοῦν Θεοῦ κατασείοντος εἰς ἀσθένειαν, οὓς ἂν ἕλοιτο κακοῦν, ἐπικουρήσειεν ἂν οὐδέν. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ διὰ τῆς τοῦ Ψάλλοντος φωνῆς ἑτεροτρόπως ἡμῖν εἰρημένον· « Οὐκ ἐν τῇ δυναστείᾳ τοῦ ἵππου θελήσει. » Καὶ πάλιν· « Ψευδὴς ἵππος εἰς σωτηρίαν. » Ἀνόνητα γὰρ τὰ τοιάδε παντελῶς, μὴ συναθλοῦντος Θεοῦ. Αὐτὸς γάρ ἐστιν ὁ τῶν δυνάμεων Κύριος, ὁ νεῦρα διδοὺς τοῖς ἠσθενηκόσι, καὶ ἀπονευρῶν τοὺς λελυπηκότας· καὶ σὺν αὐτῷ μὲν « Διώξεται εἷς χιλίους, δύο δὲ αὖ μετακινήσουσι μυριάδας. » Δαπανηθήσεται δὲ πληθὺς πολλὴ καὶ ἀμέτρητος, δύο που τάχα καὶ τριῶν ἀνθεστηκότων, εἰ μὴ ἐπαμύνῃ Θεός.

A XXIV. Nihil, inquit, saluti erit in die iræ illis qui peccaverunt. Non celeritas pedum cursorem optimum malis eximet, non vires corporis robustum, non peritia militaris ducem, non summa exercitatio sagittarium præclarum. Equorum velocitas equitibus, et insuper equestrium decursionum notitia nihil proderit; sed unusquisque « inveniet cor suum manifeste in potentatibus, » hoc est, terroribus potenter oppressum, et devastare se volentibus, citra pugnam concedet victoriam. Timebunt enim tunc Israelitæ. Tanta autem erit Babyloniorum potentia, ut possit etiam nudus persequi, hoc est prævalere armatis, etiamsi ipsorum Babyloniorum quispiam thorace indutus non sit, et inséqui possit armis instructum omnibus is qui armis careat et imparatus. B Deo igitur in imbecillitatem prosternente, quos affligere voluerit, illis nihil opitulari poterit. Atque istud est, opinor, quod voce Psalmistæ aliis verbis nobis indicatur : « Non in fortitudine equi voluntatem habebit [67]. » Et rursum : « Fallax equus ad salvandum [68]. » Inutilia enim sunt ista funditus, nisi Deus pugnantes adjuvet. Ipse enim est Dominus virtutum [69], qui infirmis nervos subministrat, et enervat a quibus est offensus. Et illo socio, « Unus fugabit mille, et duo fugabunt decem millia [70], » peribitque multitudo ingens et immensa, a duobus aut tribus fortasse concisa, nisi Deus illam defenderit.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΚΕΦΑΛ. Γ'.

Ἀκούσατε τὸν λόγον τοῦτον, ὃν ἐλάλησε Κύριος ἐφ' ὑμᾶς, οἶκος τοῦ Ἰσραὴλ, καὶ κατὰ πάσης φυλῆς ἧς ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, λέγων· Πλὴν ὑμᾶς ἔγνων ἐκ πασῶν φυλῶν τῆς γῆς. Διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς πάσας τὰς ἁμαρτίας ὑμῶν.

ΚΕ'. Κατὰ παντὸς ἂν νοοῖτο Ἰσραὴλ γεγονὼς ὁ λόγος, οὐχ ἁπλῶς μέρος ἔτι τιθεμένου τοῦ Ἰούδα, καὶ τοῦ Ἐφραΐμ, ἀλλ' εἰς ἓν ὥσπερ συνειλημμένου τοῦ παντὸς γένους. Ἀνεκομίσθη γὰρ ἐξ Αἰγύπτου πᾶσα φυλὴ τῶν ἐξ Ἰσραὴλ. Οὐδενὸς οὖν ἔξω τεθέντος, ἀκοῦσαι προστέταχε τὰ παρὰ τοῦ Θεοῦ. Τίνα δὲ ἦν καὶ τάδε; Μυρίαι μὲν γάρ εἰσιν ὅσαι, φησὶν, ἁπλῶς πᾶσαν τὴν ὑπ' οὐρανὸν πόλεις τε καὶ χῶραι, καὶ ἀριθμοῦ κρείττους οἱ ἐν αὐταῖς· ἀλλ' ὑμᾶς ἐκ πάντων τοὺς ἐξ Ἰσραὴλ ἀπολέκτους ἐποιησάμην, ἐμαυτὸν ἐναργῆ τε κατέστησα διὰ πόλλῶν θαυμάτων, ἐξειλόμην πικρᾶς καὶ ἀφορήτου δουλείας, ζηλωτοὺς ἀπέφηνα καὶ τρισμακαρίους· πεπαιδαγώγηκα νόμῳ πρὸς τὸ ἀρέσκον ἐμοὶ, ἀνετείχισα ταῖς ἐπικουρίαις, εἰσκεκόμικα δὲ καὶ εἰς γῆν τὴν τοῖς πατράσιν ἐπηγγελμένην. Ἐπειδὴ δὲ μόνοι, φησὶν, ἐκ πάντων τῆς οὕτω περιφανοῦς ἠξιωμένοι χάριτος λυποῦντες οὐ κατελήξατε, καὶ προσκεκρούκατε πολυτρόπως, ταύτῃτοι λοιπὸν τοὺς τῆς ἀπονοίας ὑμᾶς ἐξαιτήσω λό-

TOMUS SECUNDUS.

CAP. III.

VERS. 1, 2. *Audite verbum hoc quod locutus est Dominus super vos, domus Israel, et contra omnem tribum, quam eduxit de terra Ægypti, dicens : Tantummodo vos cognovi ex omnibus tribubus terræ. Idcirco ulciscar super vos omnia peccata vestra.*

C **275** XXV. Non jam de Juda et Ephraim separatim, sed de universo Israele, et velut tota gente in unum collecta hæc intelligi possunt : omnes siquidem tribus Israelitarum ex Ægypto reductæ sunt. Nemine igitur excluso, quæ dicuntur a Deo, audire jubet. Quæ autem tandem et hæc? Millia mútla civitatum et regionum sub sole sunt, et numerus incolarum infinitus. Sed ex omnibus vos Israelitas selegi. Meipsum vobis per complura miracula manifestavi; dira et intoleranda servitute vos liberavi; beatissimos et ab omnibus prædicandos reddidi. Lege vos erudivi, ut placeretis mihi; meis auxiliis tanquam muro communivi; in terram patribus vestris promissam induxi. Quoniam autem soli ex omnibus tam illustribus a me beneficiis dignati, exacerbare et multis modis offendere me non desinitis, idcirco posthac dementiam vestram ulciscar. Ultra vos peccare, et impune huc conversos non patiar. Itaque de cætero quicunque Deum contempserit, et Domini

[67] Psal. CXLVI, 10. [68] Psal. XXXII, 17. [69] Psal. XXIII, 10. [70] Deut. XXXII 30.

Digitized by Google

sui voluntates aspernatus fuerit, ex iis qui aut ipsum cognoverunt, aut ab eo per inhabitationem spiritualem cogniti sunt, perniciem et interitum sibi inde comparabit. Quamobrem sapientissimus Paulus vocatis ex gentibus per fidem, deinde ignavia quadam laborantibus, et velut retrorsum abire parantibus, scribit in hæc verba : « Nunc autem cum cognoveritis Deum, imo cogniti sitis a Deo, quomodo convertimini iterum ad infirma et egena elementa, quibus denuo servire vultis [71] ? » Norat enim eos etiam ante fidem Opifex, qui nihil penitus ignorat. Verum in his, ut dixi, fortassis cognitio spiritualem familiaritatem percommode significat.

A γους. Οὐκ ἀνέξομαι πλημμελούντων ἔτι, καὶ ἀνεπιτίμητον ἐχόντων τὴν εἰς τοῦτο τροπήν. Οὐκοῦν ὀλέθρου πρόξενον ἅπαντί τῳ λοιπὸν τὸ καταφρονῆσαι Θεοῦ, καὶ δεσποτικῶν ἀλογῆσαι θελημάτων τοῖς ἐπεγνωκόσιν αὐτὸν, ἢ ἐγνωσμένοις παρ' αὐτοῦ κατά γε τὸν τῆς πνευματικῆς οἰκειώσεως τρόπον. Καὶ γοῦν ὁ σοφώτατος Παῦλος τοῖς ἐξ ἐθνῶν κεκλημένοις διὰ τῆς πίστεως, εἶτα νοσοῦσι τὸ ἄναλκι, καὶ ἀνόπιν ὥσπερ ἰέναι προτεθυμημένοις ἐπιστέλλει λέγων· « Νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε ; » Ἤδει μὲν γὰρ αὐτοὺς καὶ πρὸ τῆς πίστεως ὁ Δημιουργός· ἀγνοεῖ γὰρ ὅλως τῶν ὄντων οὐδὲν, ἀλλ' ἐν τούτοις, ὡς ἔφην, ὑποσημήνειεν ἂν ἡ γνῶσις εὖ μάλα τὴν πνευματικὴν οἰκειότητα.

Vers. 3. *Si ambulabunt duo in idipsum omnino, si non noverint inter se?*

B *Εἰ πορεύσονται δύο ἐπιτοαυτὸ καθόλου, ἐὰν μὴ γνωρίσωσιν ἑαυτούς ;*

XXVI. Reconditum est ænigma, obscurus sermo. Verumtamen enucleabimus ut poterimus. Reprehenderat igitur Israelitas, quoniam prophetis mandarant dixerantque : Ne prophetetis. Qua porro de causa loqui sanctos improvide vetuerint, dicamus oportet. Quia enim tristia illis ab irato Deo eventura, et ea, per quæ peccatores vitæ studia in melius mutare consentaneum erat, denuntiabant, eventum prædictorum timentes, ut est verisimile, obniti illis, et reluctari contendebant, **276** qui animos vulgi ad illicita inducere consuerant : quique cum subjectos seducerent, prophetas reprehendebant, errantes quasi recta via gradientes commendabant. Proinde ore Isaiæ Deus : « Populo meus, inquit, qui te beatum dicunt, ipsi te decipiunt, et viam gressuum tuorum dissipant [72]. » Increpabat autem et Amasias sacerdos Bethel Amos prophetam, cum diceret : « Qui vides, gradere, fuge in terram Juda, et illuc descende, et prophetabis ibi, in Bethel autem non adjicies ultra ut prophetes [73]. » Qui autem prophetis ex multo stupore et magna perversitate morum sese opponebant, elevabant rem, fingentes, et illud dicentes : « Non misit te Dominus [74]. » Castigat igitur eos, quoniam prophetas ab eo missos, non desuper et a Deo apportare sermones dicebant, sed eos a se potius conflictos effutire, et a mente universorum Domini abhorrentia proloqui existimabant. Idcirco ait : O imprudentes et stolidi, num qui de vobis instituent amicitiam et eamdem vitæ viam ambulabunt, si inter se non noverint, hoc est, si morum similitudinem voluntatumque consensionem non animadverterint? Omne enim animal simile diligit, et ad similem sibi homo se applicabit. Si ita est, ut est, quo pacto prophetas velut amicitia et dilectione mea dignatus essem sanctus ego, si ipsi sancti non fuissent? Quomodo igitur persequimini sanctos, quibus et sermones meos concredidi, quos ut bonos recepi, nimirum eamdem veluti voluntatum viam mecum ingredientes? Quod enim mihi, idem illis placitum erit. Quare prophetas increpare,

C

D

ΚϚ'. Βαθὺ μὲν τὸ αἴνιγμα, καὶ ἀμυδρὸς ὁ λόγος. Πλὴν ἐροῦμεν ὡς ἔνι. Κατηγιάτο τοίνυν τὸν Ἰσραὴλ, ὅτι τοῖς προφήταις ἐνετέλλετο, λέγοντες· Οὐ μὴ προφητεύσητε. Καὶ διὰ ποίαν αἰτίαν ἐπετίμων ἀφυλάκτως ταῖς τῶν ἁγίων φωναῖς, εἰπεῖν ἀναγκαῖον. Ἐπειδὴ γὰρ ἀπήγγελ[λ]ον τὰ ἐξ ὀργῆς ἐσόμενα σκυθρωπὰ, καὶ τὰ δι' ὧν ἦν εἰκὸς ἑαυτῶν ἀμείνους ἔσεσθαι τοὺς ἡμαρτηκότας, δεδιότες που τάχα τῶν λαληθέντων τὴν ἔκβασιν, ἐμελέτων τὴν ἀντίστασιν, καὶ ἀντέπραττον αὐτοῖς οἱ τῶν ἀγελαίων τὸν νοῦν, ἐφ' ἃ μὴ προσῆκεν, ἀποκομίζειν εἰωθότες, καὶ πλανῶντες τοὺς ὑπεζευγμένους. Ἐπετίμων μὲν, τοῖς προφήταις, ἀπεδέχοντο δὲ τοὺς πεπλανημένους, ὡς τὴν εὐθεῖαν ἰόντας τρίβον. Τοιγάρτοι φησὶ διὰ φωνῆς Ἡσαΐου Θεός· « Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. » Ἐπετίμα δὲ καὶ Ἀμασίας ὁ ἱερεὺς Βαιθὴλ Ἀμὼς τῷ προφήτῃ, λέγων· « Ὁ ὁρῶν, βάδιζε, ἐκχώρησον εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις, εἰς δὲ Βαιθὴλ οὐκ ἔτι μὴ προσθῇς τοῦ προφητεῦσαι. » Οἱ δέ γε τοῖς προφήταις ἀνθεστηκότες, ἐκ πολλῆς ἄγαν σκαιότητος καὶ δυστροπίας δεινῆς ἐλαφρὸν ὑπεπλάττοντο τὴν ἀντίστασιν, ἐκεῖνο λέγοντες· « Οὐκ ἀπέσταλκέ σε Κύριος. » Καταιτιᾶται τοίνυν αὐτοὺς, ὅτι τοὺς παρ' αὐτοῦ προφήτας οὐ τοὺς ἄνωθεν ἔφασκον καὶ παρὰ Θεοῦ διακομίζειν λόγους· ᾤοντο δὲ μᾶλλον ἀπὸ τῆς σφῶν ἐρεύγεσθαι γνώμης, ἕτερά τε παρὰ τὰ δοκοῦντα λαλεῖν τῷ τῶν ὅλων Δεσπότῃ. Ταύτῃτοί φησιν· Ὦ ἀσύνετοι καὶ παράφρονες, ἆρά τινες ἐξ ὑμῶν γενήσονται φίλοι, καὶ τὴν αὐτὴν βαδιοῦνται τοῦ βίου τρίβον, οὐκ ἐγνωκότες ἑαυτοὺς, ἤγουν ἀλλήλους, τουτέστιν, εἰ μὴ ἀλλήλους τεθέανται ἰσοτρόπους τε καὶ ὁμογνώμονας ; Πᾶν γὰρ ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ, καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ. Καὶ εἰ τοῦτο ἔστιν ἀληθὲς, πῶς ἂν ἐδεξάμην τοὺς προφήτας οἱονεί πως εἰς φιλίαν καὶ ἀγάπησιν, ἅγιος ὢν αὐτὸς, εἰ μὴ καὶ αὐτοὶ γεγόνασιν ἅγιοι ; Πῶς οὖν διώκετε τοὺς ἁγίους, οἷς καὶ τοὺς ἐμοὺς τεθάρρηκα λόγους, οὓς προσηκάμην ὡς ἀγαθοὺς, οἱονεὶ τὴν αὐτὴν ἐμοὶ

[71] Galat. IV, 9. [72] Isa. III, 12 [73] Amos VII, 12, 13. [74] Jerem. XLIII, 2.

Digitized by Google

βαδίζοντας τῶν θελημάτων ὁδόν; Ὃ γὰρ ἂν βουλοίμην ἐγὼ, τοῦτο καὶ αὐτῶν ἔσται θέλημα. Οὐκοῦν τὸ προφήτας ἐπιτιμᾷν, οὐδὲν ἕτερόν ἐστιν, ἢ κατ' ἐμοῦ λοιπὸν ποιεῖσθαι τὴν ἐπίπληξιν. Τοιοῦτόν τι καὶ ὁ Σωτὴρ τοῖς ἁγίοις φησὶ μαθηταῖς· « Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ὁ μὴ δεχόμενος, οὐ δέχεται τὸν ἀποστείλαντά με. » Προσέταττε δὲ τοῖς ἐξωθουμένοις καὶ αὐτὸν ἀπομάττεσθαι τὸν κονιορτὸν τῶν ποδῶν, εἰπὼν, ὅτι ἀνεκτότερον ἔσται γῇ Σοδόμων, ἢ τῇ πόλει ἐκείνῃ. Προσίεσθαι δὴ οὖν ἀναγκαῖον τοὺς τὰ Θεοῦ πρεσβεύοντας, καὶ τὰ αὐτῷ δοκοῦντα διαπορθμεύοντας εἰς ἡμᾶς· ὁποῖός τις ἦν Παῦλος, λέγων· « Ὑπὲρ Χριστοῦ πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν, δεόμεθα ὑπὲρ Χριστοῦ, καταλλάγητε τῷ Θεῷ. »

A sequitur ut aliud nihil sit, quam me ipsum in reprehensione ponere. Tale quiddam et Salvator discipulis sanctis ait : « Qui vos recipit, me recipit; qui non recipit vos, non recipit eum qui me misit [76]. » Jussit præterea, dum pellerentur, etiam ipsum pulverem pedum excutere, addens, tolerabilius fore terræ Sodomorum in die judicii, quam civitati illi [76]. A Deo igitur legatos, et ejus placita ad nos afferentes admittamus oportet. Qualis erat Paulus, cujus illa vox : « Pro Christo legatione fungimur, tanquam Deo per nos exhortante. Obsecramus pro Christo, reconciliamini Deo [77]. »

Εἰ ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ, θήρ οὐκ ἔχων; Εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ ἐκ τῆς μάνδρας αὐτοῦ καθόλου, ἐὰν μὴ ἁρπάσῃ τι;

B Vers. 4. *Si rugiet leo de saltu suo, prædam non habens? Si dabit catulus vocem suam ex cubili suo omnino, nisi rapuerit aliquid?*

ΚΖ'. Οἱ τὰ τῶν θηρίων πολυπραγμονοῦντες ἔθη, φασὶ τὸν λέοντα τροφῆς ἐν ἐνδείᾳ γεγονότα περιϊόντα εὐσθενῶς ὄρη τε καὶ νάπας καὶ δρυμοὺς τῇδε κἀκεῖσε τὸν ὀφθαλμὸν περιστρέφοντα, καί τι τῶν ἐν ὕλαις βοσκομένων λαβεῖν. Ἐπειδὰν δὲ θεάσηταί τι τῶν ἐπιτηδείων εἰς τροφὴν, εἶτα γένηται πλησίον, δεινόν τι καὶ δυσηχὲς βρυχώμενον ποιεῖσθαι τὴν ἔφοδον. Εἰ δὲ δὴ ἀποκομίζοιτο τοῖς σκύμνοις τὰ εἰς τροφὴν, εἶτα γένοιτο τῆς μάνδρας ἐγγὺς, ἀναθρώσκουσι κἀκεῖνοι, καὶ σὺν βοῇ λαβόντες σπαράττουσι. Τί τοίνυν, φησὶν, αἰτιᾶσθε Θεὸν, ὅτι πρὸ τῆς τῶν δεινῶν C ἐφόδου ποιεῖται τὴν ἀπειλήν; Τί δὲ καὶ αὐτοῖς ἐπιτρίζετε τοῖς προφήταις, ὅτι καὶ αὐτοὶ τῆς ὑμετέρας ἀσεβείας κατακεκράγασιν; Ἐγὼ μὲν γὰρ ἔοικα λέοντι, φησὶ, τῷ πρὸς θῆρας εἰωθότι βοᾷν, μονονουχὶ καὶ προαπειλοῦντι τὴν ἔφοδον· σκύμνοι δὲ ὥσπερ οἱ ἐμοί εἰσιν, οἱ πᾶν τὸ ἐμὸν ἔθος ἀπομιμούμενοι· κατακεκράγασι γὰρ, ὡς ἔφην, τῶν δυσσεβεῖν εἰωθότων. Ἀλλ' ὥσπερ τοῖς ἐν δρεσι ζώοις οὐκ ἀκερδὴς παντελῶς ἡ προαναφώνησις τοῦ θηρὸς, κατασοβοῦσα πρὸς φυγὴν πρὶν ἁλῶναι τυχὸν, οὕτω καὶ τοῖς ἁμαρτάνουσι χρησιμωτάτη λίαν ἡ πρὸ τῶν δεινῶν ἀπειλή τε καὶ προαγόρευσις, μεθιστῶσα πρὸς μετάγνωσιν, καὶ ἀποφυγὴν τῶν ἡμαρτημένων. Λέοντι δὴ οὖν ἑαυτὸν παρεικάζει Θεὸς, οὐ πρότερον ἐπιθρώσκοντι, καὶ τὰ ἐξ ὀργῆς ἐπάγοντί τισιν, εἰ μὴ προαναφαίνοι τὴν ἀπειλὴν, ἵνα μετανοοῦντες σώζοιντο, πρὸ τῆς δεινῶν ἐφόδου φάρμακον ὥσπερ εἰς σωτηρίαν δεχόμενοι τῶν ἐσομένων τὴν προαγόρευσιν.

277 XXVII. Qui naturas ferarum exquisitius pervestigant, narrant leonem esurientem montes, saltus et nemora contentius pervagari, huc illuc oculos circumferre, et quidpiam ibidem pascentium rapere. Ubi autem aliquid sibi ad esum idoneum conspexerit, propiorem factum horribiliter et absone rugiendo prædam invadere. Quod si catulis escam apportans lustrum attigerit, exsilire illos et cum clamore prædam apprehensam dilaniare. Quid ergo, inquit, Deum calumniamini, cum ante adventum calamitatum comminatur? Quid super prophetis ejus fremitis, cum et ipsi super vestra impietate clamorem edunt? Ego enim leonem imitor, inquit, qui contra bestias clamare consuevit, et propemodum minari prius se impressionem facturum; catuli autem quodammodo mei sunt, qui omnes mores meos referunt. Clamant enim, ut dixi, adversum eos quibus impie agere in consuetudine est. Sed quemadmodum feris montanis belluæ hujus præmissus clamor non est incommodus plane, quippe ad fugam eas impellens antequam forte capiantur; ita quoque peccantibus ante cladem, et pœnas comminatio, et prædictio, qua commoti ad pœnitentiam et fugam peccatorum se dent, longe est utilissima. Cum leone itaque Deus se comparat, non prius insiliente, et ex ira prædam devorante, nisi D minas præmiserit, ut pœnitentes ante malorum adventum salventur, quasi pharmacum salutare futurorum vaticinium suscipientes.

Εἰ πεσεῖται ὄρνεον ἐπὶ τὴν γῆν ἄνευ ἰξευτοῦ; Εἰ σταθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ τοῦ συλλαβεῖν τι;

Vers. 5. *Si cadet avis in terram absque aucupe? Si statuetur laqueus in terra sine eo quod apprehendat aliquid?*

ΚΗ'. Πεποίηται μὲν ὡς ἐξ ὁμοιώσεως καὶ νῦν ὁ λόγος. Ἰξευταὶ μὲν γὰρ τὰ ἐν φυτοῖς ἱζήσαντα τῶν στρουθίων εὐτεχνέστατα καταφέρουσι. Παγίσι δὲ οὖν συνθελῶσί τινες τὸ ἁλισκόμενον. Ἔοικε δὲ ὁ λόγος αἰνίττεσθαι νυνὶ διὰ τῶν στρουθίων μὲν τοὺς ὑψηλὰ φρονεῖν εἰωθότας, τοὺς ἀλαζόνας τὸν νοῦν, καὶ μετεώρους τὰς φρένας, καὶ τὸ συναπάγεσθαι τοῖς ταπεινοῖς

XXVIII. Etiam nunc similitudine quadam sermo constat. Aucupes enim passerculos arboribus insidentes miro artificio dejiciunt. Quidam tendiculis captos elidunt. Videntur verba hæc sub involucro quodam indicare passerculorum nomine eos, qui solent altum sapere [78], arrogantes animis, et elatos corde, humilibus consentire non sustinentes; per

[76] Matth. x, 40. [76] ibid 15. [77] II Cor. v, 20. [78] Rom. xii, 3.

Digitized by Google

tendiculis autem captos terrenorum amantes, solaque carnalia et saginantia consectantes. Aucupi autem et laqueo rursum se assimilat Deus, superbos ad terram deturbans, et quasi confringens, et ad supplicium captans, qui terrena tantum sapiunt. Erant « autem Israelitæ arrogantes, et Dei contemptores, prophetasque aspernabantur, et legem in postremis habebant. **278** Erant præterea mundanis involuti negotiis, et tantummodo fluxa et caduca persequebantur, quorum absurdis cupiditatibus victi, a Dei verbo refugiebant, et ad virtutem invitantibus repugnabant. Dicebant enim prophetis: Loquimini alia, et errorem, seu imposturam nobis aliam annuntiate. Si igitur ego sum, inquit, qui instar aucupis superbos dejicio, et velut laqueo captos suffocare solitus sum, qui more vulpium aut murium negotiis mundanis tenaciter inhærebant, quid frustra sanctos persequimini, quia tantum sermones meos ad vos perferunt, cum ego nihilominus iræ meæ in impios conceptæ satisfaciam?

πεινοῖς οὐκ ἀνεχομένους· διὰ δὲ τῶν ἐν παγίσιν ἁλισκομένων τῶν ἐπιγείων τοὺς ἐραστὰς, καὶ μόνα ζητοῦντας τὰ σαρκικὰ, καὶ καταπαίοντα. Ἰξευτῇ δὲ, καὶ παγίδι πάλιν ἑαυτὸν παρεικάζει Θεὸς, κατακομίζοντι μὲν εἰς γῆν τοὺς ὑπερηφάνους, συνθλῶντι δὲ ὥσπερ, καὶ ἀγρεύοντι πρὸς τιμωρίαν τοὺς μόνα φρονοῦντας τὰ ἐπὶ τῆς γῆς. Ἀλαζόνες δὲ ἦσαν οἱ ἐξ Ἰσραὴλ, καταφρονοῦντες Θεοῦ, καὶ προφήτας παραιτούμενοι, καὶ ἀτιμάζοντες νόμον. Ἦσαν δὲ οὐδὲν ἧττον καὶ γλίσχροι λίαν περὶ τὰ ἐν κόσμῳ πρακτέα, καὶ μόνα ζητοῦντες τὰ ἐπὶ τῆς γῆς, ὧν ταῖς ἐκτόποις ἐπιθυμίαις ἡττώμενοι, τὸν τοῦ Θεοῦ λόγον οὐ προσίεσαν, ἀντέπραττον δὲ τοῖς καλοῦσιν εἰς ἀρετήν. Ἔφασκον γὰρ τοῖς προφήταις· Ἄλλα ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέραν πλάνησιν. Εἴπερ οὖν ἐγώ εἰμι, φησὶν, ὁ ἐν ἰξευτοῦ τρόπῳ καταφέρων τοὺς ὑπερηφάνους, καὶ ὡς ἐν τάξει παγίδος συνθλᾷν εἰωθὼς τὸν ἀλώπεκος δίκην, ἢ μυὸς γλίσχρως ἔχοντα πρὸς τὰ ἐν κόσμῳ πρακτέα, τί μάτην διώκετε τοὺς ἁγίους, ὅτι μόνους εἰς ὑμᾶς διακομίζουσι λόγους, ἐμοῦ πληροῦντος τὰ ἐξ ὀργῆς τοῖς δυσσεβέσιν ἀπερριμμένης;

Vers. 6. *Si clamabit tuba in civitate, et populus non expavescet? Si erit malum in civitate, quod Dominus non fecit?*

Εἰ φωνήσει σάλπιγξ ἐν πόλει, καὶ λαὸς οὐ πτοηθήσεται; Εἰ ἔσται κακὰ ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν;

XXIX. Ego quidem, inquit, pro ira mea malis vos macto; prophetæ autem utiles sunt, et subserviunt ad verba tantum. Deferunt enim ad vos, quæ ipsis per Spiritum mando. Sed negligitis forsan, et verberibus eos dire accipitis, propter sermonem nonnunquam duntaxat, quem aliquando edunt. Quid vero tandem, dic mihi, his perfecistis? Quis timor vos cepit? aut quam mutationem ad meliora instituistis? In civitate quidem si resonuerit tuba, bellum ab hostibus motum et armatorum adventum denuntiaverit, quis adeo omnem doloris sensum amisit, ut non incredibilem futurorum malorum metum concipiat? Meæ autem tubæ futura præcinere nunquam desinunt, et vos tamen nihil inde emolumenti percipitis. Cumque intelligatis vos ab hostibus devastatum iri, contra hujuscemodi terrores efferimini vehementer, ut fortassis etiam denuntiationem, ceu rem vanam irrideatis; quin et illud usitatum, et vecordibus consuetum acclametis: « Visio quam hic videt, post dies multos eveniet, si eveniet, et in tempora longa iste vaticinatur[19]. » Quid igitur onerosos ducitis veluti buccinis canentes, si verba eorum pro nihilo putatis? Sed fortasse illud respondebitis, non mediocriter rerum eventu vos contristari. An igitur « Malum erit forte in civitate, quod Dominus non fecit? » Perinde ac si dicat: Num quisquam hominum ad civitatem aut morbis, aut obsidionibus, aut frugum corruptionibus, aut alio simili modo vexandam sufficiat? Quod si hominum nullus ista fecerit, potiusque in potestate et potentia Dei posita sunt,

ΚΘ'. Ἐγὼ μὲν, φησὶν, ἐπάγω τὰ ἐξ ὀργῆς, χρήσιμοι δὲ, καὶ μεσῖται πρὸς μόνους εἰσὶν οἱ προφῆται λόγους. Διαπορθμεύουσι γὰρ εἰς ὑμᾶς ἅπερ ἂν αὐτοῖς ἐντέλλομαι διὰ τοῦ Πνεύματος. Ἀλλ' ὀλιγωρεῖτε τάχα που, καὶ ἀλλοιᾶτε σφόδρα, καὶ πρὸς μόνους τοὺς παρ' αὐτῶν ἔσθ' ὅτε λόγους. Τί γὰρ ὅλως, εἰπέ μοι, διὰ τούτων ὠφέλησθε; Ποῖος ὑμᾶς εἰσέδυ φόβος; Ἢ τίνα μεταβολὴν ἐσχήκατε πρὸς τὸ ἄμεινον; Ἐν πόλει μὲν γὰρ εἰ ἀναφωνήσειε σάλπιγξ, τὸν παρ' ἐχθρῶν ἥκοντα, καὶ κεκινημένον περιαγγέλλουσα πόλεμον, τίς οὕτως ἀνάλγητος, ὡς μὴ πάντη τε καὶ πάντως τὸν ἐκ τῶν ἐσομένων κακῶν εἰσδέξασθαι φόβον, Αἱ δὲ ἐμαὶ σάλπιγγες οὐ διαλελοίπασι, προαναφωνοῦσαί τε τὰ μέλλοντα. Ἀλλ' ὠφέλησθε μὲν παντελῶς οὐδὲν, μανθάνοντες δὲ ὅτι καταδηωθήσεσθε παρ' ἐχθρῶν, κατευμεγεθεῖτε λίαν τῶν εἰς τοῦτο δειμάτων, ὡς τάχα που καὶ διαγελᾷν, ὡς εἰκαῖόν τι χρῆμα, τὴν προαγόρευσιν. Καὶ μὴν κἀκεῖνο βοᾷν τὸ σύνηθες, καὶ τοῖς ἀπονοουμένοις ἐντριβές· « Ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. » Τί οὖν ἠγεῖσθε φορτικοὺς, τοὺς οἱονεὶ σαλπίζοντας, εἰ μηδὲν ἠγεῖσθε τοὺς λόγους; Ἀλλ' ἴσως ἐκεῖνό φατε, ὡς οὐ μετρίως καταλυπεῖ τῶν πράξεων ἡ ἔκβασις. Ἆρα οὖν ἔσται « Κάκωσις ἐν πόλει τυχὸν, ἣν Κύριος οὐκ ἐποίησεν; » Ὅμοιον ὡς εἰ λέγοι· Ἆρα τίς ἔσται τῶν ἐν ἀνθρώποις ἱκανὸς εἰς γε τὸ δύνασθαι κακῶσαι πόλιν ἢ νόσοις, ἢ πολιορκίαις, ἢ καρπῶν καταφθοραῖς, ἢ καθ' ἕτερόν τινα τοιοῦτον τρόπον; Εἰ δὲ ἀνθρώπων μὲν οὐδεὶς τοιάδε δράσειεν ἄν, κεῖται δὲ μᾶλλον ἐν ἐξουσίᾳ καὶ δυνάμει Θεοῦ, τί τοῖς προαγγέλλουσι χαλε-

[19] Ezech. xii. 27.

Digitized by Google

παίνετε; Καίτοι μεταγνῶναι δέον, καὶ ταῖς εἰς τοῦτο προφοπαῖς ἐκμειλίσσεσθαι τὸν λελυπημένον, καὶ κακοῦν ἰσχύοντα τοὺς ἡμαρτηκότας. Κακίαν δὴ ἐν τούτοις νοήσομεν γινομένην ἐν πόλεσι παρὰ Θεοῦ, οὐ φαυλότητα, μὴ γένοιτο· κάκωσιν δὲ μᾶλλον, ἤτοι τὴν ἐφ' ὑφοῦν ὀργήν τε καὶ κίνησιν, ἣν τοῖς ἁμαρτάνουσιν ἐπαρτήσειεν ἄν, ἐπιστρέφειν ἀναπείθων ἐπὶ τὰ πρεπωδέστερα. Γέγραπται γάρ, ὅτι « Ἐν καμῷ τὰς σιαγόνας ἄξεις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. » Ἐπειδὴ γάρ ἐστιν ἀγαθὸς, « Καὶ πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, » καταδιάζεταί πως τοῖς ἐξ ὀργῆς ἐπὶ τὸ ἄμεινον, καὶ μεθίστησιν εὐσθενῶς ἔσθ' ὅτε τοῖς δείμασι, καὶ ταῖς ἀπειλαῖς, οὓς οὐκ ἀναπείθει λόγος, καὶ ἡ τῶν συμφερόντων ὑφήγησις.

Διότι οὐ μὴ ποιήσῃ Κύριος πρᾶγμα, ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν πρὸς τοὺς δούλους αὐτοῦ πρὸς τοὺς προφήτας. Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; Κύριος ἐλάλησεν, καὶ τίς οὐ μὴ προφητεύσῃ;

Α'. Οὐχ οἱ προφῆται, φησὶ, τὰ ἐξ ὀργῆς ἐπάγουσί ποθεν, ἄνθρωποι γὰρ καὶ αὐτοί εἰσι καθ' ὑμᾶς τὴν φύσιν, τετίμηνται δὲ παρὰ Θεοῦ τῷ πάντα μανθάνειν, ἃ ἂν βούλοιτο πληροῦν, καὶ πόλεσί τε καὶ χώραις ἐπάγειν ἀγαθὰ τυχὸν, ἢ τὰ λυπεῖν εἰωθότα. Ἀλλ' ἴσως πρὸς τοῦτό φατε· Μανθανέτωσαν εἰ δοκεῖ, πλουτείτωσαν παρὰ σοῦ τῶν ἐσομένων τὴν γνῶσιν, διατρανούσθω πάντα αὐτοῖς τὰ μυστήρια· λαλείτωσαν δὲ μηδενὶ, μήτε μὲν ταῖς τῶν ἀποστειομένων αὐτοὺς ἀκοαῖς ἐνηχείτωσάν τινα. Τί οὖν πρὸς ταῦτα παρὰ Θεοῦ; « Λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; » Εἰ γὰρ ἐν τῷ βρυχᾶσθαι, φησὶ, τὸν λέοντα « Τὸ πανσθενέστατον τῶν θηρίων » οὐκ ἂν γένοιτό τις ἀτεράμων οὕτως, καὶ σοβαρὸς, ὡς μὴ εἰσδέξασθαι πτοίαν, πῶς ἂν Θεοῦ λαλοῦντος τοῦ πάντων ἐπέκεινα, καὶ ἀπαγγέλλειν αὐτοῖς προστάττοντος ἃ μανθάνουσιν, οὐκ ἂν ἔδεισαν τὸν προστετακότα; Οὐ γάρ εἰσι καθ' ὑμᾶς καταφρονηταὶ, καὶ ἄτεγκτοι, καὶ ἐν οὐδενὶ ποιούμενοι λόγῳ τὰ τῷ πάντων δοκοῦντα Δεσπότῃ. Πανταχοῦ τοιγαροῦν ἀσφαλίζεται τοὺς ἁγίους, καὶ ἀποσοβεῖ τῶν προφητῶν τὰς τῶν ἐθελοκακούντων βλάβας. Τοῦτο δὲ ἦν ἕτερον οὐδὲν ἢ τῆς καθηκούσης φροντίδος ἀξιοῦν. Τὸ γὰρ ἐκ μέσου ποιεῖσθαι τοὺς ἰατροὺς, οὐδὲν ἂν εἴη, ἢ ἀνεπικουρήτους ἐπιτελεῖν τοὺς ἠρρωστηκότας. Τοῦτό τοι καὶ διὰ φωνῆς Δαβὶδ προαναφωνεῖ· « Μὴ ἅπτεσθε τῶν χριστῶν μου. » Καὶ πρὸς αὐτοὺς δέ πού φησι τοὺς προφήτας· « Καὶ ἔσται ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ μου. » Ἀδικήσει γὰρ οὐ μετρίως τὴν ἑαυτοῦ ψυχὴν ὁ ταῖς τῶν ἁγίων κεφαλαῖς ἐπιτρίζων τοὺς ὀδόντας, καὶ ἀνοσίως ἐπιφυόμενος, καί τι τῶν ἐκτόπων ἐπάγειν οὐ παραιτούμενος.

Ἀπαγγείλατε χώραις ἐν Ἀσσυρίοις, καὶ ἐπὶ ταῖς χώραις ἐν γῇ Αἰγύπτῳ, καὶ εἴπατε· Συνάχθητε εἰς τὸ ὄρος Σαμαρείας, καὶ ἴδετε θαύματα πολλὰ ἐν μέσῳ αὐτῆς, καὶ καταδυναστείαν ἐν αὐτῇ. Καὶ οὐκ ἔγνω ἃ ἔσται ἐναντίον

A **279** quid est cur prænuntiantibus irascimini? Atqui resipiscere oportebat, et occasionibus ad hoc idoneis placare irritatum, et qui peccatores affligere potest. Proinde his verbis intelligamus licet malum factum in civitatibus a Deo aliquid, non affine nequitiæ; absit! sed afflictionem magis, sive iram, quacunque de causa, et indignationem, quam peccantibus intenderit, quo eos ad honestiora pelliceret. Scriptum est enim: « In camo et freno maxillas eorum constringe, qui non approximant ad te[80]. » Quoniam enim bonus est, « Et omnes homines vult salvos fieri, et ad agnitionem veritatis venire[81], » suppliciis ex ira illatis ad meliora quodammodo compellit, et quibus verba utiliumque doctrina præcedens non persuadet, eos terroribus

B atque minis ad virtutem inducit.

Vers. 7, 8. *Quia non faciet Dominus rem, nisi revelaverit eruditionem ad servos suos prophetas. Leo rugiet, et quis non timebit? Dominus locutus est, et quis non prophetabit?*

XXX. Non prophetæ, inquit, pœnas irati alicunde invehunt; quando et ipsi homines sunt, vestrum natura similes. Hunc autem a Deo honorem consecuti sunt, ut norint omnia quæ ipsi facere libuerit, et quæ urbibus atque regionibus inducere commoda forte, aut incommoda voluerit. Sed occurretis, opinor: cognoscant, si ita videtur; notitia futurorum abs te augeantur; revelentur illis omnia mysteria, loquantur autem nemini, nec eos repellen-

C tium auribus quædam insonent. Quid igitur ad hæc Deus? « Leo rugiet, quis non timebit? » Si enim, dum rugit leo, inquit, « bestiarum fortissimus[82], » nemo ita præfractus fuerit et insolens, qui non pavescat, quomodo, Deo loquente mandanteque ipsis, ut quæ cognoscunt annuntient, jubentem non timebunt? Neque enim sunt sicut vos, contemptores et ferrei, quique omnium Domino visa floccipendant. Undique igitur communit sanctos, et a prophetis sponte sua improborum injurias avertit. Id quoque nihil est aliud, quam decenti cura populum dignari. Nam de medio tollere medicos, quid aliud sit quam ægrotos auxilio spoliare? Hoc item Davidis voce prænonet: « Nolite tangere

D christos meos[83]. » Et ad ipsos prophetas alicubi ait: « Et erit, qui tetigerit **280** vos, quasi qui tangeret pupillam oculi mei[84]. » Haud enim mediocriter lædit animam suam, qui super sanctorum capitibus stridet dentibus, et eos invadit impie, et quidpiam indignum in eos audere non reformidat.

Vers. 9-11. *Annuntiate regionibus in Assyriis, et in regionibus in terra Ægypti, et dicite: Congregamini in montem Samariæ, et videte mirabilia multa in medio ejus, et oppressionem in ea. Et non cognovit quæ erunt contraria ipsius, dicit Dominus, thesauri-*

[80] Psal. xxxi, 9. [81] I Tim. II, 4. [82] Prov. xxx, 30. [83] Psal. civ, 15. [84] Zach. II, 8.

Digitized by Google

zantes iniquitates et miseriam in regionibus suis. Propter hoc hæc dicit Dominus Deus : Tyrus, et in circuitu terra tua deserta erit, et detrahet de te fortitudinem tuam, et diripientur regiones tuæ.

XXXI. Rursum minatur se illaturum ipsis, quæ eo improbitatis progressos, ut a Deo resiliant, et prophetas objurgitent, et per Moysen sancita despuant, meritissimo sustinere ac perpeti par sit. Sciendum porro Hebræam editionem discrepare hoc loco ab interpretatione Septuaginta. Hebræi namque ediderunt, « annuntiate in regionibus Azoti, et in regionibus terræ Ægypti. » Septuaginta vero, « annuntiate regionibus in Assyria, et in regionibus Ægypti. » Et Azotus quidem Judææ vicina, credo, et confinis est, magnis autem spatiis ab ea dissita Assyriorum, hoc est, Persarum regio, ad ipsos prope terminos Orientis jacens. Sentimus igitur, nihil fore alieni, sive Azotii forte, sive Assyrii dicantur : utroque enim modo vera reperiuntur divinitus inspiratæ Scripturæ verba, quemadmodum etiam contextum propositum declarantes demonstrabimus. Nam quod indicatur, historiæ cujusdam commonefactionem habet, ex quarto Regum, et secundo Paralipomenon, quam commemorabo brevissime, ut ne scientibus verbosus videar. Regnavit quondam Hierosolymis Manasses, filius quidem Ezechiæ, verum patri moribus admodum dissimilis, et a pietate erga Deum remotissimus, homo perversus, et ad quidvis nefarium perpetrandum promptus, exsecrandus et idolorum cultor, dæmonumque imposturis mirifice addictus. Hic altaria et fana Baal ædificavit. Omnem militiam cœli adoravit. **281** Per ignem filios suos traduxit. Collegit augures, et quibus studium mentiendi, quique præcipuum ac singulare quiddam scire ferebantur, cum essent ignorantes, et e corde suo potius loquerentur ; et modus extremæ omnium nequitiæ fortasse nullus erat omnino, cui non impense operam dare vellet. Eo rege, Deus per prophetam de Jerusalem et tota provincia Judæorum dixit : « Ecce ego inducam super populum hunc mala, ut quicunque audierit, tinniant ambæ aures ejus [85]. » Postquam Manasses obiit, Amon filius ejus in regno successit, mali corvi malum ovum. Eadem quæ ille, in honore habuit. Vixit porro biennium tantum. Post hunc in regem unctus est Josias, filius ejus, vir sapiens, et solers, Deique amantissimus. De eo vaticinium edidit veniens in Bethel homo Dei, Jeroboam stante super altare, et vitulis immolandis festum diem dedicationis ejus celebrante. Ait enim : « Altare, hæc dicit Dominus : Ecce filius nascetur domui David, Josias nomine, et immolabit super te sacerdotes excelsorum sacrificantium super te, et ossa hominum super te incendet [86]. » Inito siquidem regno, Josias idolorum delubra destruxit, altaria evertit, lucos succidit, cur-

[85] IV Reg. xxi, 12. [86] III Reg. xiii, 2.

αὐτῆς, λέγει Κύριος, οἱ θησαυρίζοντες ἀδικίας καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεός· Τύρος, καὶ κυκλόθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ κατάξει ἐκ σοῦ τὴν ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου.

ΛΑ'. Ἀπειλεῖ δὴ πάλιν ἐπάγειν αὐτοῖς ἅπερ ἦν εἰκὸς ὑπομεῖναι καὶ παθεῖν τοὺς εἰς τοῦτο λοιπὸν ἀφιγμένους φαυλότητος, ὡς ἀπωθρώσκειν Θεοῦ, καὶ προφήταις ἐπιτιμᾷν, καὶ ἀλογῆσαι παντελῶς τῶν διὰ Μωσέως τεθεσπισμένων. Ἰστέον δὲ ὅτι διαπεφώνηκεν ἐν τούτοις ἥτε τῶν Ἑβραίων ἔκδοσις, καὶ ἡ τῶν Ἑβδομήκοντα γραφή. Ἑβραῖοι μὲν γὰρ ἐκδεδώκασιν, « Ἀπαγγείλατε χώραις ἐν Ἀζωτίοις, καὶ ἐπὶ ταῖς χώραις τῆς Αἰγύπτου. » Οἱ δέ γε Ἑβδομήκοντα, « Ἀπαγγείλατε χώραις ἐν Ἀσσυρίᾳ, καὶ ἐπὶ τὰς χώρας τῆς Αἰγύπτου. » Καὶ Ἄζωτος μὲν γείτων τάχα που, καὶ ὁμορός ἐστι τῇ τῶν Ἰουδαίων χώρᾳ, διῴκισται δὲ λίαν ἡ τῶν Ἀσσυρίων, τουτέστιν, ἡ Περσῶν καὶ Μήδων πρὸς αὐτοῖς οἱονεί πως τέρμασι τῆς ἑώας κειμένη. Φαμὲν οὖν, ὅτι τὸ λυποῦν οὐδὲν, κἂν εἰ Ἀζώτιοι τυχὸν, ἦγουν Ἀσσύριοι λέγωνται. Κατ' ἄμφω γὰρ ἀληθεύσει τῆς θεοπνεύστου Γραφῆς ὁ λόγος, καθάπερ ἀμέλει τὰ ἐν τῷ προκειμένῳ ἐπισαφοῦντες ἐπιδείξομεν. Ἔχει μὲν ἱστορίας ἀνάμνησιν τὸ δηλούμενον ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν κειμένην, καὶ ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων. Ποιήσομαι δὲ τὴν ἀφήγησιν εὖ μάλα συνεσταλμένως, ὡς ἂν μὴ δοκοίην ἐν εἰδόσι μακρηγορεῖν. Βεβασίλευκε κατὰ καιροὺς ἐν Ἱεροσολύμοις Μανασσῆς, ὃς Ἐζεχίου μὲν ἦν υἱὸς, ἑτερότροπος δὲ λίαν, καὶ τῆς τοῦ πατρὸς εὐσεβείας ὡς ἀποτάτω. Γέγονε γὰρ ἀνὴρ πονηρὸς, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων εὐχολος, βδελυρὸς, καὶ εἰδωλολάτρης, καὶ ταῖς τῶν δαιμόνων ἀπάταις οὐ μετρίως προσκείμενος. Οὗτος ἀνεδείματο βωμοὺς, καὶ τεμένη τῷ Βάαλ. Προσκεκύνηκεν ἁπάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Διήγαγεν ἐν πυρὶ τὰ ἴδια τέκνα, συγκεκρότηκεν οἰωνοσκόπους, καὶ τοὺς οἷς μελέτη τὸ ψευδοεπεῖν, τοὺς οἰομένους μέν τι τῶν ἀναγκαίων εἰδέναι, μὴ μέν τοι καὶ εἰδότας, λαλοῦντας δὲ μᾶλλον τὰ ἀπὸ καρδίας αὐτῶν. Καὶ τρόπος ἦν τάχα παντελῶς οὐδεὶς τῆς ἁπασῶν ἐσχάτης φαυλότητος, τοῖς ἐκείνου θελήμασιν ἀνεπιτήδευτος. Αὐτοῦ δὲ βασιλεύοντος ἔφη που Θεὸς διὰ φωνῆς προφήτου περί τε τῆς Ἱερουσαλὴμ, καὶ πάσης τῆς Ἰουδαίας χώρας· « Ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακὰ, ὥστε παντὸς ἀκούοντος αὐτὰ, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ. » Ἐπειδὴ δὲ τετελεύτηκεν ὁ Μανασσῆς, διαδέχεται τὸ σκῆπτρον Ἀμὼν ὁ υἱὸς αὐτοῦ, τῆς τοῦ πατρὸς φαυλότητος ἀποδέων οὐδέν. Τετίμηκε γὰρ ὅσα κἀκεῖνος. Ἔτη δὲ μόνα διεβίω δύο. Εἶτα μετ' ἐκεῖνον κέχρισται πάλιν εἰς βασιλέα Ἰωσίας ὁ υἱὸς αὐτοῦ, σοφὸς, καὶ ἀγχίνους ἀνὴρ, καὶ τῶν ὅτι μάλιστα φιλοθεωτάτων. Αὐτὸν προεκήρυττεν ἀφιγμένος εἰς Βαιθὴλ ὁ ἄνθρωπος τοῦ Θεοῦ, Ἱεροβοὰμ ἑστῶτος ἐπὶ τοῦ θυσιαστηρίου, καὶ ἐγκαινίζοντος ταῖς δαμάλεσι τὴν ἑορτήν. Ἔφη γὰρ οὕτω· « Θυσιαστήριον, λέγει

Digitized by Google

Κύριος· Ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαβὶδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν, τῶν ἐπιθυόντων ἐπὶ σὲ, καὶ ὀστᾶ ἀνθρώπων κατακαύσει ἐπὶ σέ. » Βεβασιλευκὼς γὰρ Ἰωσίας, καθεῖλε μὲν τὰ τῶν εἰδώλων τεμένη, κατέσκαψε δὲ τὰ θυσιαστήρια, κατηφάνισε τὰ ἄλση, κατέκαυσε τὸ ἅρμα τοῦ ἡλίου, κατέσφαξε τοὺς ἱερεῖς τῶν ὑψηλῶν ἐν Βαιθὴλ. ὀστᾶ ἀνθρώπων ἐνέπρησεν ἐπὶ τοῦ θυσιαστηρίου τῶν δαμάλεων, ἥλασε τοὺς γνώστας, ψευδοπροφήτας δὴ λέγω, καὶ ψευδομάντεις, καὶ ἐγγαστριμύθους. Ἐκέλευσε κρατεῖν, καὶ ἰσχύειν ἐν τῷ Ἰσραὴλ τὰ διὰ Μωσέως τεθεσπισμένα. Ἐπ' αὐτοῦ τεθύκασι τὸν ἀμνὸν, καὶ τὸ Πάσχα τετελέκασιν Ἱεροσολύμοις. Ἐπειδὴ δὲ ἦν ἀγαθὸς, καὶ γνήσιος μετὰ Θεοῦ, πέμπει πρὸς Ὁλδὰν τὴν προφήτην, διαπυνθάνεσθαι ζητῶν, εἰ κατέληξε τῆς ὀργῆς ὁ τῶν ὅλων Δεσπότης, εἰ ἐν καλῷ κείσεται τῆς εὐημερίας ὁ Ἰσραὴλ, καὶ ἀργήσει λοιπὸν τὰ διὰ φωνῆς προφητῶν ἐπ' αὐτῶν προαπηγγελμένα. Ἡ δὲ πρὸς αὐτούς· « Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ· Εἴπατε τῷ ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρὸς μέ· Τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτῷ πάντας τοὺς λόγους τοῦ βιβλίου, οὓς ἀνέγνω βασιλεὺς Ἰούδα. Ἀνθ' ὧν ἐγκατέλιπόν με, καὶ ἐθυμίων θεοῖς ἑτέροις, ὅπως παροργήσωσί με ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, καὶ ἐκκαυθήσεται ὁ θυμός μου ἐν τῷ τόπῳ τούτῳ, καὶ οὐ σβεσθήσεται. Καὶ πρὸς βασιλέα Ἰούδα τὸν ἀποστείλαντα ὑμᾶς ζητῆσαι τὸν Κύριον, τάδε ἐρεῖτε πρὸς αὐτόν· Τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ· Οἱ λόγοι μου οὓς ἤκουσας, ἀνθ' ὧν ἀπαλύνθη ἡ καρδία σου, καὶ ἐντράπης ἀπὸ προσώπου Κυρίου, ὡς ἤκουσας ὅσα ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς ἐνοικοῦντας αὐτῷ, εἶναι εἰς ἀφανισμὸν, καὶ εἰς καθάραν, καὶ διέρρηξας τὰ ἱμάτιά σου, καὶ ἔκλαυσας ἐνώπιόν μου· καί γε ἐγὼ ἤκουσα, λέγει Κύριος· Ἰδοὺ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ συναχθήσῃ εἰς τὸν τάφον σου ἐν εἰρήνῃ, καὶ οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου, ἐν πᾶσι τοῖς κακοῖς οἷς ἐγὼ εἰμι ἐπάγων ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. » Καὶ πεπλήρωται μὲν ὑπόσχεσις. Ἀνεβάλετο γὰρ τὴν ὀργὴν ὁ τῶν ὅλων Δεσπότης τὸν τῆς βασιλείας αὐτοῦ καιρόν.

A rum solis combussit, sacerdotes excelsorum in Bethel mactavit, ossa hominum super altare vitulorum incendit, ariolos expulit, pseudoprophetas inquam, et falsos vates, et qui in ventre dæmonem, interrogantibus responsa dantem habebant [87]. Quæ Moyses sanxisset, in Israel auctoritatem obtinere et valere jussit. Sub eo agnum immolarunt, et Pascha Hierosolymis egerunt. Quoniam autem bonus erat, et cum Deo sincere agebat, ad Oldam prophetidem percunctatum quæsitumque misit, num desiisset irasci universorum Dominus; num bene futurum Israelitis, et cessatura esset deinceps prophetarum vocibus illis prænuntiata calamitas? Quæ ita respondit: « Hæc dicit Dominus Deus Israel: Dicite viro qui misit vos ad me: Hæc dicit Dominus: Ecce ego in- B ducam mala super locum istum, et super habitatores ejus, cunctaque maledicta, quæ scripta sunt in libro hoc, quem legit rex Juda; quia dereliquerunt me, et sacrificaverunt diis alienis, ut me ad iracundiam provocarent in cunctis operibus manuum suarum. Et succendetur furor **282** meus super locum istum, et non exstinguetur. Ad regem autem Juda, qui misit vos ad quærendum Dominum, sic loquimini: Hæc dicit Dominus Deus Israel: Quoniam audisti verba voluminis, et emollitum est cor tuum, et humiliatus es in conspectu Dei super his quæ dicta sunt contra locum hunc et habitatores Jerusalem, fore in deletionem et maledictum, et scidisti vestimenta tua, et flevisti coram me, ego quoque C exaudivi te, dicit Dominus. Ecce ego te colligam ad patres tuos, et infereris in sepulcrum tuum in pace, nec videbunt oculi tui omne malum quod ego inducturus sum super locum istum et super habitatores ejus [88]. » Et impleta est promissio. Distulit enim iram universorum Dominus per tempus regni ejus.

Ἦσαν δὲ τριακοντά τε ἔτη καὶ ἕν. Ἐν δέ γε τῷ λοιπῷ καιρῷ κατεστράτευσε τῆς Βαβυλῶνος Φαραὼν Νεχαὼ τῆς Αἰγυπτίων ὁ ἡγούμενος, καὶ τῆς ἐνεγκαμένης ἐξέθει πανστρατιᾷ. Ἐπειδὴ δὲ ἦν Ἰωσίας ἐν ὑποψίαις, μὴ ἄρα τὴν Ἰούδα καταδηώσων ἀφίκετο, τὸν πολέμου νόμον ὡπλίζετο, καὶ ὑπαντιάζειν ἤθελεν. Ὁ δὲ ἀποχωρεῖν ἐκέλευεν, ἐπείγεσθαι φήσας ἐπὶ τὸν ποταμὸν Εὐφράτην, καὶ εἰς τὴν τῶν Ἀσσυρίων ἀποκομίζεσθαι χώραν. Ἐπειδὴ δὲ καὶ μετὰ τοῦτο περιττῶς συνετάττετο, πλήττεται μὲν ἐν τῷ πολέμῳ. Τεθνεὼς δὲ, λοιπὸν οἶκοι τε καὶ ἐν τοῖς Ἱεροσολύμοις ὑπὸ τῶν οἰκείων ἀνεκομίζετο. Καὶ κέχριται μὲν εἰς βασιλέα Ἰωάχας ὁ υἱὸς αὐτοῦ. Τρίτον δὲ μόλις διατελέσαντα μῆνα μετέστησε τῶν σκήπτρων ὁ Φαραὼν Νεχαὼ, καὶ δεσμεύσας εἶχεν ἐν Αἰγύπτῳ τηρούμενον. Ἐπὶ πολλοῖς δὲ χρήμασι κατένευσε μόλις βασιλεύειν ἐν Ἱεροσολύμοις τὸν Ἐλιακεὶμ, ἤγουν Ἰωακεὶμ,

Præterierunt autem anni unus supra triginta, cum ad extremum Pharao Nechao, princeps Ægypti, adversus Babylonem expeditione suscepta, toto cum exercitu e patria excurrit. Quia vero Josias regionem D Juda vastaturum adventare suspicabatur, ut in bellc arma sumpsit, et occurrere cogitavit. Qui eum recedere jussit, professus se ad Euphratem fluvium festinare, et in Assyriam contendere. Quia tamen nihilominus manum temere conseruit, in prælio occubuit, et domum Hierosolymam a suis reportatus est, et unctus in regem Joachaz filius ejus. Qui cum vix trimestre regnasset, sceptro exutum et vinctum Pharao Nechao in Ægypto sub custodia servavit, et vix grandi accepta pecunia annuit, ut Eliacim, sive Joacim, ipse quoque Josia genitus, Hierosolymis regnaret. Pressit autem adeo Israelem Nechao, Samaritanos, inquam, et Hierosolymitanos, ut etiam

[87] IV Reg. xxiii, passim. [88] IV Reg. xxii, 16 20.

Digitized by Google

tributa populo terræ totius imponeret, et vectigalia ab omnibus exigeret. In hoc rerum statu, Joacim regnum administrante, ascendit Nabuchodonosor, et occupavit Hierosolymam ita, ut Eliacim in servitutem redigeret, et ei quoque tributa imperaret, totamque plane urbem ferro devastaret [80]. Neque vero sceleratis hominibus hac mensura calamitatibus admetiendis quievit Deus, sed insuper adjecit aliud grave, et onerosissimum. Ab omni enim finitima regione et terra, a Syris puta, et Tyriis, et Azotiis, et Idumæis, et **283** Moabitis latrunculorum cœtus per loca discurrentes Judæam depopulabantur. Sic enim scriptum est in quarto Regum : « Tum cœpit tributa exigere, ut darent argentum in os Pharaonis, et ab unoquoque pro viribus aurum et argentum exigebatur, a rege terræ, ut daret illud Pharaoni Nechao. Viginti quinque annorum erat Joacim cum regnare cœpisset, et undecim annis regnavit in Jerusalem, et fecit malum coram Domino, juxta omnia quæ fecerant patres ejus [80]. In diebus ejus venit Nabuchodonosor in terram, et factus est ei servus tribus annis, et rursum rebellavit contra eum. Immisitque ei Dominus latrunculos Chaldæos, et latrunculos Tyrios, et latrunculos Moabitas, et filiorum Ammon contra Samariam [81]. » Hæc igitur omnia Israel, ut Dei gloriæ contemptor et impie corruptus, dum opera manuum suarum adorare voluit, perpessus est. Narrata a nobis quantum satis fuit historia, age propositum explicando deinceps percurramus. « Annuntiate regionibus in Assyria et Ægypto, et dicite : Congregamini in montem Samariæ, et videte mirabilia multa in medio ejus, et oppressionem in ea. » Tantum non, inquit, quam celerrime quis annuntiet Ægyptiis et Assyriis, et manu valida incursent montes Samariæ, sive regionem ipsam : montosam quippe dicunt esse. Cum venerint, videbunt in ipsa mirabilia multa et oppressionem improvisam. Qui enim olim vincebant, miserabiles erunt, servitutis jugum ferentes, inquit. Qui supercilium in sublime contra omnes gentes, ut verbo dicam, erigebant, miserandi, et sub pedibus hostium prostrati jacebunt, et tantam tyrannidem patientur, ut vitam retinere in servitute, et tributum pendere victoribus satis habeant. « Sed non cognovit Samaria, inquit, quæ erunt contra ipsam, » hoc est, quæ ipsi adversa evenient. Deinde, ubi « de cætero thesaurizantes iniquitatem, et miseriam in regionibus suis? » Quid enim profuit, inquit, avaritia et cumulare peccata, dum nolunt scire quæ Dei sunt? Num usque ad Assyriorum et Ægyptiorum incursionem clades peccatoribus differetur? Nequaquam, ait : « Propterea hæc dicit Dominus : Tyrus, et terra in circuitu tuo desolabitur, et confringam ex te robur tuum, et diripientur regiones tuæ. » Quod dicitur, « Tyrus, » **284** et « in circuitu, » sic intelliges. A Tyro, inquit, et a circumjecta terra desolabitur regio tua, incursantibus eam latrunculorum gregibus. Tunc

A υἱὸν ὄντα καὶ αὐτὸν Ἰωσίου. Κατεβιάζετο δὲ οὕτω τὸν Ἰσραὴλ, τούς τε ἐν Σαμαρείᾳ, φημὶ, καὶ τοὺς ἐν Ἱεροσολύμοις, ὡς καὶ δασμοὺς ἐπιθεῖναι τοῖς ἀνὰ πᾶσαν χώραν, καὶ τέλη παρὰ πάντων ζητεῖν. Ἐχόντων ὧδε τῶν πράξεων, καὶ διέποντος τὴν βασιλείαν Ἰωακεὶμ, ἀνέβη Ναβουχοδονόσορ. Κατεκράτησε δὲ οὕτω τῶν Ἱεροσολύμων, ὡς ἐλεῖν μὲν εἰς δοῦλον τὸν Ἐλιακεὶμ, δασμολογῆσαι δὲ καὶ αὐτὸν, καὶ πᾶσαν ἁπλῶς καταδῃῶσαι τὴν πόλιν. Καὶ οὐ μέχρι τούτων ἐπεμέτρει Θεὸς τοῖς ἀνόσιον πεπραχόσι τὴν συμφορὰν, προσετίθη δέ τι καὶ ἕτερον δυσαχθὲς, καὶ φορτικώτατον. Ἀπὸ πάσης γὰρ τῆς περιοικίδος γῆς τε καὶ χώρας, ἀπό τε Σύρων, φημὶ, Τυρίων τε καὶ Ἀζωτίων, Ἰδουμαίων, καὶ Μωαβιτῶν, λῃστρικὰ συγκροτήματα κατὰ τόπους ἐκθέοντα τὴν τῶν Ἰου- B δαίων κατελῃζοντο γῆν. Γέγραπται γὰρ οὕτως ἐν τοῖς Παραλειπομένοις · « Τότε ἤρξατο φορολογεῖσθαι τοῦ δοῦναι τὸ ἀργύριον ἐπὶ στόμα Φαραὼ, καὶ ἕκαστος κατὰ δύναμιν ἀπῃτεῖτο τὸ ἀργύριον, καὶ τὸ χρυσίον παρὰ τοῦ τῆς γῆς βασιλέως, δοῦναι αὐτὸ Φαραὼ Νεχαώ. Εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακεὶμ ἦν ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ, καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον Κυρίου, κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτοῦ. Ἐν ταῖς ἡμέραις αὐτοῦ ἦλθε Ναβουχοδονόσορ εἰς τὴν γῆν, καὶ ἦν δουλεύων αὐτῷ ἔτη τρία. Καὶ ἀπέστειλε Κύριος εἰς αὐτοὺς τοὺς Χαλδαίους, καὶ λῃστήρια Τύρων, καὶ λῃστήρια Μωαβιτῶν, καὶ υἱῶν Ἀμὼν κατὰ τῆς Σαμαρείας. » Ταυτὶ δὴ πάντα συνέδη παθεῖν ὡς ὑβρικότα τὸν Ἰσραὴλ εἰς τὴν τοῦ Θεοῦ δόξαν, καὶ C ἀνοσίως κατεφθαρμένον ἐπὶ τὸ βούλεσθαι προσκυνεῖν, τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν. Εἰρημένης δὴ οὖν ἀποχρώντως ἡμῖν τῆς ἱστορίας, φέρε τὸ ῥητὸν ἐπιτροχάδην ἐπιόντες λέγωμεν. « Ἀπαγγείλατε χώραις ἐν Ἀσσυρίᾳ, καὶ ἐπὶ τὰς χώρας τῆς Αἰγύπτου, καὶ εἴπατε · Συνάχθητε ἐπὶ τὸ ὄρος τῆς Σαμαρείας, καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐτῆς, καὶ τὴν καταδυναστείαν τὴν ἐν αὐτῇ. » Μονονουχὶ γὰρ, φησὶν, ἀπαγγελλέτω τις ᾗ τάχος Αἰγυπτίοις καὶ Ἀσσυρίοις, καὶ καταθεόντων εὐσθενῶς τὰ ὄρη Σαμαρείας, ἤτοι τὴν χώραν αὐτὴν· ὀρεινὴν γὰρ εἶναί φασιν. Οἱ δὲ ἐπειδὰν ἥκωσιν ὄψονται ἐν αὐτῇ θαυμαστὰ πολλὰ, καὶ ἀδόκητον καταδυναστείαν. Οἱ γὰρ πάλαι νικῶντες, ἐλεεινοὶ, καὶ ἐν δουλείᾳ ἔσονται, φησίν. Οἱ ὀφρὺν ἀνασπῶντες τὴν ὑπερτενῆ κατὰ πάντων, ὡς ἔπος D εἰπεῖν, τῶν ἐθνῶν, οἰκτροὶ κείσονται, καὶ κατερρῖμμένοι, καὶ ὑπὸ πόδας ἐχθρῶν. Καὶ τοσαύτην ὑπομενοῦσι καταδυναστείαν, ὡς ἀγαπητὸν ἡγεῖσθαι τὸ σώζεσθαι, καὶ ζῆν ἐν δουλείᾳ, καὶ δασμὸν εἰσφέρειν τοῖς νενικηκόσι. « Ἀλλ' οὐκ ἔγνω, φησὶν, ἡ Σαμάρεια ἃ ἔσται ἐναντίον αὐτῆς, » τουτέστιν, ἃ συμβήσεται κατ' αὐτῆς. Εἶτα, ποῦ « Λοιπὸν οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν ἐν ταῖς χώραις αὐτῶν; » Τί γὰρ ὤνησεν ἡ πλεονεξία, φησὶ, καὶ τὸ σωρεύειν αὐτοὺς ἁμαρτίαν, διὰ τὸ μὴ θέλειν εἰδέναι τὰ τοῦ Θεοῦ; Ἆρ' οὖν μέχρι τῆς Ἀσσυρίων τε καὶ Αἰγυπτίων ἐφόδου τὰ τῆς συμφορᾶς τοῖς ἡμαρτηκόσι

[80] IV Reg. xxiv, 1, 10. [80] IV Reg. xxiii, 33-37. [81] IV Reg. xxiv, 1, 2.

Digitized by Google

κείσεται; Οὐδαμῶς, φησί. « Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεός· Τύρος, καὶ κύκλωθεν ἡ γῆ σου ἐρημωθήσεται, καὶ κατάξω ἐκ σοῦ ἰσχύν σου, καὶ διαρπαγήσονται αἱ χῶραί σου. » Τὸ δὲ « Τύρος, » καὶ « κύκλωθεν, » ὧδέ που νοήσῃς· Ἀπὸ τῆς Τύρου, φησί, καὶ ἀπὸ τῆς κύκλωθεν, καὶ περιοίκου γῆς ἐρημωθήσεταί σου ἡ χώρα, καταθεόντων αὐτῆς συγκροτημάτων ληστρικῶν. Τότε γάρ σου κατάξουσι τὴν ἰσχύν, ἀντὶ τοῦ, πᾶσα δύναμίς σου συνθραυθήσεται, μονονουχὶ καὶ ἀτονήσει συγκεκλασμένη. Οὐκοῦν, εἰ λέγοι τυχὸν ἡ τῶν Ἑβραίων ἔκδοσις, « Ἀπαγγείλατε χώραις ἐν Ἀζωτίοις, » καὶ εἰ ἔχει πάλιν ἡ τῶν Ἑβδομήκοντα τὸ, « ἐν Ἀσσυρίᾳ, » ἀληθεύσει κατ' ἄμφω τὸ εἰρημένον. Διήρπασαν γὰρ οὐκ Ἀσσύριοι μόνον, ἀλλὰ καὶ Σύροι καὶ Ἀζώτιοι καταπληθὺν ἐκτρέχοντες, καὶ τρόπῳ ληστείας ἀδικοῦντες τὸν Ἰσραήλ.

A enim robur tuum confringent, pro, omnis virtus tua confringetur, et confracta quasi languebit et torpescet. Quare si forte in Hebræorum editione est, « annuntiate regionibus in Azotiis, » et in Septuaginta, « in Assyria, » ambæ verum dicunt. Non solum quippe Assyrii, sed etiam Syri et Azotii cum copiis Israelem incursarunt, et latronum more divexarunt.

Τάδε λέγει Κύριος· Ὅν τρόπον ὅταν ἐκσπάσῃ ποιμὴν ἐκ στόματος τοῦ λέοντος δύο σκέλη, ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται υἱοὶ Ἰσραὴλ, οἱ κατοικοῦντες ἐν Σαμαρείᾳ, κατέναντι τῆς φυλῆς, καὶ ἐν Δαμασκῷ.

B

Vers. 12. *Hæc dicit Dominus : Sicut avellet pastor de ore leonis duo crura, aut extremum auriculæ, sic avellentur filii Israel, qui habitant in Samaria contra tribum, et in Damasco.*

ΛΒ'. Ἐπιτήρει πανταχοῦ, καὶ σφόδρα θαυμάσεις τῆς προφητείας τὴν νῆψιν. Ἐπειδὴ γὰρ οὐκ εἰσάπαν ἀπόλωλεν ὁ Ἰσραήλ, σέσωσται δὲ τὸ κατάλειμμα κατά γε τὴν Ἡσαΐου φωνήν, ἵνα μὴ δοκοίη ψευδοεπεῖν ἡ ἀλήθεια, συνεισφέρει γὰρ πάντως ταῖς προαγορεύσεσι τῶν κακῶν τὸν ἐξ ἡμερότητος ἔλεον. Ὥσπερ τοίνυν, φησί, κορεσθέντος λέοντος, καὶ τὸ ληφθὲν εἰσάπαξ κατεδηδοκότος ζῶον, ὀλίγα μόλις ἀπομένει λείψανα, δύο σκέλη τυχὸν, ἢ καὶ ὠτίου μέρος, καὶ ταῦτα κλαίοντες οἱ βοτῆρες συλλέγουσιν· οὕτω γενήσεται τοῖς υἱοῖς Ἰσραὴλ τοῖς ἐν Σαμαρείᾳ, καὶ τοῖς κατοικοῦσιν ἐν Δαμασκῷ, τοῖς « κατέναντι φυλῆς, » τουτέστι, τοῖς ἐχθρὰ πεφρονηκόσι, καὶ ἀνθισταμένοις ἀεὶ τῇ τῶν Ἰουδαίων φυλῇ. Οἱ μὲν γὰρ οἰκοῦντες C τὴν Σαμάρειαν ἥλωσαν κατακράτος, καὶ πεπόρθηνται παρ' ἐχθρῶν, καὶ δαπανήσαντος τοῦ πολέμου μονονουχὶ σύμπαντας, ὀλίγοι κομιδῇ διεκομίζοντο μόλις, καὶ τῶν τεθνεώτων λείψανα μεμενήκασιν ἐν τῇ χώρᾳ. Ἦγουν καθ' ἕτερον τρόπον, ἐξεσπάσθησαν, ὡς ἐκ στόματος λέοντος. Ἀπενηνεγμένοι μὲν εἰς τὴν Ἀσσυρίαν, ἀνέντες δὲ κατὰ καιροὺς τῆς αἰχμαλωσίας, ὑπενόστησαν πάντες μὲν οὔ, ἀλλ' ὀλίγα παντελῶς τῶν ἀποκομισθέντων λείψανα. Ὅτι δὲ καὶ τὴν Δαμασκὸν κατὰ καιροὺς εἶχεν ὁ Ἀσσύριος Θεγλαφαλασὰρ, καὶ μετῴκισεν εἰς τὴν ἑαυτοῦ, παντί τῳ σαφὲς, καθάπερ ἐγῷμαι· ὡς γὰρ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν γέγραπται, κέκληταί ποτε πρὸς ἐπικουρίαν τοῦ βασιλέως Ἰούδα, πολεμούντων αὐτῷ τηνικάδε Φακεὲ τοῦ Ῥομελίου βασιλέως Ἰσραὴλ, καὶ D μέν τοι καὶ Ῥαασὼν βασιλέως Συρίας. Ἀφιγμένος δὲ τόν τε Ῥαασὼν ἀπέκτεινε, καὶ αὐτὴν εἶλε τὴν Δαμασκόν.

XXXII. Observa ubique, et admiraberis vehementer prophetæ providentiam. Quia enim non totum Israelem simul perdidit, sed reliquiæ quædam conservatæ sunt [91], secundum vocem Isaiæ, ne veritas falsum dixisse videretur, omnino cum prædictionibus malorum simul misericordiæ ex mansuetudine meminit. Quemadmodum igitur satiato leone, inquit, cum solivagam animantem simul et semel devoravit ; vix parvæ reliquiæ remanent, duo crura puta, aut etiam pars auriculæ, easque pastores flentes colligunt ; ita fiet filiis Israel, Samariam et Damascum habitantibus, « contra tribum, » hoc est, Judæorum tribum odiis prosequentibus, eique perpetuo adversantibus. Incolæ enim Samariæ vi capti et ab inimicis expugnati, et cum bellum omnes propemodum consumpsisset, vix pauci admodum transportati sunt, mortuorumque cadavera in regione manserunt. Sive etiam, alio modo, velut e faucibus leonis erepti sunt. Abducti enim in Assyriam, et tempore expleto libertate donati, non quidem omnes, sed pauci omnino eorum qui abducti fuerant, redierunt. Habuisse autem Damascum aliquando et Theglaphalasar Assyrium, et cives illos in Assyriam transtulisse, neminem latet, ut opinor. Ut enim in quarto Regum legimus, vocatus est quodam tempore in auxilium regis Juda, Phacee, filio Romeliæ rege Israel, **285** et Rasi, rege Syriæ, illum oppugnantibus. Ubi venit, Rasin occidit, ipsam Damascum cepit [92].

Εἰ δὲ δή τις ἕλοιτο καὶ ἐπὶ πάντας ἀνθρώπους τὴν ἐκ τῆς προκειμένων δύναμιν ἀποφέρειν, οὐκ ἀπὸ σκοποῦ βαδιεῖται. Συνήσει γὰρ δή, καὶ λίαν ὀρθῶς, ἐκεῖνο διενθυμούμενος, ὡς ἥρπασε μὲν ὁ Σατανᾶς, καὶ κατεδήδοκε τοὺς ἐπὶ τῆς γῆς, καὶ θηρίων ἀνημέρων δεινότερον· ἀλλ' ἐπεφάνη, καὶ βεβοήθηκεν ὁ ποιμὴν ὁ καλὸς, ὁ τὴν ψυχὴν αὐτοῦ θεὶς ὑπὲρ τῶν προβάτων, ἐξέσπασεν ἡμᾶς τούς τε ὑπολελειμμένους ἐν ζῶσι, καὶ τοὺς ἤδη τεθνεῶτας. Ὡς γάρ φησιν ὁ

Ac si quis propositorum sententiam generatim ad omnes homines referre voluerit, a scopo non aberrabit. Intelliget enim sic, et rectissime quidem, illud cogitans, Satanam in terra versantes rapuisse ac devorasse atrocius quam immanes belluæ solent. Sed apparuisse et occurrisse pastorem bonum, qui posuit animam suam pro ovibus suis [93], et eripuisse nos quique relicti eramus inter vivos, et qui jam eramus mortui. Nam, ut ait Psaltes : « Molas leo-

[91] Isa. xxxvii, 31. [92] IV Reg. xvi, 9. [93] Joan. x, 11.

Digitized by Google

num confregit Dominus [95]. » Et Paulus : « Mortuus est, et revixit, ut vivorum et mortuorum dominaretur [96]. »

VERS. 13-15. *Sacerdotes, audite, et contestamini domui Jacob, dicit Dominus Deus omnipotens. Quia in die, cum ulciscar impietates Israel super eum, et ulciscar super altaria Bethel, et suffodientur cornua altaris, et cadent super terram. Confundam et percutiam domum pinnatam super domum æstivam, et peribunt domus eburneæ, et adjicientur domus aliæ et multæ, dicit Dominus.*

XXXIII. Redit ad narrationem evidentem eorum, quæ manent sceleratos, eumdem sermonem iterans et dilatans sæpius ad utilitatem audientium. Quam rem non infructuosam esse intelligens, opinor, Paulus scribit quibusdam : « Eadem vobis scribere mihi quidem non pigrum, vobis autem necessarium [97]. » Mandat igitur sacerdotibus, tantum non clarissima voce contestari Israel, et singula mox futura illis prædicere. Et quosnam voce in longum penetrante clamare jussos intelligemus? ecquid sacerdotes vitulorum, aut aliorum fanorum, aut idolorum? Atqui hoc incredibile existimo. Nec enim illi sua ipsorum, et aliorum quos seduxerant mala proclamassent. Qui ergo sacerdotes huic muneri constituti sunt? Qui de familia Levi erant. Non enim omnes una lapsi sunt, cum iis, qui in Samaria in errorem abierunt. Non sustinuerunt servire idolis. A religione autem Samaritanorum refugientes, Hierosolymam sunt reversi, de quibus ita scriptum exstat libro secundo Paralipomenon. Sermo est de Jeroboam. **286** Deinde ejus potentiam enarrans, ait : « Imperavit super Judam et Benjamin. Sacerdotes autem et Levitæ, qui erant in universo Israel, venerunt ad eum ex omnibus finibus. Quia relinquebant Levitæ tabernacula habitationis suæ, et transibant ad Judam et Jerusalem, eo quod abjecisset eos Jeroboam, et posteri ejus, ne sacerdotio Domini fungerentur. Quia constituit sibi sacerdotes excelsorum [98]. » Nam quia hi de quibus loquimur non parum offensi fuerant, et cognatione, et sorte, et officio ipso sacrificandi expulsi, necessario ipsis potissimum idolorum ipsorum, et Samariæ vastationem promulgare præcepit : quodammodo ita eos consolans et docens, sapientes ea quæ Dei sunt [99], et universorum Domini amantes, non cum aliis perituros, sed iram divinam evasuros. Quando enim vindicavero, inquit, in Israelitas propter peccata eorum, « Tunc etiam ulciscar super altaria Bethel. Suffodientur enim cornua eorum, et cadent in terram. » An igitur hucusque tantum procedet vastatio Samariæ, et sufficiet templa duntaxat destruere eos, qui altaria diruere et evellere jussi sunt? Neutiquam. « Confundam enim, inquit, et percutiam pinnatam domum, et super domum æstivam. » Vitam delica-

Ψάλλων, « Τὰς μύλας τῶν λεόντων συνέθλασε Κύριος. » Καὶ ὡς ὁ Παῦλός φησιν, « Ἀπέθανε, καὶ ἔζησε, ἵνα ζώντων καὶ νεκρῶν κυριεύσῃ. »

Ἱερεῖς, ἀκούσατε, καὶ ἐπιμαρτύρασθε τῷ οἴκῳ Ἰακώβ, λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ. Διότι ἐν τῇ ἡμέρᾳ ὅταν ἐκδικῶ ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτὸν, καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια Βαιθήλ. Καὶ κατασκαφήσεται τὰ κέρατα τοῦ θυσιαστηρίου, καὶ πεσοῦνται ἐπὶ τὴν γῆν. Συγχεῶ καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον ἐπὶ τὸν οἶκον τὸν θερινὸν, καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι, καὶ προστεθήσονται οἶκοι ἕτεροι καὶ πολλοί, λέγει Κύριος.

ΛΓ'. Ἐπάνεισι πάλιν εἰς ἀφήγησιν ἐναργῆ τῶν συμβησομένων τοῖς ἠσεβηκόσι, τὸν αὐτὸν πλειστάκις κατευρύνων λόγον εἰς ὄνησιν τοῖς ἀκροωμένοις. Ὅθεν, οἶμαί που, τὸ χρῆμα συνεὶς ὡς ἔστιν οὐκ ἀκερδὲς, ἐπιστέλλει τισὶ Παῦλος : « Τὰ αὐτὰ λέγειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. » Προστάττει δὴ οὖν τοὺς ἱερατεύοντας μονονουχὶ καὶ ὑψοῦ τὴν ἰδίαν ἱέντας φωνὴν διαμαρτύρασθαι τῷ Ἰσραὴλ, ἕκαστά τε τῶν ὅσον οὔπω συμβησομένων προαγορεύειν αὐτοῖς. Καὶ τίνας ἄρα νοήσομεν τοὺς διαπρύσιόν τι φωνεῖν ἐπιτεταγμένους; ἆρα τοὺς τῶν δαμάλεων ἱερέας, ἢ τοὺς τῶν ἑτέρων τεμενῶν, ἢ εἰδώλων; Ἀλλ', οἶμαι, τοῦτο ἀπίθανον. Οὐ γὰρ ἂν ἐκεῖνοι διεκήρυξαν τά τε σφῶν αὐτῶν καὶ τὰ τῶν ἑτέρων κακὰ, οὓς αὐτοὶ πεπλανήκασι. Τίνες οὖν ἄρα προστεταγμένοι τοῦτο δρᾷν ἱερεῖς; Οἱ ἐξ αἵματος τοῦ Λευί. Οὐ γὰρ πάντες συνωλισθήκασι τοῖς ἐν Σαμαρείᾳ πεπλανημένοις. Οὐκ ἠνέσχοντο λατρεύειν εἰδώλοις. Ἀποπηδήσαντες δὲ τῆς Σαμαρειτῶν, ὑπενόστησαν εἰς Ἱεροσόλυμα· γέγραπται δὲ οὕτω περὶ αὐτῶν ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων. Ἔστι μὲν οὖν ὁ λόγος περὶ τοῦ Ἱεροβοάμ. Εἶτα τὴν ἐνοῦσαν αὐτῷ δύναμιν ἐξηγούμενος, φησί· « Καὶ ἦσαν αὐτῷ Ἰούδας, καὶ Βενιαμίν. Οἱ Λευῖται, καὶ οἱ ἱερεῖς, οἳ ἦσαν ἐν παντὶ Ἰσραὴλ, συνῆχθησαν πρὸς αὐτὸν ἐκ πάντων τῶν ὁρίων. Ὅτι ἐγκατέλιπον οἱ Λευῖται τὰ σκηνώματα τῆς κατασχέσεως αὐτῶν, καὶ ἐπορεύθησαν εἰς Ἰούδαν ἐν Ἱερουσαλὴμ, ὅτι ἐξέβαλεν αὐτοὺς Ἱεροβοὰμ, καὶ υἱοὶ αὐτοῦ, τοῦ μὴ λειτουργεῖν τῷ Κυρίῳ. Καὶ κατέστησε τοὺς ἱερεῖς τῶν ὑψηλῶν. » Ἐπειδὴ γὰρ οὗτοι περὶ ὧν ὁ λόγος, οὐ μετρίως ἐλύπηντο, καὶ συγγενείας καὶ κλήρου ἀπεληλαμένοι, καὶ λειτουργίας αὐτῆς, ἀναγκαίως αὐτοῖς δὴ μάλιστα κηρύττειν προστέταχε τῶν εἰδώλων αὐτῶν καὶ τῆς Σαμαρείας τὴν πόρθησιν, οἱονεί πως παραμυθούμενος, καὶ διδάσκων, ὅτι τὰ Θεοῦ φρονεῖν ἠρημένοι, καὶ τὸν τῶν ὅλων Δεσπότην ἠγαπηκότες, οὐ συναπολοῦνται τοῖς ἄλλοις, ἀλλ' ἔξω κείσονται τῆς ὀργῆς. Ὅταν γὰρ ἐπιφέροιμι, φησὶ, τοῖς ἐξ Ἰσραὴλ τὰς ἁμαρτίας αὐτῶν, « Τότε καὶ ἐκδικήσω ἐπὶ τὰ θυσιαστήρια Βαιθήλ· κατασκαφήσεται γὰρ τὰ κέρατα αὐτῶν, καὶ πεσοῦνται ἐπὶ τὴν γῆν. » Ἆρ' οὖν μέχρι τούτων τῆς Σαμαρείας ἡ πόρθησις, καὶ ἀρκέσει μόνον τὰ τεμένη καθελεῖν τοῖς καταδηοῦν ἐπιτεταγμένοις, καὶ κα-

[95] Psal. LVII, 7. [96] Rom. XIV, 9. [97] Philipp., III 1. [98] II Paral. XI, 12 14. [99] Coloss. III, 2.

Digitized by Google

τασοφῷ ι θυσιαστήρια ; Οὔμενουν. « Συγχεῶ γὰρ, A φησι, καὶ πατάξω τὸν οἶκον τὸν περίπτερον, ἐπὶ τὸν οἶκον τὸν θερινόν. » Ὃ δὲ βούλεται δηλοῦν, τοιοῦτόν ἐστι· τρυφῶντες οἱ ἐν τῇ Σαμαρείᾳ, καὶ τὸ ἐκ τοῦ πλουτεῖν ἔχοντες πλάτος, οἴκους ἑαυτοῖς κατεσκεύαζον χειμερίους τε καὶ θερινούς. Καὶ τὸν μὲν χειμέριον ὀνομάζει περίπτερον, τὸν οἱονεὶ πανταχόθεν πτεροῖς, ἢ τείχεσι περιεζωσμένον, ἵνα ταῖς τοῦ χειμῶνος ἐμβολαῖς μονονουχὶ καὶ ἀπρόσιτος ᾖ. Θερινὸν δὲ τὸν ἀνειμένον, καὶ ταῖς τῶν ἀνέμων ἐπιπνοίαις ἐκκείμενον. Οὐκοῦν τοῖς θυσιαστηρίοις, φησὶ, τοῖς κατεσκαμμένοις ὁμοῦ συγχεῶ καὶ πατάξω οἴκους τε χειμερίους καὶ θερινούς. Ἀπολοῦνται δὲ καὶ οἶκοι ἐλεφάντινοι. Μεμνήμεθα δὲ ὅτι βεβασιλευκὼς Ἀχαὰβ ἐν Σαμαρείᾳ τοιοῦτον ἑαυτῷ κατεσκεύασεν οἶκον. « Προστεθήσονται δὲ καὶ ἕτεροι πολλοί, » φησὶ, τουτέστιν, οἱ τῶν ὑποβεβηκότων, καὶ ἀσημοτέρων, ἤγουν λεπτῶν τε καὶ ἀγελαίων. Διόλωλε γοῦν ἅπασα λοιπὸν ἡ Σαμάρεια, παντὸς οἴκου κατασεσεισμένου.

tam viventes in Samaria, et amplis divitiis prædi-ti, domos sibi hibernas et æstivas condebant. Et hibernam quidem vocat περίπτερον, velut undique pinnis aut muris cinctam, ut hiemalibus procellis tantum non inaccessa sit; æstivam autem laxiorem et ventorum afflatibus expositam. Igitur cum altaribus, inquit, suffossis et eversis simul confundam, et percutiam domos hibernas et æstivas. Peribunt etiam domus eburneæ [1]. Meminimus Achab regnantem in Samaria talem sibi domum excitasse. « Adjicientur porro et aliæ multæ, » inquit, hoc est, inferiorum et obscuriorum, sive tenuiorum et vulgarium. Periit itaque consequenter tota Samaria, domo qualibet conquassata.

Τί οὖν ἐντεῦθεν εἰσόμεθα, ὀρθὰ φρονεῖν ᾠρημένοι; B Ὡς οὐδὲν ὀνήσει λαμπρότης κοσμικὴ τοὺς ἔχοντας, οὐ πλοῦτος, οὐ δόξα, οὐχ ἕτερόν τι τῶν εἰς τρυφὴν, τῆς εἰς Θεὸν ἀπούσης ἀγάπης, καὶ κατ' οὐδένα τρόπον τετιμημένης παρ' ἡμῖν τῆς δικαιοσύνης. « Οὐ γὰρ ὠφελήσουσι θησαυροὶ ἀνόμους, » κατὰ τὸ γεγραμμένον. « Δικαιοσύνη δὲ ῥύεται ἐκ θανάτου. » Οὐκοῦν εἴη καὶ ἄμεινον παρὰ Θεῷ τὸ δικαιοσύνης ἐρᾶν, καὶ θησαυρίζειν ἐν οὐρανοῖς, τῆς τῶν ἄνω γλίχεσθαι μονῶν, καὶ τῆς εἰς Θεὸν ἐλπίδος ἠρτῆσθαι φιλεῖν. Τὰ μὲν γὰρ ἐν τῷδε τῷ κόσμῳ μικρά τέ ἐστι καὶ πρόσκαιρα, καὶ οὐδαμόθεν ἔχει τὸ βεβηκὸς εἰς ἀσφάλειαν, τὰ δὲ καὶ μένει, καὶ σώζεται, καὶ τοῖς ἀπεράντοις αἰῶσι συμπαρομαρτεῖ.

Quid igitur hinc discemus, si sapere voluerimus? Claritatem mundanam habentibus nihil prodesse, non divitias, non gloriam, non aliud quidpiam molle ac delicatum, si charitas erga Deum absit, et nullo modo justitia a nobis colatur. « Non enim proderunt thesauri iniquis, » sicut 287 scriptum est: « justitia autem liberat a morte [2]. » Itaque et gratius Deo fuerit amare justitiam, et thesaurum cumulare in cœlis; superna tantum concupiscere, et libenter a spe in Deum pendere. Etenim quæ in hoc mundo sunt, exigua et temporanea, et nulla ex parte stabilia ac tuta sunt, illa vero et manent, se conservant, et infinitati sæculorum sese æquant [3].

ΚΕΦΑΛ. Δ'.

CAP. IV.

C

Ἀκούσατε τὸν λόγον τοῦτον, δαμάλεις τῆς Βασανίτιδος, αἱ οὖσαι ἐν τῷ ὄρει Σαμαρείας, αἱ καταδυναστεύουσαι πτωχοὺς, καὶ καταπατοῦσαι πένητας, αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν· Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν. Ὀμνύει Κύριος κατὰ τῶν ἁγίων αὐτοῦ, διότι ἰδοὺ ἡμέραι ἔρχονται ἐφ' ὑμᾶς, καὶ λήψονται ὑμᾶς ἐν ὅπλοις, καὶ τοὺς μεθ' ὑμῶν εἰς λέβητας ἐμποροι λιμοί. Καὶ ἐξενεχθήσεσθε γυμναὶ κατέναντι ἀλλήλων, καὶ ἀποῤῥιφήσεσθε περὶ τὸ ὄρος τὸ Ῥεμνᾶν, λέγει Κύριος ὁ Θεός.

Vers. 1-3. *Audite verbum istud, vaccæ Basanitidis, quæ estis in monte Samariæ, quæ opprimitis mendicos, et conculcatis pauperes, dicentes dominis suis : Date nobis ut bibamus. Jurat Dominus per sancta sua, quoniam ecce dies venient super vos, et tollent vos in armis, et eos qui vobiscum, in lebetes negotiatores pestilentes. Et efferemini nudæ contra invicem, et projiciemini super montem Rhemnan, dicit Dominus Deus.*

Δ'. Ἐκ πολλῆς ἄγαν ἀγερωχίας, καὶ τρυφῆς οἱ τῆς Σαμαρείας περιφανέστεροι, καὶ ταῖς ἐκ πλούτου περιουσίαις τῶν ἄλλων πάντων ὑπερκείμενοι, καθάπερ D ἔφην ἀρτίως, οἴκους ἑαυτοῖς κατεσκεύαζον λαμπρούς τε καὶ πολυτελεστάτους, καὶ πρέποντας τοῖς καιροῖς, χειμῶνί τε, φημὶ, καὶ θέρει, οἳ καὶ ὅτι πάντη τε καὶ πάντως ἀπολοῦνται, προεκήρυξε τὸ χρησμῴδημα. Αὐτοὺς δὴ οὖν ἄρα τοὺς τῶν οἴκων δεσπότας, τοὺς ταῖς ἐξιτήλοις τρυφαῖς καταπαίνεσθαι μεμελετηκότας, δαμάλεις ἀποκαλεῖ τῆς Βασανίτιδος. Χώρα δ' ἡ Βασανῖτις εὐβοτός τε καὶ εὐανθὴς, καὶ πολὺ λίαν ἐπιτηδείως ἔχουσα πρὸς τὸ δύνασθαι καταπιαίνειν ἀμφιλαφῶς τὰ ἐν αὐτῇ βοσκόμενα. Ὡς οὖν εὐπαθοῦν-

XXXIV. Ex magna nimis superbia, et studio illecebrosarum voluptatum Samaritani insigniores, et rerum affluentibus copiis cæteris omnibus eminentiores, sicut supra dixi, ædes sibi splendidas ac sumptuosissimas, et ad tempus, hibernum puta, æstivumque accommodatas ædificabant, quas omnimodis penitusque perituras oraculum prænuntiavit. Ipsos itaque ædium dominos, qui vanescentibus voluptatibus sese farciebant, vaccas Basanitidis appellat. Basanitis regio est ubere glebæ fecunda et florida, et ad pascentes in eo greges quam pinguissimos efficiendos in primis idonea. Quare ut se laute tractantes, et cuti curandæ deditissimos, deli-

[1] III Reg. xxii, 39. [2] Prov. x, 2. [3] II Cor. iv, 18.

Digitized by Google

clasque studio habentes, Deus vaccis Basan comparat. Quos accusat, quod opprimerent pauperes, et tantum non pedibus suis mendicos protererent. « Pascua enim divitum sunt pauperes [4], » ut scriptum est. Addens autem : « Dicentes dominis suis : Date nobis ut bibamus, » jugi impatientes eos significat, et possessoribus cedere nescios, qui velut regium in eos imperium obtinerent; sed jam ex immoderata arrogantia etiam ipsis dominis suis modum quemdam familiaris, ac domesticæ obedientiæ præscribentes. **288** Audere enim dicere præpositis et majoribus, Date nobis ut bibamus, magis sibi ministrari, quam ministrare cupientium est. Quænam ergo jam horum est futura conditio, qui huc insaniæ prodierunt? « Jurat, inquit, Dominus per sancta sua, » id est per sanctificationes, sive mysteria (quæ tamen ipse est, nullum enim se majorem habet, per quem juret), quoniam sequentur tempora et dies, quando et vos ipsos ita luxui indulgentes, crapulæque et deliciis incumbentes timor dura patiendi ad labores militares, et arma capessenda impellet. Nihilominus etiam sic comparatos abducent cum charissimis liberis, et uxoribus, et adulatoribus, qui vobiscum versantes, longe plurimis laudibus vobis semper plauserunt, et ter beatos nominarunt. Hæc enim adulatorum natio altoribus suis semper acclamat. Sed illi igne incendentur, pestilentes enim sunt, et aliud nihil recipient, qui improbos et peccatis deditos observant et suspiciunt. Vos autem nudati gloria, et ab omnibus deliciis semotissimi, et veteri illa felicitate deinceps privati, abducemini servi et captivi, « Et projicemini, inquit, in montem Rhemnan, » qui est in Armenia, in extremis recessibus Persarum situs; vicinæ enim et conterminæ regiones sunt. Licebit igitur hinc perspicere in acerbum finem voluptuariis studium ipsorum desiturum. Sicut ait Salvator : « Beati qui lugent [5]. » Desinunt enim in lacrymas deliciæ; finis autem laborum ac dolorum est requies. Idipsum testatur quidam his verbis : « Bonorum laborum fructus gloriosus [6]. » Nec absurdum sit conjicere per vaccas Basanitidis mulieres Samariæ intelligendas, quæ mollitie, et vestium luxu, et fuco illitis nitoribus delicias facientes, et decore corpori conciliando velut saginatæ, pauperes deprimebant, et mendicos conculcabant, atque ad impuras voluptates infirmos, et mendicitate spirituali conflictantes tantum non incendio quodam venereo consumebant; qui superni roboris divitiis carentes, perturbationum impulsibus cor valde emollitum et effeminatum habebant. Hæ igitur vaccæ dominis suis dicunt : « Date nobis ut bibamus. » Mulierculæ enim quæstuariæ semper viros appetunt, et quos irretiverint, summa inertia tantum non occidunt. Et quamvis eos dominos habeant, tamen ut amasiis voluptati succumbentibus, **289** quod maxime cupiunt, illis persuadent. Sed vos quidem, inquit, « O vaccæ, in

τας ἄγαν, καὶ ἅριστα τεθραμμένους, καὶ μαλάτην ἔχοντας τὴν τρυφὴν, δαμάλεσι ταῖς ἐκ Βασὰν παρεικάζει Θεός. Αἰτιᾶται δὲ, ὅτι κατεδυνάστευον πένητας, καὶ μονονουχὶ τοῖς ἰδίοις συνέθλων προσὶ πτωχούς « Νομαὶ γὰρ πλουσίων πτωχοὶ, » κατὰ τὸ γεγραμμένον. Προσεπάγων δὲ, ὅτι « Αἱ λέγουσαι τοῖς κυρίοις αὐτῶν· Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν, » ἀνυποτάκτους ὄντας ἔδειξεν, οὐδὲ αὐτοῖς εἶκειν ἀνεχομένους τοῖς κρατοῦσιν αὐτῶν, ὅσον εἰς βασιλίδα τιμὴν, ἀλλ' οἱονεί πως ἐξ ἀμετρήτου λοιπὸν ἀλαζονείας τὸ οἰκετικὸν καὶ αὐτοῖς τοῖς κυρίοις αὐτῶν ἀπονέμοντας μέτρον. Τὸ γὰρ δὴ φάναι τολμᾷν τοῖς πραΰχουσι, καὶ ὑπερκειμένοις, Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν, ἐπιθυμούντων ἐστὶ μᾶλλον ὑπηρετεῖσθαι ἢ ὑπηρετεῖν. Τί οὖν ἄρα συμβήσεται τοῖς εἰς τοῦτο λοιπὸν ἀπονοίας ἐκβεβηκόσιν; « Ὀμνύει, φησὶ, Κύριος κατὰ τῶν ἁγίων αὐτοῦ, » ἤγουν κατὰ τῶν ἁγιασμάτων ἤτοι μυστηρίων (ἃ ἐστι πάλιν αὐτὸς, κατ' οὐδενὸς γὰρ ἔχει μείζονος ὁμόσαι), ὅτι παρέπονται καιροὶ, καὶ ἡμέραι, ὅτε καὶ ὑμᾶς αὐτοὺς τοὺς οὕτω τρυφῶντας, καὶ τεθραμμένους, καὶ σπαταλᾷν εἰωθότας, ὁ τοῦ παθεῖν φόβος ἐν τοῖς τοῦ πολέμου πόνοις, καὶ ἐν ὅπλοις γενέσθαι παρασκευάσει. Ἀλλὰ καὶ οὕτως ἔχοντας, καὶ ἐσκευασμένους λήψονται, φησὶν, ὁμοῦ φιλτάτοις, καὶ γυναιξὶ, καὶ κόλαξιν, οἳ μεθ' ὑμῶν ὄντες ἀεὶ, πλείσταις μὲν ὅσαις κατεκρότουν εὐφημίαις, ὠνόμαζον δὲ καὶ τρισμακαρίους. Ταῦτα γὰρ ἐπιφωνεῖ τοῖς τρέφουσιν ἀεὶ τῶν κολάκων τὰ γένη. Ἀλλ' ἐμπυρισθήσονται μὲν ἐκεῖνοι, λοιμοὶ γὰρ ἦσαν, καὶ ἕτερον οὐδὲν ἀποδεχόμενοι, τεθαυμακότες τοὺς αἰσχροὺς, καὶ φιλαμαρτήμονας. Γυμνοὶ δὲ δόξης ὑμεῖς, καὶ τρυφῆς ἁπάσης ὡς ἀποτάτω, καὶ τῆς ἀρχαίας ἐκείνης εὐημερίας ἀπημφιεσμένοι, λοιπὸν ἀποκομισθήσεσθε δοῦλοι, καὶ αἰχμάλωτοι, « Καὶ ῥιφήσεσθε, φησὶν, ἐπὶ τὸ ὄρος τὸ Ῥεμνᾶν. » Ἔστι δὲ τῆς Ἀρμενίας, ἐν ἐσχάταις ἐκβολαῖς τῆς Περσῶν κειμένων γῆς, ἀγχιτέρμονες γάρ, ὅμοροί τέ εἰσιν ἀλλήλαις αἱ χῶραι. Ἔσται τοίνυν ἐντεῦθεν ἰδεῖν, ὡς εἰς πικρὸν καταστρέφει τέλος τοῖς τρυφῶσι τὸ σπούδασμα, καθά φησιν ὁ Σωτήρ· « Μακάριοι οἱ πενθοῦντες. » Καταλήγει μὲν γὰρ εἰς ἄκρυον ἡ τρυφὴ, πέρας δὲ πόνων ἀνάπαυσις. Καὶ μαρτυρήσει τις, λέγων· ὅτι « Πόνων ἀγαθῶν καρπὸς εὐκλεής. » Οὐκ ἀπίθανον δὲ δαμάλεις τῆς Βασανίτιδος τὰς ἐν τῇ Σαμαρείᾳ γυναῖκας ὑποεῖν, αἱ τρυφῇ τε καὶ χλιδαῖς, καὶ ταῖς εἰς ὡραϊσμὸν κοσμήμασιν ἐνσπαταλῶσαι, καὶ καταπαιγνόμεναι ταῖς τοῦ σώματος ὥραις, κατηγωνίζοντο πένητας, καὶ κατεπάτουν πτωχοὺς, μονονουχὶ καταφλέγουσαι πρὸς ἐκτόπους ἡδονὰς τοὺς ἀσθενοῦντας εἰς τοῦτο, καὶ πτωχείαν ἔχοντας τὴν πνευματικήν. Οἳ τῆς ἄνωθεν εὐσθενείας τὸν πλοῦτον οὐκ ἔχοντες, τοῖς τῶν παθῶν προσβολαῖς εὐδιάθρυπτον ἔχουσι τὴν καρδίαν. Αἴτιαι δὴ οὖν αἱ δαμάλεις λέγουσι τοῖς κυρίοις αὐτῶν· « Ἐπίδοτε ἡμῖν ὅπως πίωμεν. » Περιανδρίζεται γὰρ ἀεὶ τὰ τῶν γυναίων ἐτσιριζόμενα, καὶ βλακείαις ταῖς ἄγαν μονονουχὶ καὶ ἀποκτείνουσι τοὺς συνηρπασμένους. Κἂν εἰ δεσπότας ἔχοιεν αὐτοὺς, ἀλλ' ὧν

[4] Eccli. xiii, 25. [5] Matth. v, 5. [6] Sap. iii, 15.

Digitized by Google

ἐρῶντας ταῖς ἡδυπαθείαις ὑπεστρωμένους, τὸ αὐτοῖς ὅτι μάλιστα δοκοῦν πληροῦν ἀναπείθουσιν. Ἀλλ' ὑμᾶς μὲν, φησὶν, « Ὦ δαμάλεις, ἐν ὅπλοις λήψονται, » οὐκ ἐν τάξει τῶν ἐρώντων γεγονότες, οἱ κολακεύοντες ἀναπείθουσι, καὶ ὑποχοριζόμενοι θεραπεύουσι, διά τοι τὸ λίαν ἡττῆσθαι τῆς εἰς ὑμᾶς ἡδονῆς, ἀλλ' ὠμῶς, καὶ ἀγρίως, καὶ νόμῳ πολέμου, καὶ αὐτοὺς δὲ τοὺς μεθ' ὑμῶν τοὺς τρυφῶντας ἐραστὰς κατεμπορίσουσι. Γυμναὶ δὲ ὑμεῖς τῶν ἐκτόπων ἐκείνων ἐσεσθε.

A armis tollent, » non ut amatores, qui adulantes persuadent, qui rebus parum honestis honesta nomina prætexentes obsequuntur, quod voluptati quam e vobis capiunt, vehementer inserviant; sed crudeliter ac ferociter, et lege bellica ipsos quoque vobiscum colludentes amatores vendent. Nudatæ autem vos ineptis illis cultibus, in montem Rhemnan auferemini.

Εἰσήλθετε εἰς Βαιθὴλ, καὶ ἠσεβήσατε, καὶ εἰς Γαλγαλὰ, καὶ ἐπληθύνατε τοῦ ἀσεβῆσαι.

ΛΕ'. Παρατίθησιν εὐθὺς ταῖς δίκαις τὰ πλημμελήματα, καὶ ταῖς τῶν δεινῶν ἀφηγήσεσι γείτονα ποιεῖται χρησίμως τὴν τῶν ἀνοσιουργημάτων ἔνδειξιν ἐναργῆ, ὡς ἂν μὴ καταμωμήσαιτό τις, μήτε μὴν ἐπαιτιῶτο Θεὸν, ὡς ἀπηνεστέραν ἢ ἐχρῆν ποινὴν ἐπαρτήσαντα τοῖς ἐξ Ἰσραήλ. Τάδε γὰρ, φησὶν, ἥξει ἐφ' ὑμᾶς, καὶ τάδε. Καὶ ἀνθ' ὅτου εἰς μέσον ἥξει, βοᾷ, « Εἰσήλθετε εἰς Βαιθὴλ, καὶ ἠνομήσατε, » ἔνθα τὴν δάμαλιν ἀπέθετο τὴν χρυσῆν ὁ θεομισὴς Ἱεροβοάμ. Ἐκεῖ δεινῶς, καὶ ἐκτόπως παρανομοῦντες ἀλώσεσθε. Νενομοθέτηκα μὲν γὰρ διὰ Μωσέως, « Οὐ ποιήσεις σεαυτῷ θεοὺς χρυσοῦς καὶ θεοὺς ἀργυροῦς, καὶ Κύριόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις. » Αὐτοὶ δὲ τὸν ἐμὸν διαγελῶντες νόμον προσκεκυνήκατε, φησὶ, τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ χρυσῆν ὁρῶντες δάμαλιν, καὶ ἄψυχον ὕλην, ἐκαρτερήσατε, λέγοντος τοῦ τὴν πλάνην ἐξευρηκότος, « Οὗτοί σοι θεοί σου, Ἰσραὴλ, οἵ τινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου. » Πλείστην δὲ ὅσην εἰργάσατο τὴν ἀσέβειαν ἐν Γαλγάλοις. Ἦλις δὲ αὕτη τῶν Ἰορδάνου ναμάτων ἐπέκεινα, δεινῶς ἀπονεύσασα πρὸς ἀπόστασιν. Καὶ γοῦν ἔφη περὶ αὐτῆς ὁ τῶν ὅλων Θεὸς, « Πᾶσαι αἱ κακίαι αὐτῶν εἰς Γάλγαλα. Ὅτι ἐκεῖ αὐτοὺς ἐμίσησα διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν, » ἢ φησιν ὁ Παροιμιαστὴς, « Ἐνώπιόν εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. » Καὶ ἀποδέχεται μὲν τοὺς ὀρθοποδεῖν μεμελετηκότας· ἀποσείεται δὲ τὸν ἔξω βαίνοντα τῆς εὐθείας, καὶ ἐφ' ἃ μὴ προσήκει ἰέναι σπουδάζοντα.

B derideat, neque crimine tur Deum, ut qui crudeliorem pœnam, quam pro merito Israelitis imposuerit. Hæc enim, et hæc venient, inquit, super vos. Et quia in medium venient, clamat : « Venistis in Bethel, et impie egistis, » ubi vitulum aureum constituit Deo invisus Jeroboam [7]. Ibi graviter et nefarie legem violasse convincimini. Tuli enim per Moysen : « Non facies tibi deos aureos et argenteos [8]; Dominum Deum tuum adorabis, et illi soli servies [9]. » Vos autem irridentes legem meam, adorastis, inquit, opera manuum vestrarum. Et aureum cernentes vitulum, et materiam inanimam, passi estis æquo animo, dicente erroris auctore : « Hi sunt dii tui, Israel, qui eduxerunt te de terra Ægypti [10]. » Longe autem maximam impietatem in Galgalis perpetravit. Hæc est urbs trans Jordanem, ad apostasiam etiam atque etiam propensa. Proinde de ea dicit universorum Dominus : « Omnes nequitiæ eorum in Galgala, quia ibi exosos habui eos, propter malitiam adinventionum ipsorum [11]. » Sicut dicit Parœmiographus : « Omnes viæ hominis patent oculis ejus, omnes semitas ejus considerat [12]. » Et admittit qui contenderunt recte ambulare; a recto autem itinere declinantem et studentem ire ad quæ non permisit, a se repellit.

Καὶ ἠνέγκατε εἰς πρωὶ θυσίαν ὑμῶν, εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν. Καὶ ἀνέγνωσαν ἔξω νόμον, καὶ ἐπεκαλέσαντο ὁμολογίαν. Ἀπαγγείλατε ὅτι ταῦτα ἠγάπησαν υἱοὶ Ἰσραὴλ, λέγει Κύριος.

C

D

ΑΣ'. Πάνδεινον ἀληθῶς, καὶ δυσσεβὲς, ἦκον εἰς λῆξιν τὴν ἀνωτάτω, τὸ παρασημαίνειν ἀποτολμᾷν τὴν τοῦ Θεοῦ δόξαν, καὶ ἅπερ ἂν αὐτῷ τε, καὶ μόνῳ πρέπει, ταῦτα ταῖς εἰδώλων ἀνάπτειν τιμαῖς. Οἱ γὰρ τοῦτο δρᾷν εἰωθότες, τὸ ὅσον ἐφ' ἑαυτοῖς τὴν θείαν τε καὶ ἀνωτάτω φύσιν αὐτῇ καὶ μόνῃ πρεπωδεστάτων κατασείουσι θρόνων, καὶ τῶν ἱερῶν ἐκπέμπουσι θώκων, ἐνιδρεύουσι δὲ ὥσπερ αὐτοῖς τοὺς ἀκαθάρτους δαίμονας. Τοῖς οὕτω φρικτοῖς ἐγκλήμασιν ἐνισχημένον εὑρήσομεν τὸν ἀπόπληκτον Ἰσραήλ. Ὁ

XXXV. Apponit statim ultionibus peccata, calamitatumque narrationibus scelerate factorum manifestam demonstrationem utiliter adjungit, ut nemo

Venistis ad Bethel, et impie egistis, et in Galgala, et multiplicastis ut impie ageretis.

Et attulistis in mane sacrificium vestrum, in triduum decimas vestras. Et legerunt foris legem, et invocaverunt confessionem. Annuntiate, quoniam ista dilexerunt filii Israel, dicit Dominus.

XXXVI. Vere facinus longe sceleratissimum et 290 impiissimum, adulterare audere gloriam Dei, et quæ illum, et solum decent, ea idolorum honoribus tribuere. Quibus enim hoc facere in more est, ii, quantum in ipsis est, divinam celsissimamque naturam a throno, ipsi et soli convenientissimo deturbant, et sacris sedibus ejiciunt, et in iis quodammodo impuros dæmonas collocant. Tam horrendis criminibus implicitum videmus insanum Israelem. Deus enim universorum legem fert alicubi per

[7] III Reg. XII, 29. [8] Exod. XX, 3. [9] Deut. VI, 13. [10] III Reg. XII, 28. [11] Osee IX, 15. [12] Prov. XVI, 2.

Digitized by Google

Moysen, ut duo agni convenienter ipsi immolentur quotidie in sancto tabernaculo, mane quidem unus, vesperi alter, ista ratione assiduitatem et perpetuitatem suavissimi odoris Ecclesiæ, spiritualis sine dubio, velut in ænigmate, et typo insinuans. Insuper lege præscripsit tria tempora in anno, in quo apparet omne masculinum coram se. Et in his tribus lege definitis temporibus offerebant decimas, primitias agrorum, sacrificia, gratiarum actiones [13]. Scriptum est enim : « Non apparebis in conspectu meo vacuus [14]. » Cæterum adeo probe a Moyse præcepta ipsi ad gloriam idolorum transferentes, in templis suis mane sacrificia offerebant. Offerebant etiam in triduum decimas suas. Tres dies dicit tres dies anni, quibus omne masculinum apparere coram Domino oportebat.

A μὲν γὰρ τῶν ὅλων Θεὸς θεσμοθετεῖ διὰ Μωσέως τῇ μὲν ὅτι δύο καταθύειν ἀμνοὺς προσήκει αὐτοὺς κατὰ πᾶσαν ἡμέραν ἐν τῇ ἁγίᾳ σκηνῇ, πρωῒ μὲν ἕνα, δείλης δὲ τὸν ἕτερον, τὸ οἱονεὶ συνεχὲς, καὶ ἀδιάλειπτον εἰς εὐοσμίαν, δῆλον δὲ ὅτι τὴν πνευματικὴν, τῆς Ἐκκλησίας ὑποδηλῶν ὡς ἐν αἰνίγμασί τε καὶ τύποις. Προσενομοθέτησε δὲ πάλιν· Τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιόν μου. Καὶ ἐν τούτοις τοῖς τρισὶ, καὶ διωρισμένοις κατὰ τὸν νόμον καιροῖς, προσῆγον δεκάτας, ἀπαρχὰς ἀγρῶν, θυσίας, εὐχαριστήρια. Γέγραπται γὰρ, ὅτι « Οὐκ ὀφθήσῃ κενὸς ἐναντίον μου. » Ἀλλὰ τὰ οὕτως ὀρθῶς διὰ Μωσέως τεθεσπισμένα μεθιστῶντες αὐτοὶ πρὸς δόξαν εἰδώλων, ἐν τοῖς ἐκείνων τεμένεσιν ἀνέφερον εἰς τὸ πρωῒ τὰς θυσίας. Προσεκόμιζον δὲ καὶ B εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα αὐτῶν. Τριημερίαν δὲ λέγει τὰς τρεῖς ἡμέρας τοῦ ἐνιαυτοῦ, καθ' ἃς ἔδει πᾶν ἀρσενικὸν ἔρχεσθαι ἐνώπιον Θεοῦ. Καὶ οὐ μέχρι τούτων τὸ δυσσέβημα τῶν ἐξ Ἰσραὴλ, ἀλλὰ καὶ « Ἀνέγνωσαν τῶν ἔξω νόμον, » τουτέστι, τετιμήκασι τὸν τῶν ἀλλοτρίων νόμον, ὀλίγου παντελῶς ἀξιοῦντες λόγου τὸν παρὰ Θεοῦ. Προσεκόμιζον γὰρ τὰς θυσίας ἐν τοῖς τῶν εἰδώλων τεμένεσι κατὰ καιροὺς, καὶ πλείστην δσην ἐποιοῦντο τὴν ἐπιτήρησιν τῶν ἐξ ἔθους αὐτοῖς ἑορτῶν. Ἤγουν ἐκεῖνό φησι. Τὰς εἰς δόξαν ἐμὴν τεθεσπισμένα, τοῖς ἔξω τεθείκασι, καὶ τὸν ἐμὸν τοῖς εἰδώλοις ἀνέθεσαν ναὸν, αὐτοῖς ἀναφέροντες τὰς κατὰ πατρίδα θυσίας, καὶ ἐν ταῖς τριημερίαις ἀνατιθέντες τὰ ἐπιδέκατα αὐτοῖς. « Καὶ ἐπεκαλέσαντο C ὁμολογίαν. » Τὸ μὲν « ἐπεκαλέσαντο, » ὅτι ἠὐξαντο δηλοῖ, τουτέστιν, ὑπέσχοντο. Ὁμολογίαι δέ εἰσι τὰ κατὰ νόμον ἐκούσια, ἅπερ ἂν τις ἐθελοντὴς προσκομίζει Θεῷ. Εἶτα τοῖς ἱερεῦσιν ἐπιφωνεῖ τὸ, « Ἀπαγγείλατε, καὶ διαμαρτύρασθε, ὅτι ταῦτα ἠγάπησαν υἱοὶ Ἰσραὴλ, » τουτέστιν, ὅτι οὐχὶ μόνον εἰσάπαξ τετολμήκασι, ἀλλὰ καὶ ἠγάπησαν, τὰ Θεοῦ δηλονότι μεμισηκότες. Δεῖ γὰρ εἶναι μονοτρόπους. Τὸ γάρτοι μὴ χωλεύειν, καὶ ἐπ' ἄμφω βαίνειν ἐπείγεσθαι, πολλὴν ἂν ἔχοι παρὰ Θεῷ τὴν κατακοήν, καὶ μαρτυρεῖ λέγων αὐτὸς ὁ Σωτήρ· « Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν, » καὶ ἐξῆς. Παγχάλεπον δὲ τὸ ἀποπλανᾷν ἑτέρωθεν τὰ εἰς δόξαν Θεοῦ, καὶ τῆς αὐτῷ πρεπούσης τιμῆς ἀξιοῦν ἑτέρους. Ἴδια γὰρ, καὶ ἐξαίρετα τοῦ Θεοῦ, πρέποι δ' ἂν οὐχ ἑτέρῳ τῳ μᾶλλον, πλὴν αὐτῷ D καὶ μόνῳ.

Neque hic constitit impietas Israelitarum, sed etiam, « Legerunt foris legem, » id est, coluerunt legem alienigenarum, Dei legem in minimis ducentes. Faciebant siquidem sacrificia in templis idolorum, temporibus definitis, et consueta ipsis festa quam studiosissime observabant. Aut illud dicit, Ad gloriam meam decreta, externis attribuerunt, et templum meum idolis consecrarunt, ipsis juxta morem patriæ hostias cædentes, et in triduo illo decimas iisdem dedicantes. « Et invocaverunt confessionem. » Illud, « invocaverunt, » significat optarunt, hoc est, promiserunt. Confessiones porro sunt voluntaria secundum legem, quæ quis sponte sua offert Deo. Deinde sacerdotibus acclamat : « Annuntiate, et contestamini, quia hæc dilexerunt filii Israel, » hoc est, non solum semel ausi sunt, sed dilexerunt etiam, quæ Dei sunt odientes videlicet. Oportet enim uniformes esse. Nam non claudicare, **291** et ambolus pedibus recta conari incedere, multam habet apud Deum exauditionem; et testatur verbis suis Salvator : « Nemo potest duobus dominis servire [15], » et quæ sequuntur. Indignissimum porro est, alio per errorem derivare, quæ ad gloriam Dei pertinent, quæque ejus honori consentanea sunt, iis afficere alios. Divina enim propria et peculiaria sunt, et quæ neminem potius quam ipsum et solum decent.

Κἀγὼ δώσω ὑμῖν τομφιασμὸν ὀδόντων ἐν πάσαις ταῖς πόλεσιν ὑμῶν, καὶ ἔνδειαν ἄρτων ἐν τοῖς τόποις ὑμῶν, καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει Κύριος. Καὶ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν, πρὸ τριῶν μηνῶν τοῦ τρυγητοῦ· καὶ βρέξω ἐπὶ πόλιν μίαν, ἐπὶ δὲ πόλιν μίαν οὐ βρέξω. Μερὶς μία βραχήσεται, καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω, ξηρανθήσεται. Καὶ συναθροισθήσονται δύο, καὶ τρεῖς πόλεις εἰς πόλιν μίαν τοῦ πιεῖν ὕδωρ, καὶ οὐ μὴ ἐμπλησθῶσιν, καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει Κύριος.

VERS. 6-8. *Et ego dabo vobis stridorem dentium in omnibus civitatibus vestris, et indigentiam panum in locis vestris, et non estis reversi ad me, dicit Dominus. Et abstuli ex vobis pluviam ante tres menses vindemiæ; et pluam super civitatem unam, super autem civitatem unam non pluam. Pars una pluetur, et pars super quam non pluam, arescet. Et congregabuntur duæ et tres civitates in civitatem unam bibere aquam, et non satiabuntur; et neque sic reversi estis ad me, dicit Dominus.*

XXXVII. Rursum provide occurrit propheta his,

ΛΖ'. Ἀπαντᾷ πάλιν οἰκονομικῶς ὁ λόγος τοῖς εἰω-

[13] Exod. xxiii, 17-19. [14] Ibid. 15. [15] Matth. vi, 24.

Digitized by Google

θόσι φιλοψέγειν, καὶ τῆς ἐνούσης Θεῷ ἀγαθότητος ἀβούλητα καταφλυαρεῖν ἐκ τῆς πυλλῆς ἄγαν ἀποπληξίας. Ἀνθ' ὅτου γὰρ (ἂν φαίεν ἴσως τινὲς) ἀτίθασσον οὕτω, καὶ δύσοιστον κομιδῇ τοῖς ἐξ Ἰσραὴλ ἔτι φέρει δίκην, καίτοι κατὰ φύσιν ὑπάρχων ἀγαθὸς ὁ Θεὸς, καὶ ἀποτόμου λοιπὸν ὀργῆς ἀποφαίνει δεδεημένους; Ἐν ταὐτῷ δὲ δείκνυσιν, ὅτι πλήττει μὲν ἐν ἀρχῇ ἡμερωτέρως τοὺς ἡμαρτηκότας, οὐ δίκας αὐτῶν, ἀλλ' ἐξ ἐμφύτου φιλανθρωπίας ἐπιστρέφων εἰς ἑαυτὸν, καὶ οἱονεί μάστιγί τε καὶ πόνῳ μετατιθεὶς ἐπὶ τὸ δρᾷν ἐλέσθαι τὸ ἄμεινον. Γεγονότας γὰρ ἐν οἷς ἔφην, καὶ οὐκέτι φορητὰ δεδυσσεβηκότας, γομφιασμῷ τε ὀδόντων ἐπαίδευε, καὶ μὴν καὶ ἄρτων ἐνδείᾳ, τουτέστι, λιμῷ. « Καὶ οὐκ ἐπεστράψατε πρός με, λέγει Κύριος. Ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ μηνῶν τριῶν τοῦ τρυγητοῦ, ἤγουν (ὡς Ἑβραῖοι μᾶλλον ἐκδεδώκασι) τοῦ θερισμοῦ. » Πρεπωδέστερον δὲ « πρὸ μηνῶν τριῶν θερισμοῦ, » ὅτε μάλιστα τοῖς ληΐοις ἡ τοῦ καταρδεύεσθαι χρεία πολλή τε καὶ ἀναγκαία πρὸς τὸ τελεφορῆσαι. Γέγονε δὲ τοσαύτη σπάνις ὑδάτων, ὡς κρίσει τε καὶ ψήφῳ Θεοῦ τοῦ πάντα εἰδότος ὕεσθαι μὲν μίαν πόλιν, ἀφαυαίνεσθαι δὲ τὴν ἑτέραν· συναγείρεσθαι δὲ αὖ δύο τε καὶ τρεῖς εἰς μίαν, καὶ οὕτως ἔτι διψῆν. « Καὶ οὐκ ἐπεστρέψατε πρὸς μὲ, λέγει Κύριος. » Συμβέβηκε δὲ τὰ τοιάδε παθεῖν τοῖς ἐξ Ἰσραὴλ συμβολικῶς τε ἅμα καὶ ἱστορικῶς. Ὡς γὰρ ὁ τοῦ Σωτῆρος εἴρηκε μαθητὴς, « Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευξαμένου οὐκ ἔβρεξεν ἐνιαυτοὺς τρεῖς, καὶ μῆνας ἕξ. Καὶ λιμὸς γέγονεν ἀπηνὴς οὕτως ἐν Σαμαρείᾳ, ὡς κεφαλὴν ὄνου πολλῶν πιπράσκεσθαι δηναρίων. » Ἀλλὰ καὶ ἐν χρόνοις τοῖς Ἱερεμίου προφήτου ἀνέσχε τὸν ὑετὸν ὁ τῶν ὅλων Θεός. Καὶ γοῦν τοὺς περὶ τῆς ἀβροχίας λόγους ἐποιεῖτο, λέγων· « Ἐπένθησεν ἡ Ἰουδαία, καὶ αἱ πύλαι αὐτῆς ἐκενώθησαν, καὶ ἡ κραυγὴ τῆς Ἱερουσαλὴμ ἀνέβη, καὶ οἱ μεγιστᾶνες αὐτῶν ἀπέστειλαν τοὺς νεωτέρους αὐτῶν. Ἐφ' ὕδωρ ἦλθοσαν ἐπὶ τὰ φρέατα, καὶ οὐχ εὗρόσαν ὕδωρ, » καὶ τὰ ἑξῆς. Δεδυσσεβηκότων δὴ οὖν οὐ μετρίως τῶν ἐξ Ἰσραὴλ ἀνέσχε τὸν ὑετὸν, καὶ γομφιασμὸν ὀδόντων, καὶ ἔνδειαν ἄρτων ἐν πάσαις αὐτοῦ ταῖς πόλεσιν ἐδίδου Θεός.

Ἀλλ' ὡς ἔφην ἀρτίως, πεπονθότας αὐτοὺς, καὶ νοητῶς εὑρήσομεν. Καὶ τροφὴ μὲν γὰρ, καὶ ποτὸν τοῖς ἐκ γῆς σώμασι, τὰ ἀπὸ τῆς γῆς, καὶ ὕδωρ τὸ αἰσθητὸν, ψυχὴ δὲ ἀνθρώπου θείοις τε καὶ οὐρανίοις λόγοις. Νᾶμα δὲ αὐτῇ τὸ πνευματικὸν, καὶ πηγὴ κατάρδουσα νοητῶς ἡ θεόπνευστος Γραφὴ, τὸ τοῦ Χριστοῦ λαλοῦσα μυστήριον. Ἀλλ' ὥσπερ ὀδόντες εἰ πάθοιεν τὸν γομφιασμὸν, ἀδρανέστεροί πως ἂν εἶεν εἴς γε τὸ δύνασθαι καταμασᾶσθαί τι, καὶ καταλεαίνειν τροφήν· οὕτως καὶ ἀνθρώπινος νοῦς κατολισθήσας ἐπὶ τὸ ἄναλκι, καὶ τὸ τῆς νωθείας ἀῤῥώστημα παθών, οὐκ ἂν δύναιτο τῆς πνευματικῆς ἐφικέσθαι γνώσεως, καί τι τῶν ἐν θεωρίαις ταῖς ἄγαν ἰσχναῖς εἰς πέψιν ἐλεῖν. Ἐπαχύνθη τοιγαροῦν ἡ καρδία τοῦ Ἰσραὴλ, συνῆκε γὰρ οὐδαμῶς τὸ Χριστοῦ μυστήριον. Ταύτητοι καὶ ἔνδειαν ἄρτων ἐσχήκασι τῶν πνευματι-

A qui amant reprehendere, et ex stupore magno contra Dei bonitatem inconsiderate blaterare. Quare enim (dixerint fortasse quidam) adeo immitem prorsusque intolerabilem pœnam Israelitis infert Deus, cum natura bonus sit, et ira in illos inexorabili opus esse declarat? Ostendit igitur hoc eodem loco, se principio mitius punire peccatores, non vindictam postulantem, sed ex insita benignitate ad se ipsum convertentem eos, ac tanquam flagello quodam, et dolore ad operum meliorum voluntatem transferentem. Versantes enim iis quæ dixi, et intolerabili modo impios, stupore dentium affecit. Quin et panum indigentia, hoc est, fame afflixit. « Et non estis reversi ad me, dicit Dominus. Abstuli ex vobis pluviam ante tres menses vindemiæ, sive B (ut Hebræi potius ediderunt) messis. » Aptius sane, « mensibus tribus ante messem, » quando segetibus ad maturitatem crebra de cœlo irrigatio conducibilis et necessaria est. Exstitit autem tanta aquarum penuria ut judicio et sententia Dei omnia scientis pluerit quidem super unam urbem, altera præterita ac repudiata : congregatæ sint autem duæ et tres in unam, et adhuc sitiverint. « Et non estis reversi ad me, dicit Dominus. » **292** Enimvero hæc perpeti Israelitas symbolice et historice contigit. Ut enim Salvatoris discipulus dixit : « Elias homo erat, similis nobis, passibilis, et oravit, et non pluit annos tres et menses sex [16]. Et facta est fames sæva in Samaria, ut caput asini multis denariis venderetur [17]. » Quin et temporibus Jeremiæ prophetæ pluviam cohibuit, rerum parens Deus. Quare de siccitate C verba fecit in hunc modum : « Luxit Judæa, et portæ ejus vacuæ factæ sunt, et clamor Jerusalem ascendit, et magnates ejus miserunt juniores ad aquam; venerunt ad puteos, et non invenerunt aquam [18], » etc. Quia igitur Israelitæ non vulgari se impietate contaminaverant, Deus pluviam abstulit, et stuporem dentium, et indigentiam panum in omnibus eorum civitatibus immisit.

Verum, ut modo dicebam, eos item modo intelligibili passos cernere licet. Et esca quidem et potus corporibus terrenis hujusmodi debentur, quæ e D terra gignuntur, et aqua sub sensum cadens; animus hominis divinis sermonibus nutritur; cujus fluentum est spirituale, et fons intellectualiter irrigans, divinitus inspirata Scriptura, Christi mysterium disserens. Sed quemadmodum dentes, cum obstupuerunt, imbecilliores fiunt, quam ut mandere quidpiam et cibum commolere queant; sic et mens humana in infirmitatem delapsa et pigritiæ morbo correpta, ad spiritualem cognitionem pertingere, et ex theoriis valde subtilibus ad concoctionem aliquid capere non poterit. Incrassatum est ergo cor Israel; neutiquam enim Christi mysterium intellexit, ideo et indigentia panum spiritualium et aquæ penuria

[16] Jac. v, 17. [17] IV Reg. vi, 25. [18] Jer. xiv, 2, 3.

Digitized by Google

laborarunt, quoniam non habuerunt Verbum nutriens, « quod de cœlo descendit, et dat vitam mundo [19], » quod gratia Spiritus animas irrigat, fontem vivum ex Deo Patre Filium, per legem et prophetas solatium. Nam, ut Isaias ait : « Mandavit nubibus desuper, ne pluant super eos imbrem [20]. »

VERS. 9, 10. *Percussi vos in combustione, et in ictero. Multiplicastis hortos vestros, et vineas vestras, et ficeta vestra, et oliveta vestra, quæ devoravit eruca. Et neque sic reversi estis ad me, dicit Dominus. Misi in vos mortem in via Ægypti. Occidi* **293** *in gladio juvenes vestros cum captivitate equorum vestrorum, et adduxi in igne castra vestra in ira vestra; et neque sic reversi estis ad me, dicit Dominus.*

XXXVIII. Qui pœnis ab irato numine impositis nihil commoventur, vehementer supinis, adeoque ad torporem et inertiam pessundatis, ut de pœnitentia ne cogitationem quidem suscipere velint, nullum plagæ genus suffecerit, plures potius, et aliæ aliis deteriores, et ad dolorem majus semper incrementum habentes, necessariæ sunt. Quoniam ergo Israelitas indigentia panis et potus ad emendationem parum, ut videtur, permovebat, hoc molestius quiddam ipsis infertur, morbi videlicet corporum, febris et icterus (qui aliter morbus arquatus, seu regius vocatur). Hoc et per Jeremiam prædictum est, ait enim : « Hæc dicit Dominus : Ecce ego do super populum istum infirmitatem, et infirmabuntur in ea patres et filii simul ; vicinus et proximus ejus peribunt [21]. » Et quia turpibus etiam quæstibus erant addicti, et in pecunia multa facienda animo et cogitatione occupati, ideoque hortos, et vineas, et ficeta, et oliveta conquirebant, tetigit et hæc Deus, per quæ non mediocri dolore affecti, ad sanitatem mentis redire possent, et pro noxiis salutaria eligere, pœnas illis accumulans, ut undique percussi salvarentur. Quia tamen et hoc parum erat, additum est majus. Quando enim, inquit, meam contemnentes manum, tantum non Deum omnipotentem imbecillitatis arguentes, ad Ægyptios abiistis, equorumque carnes pro sollicitudine erga vos mea elegistis, et Ægyptium hominem mihi prætulistis, tunc sane, tunc Babyloniorum rhomphæa bellicosissimum genus consumptum est, totus vester equitatus captivus est factus, debilitante Deo etiam qui ad gloriam grassari noverant, et victoriis e pugna reportandis assueverant. Intelliges autem et aliter illud, « Misi ad vos mortem in via Ægypti. » Josia regnante super Judam, duxit contra Babylonem Pharao Nechao Ægyptiorum tyrannus [22]. Quia vero per Judæam transire oportebat, ratus Josias, iter Babylonem versus tantummodo prætextum esse, et contra se arma sumpsisse Ægyptium, temere cum exercitu occurrit, et Israel oppetiit. **294**

A κῶν, καὶ ὕδατος σπάνιν, ἐπεὶ μὴ ἔχουσι τὸν τρέφοντα Λόγον, « τὸν ἐξ οὐρανοῦ καταβεβηκότα, καὶ ζωὴν διδόντα τῷ κόσμῳ, » τὸν κατάρδοντα ψυχὰς τῇ τοῦ Πνεύματος χάριτι, τὴν ζῶσαν πηγὴν, τὸν ἐκ τοῦ Θεοῦ Πατρὸς Υἱὸν, τὴν διὰ νόμου καὶ προφητῶν παράκλησιν. Ὡς γὰρ ὁ προφήτης φησὶν Ἡσαΐας, « Ἐνετείλατο ταῖς νεφέλαις τοῦ μὴ βρέξαι ἐπ' αὐτὸν ὑετόν. »

Ἐπάταξα ὑμᾶς ἐν πυρώσει, καὶ ἰκτέρῳ. Ἐπληθύνατε κήπους ὑμῶν, καὶ ἀμπελῶνας ὑμῶν, καὶ συκῶνας ὑμῶν, καὶ ἐλαιῶνας ὑμῶν. Τούτους κατέφαγεν ἡ κάμπη. Καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει Κύριος. Ἐξαπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, ἀπέκτεινα ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν μετὰ αἰχμαλωσίας ἵππων ὑμῶν, καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς B *ὑμῶν ἐν τῇ ὀργῇ ὑμῶν, καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει Κύριος.*

ΛΗ'. Τοῖς ἀναλγήτως ἔχουσι περὶ τὰ ἐξ ὀργῆς συμβαίνοντα, καὶ πολὺ λίαν ὑπτιουμένοις, ἀναπίπτουσι δὲ καὶ οὕτω πρὸς τὸ ῥᾴθυμον ἔτι, ὡς τὸ χρῆναι μετανοεῖν οὐδὲ εἰς νοῦν ἔχειν ἀξιοῦν, ἀρέσειεν ἂν οὐδεὶς τοῦ πλήττεσθαι τρόπος, πλείους δὲ μᾶλλον, καὶ ἀλλήλων χείρους πρὸς τὸ ἔτι μειζόνως καταλυποῦν ἔχοντες τὴν ἐπίδοσιν. Οὐκοῦν ἐπειδήπερ τοῖς ἐξ Ἰσραὴλ μικρὸν ἦν τάχα πρὸς ἐπανόρθωσιν, τὸ ἐνδεῖαι ἄρτου πορεύεσθαι, καὶ ποτῶν, ἐπενήνεκται τὸ παθεῖν καὶ τὸ ἔτι τούτου φορτικώτερον, ἡ αὐτῶν ἀσθένεια τῶν σωμάτων, ὡς ἐν πυρετῷ καὶ ἰκτέρῳ συμβαίνουσα. Τοῦτο καὶ διὰ φωνῆς Ἱερεμίου πάλιν εὑρήσομεν. Ἔφη γάρ, ὅτι « Τάδε λέγει Κύριος· Ἰδοὺ C ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν, καὶ ἀσθενήσουσιν ἐν αὐτῇ πατέρες, καὶ υἱοὶ, ἅμα γείτων, καὶ ὁ πλησίον αὐτοῦ ἀπολεῖται. » Ἐπειδὴ δὲ ἦσαν καὶ αἰσχρῶν λημμάτων ἠττώμενοι, καὶ πολὺ βλέποντες εἰς φιλοκερδίας, ταύτῃ τε πληθύνοντες κήπους, καὶ ἀμπελῶνας, συκῶνάς τε καὶ ἐλαιῶνας, ἥψατο καὶ τῶνδε Θεὸς, δι' ὧν ἦν οὐ μετρίως κατηλγηκότας εἰς νοῦν ἐπανήκειν τὸν σώφρονα, καὶ ἀνθελέσθαι τοῦ χείρονος τὸ συμφέρον, ἐπισωρεύων αὐτοῖς ἵνα παντεχόθεν πληττόμενοι σώζοιντο. Μικροῦ δὲ ὄντος καὶ τούτου, προσεπενήνεκται καὶ τὸ μεῖζον. Ὅτε γὰρ, φησὶ, τὴν ἐμὴν ἀτιμάζοντες χεῖρα, μονονουχὶ Θεοῦ τοῦ πάντα ἰσχύοντος τὸ ἀναλκὶ καθορίζοντες, τὴν ὁδὸν πεποιῆσθε τὴν πρὸς Αἰγυπτίους, ἵππων σάρκας τῆς D παρ' ἐμοῦ φροντίδος ἀνθῃρημένει, καὶ Αἰγύπτιον ἄνθρωπον προτετιμηκότες, τότε δὴ τότε δεδαπάνηται, φησὶν, ὑπὸ τῆς τῶν Βαβυλωνίων ῥομφαίας τὸ μαχιμώτατον γένος. Καὶ ἅπας ὑμῶν ἱππότης αἰχμάλωτος ἦν, ἀπονευροῦντος Θεοῦ, καὶ τοὺς εἰδότας εὐδοκιμεῖν, καὶ οὐκ ἀμελέτητον ἔχοντας τὸ νικᾷν ἐν μάχαις. Συνήσεις δὲ καὶ ἑτέρως τὸ, « Ἀπέστειλα εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου. » Ἰωσίου βασιλεύοντος ἐπὶ τὸν Ἰούδαν, κατεστράτευσε τῆς Βαβυλῶνος Φαραὼ Νεχαὼ, τῆς Αἰγυπτίων ὁ τύραννος. Ὡς δὲ ἦν ἀνάγκη διὰ τῆς Ἰουδαίων αὐτὸν παρέρχεσθαι γῆς, οἰηθεὶς ὁ Ἰωσίας σκῆψιν μὲν εἶναι τὴν ἐπὶ Βαβυλῶνα ὁδὸν, ὡπλίσθαι δὲ κατ' αὐτοῦ τὸν Αἰγύπτιον, ἀντεξά-

[19] Joan. VI, 33. [20] Isa. V, 6. [21] Jer. VI, 21. [22] IV Reg. XXIII, passim.

Digitized by Google

γει παραλόγως. Ἐκεῖ πέπτωκεν ὁ Ἰσραήλ. Οὐκοῦν « Ἐξαπέστειλα, φησὶν, εἰς ὑμᾶς θάνατον ἐν ὁδῷ Αἰγύπτου, » τουτέστιν, ἐν παρόδῳ τῶν Αἰγυπτίων, « τότε καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν, » ἀντὶ τοῦ, ἐκ βάθρων ἀνέσκαψα τὰς τετειχισμένας ὑμῶν, καὶ εὐπυργοτάτας πόλεις. Ἔφη δὲ τοῦτο καὶ ἐν ἀρχῇ. « Καὶ ἐπορεύθη Ἐφραὶμ πρὸς Ἀσσυρίους, καὶ Ἰούδας ἐπλήθυνε πόλεις τετειχισμένας, καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτῶν, καὶ καταφάγεται θεμέλια αὐτῶν. » Οὐκοῦν ἐξ αὐτῶν, φησὶ, κατέσεισα βάθρων τὰς ὀχυρωτάτας ὑμῶν πόλεις, « Καὶ οὐδ' οὕτως ἐπεστρέψατε, λέγει Κύριος. »

A Itaque « Immisi, inquit, in vos mortem in via Ægypti, » hoc est, in transitu, seu transeuntibus Ægyptiis. « Et adduxi in igne castra vestra, » id est mœnibus et turribus munitas, ac bene instructas urbes vestras everti. Quod etiam in principio dixit : « Et abiit Ephraim ad Assyrios, et Judas multiplicavit urbes munitas. Et mittam ignem in urbes ejus, et devorabit fundamenta eorum. » Ex ipsis igitur fundamentis munitissimas urbes vestras dirui, inquit, « Et ne sic quidem reversi estis ad me, dicit Dominus [23]. »

Κατέστρεψα ὑμᾶς καθὼς κατέστρεψεν Κύριος Σόδομα καὶ Γόμορρα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἀπὸ καύσεως, καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με, λέγει Κύριος.

B

Vers. 11. *Subverti vos, sicut subvertit Dominus Sodomam et Gomorrham, et facti estis sicut torris raptus ab incendio; nec sic quidem rediistis ad me, dicit Dominus.*

ΛΘ'. Οὐδεμίαν, φησὶν, ἐν ὑμῖν τὴν ἐπανόρθωσιν βλέπων, προστέθεικα ταῖς ὀργαῖς καὶ τὰ ἔτι τούτων ἀπηνέστερα, καὶ θερμοτέραν πεποίημαι τὴν καθ' ὑμῶν ἀγανάκτησιν. Κατέστρεψα γὰρ ὡς Σόδομα καὶ Γόμορρα, καὶ οὐκ ἐπεστρέψατε. Ἔοικε δὲ τὴν τελευταίαν ἐν τούτοις ἡμῖν πόρθησιν ὑποδηλοῦν, τὴν ἐν καιροῖς Ἱερεμίου διὰ χειρὸς Ναβουχοδονόσορ γεγενημένην, ὃς πᾶσαν εἶλε τὴν Ἰουδαίαν, ἐνέπρησε δὲ καὶ αὐτὰ τὰ Ἱεροσόλυμα, καὶ τὰς περιοίκους αὐτῇ πόλεις τε καὶ κώμας, καὶ αὐτὸν δὲ τὸν θεῖον κατασπάσας ναὸν, δορικτήτους ἔχων τοὺς ἐν τῷ πολέμῳ περιλελειμμένους, οἴκοι πάλιν λαμπρῶς, καὶ νενικηκὼς τοῖς ἀλῶσιν ὁμοῦ καὶ ἀνεκομίζετο, οἳ καὶ μόλις ἐπανῆλθον εἰς τὴν Ἰουδαίαν, ἐτῶν ἐπ' αὐτοῖς πληρωθέντων τὸν ἀριθμὸν ἑβδομήκοντα. Κῦρος γάρ, ὡς ἔφην, τὴν Βαβυλῶνα ἑλὼν, τῆς αἰχμαλωσίας ἀνῆκε τοὺς περιλειφθέντας, καὶ σεσωσμένους ἐξ Ἰσραήλ. Διὰ τοῦτο, φησὶν, ἐγένεσθε οἷον δαλίδιον ἡμίφλεκτον, καὶ ἐν ὀλίγοις ἔτι λειψάνοις σωζόμενον. Θεοῦ τοιγαροῦν παιδεύοντος τὸ ὑποπτιοῦσθαι πικρὸν, παραίτιον δὲ καὶ τῶν ἔτι δυσαχθεστέρων ἔσται κακῶν τοῖς τὴν αἴσθησιν ἀποσειομένοις, ἀπό γε τοῦ δεῖν ἀκαταλήκτως εἶναι πρὸς τὸ ὁρᾷν ἑλέσθαι, καὶ φρονεῖν ἃ μὴ θέμις. Ὅνπερ γὰρ τρόπον οἱ τὰς τῶν σωμάτων ἀνακόπτοντες νόσους, καὶ τοῦ θεραπεύειν δύνασθαι τὴν πεῖραν ἐξησκηκότες, τὰ τῶν τραυμάτων δυσαισθητότερα θερμοῖς καὶ δριμέσι φαρμάκοις ἀποκαθαίρουσι, καὶ τῆς ἐνούσης αὐτοῖς ἀκαθαρσίας τὸ πάχος ἀπολεπτύνοντες, τοῖς ἐκ τέχνης ἐπικουρήμασι παραχωρεῖν ἀναπείθουσιν, οὕτω καὶ ὁ πάντα γινώσκων Θεὸς τοὺς ἀναλγήτως ἔχοντας περὶ τὰ μικρὰ, ταῖς ἔτι χαλεπωτέραις καταφορτίζει πληγαῖς, ὧν εἴπερ τις σοφός ἐστι, καὶ ἀγχίνους, παραιτοῖτο ἂν εἰκότως πρὸς πεῖρας τὴν ἴφοδον.

XXXIX. Cum nullam in vobis emendationem cernerem, inquit, iratus vehementius, his atrociora adjeci, indignationemque meam adversum vos excui. Subverti namque vos haud secus quam Sodomam et Gomorrham, et non estis reversi. Quibus verbis postremam vastationem innuere videtur, quæ temporibus Jeremiæ per manum Nabuchodonosor contigit, qui totam Judæam subjugavit, et Hierosolymam ipsam, una cum finitimis ejus urbibus ac vicis exussit [24], destructoque divino templo, una cum captivorum reliquiis, gloriose victor domum rediit, quæ vix tandem decursis annorum septuaginta spatiis in Judæam redierunt. Cyrus enim, ut dixi, Babylone expugnata, superstites, et restantes, ex captivitate solvit [25]. Idcirco, inquit, facti estis tanquam torris exiguus, semiustus, et adhuc in paucis reliquiis conservatus [26]. Proinde Deo punente, supinum ac negligentem esse, perniciosum; et amoliri sensum, citraque cessationem ab officio ad arbitrium nefaria faciendi cogitandique discedere, intolerabiliorum adhuc malorum causa est. Quo enim pacto, morbos corporum depellentes, et in medicandi peritia exercitati, vulnera ad curationem difficiliora calidis et acribus medicamentis abstergunt, et immunditiæ quæ in illis est crassitudinem extenuantes, artificiosis curationibus cedere cogunt; ita quoque omnia cognoscens Deus, **295** ex parvis dolorem non sentientes, adhuc acerbioribus plagis onerat, quorum experientiam homo sapiens et solers merito deprecetur.

C

D

Διὰ τοῦτο οὕτως ποιήσω σοι, Ἰσραήλ.

Propterea sic faciam tibi, Israel.

Μ'. Ἐπειδὴ γάρ, φησὶν, τόδε τι πεποιηκότος, κἀκεῖνο προσθέντος, καὶ μονονουχὶ πᾶν εἶδος ἐπάγοντος αἰκίας καὶ πόνων, ἀλλ' ἀναλγήτως ἔχοντας τεθέαμαί τε καὶ ἐξ αὐτῆς ἐμάνθανον πείρας, ταύτητοι « Καὶ οὕτως ποιήσω σοι. » Πῶς δὲ οὕτως; οὐ γὰρ ἠρκέσθη τοῖς πρώτοις. Προσεπήγαγε δὲ καὶ τὴν ἐν

XL. Postquam, inquit, hoc feci, et illud addidi, et tantum non omne genus plagarum dolorumque intuli, et nihilominus nullo dolore commoveri eos vidi, expertusque didici, idcirco « Et sic faciam tibi. » Quomodo autem sic? Non enim contentus fuit primis, sed æqualem Sodomitarum calamitati

[23] Osee VIII, 14. [24] Jer. XXXIX, 8. [25] II Paral. XXXVI, 22; [26] I Esdr. I, passim.

Digitized by Google

catastrophen adjecit. Postrema enim, ut dixi, talis plaga ab irato Deo illis inflicta est.

Verumtamen, quia sic faciam tibi, præparare ad invocandum Deum tuum, Israel.

XLI. At enim, si vis, inquit, causam nosse cur ita faciam tibi, audies utique, dum ferimini tantum non clamante et dicente, qui vos ferit, « Præparare ad invocandum Deum tuum, Israel, » id est, impiger et alacer esto, ut non alienum et falsum deum invoces, sed Deum Israel, hoc est, quem usu ipso cognovisti, qui natura et veritate, et non quorumdam excellenti artificio inventus est, sicut videlicet quæ ex lignis et lapidibus fabricantur.

A ἴσῳ Σωδόμοις καταστροφήν. Τελευταία γάρ, ὡς ἔφην, αὐτοῖς ἡ τοιάδε πληγὴ διὰ τῆς θείας ὀργῆς ἐπενήνεκται.

Πλήν, ὅτι οὕτως ποιήσω σοι, ἑτοιμάζου ἐπικαλεῖσθαι τὸν Θεόν σου, Ἰσραήλ.

ΜΑ'. Ἀλλ' εἰ δὴ βούλοιο, φησὶ, μαθεῖν τὴν αἰτίαν, δι' ἣν οὕτως ποιήσω σοι, πεύσῃ δὴ πάντως, μονονουχὶ πληττομένου ὑμῶν βοῶντός τε καὶ λέγοντος· « Ἑτοιμάζου τοῦ ἐκκαλεῖσθαι τὸν Θεόν σου, Ἰσραήλ. » Τὸ, Ἑτοιμάζου, ἀντὶ τοῦ, Σπούδαζε, ἀοκνός τε καὶ πρόθυμος ἴσθι τοῦ ἐπικαλεῖσθαι τὸν μὴ ἀλλότριον, καὶ ψευδώνυμον, ἀλλὰ τὸν Θεόν σου, Ἰσραήλ, τουτέστιν, ὃν δι' αὐτῆς ἔγνως τῆς πείρας, ὡς ἔστι φύσει τε καὶ ἀληθείᾳ, καὶ οὐ διὰ τῆς τινων εὐτεχνίας ἐξευρημένος, καθάπερ ἀμέλει τὰ ἐκ ξύλων καὶ λίθων πεποιημένα.

B

Verse 13. *Idcirco ecce ego firmans tonitruum, et creans spiritum, et annuntians in homines Christum suum, faciens mane et nebulam, et ascendens super excelsa terræ, Dominus Deus omnipotens nomen illi.*

XLII. Excellentis oppositione, quod deterius habetur facile noscitur. Ut igitur idolorum imbecillitas appareat apud eos, qui præ magna stultitia deos esse et adorandos opinabantur, utiliter nobis seipsum universorum Domiuus manifestans, Conditorem et universorum fabricatorem, et potestatem in nos tenentem, et ut rerum humanarum gubernatorem, omni altitudine et omni excellentia superiorem, et omnis creaturæ administratorem introducit. Dei quippe natura supergreditur universa, nec altitudine secundum locum, sed gloriæ exsuperantia, et incomparabili virtute omnem modum mensuramque cujuscunque quod ortum est excedit. « Invoca igitur Deum tuum, Israel, » inquit, potestatem omnipotentem et præstantiam **296** summam agnoscens. Ego enim sum, et non alius « firmans tonitruum, » hoc est, nubibus operiens cœlum, et demittens pluvias; « et creans spiritum, » hoc est, etiam ventorum conditor. Annuntians vero in homines Christum suum, perinde est ac si dicat: Per me reges regnant, et tyranni per me orbi terrarum imperitant[27]. Christum enim in his non Emmanuelem, sed unctum potius in regnum, seu ad regnandum nominat. Similiter spiritum, non divinum et sanctum (tametsi quidam ita insaniunt, qui recta pervertere conati sunt), sed hunc aerium mundanumque, de quo ipse Salvator ait: « Spiritus ubi vult spirat[28]. » Ego igitur, inquit, qui nubes colligo, et firmo tonitruum, « et produco ventos de thesauris eorum[29] » qui manifesto quem velim regio solio ornari et illustrari. « Ergo Rex regum, et Dominus dominantium[30], » natura Deus, « qui facit mane, » hoc est, diem aut lucem, ipse est qui « facit nebulam, » hoc est, tenebras, aut noctem, Ipse « qui ascendit super excelsa terræ, » omni excelso et eminenti præstantior et eminentior, no-

Διότι ἰδοὺ ἐγὼ, στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα, καὶ ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ποιῶν ὄρθρον, καὶ ὀμίχλην, καὶ ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς, Κύριος ὁ Θεὸς παντοκράτωρ ὄνομα αὐτῷ.

ΜΒ'. Τῇ τοῦ προὔχοντος ἀντιπαραθέσει, τὸ ἐν ὑπολήψει τῇ χείρονι ῥᾳδίως ἐλέγχεται. Ἵνα τοίνυν τῶν εἰδώλων τὸ ἀδρανὲς ἐκφαίνηται παρά γε τοῖς οἰηθεῖσιν ἐκ πολλῆς ἄγαν ἀβελτηρίας, ὡς θεοί τε εἶεν, καὶ προσκυνεῖσθαι πρέποντες, χρησίμως ἡμῖν ἑαυτὸν ὁ τῶν ὅλων Θεὸς ἐμφανῆ καθιστὰς, ποιητὴν εἰσφέρει, καὶ τὸν ὅλων δημιουργὸν, καὶ τὴν καθ' ἡμᾶς ἀνημένον τὴν ἐξουσίαν, καὶ οἱονεί πως τῶν ἀνθρωπίνων οἰακοστρόφον, ἐπέκεινά τε ὄντα παντὸς ὑψώματος, καὶ ἁπάσης ὑπεροχῆς, καὶ ταμίαν ὥσπερ τινὰ τῆς ὅλης κτίσεως. Θεοῦ γὰρ φύσις τὸ πάντων ἐπέκεινα, καὶ οὐ τοπικοῖς ὑψώμασιν, ἀλλὰ ταῖς τῆς εὐκλείας ὑπεροχαῖς, καὶ ἀσυγκρίτῳ δυνάμει παντὸς γεννητοῦ μέτρον ὑπερκείμενον. « Ἐπικαλοῦ τοιγαροῦν τὸν Θεόν σου, φησὶν, Ἰσραήλ, » ἐπιγινώσκων ἐξουσίας τὰ παναλκὲς, καὶ τὴν ὑπερβολήν. Ἐγὼ γάρ εἰμι, καὶ οὐχ ἕτερος, « ὁ στερεῶν βροντὴν, » τουτέστιν, συνεφείας καλύπτων τὸν οὐρανὸν, καὶ καθιεὶς ὑετοὺς, « Καὶ κτίζων πνεῦμα, » τουτέστι πάλιν, ἀνέμων ποιητής. Ἀπαγγέλλων δὲ καὶ εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, ὅμοιον ὡς εἰ λέγοι· Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. Χριστὸν γὰρ ἐν τούτοις, οὐ τὸν Ἐμμανουὴλ, τὸν κεχρισμένον δὲ μᾶλλον εἰς βασιλείαν φησί. Πνεῦμά τε ὁμοίως, οὐχὶ τὸ θεῖόν τε καὶ ἅγιον (κἂν εἰ μαίνοιντό τινες τὰ ὀρθὰ διαστρέφειν μεμελετηκότων), ἀλλὰ τοῦτο τὸ ἀεριόν τε καὶ ἐγκόσμιον, περὶ οὗ φησι καὶ αὐτὸς ὁ Σωτήρ· « Τὸ πνεῦμα ὅπου θέλει πνεῖ. » Ἐγὼ τοίνυν, φησὶν, ὁ νεφέλας συλλέγων, καὶ στερεῶν βροντὴν, « καὶ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτῶν, » ὁ φανερὸν καθιστὰς ὃν ἂν ἐθέλοιμι τοῖς τῆς βασιλείας ἐναβρύνασθαι θώκοις. « Οὐκοῦν Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, » ὁ φύσει Θεὸς, αὐτὸς ὁ ποιῶν ὄρθρον, τουτέστιν, ἡμέραν, ἤτοι φῶς, αὐτὸς « ὁ ποιῶν ὁμίχλην, » τουτέστι, σκότος, ἢ νύκτα· αὐτὸς « ἐπιβαίνων ἐπὶ τὰ ὑψηλὰ τῆς γῆς, » ὁ

C

D

[27] Prov. VIII, 15, 16. [28] Joan. III, 8. [29] Psal. CXXXIV, 7. [30] I Tim. VI, 15.

Digitized by Google

παντὸς ἐπηρμένου καὶ ὑψηλοῦ κρείττων τε καὶ ὑπερκείμενος, ὀνομά τε πρέπον καὶ πολὺ λίαν ἐοικὸς τῇ ἑαυτοῦ δόξῃ φορῶν, τὸ « Κύριος παντοκράτωρ. » Θέα δὴ οὖν, ὅσην ἐφ' ἡμᾶς ποιεῖται ἡμερότητα καὶ φιλανθρωπίαν ὁ τῶν ὅλων Θεός. Ἐπαρτήσας γὰρ τὴν ἀπειλὴν, καὶ τὰ μὲν ὡς ἤδη γέγονε, τὰ δὲ ὡς ἔσται προειρηκὼς, καλεῖ πρὸς ἐπίγνωσιν, καὶ μυσταγωγεῖ τὸν ἐκκεκλικότα, καὶ ἀνακομίζει πρὸς σύνεσιν τὸν ἐξ ἀμαθίας ὠλισθηκότα· καὶ τοῖς οὐκ εἰδόσι τὸν φύσει τε καὶ ἀληθῶς δεσπότην, ἀπό τε τοῦ πάντα δύνασθαι κατορθοῦν, καὶ κατάρχειν τῶν ὅλων, ἑαυτὸν καθίστησιν ἐναργῆ. Τοῦτο δὲ ἦν πόνῳ καὶ μάστιγι σωφρονίζοντος, καὶ μονονουχὶ καὶ ἀνεθελήτως αὐτοὺς καταπαίοντος εἰς ἐπιστροφὴν, καὶ τὰ δι' ὧν εἰκὸς ἀναμαθεῖν δύνασθαι τὰ ἀμείνω φρονεῖν, χρησίμως ἐπάγοντος.

men decens et gloriæ suæ in primis consentaneum gerens, nempe, « Dominus omnipotens. » Vide igitur quantam erga nos mansuetudinem benignitatemque declaraverit universorum Deus. Intentatis enim minis, commemoratisque malis partim præteritis, partim eventuris, ad agnitionem sui invitat, et eum qui declinavit, mysterium docet, atque ex imperitia lapsum ad intelligentiam reducit; et ignorantibus natura ac vere Dominum, ex eo quod omnia bene facere possit, imperetque omnibus, se manifestum reddit. Hoc est in dolore et flagello ad sanitatem revocare, et quasi invitum ipsos ferire ad reversionem, et per quæ consentaneum est posse denuo meliora sapere, utiliter inducere.

ΚΕΦΑΛ. Ε'.

Ἀκούσατε τὸν λόγον Κυρίου, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς θρῆνον. Οἶκος τοῦ Ἰσραὴλ ἔπεσεν, οὐκ ἔτι οὐ μὴ προστεθῇ ἀναστῆναι. Παρθένος Ἰσραὴλ ἐσφάλη ἐπὶ τῆς γῆς αὐτοῦ, οὐκ ἔστιν ὁ ἀνιστῶν αὐτήν.

ΜΓ'. Οἱ μακάριοι προφῆται τὰ κατά τινων ἐσόμενα προαναμανθάνοντες, εἶτα δειμάτων ἐντεῦθεν ἀνακιμπλάμενοι καὶ ὑπεραλγοῦντες ὡς ἀδελφῶν, θερμοτέρας ἔσθ' ὅτε ποιοῦνται τὰς ἐπιπλήξεις, μονονουχὶ διακναντες ἐξ ἀγάπης, καὶ διανιστῶντες εἰς νῆψιν τῇ προαγορεύσει τῶν ὅσον οὔπω συμβησομένων. Τοιοῦτόν τι καὶ νῦν ὁ προφήτης ἐπιτελεῖ, λέγων μὲν ὡς ἐξ ἰδίου προσώπου, πλὴν οὐχὶ τὰ ἀπὸ γνώμης ἰδίας, ἀλλ' ὡς ἐκ θείων χρησμῳδημάτων. Ταύτητοί φησιν· « Ἀκούσατε τὸν λόγον Κυρίου τοῦτον, ὃν ἐγὼ λαμβάνω ἐφ' ὑμᾶς θρῆνον. » Λελάληκε μὲν γὰρ ἐν ἐμοὶ, φησὶν, ὁ τῶν ὅλων Θεὸς, συντέθειται δέ μοι θρῆνος εἰς ὑμᾶς τοὺς ἀποφοιτῶντας αὐτοῦ. Καὶ τί δὴ ἄρα τὸ γοερόν ἐστι μέλος; τί τὸ θρήνημα; καὶ ἐφ' ὅτῳπερ ἂν γένοιτο παρ' ἐμοῦ τὸ δάκρυον; Δεινὴ καὶ ἀνουθέτητος συμφορά. Οἶκος Ἰσραὴλ ἔπεσε. Συνειστήκει μὲν γὰρ, τιμωμένου καὶ ἀγαπωμένου Θεοῦ· καταπέπτωκε δὲ νυνὶ, ταῖς τῶν πλανωμένων ἀπονοίαις παρωτρυμμένου. Εἶτα τίς ὁ ἐγερῶν τὸν τοῖς θείοις νεύμασι καταπίπτοντα; « Ἐσφάλη γὰρ ἡ παρθενία, » τουτέστι, πεπόρνευκε. Ποία δὲ αὕτη; πάντως που πάλιν ὁ Ἰσραὴλ, ἤγουν ἡ τῶν Ἰουδαίων Συναγωγὴ, πρὸς ἣν εἴρηται παρὰ Θεοῦ· « Οὐχ ὡς οἰκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἀρχηγὸν τῆς παρθενίας σου; » Οὐκοῦν ἡ τῆς παρθενίας ἀρχηγὸν λαχοῦσα Θεὸν, ἐσφάλη ἐπὶ τῆς γῆς αὐτῆς, τουτέστι, πεπόρνευκε, καὶ ἀπροφάσιστον ἔχει τὴν ἁμαρτίαν. Πεπόρνευκε μὲν γὰρ ἐν Αἰγύπτῳ ποτέ. Ἀλλ' ἦν ἐν γῇ οὐκ ἰδίᾳ, καὶ τοῖς τῶν κρατούντων ὑπέστρωτο νόμοις τάχα που καὶ ἀβουλήτως εἰς τὰ ἐκείνων ἔθη κατεδιάζετο, τῆς προγονικῆς εὐσεβείας ὡς ἐξ ἀνάγκης ἐξωθουμένη. Νυνὶ δὲ κατωθοῦντος οὐδενὸς (ἔστι γὰρ ἐπὶ γῆς ἰδίας, ἔνθα νόμος ὁ παιδαγωγὸς, ἀποκομίζων αὐτὴν εἰς ἐπίγνωσιν τοῦ φύσει τε καὶ ἀληθοῦς ὄντος Θεοῦ, ἀνειμέ-

CAP. V.

VERS. 1, 2. *Audite verbum Domini, quod ego assumo super vos planctum. Domus Israel cecidit, non amplius adjiciat resurgere. Virgo Israel projecta est in terram suam, non est qui suscitet eam.*

XLIII. Beati prophetæ quibusdam eventura prædicentes, inde pleni 297 terroribus, fratrumque vicem nimiopere dolentes, acriore aliquando objurgatione utuntur, propemodum mordentes ex charitate, et vigilantiam cautionemque prædictione mox futurorum exsuscitantes. Tale quiddam et nunc propheta facit; ceu ex persona sua loquens ille quidem, verumtamen non ex mente sua, sed velut a Deo afflatus sic ait: « Audite verbum Domini hoc, quod ego assumo super vos planctum. » Locutus est enim in me, inquit, universorum Dominus, et composui lamentationem super vos, qui ab eo discessistis. Quodnam igitur hoc lugubre canticum? quæ ista lamentatio? et quid tandem deflebo? Horribilis et inemendabilis calamitas. Domus Israel cecidit. Consistebat cum honoraret et amaret Deum. Nunc eodem errantium vesania irritato concidit. Jam quis divino nutu prostratum eriget? « Projecta est enim virginitas. » Hoc est, fornicata est. Quænam ista? omnino Israel quoque, sive Judæorum Synagoga, cui dictum est a Deo: « Nonne ut domum me vocasti, et patrem et ducem virginitatis tuæ[81]? » Quæ igitur Deum virginitatis suæ ducem sortita est, in terram suam projecta est, hoc est, fornicata est, et peccatum habet inexcusabile. Fornicata est enim olim in Ægypto. Sed tum non erat in terra sua, et quos dominos patiebatur, eorum legibus substernebatur, ac nolens forsitan atque invita ad eorum mores adigebatur, majorum suorum pietatem ac religionem coacta deserere. Nunc nemo cogit. Est enim in regione propria, ubi lex pædagogus, reducens eam ad agnitionem ejus, qui est natura et vere Deus, soluta ac libera, et inculpabilis prorsus ad quodvis præ-

[81] Jer III, 4.

Digitized by Google

clarissimum opus via. Qua igitur defensione utetur? Fornicata est enim, non compulsa ab aliquo, sed quod sequitur, sponte ac voluntate. Idcirco projectam non est qui erigat. Dicatur et a nobis peropportune Deo omnia valenti: « Terribilis es, et quis resistet tibi ab ira tua [33] ? »

Cecidit et aliter populus Judæorum, per injurias et contumelias in Christum actus in dedecus. Et jacet nunc nemine succurrente. Exspectat autem suam miserantis gratiam, Christi, inquam; nam et ipse quoque ad agnitionem per fidem extremis sæculi temporibus vocabitur.

298 VERS. 3. *Quia hæc dicit Dominus Deus: Urbs, ex qua egrediebantur mille, relinquentur centum. Et ex qua egrediebantur centum, relinquentur decem domui Israel.*

XLIV. Perspicue admodum declarat his verbis, quonam modo cadet. Vacuæ siquidem viris manebunt urbes, bello cives consumente, et eo miseriarum redigente, ut ipsis vix decima pars relinquatur. Postquam enim Deum irritantes impuris dæmonibus ad triduum illud decimas obtulerunt, et ipsi vix decimam partem remanserunt, pari propemodum mensura Deo peccatum compensante, et impietatibus illorum pœnam respondentem remetiente. Horribile est igitur in furore corripi [34]. Idcirco et suppliciter Deum propheta orabat his verbis: « Corripe nos, Domine: verumtamen in judicio, non in furore tuo, ne ad paucos redigas nos [35]. »

VERS. 4-6. *Quia hæc dicit Dominus super domum Israel: Quærite me, et vivetis: et non quæratis Bethel, et in Galgala non ingrediamini, et in puteum juramenti non transeatis, quia Galgala captivata captivabitur, et Bethel non exsistens. Quærite Dominum, et vivite, ut non reluceat ut ignis domus Joseph, et devoret eam, et non erit exstinguens domui Israel.*

XLV. Rursum peccatis quantumvis grandibus et minime ferendis alligatos in desperationem labi non sinit. Proponit autem et prætexit divina promissa, atque ita eos velut piscator sagena ad pœnitentiam concludit. Necessario autem ipsum et nunc scelera eis remissurum, et pœnis pœnarumque terroribus liberaturum pollicentem introducit. « Natura enim benignus est Opifex, patiens et multum misericors, et præstabilis super malitiis [36], » sicut scriptum exstat. Et ut est apud Ezechielem: « Non vult mortem peccatoris, ut convertatur a via sua mala, et vivat [36]. » Quamobrem, si magnifacitis vivere, et res vobis amplectenda videtur, desinite seduci, et a tam longa perplexitate absistentes, exquirite me, inquit: hoc est, mihi servite, qui sum natura Deus,

A νη δὲ καὶ ἐλευθέρα καὶ ἀνεπίπληκτος παντελῶς ἡ εἰς πᾶν ὁτιοῦν τῶν ἀρίστων ὁδὸς, τίς οὖν αὐτῇ τῆς ἀπολογίας; ἐκπορισθείη τρόπος;) Πεπόρνευκε γὰρ οὐ βεβιασμένη ποθὲν, ἀλλ' ἑκοῦσα λοιπόν. Ταύτῃτοι κατερράγμένην οὐκ ἔστιν ὁ ἐγερῶν. Εἰρήσθω δὴ οὖν εὖ μάλα καὶ πρός γε ἡμῶν αὐτῶν τῷ πάντα ἰσχύοντι Θεῷ· « Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; »

Πέπτωκε δὲ καὶ ἑτέρως ἡ τῶν Ἰουδαίων πληθὺς, διὰ τῆς εἰς Χριστὸν παροινίας καταβιαζομένη πρὸς ἔλεγχον· καὶ κεῖται λοιπὸν, ἐπαμύνοντος οὐδενὸς, περιμένουσα δὲ μόνην τὴν τοῦ κατοικτείροντος χάριν, φημὶ δὴ Χριστοῦ. Κληθήσεται γὰρ καὶ αὐτὴ πρὸς ἐπίγνωσιν διὰ πίστεως ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς.

B *Διότι τάδε λέγει Κύριος· Ἡ πόλις, ἐξ ἧς ἐξεπορεύοντο χίλιοι, ὑπολειφθήσονται ἑκατόν· καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατὸν, ὑπολειφθήσονται δέκα τῷ οἴκῳ Ἰσραήλ.*

ΜΔ'. Διατρανοῖ δὴ λίαν ἐν τούτοις τὸ, τίνα πεσεῖται τρόπον. Κένανδροι γὰρ, φησὶν, ἀπομενοῦσιν αἱ πόλεις, δαπανῶντος τοῦ πολέμου τοὺς ἐν αὐταῖς, καὶ ἀθλιότητος εἰς τοῦτο μετακομίζοντος, ὡς μόλις αὐταῖς τὴν δεκάτην ἀπομεῖναι μοῖραν. Ἐπειδὴ γὰρ αὐτοὶ παροτρύναντες ἀνενηνόχασι τοῖς ἀκαθάρτοις δαίμοσιν εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα, καὶ αὐτοὶ μόλις ὡς ἐν μοίρᾳ δεκατέρᾳ περιλειφθήσονται, μονονουχὶ ταλαντεύοντος Θεοῦ τὸ πλημμέλημα, καὶ ταῖς δυσσεβείαις αὐτῶν ἀντεπάγοντος τὴν ἰσόρροπον δίκην. Φοβερὸν οὖν ἄρα τὸ ἐν θυμῷ παιδεύεσθαι. C Ταύτῃτοι καὶ ἐλιπάρει Θεὸν ὁ προφήτης, λέγων· « Παίδευσον ἡμᾶς, Κύριε, πλὴν ἐν κρίσει, καὶ μὴ ἐν θυμῷ, ἵνα μὴ ὀλίγους ἡμᾶς ποιήσῃς. »

Διότι τάδε λέγει Κύριος ἐπὶ τὸν οἶκον τοῦ Ἰσραήλ· Ἐκζητήσατέ με, καὶ ζήσετε· καὶ μὴ ἐκζητεῖτε Βαιθὴλ, καὶ εἰς Γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ ἐπὶ τὸ φρέαρ τοῦ Ὅρκου μὴ διαβαίνετε· διότι Γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτισθήσεται, καὶ Βαιθὴλ οὐχ ὑπάρχουσα. Ἐκζητήσατε τὸν Κύριον, καὶ ζήσατε, ὅπως μὴ ἀναλάμψῃ ὡς πῦρ οἶκος Ἰωσὴφ, καὶ καταφάγῃ αὐτὸν, καὶ οὐκ ἔσται ὁ σβέσων τῷ οἴκῳ Ἰσραήλ.

ΜΕ'. Οὐκ ἐᾷ πάλιν τοὺς ἡμαρτηκότας κατολισθεῖν εἰς ἀπόγνωσιν, καίτοι δειναῖς καὶ ἀφορήτοις πλημμελείαις ἐνειλημ[μ]ένους. Προΐσχεται δὲ τὰ παρὰ D Θεοῦ, σαγηνεύων εἰς μετάγνωσιν. Εἰσκεκόμικέ τε καὶ νῦν ἀναγκαίως αὐτὸν ἀνήσειν αὐτοῖς ὑπισχνούμενον ἐγκλήματα, ἀπαλλάξειν δὲ καὶ ποινῆς καὶ τῶν εἰς τοῦτο δειμάτων. « Φύσει γὰρ ἀγαθὸς ὁ Δημιουργὸς, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις, » καθὼς γέγραπται, καὶ ᾗ φησιν αὐτὸς διὰ Ἰεζεχιήλ· « Οὐ θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς καὶ ζῆν αὐτόν. » Εἴπερ οὖν περὶ πολλοῦ ποιεῖσθε τὸ ζῆν, καὶ ἀξιόληπτον ὑμῖν τὸ χρῆμα φαίνεται, καταλήγετε τῆς ἀπάτης· καὶ τῆς οὕτω μακρᾶς ἀθυμίας ἀποπηδήσαντες, ἐκζητήσατέ

[33] Psal. LXXV, 8. [34] Psal. VI, 1. [35] Jer. X, 24. [36] Joel, II, 13. [36] Ezech. XVIII, 22.

Digitized by Google

με, φησὶ, τουτέστιν, ἐμοὶ λατρεύετε τῷ φύσει Θεῷ, τῷ ζωοποιῷ, τῷ σώζειν ἰσχύοντι, καὶ παντὸς ἕξω τιθέντι κακοῦ τοὺς σεβομένους αὐτόν. Δεῖν δὲ δὴ, φησὶ, προαπονίπτειν ἑαυτοὺς, τῆς ἑαυτῶν ψυχῆς ἐξωθοῦντας τῆς ἀποστάσεως τὸν ῥύπον, καὶ προεκτήκειν εὖ μάλα τὴν ἐκ τοῦ πεπλανῆσθαι κηλίδα, κολλᾶσθαί τε οὕτω Θεῷ. Τί δὲ δὴ καὶ δρᾷν ἔδει μετανοεῖν ἐλομένους, διασαφεῖ λέγων· « Μὴ ἐκζητεῖτε Βαιθὴλ, καὶ εἰς Γάλγαλα μὴ εἰσπορεύεσθε, καὶ εἰς τὸ φρέαρ τοῦ Ὅρκου μὴ ἀναβαίνετε. » Φρέαρ δὲ Ὅρκου τὰ Γέραρά φησι, πόλις δὲ αὖτη τοῦ Φιλιστιείμ, ἤτοι τῶν Παλαιστινῶν. Ἐπειδὴ γὰρ ὤμοσαν ἀλλήλοις Ἀβραὰμ καὶ Ἀβιμελὲχ, καὶ συνθήκας εἰρήνης ἔθεντο ἐπὶ τοῦ φρέατος, μετωνόμασται λοιπὸν ἡ πόλις εἰς τὸ φρέαρ τοῦ Ὅρκου. Γάλγαλα δὴ οὖν, καὶ Βαιθὴλ, καὶ μέντοι καὶ Γέραρα πόλεις ἦσαν πολὺ πρὸς ἀσέβειαν ἐκτετραμμέναι, καὶ πολυσιδῆ τοῖς ἀπατωμένοις περιτιθεῖσαι τὴν πλάνην. Τούτων ἀναγκαίως ἀπαφοιτᾷν προσέταξεν, ἀναπλέξας τῷ λόγῳ καὶ ἀπειλὴν, ἵνα πανταχόθεν συνελαύνῃ πρὸς τὸ συμφέρον. Οἰχήσονται γὰρ, φησὶ, Βαιθὴλ τε καὶ αἱ λοιπαί. Καὶ ἡ μὲν αἰχμάλωτος βαδιεῖται πρὸς ἐχθρούς· ἡ δὲ οὕτω καταπρησθήσεται, ὡς δοκεῖν ἤδη πως μηδὲ ὑπάρξαι ποτέ. Οὐκοῦν ζητεῖσθω Θεὸς, ἵνα ζήσητε, φησὶ, πρὶν ἀναλάμψαι τὸν οἶκον Ἰωσὴφ, καὶ καταφάγεται αὐτὸν, καὶ οὐκ ἔσται ὁ σβέσων· τὸ μὲν οὖν ἀναλάμψαι τὸ ἐμπρησθῆναί φησι, οἶκον δὲ Ἰωσὴφ ὀνομάζει τὸν Ἐφραΐμ, ἤτοι τοὺς ἐν Σαμαρείᾳ· γεγόνασι γὰρ ἐξ Ἰωσὴφ Ἐφραΐμ τε καὶ Μανασσῆς. Ὥσπερ οὖν ὅταν Ἰσραὴλ αὐτοὺς ὀνομάζῃ, νοοῦμεν ὡς ἐκ πατρὸς κεκλῆσθαι τοὺς ἐξ αὐτοῦ· οὕτω κἂν λέγοι τυχὸν Ἰωσὴφ, κατὰ τὸν ἴσον συνήθως τρόπον. Καλὴν τοιγαροῦν ἡ μετάγνωσις, ἀποσοβοῦσα τὰς δίκας, καὶ τὰ ἐξ ὀργῆς ἀνακόπτουσα, ἔξω τε τιθεῖσα τοὺς ἐπιτηδεύοντας αὐτῇ, τῶν δεσποτικῶν κινημάτων, καὶ ἀπάσης ἡμᾶς συμφορᾶς ἀπαλλάττουσα.

Ὁ ποιῶν εἰς ὕψος κρῖμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν. Ὁ ποιῶν καὶ πάντα μετασκευάζων, καὶ ἐκτρέπων εἰς τὸ πρωὶ σκιὰν, καὶ ἡμέραν εἰς νύκτα συσκοτάζων, ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐχχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, Κύριος ὁ Θεὸς παντοκράτωρ ὄνομα αὐτοῦ. Ὁ διαιρῶν συντριμμὸν ἐπὶ ἰσχὺν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων.

ΜΖ'. Μυσταγωγὸς ὁ λόγος, καὶ ὅτι μάλιστα πρέπων τοῖς καλουμένοις εἰς ἐπίγνωσιν Θεοῦ, καὶ πρὸς τὸ τῆς ἀληθείας φῶς ἰέναι σπουδάζουσι. Πρόκειται γὰρ τῷ προφήτῃ διδάξαι τοὺς πλανωμένους, πρῶτον μὲν ὅτι τῶν ὅλων τὸ κράτος ἀνῆπται Θεὸς, καὶ τοῖς αὐτοῦ νεύμασι πηδαλιουχεῖται τὰ σύμπαντα, καὶ νόμῳ δικαιοσύνης ἡ παμμαχαρία τῶν ἀγγέλων ὑπενήνεκται πληθὺς, καὶ ὅτι πάντη τε καὶ πάντως τοὺς ὄντας ἐπὶ τῆς γῆς ἀκόλουθόν τε καὶ ἀναγκαῖον τοῖς τῆς παρ' αὐτοῦ δικαιοσύνης κατεζεύχθαι νόμοις. Εἰ γὰρ τὸ ἄμεινον ἐν τούτοις καὶ δουλεύει Θεῷ, καὶ ὑπέστρωται μὲν φόβῳ τῶν ἐν ὕψει πνευματικῶν ἡ ἁγία πληθὺς, πῶς ἂν ἡ πόθεν τὸ ἀνεπίπληκτον ἔχῃ

vivificus, salvare potius, et cultores meos ab omni malo tutos præstans. Affirmat autem, prius animas suas abluere ejectis apostasiæ 299 sordibus oportere, et probe eluere maculam, quæ ex errore inhæsit, et ita Deo adhærescere. Quid autem facto opus sit pœnitere instituentibus, declarat, dicens : « Ne quæratis Bethel, et in Galgala ne ingrediamini, et in puteum Juramenti ne transeatis. » Puteum juramenti narrant esse Gerara, quæ Philistiim, sive Palæstinæ urbs est. Postquam enim inter se juramentum dixerunt Abraham et Abimelech, et pacis fœdus ad fontem inierunt, denominata est de cætero urbs « ad puteum Juramenti [37]. » Galgala igitur, et Bethel, atque etiam Gerara urbes erant, magnopere ad impietatem detortæ, et multimodis erroribus a se deceptos involventes. Ab his omnino recedendum mandavit, verbis suis comminationem adjungens, ut undique ad utilitatem compellat. Peribunt enim, inquit, Bethel, et aliæ. Et alia quidem capta ad hostes transibit, alia devastabitur, ut jam nec aliquando exstitisse videatur. Quærite igitur Deum, inquit, ut vivatis, priusquam reluceat ut ignis domus Joseph, et devorabit eam, et non erit qui exstinguat, ἀναλάμψαι, hoc est, ἐμπρησθῆναι, succendi. Domum autem Joseph appellavit Ephraim, sive Samaritanos : nati sunt enim ex Joseph Ephraim et Manasse. Quemadmodum igitur, cum eos Israel nominat, intelligimus a patre posteros ejus hoc nomine appellari : ita, si quando Joseph dixerit, eodem modo intelliges. Bona est igitur pœnitentia pœnas arcens, et ex ira invehenda supplicia avertens, suique studiosos a Dominicis indignationibus, et ab omni calamitate nos liberans.

Vers. 8, 9. *Faciens in excelsum judicium, et justitiam in terram posuit. Faciens omnia, et fabricans, et convertens in mane umbram, et diem in noctem contenebrans : vocans aquam maris, et effundens illam super faciem terræ, Dominus Deus omnipotens nomen illi. Dividens contritionem super robur, et miseriam super robur inducens.*

XLVI. Oratio mysterium habet, et ad Dei agnitionem vocatis, atque ad lumen veritatis venire contendentibus mirifice convenit. Propositum est enim prophetæ docere seductos, primum quidem rerum universarum imperium esse penes Deum, et ejus nutu gubernari ac regi omnia, et legi justitiæ ejus sanctissimas angelorum 300 catervas subditas esse, et omni modo, ac ratione consequi, ac necessarium esse, qui in terris versantur homines, justitiæ ejus legibus devinciri. Si enim quod præstantius est in creaturis servit Deo, et timore subjicitur illi spirituum in excelsis sancta multitudo, quomodo, aut unde reprehensione careat ab-

[37] Gen. xxi, 32.

Digitized by Google

nutans, aut frenum recusans, quod natura, et gloria tanto est inferius, id est, ex terra procreatus, et in terram revertens homo [38]? Ego igitur, ait, universitatis Dominus, « qui facio judicium in excelso. » Quasi dicat, qui sublimibus et supernis spiritibus justitiæ illis congruentis modum præscribit (judicium enim pro justitia dicit), ipse et in terra justitiam posuit; hoc est, definivit atque constituit etiam in terris leges secundum quas vitam eos dirigere conveniat, et est rationi apud eos insitum, bene esse, et vivere, ejusque mansuetudine et benignitate perfrui. Esse autem Deum omnipotentem, et viribus validissimum, et nihil ei impossibile penitus, cedereque illi naturam elementorum, et commutari res pro ejus arbitratu demonstrat, exemplum assumens quod umbra declinet in mane, et rursus dies contenebret in noctem. Insuper quod nutus imperantis aquam a mari vi quadam ineffabili et arcana in supera evocans, in qualitatem non naturalem migrantem, terrarum incolis dulcem facit. Mutari autem ait « in mane umbram, » hoc est, noctem sive tenebras transire in diem. Nam, ut a Mose scriptum est, « tenebræ erant in principio super abyssum [39], » hoc est, umbra. Sed, « Dixit Deus, inquit, et facta est lux [40] : » sic nimirum in mane (puta in diem) umbram, id est tenebras, conversam esse. Sed diem facta nox rursum expulit, hoc est, diem in noctem tenebrescere. Consulit igitur propheta deceptis, non materiam nihil sentientem, sed eum qui natura et veritate est Deus, ostendens; non quales sunt vituli aurei, id est, ejusmodi quales deos ars humana invenit et excogitavit : sed et supernorum spirituum regem, et legislatorem, et hominum in terris similiter, et dominantem elementis, et ad suum arbitrium rerum naturam inclinantem. Ea siquidem de causa, et justissime nomen illi aptum esse dicit, « Dominus Deus omnipotens. » Quoniam autem hæc natura et vera sunt, « Suscitat contritionem super robur, et inducit miseriam super munimentum. » Discerpit, inquit, superbos, et jugum ejus repellentibus contritiones infligit. **301** Quinetiam si quis forte ex stupore quodam mentis putet se robustum ac magnum esse, hunc miseria cumulat. Hoc modo dextre subostendit quod si voluerint pigritari, et in vitiis apathiæ cujusdam persistere, ut nihil plane ulla monitione commoveantur, imo vero etiam sibi placere, in extremam ærumnam delapsuros, manu omnium potentis tacti videlicet, ac de cætero juste comminuti. « Dominus enim superbis resistit [41], » inquit, et arrogantem, et inobedientem, et contumacem hostis loco ducit : « Respicit autem super humilem, et quietum, et trementem sermones ejus [42]. » Et bonum istud, et vere imitatione dignum apud eos qui optimum vivendi curriculum sibi proposuerunt.

διανενευκὸς εἰς τὸ ἐξήνιον τὸ οὕτω μειονεκτούμενον φύσει τε καὶ δόξῃ, τουτέστιν, ὁ ἐκ γῆς τε καὶ εἰς γῆν ἄνθρωπος; Ἐγὼ τοίνυν, φησὶν, ὁ τῶν ὅλων Κύριος, «ὁ εἰς ὕψος ποιῶν κρῖμα.» Ὅμοιον δὲ ὡς εἰ λέγοι· Ὁ τοῖς ὑψοῦ τε καὶ ἄνω πνεύμασι τῆς αὐτοῖς πρεπούσης δικαιοσύνης συντιθεὶς τὸν τρόπον (κρῖμα γὰρ τὴν δικαιοσύνην φησὶν), αὐτὸς τέθεικε καὶ εἰς γῆν δικαιοσύνην, τουτέστιν, ὡρίσατο καὶ τοὺς ἐν γῇ νόμους, καθ' οὓς ἂν πρέποι διαζῆν αὐτοὺς καὶ ἐν λόγῳ τέθειται παρ' αὐτοῖς τὸ εὖ εἶναι καὶ ζῆν, καὶ τῆς παρ' αὐτοῦ μετέχειν ἡμερότητος καὶ φιλανθρωπίας. Ὅτι δέ ἐστι παντοκράτωρ καὶ παναλκὴς ὁ Θεὸς, καὶ ἀμήχανον οὐδὲν αὐτῷ παντελῶς, εἶκει δὲ καὶ αὐτὴ τῶν στοιχείων ἡ φύσις, καὶ μεθίσταται τὰ ὄντα πρὸς τὸ αὐτῷ δοκοῦν, ἀποδείκνυσι, λαβὼν εἰς παράδειγμα τὸ ἐκτρέπειν μὲν εἰς τὸ πρωῒ σκιὰν, ἡμέραν δὲ αὖ συσκοτάζειν εἰς νύκτα. Καὶ πρός γε δὲ τούτοις, ὅτι τὸ ἐξ ἄλλης ὕδωρ, ἀφάτῳ δυνάμει πρὸς τὸ ὑψοῦ τε καὶ ἄνω καλῶν, γλυκὺ καθίστησι τοῖς ἐπὶ τῆς γῆς, τοῖς τοῦ κρατοῦντος ῥεύμασι μεταχωροῦν εἰς τὰ παρὰ φύσιν. Ἐκτρέπεσθαι δέ φησι « εἰς τὸ πρωῒ σκιὰν, » τουτέστι, τὸ νύκτα, ἤγουν τὸ σκότος καταφοιτᾷν εἰς ἡμέραν. Ὡς γὰρ Μωσῆς γράφει, « Σκότος ἦν ἐν ἀρχῇ ἐπάνω τῆς ἀβύσσου, » τουτέστι, σκιά. Ἀλλ', « Εἶπεν ὁ Θεὸς, φησὶ, καὶ ἐγένετο φῶς· » οὕτως εἰς τὸ πρωῒ, τουτέστιν, εἰς ἡμέραν, μετατετράφθαι μὲν τὴν σκιὰν, τουτέστι, τὸ σκότος. Ἀλλ' ἡμέρας γεγενημένης ἐπελαύνετο αὖθις ἡ νύξ, τουτέστι τὸ, ἡμέραν εἰς νύκτα συσκοτάζειν. Ὠφελεῖ δὴ οὖν ὁ προφήτης τοὺς πεπλανημένους, οὐκ ἄψυχον ὕλην, τὸν φύσει δὲ καὶ ἀληθῶς ὄντα Θεὸν καταδεικνύς· οὐκ μὴν ἐν ἴσῳ ταῖς δαμάλεσι ταῖς χρυσαῖς, ἤγουν κατά τινα ὄντα τῶν ἐκ τέχνης ἀνθρωπίνης ἐξευρημένων θεῶν, ἀλλὰ καὶ τῶν ἄνω πνευμάτων βασιλέα, καὶ νομοθέτην καὶ τῶν ἐπὶ γῆς ὁμοίως, καὶ δεσπόζοντα τῶν στοιχείων, καὶ πρὸς τὸ αὐτῷ δοκοῦν μετακλίνοντα τῶν ὄντων τὴν φύσιν. Ταύτῃ γὰρ δὴ, καὶ μάλα δικαίως, φησὶν, ὄνομα πρέπον αὐτῷ, « Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ. » Ἐπειδὴ δὲ ταῦτά ἐστι φύσει τε καὶ ἀληθείᾳ, « Διαιρεῖ συντριμμὸν ἐπὶ ἰσχύν, ἐπάγει δὲ καὶ ταλαιπωρίαν ἐπ' ὀχύρωμα. » Καταδράττεται, φησὶ, τῶν ὑπερηφάνων, καὶ τοῖς ἀποσειομένοις τὸν ἐπ' αὐτῶν ζυγὸν ἐπιμερίζει συντριβάς. Ἀλλὰ κἂν τις οἴεται τυχὸν ἐξ ἀποπληξίας ἰσχυρὸς εἶναι καὶ μέγας, καὶ τούτῳ ταλαιπωρίαν ἐπάγει. Τοῦτο δὲ ἦν ὑπεμφαίνοντος εὐφυῶς, ὡς εἰ ἔλοιντο ῥᾳθυμεῖν, καὶ τοῖς τῆς ἀπαθείας ἐγκλήμασι διαμένειν ἔτι, καὶ μέγα φρονεῖν ἐπί γε σφίσιν αὐτοῖς, εἰς ἐσχάτην πεσοῦνται ταλαιπωρίαν, τῇ τοῦ πάντων κρατοῦντος χειρὶ λοιπὸν ὁσίως περιθραυόμενοι. « Κύριος γὰρ, φησὶν, ὑπερηφάνοις ἀντιτάσσεται, » καὶ πολέμιον ἡγεῖται τὸν ἀλαζόνα, καὶ ἀπειθῆ, καὶ δυσάγωγον· « Ἐπιβλέπει γε μὴν ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους αὐτοῦ. » Καὶ ἀγαθὸν τὸ χρῆμα, καὶ ἀξιοζήλωτον ἀληθῶς παρά γε τοῖς ἄριστα διαζῆν ἑλομένοις.

VERS. 10. *Odio habuerunt in portis corripientem, et sermonem sanctum abominati sunt.*

Ἐμίσησαν ἐν πύλαις ἐλέγχοντα, καὶ λόγον ὅσιον ἐβδελύξαντο.

[38] Gen. III, 19. [39] Gen. I, 2. [40] Ibid., 3. [41] Prov. III, 34; Jac. IV, 6. [42] Isa. LXVI, 2.

Digitized by Google

ΜΖ'. Ἀντέχεται πάλιν τῆς αὐτῷ πρεπούσης ἀκολουθίας ὁ λόγος. Ἐπειδὴ γὰρ ὁ θεσπέσιος προφήτης παντοκράτορά τε καὶ παναλκῆ κατωνόμαζε τὸν Θεὸν, προσετίθη δὲ ὅτι διαιρεῖ συντριμμὸν ἐπὶ ἰσχὺν, καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγει· ταύτητοι καὶ νῦν ἀναγκαίως, ἵνα μή τις οἴηται περιττῶς ἐπάγειν αὐτὸν τοῖς ὀλίγα πταίουσι τὰς ὀργὰς, ἀπαριθμεῖται τὰ ἐγκλήματα, καὶ εἰς μέσον ἄγει τὰς αἰτίας, δι' ἃς συντρίμματα καὶ ταλαιπωρίαν ἐπιμερίζει τισίν. Μεμισήκασι γὰρ, φησὶ, τοὺς σωφρονιστὰς, παρ' οὐδὲν πεποίηνται τοὺς ἐλέγχοντας, καὶ τοὺς ἐπανορθοῦν εἰωθότας εἰς τὸ ἀνδάνον Θεῷ, βδελυρὸν ἡγήσαντο πάντα λόγον ὅσιον, τὸν καλοῦντα δηλονότι καὶ παραθήγοντα πρὸς ὁσιότητα καὶ ἁγιασμόν. Τὸ δὲ « Ἐν πύλαις » νοήσεις, ἐναργῶς, καὶ ἀναφανδὸν, καὶ ἐν παῤῥησίᾳ. Ἔοικε δὲ, τῆς εἰς προφήτας καὶ νόμον ἀπονοίας αὐτῶν καὶ ἀποστροφῆς διαμεμνῆσθαι νυνί. Ἤλεγχον μὲν γὰρ οἱ προφῆται, προσιόντες ἀκρύπτως· ὅσιος δὲ λόγος ὁ νόμος ἦν, ὅτι καὶ Θεοῦ, καὶ δικαιοσύνης πρύτανις, καὶ παιδαγωγὸς εἰς εὐσέβειαν, καὶ τοῦ φύσει τε καὶ ἀληθῶς Θεοῦ δεικτικός. Διὰ τοῦτο καὶ Παῦλος ἁγίαν, καὶ δικαίαν, καὶ ἀγαθὴν τὴν διὰ Μωσέως εἰρηκεν ἐντολήν. Οὐκοῦν νοσημάτων αἴσχιστον, καὶ τῶν ἐν ψυχαῖς παθῶν ῥίζα τις ὥσπερ καὶ γένεσις, τὸ ἀποστρέφεσθαι συμβουλὰς, καὶ μισεῖν ἐλέγχους, καὶ δοκεῖν τὸν θεῖον μηδὲ εἰδέναι νόμον. Ὁ γάρ τοι πρὸς τοῦτο φαυλότητος καθιγμένος, νηΐ που πάντως ἔσται προσεοικὼς, πηδαλίων ἐρήμῃ, καὶ οὐκ ἐχούσῃ τὸν ἐφεστηκότα, ἢ παντὶ πνεύματι περιφέρεται, καὶ πρὸς τὸ ὠθοῦν ἁπλῶς καὶ ἀπερισκέπτως ἵσται, μονονουχὶ καὶ μεθύουσα, καὶ κυμάτων ἀθροίσματι φερομένη λοιπόν. Ἀλλ' ὅ γε σοφὸς Δαβὶδ ἡμῖν μακαρίζει τὸν δίκαιον ἐκεῖνον, λέγων· « Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. » Ἀπορθοῖ γὰρ ὁ νόμος εἰς τὸ ἀρέσκον Θεῷ.

Διὰ τοῦτο ἀνθ' ὧν κατεκονδύλιζον πτωχὸν, καὶ δῶρα ἐκλεκτὰ ἐδέξασθε παρ' αὐτοῦ. Οἴκους ξεστοὺς ᾠκοδομήσατε, καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς. Ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε, καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν.

ΜΗ'. Ἀληθὲς, ὅτι πάντη τε καὶ πάντως τὸ ἀποσχέσθαι τῶν ἀγαθῶν, τὴν τῆς φαυλότητος ἔχει γένεσιν, καὶ ἡ τοῦ χρηστοῦ τε καὶ ὠφελεῖν πεφυκότος ἀποστροφὴ, τοῖς οὐχ ὧδε ἔχουσι περιπταίειν ἡμᾶς ὡς ἐξ ἀνάγκης ποιεῖ. Ὅνπερ γὰρ τρόπον φωτὸς ἀπελαμένου, κατ' ἴχνος εὐθὺς καὶ κατὰ πόδας ἐστὶ τὸ σκότος· οὕτως ἀρετῆς ἀποφοίτησις ἐπομένην ἔχει τὴν τῆς φαυλότητος εἰσδρομήν. Οὐκοῦν, ἐπειδήπερ μεμισήκασι μὲν ἐν πύλαις ἐλέγχοντα, κατεβδελύξαντο δὲ καὶ λόγον ὅσιον, εἰς πολυειδῆ κατώλισθον ἁμαρτίαν, ἐτράποντο πρὸς πλεονεξίαν, καὶ τὴν ὅτι μάλιστα κατεστυγ[η]μένην Θεῷ καταδυναστείαν ἐπιτηδεύοντες, ἔτυπτον μὲν πυγμαῖς ταπεινὸν, καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, οἱ ἀδροί πως πάντως, καὶ τῶν ἄλλων ὑπερκείμενοι δόξῃ τε καὶ πλούτῳ. Διήρπαζον δὲ δωρεὰς, ὀνόματι παρ' οὐκ ἀκόντων δε-

XLVII. Rursum quam par est consecutionem sermo tenet. Postquam olim divinus propheta Deum omnipotentem et robustissimum vocavit, additque, illum dividere contritionem super robur, et miseriam super robur inducere; ideo et nunc, ne quis ipsum pauca delinquentibus æquo gravius minitari putet, scelera recenset, causasque in medium affert propter quas contritiones et miseriam quibusdam immittat. Oderunt enim, inquit, emendatores: contempserunt corripientes, et ad Deo placendum dirigere solitos: omnem sermonem sanctum exsecrati sunt hortantem, et incitantem ad omnem perfectionem et sanctimoniam, scilicet. « In portis, » intellige aperte, palam et libere. Videtur autem insolentiæ et aversionis eorum in prophetas et legem nunc meminisse. Reprehendebant enim prophetæ, accedentes palam: lex autem sermo sanctus erat, quoniam et Dei, et justitiæ, dispensator, et pædagogus ad justitiam [13], quique natura ac vere Deum ostenderet. Quare et Paulus sanctam, et justam, et bonam esse legem per Mosen latam affirmat [14]. Itaque morborum fœdissimorum, affectionumque in anima vitiosarum velut radix, et generatio est, repellere admonitiones, et odisse objurgationes, viderique divinam legem ne nosse quidem. Qui namque ad hoc improbitatis devenit, plane navi similis est, gubernaculo, et nauclero carenti, quæ omni vento circumfertur, et prout impellitur, simpliciter et fortuito huc illuc accedit, **302** quasi ebria, et fluctuum deinceps impetu huc illuc jactata. Verum sapiens David justum illum beatum prædicat his verbis: « Lex Dei ejus in corde ipsius, et non supplantabuntur gressus ejus [15]. » Lex enim ad beneplacitum Dei perficiendum dux, et magistra sua.

Vers. 11. *Idcirco quia pugnis percutiebant mendicum, et dona electa susceptistis ab eo. Domos politas ædificastis, et non habitabitis in eis. Vineas desiderabiles plantastis, et non bibetis vinum earum.*

XLVIII. Verum est, prorsus et omnimodis temperare a bonis, vitiorum esse initium, et aversionem a commodo, et conducibili, in ea quæ talia non sunt, necessario nos impellere. Quemadmodum enim fugata luce, illico, confestim, et e vestigio tenebræ exsistunt: ita unde virtus recesserit, eo impietas se ingerens succedit. Quocirca simul atque oderunt in portis corripientem, et abominati sunt sermonem sanctum, in multifaria peccata inciderunt; conversi sunt ad avaritiam, et Deo imprimis exosæ tyrannidi oppressionique incumbentes, pugnis percutiebant humilem, et colaphos impingebant in capita pauperum, homines perbeati, cæterisque gloria ac divitiis præcellentes. Diripiebant porro dona, verbo a non invitis ea capientes, quæ in facultatibus suis præstabiliora habebant. Verumtamen utiliter monet

[13] Galat. III, 24. [14] Rom. VII, 12. [15] Psal. XXXVI, 23.

Digitized by Google

talia facere solitis nihil commodasse avaritiam, et a turpi quæstu expugnari, tandem afferre mœrorem, et finem esse supplicium. Si enim neque ædibus studiose et magnifice a se constructis fruuntur, et frustra exercent agros, et inexspectato exitu evanescit rerum charissimarum usus, quorum causa plura appetebantur, et pecuniæ cumulandæ studebatur, quomodo in quibusdam opum amplius et amplius congerendarum consuetudo non vana, inutilisque videbitur? Sapienter itaque facit, qui secum illud cogitat quod est apud Parœmiasten : « Melius est parum cum justitia, quam multi fructus cum iniquitate [46]. » Avaritiam porro et Paulus idololatriam vocat [47], idque jure optime : est enim ἀθεότης : et eodem numero sunt legem charitatis in fratres, « quæ legis plenitudinem complectitur [48], » conculcantes, quo qui Deum non cognoscunt. Jam qui legem non novit, legem negat. Moderatiores autem, et studio pecuniæ superiores et ipse Christus nos facit, dicens : **363** « Quid enim prodest homini [49]? » et quæ sequuntur. « Thesauri enim impiis nihil proderunt, » ut scriptum est; « justitia autem liberabit a morte [50]. »

VERS. 12, 13. *Quia cognovi multas impietates vestras, et fortia peccata vestra, conculcantes justum, accipientes commutationes, et pauperem in portis declinantes. Idcirco intelliges in tempore illo tacebit, quia tempus malum est.*

XLIX. Non propter levia, neque qualiacunque crimina Deum pœnas a reis expetere, sed cum ad mediocria patienter connivuerit, effrenate in nequitiam ruentes tandem aggredi, docere conatur. Privatum enim iri domibus Samaritanes ait, atque etiam vineis, et omnibus, opinor, jucundis felicitatem continentibus : siquidem enormia, et neutiquam dissimulanda peccata ab illis perpetrata fuerunt. Opprimebant enim virum justum sive plebeium, aut in rebus impiis defixi, de recto justoque judicio parum sibi curandum arbitrabantur. Est autem hoc opprimere quodam modo, et expeditati suæ liberius obsequi, ut ex sacris legibus patet. Accipiebant enim, « et commutationes, » hoc est, retributiones, et mercedes pro iniquis judiciis, et præterea « pauperes in portis declinabant. » Et quidnam hoc sibi vult? Aut enim illud dicit, eos moderationem suadentes, et libere istud consulentes ab se fugasse : aut de pauperibus perperam judicare ausos, aut dissimulanter, nec ut qui pietatem vafre commiscentur : sed velut qui in portis, hoc est, palam, et in conspectu omnium omni pudore deposito, nec divinam legem quidquam reverentes. Eo autem perversitatis et improbitatis tandem descenderunt, ut et ipsis sapientibus, et intelligentia valentibus consultius videretur, neque reprehendere posthac, neque corrigere impietatem sectari volentes, quod qui castigarentur, quasi aures jam non haberent, et canina impudentia insilirent in eos qui

χόμενοι τὰ τῶν ἐόντων αὐτοῖς τιμιώτερα. Πλὴν ἀποφαίνει χρησίμως, ὅτι τοῖς τὰ τοιαῦτα δρᾷν εἰωθόσιν, ἀνόνητος ἡ πλεονεξία, καὶ τὸ αἰσχρῶν ἥττᾶσθαι λημμάτων, εἰς λύπας ἐκτελευτᾷ, καὶ δίκην ἔχει τὸ πέρας. Εἰ γὰρ μήτε οἴκων ἀπολαύσουσι τῶν ὡς ἐν σπουδῇ καὶ φιλοτίμως ἐξειργασμένων, εἰκῇ δὲ αὐτοῖς πονεῖται τὰ ἐν ἀγροῖς, οἴχεται δὲ πρὸς ἀδόκητον ἔκβασιν τῶν ἠγαπημένων ἡ μέθεξις, δι' ἃ γέγονεν ἡ πλεονεξία, καὶ τὸ φιλοχρήματον εἰσέδυ πάθος, πῶς οὐκ εἰκαῖος καὶ ἀκαιρὸς ἀναφανεῖταί τισιν ὁ ἐπί γε τῷ χρῆναι πλεονεκτεῖν τρόπος; Σοφὸν οὖν ἐκεῖνο παραινοεῖν, ὅτι, καθὼς φησιν ὁ Παροιμιαστής, « Κρεῖσσον ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. » Εἰδωλολατρείαν δὲ καὶ ὁ Παῦλος τὴν πλεονεξίαν καλεῖ, καὶ μάλα εἰκότως· ἀθεότης γὰρ τὸ χρῆμα λοιπόν, καὶ ἐν ἴσῳ τίθενται τοῖς τὸν Θεὸν οὐκ ἐπεγνωκόσιν οἱ τὸν τῆς εἰς ἀδελφοὺς ἀγάπης νόμον κατοῦντες, « ἣ καὶ τοῦ νόμου τὴν πλήρωσιν ἔχει. » Ὁ δὲ νόμον οὐκ εἰδὼς, ἀρνεῖται τὸν νομοθέτην. Σωφρονεστέρους δὲ ἡμᾶς, καὶ ἀδίκου φιλοχρηματίας πρείττονας καὶ αὐτὸς ὁ Χριστὸς ἐπιτελεῖ, λέγων· « Τί γὰρ ὠφεληθήσεται ἄνθρωπος, » καὶ ἑξῆς. « Θησαυροὶ γὰρ ἀνόμους οὐκ ὠφελήσουσι, » κατὰ τὰ γεγραμμένον· « δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου. »

Ὅτι ἔργων πολλὰς ἀσεβείας ὑμῶν, καὶ ἰσχυρὰ αἱ ἁμαρτίαι ὑμῶν, καταπατοῦντες δίκαιον, λαμβάνοντες ἀλλάγματα, καὶ πένητας ἐν πύλαις ἐκκλίνοντας. Διὰ τοῦτο ὁ συνιὼν ἐν καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι πονηρός ἐστι.

Μθ'. Ὅτι μὴ ἐπὶ σμικροῖς, μήτε μὴν ἐπὶ τοῖς τυχοῦσι τῶν πλημμελημάτων ἀμύνεται Θεὸς τοὺς προσκπηδῶντας, ἀνεξικακήσας δὲ μᾶλλον ἐπὶ μετρίοις πταίσμασι, τῆς ἀχαλίνης εἰς φαυλότητα ῥοπῆς λοιπὸν ἐπάγει τὴν κίνησιν, πειρᾶται διδάσκειν. Ἀποπεπεῖσθαι γὰρ οἴκων τοὺς ἐν Σαμαρείᾳ φησὶ, καὶ μέντοι καὶ ἀμπελῶνος, καὶ παντὸς, οἶμαι, κατευφραίνοντος, καὶ συνέχοντος εἰς εὐημερίαν, ἐπεί τοι δεῖναι, καὶ μεγάλαι, καὶ οὐκ ἔτι φαρηταὶ γεγόνασι παρ' αὐτῶν ἁμαρτίαι. Κατεδυνάστευον γὰρ δίκαιον, ἢ ἄνδρα τυχόντα, ἤγουν βλέποντες εἰς ἀνοσιότητα, ὀλίγα φροντίζειν ἠξίουν ὀρθοῦ καὶ δικαίου κρίματος. Ἔστι δὲ τοῦτο καταδυναστεύειν τρόπον τινὰ, καὶ πλεονεκτεῖν ἀφυλάκτως, τὸ δοκοῦν τῷ νόμῳ. Ἐδέχοντο γὰρ « καὶ ἀλλάγματα, » τουτέστιν, ἀντιδόσεις καὶ ἀνταμοιβὰς τῶν ἀδίκων κριμάτων, καὶ πρός γε τούτοις « ἐξέκλινον πένητας ἐν πύλαις. » Καὶ τί δὴ τοῦτό ἐστιν; Ἢ γὰρ ἐκεῖνό φησι, ὅτι τοὺς τὰ μέτρια φρονεῖν ἀναπείθοντας, καὶ ἐν παῤῥησίᾳ περὶ τούτου συμβουλεύοντας ἐποιοῦντο φευκτικούς· ἤγουν τὰ τῶν πενήτων κρίματα παραπρίνειν ἀπετόλμων οὐ λεληθότως ποθὲν, οὐδὲ οἱονεὶ σοφιζόμενοι τὴν εὐσέβειαν, ἀλλ' οἷον ἐν πύλαις, τουτέστιν, ἀναφανδὸν, καὶ ἐν ὄψει πολλῶν, οὐδὲν ἔτι κατερυθριῶντες ὅλως, οὔτε μὴν αἰδώ τινα τοῦ θείου ποιούμενοι νόμου. Εἰς τοῦτο δὲ ἤδη φαυλότητός τε καὶ πονηρίας κατεβίβασαν τὸν καιρὸν, ὡς καὶ αὐτοῖς ἄμεινον ὁρᾶσθαι τοῖς σοφοῖς, καὶ τοῖς συνιέναι δυναμένοις οἰκονομίαν πραγμάτων, τὸ μήτε ἐλέγχειν ἔτι, μήτε μὴν ἐπανορθοῦν τοὺς

[46] Prov. xvi, 8. [47] Ephes. v, 5. [48] Rom. xiii, 10. [49] Matth. xvi, 26. [50] Prov. x, 2.

Digitized by Google

δυσσεβεῖν ἑλομένους, διὰ τὸ τοῖς οὐκ ἔχουσιν ὠτία προσεοικέναι λοιπὸν τοὺς ἐλεγχομένους, καὶ κυνηδὸν ἐπιθρώσκειν τοῖς ἐθέλουσιν ὠφελεῖν, καὶ ἐν ἐχθρῶν ποιεῖσθαι μοίρᾳ τοὺς τῶν καλλίστων εἰσηγητάς. Ἐπετίμων γὰρ τοῖς ἁγίοις προφήταις, καὶ πραγμάτων αὐτοὺς πειρᾶσθαι παρεσκεύαζον εἰς μέσον ἰόντας ἐπ' ὅτε, καὶ τοὺς ἄνωθεν αὐτοῖς διακομίζοντας λόγους. Καὶ γοῦν Σεδεκίας, ἀπαγγέλλοντα τὰ παρὰ Θεοῦ τὸν προφήτην Ἱερεμίαν, ποτὲ μὲν ἐδέσμει, ποτὲ δὲ καὶ εἰς λάκκον καθεῖλε, καὶ τοῖς ἐν αὐτῷ τέλμασιν ἀποπνίγειν ἤθελεν. Οὐκοῦν ἐπὶ μικροῖς ἔτι πταίσμασι μετανοεῖν ἀναγκαῖον, καὶ μὴ ταῖς τῶν μειζόνων ἐπαγωγαῖς μονονουχὶ καὶ ἄκοντα παροτρύνειν Θεόν· εἰ γὰρ ἰσχυραὶ γένοιντο καὶ πολλαὶ λίαν αἱ ἁμαρτίαι, τότε δὴ πάντως ἀνταποδώσει, καὶ τὰς τῆς ἀγανακτήσεως ἐποίσει φλόγας. Ἰσχυρὰς δὲ εἶναί φαμεν τὰς ἁμαρτίας, τὰς δεινάς τε καὶ ἀφορήτους, ὅτι μὴ πᾶσα ἁμαρτία πρὸς θάνατον, κατά γε τὴν σοφωτάτην τοῦ Ἰωάννου φωνήν.

A prodesse ipsis vellent; et pro inimicis ducerent optimorum consiliorum auctores. Convicia enim jactabant in sanctos prophetas, et in medium aliquando prodeuntes, cœlestesque illis sermones apportantes, injuriosius tractabant. Sedecias igitur a Deo sibi præcepta nuntiantem Jeremiam nunc vinciebat, nunc in lacum **304** mittebat, luto ibi demersum exstinguere volens [51]. Itaque super parvis etiam delictis velimus nolimus agenda pœnitentia, ne majoribus consciscendis Deum quasi invitum ac relactantem irritemus. Si enim fortia, multaque valde peccata fuerint, tum plane pretium nobis persolvet, et indignationis flammam inferet. Fortia autem peccata censemus esse grandia et intolerabilia : non enim omne peccatum est ad mortem, juxta sapientissimam Joannis vocem [52].

B

ΤΟΜΟΣ ΤΡΙΤΟΣ.

Ἐκζητήσατε τὸ καλὸν, καὶ μὴ τὸ πονηρὸν, ὅπως ζήσητε, καὶ ἔσται οὕτως μεθ' ὑμῶν Κύριος. Οὕτως εἶπεν Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὃν τρόπον εἴπατε· Μεμισήκαμεν τὰ πονηρὰ, καὶ ἠγαπήσαμεν τὰ καλὰ, καὶ ἀποκαταστήσεται ἐν πύλαις κρῖμα, ὅπως ἐλεήσῃ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ τοὺς περιλοίπους Ἰωσήφ.

Ν'. Ἔφην ἤδη πλειστάκις, ὡς οὐ μία γέγονεν αἰχμαλωσία, διάφοροι δὲ, καὶ κατὰ καιροὺς, καὶ ἀνὰ μέρος. Φοῦλα μὲν γὰρ ὁ Ἀσσύριος ἐλθὼν, ἐν τῇ Σαμαρείᾳ, τὰς δύο φυλὰς, τὰς πέραν τοῦ Ἰορδάνου, καὶ τὰς ἐκεῖσε πόλεις ἀνασπάσας ᾔχετο. Μετὰ τοῦτον ὁ Σαλμανασὰρ οὐ πᾶσαν ἐλὼν τὴν Σαμάρειαν, ἀλλά τι μέρος, εἰς τὴν ἑαυτοῦ σὺν τοῖς ἁλοῦσιν ἀνεκομίζετο. Ἐποίει δὲ τοῦτο Θεὸς οἰκονομικῶς, πόνῳ καὶ μάστιγι παιδεύων ἐκκεκλικότα τὸν Ἰσραὴλ, καὶ μετατιθεὶς ἐπί γε τὸ δεῖν τὰ ἄμεινον καὶ προπωδέστατα φρονεῖν τε καὶ δρᾷν. Συμβέβηκε τοίνυν τοὺς ἐκ τῶν ἀρτίως ἡμῖν εἰρημένων πολέμων διαφυγεῖν ἰσχύσαντας, γνωσιμαχοῦντας ἤδη πως, ἐφ' οἷς ἠπάτηνται μετανοεῖν, εἰδέναι τε καὶ ὁμολογεῖν, ὅτι πολλὰ καὶ δύσοιστα πεπλημμεληκόσιν ἐπενήνεκται λοιπὸν τὰ ἐκ θείας ὀργῆς, εἶτα τῶν ἰδίων ἐθῶν μονονουχὶ κατεπαγγέλλεσθαι Θεῷ τὴν ἐπανόρθωσιν, λέγοντας· « Μεμισήκαμεν τὰ πονηρὰ, καὶ ἠγαπήσαμεν τὰ καλά. » Οὐκοῦν ὃν τρόπον εἰρήκατε, φησὶ, « Ζητήσατε τὸ καλὸν, καὶ μὴ τὸ πονηρὸν, » ἵνα καὶ τὸ εὖ εἶναι κερδάνητε ζῶντές τε καὶ σωζόμενοι, καὶ μεθ' ὑμῶν γένοιτο Κύριος ὁ Θεὸς, ὁ πάντων ἔχων τὴν ἐξουσίαν. « Ἀποκαταστήσατε καὶ ἐν πύλαις κρῖμα· » τουτέστιν, ὀρθοὶ γένεσθε κριταί· μὴ ψῆφον ἄδικον καταγράφοντες τῶν ἀσθενεστέρων· μὴ τὴν τοῦ δικαίου παρασημαίνοντες δύναμιν· μήτε μὴν κονδυλίζοντες εἰς κεφαλὰς πτωχῶν· μήτε ὁδὸν ταπεινῶν ἐκκλίνοντες, ἵνα λοιπὸν κατελεήσῃ Θεὸς τοὺς ἐκ τῶν ἤδη συμβεβηκυιῶν αἰχμαλωσιῶν περιλειφθέντας ἐξ Ἰωσήφ. Σημαίνει δὲ πάλιν τὸν Ἐφραΐμ, ἤτοι τὰς δέκα

C

D

TOMUS TERTIUS.

Vers. 14, 15. *Quærite bonum, et non malum, ut vivatis, et erit sic vobiscum Dominus. Sic dixit Dominus omnipotens, sicut dixistis. Odio habuimus mala, et dilexiimus bona, et restituetur in portis judicium, ut misereatur Dominus Deus omnipotens reliquiarum Joseph.*

L. Dixi jam sæpius, non unam fuisse captivitatem, sed diversas diversis temporibus, et separatas. Phul siquidem Assyrius ut venit in Samaria, duas tribus trans Jordanem, urbibus ejus eversis, abduxit [53]. Post hunc Salmanasar non totam Samariam, sed partem quamdam subegit, et cum captivis in regnum suum se recepit [54]. Quam rem prudenter administravit Deus, vexatione et flagellis erudiens Israelem, qui declinaverat, et omnino ad rectius cogitandum faciendumque traducens. Contigit igitur ut qui e bellis, de quibus jam diximus, fugere potuerunt, cognita imbecillitate sua, erroris sui pœnitentia ducerentur, agnoscerentque et confiterentur, multa et non ferenda cum peccassent, tum demum Deum iratum pœnas ab ipsis repoposcisse; deinde morum suorum emendationem Deo quodammodo sponderent, dicentes: « Odio habuimus mala, et dilexiimus bona. » Igitur, quemadmodum, inquit, dixistis : « Quærite bonum et non malum, » ut et bene esse consequamini, viventes incolumes, et vobiscum sit Deus, penes quem est potestas omnium. « Et constituite in portis judicium, » hoc est, sinceri estote judices, ne sententiam iniquam contra imbecilliores feratis, ne vim justitiæ adulteretis, neque pugnos in capita pauperum ingeratis, neque viam, seu occursum humilium declinetis, ut deinceps Deus misereatur eorum qui de Joseph ex captivitatibus prioribus remanserunt. **305** Significat rursus Ephraim, sive decem tribus. Ephraim quippe ex Joseph procreatus fuit, eatenus etiam

[51] Jerem. xxxvii, 3 seqq. [52] I Joan. v, 16. [53] IV Reg. xv, 19. [54] IV Reg. xviii, 9.

Digitized by Google

patris nomine indicatur. Sapere igitur oportet, et animos nostros dirigere, ut cogantur Deo grata sentire, et virtutis officia præstare, et mores justitiæ capessere, et quæ laudabilia sunt, ea procurare sapienter. Sic enim nobiscum versantem, et protegentem nos Deum universorum habebimus.

A φυλάς. Ἐπειδὴ γὰρ γέγονεν ἐξ Ἰωσὴφ ὁ Ἐφραΐμ, ταύτητοι καὶ τῷ τοῦ πατρὸς ὀνόματι σημαίνεται. Δεῖ δὴ οὖν ἄρα φρονεῖν ὀρθὰ, καὶ τὰς ἰδίας ἡμῶν ἀπορθοῦν διανοίας εἴς γε τὸ χρῆναι τὰ Θεῷ θυμήρη φρονεῖν, καὶ κατορθοῦν ἀρετὴν, καὶ τῶν τῆς δικαιοσύνης ἀντέχεσθαι τρόπων, καὶ ὀρθότητος εἶναι σοφοὺς ἐπιμελητάς. Ἔξομεν γὰρ οὕτω συνόντα τε καὶ προασπίζοντα τὸν τῶν ὅλων Θεόν.

Vers. 16. *Propterea hæc dicit Dominus Deus omnipotens: In omnibus plateis planctus, et in omnibus viis dicetur Væ, væ. Vocabitur agricola in luctum, et in planctum, et ad scientes lamentum. Et in omnibus viis planctus, quia veniam per medium tui, dixit Dominus.*

Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ· Ἐν πάσαις ταῖς πλατείαις κοπετὸς, καὶ ἐν πάσαις ταῖς ὁδοῖς ῥηθήσεται· Οὐαὶ, οὐαί. Κληθήσεται γεωργὸς εἰς πένθος, καὶ κοπετὸν, καὶ εἰς εἰδότας θρῆνον. Καὶ ἐν πάσαις ὁδοῖς κοπετὸς, διότι ἐλεύσομαι διὰ μέσου σου, εἶπε Κύριος.

Li. Degustatis jam belli malis, et casibus præteritis non mediocriter afflictati, promisistis vos osuros malum, et amaturos bonum: sed brevi, et vixdum terroribus illis expediti, ad socordiam deflexistis, et revoluti ad vetera peccata nihilominus visi estis. Idcirco jam lamentis et gemitibus plenæ erunt civitates et vici, et ubique lacrymæ, et quærentur qui scient lamentari; et vobis urbanis non sufficientibus, etiam agricola assumetur, ut quamvis agreste et rusticum melos vobis accinatur, et indigenarum humeris calamitates occisorum lugeantur. « Transibo enim per medium tui, » inquit, intuens peccata tua, et non procul absens ab iis qui impietates minime ferendas commiserunt. Quandiu enim verbis tantum castigat Deus, videtur quodammodo non adesse. Cum autem iratus sceleratos ulciscitur, quasi præsens adest, et pœnas infligit. Sic et Sodomam venerunt angeli [55], ignibus incensuri scelestos, velut absentes, dum non punirent. Itaque « Transibo per medium tui, » significat inspectionem, et tempus quo punire oporteat, advenisse.

NA'. Ἀπογευσάμενοι, φησὶ, τῶν ἐκ τοῦ πολέμου κακῶν, καὶ τοῖς ἤδη συμβεβηκόσιν οὐ μετρίως ἐπηλγηκότες, ἐπηγγέλ[λ]εσθε μισεῖν τὰ πονηρὰ, καὶ ἀγαπᾷν τὸ καλόν· ἀλλὰ βραχὺ καὶ μόλις τῶν ἐκεῖθεν δεινμάτων ἀπηλλαγμένοι, πρὸς τὸ ῥᾴθυμον ἐκλίνατε, καὶ οὐδὲν ἧττον ἀπηρτημένοι τῶν ἀρχαίων ἐφαίνεσθε κακῶν. Ταύτητοι λοιπὸν θρήνου καὶ οἰμωγῆς ἀνάμεστοι μὲν αἱ πόλεις, κῶμαί τε, καὶ δάκρυον πανταχοῦ, καὶ ζήτησις ἔσται τῶν εἰδότων κατολοφύρεσθαι· καὶ οὐκ ἀρκούντων ὑμῖν εἰς τοῦτο τῶν ἀστικῶν, παραληφθήσεται καὶ γεωργὸς, ὥστε κἂν ἀγροϊκον ὑμῖν ἐπηχῆσαι μέλος, καὶ τοῖς ἐπιχωρίοις ῥυθμοῖς τὰς τῶν πεπτωκότων ὀδύρεσθαι συμφοράς. « Διελεύσομαι γὰρ διὰ μέσου σου, » φησὶ, ἐφορῶν ἤδη πως τὰς ἁμαρτίας, καὶ οὐ πόρρω καθεστηκὼς ἔτι τῶν ἀφόρητα δεδυσσεβηκότων. Ἕως μὲν γὰρ οὕτω παιδεύει Θεὸς, δοκεῖ πως οὐδὲ ἐφεστάναι· τὰ δὲ ἐξ ὀργῆς ἐπάγων, μονονουχὶ καὶ πάρεστιν, καὶ ἐπιβρίπτει τὰς δίκας. Οὕτω καὶ Σοδόμοις ἐπεφοίτησαν ἄγγελοι, κατεμπρήσοντες τοὺς ἠσεβηκότας, ὡς ἐν τῷ μὴ κολάζειν ἀφεστηκότες. Οὐκοῦν τὸ, « Διελεύσομαι διὰ μέσου σου, » σημαίνει τὴν ἐπίσκεψιν, καὶ τὸν τοῦ κολάζεσθαι δεῖν ἐφεστηκότα καιρόν.

B

C

Vers. 18-20. *Væ, qui desideratis diem Domini. Utquid ipsa vobis dies Domini? et hæc est tenebræ, et non lux. Quemadmodum si quis fugiat a facie leonis, et occurrat ei ursus, et insiliat in domum, et confirmet manus suas super murum, et mordeat eum serpens. Nonne tenebræ dies Domini, et non lux, et caligo, non habens splendorem hæc?*

Οὐαὶ, οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. Ἵνα τί αὐτὴ ὑμῖν ἡ ἡμέρα τοῦ Κυρίου; καὶ αὕτη ἐστὶν σκότος, καὶ οὐ φῶς. Ὃν τρόπον ἐάν τις φύγῃ ἀπὸ προσώπου λέοντος, καὶ ἐμπέσῃ αὐτῷ ἄρκτος, καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον, καὶ ἀπερείσηται τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον, καὶ δάκῃ αὐτὸν ὄφις. Οὐχὶ σκότος ἡ ἡμέρα τοῦ Κυρίου, καὶ οὐ φῶς, καὶ γνόφος, οὐκ ἔχων φέγγος αὐτῇ;

D

306 Lii. Sanctis prophetis futura eis vaticinantibus, nempe in acerbas, et immedicabiles calamitates delapsuros, ipsi qui impotenter ad erroris opera ferebantur, irridentes, et elati, aliquando quidem aiebant, prophetas ea cantare, quæ longo post tempore eventura forent, si evenirent [56]: aliquando vero penitus desperantes, audebant dicere, juxta vocem Jeremiæ, « Ubi est sermo Domini? veniat [57]. » Arbitrabantur enim, aut mentiri prophetas, et inanibus terriculamentis eos implere: aut saltem, etiamsi bello alicunde peterentur, superiores se hostibus futuros, durum et invictum robur, alacritatemque ipsis opponentes. Verum est

NB'. Τῶν ἁγίων προφητῶν προαγορευόντων αὐτοῖς τὰ ἐσόμενα, καὶ ὅτι πικραῖς καὶ ἀνιάτοις περιπεσοῦνται συμφοραῖς, διανενευκότες ἀσχέτως ἐπὶ τὰ τῆς πλανήσεως ἔργα, διαγελῶντες καὶ ὑπτιούμενοι, ποτὲ μὲν ἔφασκον, εἰς ὑπερθέσεις καὶ χρόνους δραμεῖσθαι τοὺς προφήτας· ποτὲ δὲ καὶ ὁλοτρόπως ἀπεγνωκότες, ἀπετόλμων λέγειν, κατά γε τὴν Ἱερεμίου φωνήν· « Ποῦ ποτέ ἐστιν ὁ λόγος Κυρίου; ἐλθέτω. » Ἤοντο γὰρ, ὡς ἢ ψευδοεποῦστιν οἱ προφῆται, καὶ δειμάτων αὐτοὺς ἀναπιμπλῶσι κενῶν· ἤγουν εἰ καί τις κατ' αὐτῶν ἔοι πόλεμος, ἀμείνους ἔσονται τῆς ἐκείνων χειρὸς, σκληρὰν καὶ δυσάντητον ἀντανιστῶντες αὐτοῖς ἀλκήν τε καὶ προ-

[55] Gen. xix, 1. [56] Ezech. xii, 22, 23. [57] Jerem. xvii, 15.

Digitized by Google

θυμίαν. Ἀληθὲς γάρ, ὅτι « Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ. » Ἀλλ' οἱ τοιοῖδε τὴν ἕξιν, καθάπερ τὰ τῶν τραυμάτων ἀπεγνωσμένα, μονονουχὶ κεκράγασιν, ὅτι πυρὸς δέονται καὶ τομῆς, καὶ τῶν τοιούτων εἰσὶν ἐν ἐπιθυμίᾳ. Διψῶσι γὰρ τρόπον τινὰ τὸ χρῆναι κολάζεσθαι, καὶ εἰ μὴ τοιῷδε λοιπὸν κέχρηνται φωνῇ. Οὐαὶ τοίνυν, φησὶν, τοῖς οὐδὲν ἕτερον ἐπιθυμοῦσί τε καὶ ἐκδεχομένοις, ἢ τὴν τῆς κολάσεως ἡμέραν, ἣν Κυρίου φησὶ· ἐπάγεται γὰρ παρὰ Θεοῦ. Ἵνα τί τοίνυν αὐτὴ, φησὶ, ὑμῖν σκότος οὖσα, καὶ οὐ φῶς; διά τοι τὸ πλείσταις ὅσαις ἀναπεπλῆσθαι συμφοραῖς. Θὺ γὰρ ἂν γένοιτο διεκδῦναί τισιν, οὐδ' ἂν ἔξω τις ἴοι τοῦ κακοῦ· ἀλλ' ὁ τοῦτο φυγὼν, ὑπ' ἐκείνου ληφθήσεται, καὶ τοῖς τὸ πρῶτον ἐκνενευκόσι, συναντήσει τὸ δεύτερον. Τοῦτο γάρ ἐστι τὸ διαφυγεῖν μὲν ἐκ στόματος λέοντος, ἐμπεσεῖν δὲ εἰς ἄρκτον. Ἀλλὰ κἂν εἴ τις οἷοιτο, φησὶ, ἐν ἀσφαλεῖ γενέσθαι τυχὸν, εἰσελάσαι τε εἰς τὴν οἰκίαν, ἐκεῖ θανάτῳ παραπεσεῖται, τοῖς ὄφεως δήγμασιν ἀδοκήτως ὑπενηνεγμένος. Θεοῦ γάρ τινα συνελαύνοντος εἰς ἔλεθρόν τε καὶ πόνους, τίς ὁ διασώσων; τίς ἐπικουρήσει, καὶ ἀπαλλάξει τῆς δίκης; ἢ ποῖος ἔσται τρόπος, ὃν εἰ διελάσειέ τις, ἔξω γένοιτο τῶν κακῶν; Οὐδεὶς παντελῶς. « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » καὶ, « Ἐὰν κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει; » κατὰ τὸ γεγραμμένον.

Μεμίσηκα, ἀπῶσμαι ἑορτὰς ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν. Διότι ἐὰν ἀνενέγκητέ μοι ὁλοκαυτώματα καὶ θυσίαν ὑμῶν, οὐ προσδέξομαι, καὶ σωτηρίου ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι.

ΝΓ'. Ἁρμόσοι ἂν ὁ λόγος τοῖς ἐξ Ἰούδα μάλιστα καὶ Βενιαμίν. Αἱ μὲν γὰρ ἐν Σαμαρείᾳ φυλαὶ, ταῖς τῶν εἰδώλων λατρείαις ὁλοτρόπως προσκείμεναι, ῥᾳθυμοί τε σφόδρα καὶ πολὺ κατημεληκότες τῶν διὰ Μωσέως ἠλίσκοντο νόμων. Οἱ δὲ ἐν Ἱεροσολύμοις, ἔθυον μὲν ἐν τοῖς ὑψηλοῖς τῷ Βάαλ, καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ προσῆγον σπονδὰς, ὑπεπλάττοντο δὲ πρὸς τούτῳ καὶ τῆς εἰς νόμον αἰδοῦς ποιεῖσθαι φροντίδας, καὶ ἀποπληροῦν ἐπείγεσθαι καὶ θυσίας, καὶ ἑορτάς. Ἀλλ' ὅτι ταῦτα μεμίσηκεν ὁ τῶν ὅλων Δημιουργὸς, καὶ διὰ φωνῆς Ἡσαΐου φανερὸν ἐποιεῖτο, λέγων· « Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; » καὶ τὰ ἑξῆς. Ταύτης ἠρτῆσθαι τῆς διανοίας τὰ προκείμενά φαμεν. Μεμίσηκα γὰρ, φησὶ, καὶ ἀπωσάμην τὰς ἑορτὰς ὑμῶν, καὶ οὐκ ἂν ἐπαινέσαιμι τὰς θυσίας, οὐδ' ἂν ὀσμὴν εὐωδίας καταλογισαίμην πώποτε « τὰ ὁλοκαυτώματα καὶ τὰς ὑπὲρ τοῦ σωτηρίου προσαγωγάς. » Εἴδη δὲ ταῦτα θυσιῶν διεσταλμένα κατὰ καιροὺς, καὶ ὡς ἐν ἰδίοις τρόποις. Ἕτερον γάρ τι τὸ ὁλοκαύτωμα, καὶ ἕτερον ἡ θυσία, καὶ ἡ τοῦ σωτηρίου ἐπιφάνεια, τουτέστι, τὸ εἰς ὄψιν ἰέναι Θεοῦ, καὶ τὰς ὑπὲρ σωτηρίου προσκομίζειν θυσίας. Ἀλλ' Ἰουδαίοις μὲν πλείστην ὅσην ἐπιτηδεύουσι τὴν ἀσέβειαν πρέποι ἂν εἰκότως ἅπερ ἔφαμεν ἀρτίως.

Ἀποδέχεται δὲ, καὶ μάλ' ἀσμένως, καὶ προσίεται Θεὸς τὰς τῶν ἐν πίστει θυσίας, ὁλοκαύτωμα τὸ πνευ-

enim illud, « Impius cum in profundum venerit, contemnit[60]. » Sed qui tali sunt habitu, velut desperata vulnera, tantum non clamant, igne et sectione se indigere, et ista desiderant. Aliquo enim modo punitionem necessariam sitiunt, etiamsi id voce non testificentur. Væ igitur, inquit, nihil aliud cupientibus, et exspectantibus, quam supplicii diem, quam diem Domini appellat, a Deo enim inducitur. Utquid igitur ipsa, inquit, quæ vobis tenebræ est, non lux? Quia nimirum longe plurimis calamitatibus opplebimini. Non enim licebit cuiquam effugere; nec quisquam elabetur malo, sed qui hoc evaserit, ab illo comprehendetur, et qui prius declinaverit, ei alterum occurret. Hoc enim est, ex ore leonis effugere, et in ursum incidere. Quin etiam, inquit, si quis forte securum se esse duxerit, domum ingressus, illic in pestem incidet, improviso morsibus serpentis appetitus. Deo enim quempiam in exitium et ærumnas impellente, quis salvabit? quis succurret, et a pœna liberabit? aut quis erit modus quo quis decurso, immunis sit a malis? Nullus prorsus. « Manum enim supremam quis avertet[61]? » Et, « si clauserit contra hominem, quis aperiet? » ut scriptum est[62].

Vers. 21, 22. *Odi, projeci festivitates vestras, et non odorabor in conventibus vestris. Quia si obtuleritis mihi holocausta, et sacrificium vestrum, non suscipiam, et salutare apparitionis vestræ non respiciam.*

LIII. Verba hæc in Judam et Benjamin præsertim quadraverint. Tribus enim in Samaria idolorum cultui omnimodis addictæ, et socordissimæ **307** et Mosis legum mire negligentes deprehendebantur. Hierosolymitani vero immolabant quidem Baal in excelsis, et militiæ cœli offerebant libamina; nihilominus se etiam legis reverentiam cordi habere, et contendere sacrificia offerre, et festos dies agere simulabant. Verum Opifex omnium se hæc odisse etiam voce Isaiæ testatur, nempe hac: « Quo mihi multitudinem sacrificiorum vestrorum[63]? » et quæ sequuntur. Verba proposita hunc habere sensum existimamus. Odi enim, ait, et abjeci festivitates vestras, nec approbaverim sacrificia, neque odorem suavitatis reputaverim unquam « holocautomata, et oblationes pro salutari. » Species hæ sunt sacrificiorum, distinctæ temporibus et moribus. Aliud siquidem est holocaustum, aliud sacrificium, et salutaris apparitio, hoc est, in conspectum Dei prodire, et pro salutari offerre sacrificia. Sed Judæis longe maxime impietatem consectantibus, merito conveniant quæ modo diximus.

Suscipit autem libentissime, et admittit sacrificia in fide, holocaustum spirituale, in festis diebus

[60] Prov. xviii, 3. [61] Isa. xiv, 27. [62] Isa. xxii, 22. [63] Isa. i, 11.

Digitized by Google

apparitiones. Odorem enim spargimus non ipsis nobis, sed ei qui in nobis est per Spiritum, Christo, inquam. Item non suscipi sacrificia rectissime etiam convenit nefandis hæreticis, et quibus non licet, ut in fide sinceris, dicere, « Christi bonus odor sumus Deo [42]. » Odor enim ipsorum est in Beelzebub, siquidem verum est quod « nemo dicit anathema Jesu, nisi in Beelzebub [43]. » Blasphemantes autem audacter miseri, et adversus Unigeniti gloriam mentientes, non fragrantia spirituali, sed verius cœno ebriam gestant mentem.

VERS. 23, 24. *Aufer a me sonitum carminum tuorum, et psalmum organorum tuorum non audiam. Et volvetur quasi aqua judicium, et justitia quasi torrens invius.*

LIV. Cum festis, et inutilibus sacrificiis laudes ex instrumentis musicis repudiat, nolens a rebus inanimatis gloriam suam celebrari Deus, et tam splendidam gloriam cum iis potius communicatam velit, qui ex pura virtute vocem emittunt. Talis enim glorificatio bona est, et Deo placet. Perbene autem nescio unde inventas Judæorum glorificationes, organicas scilicet, « sonitum carminum » vocat, veluti supervacaneum, **308** et inanem sonitum, inarticulatum quoddam et ineptum melos emittentem. Etiam porro hæc fuisse Judaicæ temeritatis inventa, ostendit, dicens, « psalmum organorum tuorum. » Tantum enim non dicit, « non meum, » res quippe extra legem est, et de istiusmodi instrumentis Moses nihil præcepit. Quare non demulcebitur, neque ob organicorum sonorum suavitatem crimina depellet : « Sed tanquam aqua volvetur judicium meum, » et a me profecta justitia, hoc est, contra vos justa de cætero sententia quasi torrens erit contra vos, secum abstrahens videlicet quæ inciderint, et parcens nemini. De montibus enim cum impetu descendunt torrentes. Eodem modo divina sententia, si adversus quosdam venerit, aqua inexpugnabilis, et torrens cui resisti non potest, erit, et aliud nihil. Ubique igitur utile et necessarium videtur pœnitentiam agere, et conversione ad meliora divinam iram amoliri, non omnino imbecillem, et quam nemo intelligat, Deo vocem emittendo, sed ex bona virtute vere sapiens, et concinnum sonando melos. « Sacrifica enim, inquit, sacrificium laudis [44], » et quæ sequuntur.

VERS. 25-27. *Numquid hostias et sacrificia quadraginta annis obtulistis mihi, domus Israel, in deserto? Et portastis tabernaculum Moloch, et sidus Dei vestri Raphan, figuras eorum quæ fecistis vobismet. Et migrare faciam vos ultra Damascum, dicit Dominus Deus, Omnipotens nomen illi.*

ματικὸν, τὰς ἐν ἑορταῖς ἐπιφανείας. Εὐωδιάζομεν γὰρ οὐχ ἑαυτοὺς, ἀλλὰ τὸν ἐν ἡμῖν διὰ τοῦ πνεύματος, φημὶ δὴ Χριστόν. Πρέποι δ' ἂν, καὶ μάλα εἰκότως, τὸ ἀπαράδεκτον εἰς θυσίας, καὶ τοῖς ἀνοσίοις αἱρετικοῖς, καὶ οἷς οὐκ ἔστιν εἰπεῖν, κατά γε τοὺς ἐν πίστει γνησίους, ὅτι « Χριστοῦ εὐωδία ἐσμὲν τῷ Θεῷ. » Ὀσμὴ γὰρ αὐτοῖς ἐν Βεελζεβοὺλ, εἴπερ ἐστὶν ἀληθὲς, ὅτι « Οὐδεὶς λέγει ἀνάθεμα Ἰησοῦν, εἰ μὴ ἐν Βεελζεβούλ. » Δυσφημοῦντες δὲ ἀφυλάκτως οἱ τάλανες, καὶ τῆς τοῦ Μονογενοῦς καταψευδόμενοι δόξης, οὐκ εὐοσμίᾳ πνευματικῇ, βορβόρῳ δὲ μᾶλλον καταμεθύοντα φοροῦσι τὸν νοῦν.

Μετάστησον ἀπ' ἐμοῦ ἦχον ᾠδῶν σου, καὶ ψαλμὸν ὀργάνων σου οὐκ ἀκούσομαι. Καὶ κυλισθήσεται ὡς ὕδωρ κρῖμα, καὶ δικαιοσύνη ὡς χειμάρρους ἄβατος.

ΝΔ'. Ἐκπέμπει ταῖς ἑορταῖς ὁμοῦ καὶ ταῖς ἀνοήτοις θυσίαις τὰς ὀργανικὰς εὐφημίας, οὐκ ἀψύχοις ὕλαις τὸ χρῆναι δοξολογεῖν ἀπονέμων Θεὸς, μετατιθεὶς δὲ μᾶλλον τῆς οὕτω λαμπρᾶς εὐκλείας τὴν μέθεξιν τοῖς ἐκ καθαρᾶς δυνάμεως ἀνιεῖσι φωνήν. Δοξολογία γὰρ ἡ τοιάδε καλὴ, καὶ ἀνδάνουσα τῷ Θεῷ. Εὖ δὲ δὴ σφόδρα τὰς, οὐκ οἶδ' ὅθεν, ἐξευρημένας τῶν Ἰουδαίων δοξολογίας, ὀργανικὰς δηλονότι, « ἦχον ᾠδῶν » ἀποκαλεῖ, τὴν οἱονεἰπως περιττήν τινα καὶ εἰκαίαν ἠχὴν, ἄσημόν τι καὶ ἀδρανὲς ἱεῖσαν μέλος. Ὅτι δὲ καὶ ταῦτα γεγόνασιν Ἰουδαϊκῆς ἀδουλίας εὑρήματα, δέδειχεν, εἰπών· « Ψαλμὸν ὀργάνων σου. » Μονονουχὶ γάρ φησιν, « οὐκ ἐμόν· » ἔξω γὰρ νόμου τὸ χρῆμα, καὶ περὶ τούτων οὐδὲν λελάληκεν ὁ Μωσῆς. Οὐκοῦν οὐ παρακληθήσεται, οὐδὲ ταῖς δι' ὀργάνων εὐηχίαις ἀποκρούσει τὰ ἐγκλήματα· « Ἀλλ' ὡς ὕδωρ κυλισθήσεταί μου τὸ κρῖμα, » καὶ ἡ παρ' ἐμοῦ γενομένη δικαιοσύνη, τουτέστιν, ἡ καθ' ὑμῶν δικαία λοιπὸν ἀπόφασις, ὡς χειμάρρους ἄβατος ἔσται, κατασύρων δηλονότι τὰ παρεμπίπτοντα, καὶ φειδόμενος οὐδενός. Καταῤῥήγνυνται γὰρ τῶν ὀρῶν ῥαγδαίως οἱ χείμαῤῥοι. Οὕτω καὶ ἡ θεία ψῆφος, εἰ δή γένοιτο κατά τινων, ὕδωρ ἄμαχον καὶ χειμάῤῥους ἀνταγώνιστος ἔσται, καὶ ἕτερον οὐδὲν, πανταχοῦ. Τοιγαροῦν χρήσιμόν τε καὶ ἀναγκαῖον τὸ μετανοεῖν φαίνεται, καὶ ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς ἀποκρούεσθαι τὴν ὀργὴν, οὐκ ἄχρηστον παντελῶς καὶ ἀτρανῆ (1) φωνὴν ἱέντας Θεῷ, ἀλλ' ἐξ ἀγαθῆς δυνάμεως σοφὸν ἀληθῶς καὶ εὔρυθμον ἀνηχοῦντας μέλος. « Θῦσον γὰρ, φησὶ, θυσίαν αἰνέσεως, » καὶ τὰ ἑξῆς.

Μὴ σφάγια καὶ θυσίας τεσσαράκοντα ἔτη προσηνέγκατέ μοι, οἶκος Ἰσραὴλ, ἐν τῇ ἐρήμῳ; Καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥαιφὰν, τοὺς τύπους αὐτῶν, οὓς ἐποιήσατε ἑαυτοῖς. Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, λέγει Κύριος ὁ Θεὸς, Παντοκράτωρ ὄνομα αὐτῷ.

[42] II Cor. II, 15. [43] I Cor. XII, 3. [44] Psal. XLIX, 14.

(1) « Me tacente totus contextus clamat scribendum esse ἀδρανῆ, *imbecillem.* » COTELERIUS, *Monum. Eccl. Gr.*, II, 588.

Digitized by Google

ΝΕ'. Διὰ τῶν ἀρτίως ἡρμηνευμένων, Θεὸς ἦν ὁ λέγων πρὸς τοὺς ἐξ αἵματος Ἰσραήλ· « Μεμίσηκα τὰς ἑορτὰς ὑμῶν. » Ἵνα γὰρ φαίνηται σεσωκὼς αὐτὸς ἐξ ἰδίας ἡμερότητος τὸν Ἰσραὴλ, καὶ τῇ τῶν πατέρων μνήμῃ δεδωκὼς τοῖς ἐπὶ τέκνοις ἔλεον, καὶ οὐ θυσιῶν ἀντέκτισιν καὶ οἱονείπως ἀντιμισθίαν τὸ χρῆμα ποιούμενος, φησὶν ἀναγκαίως ὡς ἔτη μὲν διατετελέκασιν οὐκ ὀλίγα κατὰ τὴν ἔρημον. Καὶ τροφὴ μὲν ἦν τὸ μάννα αὐτοῖς, ἐβάδιζον δὲ νεφέλης αὐτοὺς ἐπισκιαζούσης ἡμέρας, καὶ στύλου πυρὸς τὴν νύκτα. Καὶ ἡγεῖτο μὲν ἡ κιβωτὸς εἰς τύπον Θεοῦ, προβαδίζουσα, καὶ κατασκεπτομένη τόπον αὐτῇ καὶ ἀνάπαυσιν. Ἐν ἐνδείᾳ δὲ καθεστήκασι τῶν ἀναγκαίων οὐδενὸς, ὑδάτων αὐτοῖς ἀδοκήτων ἐκρηγνυμένων, πιπτόντων ἐχθρῶν. Καὶ τούτων ἁπάντων γινομένων, τοὺς μὲν περὶ τῶν θυσιῶν ἐδέχοντο νόμους, ἦκουον δὲ πανταχοῦ καὶ ἐφ' ἑκάστῳ τυχὸν τῶν τεθεσπισμένων· « Ἐὰν δὲ εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσι σου δοῦναί σοι, ποιήσεις τοῦτο κἀκεῖνο, προσοίσεις δὲ θυσίας. » Οὐκοῦν ἐν χρόνῳ τεσσαράκοντα ἐτῶν, καθ' ὃν ἦσαν ἐν τῇ ἐρήμῳ, προσῆγον μὲν θυσίας ἑκόντες, ἐζήτει δὲ οὐδεὶς ἀναγκαίως· ἀλλ' ἦν εἰς ἀνάβλησιν τὸ χρῆμα αὐτοῖς, ἄχρις ἂν εἰσελάσειαν εἰς τὴν γῆν, τὴν τοῖς πατράσιν ἐπηγγελμένην. Ταύτῃτοί φησι· « Μὴ σφαγὰς καὶ θυσίας προσηνέγκατέ μοι τεσσαράκοντα ἔτη, οἶκος Ἰσραήλ; λέγει Κύριος. » Ἀλλ' ἐσώζοντο μὲν καὶ θυσιῶν δίχα, καὶ ᾗ φησι δι' ἑτέρου προφήτου πάλιν· « Οὐκ ἐκτήσω μοι ἀργυρίου θυμίαμα, οὐκ ἐμοὶ πρόβατα τῆς ὁλοκαρπώσεώς σου, οὐδὲ ἔγκοπον ἐποιήσατε ἐν Λιβάνῳ. » Αὐτοὶ δὲ δὴ πάλιν ἀπροφάσιστον ἔχοντες τὴν ἀπόστασιν, ἀλλοπρόσαλλοί τε ἦσαν τὰ τοιαῦτα, καὶ Θεὸν ἀτιμάζοντες τὸν φύσει καὶ ἀληθῶς, ἀνελάμβανον τὴν σκηνὴν τοῦ Μολόχ. « Καὶ τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν Ῥαιφάν. » Καὶ τί δὴ τοῦτό ἐστι, περιαθρεῖν ἀναγκαῖον. Οὐκοῦν ὁ μὲν Μωσῆς ἀναπεφοίτηκεν εἰς τὸ ὄρος, τὸν νόμον ὑποδεξόμενος· οἱ γε μὴν ἐξ αἵματος Ἰσραὴλ κατεξανέστησαν τοῦ Ἀαρὼν, λέγοντες· « Ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωσῆς οὗτος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ. » Μεμοσχοποιήκασι τοίνυν κατὰ τὴν ἔρημον. Καὶ τὸ μὲν ἐμφανὲς καὶ οἱονείπως ἁπάντων εἴδωλον, ὁ μόσχος ἦν. Πολλὰ δὲ παρ' ἑκάστου καὶ ἕτερα διεπλάττοντο. Τραπέντες γὰρ ἅπαξ ἐπὶ τὴν ἀρχαίαν πλάνησιν, καὶ τῆς εἰς Θεὸν εὐσεβείας ἀποπηδήσαντες, ἕκαστος τὸ δοκοῦν ἐποιεῖτο σέβας, καὶ διέπλαττεν αὐτῷ, κατὰ τὴν ἄνωθεν ἔτι καὶ ἐν Αἰγύπτῳ συνήθειαν. Προσέκειντο δὲ μᾶλλον ταῖς τῶν ἄστρων λατρείαις. Καὶ πόθεν ἂν γένοιτο καὶ τοῦτο καταφανές; ἐρεῖ τις τυχόν. Οὐ πολὺς ὁ πόνος ἀπελέγχειν ἐθέλουσι· ἐξ αὐτῶν γὰρ εἰσόμεθα τῶν ἱερῶν Γραμμάτων. Δεδυσφόρηκε μὲν γὰρ ὁ Μωσῆς, καὶ κατεκεκράγει τοῦ Ἀαρών· εἶτα προσέπιπτε τῷ Θεῷ, λέγων· « Δέομαι, Κύριε, ἥμαρτεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην· ἐποίησαν γὰρ ἑαυτοῖς θεοὺς χρυσοῦς, »

LV. Juxta superiorem explicationem, Deus erat, qui dixit ad filios Israel, « Odi festivitates vestras [66]. » Ut enim constaret eum salvasse Israel ex propria mansuetudine, et propter memoriam patrum tribuisse filiis misericordiam, et non quasi compensasse, et remuneratum esse sacrificia, dicit convenientissime, annos non pauces eos permansisse in solitudine. Et alebantur quidem manna : gradiebantur autem nube ipsos per diem obumbrante, et columna ignis ducente per noctem [66]. Et dux erat arca ad typum Dei, cedens, et speculans locum sibi, et requiem [67]. Nec deerat eis quicquam, aquis repente erumpentibus, inimicis cadentibus [68]. Post hæc omnia de sacrificiis leges acceperunt; audiebant autem ubique, et super singulis divina forte responsa, nempe, « Cum introduxerit te Dominus Deus tuus in terram, 309 quam juravit patribus tuis, ut daret eam tibi, facies hoc et illud, et offeres sacrificia [69]. » Itaque tempore quadraginta annorum, quo fuerunt in solitudine, offerebant sacrificia sponte, nemo enim illa exigebat : sed differebatur negotium, donec terram patribus ipsorum promissam ingressi fuissent. Idcirco ait : « Num victimas et sacrificia obtulistis mihi annis quadraginta, domus Israel? dicit Dominus. » Sed salvabantur etiam citra sacrificia; et sicut dicit per alium prophetam rursum : « Non comparasti mihi argento thymiama, non mihi oves holocausti tui : nec incisuram fecistis in Libano [70]. » Cæterum ipsi tum denuo desertores, ita ut excusari non possent, et instabiles, et natura ac vere Deum aspernantes, portabant tabernaculum Moloch. « Et astrum Dei vestri Ræphan. » Quod quidnam sit, considerandum est. Mose igitur ascendente in montem, ut legem acciperet, Israelitæ contra Aaron insurrexerunt, dicentes : « Fac nobis deos qui præcedant nos : Moysi enim huic viro, qui nos eduxit de terra Ægypti, ignoramus quid acciderit [71]. » Fecerunt itaque vitulum in solitudine. Et conspicuum, ac velut commune omnium idolum vitulus erat. Multa porro et alia ab unoquoque ficta sunt. Semel enim ad veterem errorem conversi, et a semita pietatis in Deum detorti, singuli quod sibi placebat pro antiqua consuetudine in Ægypto numen fabricabantur et formabant. Magis tamen astrorum cultui dediti erant. Et unde hoc quoque liquebit? fortasse dicet quispiam. Hoc vel ex ipsis sacrarum Litterarum monumentis demonstrare, et cognoscere non est difficile. Ægre enim tulit Moses, et in Aaronem clara voce invectus est; deinde Deo procumbens, ait : « Obsecro, Domine, peccavit populus iste peccatum magnum, fecerunt enim sibi deos aureos [72] : » atqui vitulus erat quod finxerant. Verum non ignorabat, eos nihilominus alia sculptilia addidisse. Beatus autem Stephanus accusatus aliquando apud Judæorum magistros propter blasphemias in Deum

[66] Amos., v, 21. [66] Exod. xiii, 21. 22; xvi, 4 seqq. [67] Num. x, 33. [68] Num. xx, 6-13. [69] Exod. xiii, 5. [70] Isa. xliii, 24. [71] Exod. xxxii, 1. [72] Ibid., 31.

Digitized by Google

et Mosen [73], et responsis idoneis calumnias refutans, deinde ostendens quod Christo impie, contumeliose et immaniter habito, patrum suorum scelus et duritiam cordis imitarentur, perspicue vituli in solitudine conflati **310** mentionem facit, aitque de Mose : « Hic est qui fuit in Ecclesia in solitudine cum angelo, qui loquebatur ei in monte Sina, et cum patribus nostris, qui accepit verba vitæ dare nobis, cui noluerunt obedire patres nostri, » et quæ deinceps sequuntur, usque ad illa verba, « figuras quas fecistis adorare eas. Et transferam vos trans Babylonem [74]. » Vides igitur et divinum Stephanum, virum plenum Spiritu sancto, testimonium dixisse, eos fabricasse vitulum, et ad colendam militiam cœli conversos esse. Meminit item vocis prophetæ, unde licet intelligere eos ad vitulum tabernaculum quoque Moloch assumpsisse. Excitato enim tabernaculo idolum constituerunt, et illud Moloch appellaverunt, sive Molchom, quod idolum fuit Moabitarum, lapidem habens pellucidum, et eximium in summa fronte, ad speciem Luciferi. Et sonat quidem Latine Moloch *rex noster* : sic enim Aquila et Theodotio transtulerunt. Effigies autem Luciferi artificiose facta erat. Portarunt igitur tabernaculum Moloch, hoc est, regis nostri. Qualis autem iste rex? Astrum Dei nostri Ræphan, quod redditur *obtenebratio*, aut *excæcatio*., Porro Luciferum, ut ante solis radios exorientem, et principium diei terrarum incolis afferentem adorabant. Verumtamen adorantibus factus est Ræphan, id est, obtenebratio, et excæcatio. Prorsus non quasi astrum in illis operatum sit tenebras : sed quod illis cultus illius obtenebrationis causa exstiterit. Quoniam autem, inquit, Moabitarum, et vicinæ Damasci insaniam æmulati estis, ideo ultra Damascum, et remotiora discessistis, Babyloniorum, inquam. Editio enim Septuaginta, « ultra Damascum, » inquit, sanctus autem Stephanus, « ultra Babylonem. » Quid ergo ad hæc dicemus? Secundum Hebræam editionem dixit Stephanus. Visum est enim illis, quod est ultra Damascum, appellare terram Babyloniorum. Pertinente enim fortasse Damascenorum agro, sive Syrorum regno usque ad terminos urbium orientis, finitima erat statim Babyloniorum tellus, et regio.

A καίτοι μόσχος ἦν τὸ διαπεπλασμένον. Ἀλλ' οὐκ ἠγνόησεν, ὅτι καὶ ἕτερα προσειργάσαντο τὰ γλυπτά. Ὁ δέ γε μακάριος Στέφανος, κατηγορούμενός ποτε παρὰ τοῖς Ἰουδαίοις καθηγηταῖς ἐπὶ δυσφημίαις ταῖς εἰς Θεὸν καὶ Μωσέα, καὶ ταῖς καθηκούσαις ἀπολογίαις ἀποκρουόμενος τὰς συκοφαντίας, εἶτα δεικνύων, ὅτι δεδυσσεβηκότες ἀγρίως καὶ ἐμπαροινήσαντες τῷ Χριστῷ τὴν, τῶν ἰδίων πατέρων ἀπομιμοῦνται φαυλότητα καὶ σκληροκαρδίαν, διαμέμνηται σαφῶς τῆς ἐν τῇ ἐρήμῳ μοσχοποιίας, καί φησι περὶ Μωσέως· « Οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ Ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾷ καὶ τῶν πατέρων ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα, δοῦναι ἡμῖν, ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ πατέρες ἡμῶν, » καὶ B τὰ ἑξῆς ἕως, « τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. Καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. » Ἄθρει δὴ οὖν, ὅτι καὶ ὁ θεσπέσιος Στέφανος, ἀνὴρ ἁγίου Πνεύματος πλήρης, μεμαρτύρηκεν, ὅτι μεμοσχοποιήκασι μὲν, ἐτράποντο δὲ καὶ εἰς τὸ λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Διαμέμνηται δὲ καὶ τῆς τοῦ προφήτου φωνῆς· ὅθεν ἔστι νοεῖν, ὅτι πρὸς τῷ μόσχῳ καὶ τὴν σκηνὴν τοῦ Μολὸχ ἀνέλαβον. Σκηνοποιησάμενοι γὰρ ἔστησαν εἴδωλον, καὶ κεκλήκασι τοῦτο Μολὸχ, ἤτοι Μολχὸμ (εἴδωλον δὲ τοῦτο Μωαβιτῶν), λίθον ἔχον διαφανῆ καὶ ἐξαίρετον ἐπὶ μετώποις ἄκροις, εἰς Ἑωσφόρου τύπον. Καὶ ἑρμηνεύεται μὲν τὸ Μολὸχ *βασιλεὺς αὐτῶν*· ἐκδεδώκασι γὰρ οὕτως Ἀκύλας, καὶ Θεοδοτίων. Ἑωσφόρου γε μὴν ἐκτύπωμα τὸ τεχνουργούμενον ἦν. Ἀνελάβετο τοίνυν τὴν σκηνὴν τοῦ Μολὸχ, τουτέστι, τοῦ βασιλέως ὑμῶν. Καὶ ποῖος ἦν οὗτος ὁ βασιλεύς; Τὸ ἄστρον τοῦ Θεοῦ ὑμῶν. Ῥαιφὰν δὲ ἑρμηνεύεται *σκοτισμὸς*, ἢ *τύφλωσις*. Προσεκύνουν γε μὴν τὸν Ἑωσφόρον ὡς προανίσχοντα τῆς ἡλίου μαρμαρυγῆς, καὶ ἀρχὰς ἡμέρας εἰσφέροντα τοῖς ἐπὶ τῆς γῆς. Ἀλλὰ τοῖς προσκυνοῦσι γέγονε Ῥαιφὰν, τουτέστι, σκοτισμὸς, ἢ τύφλωσις. Καὶ οὐχὶ δὴ πάντως ὡς ἐνεργητικότος ἐν αὐτοῖς τοῦ ἄστρου τὴν τύφλωσιν, ἀλλ' ὅτι *σκοτισμοῦ* παραίτιον αὐτοῖς τὸ εἰς τοῦτο γέγονε σέβας. Ἐπειδὴ δὲ, φησὶ, τὴν Μωαβιτῶν καὶ τῆς γειτονος Δαμασκοῦ μανίαν ἐζηλώσατε, ταύτητοι καὶ ἀποιχήσεσθε Δαμασκοῦ τε ἐπέκεινα, καὶ τῶν ἀποτέρω κειμένων ἔτι, φημὶ δὴ Βαβυλωνίων. Ἡ μὲν γὰρ ἔκδοσις τῶν Ἑβδομήκοντα, « ἐπέκεινα Δαμασκοῦ, » φησὶν· ὁ δέ γε Στέφανος, « ἐπέκεινα Βαβυλῶνος, » ἔφη. Τί οὖν πρὸς τοῦτο ἐροῦμεν; Κατὰ τὴν Ἑβραίων ἔκδοσιν ὁ μακάριος ἔφη Στέφανος. Δοκεῖ γὰρ οὕτως ἐκείνοις τὸ « ἐπέκεινα Δαμασκοῦ » ὠνομᾶσθαι τὴν Βαβυλωνίων. Παρατεινούσης γὰρ ἴσως τῆς Δαμασκηνῆς, ἤτοι Σύρων βασιλείας μέχρι τερμάτων τῶν πρὸς ἠῶ καὶ ἀκτῖνα πόλεων, ὅμορος εὐθὺς ἡ Βαβυλωνίων χώρα τε καὶ γῆ.

CAP. VI.

ΚΕΦΑΛ. Ϛ'.

VERS. 1. *Væ spernentibus Sion, et confidentibus in montem Samariæ.*

Οὐαὶ τοῖς ἐξουθενοῦσι Σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας.

311 LVI. Deflet rursum non Ephraimitas solum, sive tribus in Samaria, sed etiam tribum Juda et Benjamin. Demonstrato enim eos habuisse animum languidum et semper fluctuantem, et majores

ΝϚ'. Ταλανίζει πάλιν ὁ λόγος οὐχὶ μόνους τοὺς ἐξ Ἐφραὶμ, ἤτοι τὰς ἐν Σαμαρείᾳ φυλὰς, ἀλλὰ γὰρ καὶ τοὺς ἐξ Ἰούδα καὶ Βενιαμίν. Προαποδείξας ὅτι σαθρὸν ἐσχήκασι καὶ σεσαλευμένον ἀεὶ τὸν νοῦν, καὶ

[73] Act. VI, 11. [74] Act. VII, 38-43.

Digitized by Google

ὅτι οἱ πρὸ αὐτῶν γεγονότες μεμοσχοποιήκασι καὶ ἀνελάβοντο τὴν σκηνὴν τοῦ Μολὸχ, ἀπελέγχει λοιπὸν ὅτι πατριάζουσι, καὶ προγονικῆς δυσσεβείας κατ' ἴχνος ἰόντες, παραθήγουσιν ἐφ' αὑτοὺς τὸν τῶν ὅλων Δεσπότην. Ἐξουθενεῖν δέ φησι τὴν Σιὼν τοὺς ἐξ Ἰούδα καὶ Βενιαμίν. Ἀπομεμενηκότες γὰρ ἐν Ἱεροσολύμοις, καὶ τὸν θεῖον ἔχοντες ναὸν, παρ' οὐδὲν πεποίηνται τὴν εἰς Θεὸν αἰδὼ καὶ ἀγάπησιν, ἀλλ' ᾗ φησι τὸ Γράμμα τὸ ἱερὸν, « Ἐθυμίων ἐν τοῖς ὑψηλοῖς ὑποκάτω δρυὸς, καὶ λεύκης, καὶ δένδρου συσκιάζοντος. » Ἐλάτρευον δὲ καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Καὶ γοῦν ἴφη πρὸς Ἱερεμίαν οὐ μετρίως λελυπημένος ὁ τῶν ὅλων Θεός· « Καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου, καὶ μὴ ἄξίου τοῦ ἐλεηθῆναι αὐτοὺς, καὶ μὴ προσέλθῃς μοι περὶ αὐτῶν ἐν δεήσει καὶ προσευχῇ, ὅτι οὐκ εἰσακούσομαι. » Εἶτα τῆς ἀποστροφῆς τὴν αἰτίαν ἐπιφέρει λέγων· « Ἢ οὐχ ὁρᾷς ὅ τι ποιοῦσιν οὗτοι ἐν πόλεσιν Ἰούδα, καὶ ἐν ταῖς ὁδοῖς Ἱερουσαλήμ; Οἱ υἱοὶ αὐτῶν συλλέγουσι ξύλα, καὶ οἱ πατέρες αὐτῶν καίουσι πῦρ, καὶ αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς τοῦ ποιῆσαι χελῶνας [LXX χαυῶνας] τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσί με. » Ἐξουδενώκασι δὴ οὖν τὴν Σιὼν οἱ ἐν Ἱεροσολύμοις. Τοιγάρτοι πρεπόντως ἐπενήνοχα τούτοις τὸ, Οὐαί.

Ἁρμόσειε δ' ἂν ἡ τοιάδε φωνὴ καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας, τουτέστι, τοῖς κατῳκηκόσιν ἐν Σαμαρείᾳ, καὶ πεποιθόσιν ἐφ' ἑαυτοῖς. Ἔφοντο γὰρ ὅτι καὶ δίχα Θεοῦ περιέσονται τῶν ἐχθρῶν, καὶ ἐν καλῷ κείσονται τῆς εὐημερίας, καὶ πᾶν ὁτιοῦν τῶν ἡδίστων αὐτοῖς ἀδόνητον ἔξει τὴν ἕδραν. Πικρὸν οὖν ἄρα καὶ ἀπευκτὸν τὸ δυσβουλίας εἰς τοῦτο κατολισθεῖν, ὡς δι' οὐδενὸς μὲν ποιεῖσθαι τολμᾷν τὴν εἰς Θεὸν ἀγάπησιν, προσκεῖσθαι τοῖς ἀτόποις, καὶ δρᾷν ἃ μὴ θέμις, καὶ καταλυπεῖν αὐτὸν, οἴεσθαι δὲ, ὅτι μὴ αὐτοῦ διδόντος ἔσται τι τῶν ἀγαθῶν ἐφ' ἡμῖν. « Πᾶσα γὰρ δόσις ἀγαθὴ, καὶ πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον παρὰ τοῦ Πατρὸς τῶν φώτων. » Αὐτῷ δὴ οὖν ἄρα προσκεῖσθαι καλὸν, καὶ αὐτὸν ἐλπίδα ποιεῖσθαι καὶ ἀρωγόν. Ἐξουδενοῦσι δὲ τὴν Σιὼν, τουτέστι, τὴν Ἐκκλησίαν, καὶ οἱ τῆς ἀνοσίων δογμάτων προεστηκότες, καὶ ἐπί γε ταῖς σφῶν αὐτῶν εὐγλωττίαις ἐπιθαρσήσαντες, καὶ μέγα φρονεῖν εἰωθότες ἐπὶ τοῖς τῶν ἀνοσίων λογισμῶν εὑρήμασι καὶ σοφίας κοσμικῆς. Πρέποι δ' ἂν αὐτοῖς καὶ πρό γε τῶν ἄλλων τὸ Οὐαί.

Ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον αὐτοί. Οἶκος τοῦ Ἰσραὴλ, διάβητε πάντες, καὶ ἴδετε, καὶ διέλθετε ἐκεῖθεν εἰς Αἰμὰθ Ῥαβὰ, καὶ κατάβητε ἐκεῖθεν εἰς Γὲθ ἀλλοφύλων, τὰς κρατίστας ἐκ τῶν βασιλειῶν τούτων, εἰ πλείονά ἐστιν τὰ ὅρια αὐτῶν τῶν ὁρίων ὑμῶν.

NZ'. Ἀχαρίστους ὄντας ἀποφαίνει, καὶ τῆς παρ' αὐτοῦ μεγαλοδωρεᾶς ἀμνημονεῖν ᾠρημένους, καίτοι θέον ἀεί τε καὶ πλείστην ὅσην ὁμολογεῖν τὴν χάριν, καὶ χαριστηρίους ἀνάπτειν ᾠδὰς, ὅτι μὴ μόνον σκληρᾷ καὶ ἀφορήτῳ δουλείᾳ κατηχθημένους παρα-

A eorum vitulos fabricasse, et portasse tabernaculum Moloch, reprehendit nunc ut patrizantes, et majorum vestigiis insistentes, atque ita universorum Dominum in seipsos irritantes. Spernere autem eos Sion dicit qui sunt de Juda, et Benjamin. Cum enim permanerent in Jerusalem, et divinum templum tenerent, reverentiam et dilectionem erga Deum floccipenderunt : et, ut dicit sacra Scriptura, « Sacrificabant in excelsis sub quercu, et populo alba, et arbore umbrosa. » Serviebant etiam militiæ cœli. Quocirca ad Jeremiam impensius dolens dicit Dominus universorum : « Et tu, noli orare pro populo isto indigno misericordia, et ne accedas ad me pro illis in obsecratione, et oratione, quia non exaudiam te[75]. » Mox aversionis causam adjungens ait : « An B non vides quid faciant isti in civitatibus Juda, et in viis Jerusalem? Filii eorum colligunt ligna, et patres eorum succendunt ignem, et mulieres eorum commiscent similaginem, ut faciant placentas militiæ cœli. Et libaverunt libamina diis alienis, ut ad iracundiam provocarent me[76]. » Spreverunt igitur Sion Hierosolymitæ. Proinde convenienter intuli illis, Væ.

Quadraverit autem hæc vox etiam confidentibus in montem Samariæ, hoc est, habitantibus in Samaria, et in ea confidentibus. Putabant enim, etiam citra Dei auxilium hostibus se prævalituros, et secum bene actum iri : et quidquid est jucundissimum, ipsis fore C stabilissimum. Acerbum igitur, et abominandum, hoc pravi consilii delapsum esse, ut charitatem erga Deum nihili facere audeas, affixum esse illicitis, et patrare quæ nefas, et contristare illum, et putare, ipso non dante, quidquam boni nos habituros. « Omne enim datum bonum, et omne donum perfectum desursum est, descendens à Patre luminum[77]. » Ipsi igitur adhærere bonum est[78], in eo spes locare, ejusque auxilium exspectare. Spernunt autem Sion, id est, Ecclesiam, etiam qui impia dogmata tuentur, et in facundia sua confidunt, quique in disputationum impiarum inventis, et in sæculari sapientia **312** efferri et gloriari consueverunt. In hos præ aliis Væ convenit.

D

Vers. 2. *Vindemiarunt principatus gentium, et ingressi sunt ipsi. Domus Israel, transite omnes, et videte, et pertransite inde in Æmath Raba, et descendite inde in Geth alienigenarum, optima de regnis istis, si plures sunt termini eorum terminis vestris*

LVII. Ingratos esse insigniumque beneficiorum ejus oblivisci eos statuisse ostendit, cum semper et longe maxime confiteri munera, et gratiarum actiones canere oporteat : quando non solum dura et intoleranda servitute oneratos admirabiliter eripue-

[75] Jerem. VII, 16. [76] Ibid., 17-18. [77] Jac. I, 17. [78] Psal. LXXII, 28.

Digitized by Google

rit, verum etiam in terram quam juravit patribus corum, introduxerit. Introduxit autem, multas, et expugnatu difficiles, et victoriis conflictu pariendis haud inexercitatas gentes exscindens. Sic enim et David ait alicubi ad Deum, de his qui sunt ex sanguine Israel : « Vineam ex Ægypto transtulisti, ejecisti gentes, et plantasti eam [79]. » Exprobrat igitur illis, idque justissime, ut vehementer ingratis, et qui se in omne genus sceleris effundentes, benefactorem contristarent. « Vindemiarunt enim, inquit, principatus gentium, » et illarum regionem in possessionem suam redegerunt, Deo conquassante adversarios, et potentia ineffabili resistentium robur enervante. Cæterum quod pinguem, et fertilem, et bonis omnibus abundantem terram sortiti sint, aliisque regionibus meliorem ac latiorem, recognoscere eos jubet, viciuorum, et remotiorum etiam principatus, sive regna, diligenter considerantes. « Transite enim, inquit, in Æmath Raba, et in Geth (hæc enim de regnis alienigenarum illustriora), et exquirite num majores sint termini ipsorum quam vestri. » Erant multa, et distincta regna gentium, Moabitarum, Idumæorum, filiorum Ammon ; sed nullum in iis magnum. Insignius cæteris Damascenorum, et Palæstinorum. Ac duæ quidem urbes in regno Damascene erant, ad orientem spectantes, quibus nomen Æmath, quarum alia latior et major, alia minor. Raba, si interpretere, significat major et amplior. Transite igitur in Æmath Raba, hoc est, in Æmat majorem et latiorem : erat enim cognominis alteri, ut dixi, non ita amplæ. Fama est, Æmath hanc amplam eamdem esse quæ nunc **313** Antiochia dicitur ; minorem autem, et angustiorem, vicinam et confinem, Epiphaniam Antiochi, cognomento Epiphanis, qui illam quidem Antiochiam, alteram vero hanc, honoris sui causa Epiphaniam nominavit. Geth urbs Palæstinæ, ut nunc dicitur, primaria illis temporibus erat. Hanc habitabant Enacim, et qui vocabantur Philistiim, quos non perdiderunt tunc filii Israel. Idcireo ait de ipsa : « In Geth alienigenarum, seu Philisthæorum : » et indagate diligenter an non vos potius latiorem regionem, et aliis omnibus meliorem, ac præstantiorem habitetis. Sciendum porro, scripturam Hebræorum præpositam habere, Chalannen. Sic enim legitur : « Transite in Chalannen, et in Æmath, et in Geth. » Chalanne autem est sub regno Persico, et hodie vocatur Lysippa. Quoniam autem et regni Persarum meminit Hebræorum editio, ideo affirmamus et beatum Stephanum [80], pro « Transferam vos ultra Damascum, » dixisse, ultra Babylonem. Crimen igitur ingratorum est, quod majorem et uberiorem adeo tellurem adepti, non Deo potius gratias egerunt, sed alii quidem spreverunt Sion, alii confisi in monte Samariæ, nullam ejus reverentiæ rationem duxerunt.

δόξως ἐξείλετο, ἀλλὰ γὰρ καὶ εἰσκεκόμικεν εἰς τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσιν. Εἰσκεκόμικε δέ, πολλὰ καὶ δυσκαταγώνιστα, καὶ οὐκ ἀμελέτητον ἔχοντα τὸ νικᾶν ἐν μάχαις ἀποκείρας ἔθνη. Οὕτω γὰρ καὶ Δαβὶδ ἔφη που πρὸς Θεὸν περὶ τῶν ἐξ αἵματος Ἰσραήλ· « Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας, ἐξέβαλες ἔθνη, καὶ κατεφύτευσας αὐτήν. » Ὀνειδίζονται δὴ οὖν, καὶ μάλα εἰκότως, ὡς ἀχάριστοι κομιδῇ, καὶ ταῖς εἰς πᾶν ὁτιοῦν τῶν ἐκτόπων ἀποδρομαῖς λυποῦντες τὸν εὐεργέτην. « Τετρυγήκασι μὲν γάρ, φησὶν, ἀρχὰς ἐθνῶν, » καὶ κλῆρον ἴδιον ἐποιήσαντο τὴν ἐκείνων χώραν, Θεοῦ κατασείοντος τοὺς ἀνθεστηκότας, καὶ ἀφάτῳ δυνάμει τὴν τῶν ἀνταναταμένων ἰσχὺν παραλύοντος. Ἀλλ' ὅτι πίονα, καὶ εὔβοτον, καὶ παντὶ μεθύουσαν ἀγαθῷ κεκληρονομήκασι γῆν, καὶ τὴν τῶν ἄλλων χωρῶν ἀμείνω τε καὶ εὐρυτέραν, ἀναμαθεῖν ἐπιτάττει, τὰς τῶν ὁμόρων, ἢ καὶ τὰς τῶν ἐπέκεινα πολυπραγμονοῦντας ἀρχὰς, ἤγουν βασιλείας. « Βαδίζετε γὰρ, φησὶν, εἰς Αἰμὰθ Ῥαβὰ, καὶ εἰς Γὲθ ἀλλοφύλων (αὗται γὰρ αἱ τῶν ἄλλων βασιλειῶν περιφανέστεραι) » κἀκεῖ ζητεῖτε, φησὶν, εἰ πλείονα τὰ ὅρια αὐτῶν ἐστι τῶν ὑμετέρων ὁρίων. » Ἦσαν γὰρ οὖν πολλαί τε καὶ ἀνὰ μέρος αἱ βασιλεῖαι τῶν ἐθνῶν, ἡ Μωαβιτῶν, ἡ Ἰδουμαίων, ἡ τῶν υἱῶν Ἀμμών· ἀλλ' οὐδὲν ἐν αὐτοῖς τὸ μέγα. Λαμπροτέρα δὲ τῶν ἄλλων ἡ Δαμασκηνῶν καὶ Παλαιστινῶν. Καὶ δύο μὲν ἦσαν πόλεις ὑπὸ τῇ Δαμασκοῦ βασιλείᾳ, εἰς ἃς κεῖμεναι, αἷς ὄνομα τὸ Αἰμὰθ, ὧν ἡ μὲν εὐρυτέρα, καὶ μείζων, ἡ δὲ λαχοῦσα τὸ μεῖον. Ἑρμηνεύεται, τὸ Ῥαβὰ, μεῖζον. Διάθητε οὖν εἰς Αἰμὰθ Ῥαβὰ, τουτέστιν, εἰς τὴν Αἰμὰθ τὴν μείζω τε καὶ εὐρυτέραν· ἦν γάρ, ἔφη, ὁμώνυμος ἑτέρᾳ, λαχούσῃ τὸ μεῖον. Φασὶ δὲ τὴν μὲν Αἰμὰθ τὴν πλατεῖαν ταύτην εἶναι, τὴν νῦν Ἀντιόχειαν, τὴν δὲ μείω καὶ στενοτέραν, τὴν γειτονά τε καὶ ὅμορον Ἐπιφάνειαν Ἀντιόχου, τοῦ ἐπίκλην Ἐπιφανοῦς, τὴν μὲν Ἀντιόχειαν, Ἐπιφάνειαν δὲ τὴν ἑτέραν εἰς δόξαν ἰδίαν ὠνομακότος. Ἡ δὲ Γὲθ πόλις ἦν τὸ τηνικάδε τῆς νυνὶ Παλαιστίνης πρωτέρα. Ἐν ταύτῃ μεμενήκασιν οἱ Ἐνακεῖμ καὶ οἱ καλούμενοι Φιλιστιεὶμ, οὐκ ὀλοθρευσάντων αὐτοὺς τὸ τηνικάδε τῶν υἱῶν Ἰσραήλ. Ταύτῃτοί φησι περὶ αὐτῆς· « Εἰς Γὲθ ἀλλοφύλων· » καὶ περιεργάσασθε λεπτῶς, εἰ μὴ μᾶλλον ὑμεῖς εὐρυτέραν οἰκεῖτε χώραν, καὶ τῶν ἄλλων ἁπασῶν τὴν ἀμείνω καὶ προὔχουσαν. Εἰδέναι δὲ ἀναγκαῖον, ὅτι τῶν Ἑβραίων ἡ γραφὴ προτεταγμένην ἔχει τὴν Χαλάννην. « Πορεύεσθε γὰρ, φησὶν, εἰς Χαλάννην, καὶ εἰς Αἰμὰθ, καὶ εἰς Γέθ. » Χαλάννη δέ ἐστιν ὑπὸ τὴν Περσῶν βασιλείαν, ἣ νῦν καλεῖται Λυσίππη. Ἐπειδὴ δὲ καὶ τῶν Περσῶν βασιλείας ἐμνημόνευσεν ἡ τῶν Ἑβραίων ἔκδοσις, ταύτητοί φαμεν καὶ τὸν μακάριον Στέφανον, ἀντὶ τοῦ, « Μετοικιῶ ὑμᾶς ἐπέκεινα Δαμασκοῦ, » τὸ, ἐπέκεινα Βαβυλῶνος, εἰπεῖν. Ἀχαριστίας οὖν ἔγκλημα, ὅτι πλείονα, καὶ εὐήροτον, καὶ πλατεῖαν οὕτω κατακληρονομήσαντες γῆν, οὐχὶ Θεῷ μᾶλλον ἀνῆπτον τὰ χαριστήρια, ἀλλ' οἱ μὲν ἐξουδένουν τὴν Σιών, οἱ δὲ πεποιθότες ἐπὶ τὸ ὄρος Σαμαρείας, οὐδένα τῆς εἰς αὐτὴν αἰδοῦς ἐποιοῦντο λόγον.

[79] Psal. LXXIX, 9. [80] Act. VII, 43.

Digitized by Google

Χρήσιμον δὲ, ὡς ἔοικε, καὶ τοῖς μετὰ τὴν πίστιν A
Ἑλλήνων σοφίαν τεθαυμακόσιν, ὡς ἀμείνους τῶν παρ' ὑμῖν τὰς ἐκείνων ἡγεῖσθαι δόξας, καὶ τοῖς ἀπονεύουσιν εἰς τὸ προσκεῖσθαι ζητεῖν τοῖς παραχαράττουσι τὴν ἀλήθειαν, καὶ τῶν Ἐκκλησιῶν δογμάτων τὴν ὀρθότητα παραλύουσι, τὸ, « Πορεύεσθε εἰς Αἰμὰθ Ῥαβὰ, καὶ εἰς Γὲθ ἀλλοφύλων, καὶ ἴδετε, εἰ πλείονα τὰ ὅρια αὐτῶν ἐστι τῶν ὑμετέρων ὁρίων. » Εὐρυτέρα γὰρ τῆς Ἑλλήνων στενολεσχίας ἡ θεόπνευστος Γραφὴ, τὸ τῆς ἀληθείας καταγγέλλουσα φῶς, καὶ δογμάτων εἰσφέρουσα γνῶσιν, καὶ πρὸς πάντων ὑπερεῖν τῶν ἐπαινουμένων τὸν τῶν πιστευόντων ἀναβιβάζουσα νοῦν. Εὐρύτερος δὲ πάλιν τῆς αἱρετικῶν στενότητος ὁ τῆς ἀληθείας ἐστὶ λόγος. Οἱ μὲν γὰρ αὐτῇ μαχόμενοι, μονονουχὶ καταπνίγονται, ψυχροῖς τε καὶ ἀδρανέσιν ἐπινηχόμενοι λογισμοῖς· οἱ δὲ τοῖς τῆς εὐσεβείας συναγορεύοντες δόγμασι, καὶ τὸ λαμπρὸν τῆς ἀληθείας περιαθροῦντες κάλλος, εἰς πλατὺ θεωρημάτων ἐκτρέχουσι πέλαγος, « Αἰχμαλωτίζοντες πᾶν νόημα εἰς ὑπακοὴν τοῦ Χριστοῦ, » τῇδέ τε κἀκεῖσε διάττοντες, καὶ τὰ εἰς γνῶσιν ἀληθινὴν ἀπὸ τῆς θεοπνεύστου Γραφῆς εὖ μάλα συλλέγοντες. Καὶ γοῦν Κορινθίοις ἀποφοιτᾷν ἑλομένοις τῆς παραδοθείσης αὐτοῖς ἁγίας ἐντολῆς, προσκειμένοις δὲ ἀμαθῶς τοῖς ἑτεροδιδασκαλεῖν εἰωθόσιν, ἐπιστέλλει Παῦλος, ὅτι « Στόμα ἡμῶν ἀνεῴγει πρὸς ὑμᾶς, ὦ Κορίνθιοι, ἡ καρδία ἡμῶν πεπλάτυνται, » ἕως, « Μὴ γίνεσθε ἑτεροζυγοῦντες ἀπίστοις. »

Praeterea utile fuerit, ut apparet, et iis qui post fidem Graecorum sapientiam admirati sunt, ut eorum opiniones et doctrinam nostrae anteferrent, seu propensis valde ad adhaerendum depravantibus veritatem, et ecclesiasticorum dogmatum rectitudinem corrumpentibus, illud: « Transite in Æmath Raba, et in Geth Philisthaeorum, et videte si plurea sunt termini eorum terminis vestris. » Latior enim Graecorum angustis fabulis divinitus inspirata Scriptura, veritatis annuntians lumen, et dogmatum afferens notitiam, credentiumque mentes ad omnia laude digna exsuscitans. Latior rursum haereticorum angustia est sermo veritatis, quam hi oppugnantes, pene suffocantur, frigidis et obscuris ratiocinationibus innatantes. Pietatis autem dogmat bus B patrocinantes, et illustrem veritatis elegantiam contemplantes, in latum contemplationum pelagus excurrunt, « Rediguntes omnem intellectum in obsequium fidei [81], » huc illuc salientes, **314** et ad veram cognitionem pertinentia accuratissime colligentes. Itaque Corinthiis, a tradito illis sancto mandato recedere, et imperite aliter docere solitis adhaerere volentibus, scribit Paulus: « Os nostrum patet ad vos, o Corinthii, et cor nostrum dilatatum est, » etc., usque ad illa: « Nolite jugum ducere cum infidelibus [82]. »

Οὐαὶ ἐρχόμενοι εἰς ἡμέραν κακὴν, οἱ ἐγγίζοντες, καὶ ἐφαπτόμενοι Σαββάτων ψευδῶν.

Vers. 3. *Væ qui venitis in diem malam, appropinquantes, et attingentes Sabbata falsa.*

ΝΗ'. Ἔφασκεν, ὅτι « Οὐαὶ ἐξουδενοῦσι Σιὼν, καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος Σαμαρείας. » Καὶ ἐπειδὴ δύο τινῶν ἐποιεῖτο μνήμην, τῶν τε ἐξουθενούντων, φημὶ, τὴν Σιὼν, καὶ τῶν πεποιθότων ἐπὶ τὸ ὄρος Σαμαρείας, πολυπραγμονοῦντες ἀναγκαίως τῶν ἐννοιῶν τὴν δύναμιν, ἐφηρμόσαμεν ἡμεῖς τοῖς ἐξ Ἰούδα καὶ Βενιαμὶν τὴν αἰτίαν τοῦ ἐξουθενεῖν τὴν Σιὼν, τοῖς γε μὴν ἐξ Ἐφραὶμ τὸ πεποιθέναι ἐπὶ τὸ ὄρος Σαμαρείας. Εἶσι δὴ οὖν ὥσπερ ἀνόπιν ὁ λόγος, καὶ τὰ ἀμφοῖν ἐγκλήματα καταλέγει πάλιν, αὐτοῖς ἐπιφέρων τὸ, Οὐαί. Ἔθος δὲ τῇ θείᾳ Γραφῇ κατὰ τῆς εὐθείας πτώσεως τὴν τοῦ, Οὐαὶ, φωνὴν ἐπιφέρειν, οἷόν τί φημι· « Οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου. » Καὶ πάλιν, « Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ, καὶ τὸ σίκερα διώκοντες. — Οὐαὶ τοίνυν, D φησὶν, οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν. » Τὸ γὰρ μὴ ἀνέχεσθαι μετανοεῖν, μήτε μὴν τὸ ἐπὶ τοῖς ἔσεσθαι προαπηγγελμένοις εἰσδέξασθαι φόβον, μονονουχὶ καὶ ἐπιθυμεῖν, ἔστιν εἰς ὀλέθρου πεσεῖν ἡμέραν. Οἷον ὡς εἴ τις περί τινος τῶν φιλαμαρτημόνων λέγοι τυχόν· Ἐπιθυμεῖ τεθνάναι, καίτοι τοῦτο παθεῖν οὐκ ἐθέλοντος ἐκείνου πόθεν, ἀλλ' ὅσον ἥκει εἰς τὸ βούλεσθαι, δρᾷν, καὶ τοῦτο ἀκαταλήκτως, τὰ τοῖς νόμοις ἀπάδοντα· μονονουχὶ καὶ ἐρᾷ τῆς τοῖς φιλαμαρτήμοσιν ἀεὶπως ἀποκειμένης κολάσεώς τε καὶ δίκης. Μετανοεῖν οὖν ἄρα μὴ ἀνεχόμενοι, μονονουχὶ καὶ ἐπιθυμοῦσι πεσεῖν εἰς ἡμέραν κακὴν, καὶ ταῖς ἤδη προ-

LVIII. Dicebat, « Væ spernentibus Sion, et confidentibus in monte Samariæ. » Et postquam duorum quorumdam meminit, spernentium, inquam, Sion, et confidentium in monte Samariæ, inquirentes necessario sententiæ vim, adaptavimus nos Juda et Benjamin crimen contemptus Sion, Ephraimitis vero confidentiam in montem Samariæ. Retro igitur redit quodammodo oratio, amborumque crimina rursum recenset, et Væ infert. Mos autem est sacræ Scripturæ casu recto vocem Væ inferre, ut, « Væ, concupiscentes diem Domini [83]. » Et iterum: « Væ, surgentes mane, et siceram sequentes [84]. — Væ, igitur, inquit, venientes in diem malam. » Aversari enim pœnitentiam, neque propter futura et prænuntiata suscipere timorem, et propemodum ea desiderare, est in exitii diem cadere. Velut si quis de quoquam, cui voluptati est peccare, forte diceret: Desiderat mori, quanquam ille hoc pati non velit unquam; sed quod ad voluntatem attinet, ea facere, et hoc sine fine, quæ sunt divinis legibus pugnantia: quin tantum non amat peccati amantibus semper repositum supplicium, et vindictam. Itaque non sustinentes pœnitere, cadere in diem malum, et jam prænuntiatis calamitatibus opprimi tantum non concupiscunt. « Ut appropinquantes et attingentes Sabbata falsa. » Stabat enim adhuc templum, et ejus altaria, et offerebant Deo

[81] II Cor. x, 5. [82] II Cor. vi, 11-14. [83] Amos, v, 18. [84] Isa. xv, 11.

Digitized by Google

juxta legem sacrificia, agebantque Sabbatis consueta otia, verumtamen non penitus accurate, sed negligenter omnino, atque desidiosissime. Quare prophetarum vocibus eos, ut Sabbatum non custodientes accusabat. Væ igitur, inquit, simulantibus se **315** appropinquare Deo, dum simulant se colere adhuc instituta Mosaica, et Sabbata falso celebrant. Vides quomodo eos insimularit, ut qui non recte aut studiose otium Sabbatismo decorum servaverint.

Adhæc (puto enim mihi quippiam eminentius de his dicendum) falsa Sabbata sunt res Judæorum: siquidem lex, et quæ per Moysen facta sunt, typus sunt, et adumbratio [84]. Typus autem non est veritas, sed figura, et simulacrum veritatis potius. Quare et Paulus Hebræis scribit, et de antiquioribus ait: « Itaque relinquitur sabbatismus populo Dei. [85] » Non enim illos requiescere fecit Jesus, nec ingressi sunt in requiem Dei. Sabbatizamus autem spiritualiter nos in Christo, omittentes et deserentes quidem peccata, desinentes autem ab omni corruptibili et negotio terreno. Nam ut Paulus ait: « Qui ingressus est in requiem ejus, etiam ipse requievit ab operibus suis omnibus, sicut a suis Deus [86]. »

VERS. 4-6. *Dormientes in lectis eburneis, et lascivientes in stratis suis, et comedentes hædos ex gregibus, et vitulos ex mediis armentis lactentes. Plaudentes ad voces organorum, sicut stantem reputaverunt, et non sicut fugientem. Bibentes defæcatum vinum, et primis unguentis uncti, et non patiebantur quidquam super contritione Joseph.*

LIX. Rursum Væ propter calamitatem, dormientibus in lectis eburneis, et hoc atque illud facere solitis. Incusat autem eos valde qui in Samaria supra cæteros claritate eminebant, et facultatum copiis antecellebant, velut ex immodica felicitate ferme temulentos, deliciarumque varietate transversim abductos, ut nihil penitus futurorum incommodorum suspicarentur, neque sic affectis Deum aliquando vehementius iratum fore, et peccatis deditos pœnis prosecuturum arbitrarentur. Licentiam porro, et effusam in omnem intemperantiam eorumdem vitam declarat. Lectis, inquit, utuntur eburneis, sumptuosis admodum, et cubilibus delicatis. Et electi agni, vitulique lactentes esculenta eorum. Cantica item, et carmina, et omnia instrumenta musica voluptatis causa, comessationes item, **316** et plausus frequentant. Quodque gravius est, hujuscemodi mala ut firma et constantia,

απηγγελμέναις ἐναλῶναι συμφοραῖς. « Ὡς ἐγγίζοντες, καὶ ἐφαπτόμενοι Σαββάτων ψευδῶν. » Ἦν μὲν γὰρ ἔτι συνεστηκὼς ὁ νεὼς, καὶ τὰ ἐν αὐτῷ θυσιαστήρια, καὶ προσῆγον μὲν τῷ Θεῷ τὰς κατὰ νόμον θυσίας, ἐπετήρουν δὲ καὶ τὰς ἐν Σαββάτοις ἀργίας, πλὴν οὐκ εἰσάπαν ἠκριβωμένως, ἀτημελῶς δὲ πάμπαν, καὶ ῥαθύμως κομιδῇ. Καὶ γοῦν ἠτιᾶτο διὰ φωνῆς προφητῶν, ὡς Σάββατον μὴ τετηρηκότας. Οὐαὶ τοίνυν, φησὶ, τοῖς προσποιουμένοις ἐγγίζειν Θεῷ διὰ τοῦ προσποιεῖσθαι τιμᾷν τὰ Μωσέως ἔτι, καὶ ψευδῶν οὐχ ὡς ὀρθῶς ἢ πεφροντισμένως τὴν τῷ σαββατί-

Ἄλλως τε (χρῆναι γὰρ ὑπολαμβάνω καὶ τι τῶν ἀναγκαιοτέρων ἐπὶ τούτοις εἰπεῖν) ψευδῆ Σάββατα, τὰ παρὰ τοῖς Ἰουδαίοις· εἴπερ ἐστὶ σκιὰ μὲν ὁ νόμος, καὶ τύπος κατὰ τὸ ἀληθὲς, καὶ τὰ διὰ Μωσέως. Ὁ δὲ τύπος οὐκ ἀλήθεια, μόρφωσιν δὲ μᾶλλον τῆς ἀληθείας εἰσφέρει. Τοιγάρτοι καὶ Παῦλος Ἑβραίοις ἐπιστέλλει, καί φησι περὶ τῶν ἀρχαιοτέρων· « Ἄρα ἀπολείπεται σαββατισμὸς ἐν τῷ λαῷ τοῦ Θεοῦ. » Οὐ γὰρ κατέπαυσεν ἐκείνους Ἰησοῦς, οὔτε μὴν εἰσελήλακασιν εἰς κατάπαυσιν τοῦ Θεοῦ. Σαββατίζομεν δὲ πνευματικῶς ἡμεῖς ἐν Χριστῷ, καταλύοντες, καὶ ἀποφοιτῶντες μὲν ἁμαρτίας, καταλήγοντες δὲ παντὸς φθαρτοῦ καὶ γηΐνου πράγματος. Ὡς γὰρ Παῦλος γράφει, « Ὁ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ καὶ αὐτὸς κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὥσπερ ἀπὸ τῶν ἰδίων ὁ Θεός. »

Οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων, καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν, καὶ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων, καὶ μοσχάρια ἐκ μέσου βουκολίων γαλαθηνά. Οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων, ὡς ἑστηκότα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. Οἱ πίνοντες τὸν διυλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι, καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ.

ΝΘ'. Οὐαὶ πάλιν ἀπὸ κακοῦ (1) τοῖς καθεύδουσιν ἐπὶ κλινῶν ἐλεφαντίνων, τοῦτο δὲ κἀκεῖνο ὁρᾷν εἰωθότι. Ἐπαιτιᾶται δὲ λίαν τῶν ἐν Σαμαρείᾳ τοὺς ἐν δόξῃ περιφανεστέρους, καὶ ταῖς τῶν χρημάτων περιουσίαις τῶν ἄλλων ὑπερηρμένους, ὡς ἐκ πολλῆς ἄγαν εὐημερίας μονονουχὶ καὶ μεθύοντας, καὶ τῷ τῆς τρυφῆς πλάτει παρενηνεγμένους, εἰς τὸ μηδὲν ὅλως ὑποβλέπεσθαι τῶν δεινῶν, μήτε μὴν οἴεσθαι τὸν τῶν ὅλων Θεὸν τοῖς οὕτω διακειμένοις ἐπιθήγεσθαί ποτε, καὶ ποινὰς ἐπάγειν τοῖς φιλαμαρτήμοσιν. Ἐξηγεῖται δὲ ἀκριβῶς τὸ ἀνειμένον αὐτῶν καὶ ἄνετον εἰς τρυφάς. Κλῖναί τε γὰρ αὐτοῖς ἐξ ἐλέφαντος, φησὶν, αἱ πολυτελεῖς, καὶ μάλα καὶ μὴν εὐναί· τὰ δὲ ἐπίλεκτα τῶν ἀμνῶν, μόσχοι τε ἐπίτιτθοι τὰ ἐδώδιμα, ᾠδαί τε καὶ μέλη, καὶ πάντα τὰ δι' ὀργάνων συνεισθέοντα ταῖς τρυφαῖς, κῶμοί τε καὶ κρότοι, καὶ τὸ ἔτι φορτικώτερον, ὅτι τὰ τοιάδε τῶν κακῶν ὡς ἑστῶτα ἐλογίσαντο, καὶ οὐχ ὡς φεύγοντα. Καθόλου μὲν γὰρ παρ-

[84] Hebr. x, 1 seqq. [85] Hebr. iv, 9. [86] Ibid., 10.

(1) Cotelerius (*Monum. Eccl. Gr.*, II, 590) legendum monet ἀπὸ κοινοῦ.

Digitized by Google

ἵπταται τὰ τοιάδε, καὶ ἀπάτη κοσμικὴ τὸ ἱδρυμένον οὐκ ἔχει. Λύεται γὰρ ἐν ἴσῳ σκιαῖς, καὶ « παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, » κατὰ τὸ γεγραφέναι· συγκαταλήγει δὲ πάντως τοῖς τεθνεῶσιν ἡ τρυφή. Ἐπὶ δέ γε τῶν ἐν Σαμαρείᾳ καὶ καθ' ἕτερον ἂν νοοῖτο τρόπον τῶν εἰρημένων ὁ νοῦς. Ἐπειδὴ γὰρ ἔμελλον ἁλώσεσθαι, καὶ οὐκ εἰς μακρὰν, φεύγοντά τε καὶ οὐχ ἑστῶτα λέγει τὰ εἰς τρυφὴν αὐτοῖς ἐξιτήλως ἐξευρημένα, ὡς ὅσον οὔπω παρελευσόμενα. Ἐπικροτοῦσι δὴ οὖν τοῖς ὀργάνοις, οἶνον πίνοντες τάχα που τὸν ἀνθοσμίαν, καὶ λεπτῶς εὖ μάλα διυλισμένον. Καταχρίονται δὲ καὶ μύρῳ, συντιθέντες τὰ ἐξαίρετα, καὶ λόγον οὐδένα πεποίηνται παντελῶς τοῦ συντρίβεσθαι μέλλειν τὸν Ἰωσήφ. Καίτοι γὰρ προεγνωκότες τὴν ὅσον οὔπω παρεσομένην συμφορὰν, καὶ τῆς Σαμαρείας τὴν ἅλωσιν, καὶ τὴν ἐν τῷ Ἰωσὴφ γενησομένην συντριβὴν, τῆς αὐτοῖς κατειθισμένης οὐ κατημέλουν τρυφῆς. Πάνδεινον οὖν ὡς ἀληθῶς τὸ σωματικῆς ἡττᾶσθαι τρυφῆς τοὺς χωρῶν, ἢ πόλεων, ἢ λαῶν ἡγεῖσθαι λαχόντας. Δέον γὰρ ὃν μᾶλλον ταῖς καθηκούσαις νήψεσιν εὖ μάλα χρωμένους περιαθρεῖν τὰ συμφέροντα, καὶ κατ' εὐθὺ τοῦ πρέποντος ἀποφέρειν τοὺς ὑπεστρωμένους, καὶ διὰ παντὸς τρόπου λελυπημένον ἐκμειλίσσεσθαι Θεὸν, πῶς οὐκ ἀπόπληκτον κομιδῇ τὸ κατολισθεῖν εἰς τρυφὰς, καὶ τῆς βεβήλου φιλοσαρκίας οὐδὲν ἡγεῖσθαι τὸ ἄμεινον; Περὶ τῶν τοιούτων τάχα πού φησιν διὰ φωνῆς ἁγίων· « Ὦ ποιμένες, οἱ διασκορπίζοντες καὶ ἀπολλύντες τὰ πρόβατα τῆς νομῆς. » Ὅτι γὰρ ταῖς τῶν ποιμένων ῥᾳθυμίαις κινδυνεύει τὸ ὑπήκοον, σαφὲς ἂν γένοιτο, πάλιν Θεοῦ λέγοντος ἐναργῶς· « Ὅτι οἱ ποιμένες ἠφρονεύσαντο, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν· διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομὴ, καὶ διεσκορπίσθησαν. »

Διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν, καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων ἐξ Ἐφραΐμ.

Σ'. Ἐπειδὴ γὰρ, φησὶ, τετρυφήκασι, τὴν εἰς Θεὸν ἀφέντες ἀγάπην, τεθαρσήκασι δὲ καὶ ἐπὶ τὸ ὄρος Σαμαρείας, τουτέστι, τοῖς οὖσιν ἐν Σαμαρείᾳ, μεγάλην ὀφρῦν ἀνασπῶντες, καὶ ἡγούμενοι ὡς ἀμετρήτου πλήθους ἐξάρχοντες, καὶ ἀριθμοῦ κρεῖττον ἔχοντες τὸ μάχιμον γένος, ταύτητοι, φησὶν, ἥξει μὲν, ἥξει καὶ μάλα γοργῶς κατὰ πάντων ὁ τῆς αἰχμαλωσίας καιρός. Πρωτόλειον δὲ ποιήσεται τοὺς δυνατωτέρους. Ἀεὶ γὰρ πολέμιοι καταδῃοῦντες πόλιν ἐπὶ τοὺς τῶν ἐπισημοτέρων τρέχουσιν οἴκους, τὰ ἐν αὐτοῖς διαρπάσοντες. Ἐπειδὴ δὲ ἦν ἔθος τοῖς ἐν Σαμαρείᾳ λαμπροῖς, τοῖς ἐξαιρέτοις τῶν ἵππων ἐποχεῖσθαι φιλεῖν, οἱ δὲ, κατὰ τὸ εἰκὸς, διὰ μέσων ᾔεσαν τῶν πλατειῶν, ἔννουν τι, καὶ σοφὸν, καὶ οἷον ἐξ ἐπιστήμης ὑποχρεμετίζοντες (ἕτοιμον γὰρ ἀεί πως τὸ ζῷον εἰς εἴδησιν εὐκοσμίας καὶ τῆς αὐτῷ πρεπούσης ἐπιστήμης παραδοχὴν), καὶ τοῦτο πεπαύσεται, φησί. « Ἐξαρθήσεται γὰρ, φησὶ, χρεμετισμὸς ἵππων ἐξ Ἐφραΐμ· » ὅμοιον ὡσεὶ λέγοι· Πεπαύσονται τῆς ἀγερωχίας τῶν ἐν Σαμαρείᾳ πολλοὶ, καταλήξουσι δὲ, καὶ

A non fugacia reputant. Universa namque ista prætervolant, et mundana fallacia firmitudinis nihil habet. Quippe ut umbræ evanescunt, et, ut scriptum est, « præterit figura hujus mundi [87], » et deliciæ omnino in ipsa morte desinunt. Porro de Samaritanis etiam alius dictorum sensus esse potest. Quoniam enim in servitutem, nec ita multo post, redigendi erant, ait labentia et instabilia esse ab ipsis ad voluptatem vane comparata, veluti jamjam præteritura. Plaudunt igitur inter concentus musicos, bibentes vinum odoratum fortasse, et colatum probe. Unguentis etiam excellenti compositione unguntur, et Joseph contritum iri, nihil pensi habent penitus. Quamvis enim brevi eventuram calamitatem, captivitatemque Samariæ, et in Joseph
B futuram contritionem præscirent, tamen a consueta sibi luxuria non discedebant. Vere igitur miserrimum est, regionum, urbium, populorum principes ac rectores corporeis voluptatibus succumbere. Nam cum eos magis, muneri suo congruentem vigilantiam fideliter adhibentes, conducibilia circumspicere, et ad officii normam subjectos dirigere, et omni ratione Deum offensum mitigare oporteat, quomodo non insaniæ plenum censeamus, abjicere se in voluptates corporis, et cura carnis impuræ nihil melius ducere? De his per sanctos prophetas dictum crediderim: « O pastores, dispergentes, et dispersi oves pascuæ meæ [88]. » Propter ignaviam enim pastorum subditos venire in discrimen, liquere potest
C ex eo, quod rursum Deus aperte dicit: « Quia pastores stulte egerunt, et Dominum non quæsierunt: propter hoc non intellexit omnis grex, et dispersi sunt [89]. »

VERS. 7. *Propterea nunc captivi erunt ab initio potentium, et auferetur hinnitus equorum ex Ephraim.*

LX. Quoniam vero, posthabita dilectione Dei, in deliciis vixerunt, inquit, et confiderunt in montem Samariæ, id est, in habitatoribus Samariæ, supercilium tollentes, existimantesque se immensæ multitudini præesse, habereque bellatores innumerabiles, idcirco veniet, veniet, et maturrime adversum omnes captivitatis tempus. Initium autem faciet a
D potentioribus. Semper enim hostes **317** dum urbem vastant, illustriorum domos incursant, easque diripiunt. Quia vero optimatibus in Samaria mos erat gaudere singularibus equis, a quibus portarentur, qui, ut verisimile est, per medias plateas gradientes, quasi cogitato, et prudenter, et scienter hinniebant (semper enim animal hoc ad notitiam decentiæ, et naturæ suæ convenientem scientiam suscipiendam promptum est), etiam hoc desinet, inquit. « Auferetur enim, inquit, hinnitus equorum ex Ephraim; » perinde ac si dicat, Compescetur insolentia multorum in Samaria, et quamvis nolentes cessabunt sese, dum procedunt, per hinnitus equorum

[87] I Cor. VII, 31. [88] Jerem. XXIII, 1. [89] Jerem. X, 21.

Digitized by Google

suorum omnibus spectandos prodere; qui insignibus phaleris ornati, equitem etiam fortasse agnoscunt, et propemodum inflantur animis, cum se honorabilem et spectatum sessorem habere sentiunt. Verum, moderationem principibus conciliare securitatem, tollere autem spiritus, afferre detrimentum, etiam hinc perspicias. Ipsos siquidem nihilominus, et quidem ante alios ira divina adorietur, et omni splendore suo spoliabuntur. Jacebunt simul cum aliis, acerbum et grave sustinentes judicium ; et quia non seipsos solum perdiderunt, sed alios insuper in scelere socios sibi asciverunt, rationem reddent.

A

Vers. 8. *Quia juravit Dominus per semetipsum, Quia abominor ego omnem superbiam Jacob, et regiones ejus odio habui.*

LXI. Immutabilitatem iræ divinæ exprimit, docens jurasse Deum se odisse superbiam Jacob. Nec ad Jacob patriarcham hanc detestationem pertinere dicimus : esset enim stulta hæc intelligentia, cum eum Deus ab utero dilexerit, et adhuc maternis inclusum visceribus elegerit [90]. Jacob igitur rursum posteros Jacob nominat, quorum exsecrandam superbiam (ὕβριν, insolentiam namque mos est Scripturæ sanctæ appellare, quæ alias ὑπερηφία, superbia) odisse se inquit. An enim superbia non est, inquit, cultum Dei aspernari, gloriamque illi convenientissimam idolis tribuere : neque audire velle, quæ per sanctos prophetas indicare voluerit : et ejus minas velut ludibrio habere, commilitonumque multitudine conflisos, ejus veniam et opem omnino contemnere? Et quomodo de hoc dubitari possit ? « Juravit igitur per semetipsum, inquit, **318** universorum Dominus. » Per semetipsum, quoniam majorem per quem juraret, habebat neminem. Quid autem juravit? « Quia abominor omnem insolentiam, sive superbiam et omnes eorum regiones odio habui [91]. » Non enim repertus est in illis divinæ voluntatis cultor : non qui eum veneraretur, et justitiæ laudibus excelleret. Non enim fuisset aversus Deus, si qui apud eos, saltem pauci numero, fuissent, qui placere ei studuissent. Quamobrem per Jeremiam ait : « Concursate vias Jerusalem, et videte, et quærite in plateis ejus, si inveniatis virum, si est faciens judicium, et diligens fidem, et propitius ero eis, dicit Dominus [92]. » Quoniam autem regiones Jacob nec unum bonum et Dei amantem virum habebant, idcirco datæ sunt in desolationem, et urbes una cum incolis interierunt. Vehementer itaque sanctis opus est : servant enim urbes, et regiones clade impendente liberant, iram Dei quantumvis ferventem vitæ claritudine retundentes, seu hebetantes, et impetus ejus iracundiæ incursantes nos, quasi retrahentes.

B

C

D

Vers. 9-11. *Et auferam civitatem cum omnibus quæ in ea. Et erit, si relicti fuerint viri in domo una,*

οὐχ ἑκόντες, τοῦ περιφανεῖς ποιεῖσθαι τὰς προόδους, ὑποχρεμετιζόντων αὐτοῖς τῶν ἵππων, οἳ λαμπροῖς φαλάροις κατεστεμμένοι, τὸν ἐπιβάτην τάχα που καὶ ἐπιγινώσκουσι, μονονουχὶ καὶ φυσῶσι μέγα, σεπτόν τε καὶ ἀξιάγαστον ἐπαναθέμενοι τὸν ἡνίοχον. Ἀλλ' ὅτι τὸ νήφειν τοῖς ἡγουμένοις ἀσφαλὲς, τό γε μὴν ὑπτιοῦσθαι φιλεῖν ἐπιζήμιον, κἀντεῦθεν ἂν μάθοις. Ἐπ' αὐτοὺς γὰρ ἔσται, καὶ πρό γε τῶν ἄλλων, τὰ ἐξ ὀργῆς. Καὶ ἁπάσης μὲν εὐκλείας ἐξωσθήσονται. Κεῖσονται αὐτοὶ τοῖς ἄλλοις ὁμοῦ, πικρόν τι καὶ δυσαχθὲς ἔχοντες κρῖμα· καὶ ὅτι μὴ μόνον ἑαυτοὺς ἀπολωλέκασι, προσέθεσαν δὲ καὶ ἑτέρους ταῖς ἑαυτῶν παρανομίαις, ἀπολογήσονται.

Ὅτι ὤμοσε Κύριος καθ' ἑαυτοῦ· Διότι βδελύσσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν Ἰακὼβ, καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα.

ΞΑ'. Τὸ ἀμετάθετον τῆς ὀργῆς ἀποφαίνει, δεικνὺς ὁμωμοκότα Θεὸν, ὡς εἴη μεμισηκὼς τὴν ὕβριν τοῦ Ἰακώβ. Καὶ οὐ δήπου φαμὲν, ὅτι τοῦ προπάτορος Ἰακὼβ ὁ λόγος ποιεῖται κατάρρησιν· κομιδῇ γὰρ εὔηθες τὸ τῇδε νοεῖν, ὅτι καὶ ἠγάπησε τὸν Ἰακὼβ ἐκ μήτρας, καὶ ἀπόλεκτον ἐποιεῖτο καὶ ἔμβρυον ὄντα Θεός. Ἰακὼβ δὲ πάλιν φησὶ τοὺς ἐξ Ἰακὼβ, ὧν τὴν ἐπάρατον ἀλαζονείαν (ὕβριν γὰρ ἔθος τὴν ὑπερηφίαν ὀνομάζειν τῇ θείᾳ Γραφῇ) μεμισηκέναι φησίν. Ἡ γὰρ οὐχὶ τὸ χρῆμά ἐστιν ὑπερηφίας λοιπὸν, τὸ παρωθεῖσθαι, φημὶ, τὸ εἰς Θεὸν σέβας, εἰδώλοις δὲ ἀπονέμειν τὴν αὐτῷ πρεπωδεστάτην ὅτι μάλιστα δόξαν, καὶ προστέτι τούτοις μηδὲ ἐπαΐειν ἀξιοῦν ὧν ἂν ἔλοιτο δηλοῦν διὰ προφητῶν ἁγίων, ἄθυρμα δὲ ὥσπερ ποιεῖσθαι τὴν ἀπειλὴν, καὶ πλήθει συμμάχων ἐπαθαρσήσαντας, ἀλογῆσαι παντελῶς τῆς παρ' αὐτοῦ φειδοῦς καὶ ἐπικουρίας; Εἶτα, πῶς τοῦτο ἀμφίβολον; « Ὡμόμοχε τοίνυν καθ' ἑαυτοῦ, φησὶν, ὁ τῶν ὅλων Κύριος. » Καθ' ἑαυτοῦ δὲ, ὅτι κατ' οὐδενὸς εἶχε μείζονα ὀμόσαι. Τί δὲ τὸ ὀμωμοσμένον; « Ὅτι βδελύσσομαι πᾶσαν τὴν ὕβριν Ἰακὼβ, ἤτοι τὴν ὑπερηφίαν, καὶ ἁπάσας δὲ αὐτῶν μεμίσηκα τὰς χώρας. » Οὐ γὰρ ἦν ὁ τὸ σέβας ἀνάπτων αὐτῷ, καὶ τοῖς εἰς δικαιοσύνην αὐχήμασι διαπρέπων. Οὐ γὰρ ἂν ἀστράφη Θεὸς, εἴπερ τινὲς ἦσαν, κἂν γοῦν εὐαρίθμητοι, παρ' αὐτοῖς, οἷς ἦν ἐν λόγῳ τὸ ἀνδάνον αὐτῷ. Καὶ γοῦν φησι διὰ φωνῆς Ἱερεμίου· « Περιδράμετε ἐν ταῖς ὁδοῖς Ἱερουσαλὴμ, καὶ ἴδετε, καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς, ἐὰν εὕρητε ἄνδρα, εἰ ἔστι ποιῶν κρῖμα, καὶ ἀγαπῶν πίστιν, καὶ ἵλεως ἔσομαι αὐτοῖς, λέγει Κύριος. » Ἐπειδὴ δὲ τοῦ Ἰακὼβ αἱ χῶραι γεγόνασιν ἐν ἐνδείᾳ παντὸς ἀγαθοῦ καὶ θεοφιλοῦς ἀνδρὸς, ταύτητοι δέδονται πρὸς ἐρήμωσιν, καὶ ὁμοῦ τοῖς ἐνοικοῦσιν ἀπολώλασιν αἱ πόλεις. Πολλὴ τοιγαροῦν τῶν ἁγίων ἡ χρεία· σώζουσι γὰρ πόλεις, καὶ ἀπαλλάττουσι χώρας συμφορᾶς ἐπιτρεπτικῆς, τῇ τοῦ βίου φαιδρότητι παρεγκόπτοντες ἐπὶ τὸ ῥᾴθυμον καίτοι ζέοντα τὸν θυμὸν, καὶ οἷον ἀνασειράζοντες ἐπιτρέχοντα τὰ ἐκ θείας ὀργῆς κινήματα.

Καὶ ἐξαρῶ πόλιν σὺν πᾶσιν τοῖς ἐν αὐτῇ Καὶ ἔσται, ἐὰν ὑπολειφθῶσιν ἄνδρες ἐν οἰκίᾳ μιᾷ,

[90] Malach. i, 2, 3. [91] Hebr. vi, 13. [92] Jerem. v, 1.

Digitized by Google

καὶ ἀποθανοῦνται, καὶ ὑπολειφθήσονται οἱ κατάλοιποι, καὶ λήψονται οἱ οἰκεῖοι αὐτῶν, καὶ παραδώσονται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου, καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας, Εἰ ἔτι ὑπάρχει παρὰ σοί; Καὶ ἐρεῖ· Οὐκ ἔτι· Καὶ ἐρεῖ· Σίγα, ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα τοῦ Κυρίου.

et morientur, et relinquentur reliqui, et capientur domestici eorum, et cogentur ut efferant ossa eorum de domo, et dicet præsidentibus domus, Si adhuc est apud te? et dicet, Non adhuc. Et dicet : Tace, ut non nomines nomen Domini.

ΣΒ'. Ἐπειδὴ γὰρ μεμίσηκε μὲν αὐτῶν τὰς χώρας, καταμυσσάττεται δὲ καὶ πᾶσαν τὴν ὕβριν Ἰακώβ, ἤτοι τὴν ἀλαζονείαν αὐτῶν, αὐτάνδρους τὰς παρ' αὐτοῖς ἀπολλῦναι πόλεις ταύτητοί φησι. Τὸ δὲ ὅπως ἕκαστα τοῖς ἐκείνα πεπλημμεληκόσι συμβήσεται, διερμηνεύει λεπτῶς. Ἐξαρῶ γάρ, φησὶν, ἣν ἂν βούλομαι πόλιν, καὶ οἷον ἐκ μέσου ποιήσομαι τοῖς κατοίκοις ὁμοῦ. Κἂν εἰ γένοιτο τυχὸν δέκα τινὰς τῶν ἐκ μιᾶς ὄντων οἰκίας διαδράναι μὲν τῶν πολεμίων τὸ ξίφος, εἰσδῦναι δὲ εἰς μυχοὺς καὶ εἰς τὰ ἐσώτερα τῆς οἰκίας, τεθνήξονται, δεδιότες τάχα που κἂν γοῦν προκύψαι βραχὺ τῶν ἐν οἷς εἰσι μυχῶν. Διαδέξεται τοίνυν τὴν τοῦ παίοντος χεῖρα, φησὶν, ὁ λοιμὸς, καὶ ἀποκτενεῖ τοὺς κεκρυμμένους. Ἀποκεχωρηκότων δὲ τῶν ἐχθρῶν, ἥξουσί τινες τῶν ἐξ αἵματός τε καὶ κατὰ διάθεσιν οἰκείων, « Καὶ παραδιῶνται τοῦ ἐξενεγκεῖν τὰ ὀστᾶ αὐτῶν. » Τίνα δὲ καταδιάσονται, τὰ τῶν τεθνεώτων συναγείροντες λείψανα; Ἑαυτοὺς δηλονότι. Φορτικὸν γὰρ καὶ δύσοιστον ἀληθῶς τὸ μυδώντων ἤδη καὶ σεσηπότων ἅπτεσθαι σωμάτων, καὶ ῥινὸς, οἶμαί που, μὴ τετρημένης τοῖς τὰ τοιάδε τολμῶσι χρεία· κακοσμίας γὰρ τῆς οὕτω δεινῆς οὐδὲν ἂν γένοιτο χεῖρον. Ἑαυτοὺς οὖν ἄρα καταδιάσονται, τοῖς κατοιχομένοις καὶ ἀπολωλόσιν ὑπὸ λοιμοῦ τὸ συμπαθὲς χαριζόμενοι, διὰ τοῦ τάφων καὶ περιστολῆς ἀξιοῦν αὐτούς. Οἱ δὲ τοῦτο δρῶντες, φησὶ, περιεργάσονται λοιπὸν παρὰ τοῦ τὴν οἰκίαν εἰδότος, μὴ ἄρα τις εἴη μετ' ἐκείνους ἕτερος, ἢ ζῶν ἔτι τυχὸν καὶ ἐν μυχοῖς λανθάνων, εἴτε τεθνεὼς ἤδη καὶ ὀδωδώς. Ὁ δὲ ἀποκρινεῖται, λέγων· « Οὐκ ἔτι. » Τοῦτο δέ ἐστιν ἕτερον οὐδέν, ἢ παντελοῦς ἐρημίας ἀπόδειξις ἐναργής. Ἀλλ' εἰ τοῦτο λέγοιεν οἱ τῆς οἰκίας προεστηκότες, ἀνταικούσονται, φησὶ, παρὰ τοῦ τὴν πεῦσιν προσάγοντος· « Σίγα, ἕνεκεν τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα Κυρίου. » Καὶ τί δὴ τοῦτό ἐστιν, ἀναγκαῖον ἰδεῖν. Τινὲς μὲν οὖν οἴονταί τε καὶ φασιν, ὅτι μέλλοντας ὀμνύναι τοὺς τῆς οἰκίας προεστηκότας, οἱ ἐρωτῶντες κατασιγάσουσιν, ἵνα μὴ ὀμοσωσι τὸ ὄνομα Κυρίου. Προσεπάγουσι δὲ, ὅτι πρὸς τοῦτο τοῖς ἐξ Ἐφραΐμ τῆς ἐσχάτης ἀφιλοθεΐας κατώλισθεν ὁ νοῦς, ὡς μηδὲ ἀνέχεσθαί τινων, εἴπερ ἔλοιντό πως τὸν τῶν ὅλων ὀνομάζειν Θεόν. Ἔστι δὲ, οἶμαι, σαθρὸς κομιδῇ, καὶ τὸ ἀκαλλὲς ἔχων ὁ τοιόσδε λόγος· ὅτι γὰρ ἀπέθορον τῆς εἰς Θεὸν ἀγάπης ὁλοτρόπως οἱ ἐξ Ἐφραΐμ, ἐνδοιάσειεν ἂν οὐδείς. Ἀλλ' ἐκ πληγῶν καὶ μάστιγος γεγονότας σωφρονεστέρους, εἰκὸς δὴ μᾶλλον καταδεῖσαι βραχὺ, καὶ μεταφοιτῆσαι λοιπὸν πρὸς τὸ χρῆναί τι βούλεσθαι τῶν ἀναγκαιοτέρων, οὐκ ἐκ τῶν ἐναντίων ἀγρίως οὕτως καταθρασύνεσθαι τῆς εἰς Θεὸν εὐσεβείας. Ἄλλως τε (προσθείην γὰρ ἂν τοῖς εἰρημένοις καὶ τόδε) ποία γὰρ ἦν ἀνάγκη τοῖς προεστηκόσι τῆς οἰ-

LXII. Quoniam igitur odio habuit ipsorum regiones, et abominatur omnem insolentiam Jacob, sive superbiam eorum, idcirco ait, cum ipsis incolis eorum urbes esse perituras. Quo pacto autem singula illorum scelerum reis eventura sint, ad amussim explanat. Auferam, inquit, quam voluero civitatem, et quodammodo e medio tollam una cum ipsis incolis. Et si forte ex una domo decem superesse contigerit, qui gladium hostilem fugientes, recessus, et abdita ædium subeant, morientur, timentes forte saltem aliquantum e latebris prospicere. Excipiet igitur ferientis manum pestilentia, inquit, et absconditos occidet. Digressis autem hostibus, venient quidam sanguine et affectu domestici, « Et cogent efferre ossa eorum. » **319** Quem porro cogent mortuorum reliquias colligere ? Semetipsos videlicet. Est enim sane molestum et intolerabile corpora jam tabentia et putrescentia attingere, et hujusmodi negotium peragentibus clausis naribus opus est : tam tetro enim odore nihil pejus fieri queat. Semetipsos igitur cogent defunctis ac peste consumptis commiserationem tribuentes, nec cadavera ipsorum involvere, et sepulcris condere dedignantes. Hoc autem facientes, inquit, curiosius deinde quæreut ab eo, qui domum novit, num quispiam præter illos sit alius, aut vivus adhuc fortasse, et in latebris jacens, aut jam mortuus et fetens. Qui respondebit, « Non adhuc. » Hoc autem aliud non est, quam omnimodæ solitudinis luculenta demonstratio. Verum si hoc dixerint præsides domus, vicissim audient, inquit, ab interrogante, « Tace, ut non nomines nomen Domini. » Hoc quid sit, plane cognoscendum est. Quidam igitur putant, affirmantque juraturos domus dominos ab interrogantibus prohibitum iri, ne per nomen Domini jurent. Addunt vero Ephraimitas usque adeo ad extremam a Deo alienationem prolapsos, ut volentes quosdam ne nominare quidem Deum universorum paterentur. Est autem, opinor, putida vehementer et indecora hujusmodi oratio. Quin enim Ephraimitæ a charitate Dei penitus resiluerint, nemo dubitaverit; sed ex plagis et flagellis factos cautiores, æquum erat potius timere aliquantum, et deinceps ad salubriora consilia capessenda procedere, nec e rebus adversis tam ferociter et audacter contra divinam pietatem loqui. Adhæc (adjiciam enim dictis istud quoque) quid, quæso, ædium præpositos interrogatos, quisnam apud eos aut vivus adhuc fortasse, aut saltem mortuus jam lateret, etiam addere sacramentum cogebat, neminem amplius apud se esse? Quid est ergo, « dicet: Tace, ne nomines nomen Dei? » Arbitramur quia

Digitized by Google

adversus Deum execrationem et maledictum filiis Israel sic interdicere solebant, principio ducto ex mandatis legis. Scriptum est enim in Levitico, duos viros jurgatos inter se in castris; deinde alterum pugnantium (nempe Ægyptiæ filium) blasphemasse nomen Dei, et lapidibus esse obrutum. Statimque Deus hæc verba apponit : « Homo si maledixerit **320** Deo suo, peccatum accipiet : nominans autem nomen Domini, morte moriatur [93]. » Nominare itaque nomen Domini, maledicere est, quod a sacris Litteris vocibus boni ominis exprimitur. Quia vero multi consueverunt, cum in aliquo dolore, aut mœrore versantur, voces aliquando maledicas in Deum jactare, Renuntianti, inquit, domus præsidi, sive domino, neminem præterea apud se esse, quanquam gravissimis calamitatibus circumvento et oppresso, obturabis os, inquit, ne nominet nomen Domini, hoc est, ne quid contumeliosum contra Deum effutiat. Quibus verbis, non temere illis plagam seu pœnam irrogatam, nec immerito, sed necessario et utiliter eos puniri ostenditur. Licet enim, licet, et quidem facillime, ab exemplo non ita veteri videre, vivos adhuc et relictos alienis calamitatibus ad religionem conversos esse, et incussisse timorem ultra Deum offendendi, et vel nudo verbo lædendi, etiam iis qui olim hoc facere minime verebantur, verbis suis in patres quoque contumelias apponentes. Quamobrem vere boni ac prudentes multo melius censent, ante cladem et flagella, ad utilitatis portum se conferre, et a pravitate discedendo, statuendoque, quæ Deo vero omnium sanctissimo placent, iis rite fungi, experientiamque divini furoris antevertere.

κίας ἐρωτωμένοις εἰπεῖν, τίς ἆρα παρ' αὐτοῖς ἢ ζῶν ἔτι τυχὸν, ἢ γοῦν τεθνεὼς ἤδη λανθάνει, προσθεῖναι καὶ ὅρκον, ὡς οὐδεὶς ἔτι παρ' αὐτοῖς; Τί οὖν ἐστι τὸ, « Ἐρεῖ· Σίγα, ἕνεκεν τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα Κυρίου; » Φαμὲν, ὅτι τὴν κατὰ Θεοῦ κατάῤῥησίν τε καὶ βλασφημίαν ἔθος ἦν οὕτως ἀποκαλεῖν τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἐκ νομικῶν ἐνταλμάτων ἔχουσι τὴν ἀρχήν. Γέγραπται γὰρ ἐν τῷ Λευϊτικῷ, ὅτι δύο τινὲς ἄνδρες συνεπλάκησαν ἀλλήλοις ἐν τῇ συναγωγῇ. Εἶτα δεδυσφήμηκεν εἷς τῶν μεμαχημένων, ὁ τῆς Αἰγυπτίας υἱὸς, καὶ τελευτᾷ μὲν λιθόλευστος. Ἐτέθει δὲ νόμον εὐθὺς τὸν ἐπὶ τῷδε Θεὸς, οὕτω λέγων· « Ἄνθρωπος ἐὰν καταράσηται Θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται. Ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω. » Οὐκοῦν τὸ ὀνομάσαι τὸ ὄνομα Κυρίου, τὸ δυσφημεῖν ἐστιν, εὐφήμοις λέξεσι διὰ τῶν ἱερῶν ἐκπεφωνημένον Γραμμάτων. Ἐπειδὴ δὲ πολλοῖς ἔθος, εἰ γένοιντό πως ἐν λύπαις, παλιμφήμους ἔσθ' ὅτε ῥίπτειν κατὰ Θεοῦ φωνὰς, ἀπαγγέλλοντα, φησὶ, τὸν προεστηκότα τῆς οἰκίας, ὡς οὐδεὶς ἐστιν ἔτι παρ' αὐτῷ, καίτοι πεπονθότα τὰ ἐξ ἀνηκέστων συμφορῶν, ἐπιστομιεῖ, φησὶ, ἵνα μὴ ὀνομάσῃ τὸ ὄνομα Κυρίου, τουτέστιν, ἵνα μή τι τῶν παλιμφήμων εἴπῃ κατὰ Θεοῦ. Τοῦτο δ' ἐστιν οὐκ εἰκῇ δεικνύοντος ἐπενηνεγμένην αὐτοῖς τὴν μάστιγα, καὶ κολάζοντος οὐ μάτην, ἀλλ' ἐπὶ χρησίμῳ καὶ ἀναγκαίῳ. Ἔστι γὰρ, ἔστι, καὶ μάλα εὐκόλως, ὡς ἀπό γε τοῦ συμβεβηκότος ἰδεῖν, ὅτι μετέστησεν εἰς εὐλάβειαν τοὺς ζῶντας ἔτι καὶ παραλελειμμένους ἡ τῶν πεπονθότων πληγὴ, καὶ δεδιέναι παρεσκεύασε τὸ προσκρούειν ἔτι τῷ Θεῷ, κἂν γοῦν ἐν ψιλοῖς αὐτὸν καταλυπῆσαι λόγοις, καίτοι πάλαι καὶ τοῦτο ὄρᾳν ἀφυλάκτως εἰωθότας, προστιθέντας δὲ τοῖς λόγοις καὶ τὰς ἐν αὐτοῖς πατράσιν ὕβρεις. Οὐκοῦν ἄμεινον παρὰ πολὺ τοῖς γε ἀληθῶς ἀγαθοῖς καὶ σώφροσι, πρὸ πληγῆς καὶ μάστιγος ἐπὶ τὴν τοῦ συμφέροντος ἰέναι θήραν, καὶ φθάσαι τὴν πεῖραν τῶν ἐξ ὀργῆς κινημάτων, ἀποφοιτῶντας φαυλότητος, καὶ κατορθοῦν ἡρημένους ἅπερ ἀνδάνει κατὰ τὸ ἀληθὲς τῷ παναγίῳ Θεῷ.

Vers. 12. *Quia ecce Dominus mandabit, et percutiet domum magnam confractionibus, et domum parvam rupturis.*

LXIII. Captum, vel potius perditum iri urbes simul cum habitatoribus suis aperte comminatus est. A Deo autem, non per se, et casu rem eventuram clarissime liquet ex eo, quod Dominus id negotii mandabit vastare valentibus, et illi facile patrabunt, quæ divinus furor decreverit. Domum autem magnam et parvam, Ephraim fortasse et Judam nominat. Populosus enim fuit Ephraim, utpote decem tribubus constans, quocirca et magna domus. Minor autem Judas, ut duabus tantum : ipse siquidem Hiero-olymis erat, et tribus Benjamin. Est enim consequens cogitare, quod frangitur, integre et perfecte collabi : quod autem rumpitur, merito intelligi ex parte pati. Contigit porro domum Ephraim, sive Israelem totum in servitutem redigi, et bello extrema perpeti : ex parte autem Judam, velut brevi ruptura idem perpeti. Justus est judex, **321** nec personas accipit [94]. Pari enim mensura supplii-

Ὅτι ἰδοὺ Κύριος ἐντελεῖται, καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι, καὶ τὸν οἶκον τὸν μικρὸν ῥήγμασιν.

ΞΓ'. Ἀλώσεσθαι μὲν, μᾶλλον δὲ ἀπολεῖσθαι πόλεις ὁμοῦ τοῖς κατοικοῦσιν αὐτὰς, ἠπείλησεν ἐναργῶς. Ὅτι δὲ παρὰ Θεοῦ τὸ χρῆμα, καὶ οὐκ αὐτομάτως ἔσται συμβεβηκὸς, σαφηνίζει λίαν τὸ ἐντέλλεσθαι μὲν αὐτὸν τοῖς καταδηοῦν ἰσχύουσιν, ἐκείνους δὲ ῥᾳδίως ἅπερ ἂν ὁ θεῖος ὁρίζει θυμός. Οἶκον δὲ μέγαν, καὶ μικρὸν, τὸν Ἐφραΐμ τάχα που καὶ τὸν Ἰούδαν ἀποκαλεῖ. Πολυάνθρωπος ὁ Ἐφραΐμ, ὡς ἐν φυλαῖς μετρούμενος δέκα· ταύτηνοι καὶ ὁ μέγας οἶκος. Μείων γε μὴν Ἰούδας, ὡς ἔν γε δυσὶν· αὐτὸς γὰρ ἦν ἐν τοῖς Ἱεροσολύμοις, καὶ φυλὴ Βενιαμίν. Ἐννοεῖν δὲ ἀκόλουθον, ὅτι τὸ μὲν θλώμενον ἔχει πως ὁλοτελῆ τὴν κατάπτωσιν· τὸ δέ γε ῥηγνύμενον νοεῖτ' ἂν εἰκότως ὡς πάσχον ἐκ μέρους. Συμβέβηκε δὲ τὸν μὲν οἶκον Ἐφραΐμ, ἤτοι τὸν Ἰσραὴλ, τελείαν ὑπομεῖναι τὴν ἅλωσιν, καὶ δυσίατον τὴν ἐκ τοῦ πολέμου συμφορὰν, ἀπὸ μέρους δὲ τὸν Ἰούδαν καὶ ὡς ἐν βραχεῖ ῥήγματι τοῦτο παθεῖν. Δίκαιος ἦν ὁ κριτὴς καὶ

[93] Levit. xxiv, 10-23. [94] Rom. II, 11.

Digitized by Google

ἀπροσωπόληπτος. Ταλαντεύει γάρ, ὡς ὁρᾷς, τὰ πόλεων ἢ χωρῶν ἐγκλήματα, καὶ ἀναλόγως ἑκάστῳ τὴν ὠφελεῖν ἰσχύουσαν ἐπάγει πληγήν. Μὴ τοῦν καταφρονῶμεν Θεοῦ, τὸ πάναλκες εἰδότες τῆς ὑπερτάτης χειρός. Χρῆμα γὰρ ἄριστον ἡ εἰς τοῦτο σύνεσις.

Εἰ διώξονται ἐν πέτραις ἵπποι; εἰ πυρασιωπήσονται ἐν θηλείαις; Ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρῖμα, καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν.

ΞΔ'. Ὅτι δὴ πάλιν αὐτὸς ἐντέλλεται, καὶ κατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι, καὶ τὸν οἶκον τὸν μικρὸν ῥήγμασι, κἂν εἰ διὰ τῆς τῶν Ἀσσυρίων πράττοιτο χειρὸς, πάλιν ἡμᾶς ἀναπείθει, λέγων· « Εἰ διώξονται ἐν πέτραις ἵπποι; » Ὅμοιον γὰρ ὡς εἰ λέγοι σαφῶς· Ἀγέρωχον μὲν τὸ ζῶον, καὶ τῶν ὅτι μάλιστα δρομικωτάτων ὁ ἵππος· ἀλλὰ τόπος αὐτῷ εἰ; τὸ θέειν ἐπιτήδειος, οὐκ εἴ τις εἴη πετρώδης, καὶ ὄχθου πλέως, ἀλλ' ὁ ψιλός τε καὶ λεῖος. Εἶτά πως ὑμῶν καταδεδραμήκασιν οἱ Ἀσσύριοι, καίτοι πάλαι τραχέος τε λίαν καὶ οἱονεὶ πετρώδους ὄντος, καὶ ὑπ' οὐδενὸς πώποτε τῶν πολεμίων πεπατημένου. Ἀλλ' ἦν Θεὸς ὁ ἡτιμωμένος, ὁ τὰ σκληρὰ καὶ δυσπόρευτα τοῖς πολεμίοις τιθεὶς βάσιμα καὶ ἱππήλατα. Ὥσπερ δὲ, φησὶν, οὐκ ἂν παύσαιντο ὀρεκτιῶντες ἵπποι, καὶ τῇ φύσεως κέντροις θηλείαις παρούσαις ἐπιθηγόμενοί τε καὶ ἐπιθρώσκοντες· οὕτως οὐκ ἂν ἡρεμήσειαν οἱ ἐχθροὶ, θερμοτάτην τινὰ, καὶ ἀκάθεκτον κατὰ τῶν δεδυσσεβηκότων ποιούμενοι τὴν ὁρμήν· καὶ ἡ τοῦδε πρόφασις ὑμεῖς, καὶ σὺχ ἕτεροι. Τὸ γὰρ ἐμοὶ δίκαιον περὶ ὑμᾶς κρῖμα παρετρέψατε, φησὶν, εἰς θυμὸν, καὶ ἀντὶ τοῦ καρποὺς ἔχειν δικαιοσύνης, τὸν ἁπάσης ὑμῖν εὐθυμίας πρύτανιν ἐξεβιάσασθε πρὸς ὀργὰς, πικρίας ἄξια δεδυσσεβηκότες. Ἠλέει μὲν γὰρ ὁ τῶν ἁπάντων Θεὸς ὡς ἐν Αἰγύπτῳ πεπονηκότα τὸν Ἰσραὴλ, ἀλλ' οὐ διαλελοίπασι παροτρύνοντες. Καὶ τοῦτο, οἶμαι, ἐστὶ τὸ, « Ἐξεστρέψατε εἰς θυμὸν κρῖμα. » Δεινὸν οὖν ἄρα τῆς ἀχαριστίας τὸ ἔγκλημα· κολάζεται δὲ, καὶ σφόδρα δικαίως. Ὃν γὰρ ἔδει μᾶλλον ταῖς εὐφημίαις ἐξημεροῦν ἔτι, καὶ χριστηρίοις κατευφραίνειν φωναῖς, τὸ παροτρύνειν ἀμαθῶς πῶς οὐ παντὸς ὑμῖν ἔσται πρόξενον κακοῦ;

Οἱ εὐφραινόμενοι ἐπ' οὐδενὶ λόγῳ. Οἱ λέγοντες· Οὐκ ἐν τῇ ἰσχύϊ ὑμῶν ἔχομεν κέρατα; Διότι ἰδοὺ ἐγὼ ἐπεγερῶ ἐφ' ὑμᾶς, οἶκος τοῦ Ἰσραὴλ, ἔθνος, λέγει Κύριος τῶν δυνάμεων, καὶ ἐκθλίψουσιν ὑμᾶς, τοῦ μὴ εἰσελθεῖν εἰς Αἰμὰθ, καὶ ἕως χειμάῤῥου τῶν δυσμῶν.

ΞΕ'. Ἐστρέψατε, φησὶ, κρῖμα εἰς θυμὸν, καρπὸν δὲ δικαιοσύνης εἰς πικρίαν ὑμεῖς, οἱ μέγα φρονοῦντες ἐφ' ἑαυτοῖς, καὶ ὑψηλὴν ἀνασπῶντες κατὰ Θεοῦ τὴν ὀφρὺν, οἱ ἐπὶ σαθρῷ καὶ ἀσυνέτῳ χαίροντες λόγῳ. Εἰρήκατε γὰρ, οὐκ ἐμὲ γεγενῆσθαι χορηγὸν τῆς ἐνούσης ὑμῖν ἰσχύος, καὶ τοῦ καταθλεῖν δύνασθαι τῶν ἐχθρῶν. Ἀλλὰ ταῖς ἑαυτῶν δυνάμεσιν ἀναθέντες τὰ αὐχήματα, τετολμήκατε εἰπεῖν· « Οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔχομεν κέρατα; » Ὅμοιον δὲ ἦν ἐκεῖνο λοιπὸν, ὠλῶναι περιπεφρονηκότας, καὶ ἀσυνέτως λέγοντας· Αὐτοὶ κατεδυναστεύσαμεν, καὶ περιεσόμεθα τῶν ἐχθρῶν, κἂν εἰ μὴ ἤλοιτο προασπίζειν Θεὸς,

A cil urbium, aut regionum scelera compensat, ut vides, et proportione cuilibet plagam conducibilem infligit. Ne itaque contemnamus Deum, validissimum robur supremæ manus reputantes. Optima enim res, hujus rei intelligentia.

Vers. 13. *Si persequentur in petris equi, si taccbunt in feminis? Quoniam convertistis in furorem judicium, et fructum justitiæ in amaritudinem.*

LXIV. Rursum sese mandare, et percussurum domum magnam confractionibus, et minorem domum scissionibus, seu rupturis, tametsi per Assyriorum manum id futurum sit, nos admonet, dicens: « Si persequentur in petris equi. » Idem est enim ac si perspicue diceret: Superbum quidem est animal, et ad cursum aptissimum equus, sed locus ad B cursum ejus idoneus non erit petrosus, et clivorum plenus, verum nudus et planus. Sic vos percursabunt Assyrii, quamvis quondam populus asper et quasi petrosus fueritis, et a nullo unquam hoste subactus. Sed Deus est quem contempsistis, qui loca dura, et invia, hostibus pervia, et equitabilia facit. Quemadmodum autem non cessaverint equi appetere, et conspectis equabus naturæ stimulis incitati eas salire: ita non quiescent hostes, quin fervidissimo quodam et effrenato impetu contra impietatis reos irruant: atque hujus rei vosmet causa estis, non alii. Justum enim judicium meum circa vos pervertistis, inquit, in furorem, et pro eo, ut fructum haberetis justitiæ, omnis lætitiæ et jucunditatis vestræ præbitorem ad iram compulistis, C amaritudine digna impie amplexi. Miserabatur enim omnes Dominus, ut in Ægypto afflictum Israelem: sed non desierunt irritare. Et hoc est, opinor, quod ait: « Convertistis in furorem judicium. » Est igitur infandum crimen ingrati animi; plectitur autem et juste admodum. Quem enim magis adhuc benedicendo, et laudando oportebat emollire, et gratiarum actionibus exhilarare, huic stulte ad iram concitare, quomodo non perniciem nobis pariet?

Vers. 14, 15. *Qui lætantur in nullo sermone. Qui dicunt, Nonne in fortitudine nostra habemus cornua? Ideo ecce ego suscitabo super vos, domus Israel, D gentem, dicit Dominus exercituum, et conterent vos, ne ingrediamini* 322 *in Æmath, et usque ad torrentem Occidentis.*

LXV. Convertistis, inquit, judicium in furorem, et fructum justitiæ in amaritudinem, vos, qui magnifice circumspicitis vos ipsos, et supercilium contra Deum tollitis, qui in futili et insipienti sermone gaudetis. Dixistis enim non me donasse vobis robur vestrum, et posse vos debellare hostes vestros. Sed vestris viribus confisi, ausi estis jactabundi dicere, «Non in fortitudine nostra habemus cornua? » Hoc perinde est, ac si vos captos esse pro nihilo ducentes, stolide diceretis, Ipsi dominati sumus, et superabimus inimicos, et nisi voluerit nos protegere Deus, nos vincemus, et de tam splendide factis glo-

Digitized by Google

riandum, Deo nihil omnino ascribendum est. Superbia igitur, et insolentia contra Deum hujusmodi mens, atque res est. Atqui sapientissime David rerum omnium potenti Deo gloriam tribuebat, dicebatque : « Quoniam gloria virtutis eorum tu es [95]. » Et rursum : « In te inimicos nostros ventilabimus cornu [96]. » Omne enim robur ab ipso, nec a nobis præstari quidquam memorabile, ipso non præsente ac præsidente, possit. « Dominus enim conterit bella, » ut habet Scriptura [97]. Quoniam igitur eo jam arrogantiæ et incontinentiæ in loquendo progressi invenimini, ecce ego induco super vos gentem, Assyrios utique, et conterent vos, ne ingrediamini in Æmath, et usque ad torrentem Occidentis. Est igitur Æmath una urbium orientalium, tunc regno Damasci subjecta. Nunc autem mutato nomine, ut dixi, Antiochia, sive Epiphania appellatur. Torrentem porro Occidentis Ægyptiorum flumen intelligit, Ægypto scilicet ad occidentalem Judæam respiciente. Quia vero Israelitæ morem habebant, bello ingruente, aliquando a Damasco et Syris auxilium petere, aliquando in Ægyptiorum regionem se insinuare, ideo ait se suscitaturum gentem super eos. Illa autem veniet validis cum viribus, tantam ipsis vexationem importans, ut amplius in Æmath ingredi nequeant, neque torrentem Occidentis, hoc est, neque Damasci, neque Ægypti copias ad opem ferendam accersere. « Deo enim claudente quis aperiet? » ut ait Scriptura [98]. Et quis modus salutis, si is penes quem potestas est omnium, in exsilium compellat?

ἡμεῖς κεκρατήκαμεν, καὶ τοῖς οὕτω λαμπροῖς κατορθώμασι σεμνύνεσθαι χρὴ, Θεῷ τοπαράπαν νέμοντες οὐδέν. Ὑπερηφία δὴ οὖν, καὶ ὕβρις κατὰ Θεοῦ, τὸ ἀπόπληκτον οὕτω φρόνημά τε καὶ χρῆμα. Ἀλλ' ἦν ὅτι μάλιστα σοφὸς ὁ Δαβὶδ, τῷ τῶν ὅλων κατεξουσιάζοντι Θεῷ τὴν δόξαν ἀνατιθεὶς, καὶ λέγων· « Ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. » Καὶ πάλιν, « Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. » Πᾶσα γὰρ ἰσχὺς παρ' αὐτοῦ, καὶ οὐκ ἂν γένοιτό τι παρ' ἡμῶν ἀξιάκουστον, μὴ οὐχὶ συνόντος αὐτοῦ καὶ προεστηκότος. « Κύριος γὰρ συντρίβει πολέμους, » κατὰ τὸ γεγραμμένον. Ἐπειδὴ δὲ, φησὶν, εἰς τοῦτο λοιπὸν ἀλαζονείας καὶ ἀθυροστόματος πεσόντες ἀλίσκεσθε, ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος, δῆλον δὲ ὅτι τὸ τῶν Ἀσσυρίων, καὶ ἐκθλίψουσιν ὑμᾶς, τοῦ μὴ εἰσελθεῖν εἰς Αἰμὰθ ἕως τοῦ χειμάρρου τῶν δυσμῶν. Ἔστι μὲν οὖν ἡ Αἰμὰθ μία τῶν πρὸς ἠῶ πόλις, ὑπὸ τὴν Δαμασκοῦ βασιλείαν τοτηνικάδε κειμένη. Μετωνόμαστται δὲ νῦν, ὡς ἔφην, εἰς Ἀντιόχειαν, ἤγουν Ἐπιφάνειαν. Χείμαρρον δὲ δυσμῶν φησι τῶν Αἰγυπτίων ποταμὸν, κατὰ δυσμὰς τῶν Ἰουδαίων γῆς τῆς Αἰγύπτου κειμένης. Ἐπειδὴ δὲ ἦν ἔθος τοῖς ἐξ Ἰσραὴλ, πολέμου μέλλοντος ἐπιθρώσκειν αὐτοῦ, ποτὲ μὲν τὴν ἐκ Δαμασκοῦ καὶ Σύρων ἐπικουρίαν αἰτεῖν, ποτὲ δὲ τὴν τῶν Αἰγυπτίων ὑποτρέχειν χώραν, ταύτῃ, φησὶν, ὡς ἔθνος μὲν ἐπ' αὐτοὺς ἐγερεῖ. Οἱ δὲ ἥξουσιν εὐσθενεῖς, τοσαύτην αὐτοῖς ἐπιρρίπτοῦντες θλῖψιν, ὡς μὴ ἰσχύσαι λοιπὸν μηδὲ εἰς Αἰμὰθ εἰσελθεῖν, μήτε εἰς χειμάρρουν τῶν δυσμῶν, τουτέστι, μήτε Δαμασκοῦ, μήτε τὴν τῶν Αἰγυπτίων δύναμιν καλέσασθαι πρὸς ἐπικουρίαν. « Θεοῦ γὰρ συγκλείοντος, τίς ἀνοίξει; » κατὰ τὸ γεγραμμένον. Ποῖος ἔσται σωτηρίας τρόπος, τοῦ πάντα ἰσχύοντος εἰς ὄλεθρον συνελαύνοντος;

323 CAP. VII.

VERS. 1-3. *Sic ostendit mihi Dominus Deus, et ecce genitura locustarum veniens matutina, et ecce bruchus erat Gog rex. Et erit, si consummaverit comedere herbam terræ, et dixi : Domine, Domine, propitius esto. Quis suscitabit Jacob, quia parvulus est? Pœnitentiam age, Domine, super hoc. Et hoc non erit, dicit Dominus.*

LXVI. Quænam sit gens immittenda Israelitis, aut quam cladem illis allatura, prophetæ revelat. Accommodat autem se moribus ejus, et quæ noverat ille, per ea plene futura docet. Revera enim pastoribus molestissima res videtur semper, et est locusta atque bruchus. Velut enim detonsa ab ipsis herba, de cætero greges perire fame necesse est. Quapropter tanquam pastori Deus bello accipiendas calamitates prophetæ indicat. Per speciem quippe locustæ significat Assyrium, utpote immensa multitudine terram pene absumentem ac devorantem. Vocat autem matutinam, instar roris cadentem, et ut nivem confertim super terram diffusam. Sed non erat bruchus, inquit; erat autem iste Gog rex. Deinde cum dice-

ΚΕΦΑΛ. Ζ'.

Οὕτως ἔδειξέ μοι Κύριος Θεὸς, καὶ ἰδοὺ ἐπιγονὴ ἀκρίδων ἐρχομένη ἑωθινή· καὶ ἰδοὺ βρούχος ἦν Γὼγ βασιλεύς. Καὶ ἔσται, ἐὰν συντελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, καὶ εἶπα· Κύριε, Κύριε ἵλεως γενοῦ. Τίς ἀναστήσει τὸν Ἰακώβ; διότι ὀλιγοστός ἐστι. Μετανόησον, Κύριε, ἐπὶ τούτῳ. Καὶ τοῦτο οὐκ ἔσται, λέγει Κύριος.

ΞΘ'. Ὅ τι τὸ ἔθνος τὸ τοῖς ἐξ Ἰσραὴλ ἐπενεχθησόμενον, ἢ ποῖον αὐτοῦ ἐποίσει τὸ βλάβος, ἀποκαλύπτει τῷ προφήτῃ. Ἁρμόζεται δὲ τοῖς ἤθεσιν αὐτοῦ, καὶ δι' ὧν οἶδε, διὰ τούτων ἀκριβῶς διδάσκει τὰ πραχθησόμενα. Πάνδεινον γὰρ ἀεὶ τοῖς ποιμέσιν εἶναί τι δοκεῖ καὶ ἔστιν ἀληθῶς ἀκρίς τε καὶ βροῦχος. Ἀπκειρομένης γὰρ ὥσπερ δι' αὐτῶν τῆς πόας, καταφθείρεσθαι λοιπὸν ἀνάγκη τὰ ποίμνια. Οὐκοῦν ὡς ποιμένι τῷ προφήτῃ Θεὸς τὰς ἐκ τοῦ πολέμου κατασημαίνει συμφοράς. Ὡς ἐν εἴδει γὰρ ἀκρίδος κατασημαίνει τὸν Ἀσσύριον, ὡς ἐν ἀμετρήτῳ πληθεῖ μονονουχὶ κατεσθίοντα καὶ δαπανῶντα τὴν γῆν. Ἑωθινὴν δέ φησιν αὐτὴν, πίπτουσαν ὡς δρόσον, ἐν νιφάδων τάξει καταχεομένην τῆς γῆς. Ἀλλ' ἦν, φα-

[95] Psal. LXXXVIII, 18. [96] Psal. XLIII, 6. [97] Osee II, 18. [98] Isa. XXII, 22.

Digitized by Google

σιν, οὐ βροῦχος, ἦν δὲ οὗτος Γὼγ ὁ βασιλεύς. Εἶτα Θεοῦ λέγοντος, « Καὶ ἔσται ὅταν συντελέσῃ τοῦ καταφαγεῖν τὸν χόρτον τῆς γῆς, » τουτέστιν, ὅταν δαπανήσῃ κατεσθίων τὴν ἀγελαίαν πληθύν, τὴν οὖσαν ἐν Σαμαρείᾳ δηλονότι, καὶ ἐν τῇ πόλει τῆς Ἰουδαίας, εἶτά τι μέλλοντος προστιθέναι ἕτερον, διαλαβὼν ὁ προφήτης, καταλήγειν αὐτὸν τῆς ὀργῆς λιπαρεῖ, λέγων· « Κύριε, ἵλεως γενοῦ. Τίς ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός. » Εἰ γὰρ δὴ βούλοιο, φησὶ, καθ' ὃν τεθέαμαι τρόπον παραδοῦναι τοῖς ἐχθροῖς τὸν Ἰσραὴλ πρὸς κατάβρωσιν, ὀλιγοστὸς ἔσται παντελῶς. Πρὸς ταῦτα Θεός· « Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος. » Οὐκ ἂν κοπάσαιμι, φησὶ, οὐδ' ἂν καθυφείην. Καταλήξαιμι γὰρ ἂν οὐδαμῶς τοῦ παιδεύειν τοὺς ἠσεβηκότας. Πολυπραγμονοῦντες δὲ ἀναγκαίως, τίς δὴ ἄρα ἐστὶν ὁ Γὼγ, ἐκεῖνό φαμεν, ὅτι καὶ Ἰεζεχιὴλ θρῆνον ἐν αὐτῷ γράφει, Θεοῦ προστάττοντος. Οἰόμεθα δὲ εἶναι τὸν Σενναχηρὶμ, ὅτε καὶ Ῥαψάκου κατακερτομοῦντος Θεὸν ἐξῆλθεν ἄγγελος Θεοῦ, καὶ ἀνεῖλεν ἐν μιᾷ νυκτὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας. Μεμνήσομαι δὲ ἀναγκαίως τῶν ἐπ' αὐτῷ γεγραμμένων διὰ φωνῆς Ἰεζεχιὴλ· « Τάδε λέγει Κύριος τῷ Γὼγ· Σὺ εἶ περὶ οὗ ἐλάλησα τῶν ἡμερῶν τῶν ἔμπροσθεν, διὰ χειρὸς τῶν δούλων μου τῶν προφητῶν τῶν τοῦ Ἰσραὴλ, ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσι, τοῦ ἀγαγεῖν ἐπ' αὐτούς. » Ἀκούεις ὅπως αὐτὸν, καὶ οὐχ ἕτερον εἶναί φησι, ὃν ἠπείλησε διὰ προφητῶν ἁγίων ἐπιφέρειν τοῖς ἐξ Ἰσραήλ; Ὅτι δὲ τὰς τῆς ἀθυροστομίας ἐξήτηται δίκας, καὶ κρατήσειν ὑπολαβὼν ἀδοκήτως ἀνῄρηται, καὶ πέπτωκεν ἐν τῇ γῇ τοῦ Ἰσραὴλ, πάλιν εὐθὺς κατασημαίνει, λέγων· « Καὶ σὺ, υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ Γὼγ, καὶ ἐρεῖς· Ἰδοὺ ἐγὼ ἄξω σε ἐπὶ τὰ ὄρη τοῦ Ἰσραὴλ, καὶ πέσῃ σὺ, καὶ πάντες περὶ σὲ, καὶ δώσω τῷ Γὼγ τόπον ὀνομαστὸν μνημεῖον ἐν Ἰσραὴλ, καὶ κατορύξουσιν αὐτοὺς οἶκος τοῦ Ἰσραὴλ. » Πεπτωκότων γὰρ τῶν Ἀσσυρίων, οἳ διὰ τοῦ Γὼγ σημαίνονται τάχα που, τὸ πλῆθος τῶν ἐξ Ἰσραὴλ κατορώρυχε τοὺς τεθνεῶτας, ἵνα μὴ πόλεσί τε καὶ χώραις τὸ δύσοιστον τῆς οὕτω δεινῆς κακοσμίας καταλυμαίνοιτο χρῆμα.

A ret Deus, « et erit, cum consummaverit comedere herbam terræ »(hoc est, cum devoraverit gregalem multitudinem, quæ est in Samaria videlicet, et in urbe Judææ), velletque adhuc addere quidpiam aliud, interpellans propheta, obsecrat ut iræ modum ponat, dicens : « Domine, propitius esto. Quis suscitabit Jacob, quia parvulus est? » Si enim vis, inquit, eo modo quo vidi, Israelem hostibus tradere ad devorandum, parvulus est penitus. Ad hæc Deus, « Et hoc non erit, dicit Dominus. » Non defatigabor, neque remittam. Neutiquam enim desinam impios multare. Re autem sedulo indagata, ut oportuit, quisnam sit Gog, illud dicimus, etiam Ezechielem ejus causa lamentari, Deo jubente [a]. Putamus esse Sennacherib, quando et Rabsace Deum conviciis proB scindente exivit angelus Dei, et una nocte centum octoginta quinque millia interfecit [1]. Omnino autem, quæ de ipso per Ezechielem scribuntur, in medium adducenda sunt. « Hæc dicit Dominus : Tu ille es, de quo locutus **324** sum in diebus antiquis per manum servorum meorum prophetarum Israel, in diebus illis et annis, ut adducerem te super eos [2]. » Audis quomodo ipsum, et non alium esse dicit, quem per sanctos prophetas minatus est se Israeli inducturum? Eum autem pœnas linguæ petulantis luiturum, et cum speret victoriam, improviso cæsum iri, cásurumque in terra Israel, rursum declarat his verbis : « Et tu, fili hominis, vaticinare adversum Gog, et dices : Ecce ego adducam te super montes Israel, et cades tu, et omnia agmina tua, et dabo C Gog locum nominatum monumentum in Israel, et sepelient eos domus Israel [3]. » Cum enim occubuissent Assyrii, qui forte per Gog significantur, multitudo filiorum Israel terra obruit cadavera, ne urbibus et regionibus adeo intolerabilis graveolentia incommodo esset.

Οὕτως ἔδειξέ μοι Κύριος. Καὶ ἰδοὺ ἐκάλεσεν τὴν δίκην ἐν πυρὶ Κύριος, καὶ κατέφαγεν τὴν ἄβυσσον τὴν πολλὴν, καὶ κατέφαγεν τὴν μερίδα. Καὶ εἶπα· Κύριος ὁ Θεὸς, κόπασον δή. Τίς ἀναστήσει τὸν Ἰακώβ; ὅτι ὀλιγοστός ἐστιν. Μετανόησον, Κύριε, ἐπὶ τοῦτο. Καὶ τοῦτο οὐ μὴ γένηται, λέγει Κύριος.

VERS. 4, 5. *Sic ostendit mihi Dominus. Et ecce vocavit judicium in igne Dominus, et comedit abyssum multam, et comedit partem. Et dixi : Domine Deus, quiesce. Quis suscitabit Jacob, quia parvulus est? Pœnitentiam age, Domine, super hoc. Et hoc non* D *erit, dicit Dominus.*

ΞΖ'. Τὸν Γὼγ, ἤτοι τὸν Ἀσσύριον, ὡς ἀκρίδα καὶ βροῦχον τεθέαται. Τοῦτον δίκην ὀνομάζει τὴν διὰ πυρός. Οὐ γὰρ ἤρκησε τοῖς Βαβυλωνίοις δαπανῆσαι σιδήρῳ τὸν Ἐφραΐμ, ἀλλὰ γὰρ καὶ πλείστας ὅσας τῶν ἐν Σαμαρείᾳ κατεπμίπρη πόλεις. Ἡ δίκη τοίνυν, ἐφησὶ, τουτέστιν, ἐκδίκησις, ἡ διὰ πυρὸς κατεδήδοκε τὴν ἄβυσσον τὴν πολλὴν, τὸν Ἐφραΐμ δηλονότι, διὰ πολλὴν καὶ ἀμέτρητον πληθὺν ἄβυσσον ὠνομασμένον. Κατεδήδοκε δὲ οὐδὲν ἧττον τὴν μερίδα τὴν μικρὰν, τουτέστι, τὸν Ἰούδαν καὶ Βενιαμίν. Οὐκ εὐαριθμήτους γὰρ τῆς Ἰουδαίας ἐμπρήσας πόλεις,

LXVII. Gog, sive Assyrium, ut locustam et bruchum vidit. Hunc judicium per ignem vocat. Non enim satis habuere Babylonii ferro consumere Ephraim : verum etiam quam plurimas urbes in Samaria igne succenderunt. Judicium igitur ait, hoc est, ultio, quæ per ignem fit, comedit abyssum multam : Ephraim nimirum, per magnam et innumerabilem multitudinem abyssum nominatum. Comedit nihilominus partem parvam, hoc est, Judam, et Benjamin. Innumeras enim Judææ urbes cum incendissent, postea et ipsam Hierosolymam Rabsa-

[a] Ezech. xxxi, 2 seqq.; xxxix, 1 seqq. [1] IV Reg. xix, 35. [2] Ezech. xxxviii, 17. [3] Ezech. xxxix, 1-4.

Digitized by Google

ces ille arrogans circumdedit. Demulcente autem propheta rursus Dominum universorum, suadenteque uti pœnitentiam ageret, consiliumque mutaret, respondet ipse, « Non erit hoc. » Quid igitur hinc rursum discemus? Peccata graviora quam dici potest, Deum quamvis patientissimum graviter irritare, et sanctorum preces propemodum inanes efficere. Quare ad Jeremiam ait de Israelitis : « Ne appropinques mihi pro eis, quia non exaudiam te [4]. » εὐχάς. Καὶ γοῦν ἔφασκε πρὸς Ἱερεμίαν περὶ τῶν ἐξ εἰσακούσομαι. »

A μετὰ τοῦτο καὶ αὐτὴν λοιπὸν πεπολιόρκηκε τὴν Ἱερουσαλὴμ ὁ ἀλαζὼν Ῥαψάκης. Ἐκμειλισσομένου δὲ τοῦ προφήτου πάλιν, καὶ μετανοεῖν, ἤτοι καὶ μεταβουλεύεσθαι, τὸν τῶν ὅλων Θεὸν ἀναπείθοντος, « Οὐκ ἂν γένοιτο, φησί, τοῦτο, » ὁ τῶν ὅλων Δεσπότης. Τί οὖν ἐντεῦθεν εἰσόμεθα πάλιν; Ὅτι τὰ πέρα λόγου τῶν πλημμελημάτων, καίτοι πολὺ λίαν ἀνεξικακεῖν εἰδότα Θεὸν, παραθήγει δεινῶς, καὶ τὰς τῶν ἁγίων μονονουχὶ ἀπράκτους ἀποφαίνουσι προσ-

325 Vers. 6-9. *Sic ostendit mihi Dominus. Et ecce Dominus stans super murum adamantinum, et in manu ejus adamas. Et dixit Dominus ad me : Quid tu vides, Amos? Et dixi : Adamantem. Et dixit ad me : Ecce ego impono adamantem in medio populi mei Israel. Non ultra adjiciam præterire eum. Et delebuntur aræ risus, et festivitates Israel desolabuntur, et consurgam super domum Jeroboam in gladio.*

Οὕτως ἔδειξέ μοι Κύριος. Καὶ ἰδοὺ Κύριος ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας. Καὶ εἶπε Κύριος πρός με· Τί σὺ ὁρᾷς, Ἀμώς; Καὶ εἶπα· Ἀδάμαντα. Καὶ εἶπεν πρός με· Ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα ἐν μέσῳ λαοῦ μου Ἰσραήλ. Οὐκ ἔτι μὴ προσθῶ τοῦ παρελθεῖν αὐτόν. Καὶ ἀφανισθήσονται βωμοὶ τοῦ γέλωτος, καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ ἐρημωθήσονται, καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον Ἱεροβοὰμ ἐν ῥομφαίᾳ.

LXVIII. Cum Deus Assyrium, sive Gog, ut locustam, et ut bruchum, et ut judicium in igne prophetæ ostendisset, semet jam nunc super murum adamantinum stantem ostendit : ut per hoc intelligatur quasi ascendisse, seu incedere super potentia ineffabili, et inconcussam habere in bonis propriis securitatem. Nihil enim divino numine validius, et fulcrum habet solidum; quoniam mutari nescit : omni mutatione superius, bonorumque suorum sempiterna stabilitate gaudens. Conspicitur itaque stare super murum adamantinum. Porro inter lapides adamas nulla vi rumpi aut domari potest : neque duris et resistere solitis cedere sustinet, neque ab alia materia duritiem, qua valet, frangi patitur, forte etiam ignis vigorem contemnere suetus. Quoniam autem qui in muro stabat, et adamantem manu gestabat, percontatur prophetam : Quid tu vides, Amos? Eo vidente, et quid esset respondente, ait enim : Adamantem, affirmat perspicue hunc in medio Israel positurum. Nomine adamantis intelliges aut Assyrium sævum, et infractum, et in hoc a Deo constitutum (corroborat enim Dominus virtutum, si quos forte elegerit), aut certe infractum et robustissimum Dei verbum, quod non potest reverti vacuum, seu effectu carere. Curret enim usque ad finem, nemine prorsus impediente, quod locutus fuerit Deus [5]. Sic etiam Dominus : « Cœlum et terra transibunt, inquit, verba autem mea non præteribunt [6]. » Ait mox, se non præteriturum Israel, hoc est, expetiturum pœnas ab ipsis impie gestorum, et amplius non toleraturum, et de cætero adversus eos vocatis in potestatem traditurum, una cum delubris, aris et idolis. Inquit enim, « Delebuntur aræ risus. » Risus igitur revera est cujuslibet idoli fabricatio. **326** Meo autem judicio proprie et peculiariter risum intelligamus licet, Beelphegor,

ΞΗ'. Ὡς ἀκρίδα, καὶ ὡς βροῦχον, καὶ ὡς δίκτυ ἐν πυρὶ τὸν Ἀσσύριον, ἤτοι τὸν Γὼγ, ἐπιδείξας τῷ προφήτῃ Θεὸς, ἑαυτὸν ἤδη πως ἑστῶτα λοιπὸν ἐπὶ τείχους ἀδαμαντίνου δείκνυσιν, ἵνα διὰ τούτου νοῆται μονονουχὶ βεβηκὼς ἐπ' ἀῤῥήτῳ δυνάμει, καὶ ἀκατάσειστον ἔχων τὴν ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς ἀσφάλειαν. Παναλκὴς γὰρ τὸ Θεῖον καὶ ἐρηρεισμένην ἔχει τὴν ὑποβάθραν, ὅτι μεταπίπτειν οὐκ οἶδεν, ἀλλ' ἔστι τροπῆς ἄμεινον, καὶ ἐν τοῖς ἰδίοις, ὡς ἔφην, ἀγαθοῖς ἀεὶ καὶ διαπαντὸς ἐρηρεῖσθαι φιλεῖ. Ὁρᾶται τοίνυν ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου. Ἄῤῥηκτός τε καὶ ἀκαταμάχητος ἐν λίθοις ἀδάμας, οὔτε τοῖς σκληροῖς, καὶ ἀντιπίπτειν εἰωθόσι, παραχωρεῖν ἀνεχόμενος, οὔτε μὴν ἑτέραις ὕλαις διδοὺς τὸ καταθλεῖν δύνασθαι τῆς ἐνούσης ἰσχύος αὐτῷ, τάχα δέ που καὶ τῆς τοῦ πυρὸς ἀκμῆς ἀλογεῖν εἰθισμένος. Ἐπειδὴ δὲ ἦν ὁ ἐπὶ τοῦ τείχους ἑστηκὼς ἀδάμαντα φέριον ἐν χειρὶ, διεπυνθάνετο τοῦ προφήτου, λέγων· Τί σὺ ὁρᾷς, Ἀμώς; Τοῦ δὲ συνιέντος, καὶ ὅπερ ἦν λέγοντος (ἔφη γάρ· Ἀδάμαντα), τοῦτον ἐντάξειν εἰς μέσον τοῦ Ἰσραὴλ διεβεβαιοῦτο σαφῶς. Ἀδάμαντα δὲ νοήσεις, ἢ τὸν Ἀσσύριον, ὡς ἀπηνῆ τε καὶ ἄθραυστον, καὶ εἰς τοῦτο τεθειμένον παρὰ Θεοῦ (δυναμοῖ γὰρ ὁ τῶν δυνάμεων Κύριος, οὓς ἂν ἕλοιτο τυχὸν), ἤγουν τὸν ἄθραυστόν τε καὶ παναλκῆ τοῦ Θεοῦ λόγον, ὃν οὐκ ἔστιν ἀποστρέψαι κενὸν, ἤγουν ἄπρακτον ἀποφῆναι. Δραμεῖται γὰρ εἰς πέρας, πάντως ἀντιπράττοντος οὐδενὸς, ὅπερ ἂν φθέγξοιτο Θεός. Οὕτω καὶ ὁ Κύριος· « Ὁ οὐρανὸς, φησὶ, καὶ ἡ γῆ παρελεύσεται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Ἔφη δὲ ὅτι οὐκ ἂν παρέλθοι τὸν Ἰσραὴλ, τουτέστιν, αἰτήσει δίκας τῶν ἀνοσίων αὐτῷ πεπλημμελημένων, καὶ ἀνεξικακήσει μὲν οὐκέτι, παραδώσει δὲ λοιπὸν τοῖς ἐπ' αὐτὸν κεκλημένοις, ὁμοῦ τεμένεσι, καὶ βωμοῖς, καὶ τοῖς εἰδώλοις. « Ἀφανισθήσονται γὰρ, φησὶ, οἱ βωμοὶ τοῦ γέλωτος. » Γέλως μὲν οὖν ἀληθὴς ἡ παντὸς εἰδώλου ποίησις. Πρέποι δ'

[4] Jerem. VII, 16. [5] Isai. LV, 11 : Psal. CXLVII, 18. [6] Matth. XXIV, 35.

Digitized by Google

ἄν, οἶμαι, κυρίως τε καὶ ἰδικῶς γέλωτα νοεῖσθαι τὸν Βεελφεγὼρ, διά τοι καὶ αὐτὸ τὸ τοῦ σχήματος ἀκαλλές. Διασύρει δὲ ἅπασαν τὴν εἰδωλοποίησιν, ὡς ἐξ ἑνὸς δὴ τούτου τοῦ πάντων αἰσχίονος. Οὐκοῦν « κατασπασθήσονται μὲν οἱ βωμοὶ, συνεξαρθήσονται δὲ καὶ αἱ τελεταὶ τοῦ Ἰσραὴλ, » τουτέστι, τὰ τῆς εἰδωλολατρίας ἀθύρματα, βέβηλά τε καὶ βδελυρὰ μυστήρια. Ὅτι δὲ τοῖς ἰδίοις θεοῖς συνοιχήσεται πρὸς ἀπώλειαν ὁ τοῖς τῆς βασιλείας αὐχήμασιν ἐμπρεπὴς Ἱεροβοὰμ, διαμεμήνυκεν ἐναργῶς. Μεμνῆσθαι δὲ ἀναγκαῖον, ὡς ἕτερος παρὰ τὸν πρῶτον ὁ περὶ οὗ νῦν ὁ λόγος. Ὁ μὲν γὰρ ἦν ἐκ Ναβὰτ, ὁ δὲ ἐξ Ἰωάς. Καὶ ταυτὶ δὲ τοῖς τῆς ἱστορίας ἐφαρμόσειε λόγοις.

propter ipsius schematis et figuræ deformitatem. Ab uno autem hoc omnium fœdissimo universam idolorum fabricationem insectatur. Quocirca « distrahentur altaria, tollenturque simul festivitates Israel, » hoc est, idololatriæ ludicra, et oblectamenta profana, et detestanda mysteria. Simul autem cum dilis suis in exitium abiturum Jeroboamum regni gloria conspicuum claris verbis indicat. Sed meminisse debemus alium a primo esse, de quo nunc sermo est. Ille enim erat filius Nabath; hic ex Joa natus. Et hæc interim cum historia congruerint.

Ἀδάμαντα δὲ τὸν ἀληθῆ παραδείξει Χριστὸν τὸν τῶν δυνάμεων Κύριον, τὴν ἄμαχον ἔχοντα καὶ ἀκαταγώνιστον ἰσχὺν, τὸν συνθραύοντα τοὺς ἐχθροὺς, καὶ νικῶντα τοὺς ἀνθεστηκότας, καὶ ὑπὸ μηδενὸς ῥηγνύμενον. Οὗτος ὡς λίθος ἐκλεκτὸς εἰς μέσον τέτακται τοῦ λαοῦ. « Ὤφθη γὰρ ἐπὶ τῆς γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. » Τοιγάρτοι καὶ κέκληται διὰ τῆς ἀγγέλου φωνῆς Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, *μεθ' ἡμῶν ὁ Θεός*. Μεθ' ἡμῶν γὰρ γέγονεν, ὅτε γέγονε καθ' ἡμᾶς. Ἐντεταγμένος δὲ ἐν ἡμῖν παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς λίθος ἀδάμας, τὴν τοῦ διαβόλου κατέσεισε τυραννίδα, κατηφάνισεν ἀληθῶς τοὺς βωμοὺς τοῦ γέλωτος. Ἅμα τε γὰρ ἐπέλαμψεν ὁ Ἐμμανουὴλ, καὶ τῆς ἀληθοῦς γνώσεως τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανὸν ἁπλώσας τὸ φῶς, ἑαυτὸν ἡμῖν ὑπέδειξεν εἰκόνα καὶ ὁμοίωσιν τοῦ Πατρός. Τότε δὴ, τότε καὶ τὸ τῆς ἀρχαίας ἀπάτης ἀπελήλακε σκότος, καὶ πέπτωκε δὴ καὶ αὐτὸς ὁ τῆς ἀπάτης πρωτοστηκὼς, τουτέστιν, ὁ Σατανᾶς, καὶ ἡ βέβηλος καὶ θεομισὴς ἐκ μέσου γέγονεν εἰδωλολατρία.

Verum autem adamantem Christum exhibebit, Dominum virtutum, inexpugnabili atque invicto robore, confringentem inimicos, et adversarios devincentem, et qui rumpi a nemine potest. Hic ceu lapis electus in medio populi positus est. « In terris enim visus et cum hominibus conversatus est [7]. » Proinde etiam voce prophetæ Emmanuel dictus est [8], quod interpretatur, *nobiscum Deus*. Nobiscum enim fuit, quando nostrum similis homo factus est. Insertus autem in nobis a Deo Patre ut lapis adamas, diaboli tyrannidem evertit, et aras risus revera delevit. Simul ac enim Emmanuel illuxit, et veræ cognitionis lumen per totum orbem diffudit, seipsum nobis imaginem et similitudinem Patris demonstravit. Tunc tunc, inquam, vetustæ deceptionis tenebras dispulit, et ipsemet fallaciæ architectus, nempe Satanas, cecidit, impuraque et Deo exosa idololatria e medio sublata est.

Καὶ ἐξαπέστειλεν Ἀμασίας ὁ ἱερεὺς εἰς Βαιθὴλ πρὸς Ἱεροβοὰμ βασιλέα Ἰσραὴλ, λέγων· Συστροφὰς ποιεῖται κατὰ σοῦ Ἀμὼς ἐν μέσῳ τοῦ οἴκου Ἰσραὴλ, οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκαι πάντας τοὺς λόγους αὐτοῦ. Διότι τάδε λέγει Ἀμώς· Ἐν ῥομφαίᾳ τελευτήσει Ἱεροβοὰμ, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ.

Vers. 10, 11. *Et misit Amasias sacerdos in Bethel ad Jeroboam regem Israel, dicens : Conjurationes facit contra te Amos in medio domus Israel, non poterit terra sufferre omnes sermones ejus. Quia hæc dicit Amos : In gladio morietur Jeroboam, Israel vero captivus ducetur de terra sua.*

Ξθ'. Ἀνεπικούρητον ἀεὶ τὸ ψεῦδος ἀφ' ἑαυτοῦ, καὶ οἱ τῆς ἀπάτης πόδες σαθρὸν ἔχουσι τὸ ἔρεισμα. Τοιγάρτοι γελᾶται, μόλις ταῖς ἔξωθεν ἐπικουρίαις εἰς τὸ ἑστάναι κρατούμενον, οἷον δὴ τοῦτό ἐστι τὸ τῆς εἰδωλολατρίας. Μεθυόντων ἦν ἀθύρματα τὰ παρ' αὐτοῖς, δαμάλεις χρυσαῖ, ἔργα τέκτονος, καὶ χωνεύματα, κατὰ τὸ γεγραμμένον, καὶ τέχνη χειρὸς ἀνθρωπίνης, καὶ ἀνοσίων ἐγχειρημάτων εὑρέματα. Ἀλλ' οἱ μὲν μακάριοι προφῆται καλοῦσιν εἰς νῆψιν τοὺς ταῖς ἀπάταις κεκρατημένους. Οἱ δὲ τῶν εἰδώλων θεραπευταὶ, καταλυομένης ὥσπερ αὐτοῖς τῆς ὅληφ σκηνῆς, οὐ μετρίως ἀσχάλλουσι, καταπτοοῦσι τοῖς δείγμασι, τὴν τῶν πλανωμένων θρηνοῦσιν ἀνάνηψιν. Ἴσασι γὰρ, ὅτι γοργῷ καὶ ἐγρηγορότι νῷ τῆς παρ' αὐτοῖς λατρείας τὴν βεβήλωσιν οὐκ ἀταλαίπωρον

LXIX. Infirmum per se semper est mendacium, et fallaciæ pedes ruinoso insistunt firmamento. Proinde ridetur, vix ope externa valens subsistere : quale hoc est in idololatria. Erant enim apud eos quasi quædam ebriorum ludicra, 327 vituli aurei, opera artificis conflatilia, sicut scriptum est [9], et artificium humanæ manus, et impiorum ausuum inventa. Verum enimvero beati prophetæ fallaciis implicitos ad sanitatem vocant. Idolorum contra ministri, tanquam tota eorum scena disjecta, non mediocriter indignantur, terrores incutiunt, seductorum resipiscentiam lamentantes. Norunt enim acrem et vigilantem animum cultus divini apud eos profanationem non sine molestia intueri. Formidabat igitur profanus ille Amasias, ne forte prophetæ sermoni-

[7] Baruch. III, 38. [8] Isa. VII, 14. [9] Deut. IX, 16.

Digitized by Google

bus inducti, in se descenderent, quibus vitulum aureum adorare persuasum erat, et excideret ipse sacerdotio, perirentque cum fanis quæ in ipsis erant simulacra. Hac de causa Jeroboam inflammare conatur, tantum non regno ipsum ejicere Amos affirmans, et eum jam odiosum atque intolerandum quiddam loqui audere, videlicet ipsum regem moriturum gladio, et Israel abiturum in captivitatem.

Tale quidpiam et infelices Judæi conflictis in Christum calumniis fecerunt. Cum enim mirandis operibus Judæam obstupefaciens omnes ad se vocaret, invidiæ flammis pectora succensi, Pilato eum obtulerunt miseri, addiderunt que insuper : « Nisi hunc occideris, non es amicus Cæsaris [10]. » Similes sunt omnium pietatem oppugnantium contra sanctos conatus, et persimilia cœpta venit mendacii ubique ægrotantis infirmitas.

VERS. 12, 13. *Et dixit Amasias ad Amos, dicens : Videns, vade, discede in terram Juda, et ibi vive, et illic prophetabis. In Bethel autem non adjicies ultra prophetare, quia sanctificatum regis est, et domus regni est.*

LXX. Deinceps manifeste est impudens et adversus divina verba invidiam suam velut in acie constituit. Videntem enim appellat prophetam. Sed enim non honoris causa, neque ut eum prophetiæ nomine veneretur : sed ut tanquam unum e falsis vatibus perstringat, discedere in terram Juda jubet. Addens autem illud : « Illic vive, » tantum non dicit : Si quæstum turpem desideras, et velut magicis **328** voculis auribus demulcendis ad vitam sustentandam necessaria corrogare quæris, relicta Samaria, loquere tribui Juda, et noli prophetare in Bethel. « Sanctum enim regis est. » Ἁγίασμα, sanctum sive consecratum, pro ἀνάθημα, donarium consecratum, seu pro loco anathematis posuit. Ibi namque primus Jeroboam vitulum aureum erexit. Et prophetæ peccatum quasi in imperantis honorem referens : « Domus, inquit, regni est. » Tu autem perturbas statum regium, tumultus concitas, dominorum voluntati effreni quadam audacia resistens. Vide igitur, quam plane verum sit, quod dictum est a Deo ad Israel : « Et potabatis sanctificatos meos vino : et prophetis mandabatis dicentes : Ne prophetetis [11]. »

VERS. 14-17. *Et respondit Amos, et dixit ad Amasiam : Non eram propheta, neque filius prophetæ, sed caprarius eram vellicans sycomoros. Et assumpsit me Dominus ex ovibus ; et dixit Dominus ad me : Vade, et prophetabis super domum Israel. Et nunc audi verbum Domini. Tu dicis, non prophetabis super Israel, et non turbabis super domum Jacob. Propter-*

[10] Joan. XIX, 12. [11] Amos II, 12.

A ἰδεῖν. Ἐκδέδιε τοίνυν ὁ βέβηλος Ἀμασίας, μὴ ἄρα τοῖς τοῦ προφήτου παρενεχθεῖεν λόγοις εἰς εἴδησιν ἀγαθὴν οἱ δαμάλεσι ταῖς χρυσαῖς προσκυνεῖν ἀναπεπεισμένοι, καὶ ἀπολισθήσειε μὲν τῆς ἱερουργίας αὐτὸς, ἀπολοῦνται δὲ τοῖς τεμένεσιν αὐτοῖς τὰ ἐν αὐτοῖς ἕδη. Ταύτητοι παραθήγειν πειρᾶται τὸν Ἱεροβοάμ, μονονουχὶ τῆς αὐτοῦ βασιλείας κατεξανίστασθαι λέγων τὸν Ἀμὼς, καὶ διαβριθῆ τινα καὶ ἀφόρητον ἤδη πως ἀποτολμᾷν ποιεῖσθαι λόγον, ὡς τεθνήξεται μὲν αὐτὸς ἐν ῥομφαίᾳ, βαδιεῖται δὲ αἰχμάλωτος ὁ Ἰσραήλ.

Τοιοῦτόν τι πεπράχασι καὶ οἱ τάλανες Ἰουδαῖοι, τὰς ἐπὶ Χριστῷ συντιθέντες συκοφαντίας. Ἐπειδὴ γὰρ τοῖς θαύμασι καταπλήττων τὴν Ἰουδαίαν, πάντας ἐκάλει πρὸς ἑαυτὸν, προσῆγον Πιλάτῳ, τὰς τοῦ B φθόνου φλόγας εἰς νοῦν λαβόντες οἱ δείλαιοι· καὶ δὴ καὶ ἔφασκον· « Ἐὰν μὴ τοῦτον ἀποκτείνῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. » Ἴσα τοίνυν καὶ παρὰ πάντων ἀεὶ τῶν τῇ εὐσεβείᾳ μαχομένων τὰ κατὰ τῶν ἁγίων τολμήματα, καὶ διὰ τῶν ὁμοίων ἐγχειρημάτων ἔρχεται πανταχοῦ ψεύδους νοσοῦντος τὸ ἄναλκι.

Καὶ εἶπεν Ἀμασίας πρὸς Ἀμὼς, λέγων· Ὁ ὁρῶν, βάδιζε, ἐκχώρησον σὺ εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβίου, καὶ ἐκεῖ προφητεύσεις. Εἰς δὲ Βαιθὴλ οὐκ ἔτι προσθήσεις τοῦ προφητεῦσαι, ὅτι ἁγίασμα βασιλέως ἐστὶ, καὶ οἶκος βασιλείας ἐστί.

Ο'. Ἀναισχυντεῖ λοιπὸν ἐναργῶς, καὶ τοῖς θείοις ἀντεξάγει λόγοις τῆς ἑαυτοῦ βασκανίας τὴν ἔνδειξιν. Ὁρῶντα μὲν γὰρ τὸν προφήτην ἐκάλει, πλὴν οὐκ C ἀξιώσας, οὐδὲ τῷ τῆς προφητείας ὀνόματι κατασεμνύνας αὐτὸν, ἀλλ' οἱονεί πως ὡς τῶν ψευδομάντεων ἕνα διαβεβληκὼς, ἐκχωρεῖν ἐκέλευεν εἰς γῆν Ἰούδα. Προστιθεὶς δὲ τὸ, « Ἐκεῖ καταβίου, » μονονουχί φησιν, Εἰ λημμάτων αἰσχρῶν ἐφίεσαι, καὶ ἐκ τοῦ κατεπάδειν τισὶ ῥημάτια, τὰ πρὸς τὸν βίον χρήσιμα ζητεῖς ἐρανίζεσθαι, τὴν Σαμάρειαν ἄφεις λάλει τοῖς ἐκ φυλῆς Ἰούδα, καὶ οὐ προφητεύσεις ἐν Βαιθήλ· « Ἁγίασμα γὰρ βασιλέως ἐστί. » Τὸ ἁγίασμά φησιν, ἀντὶ τοῦ ἀνάθημα, ἤγουν ἀναθήματος τόπος. *Ἐκεῖ* γὰρ ἀνέθηκεν ὁ πρῶτος Ἱεροβοὰμ τὴν δάμαλιν τὴν χρυσῆν. Ἀναφέρων δὲ ὥσπερ τοῦ προφήτου τὸ ἔγκλημα καὶ εἰς τὴν τοῦ κρατοῦντος τιμήν, « Οἶκος, φησὶ, βασιλείας ἐστί. » Σὺ δὲ συγχεῖς τὰ βασιλικὰ, D θορύβους ἐγείρεις, τοῖς τῶν κρατούντων θελήμασι ῥιψοκινδύνως ἀντιτασσόμενος. Ὅρα τοίνυν ἐναργῶς, ὅπως ἐστὶν ἀληθὲς τὸ εἰρημένον παρὰ Θεοῦ πρὸς τὸν Ἰσραήλ· « Καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε, λέγοντες· Οὐ μὴ προφητεύσητε. »

Καὶ ἀπεκρίθη Ἀμὼς, καὶ εἶπεν πρὸς Ἀμασίαν· Οὐκ ἤμην προφήτης, οὐδὲ υἱὸς προφήτου, ἀλλ' ἢ αἰπόλος ἤμην, κνίζων συκάμινα. Καὶ ἀνέλαβέν με Κύριος ἐκ τῶν προβάτων, καὶ εἶπεν Κύριος πρός με· Βάδιζε, καὶ προφήτευσον ἐπὶ τὸν οἶκον Ἰσραήλ. Καὶ νῦν ἄκουε λόγον Κυρίου. Σὺ λέγεις· Οὐ προφητεύσεις ἐπὶ τὸν Ἰσραήλ,

Digitized by Google

καὶ οὐ μὴ ὀχλαγωγήσῃς ἐπὶ τὸν οἶκον Ἰακώβ. Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἡ γυνή σου ἐν τῇ πόλει πορνεύσει, καὶ υἱοί σου καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται. Καὶ ἡ γῆ σου σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις, ὁ δὲ Ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. Οὕτως ἔδειξέ μοι Κύριος.

A *ea hæc dicit Dominus : Uxor tua in civitate fornicabitur, et filii tui, et filiæ tuæ in gladio cadent. Et terra tua funiculo mensurabitur, et in terra immunda morieris, Israel autem captivus ducetur de terra sua. Sic mihi ostendit Dominus.*

ΟΑ'. Ὅτε τοῖς ἐπιεικέσιν οἱ τῆς φαυλότητος ἐπιτηδευταὶ τὰς ὕβρεις ἐπάγουσι, τοὺς ἰδίους αὐτοὶ ἐγκαλοῦσι τρόπους, καὶ τῶν σφετέρων ἁμαρτημάτων τὸ ἀκαλλὲς ἐπάγοντες, ἐμπαροινεῖν οἴονται. Διαλελήθασι δὲ σφᾶς αὐτοὺς, μονονουχὶ ἐν πίνακι γράφοντες, καὶ ὁποῖοί τινές εἰσι καταδεικνύοντες τοῖς ἄλλοις. Τοῦτό τι παθόντα νυνὶ τὸν ἀπόπληκτον Ἀμασίαν εὑρήσομεν. Ψευδοπροφήτης γὰρ ὢν, καὶ τοῖς τῶν εἰδώλων B προσεδρεύων βωμοῖς, κῶλά τε συλλέγων καὶ τῶν σφαζομένων τὰ λείψανα, καὶ λημμάτων αἰσχρῶν ἀχαλίνως ἠττώμενος, κατωνείδιζεν τὸν Ἀμὼς, καὶ ἰδόντα μὲν ἔφασκε, τῆς Σαμαρείας ἀποφοιτᾷν, ἐκχωρεῖν δὲ, εἰ βούλοιτο, εἰς γῆν Ἰούδα, καὶ ἐκεῖ καταβιοῦν. Ἐκεῖ γὰρ ψευδοεπήσεις εὐκόλως, καὶ συναρπάζων πολλοὺς, ἐρανιῇ τὰ πρὸς τὸν βίον, καὶ μᾶλλον εὑρήσεις τὰ ζωαρκῆ. *Καταβίου*, τοιουτονί τινα ὑπεμφαίνει τὸν νοῦν. Ἀλλ' ὅτι μὴ τοιοῦτος τῷ προφήτῃ σκοπὸς, μήτε μὴν εἰς φιλοκερδίαν βλέπῃ, δεσποτικοῖς δὲ μᾶλλον ὑπείκει θελήμασι, καὶ ταύτῃτοι τὴν προφήτου διακονίαν ἀποπληροῖ, πειρᾶται διδάσκειν, καὶ λίαν ἐπιεικῶς, ἐκεῖνο λέγων, ὡς οὔτε προφήτης ἦν, οὔτε μὴν προφήτου γέγονεν υἱὸς, κατὰ μαθητείαν δὲ πάντως, ἤγουν κατὰ πνεῦμα, φημι, C καθάπερ ἀμέλει καὶ Ἐλισσαιὲ τοῦ Ἠλίου. Ἀλλ' ἦν μὲν αἰπόλος, ἄγροικόν τε καὶ ἁπλῆν, καὶ ἀκακουργὶ βιοτεύων ζωὴν, ὀλίγα δὲ παντελῶς τὰ εἰς τροφὴν ἔχων, καὶ τοῖς ἐξ ἀγρῶν ἀρκούμενος, ἃ μηδὲ ἂν πρίαιτό τις, ταῦτα δὲ ἦν συκάμινα. Σχολαῖοι γὰρ ὄντες τῶν ποιμνίων οἱ ἐπιστάται, τὰς τῶν δένδρων σκιὰς ὑποτρέχουσι, καὶ τὰ ἐκ τῆς ἀργίας ἐγκλήματα μονονουχὶ διαπαίζοντες, καρποὺς ἀποκνίζουσι, καὶ τῆς γαστρὸς τὴν ἀνάγκην, ὡς ἂν ἐνδέχοιτο θεραπεύουσιν. Ἀλλ' ἐμὲ μὲν, φησὶν, ἐν τούτοις ὄντα, Θεὸς κατὰ τὸ αὐτῷ δοκοῦν ἐποιεῖτο προφήτην, καὶ τοῖς ἐξ αἵματος Ἰσραὴλ τὰ ἐπ' αὐτοὺς ἥκοντα, καὶ ὅσον οὔπω ἐσόμενα διατρανοῦν ἐκέλευε. Σὺ δὲ τοῖς ἄνω νεύμασιν ἀντεξάγων τὰ σὰ, σιωπᾷν ἐπιτάττεις. Ταύτῃτοι λοιπὸν τάδε λέγει Κύριος· « Ἡ γυνή σου ἐν τῇ D πόλει πορνεύσει, » δῆλον δὲ ὅτι ταῖς τῶν πόλεων ὕβρεσιν ὑποπίπτουσα, καὶ τὸ ἀκρατὲς εἰς ἀσέλγειαν τῶν ἐχόντων αὐτὴν ὡς ἐξ ἀνάγκης ὑφισταμένη. Καταῤῥαφήσονται δὲ καὶ τὰ τέκνα, ῥομφαίας ἔργον γεγενημένα. Καὶ πρός γε δὴ τούτῳ, « Ἡ γῆ σου καταμετρηθήσεται σχοινίοις, » τουτέστιν, ὑπόφορος ἔσται, καὶ συντελέσει δασμοὺς τῷ κεκρατηκότι. Σὺ δὲ πρὸς τούτοις ὁ νῦν οἰόμενος, φησὶ, γῆν ἁγίαν οἰκεῖν τὴν Βαιθὴλ, καὶ ἁγίασμα βασιλέως ἔχειν, βαδιῇ μὲν αἰχμάλωτος, ἐντεθνήξῃ δὲ τοῖς κακοῖς, οὐχ ὑπονοστήσας ἔτι. Πῶς γὰρ, ἢ πόθεν, ἀπομεμενηκὼς νεκρὸς ἐν ἀλλοδαπῇ τε καὶ ἀκαθάρτῳ γῇ τῶν πολεμίων; Οἰχήσεται δὲ καὶ αὐτὸς αἰχμάλωτος ὁ Ἰσραὴλ, ὁ σὲ προφήτην, καὶ ἐπιστάτην τῶν ἁγίων ἀνθηρημένος.

LXXI. Quando bonis improbitatis consectatores contumelias imponunt, suos ipsorum mores accusant, suorumque peccatorum turpitudinem palam facientes, sese nocere arbitrantur. Fallunt autem semetipsos, et quasi in tabula quales sint depingentes, aliis sese ostendunt. Id nunc accidere amenti huic Amasiæ cernimus. Cum enim esset pseudopropheta, deorumque aris assideret, partesque et frusta victimarum colligeret, et a turpi quæstu libens ac volens vinceretur, conviciabatur Amos, et e Samaria videntem discedere jubebat, et abire, si vellet, in terram Juda, et ibi vitam agere. Illic enim facile mentieris, inquit, et decipiens multos, vitæ necessaria corrogabis, et magis ibi victum per vitam sufficientem invenies. Talem quemdam sensum illud, ἐκεῖ καταβίου, *illic vive*, subostendit. **329** Verum propheta non hunc sibi fuisse scopum, neque se ad quæstum respicere, sed potius Domini voluntati obsequentem, ministerium prophetæ implere, docere nititur, idque rectissime, illud dicens : se neque prophetam esse, neque prophetæ filium, aut tanquam discipulum prorsus, aut secundum spiritum, inquam, sicut nimirum et Eliseus Eliæ. Sed erat quidem caprarius, vitam rusticam, simplicem, et omnis maleficii expertem degens, victu autem pertenui se sustentans, et contentus iis quæ ruri nascuntur, quæ nec venderet quisquam; ea vero erant sycomori. Vagantes namque pecorum magistri, arborum umbras subeuntes, et vitia ex otio exsistere solita quasi indificantes, fructus vellicant, et ventrem pro facultate placant. Verum me, inquit, in his occupatum, Deus pro arbitratu suo prophetam fecit, et Israelitis ad eos pertinentia, et mox eventura exponere jussit. Tu autem superuis nutibus velut aciem opponens, silere jubes. Idcirco hæc deinceps dicit Dominus : « Uxor tua in civitate fornicabitur, » sine dubio urbanis contumeliis se submittens, et incontinentiam libidinis habentium ipsam velit nolit perferens. Perdentur autem filii quoque a rhomphæa consumpti. Et insuper, « terra tua funibus mensurabitur, » id est, subdita erit, et conferet tributa illi qui eam subegerit. Tu autem adhæc, qui nunc te putas sanctum habere Bethel, et sanctum regis habere, abibis captivus, et morieris in ærumnis, non reversus amplius. Quomodo enim, aut unde, cum manseris mortuus in regione peregrina, et immunda terra hostium? Discedet et ipse Israel captivus, qui te prophetam, et præfectum sacrorum ex adverso elegit. Est ergo periculi plenum divino nutui resistere, et inconsiderate incedere, et vetare sanctos quæ Deo placent interpretari, quibus et ab ipso

Digitized by Google

dictum est : « Qui tangit vos, quasi qui tangit pupillam oculi ejus [12]. »

τὰ Θεῷ δοκοῦντα διερμηνεύουσιν· οἷς καὶ εἴρηται παρ' αὐτοῦ· « Καὶ ἔσται ὁ ἁπτόμενος ὑμῶν ὡς ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. »

Observa autem quemadmodum idem finis, et admiratione dignus sanctis sit propositus, ut Dei verbis, inquam, citra reformidationem inserviendum, et humana parvipendenda existiment, tametsi a quibusdam illis bella et tribulationes inferantur. Beatus enim Amos, contempta stoliditate Amasiæ, non solum non conticuit, sed insuper **330** strenue imprecationem in illum contorsit. Divini etiam discipuli, cum Pharisæi, et Scribæ aliquando silentium ipsis imperassent, aperte dixerunt : « Si justum est coram Deo vos potius audire quam Deum, judicate. Non enim possumus, quæ vidimus et audivimus, non loqui [13]. »

Χαλεπὸν οὖν ἄρα τὸ τοῖς θείοις ἀντιπράττειν νεύμασι, καὶ ἀπερισκέπτως ἰέναι, καὶ ἁγίοις ἐπιτιμᾷν

Ἐπιτήρει δὲ ὅπως εἷς τε καὶ ἀξιάγαστος τοῖς ἁγίοις σκοπὸς, τὸ χρῆναι, φημὶ, τοῖς τοῦ Θεοῦ λόγοις ἀνυποστόλως ὑπηρετεῖν, καὶ παρ' οὐδὲν ποιεῖσθαι τὰ ἀνθρώπινα, κἂν εἰ πολέμους αὐτοῖς καὶ θλίψεις ἐπιφέρωσί τινες. Ὁ μὲν γὰρ μακάριος Ἀμὼς ἀλογήσας παντελῶς τῆς Ἀμασίου σκαιότητος, οὐχ ὅπως σεσίγηκεν, ἀλλὰ καὶ τὴν ἐπ' αὐτῷ κατάρρησιν ἐποιεῖτο νεανικῶς. Οἱ δέ γε θεσπέσιοι μαθηταὶ, σιωπᾷν αὐτοῖς προστεταχότων ποτὲ τῶν Φαρισαίων καὶ Γραμματέων, διαῤῥήδην ἔφασκον· « Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν, μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. Οὐ δυνάμεθα γὰρ ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. »

CAP. VIII.

ΚΕΦΑΛ. Η'.

Vers. 1-3. *Sic ostendit mihi Dominus. Et ecce vas aucupis. Et dixit Dominus : Quid tu vides, Amos? Et dixi : Vas aucupis. Et dixit Dominus ad me : Venit finis super populum meum Israel, non adjiciam ultra, ut pertranseam eum. Et ululabunt laquearia templi in illa die, dicit Dominus. Multa cadavera. In omni loco projiciam silentium.*

Οὕτως ἔδειξέ μοι Κύριος. Καὶ ἰδοὺ ἄγγος ἰξευτοῦ. Καὶ εἶπεν Κύριος· Τί σὺ βλέπεις, Ἀμώς; Καὶ εἶπα· Ἄγγος ἰξευτοῦ. Καὶ εἶπεν Κύριος πρός με· Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου, τὸν Ἰσραὴλ, οὐ προσθήσω οὐκ ἔτι τοῦ παρελθεῖν αὐτόν. Καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος. Πολὺς ὁ πεπτωκὼς, ἐν παντὶ τόπῳ ἐπιῤῥίψω σιωπήν.

LXXII. Venerunt rursum prophetæ in animum, ut dicitur, et cum quæ semel subingressa fuerant, sufficientem sibi narrationem acceperint, visionum ordo ad scopum sibi convenientem transilit. Vidit igitur copias Assyriorum ut matutinam locustarum feturam et cum ipsis Gog, sive Sennacherib, velut bruchum descriptum, quod insectum illud multum terræ vi magna cooperiat. Similis est homo arrogans, qui semper in sublime exsilit, et cum humilibus conversari recusat. Vidit etiam quasi in igne vocatum judicium. Præterea impositum in medio Israele adamantem ab eo qui stabat super muro adamantino. Quid postea? Insuper vas, seu instrumentum erat aucupis. Quod autem principio dixi, iterum dicam, nempe agrestius educato prophetæ Deum per ea quæ ruri maxime fiunt, mysteria revelare. Aucupes enim, et per eos capta, volatilia scilicet, non tam urbanis hominibus quadrant, quam quibus studium et vitæ scopus rura et quæ ruri sunt. Omnimodis autem, ac prorsus captum iri ad necem, sicut in manu aucupari solitorum, cum plebeiis etiam optimates Samariæ, arrogantes, inquam, et sublime ferri instar avium solitos, sub integumento quodam visionis vis et natura declarat. Vas enim erat aucupis quod videbatur. Proinde **331** ait universorum Dominus : « Venit finis super populum meum Israel, et non præteribo amplius eorum scelera. » Incensum porro iri et ipsum templum, habens vitulum aureum in Bethel, ostendit

ΟΒ'. Εἶσι δὴ πάλιν τῷ προφήτῃ κατὰ νοῦν ὥσπερ ὁ λόγος, καὶ τῶν ἅπαξ παρεισδεδηκότων ἀποχρῶσαν ἐφ' ἑαυτοῖς λαβόντων τὴν ἀφήγησιν, τῶν ὁραμάτων ἡ τάξις ἐπὶ τὸν αὐτῇ πρέποντα διάττει σκοπόν. Τεθέαται τοίνυν τὴν τῶν Ἀσσυρίων πληθὺν, ὡς ἐωθινὴν ἀκρίδων ἐπιγονὴν, καὶ σὺν αὐτοῖς τὸν Γὼγ, ἤτοι τὸν Σενναχηρὶμ ὡς ἐν εἴδει βρούχου γραφόμενον, διὰ τὸ πολὺ τῆς γῆς ἀναθρώσκειν εὐσθενῶς τὸ ζῷον. Τοιοῦτος δέ πως ὁ ἀλαζὼν, ἀναθρώσκων ἀεὶ πρὸς τὸ ὑψοῦ, καὶ τοῖς ταπεινοῖς συνδιαιτᾶσθαι παραιτούμενος. Τεθέαται δὲ καὶ ὡς ἐν πυρὶ καλουμένην τὴν δίκην, καὶ μὴν καὶ ἐντεταγμένον εἰς μέσον τὸν Ἰσραὴλ τὸν ἀδάμαντα παρὰ τοῦ ἑστηκότος ἐπὶ τὸ τεῖχος τὸ ἀδαμάντινον. Εἶτα τί πρὸς [τοῦ] τῷ; Καὶ ἄγγος ἦν ἰξευτοῦ. Ὃ δὲ δὴ καὶ ἐν ἀρχῇ ἔφην, ἐρῶ δὴ πάλιν, ὡς ἀγροικότερον τεθραμμένῳ τῷ προφήτῃ, Θεὸς διὰ τῶν ἐν ἀγροῖς ὅτι μάλιστα δρωμένων ἀποκαλύπτει μυστήρια. Ἰξευταὶ γὰρ, καὶ τὰ δι' αὐτῶν θηρώμενα, πτηνὰ δηλονότι, πρέποιεν ἂν οὐχὶ δήπου μᾶλλον ἀνδράσι τοῖς ἀστικοῖς, ἀλλ' οἷς ἂν εἴη τὸ ἐπιτήδευμα, καὶ ὁ τοῦ βίου σκοπὸς ἀγροὶ, καὶ τὰ ἐν αὐτοῖς. Ὅτι δὲ πάντη τε καὶ πάντως ἀγρευθήσονται πρὸς σφαγὴν, καθάπερ ὑπὸ χειρὸς τῶν ἰξεύειν εἰωθότων, τοῖς ἀγελαίοις ὁμοῦ καὶ τὸ ἀπόλεκτον τῶν ἐν Σαμαρείᾳ γένος, φημὶ δὴ τὸ τῶν ἀλαζόνων, καὶ ἐν ἴσῳ πτηνοῖς ὑψοῦ φέρεσθαι μεμελετηκότων, αἰνιγματωδῶς ὑπέδειξε τῶν ὁραμάτων ἡ δύναμις. Ἄγγος γὰρ ἦν ἰξευτοῦ τὸ ὁρώμενον. Τοιγάρτοι φησὶν ὁ τῶν ὅλων Θεὸς, ὅτι « Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου Ἰσραὴλ,

[12] Zachar. II, 8. [13] Act. IV, 19, 20.

Digitized by Google

καὶ ὡς οὐκ ἂν ἔτι παρέλθοι τὰ αὐτῶν ἐγκλήματα. » Καταπρησθήσεται δὲ ὅτι καὶ αὐτὸς ὁ ναὸς, ὁ τὴν χρυσῆν ἔχων δάμαλιν ἐν Βαιθὴλ, διαμεμήνυκεν, εἰπὼν, ὅτι « Ὠλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. » Φατνώματα δὲ λέγειν εἴωθε τὴν ὀροφὴν, ἤτοι τὰ περὶ αὐτὴν, ταῖς τῶν τεκτόνων ἐπιπεικείαις εὐτέχνως εὖ μάλα πεποικιλμένα, κατὰ τὸ ἐν τῷ Ἄσματι τῶν ἀσμάτων· « Δοκοὶ ἡμῶν κέδροι, φατνώματα ἡμῶν κυπάρισσοι. » Ὠλολύξειν δὲ τὰ φατνώματά φησιν, οὐχὶ τὴν ἔναρθρον ἱέντα φωνὴν, τὴν ὡς ἐν κτύποις δὲ μᾶλλον καὶ τοὺς ἐν τῷ διακλᾶσθαι τριμμούς. Ἐπειδὴ δὲ καὶ πολὺς ἔσται, φησὶν, ὁ πεπτωκὼς, « Ἐν παντὶ τόπῳ ἐπιῤῥίψω σιωπήν. » Παντὸς γὰρ τόπου λοιπὸν εἰς ἐρημίαν ἐνηνεγμένου, καὶ οὐκ ἔχοντος τοὺς οἰκήτορας, πολλή τις ἔσται σιωπὴ, ἥγουν ἡσυχία, καθὰ καὶ ἐν ταῖς ἐρήμοις καὶ ἀβάτοις γαῖς. Ἀμηχανήσει δὴ οὖν κατ' οὐδένα τρόπον ὁ τῶν ὅλων Θεὸς, εἰ παιδεύειν ἔλοιτο τοὺς ἡμαρτηκότας, ἀλλ' ἔσται πολὺς καὶ διάφορος αὐτῷ τῆς αἰκίας ὁ τρόπος, καὶ ἀντιστήσεται μὲν οὐδεὶς ποιναῖς ἐνιέντι τῷ παροτρυνθέντι. Διαφεύξεταί γε μὴν ὁ ταῖς μεταγνώσεσιν ἀποσειόμενος τὴν ὀργὴν, μετατιθεὶς ἐφ' ἑαυτῷ πρὸς ἡμερότητα χρηστὸν ὄντα καὶ φιλοικτίρμονα Δεσπότην.

A dicens : « Ululabunt laquearia templi in die illa. » Nomine φατνωμάτων intelligit ὀροφὴν, tectum, et laquearia sive circum ipsum tectum fabrorum magno artificio et varietate coronides, juxta illud : « Trabes nostræ cedrinæ : laquearia nostra cypressina [15]. » Ululatura autem laquearia dicit, non quidem articulatam vocem emittentia, sed sonitum potius, et stridores confractionis. Quoniam autem multi cadent, inquit, « in omni loco projiciam silentium. » Omni enim loco deinceps in solitudinem redacto nec habente incolas, multum erit silentium, sive quies; sicut etiam in solitariis et inviis terris. Non deerit igitur consilium Deo universorum ulla ex parte, si peccatores punire voluerit; sed suppeditabunt ei plagarum modi, et irritatum ac pœnas importantem, B nemo impediet. Effugiet autem, qui pœnitentia iram divinam amolietur, transferens eum ad mansuetudinem erga se qui benignus et misericors est Dominus.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.

Ἀκούσατε δὴ ταῦτα, οἱ ἐκτρίβοντες εἰς τὸ πρωὶ πένητα, καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς, λέγοντες· Πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπωλήσομεν, καὶ τὰ Σάββατα, καὶ ἀνοίξομεν θησαυρὸν τοῦ ποιῆσαι μέτρον μικρὸν, καὶ τοῦ μεγαλῦναι στάθμιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον, C τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχοὺς, καὶ πένητα ἀντὶ ὑποδημάτων, καὶ ἀπὸ πάσης πράσεως ἐμπορευσόμεθα;

ΟΓ. Ἠρετό τις τῶν Φαρισαίων ποτὲ τὸν Κύριον, ποίαν ἡγοῖτο πρώτην καὶ μεγάλην ἐντολὴν, ἀντήκουε δὲ, ὅτι πρώτη μὲν ἐντολὴ τὸ, « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου· » δευτέρα δὲ καὶ ἐγγὺς τὸ, « Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν. » Ἴδοι δ' ἂν τις καὶ αὐτὸν τὸν θεσπέσιον Παῦλον μονονουχὶ τῆς ἀγάπης ἁπηρτηκότα πᾶν εἶδος ἀρετῆς, μείζονά τε αὐτὴν πίστεως καὶ ἐλπίδος εἰπεῖν θαῤῥήσαντα, καὶ διωμολογηκότα σαφῶς, ὡς οὐδὲν εἴη ὁ ταύτην οὐκ ἔχων, κἂν εἰ προθείη τοῖς δεομένοις τὰ ὑπάρχοντα, κἂν αὐτὸ τοῖς διώκουσι παραδῷ τὸ σῶμα ἵνα καυθῇ. Οὐκοῦν πᾶν ὅσον ἐστὶν ἐν ἡμῖν μέγα τε καὶ ἀξιάκουστον, ἔσται δὴ πάντως ἐκ τῆς εἰς Θεὸν, καὶ ἀδελφοὺς ἀγάπης. Εἰ δὲ δή τις ὅλως τῶν τῆς ἀγάπης ἔξω φέροιτο νόμων, καὶ ἀμέτοχος ὁρῷτο τῶν ἐξ αὐτῆς ἀγαθῶν, ὁ αὐτὸς ἀχρεῖος ἔσται παντελῶς, καὶ παντὶ τρόπῳ φαυλότητος νοοῖτ' ἂν εἰκότως ἐνισχημένος, ὡς ὅπερ ἂν ἀνεπιτήδευτον εἴη τὸ ἀγαθὸν, ἐκεῖ δήπου πάντως ἀνθήσει τὸ πλημμελές. Ὅρα τοίνυν τοῦ παντὸς λόγου τὴν οἰκονομίαν. Προαιτιασάμενος γὰρ ἐπ' ἀθεότητι τὸν Ἐφραΐμ, ἤτοι τὸν Ἰσραὴλ, καὶ προσκυνητὴν δαμάλεων ἀποφήνας, καὶ τὴν εἰς τὸν ἕνα καὶ φύσει Θεὸν ἀγάπην οὐκ ἔχοντα, διά τοι τὸ προσκεῖσθαι φιλεῖν τοῖς ἔργοις τῶν ἰδίων χειρῶν,

TOMUS QUARTUS.

VERS. 4-6. *Audite hæc, qui conteritis in mane pauperem, et opprimitis mendicos de terra, dicentes : Quando transibit mensis, et vendemus; et Sabbata, et aperiemus thesaurum, ut faciamus mensuram parvam, et magnam faciamus staleram, et faciamus staleram iniquam, ad possidendum in argento mendicos, et pauperem pro calceamentis, et ab omni venditione negotiabimur?*

LXXIII. Pharisæus quidam aliquando interrogavit Dominum, quodnam putaret esse primum, et magnum mandatum. Responsum tulit, hoc esse primum mandatum : « Diliges Dominum Deum tuum. » Secundum, et junctum illi : « Diliges proximum tuum sicut teipsum [15]. » Licet etiam videre sanctissimum Paulum omne propemodum virtutis genus in charitate collocasse, nec dubitasse eamdem fide et spe majorem affirmare, et perspicue confessum, qui ea careat, nihil esse, tametsi facultates suas in egentes distribuat : tametsi corpus suum persecutoribus D tradat, ut ardeat [16]. Quocirca quidquid in nobis **332** magnum et memorabile est, utique ex charitate erga Deum et fratres proficiscetur. Quod si quis a legibus charitatis deflexerit penitus, nec bonorum ex ea profluentium particeps videbitur, idem inutilis prorsus erit, et omni improbitate irretitus haberi non injuria queat : quoniam ubi nullum adhibetur boni adipiscendi studium, ibi pullulet vitiositas necesse est. Totius itaque sermonis œconomiam, et distributionem, atque ordinem animadverte. Cum prius Ephraim, sive Israel propter veri Dei negligentiam accusasset, adoratoremque vituli declarasset, nec diligere unum et natura Deum :

[15] Cant. I, 16. [15] Matth. XXII, 35-39. [16] I Cor. XIII, 1, 3.

Digitized by Google

quandoquidem operibus manuum suarum devotus et consecratus esset, sceleratum vere in ipsos fratres, et charitatis erga proximum contemptorem demonstrat. Cæterum generose, valdeque perspicue, quanquam breviter, reprehensionem instituit; sed enumerantur tamen crimina. Ait igitur : « Audite hæc qui conteritis in mane pauperem, et opprimitis mendicos de terra. » Quasi diceret : Vos compello, quibus magnæ curæ est infimæ sortis, et pauperem quodammodo e terra abolere, et tyrannos agere mane. Qui enim moderationem, quæ est secundum Deum, amant, die ipsis illucescente Deo gratias offerunt, eum votis ac precibus colunt, et ad quæcunque cum laude conjuncta operam, atque studium suum accommodant. Qui autem nihil nisi dominationes meditantur, et cum præcellentia divitiarum nihil comparandum putant, negotiumque præclarum existimant, statim aurora exoriente lectulo desilire, et ad consuetam sibi nequitiam animos intendere, et quos possint fraudando opibus præcellere; noctem velint nolint intervenientem, propemodum accusando, quandoquidem tempus ad avaritiam exercendam idoneum illis præcidit, hi dicunt : « Quando transibit mensis, et vendemus? » Hoc eorum qui fenerantur, et brevi ad divitias evadere cupiunt, votum est, hominum infamium, sordidorum, finem mensis semper sitientium, ut vel modicum modico accumulantes, lucra sua amplificent, et fenus fenori impie acervantes, tenuiores opprimant, quanquam lex aperte dicat : « Si pecuniam mutuam dederis proximo, non urgebis eum, nec impones ei usuram [17]. » Isti vero dicunt, « Quando transibit mensis, et vendemus? » Alii rursum, æqualibus aut etiam deterioribus morbis impliciti, et turpis quæstus cupidine subacti, aiunt, **333** « Quando transibunt Sabbata, et aperiemus thesauros, ut faciamus mensuram parvam, et magnam faciamus stateram, et faciamus stateram iniquam? » Quid porro istud sit, quorumve Sabbatorum transitum quærant, ut aperiant thesauros, et parvam faciant mensuram, et magnam faciant stateram, explicandum omnino. Scriptum est igitur in Deuteronomio : « Septimo anno facies remissionem. Et hoc est mandatum remissionis. Remittes omne debitum, quod debet tibi proximus, et a fratre tuo non repetes, quoniam coguominata est remissio Domini Dei tui. Ab alieno exiges, quæcunque fuerint tibi apud eum. Fratri tuo remissionem facies debiti tui [18]. » Et infra hortatur in hunc modum : « Cave tibi, ne fiat verbum occultum in corde tuo iniquitas, dicens, Appropinquat annus septimus, annus remissionis, et iniquus sit oculus tuus fratri tuo indigenti, et clamabit contra te ad Dominum, et erit in te peccatum magnum [19]. » Cum igitur lex debitorum amputationem imperet annis velut sabbatizantibus, seu quiescentibus (ad septimum enim annum tempus solvendi compleri constituit), deinde commonefaciat, non esse mali-

A ἀνόσιον ὄντως προσαποδείκνυσι καὶ εἰς αὐτοὺς ἀδελφοὺς, καὶ τῆς εἰς τὸν πλησίον ἀγάπης ὀλοτρόπως ἠφειδηκότα. Ποιεῖται δὲ γενικῶς, καὶ λίαν σαφῶς τὸν ἔλεγχον, καὶ ὡς ἐν βραχέσι μὲν ἔτι, πλὴν ἀπαριθμεῖται τὰ ἐγκλήματα. Ταύτηγοί φησιν· « Ἀκούσατε ταῦτα, οἱ ἐκτρίβοντες εἰς τὸ πρωῒ πένητα καὶ καταδυναστεύοντες πτωχοὺς ἐπὶ τῆς γῆς. » Ὅμοιον ὡς εἰ λέγοι· Πρὸς ὑμᾶς ὁ λόγος, οἷς ἐσπούδασται λίαν τὸ οἰονείπως καὶ ἀπαλείφειν τῆς γῆς τὸν ἀσθενῆ καὶ πένητα, καὶ καταδυναστεύειν εἰς τὸ πρωΐ. Οἱ μὲν γὰρ τῆς κατὰ Θεὸν ἐπιεικείας ἐρασταὶ, διαυγαζούσης αὐτοῖς τῆς ἡμέρας ἀναφέρουσι τῷ Θεῷ χαριστήρια, προσκυνοῦσι, προσεύχονται, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐπαινουμένων παρατρέπουσι τὰς σπουδάς. Οἱ δὲ εἰς μόνον ὁρῶντες τὸ καταδυναστεύειν τινὰς, καὶ τοῦ B χρῆναι πλεονεκτεῖν οὐδὲν εἶναι νομίζοντες τὸ ἰσοστατοῦν, ἔργον ποιοῦνται περισπούδαστον τὸ εὐθὺς ἀρχομένης ἠοῦς εὐνῆς ἀναθρώσκειν, καὶ πρὸς τὴν αὐτοῖς συνήθη βαδίζειν φαυλότητα, καὶ οὓς ἂν δύναιντο πλεονεκτεῖν, μονονουχὶ καὶ ἐπερχομένην ὅλως αὐτοῖς τὴν νύκτα, καὶ μέλλουσαν αἰτιώμενοι, ὅτι μὴ δίδωσι καιρὸν αὐτοῖς τὰ ἀποχρώντως ἔχοντα πρὸς πλεονεξίαν, οὗτοί φασι· « Πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπωλήσομεν; » Δεδανεικόσιν δὲ αὖτη καὶ ἐν βραχεῖ πλουτούντων εὐχὴ, αἰσχρῶν καὶ ῥυποκονδύλων, οἳ τὰ τοῦ μηνὸς ἀεὶ διψῶσι πέρας, ἵνα καὶ σμικρὸν ἐπὶ σμικρῷ συλλέγοντες, ἀθρυπτέρας ποιοῦντο τὰς ἑαυτῶν ἐμπωλὰς, καὶ τόκους ἐπὶ τόκοις ἀνοσίως ἐρανιζόμενοι καταθλίβουσι τοὺς ἀσθενεστέρους, καίτοι τοῦ νόμου λέγοντος ἐναργῶς· « Ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς C τῷ πλησίον, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον. » Ἀλλ' οἱ μέν φασι· « Πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπωλήσομεν; » Οἱ δὲ ταῖς ἴσαις, ἢ καὶ ἔτι χείροσιν ἀῤῥωστίαις ἐνισχημένοι, καὶ λημμάτων αἰσχρῶν ἠττώμενοι, φασὶ πάλιν· « Πότε διελεύσεται τὰ Σάββατα, καὶ ἀνοίξομεν τοὺς θησαυροὺς, τοῦ ποιῆσαι μικρὸν μέτρον, καὶ τοῦ μεγαλύναι στάθμιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον; » Καὶ τί δὴ τοῦτό ἐστιν, ἢ ποίων Σαββάτων ζητοῦσι πάροδον, ἵνα ἀνοίξειαν θησαυροὺς, καὶ μικρὸν ποιήσειαν μέτρον, μεγαλύνωσι τὰ στάθμια, εἰπεῖν ἀναγκαῖον. Γέγραπται τοίνυν ἐν τῷ Δευτερονομίῳ· « Δι' ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν. Καὶ οὕτω τὸ πρόσταγμα τῆς ἀφέσεως. Ἀφήσεις πᾶν χρέος ἴδιον ὃ ὀφείλει σοι ὁ πλησίον, καὶ τὸν ἀδελφόν σου οὐκ ἀπαιτήσεις, ὅτι ἐπικέκληται ἄφεσις D Κυρίῳ τῷ Θεῷ σου. Τὸν ἀλλότριον ἀπαιτήσεις, ὅσα ἂν σοι παρ' αὐτῷ ᾖ. Τῷ ἀδελφῷ σου ἄφεσιν ποιήσεις τοῦ χρέους σου. » Καὶ μεθ' ἕτερα παρεγγυᾷ λέγων· « Πρόσεχε σεαυτῷ μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα, λέγων· Ἐγγίζει τὸ ἔτος, τὸ ἕβδομον ἔτος, τῆς ἀφέσεως, καὶ πονηρεύσηται ὁ ὀφθαλμός σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ, καὶ οὐ δώσεις αὐτῷ, καὶ βοήσεται κατὰ σοῦ πρὸς Κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία μεγάλη. » Νόμου τοίνυν χρεῶν ἀποκοπὰς ποιῆσαι προστεταχότος, οἱονεὶ σαββατιζόντων ἐτῶν (ἐν ἑβδόμῳ γὰρ ἔτει πληροῦσθαι προστέταχεν), εἶτα προϋπομιμνήσκοντος μὴ δεῖν

[17] Levit. xxv, 37. [18] Deut. xv, 1. [19] ibid. 9.

Digitized by Google

νηρεύεσθαι, διακιχρᾶν δὲ μᾶλλον τοῖς δεομένοις, κἂν εἰ μὴ φαίνοιτο μακρὰν τὸ τῆς ἀφέσεως ἔτος, οἱ πολλοὺς καὶ ἀμφιλαφεῖς ἔχοντες θησαυροὺς, τὴν χεῖρα συστέλλοντες, τὰ τῶν ἐτῶν Σάββατα περιμένειν ἐσπούδαζον ἐπὶ θύραις ὄντα λοιπόν· εἶθ' οὕτως ἐδάνειζον, ἵνα μὴ τοῖς τῆς ἀφέσεως χρόνοις ὑπενεχθῇ τὸ ὄφλημα. Οὗτοί φασι· « Πότε διελεύσεται τὰ Σάββατα (δῆλον δὲ ὅτι τὰ ἐξ ἐτῶν), καὶ ἀνοίξομεν θησαυρούς; » Καὶ οὐ μέχρι τούτων τὸ δυσσέβημα, ἀλλὰ καὶ ταῖς τῶν ἀθλίως πεπραχότων πτωχείαις ἀφιλαλλήλως ἐπιθρώσκοντες, μικροῖς μὲν ἐποιοῦντο μέτροις τὴν δόσιν, ἀντεκομίζοντο δὲ σταθμίοις οὐχ ἴσοις, ἀλλὰ τοῖς ἔτι μείζοσι, καὶ πολὺ τῶν πρώτων διαβριθεστέροις, καίτοι Θεοῦ λέγοντος διὰ Μωσέως τὸ, « Οὐκ ἔσται ἐν τῷ μαρσίπῳ σου στάθμιον καὶ στάθμιον μέγα καὶ μικρόν. Οὐκ ἔσται ἐν τῷ οἴκῳ σου μέτρον καὶ μέτρον μέγα καὶ μικρόν. Στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν τοῦτο, πᾶς ποιῶν ἄδικα. » Ἀλλ' οὐδὲν ἐκείνοις τῆς δικαιοσύνης ὁ λόγος. Εἰς μόνην δὲ βλέποντες τὴν φιλοκέρδειαν, ἐξέτριβον πένητας, μονονουχὶ καταβοσκόμενοι τοὺς ἀθλίους, καὶ ἐν ὑποδημάτων ποιούμενοι τάξει· « Νομαὶ γὰρ πλουσίων πτωχοί, » κατὰ τὸ γεγραμμένον. Ἀλλ' ὀνίνησιν ἡμᾶς οὐ μετρίως ὁ Παροιμιαστὴς, λέγων· « Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ Θεοῦ κατευθύνηται τὰ διαβήματα αὐτοῦ. Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. » Ὡς οὖν ἐφορῶντος τοῦ Θεοῦ, καὶ τῶν καθ' ἡμᾶς ἕκαστα περιαθροῦντος ἰσχνῶς, ὀρθὰς ποιεῖσθαι τὰς τροχιὰς ἀναγκαῖον τοῖς γε ἀληθῶς ἀγαθοῖς καὶ ἐχέφροσι, καὶ οὐδὲν ἡγεῖσθαι τὸ ἰσορροποῦν τῆς τε εἰς Θεὸν καὶ τῆς εἰς ἀδελφοὺς ἀγάπης. Καὶ ἡ μὲν εἰς Θεὸν ἀγάπη, τὸ γνήσιον εἰς πίστιν καὶ τὸ ἀπαράθραυστον ἔχει· ἡ δέ γε εἰς ἀδελφοὺς, τῆς δικαιοσύνης ἀνῆπται τὰ αὐχήματα. Καὶ γὰρ εἰ ἔστιν ἀληθὴς ἡ ἀγάπη, τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. Χρῆναι δέ φημι τοὺς εὐδοκιμεῖν ἠρημένους, καὶ ἐννομωτάτην ἔχοντας ζωὴν, ἐνδύσασθαι μὲν σπλάγχνα οἰκτιρμῶν, κατευμεγεθεῖν δὲ σφόδρα τῆς ἐπαράτου φιλοκερδείας, καὶ κοινὰ τοῖς δεομένοις προθεῖναι τὰ ὄντα. Τηρήσας γὰρ οὕτως τῆς ἀγάπης τὸν νόμον, λαμπρὸς ἔσται καὶ ἀξιοζήλωτος παρά τε Θεῷ καὶ ἀνθρώποις. Γέγραπται γὰρ, ὅτι « Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. »

A gnandum, sed commodandum potius egentibus, etiamsi non procul abesse annus remissionis videatur, qui multos et divites thesauros habebant, manum contrahentes, annorum Sabbata, quæ jam ante fores erant, exspectare studebant : ita demum mutuabant, ne temporibus remissionis debitum, seu æs alienum subjiceretur. Hi dicunt, « Quando transibunt Sabbata (haud dubium, quin annorum) et aperiemus thesauros? » Neque hic impietas stetit; sed miserorum quoque mendicitatibus, nulla mutui amoris habita ratione, insultantes, parvis mensuris in eo, quod vendebant, utebantur; stateris autem non æque parvis, sed majoribus, et prioribus longe cumulatioribus recipiebant, licet Dominus per Mosen dicat: « Non erit in sacculo tuo pondus et pondus, magnum vel parvum. Non erit in domo tua mensura et mensura magna et parva. Pondus verum et justum erit tibi, ut longævus sis super terram, quam Dominus Deus tuus dabit tibi in possessionem; quoniam abominatio est Domino Deo tuo omnis faciens hæc, omnis faciens injusta [20]. » Verum illi justitiam in minimis ducentes, et ad quæstum duntaxat attenti, pauperes opprimebant, quasi depascentes miseros, et calceamentorum loco habentes : « Pascua enim divitum pauperes, » ut scriptum est [21]. Sed juvat **334** nos non mediocriter Paræmiastes cum ait, « Cor viri cogitet justa, ut a Deo dirigantur gressus ejus [22]. Viæ enim hominis ante oculos Dei sunt, et omnes semitas ejus considerat [23]. » Ut igitur Deo nos inspectante, et singula nostra sigillatim circumspiciente, necesse est semitas facere rectas vere bonis [23*], et prudentibus, et ita statuendum, charitati erga Deum et proximum æquiparari nihil posse. Et charitas quidem erga Deum sinceram et inconcussam fidem habet : erga fratres autem cum gloria justitiæ copulata est. Nam si vera est charitas, proximo nihil nocumenti parat. Existimo autem studentes bene audire, et vitam legibus convenientissimam ducentes, viscera misericordiæ induere, et adversus exsecrandam lucri aviditatem sese invictissimos præstare, facultatesque suas cum egentibus communicare. Qui enim sic legem charitatis servaverit, illustris erit, et apud Deum et homines laudem promerebitur. Scriptum est enim : « Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi [24]. »

Ὀμνύει Κύριος καθ' ὑπερηφανίαν Ἰακώβ, εἰ ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα αὐτοῦ. Καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ; Καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ. Καὶ ἀναβήσεται ὡς ποταμὸς ἡ συντέλεια, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου.

VERS. 7, 8. *Jurat Dominus in superbiam Jacob, si oblivioni tradentur in victoriam omnia opera eorum. Et super his non turbabitur terra? Et lugebit omnis habitans in ea. Et ascendet quasi flumen consummatio, et descendet quasi fluvius Ægypti.*

ΟΔ'. Ὑπερηφίας ἔγκλημα ποιεῖται Θεὸς τοῖς ἐξ Ἰακὼβ, τὸ θείων μὲν ἀφειδῆσαι νόμων, κατῆσαι δὲ καὶ αὐτὴν εἰς ἀδελφοὺς ἀγάπην. Ὄμνυσι τοίνυν καθ' ὑπερηφάνους Ἰακώβ. Καὶ οὔτι πού φαμεν ὅρκιον ποιεῖσθαι τὸν τῶν ὅλων Θεὸν τὴν τινων ὑπερηφίαν.

LXXIV. Posteris Jacob pro superbiæ crimine reputat, contemnere leges divinas, et ipsam dilectionem erga fratres conculcare. Jurat igitur per superbos Jacob. Neutiquam porro dicimus, quorumdam superbiam Deum universorum ad jusjurandum

[20] Deut. xxv, 13-15. [21] Eccli. xiii, 23. [22] Prov. iii, 6. [23] Prov. v, 21. [23*] Isa. xl, 3. [24] Psal. cxi, 9.

Digitized by Google

adigere. Jurat autem per illam, hoc est, debitam illi pœnam definit. Quid vero tandem jurat? se non præteriturum amplius scelera eorum, et nec ad finem toleraturum. Hoc enim est, opinor, quod dicit, « in victoriam, » nempe semper, et ad victoriam tendens. Deinde quærit, sublata oblivione impie ab ipsis commissorum, quo pacto fieri possit, ut non impleatur terra tumultu, hostibus eam percursantibus, ipsis autem propter acerbam et inevitabilem calamitatem lugentibus. Et quænam calamitas ista? « Ascendet enim super illos, inquit, consummatio, ut fluvius Ægypti, » omnia sternens, multisque et insuperabilibus fluentis totam Samariæ terram inundans. **335** Descendet vero similiter, omnia incidentia secum trahens, et nulli penitus parcens. Ascendet enim adversus illos Sennacherib, cum exercitu multorum millium, instar fluminis terram cooperiens, et omnia in potestatem redigens. Rursus in regnum suum longe maximum, innumerabilem captivorum multitudinem secum trahens descendit. Si igitur vilipendamus Deum, ipsi vires nostras interiores adversarias sentiemus, et tumultum quemdam mœroresque experiemur, quodammodo direpti ab ipsis, et velut ad servilem famulatum compulsi. Oppugnabunt quippe nos, ut aqua insuperabilis in exitium trahens, et in perditionem submergens. Flumina autem nos non concludent, ut scriptum est [26], neque absorbebit nos profundum, neque submerget tempestas conantes placere Deo. Tunc, tunc, inquam, dæmonum fraudibus viriliter elabentes, et eorum nequitiam magnopere despicientes, cum gaudio dicemus : « Nisi quia Dominus erat in nobis, forsitan vivos absorbuissent nos [26]. » Et iterum : « Torrentem pertransivit anima nostra, aquam intolerabilem [27]. » Quamvis enim aqua diabolicæ vexationis sit intolerabilis, nostrisque animis inexpugnabilis, per passiones scilicet inundatio, tamen in Christo poterimus. Illius enim malignitatis insultum, ceu torrentem quemdam pertransibimus.

A Ὀμνυσι δὲ κατ' αὐτὴν, τουτέστι, καθορίζει αὐτῆς τὴν ἀξίαν δίκην. Τί δὲ καὶ ὄμνυσιν ὅλως ; ὡς οὐκ ἂν ἔτι παραδράμοι τὰ ἐγκλήματα, καὶ μέχρι τέλους ἀνέξεται. Τοῦτο γὰρ, οἶμαι, τὸ, « εἰς νῖκος, » ἐστὶ, τὸ μέχρι παντὸς καὶ εἰς ἀπονίκησιν τρέχον. Εἶτά φησιν, ὅτι λήθης ἀνῃρημένης τῆς ἐπί γε τοῖς ἀνοσίοις αὐτῶν πλημμελήμασι, πῶς οὐκ ἂν γένοιτο θορύβου μὲν ἔμπλεως ἡ γῆ, καταθεόντων αὐτὴν τῶν ἐχθρῶν, αὐτοὶ δὲ πενθήσουσι δεινήν τε καὶ δυσδιάφυκτον ἀνατλάντες συμφοράν ; Καὶ τίς αὕτη πάλιν ; « Ἀναβιβασθήσεται γὰρ ἐπ' αὐτοὺς συντέλεια, φησὶν, ὡς ποταμὸς Αἰγύπτου, » πάντα κατακάμπτων, καὶ πολλοῖς καὶ ἀμάχοις ῥεύμασιν ὅλην ἐπικλύζων τῆς Σαμαρείας τὴν γῆν. Καταβήσεται δὲ ὁμοίως πάντα κατασύρων τὰ παρεμπίπτοντα, καὶ οὐδενὸς τὸ σύμπαν φειδόμενος. Ἀνέβη γὰρ ἐπ' αὐτοὺς ὁ Σενναχηρὶμ μυριάνδρους B στρατιαῖς, οἷά τις ποταμὸς καταπλημμυρῶν τῆς γῆς, καὶ ὑφ' ἑαυτὸν τὰ πάντα ποιούμενος. Ἀπέβη δὲ πάλιν εἰς τὴν ἑαυτοῦ, πλείστην τε ὅσην, καὶ ἀναρίθμητον αἰχμαλωσίαν ἐπισυρόμενος. Ὅταν τοίνυν καταφρονῶμεν Θεοῦ, αὐτοὶ καθ' ἑαυτῶν τὰς ἀντικειμένας δυνάμεις εὑρήσομεν, καὶ ὡς ἐν θορύβῳ γενέσθαι καὶ λύπαις, τρόπον τινὰ διαρπαζόμενοι παρ' αὐτῶν, καὶ ὡς ἐξ ἀνάγκης ὑποπίπτοντες εἰς δουλοπρεπῆ θητείαν. Ἔσονται γὰρ καθ' ἡμῶν ὡς ἄμαχον ὕδωρ, κατασύρον εἰς ὄλεθρον, καὶ καταποντίζον εἰς ἀπώλειαν. Ποταμοὶ δὲ ἡμᾶς οὐ συγκλείσουσι, κατὰ τὸ γεγραμμένον, οὔτε μὴν καταπίεται βυθὸς, ἀλλ' οὐδ' ἂν καταποντίσει καταιγὶς εὐαρεστεῖν ἐθέλοντας τῷ Θεῷ. Τότε δὴ, τότε τὰς τῶν δαιμονίων πλεονεξίας ἀνδρωδῶς ἐκδύναντες, C καὶ τῆς ἐκείνων σκαιότητος ὀλίγα κομιδῇ φροντίσαντες, χαίροντες ἐροῦμεν· « Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. » Καὶ πάλιν· « Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν, τὸ ὕδωρ τὸ ἀνυπόστατον. » Εἰ γὰρ καὶ ἔστιν ἀνυπόστατον καὶ ταῖς ἡμετέραις διανοίαις ἀν[αν]ταγώνιστον, τῆς διαβολικῆς ἐπηρείας τὸ ὕδωρ, τουτέστιν, ὁ διὰ παθῶν ἐπικλυσμὸς, ἀλλ' ἐν Χριστῷ δυνησόμεθα. Παρελευσόμεθα γὰρ οἷά τινα χείμαῤῥον τῆς ἐκείνου δυστροπίας τὴν ἔφοδον.

VERS. 9, 10. *Et erit in die illa, dicit Dominus, occidet sol in meridie, et contenebrescet in die lumen. Et convertam festivitates vestras in luctum, et omnia carmina vestra in lamentationes, et inducam super omnem lumbum saccum, et super omne caput calvitium. Et ponam eum quasi luctum dilecti, et eos qui cum eo, in diem doloris.*

Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ σκοτώσει ἐν ἡμέρᾳ τὸ φῶς. Καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας ᾠδὰς ὑμῶν εἰς θρήνους, καὶ ἀναβιβάσω ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα. Καὶ θήσομαι αὐτὸν ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης.

LXXV. Duplicem sensum verba ista continent. Pene semper enim sanctis prophetis in more est, ad finem præcipue verborum suorum, meminisse Dei, et quod de eo est mysterium, eo usque obscurum ac tectum, apertius enarrare. Age itaque, utrumque complectentes, quæ consentanea sunt, dicamus. Afferemus autem priore loco, quæ ex dictis consequuntur : postea ad explicationem de Christo dictorum sententiam accommodabimus.

ΟΕ'. Διττὴν ὠδίνει ταυτὶ τὴν διάνοιαν. Ἔθος γὰρ ἀεὶπως τοῖς ἁγίοις προφήταις, ἐπὶ τέλει μάλιστα τῶν ἰδίων λόγων μεμνῆσθαι Θεοῦ, καὶ τοῦ κατ' αὐτὸν μυστηρίου ποιεῖσθαι τὴν ἀφήγησιν, ἀσαφείας ἔτι κατεσκιασμένην. Φέρε τοίνυν, ἐπ' ἄμφω βλέποντες, τὰ εἰκότα λέγωμεν. Ἐκθησόμεθα δὲ πρῶτον τὰ τεθειρημένοις ἀκόλουθα, εἶθ' οὕτως εἰς ἐξήγησιν τὴν περὶ Χριστοῦ τὴν τῶν εἰρημένων μεθαρμόσομεν νοῦν. Κατ' ἐκείνην δὴ οὖν τὴν ἡμέραν, καθ' ἣν ἂν ἡ συ-

Digitized by Google

τέλεια κατὰ πάσης τῆς Σαμαρειτῶν οἰχήσεται γῆς, ὡς Αἰγύπτου ποταμὸς, ἁπάντων, ὡς ἔπος εἰπεῖν, τῶν οἰκούντων αὐτὴν δεινὸς, καὶ βαθὺς κατασκεδασθήσεται σκότος, καταδυομένου τρόπον τινὰ τοῦ ἡλίου, καὶ τοῦτο ἐν μεσημβρίᾳ. Καὶ οὐ δή πού φαμεν, ὅτι κατέδυ κατὰ τὸ ἀληθὲς τοῦ ἡλίου τὸ φῶς, ἀλλὰ γέγονεν ὡς σκότος τοῖς τὴν Σαμάρειαν οἰκοῦσιν ἡ ἐκ τοῦ πολέμου συμφορά. Καταθολοῖ γὰρ τὸν νοῦν πολλὴ καὶ ὑπερμεγέθης, ὅταν αἰρηται, λύπη, καὶ σκοτίζει καρδίαν τὰ παρ' ἐλπίδα τε καὶ ἀδοκήτως συμβαίνοντα, καὶ τῶν σκυθρωπῶν ἡ δριμύτης ἀχλὺν οἷά τινα, καὶ ὁμίχλην ταῖς τῶν παθόντων καρδίαις ἐνεργάζεται. Οὐκοῦν δύονται σκότος, φησὶ, κἂν εἰ μεσημβρίζῃ τυχὸν ὁ ἥλιος. Οἱ δὲ δὴ πάλαι λαμπρῶς ἑορτάζοντες χορδαῖς τε καὶ λύραις, καὶ τοῖς τῶν ᾀσμάτων λιγυρωτάτοις ἀεὶ προσχρώμενοι, τῶν μὲν τοιούτων ἀφέξονται σπουδασμάτων, κατοιμώξουσι δὲ μᾶλλον, καὶ μελέτην ποιήσονται τὰς εἰς θρῆνον ᾠδὰς, καὶ τὸ τῶν πενθούντων ἀναλήψονται σχῆμα, σάκκον τε, φημὶ, καὶ φαλάκρωμα. Ἀτιμοποιὸν δὲ σφόδρα καταψιλοῦσθαι τὴν κεφαλήν. Καὶ γοῦν Ἰὼδ ἀπεκείρατο τὴν κόμην τῶν τέκνων ἀπολωλότων. « Ποιήσομαι δὲ, φησὶ, τὸν Ἰακὼβ ὡς πένθος ἀγαπητοῦ, » τουτέστιν, οὕτως ἐπ' αὐτῷ στυγνάσουσιν οἱ ἰδόντες αὐτὸν, ὡσανεὶ καὶ μήτηρ, ἢ πατὴρ ἐφ' ἑνὶ ἀγαπητῷ κειμένῳ τέκνῳ. «Καὶ τοὺς μετ' αὐτοῦ δὲ ὡς ἡμέραν ὀδύνης,» τουτέστιν, οἱ ἐκ γειτόνων Ἰούδα, καὶ Βενιαμὶν, οἱ ὁμοῦ τῷ Ἐφραὶμ εἰδώλοις λελατρευκότες, καὶ μετ' αὐτοῦ γεγονότες ἐν τούτῳ δηλονότι τῷ τρόπῳ, ὡς ἡμέραν ἔχοντες ὀδύνης, καὶ ὡς ἐν ὠδῖσι γεγονότες εὑρεθήσονται, ἐν ὠδῖσι δὲ φημὶ, ταῖς ἐκ δειμάτων, καὶ λύπης, καὶ πόνων. Καταδῃώσας γὰρ τὴν Σαμάρειαν ὁ Σενναχερὶμ, πάσας εἶλεν αὐτῶν τὰς πόλεις. Εἶτα πέμπει Ῥαψάκην ἐκ Λάχης εἰς Ἱερουσαλὴμ, ὃς ἐπηπείλησε τὰ δεινὰ τοῖς ἐν τῷ τείχει. Συνέθρουσε δὲ οὕτως εἰς ἀκηδίαν τοὺς ἐν Ἱεροσολύμοις, ὡς αὐτίκα δὴ μάλα τοῖς ἐν Σαμαρείᾳ συνδιόλλυσθαι προσδοκᾷν. Τότε δὴ, τότε βαρυθυμήσας ἄγαν καὶ ὁ βασιλεὺς Ἐζεχίας, πέμπει τινὰ πρὸς Ἡσαΐαν λέγων· « Ἡμέρα θλίψεως, καὶ ὀνειδισμοῦ, καὶ ἐλεγμοῦ, καὶ ὀργῆς ἡ σήμερον ἡμέρα, ὅτι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ, ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν. » Οὐκοῦν ἡμέραν ὀδύνης τοὺς ἐξ ὠδῖνος πόνους, καὶ βαρυθυμίας φησί. Γεγόνασι τοίνυν ἐν ἡμέρᾳ ὀδύνης, ἀπολέσαι προσδοκήσαντες, οἱ ἐν Ἱεροσολύμοις, οἱ μετ' αὐτοῦ Ἐφραὶμ γεγονότες κατά γε, φημὶ, τὸν τῆς εἰδωλολατρίας τρόπον. Καὶ ταυτὶ μὲν ἔφην ὡς ἐοικότα τε καὶ πρέποντα τοῖς τοτηνικάδε παροτρύνουσιν ἐφ' ἑαυτοῖς τὸν τῶν ὅλων Δεσπότην.

Ἐφαρμόσειε δ' ἄν τις οὐδὲν ἧττον αὐτὰ καὶ τοῖς εἰς αὐτὸν δεδυσσεβηκόσι τὸν Ἐμμανουὴλ, κατὰ τὸν τῆς ἐνανθρωπήσεως χρόνον. Αὐτοὶ γάρ εἰσιν οἱ ἐκτρίβοντες εἰς τὸ πρωῒ πένητα, τουτέστιν, οἱ ἀποσπουδάζοντες μὲν τὸ ἐννόμως ἐλέσθαι βιοῦν, ἐφ' ἑτέρῳ δὲ οὐδενὶ προϊόντες που τάχα, ἢ τῷ καταφθεῖραι τὸν δίκαιον, καὶ δι' οὐδενὸς ποιεῖσθαι τολμᾷν τὸ ταῖς θείαις ἐντολαῖς εὖ μάλα διωρισμένον, καὶ πλεονεκτεῖν

illo igitur die, quo consummatio contra universitatem Samaritanæ terræ, ut Ægypti fluvius advenict, omnes, ut ita dicam, **336** habitatores ejus tetræ ac profundæ tenebræ operient, sole quodammodo occidente, idque meridie. Non quod revera sol occubuerit, hoc enim haud asserimus : sed calamitas bello accepta Samariæ incolis instar tenebrarum facta est. Multa enim et immoderata tristitia, cum ei locus relinquitur, mentem turbidam reddit, et obtenebrant cor quæ præter spem et improviso eveniunt, et acerbitas rerum tristium ceu caliginem et nubem quamdam cordibus mœstorum offundit. Quare tenebras videbunt, inquit, etsi forte in meridie sol lucebit. Et qui aliquando splendide festos dies duxerunt fidibusque et lyris, et cantibus jucundissimis sese oblectarunt, hisce studiis abstinebunt, ejulantes potius, et carmina lugubria meditantes, habitumque lugentium, saccum, inquam, et calvitium assumentes. Est autem ignominiosissimum, pilis nudari caput. Quare Job exstinctis filiis comam detondit [38]. « Faciam porro, inquit, Jacob ut luctum dilecti. » Hoc est, ita super eum tristabuntur qui viderint, ut pater et mater super unico dilecto, eoque mortuo filio tristarentur. « Et eos qui cum eo quasi diem doloris. » Hoc est e vicinis Juda et Benjamin, qui cum Ephraim idolis servierunt, et cum ipso in his moribus fuerunt, quasi diem habentes doloris, et velut in doloribus partus invenientur, in doloribus, inquam, ex terroribus, et tristitia, et ærumna. Vastata enim Samaria, Sennacherib omnes ejus urbes subjugavit. Postmodum Rabsacen e Lachis Hierosolymam misit, qui in muro stantibus atrocia comminaretur. Tanto autem mœrore Hierosolymitanos consternavit, ut mox se una cum Samaritanis perituros exspectarent. Tunc nimirum, tunc rex Ezechias mœstissimus ad Isaiam ire jussit, qui diceret: « Dies tribulationis, et opprobrii, et redargutionis, et iræ hodierna dies, quia venit dolor parienti, nec virtutem habet ad pariendum [39]. » Itaque diem doloris molestias ex dolore et animi ægritudines appellat. Fuerunt igitur in die doloris, perniciem exspectantes Hierosolymitani qui fuerunt cum Ephraim, quod ad venerationem scilicet idolorum attinet. Et hæc quidem dixi, ut apposita et convenientia in eos qui tunc universorum Dominum ad iram provocabant.

Eadem quispiam nihilominus ad **337** illos transtulerit, qui adversus Emmanuelem eo tempore quo homo in terris versatus est, sceleratos sese præbuerunt. Illi namque sunt qui contriverunt mane pauperem, hoc est, qui contempserunt instituta vitæ secundum leges, et nihil forte aliud spectarunt, quam ut justum e medio tollerent, et per audaciam divinis mandatis re-

[38] Job I, 29. [39] Isa. XXVII, 3.

Digitized by Google

ctissime præscripta floccipenderent, et spretis omnibus avocamentis, infirmiores quos libuisset potentia antegrederentur. Hi etiam fortasse sint qui dicunt, « quando transibit mensis, » et quæ sequuntur. Pharisæos enim et Scribas pecuniæ et turpis lucri cupidos fuisse, multis ex locis, si evangelicis scriptis animum advertamus, cognoscere possumus. Etenim Christus suadet ut qui æquitatem quæ est secundum Deum, charam habent, ab infami quæstu invicti, et ab omni avaritia alieni, libenter appareant. Hortatus est etiam adhuc ultra procedere, et egentibus succurrere, et facultates distribuere. Sed quid ait evangelista? « Audiebant autem hæc Scribæ et Pharisæi, qui erant avari, et deridebant eum [46]. » Quare et de ipsis non injuria dicatur: « Jurat Dominus per superbos Jacob, si oblivioni tradentur in victoriam opera vestra. » Vere enim superbi sunt, dum divina mandata despiciunt, et scelestius peccant, quod insuper in Christum contumeliosi reperiuntur. Idcirco eorum peccata in oblivionem non veniunt: sed velut « consummatio ascendit super eos, » et bellum a Romanis tanquam fluvius eos inundat. Postquam autem in cruce universorum Dominum affixerunt, occubuit sol super illos, et offuscata est lux. « Factæ sunt enim tenebræ ab hora sexta usque ad horam nonam [51]. » Quod Judæis signum et argumentum haud obscurum fuit, crucifigentium mentes tenebris quæ cogitatione cernuntur obrutas esse. « Cæcitas enim ex parte contigit in Israel [52]. » Et ut divinus Paulus scribit: « Usque hodie, quando legitur Moses, velamen super cor eorum positum est [52a]. » Maledixit etiam illis ex amore divino David, his verbis: « Obscurentur oculi eorum ne videant, et dorsum eorum semper incurva. [53]. » Præterea lamentatos esse, quasi festivitatibus in mœstitiam conversis, declarari potest ex ipsius Christi verbis ad mulieres super eo lacrymantes, dum cruci affigendus educeretur: « Filiæ Jerusalem, nolite flere super me, sed super vos ipsas flete, et super filios vestros [54]. » Lamentatæ sunt enim quando una cum urbe et divino templo, Romanis omnia incendio miscentibus, perierunt. **338** « Ponam igitur ipsum (puta Emmanuelem), ut luctum dilecti, et qui cum ipso sunt, ut diem luctus. » Crucifixum enim Jesum luxerunt fideles: « Et mulieres procul stantes lamentabantur eum [55]. » Ipsa quoque creatura Dominum suum lugebat. Sol siquidem obscurabatur, petræ scindebantur: ipsum quoque templum personam lugentium gerebat, dirupto velo ejus « a summo usque deorsum [56]. » Et hujusmodi quidpiam nobis Deus per Isaiam significavit: « Induam cœlum tenebris, inquit, et ponam saccum operimentum ejus [57]. » Excitatus est igitur super eo luctus ut super dilecto. Positi sunt etiam qui cum ipso erant, hoc est, discipuli, « in diem doloris. » Nam

ἀσχέτως οὓς ἂν ἕλοιντο τῶν ἀσθενεστέρων. Αὐτοὶ δ' ἂν εἶεν οἱ λέγοντες, « Πότε διελεύσεται ὁ μὴν; » καὶ τὰ ἑξῆς. Ὅτι γὰρ ἐρασιχρήματοί τε καὶ αἰσχροκερδεῖς ἦσαν ἄγαν οἱ Γραμματεῖς καὶ οἱ Φαρισαῖοι, κατὰ πολλοὺς ἂν εἰδείημεν τρόπους, τοῖς εὐαγγελικοῖς συγγράμμασι τὸν νοῦν ἐπερείδοντες. Ἀμείνους μὲν γὰρ ὁρᾶσθαι λημμάτων αἰσχρῶν, καὶ φιλοκερδίας ἁπάσης ἀπηλλάχθαι φιλεῖν τῆς κατὰ Θεὸν ἐπιεικείας τοὺς ἐραστὰς συνεβούλευεν ὁ Χριστός. Προὔτρεπε δὲ καὶ ἐπὶ τὸ ἔτι μεῖζον ἰέναι, καὶ τοῖς δεομένοις ἐπαρκεῖν, καὶ διανέμειν τὰ ὄντα. Ἀλλὰ τί φησιν ὁ εὐαγγελιστής; « Ἤκουον δὲ αὐτὰ οἱ Γραμματεῖς, καὶ οἱ Φαρισαῖοι φιλάργυροι ὄντες, καὶ ἐξεμυκτήριζον αὐτόν. » Οὐκοῦν καὶ περὶ αὐτῶν εἰκότως ἂν λέγοιτο, « Ὀμνύει Κύριος κατὰ ὑπερηφάνους Ἰακώβ, εἰ ἐπιλησθήσεται εἰς νῖκος τὰ ἔργα ὑμῶν. » Ὑπερήφανοι γὰρ ἀληθῶς, τὸ καὶ θείων αὐτοὺς ἀλογῆσαι νόμων, καὶ τὸ ἔτι τούτου φορτικώτερον, καὶ αὐτῷ λοιπὸν ἐμπαροινῆσαι τῷ Χριστῷ. Ταύτῃτοι λοιπὸν οὐδὲ εἰς λήθην αὐτῶν ἀποδημεῖ τὰ πλημμελήματα, « Συντέλεια » δὲ ὥσπερ « ἐπαναβέβηκεν ἐπ' αὐτούς, » καὶ ὡς πλημμυρῶν ποταμὸς ὁ Ῥωμαίων πόλεμος. Ἐπειδὴ δὲ σταυρῷ παρέδοσαν τὸν τῶν ὅλων Δεσπότην, ἔδυνεν ὁ ἥλιος ἐπ' αὐτοῖς, συνεσκότασε δὲ καὶ τὸ φῶς. « Γέγονε γὰρ σκότος ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης. » Καὶ τοῦτο τοῖς Ἰουδαίοις τὸ σημεῖον ἐναργὲς τοῦ κατασκοτισθῆναι νοητῶς τὰς τῶν σταυρωσάντων ψυχάς. « Πώρωσις γὰρ ἀπὸ μέρους γέγονε τῷ Ἰσραήλ. » Καὶ ὡς ὁ θεσπέσιος γράφει Παῦλος, « Ἄχρι σήμερον, ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. » Ἐπηρᾶτο δὲ αὐτοῖς καὶ Δαβὶδ, ἐκ φιλοθεΐας οὕτω λέγων· « Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκυψον. » Ὅτι δὲ καὶ τεθρηνήκασι μετατιθέντες ὥσπερ τὰς ἑορτὰς εἰς κατήφειαν, σαφὲς ἂν γένοιτο, καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ ταῖς κλαιούσαις ἐπ' αὐτῷ γυναιξὶν ἀποφερομένῳ λοιπὸν ἐπὶ τὸν σταυρόν· « Θυγατέρες Ἱερουσαλήμ, μὴ κλαίετε ἐπ' ἐμοί, κλαίετε δὲ ἐφ' ὑμᾶς, καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. » Τεθρηνήκασι γὰρ τῇ τε πόλει, καὶ αὐτῷ τῷ θείῳ συνδιολλύμεναι ναῷ, καταπιμπράντων τὰ πάντα Ῥωμαίων. « Θήσομαι τοίνυν αὐτὸν, » δηλονότι τὸν Ἐμμανουήλ, « ὡς πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. » Σταυρωθέντα γὰρ τὸν Ἰησοῦν ἐπένθησαν οἱ πεπιστευκότες. « Γύναια δὲ κατοιμώζοντα μακρόθεν εἱστήκει, » καὶ αὐτὴ δὲ ἡ κτίσις τὸν ἑαυτῆς ἐπένθει Δεσπότην. Ὁ μὲν γὰρ ἥλιος ἐσκοτίζετο, διερρήγνυντο δὲ πέτραι, καὶ αὐτὸς δὲ ὁ ναὸς τὸ τῶν πενθούντων ἐπλήρωσε σχῆμα, περιρηγνυμένου τοῦ καταπετάσματος ἀπὸ « ἄνωθεν ἕως κάτω. » Καί τι τοιοῦτον ὑπεσήμαινεν ἡμῖν ὁ Θεὸς, διὰ φωνῆς Ἡσαΐου λέγων· « Καὶ ἐνδύσω τὸν οὐρανὸν, καὶ θήσω σάκκον τὸ περιβόλαιον αὐτοῦ. » Γέγονε τοίνυν τὸ ἐπ' αὐτῷ πένθος ὡς ἀγαπητοῦ. Τέθεινται δὲ καὶ οἱ μετ' αὐτοῦ, τουτέστιν, οἱ μαθηταὶ, « εἰς ἡμέραν ὀδύνης. » Ὅτι γὰρ καὶ αὐτοὶ τεθρηνήκασι,

[46] Luc. xvi, 14. [51] Matth. xxvii, 45. [52] Rom. xi, 25. [52a] II Cor. iii, 15. [53] Psal. lxviii, 24.
[54] Luc. xxiii, 28. [55] Ibid., 27. [56] Matth. xxvii, 51. [57] Isa. l, 3.

Digitized by Google

πῶς ἔστιν ἀμφιβάλλειν; Ἐν ὀδύναις γὰρ οὖσιν ἀπ- A quin ipsi quoque sint lamentati, nullo modo dubitandum est. Versantibus enim in dolore mulieres de resurrectione Christi renuntiarunt [48]. Tum demum, et vix oculos aperientes, ad monumentum cucurrerunt, et fortasse ad hasce mulieres, resurrectionis nuntiatrices, Isaias ait in spiritu : « Mulieres venientes a spectaculo, venite; non enim est populus habens intellectum, » Judæorum scilicet ; « propterea non miserebitur eorum, qui fecit eos [49]. »

ἤγγελον αἱ γυναῖκες τὴν ἀνάστασιν τοῦ Χριστοῦ. Τότε δὴ καὶ ἀνανεύσαντες μόλις, ἔτρεχον ἐπὶ τὸ μνημεῖον, καὶ τάχα που πρὸς ταύτας τὰς τὴν ἀνάστασιν εὐαγγελιζομένας γυναῖκας, ὁ Ἡσαΐας φησὶν ἐν πνεύματι· « Γυναῖκες ἐρχόμεναι ἀπὸ θίας, δεῦτε· οὐ γὰρ λαός ἐστι σύνεσιν ἔχων, » ὁ τῶν Ἰουδαίων δηλονότι, « διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ αὐτοὺς ὁ ποιήσας αὐτούς. »

Vers. 11, 12. *Ecce dies veniunt, dicit Dominus, et emittam famem super terram, non famem panum, neque famem aquæ, sed famem audiendi verbum Domini. Et commovebuntur aquæ a mari usque ad mare, et ab aquilone usque ad orientem circumibunt, quærentes verbum Domini, et non invenient.*

Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτων, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον Κυρίου. Καὶ σαλευθήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσιν. B

ΟΖ'. Γέγραπται, « Κύριε, ἐν θλίψει ἐμνήσθημέν σου, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. » Ἄριστον δὲ ὅτι τὸ χρῆμά ἐστι, καὶ ὀνησιφόρον ἀληθῶς τὴν θλῖψιν εἰδὼς ὁ θεσπέσιος Δαβὶδ, ποτὲ μὲν ἔφασκεν· « Ἐν θλίψει ἐπεκαλεσάμην τὸν Κύριον· » ποτὲ δὲ αὖ, « Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. » Σωφρονεστέρους γὰρ ἡμᾶς ἀποτελοῦσιν αἱ θλίψεις, καὶ τῶν τῆς ῥᾳθυμίας ἐξέλκουσι βρόχων, τῆς ἐπιεικείας τοὺς τρόπους ἀγαπᾷν ἀναπείθουσαι, καὶ τὸν ἀπηνῆ, καὶ δυσήνιον, ὡς ἐξ ἀνάγκης καὶ φόβου, τοῖς τῆς ὁσιότητος καὶ ὑπακοῆς ὑποφέρουσαι ζυγοῖς. Καταδηωθείσης οὖν τῆς Σαμαρείας, φησὶ, καὶ καταπιμπράντος τὰς πόλεις τοῦ Βαβυλωνίου, κἂν εἴ τινες τοτηνικάδε τινὲς τί τὸ θέλημα τοῦ Θεοῦ, καὶ τί δρῶντες, ἢ λέγοντες τῆς παρ' αὐτοῦ τεύξονται φειδοῦς, ἵν' ἔξω φέροιντο τῆς ὀργῆς, οὐκ ἔσται, φησὶν, ὁ διδάσκων. Λιμὸν γὰρ ἐποίησω τῶν παρὰ Θεοῦ λόγων αὐτοῖς, ὡς μηδένα παντελῶς εὑρεθῆναι προφήτην, κἂν εἰ ἐκ δυσμῶν τρέχοιεν ἠῶ, κἂν εἰ ἐκ μεσημβρίας ἐπὶ τὰ βόρεια. Τούτῳ παράπλησίόν ἐστι τὸ εἰρημένον παρὰ Θεοῦ πρὸς Ἰεζεχιήλ· « Καὶ τὴν γλῶσσάν σου συνδήσω, καὶ ἀποκωφωθείσῃ, καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα ἐλέγχοντα, ὅτι οἶκος παραπικραίνων ἐστίν. » Οἱ γὰρ ἅπαξ τὸν παρὰ Θεοῦ διαπτύσαντες λόγον, οὐδ' ἂν εἰ ἐκόντες ἔτι βούλοιντο, λαβεῖν ἔχοιεν ἂν εἰκότως. Ὕδατα δὲ σαλευόμενά φησι τὴν τῶν Ἰουδαίων ἀμέτρητον πληθὺν, ὡς ἐν θορύβοις γεγενημένην, καὶ τοῖς ἐν θαλάσσῃ κύμασι προσεοικέναι λοιπὸν, ἃ ταῖς τῶν ἀνέμων ἐμβολαῖς διαριπτεῖται πανταχοῦ. D

LXXVI. Scriptum est, « Domine, in tribulatione memor fui tui ; in tribulatione parva castigatio tua nobis [50]. » Sciens divinus David tribulationem esse rem optimam et fructiferam, aliquando quidem aiebat, « In tribulatione mea invocavi Dominum [51] ; » aliquando rursus : « Bonum mihi, Domine, quia humiliasti me, ut discam justificationes tuas [52]. » Faciunt enim nos tribulationes cautiores, et desidiæ laqueis expediunt, mores moderatos amare hortantur, immitemque et effrenem, ut ex necessitate et timore, sanctimoniæ et obedientiæ jugo subjiciunt. Samaria igitur ad vastitudinem redacta, inquit, et Babylonio urbes incendente, et si quidam tum volent discere quæ esset voluntas Dei, et quid agentes, dicentesve, ab ipso veniam consequerentur, et iram ejus evaderent, 339 non erit, inquit, qui doceat. Famem enim ipsis inducam verbi Dei, ut neminem prorsus prophetam inveniant, quamvis ab occidente in orientem currant : quamvis a meridie in austrum. Huic affine est quod Deus ad prophetam Ezechielem dixit : « Et linguam tuam colligabo gutturi tuo, et eris mutus, et non eris illis in virum objurgantem, quia domus exasperans est [53]. » Qui enim semel verbum Dei fastidiverunt, neque si velint deinde illud accipere merito possint. Aquas autem commotas dicit Judæorum immensam multitudinem velut tumultuantem, et fluctibus marinis quoque similem esse, qui ventorum impetu quocunque jactantur.

Καὶ καθ' ἕτερον δὲ τρόπον. Σταυρωθέντος Χριστοῦ, λιμὸν ἐσχήκασι τῶν παρὰ Θεοῦ λόγων οἱ τάλανες Ἰουδαῖοι. Οὐδὲ γὰρ ἔτι παρ' αὐτοῖς προφήτης, οὐ διδάσκαλος ἀκριβὴς τῆς Μωσαϊκῆς ἱστορίας τὸ πάχος ἀπολεπτύνειν εἰδὼς, καὶ τὰ τοῖς γράμμασι διακεχωσμένα διατρανοῦν μυστήρια. Οὐ προσήκαντο γὰρ λέγοντα τὸν Χριστὸν, « Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. » Ἤκουον δὴ ταύτητοι καὶ πάλιν λέγοντος αὐτοῦ διὰ φωνῆς Ἡσαΐου· « Ἰδοὺ οἱ δουλεύοντές μοι

Aliter. Christo crucifixo famem verbi Dei senserunt infelices Judæi. Non enim amplius apud eos est propheta, non magister accuratus et diligens, qui crassitudinem Mosaicæ historiæ declarando velut extenuare sciat, et litteris sepulta mysteria eruere. Non enim Christum sustinebant dicentem, « Ego sum panis vitæ, qui de cœlo descendi, et dat vitam mundo [54]. » Audiebant igitur vicissim dicentem per Isaiam : « Ecce servi mei comedent, vos autem esurietis. Ecce servi mei bibent, vos

[48] Luc. xxiv, 9. [49] Isa. xxvii, 11. [50] Psal. xviii, 7. [51] Psal. cxvii, 5. [52] Psal. cxviii, 71. [53] Ezech. iii, 26. [54] Joan. vi, 51.

Digitized by Google

autem sitietis [56]. » Etenim verum est illud : « Non occidet Deus fame animam justam : vitam autem impiorum subvertet [56], » divinum verbum ipsis non submittens, quo anima ad virtutis desiderium pascitur ac nutritur. Nam, ut ipse Salvator dixit : « Non in solo pane vivit homo, sed in omni verbo quod procedit de ore Dei [57]. »

A φάγονται, ὑμεῖς δὲ πεινάσετε. Ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσεσθε. » Καὶ γάρ ἐστιν ἀληθὲς, ὡς « Οὐκ ἂν λιμοκτονήσῃ ποτὲ Κύριος ψυχὴν δικαίαν, ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει, » τὸν θεῖον αὐτοῖς οὐ καθιεὶς λόγον, τὸν ἀποτρέφοντα τὸν νοῦν εἰς ἕφεσιν ἀρετῆς. Ὡς γὰρ αὐτὸς εἴρηκεν ὁ Σωτὴρ, « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. »

Vers. 13, 14. *In die illa deficient virgines pulchræ, et adolescentes in siti. Qui jurant per propitiationem Samariæ, et dicentes : Vivit Deus tuus, Dan, et Deus tuus, Bersabee, et cadent, et non resurgent ultra.*

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι αἱ καλαὶ, καὶ οἱ νεανίσκοι ἐν δίψῃ. Οἱ ὀμνύοντες κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας, καὶ λέγοντες· Ζῇ ὁ Θεός σου, Δὰν, καὶ ὁ Θεός σου, Βηρσαβεὲ, καὶ πεσοῦνται, καὶ οὐ μὴ ἀναστῶσιν ἔτι.

LXXVII. Emphaticus sermo est, seu plus significatur quam dicitur, nempe, ab hostibus filios eorum ac filias direptum iri : hoc enim virgines et B adolescentes significant. Potissimum enim hanc ætatem captare solitos novimus qui captivos abducere soliti sunt. Videntur autem nobis verba hæc aliud arcanum insinuare. Erant virgines quædam in idolorum delubris degentes, et cum ipsis adolescentuli, sive impuberes, per quos curiosiores in re magica dæmonum responsa se posse cognoscere putabant. Nam, ut ad incontaminata corpora eos advocantes, 340 clandestinis susurris responsum ab ipsis eliciebant. Ferunt postea quosdam impios eodem modo vaticinatos. Defecturum igitur Israelem, non solum a Deo per prophetas sanctos præcipuum ac necessarium ad morum emendationem oraculum, sed et ipsa falsorum vatum, sive dæmoniorum, quæ per virgines et pueros quibusdam C edebant, subobscure indicat, dicens : « In die illa deficient virgines pulchræ. » Quasi diceret, Una cum aliis peribunt etiam virgines pulchræ tuæ. Insimulat porro cum puellis simul pueruios, jurantes per propitiatorium Samariæ. Fortassis enim mos illis erat ut per deos in Samaria jurarent, sive per vitulos, Deum, opinor, affatim deridentes, ejus nimirum virtutem et divinitatem sculptilibus tribuentes, dicentesque : « Vivit Deus tuus, Dan, et Deus tuus, Bersabee, » quæ urbes in extremis Judææ finibus positæ, ab austro versus mare regionem velut definiebant. Est itaque perinde ac si dicerent forte, qui jurabant : Vivit Judææ deus, puta, vitulus. Per extrema enim media et totum insinuatur. Defecturas autem in siti virgines et adolescentes ait, afflatus et instinctus dæmonum mendaces non amplius excipientes, quod et ipsi in manus alienigenarum venerint, aut gladio ceciderint, aut ingloriam et intolerabilem captivitatem subierint. τὰς τῶν δαιμονίων ψευδοεπείας, διὰ τὸ καὶ αὐτοὺς ἔργον γενέσθαι χειρὸς ἀλλοφύλων, ἢ ξίφει πεσόντας, ἢ τὴν ἀκλεᾶ καὶ δύσοιστον ἀνατλάντας αἰχμαλωσίαν.

Οὐ'. Ἔμφασιν μὲν ὁ λόγος ἔχει τοῦ διαρπασθήσεσθαι παρ' ἐχθρῶν υἱοὺς τε αὐτῶν καὶ θυγατέρας· τοῦτο γὰρ αἱ παρθένοι, καὶ οἱ νεανίσκοι σημαίνουσι. Μάλιστα γὰρ τῆς τοιαύτης ἡλικίας ἁπτρτημένους εὑρήσομεν τοὺς ἀποκομίζειν εἰωθότας εἰς αἰχμαλωσίαν. Ἔοικε δέ τι ἕτερον ἡμῖν ὁ λόγος τῶν κεκρυμμένων ὑποδηλοῦν. Παρθένοι τινὲς ἦσαν τοῖς τῶν εἰδώλων τεμένεσιν ἐνιζήσασαι, καὶ σὺν αὐταῖς μειράκια, ἦγουν παῖδες ἄνηβοι, δι' ὧν ἐδέκουν οἱ περιεργότεροι, περὶ γοητείας τὰ παρὰ τῶν δαιμονίων διδάσκεσθαι. Ὡς γὰρ ἐπ' ἀχράντοις σώμασι καλοῦντες αὐτὰ, τοῖς ἀπορρήτοις ψιθυρισμοῖς ἀπολογεῖσθαι παρεσκεύαζον. Φασὶ δὲ καὶ εἰς δεῦρό τινας ἀνοσιουργεῖν ἐθέλοντας κατὰ τὸν ἴσον ἐκείνοις μαντεύεσθαι τρόπον. Ὅτι τοίνυν ἐλλείψει τῷ Ἰσραὴλ, οὐχὶ μόνος ὁ παρὰ Θεοῦ διὰ προφητῶν ἁγίων, χρήσιμός τε καὶ ἀναγκαῖος εἰς ἐπανόρθωσιν λόγος, ἀλλὰ γὰρ καὶ αὐτὸς ὁ παρὰ τῶν ψευδομαντίων, ἤτοι δαιμονίων, ὃν δὴ παρθένων, καὶ παίδων ἐποιοῦντο πρός τινας, ὑπεμφαίνει, λέγων· « Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκλείψουσιν αἱ παρθένοι αἱ καλαί. » Οἱονεὶ γάρ πώς φησι· Συναπολοῦνται τοῖς ἄλλοις ὁμοῦ καὶ αἱ καλαί σου παρθένοι. Κατειρωνεύεται δὲ ὁ λόγος καὶ τοῖς κορίοις ὁμοῦ τὰ παιδάρια τὰ ὀμνύοντα κατὰ τοῦ ἱλασμοῦ Σαμαρείας. Ἔθος γὰρ ἦν ἴσως ἐκείνοις ὁρκίους ποιεῖσθαι φιλεῖν τοὺς ἐν Σαμαρείᾳ θεοὺς, ἤτοι τὰς δαμάλεις, καὶ πλατύ που τάχα καταμειδιῶντες Θεοῦ, τὰ αὐτοῦ τοῖς γλυπτοῖς ἀνῆπτον, λέγοντες· « Ζῇ ὁ Θεός σου, Δὰν, καὶ ὁ Θεός σου, Βηρσαβεέ· » πόλεις δὲ αὗται τῆς Ἰουδαίας, ἐπ' αὐταῖς κείμεναι ταῖς ἐσχάταις τῆς χώρας, καὶ οἷον ὁρίζουσαι τὸ μέτρον τῆς γῆς ἐκ νότου πρὸς θάλασσαν. Ὅμοιον οὖν ὡσεὶ λέγοιεν οἱ ὀμνύοντες τυχὸν, Ζῇ τῆς Ἰουδαίων γῆς ὁ θεὸς, τουτέστιν, ὁ μόσχος. Διὰ γὰρ τῶν περάτων τὰ μέσα περιλαμβάνεται, καὶ ἡ τοῦ παντὸς ὑπαινίττεται δήλωσις. Ἐκλείψειν γε μὴν ἐν δίψει, φησὶ, τὰς παρθένους, καὶ τοὺς νεανίσκους, οὐκ ἔτι χορηγουμένους

Postquam autem Christus in crucem sublatus Judæis occidit, una cum sole hoc mundano et lumine sub sensum veniente, etiam splendore quem sola intelligentia percipit, et illuminatione spiritus privati sunt. Etenim Dei verbum et cœlc-

Σταυρωθέντος δὲ τοῦ Χριστοῦ, καὶ δεδυκότος τοῖς Ἰουδαίοις, ὁμοῦ τε ἡλίῳ τῷ κατὰ τὸν κόσμον, καὶ φωτὶ τῷ αἰσθητῷ, καὶ τῆς νοητῆς αὐγῆς, καὶ φωτισμοῦ τοῦ διὰ πνεύματος ἐστέρηνται· καὶ γὰρ τοῦ θείου λόγου καὶ τῆς ἄνωθεν παρακλήσεως. Ἐκλελοί-

[56] Isa. LXV, 13. [56] Prov. X, 3. [57] Matth. IV, 4.

Digitized by Google

πασιν αἱ παρ' αὐτοῖς παρθένοι τοῖς νεανίσκοις ὁμοῦ, τουτέστιν, αἱ καλαὶ καὶ εὐδόκιμοι ψυχαί, ὧν τὸ μὲν ἄχραντον διὰ τῆς παρθενίας, τό γε μὴν εὐσθενές τε καὶ ἀκμαιότατον διὰ τοῦ νεανίσκου σημαίνεται. Τίς γὰρ ἅγιος ἐν αὐτοῖς, «Οὐδένα τελειοῦν ἰσχύοντος τοῦ νόμου,» οὔτε μὴν ἀρκοῦντος αὐτοῖς εἰς δικαιοσύνην; Παρὰ τίνι δὲ αὐτῶν εὐρωστία πνευματικὴ, καὶ εὐσθενὴς ἂν γένοιτο νοῦς, ὅτε μὴ ἐγνώκασι τῆς εὐαγγελικῆς πολιτείας τὰ λαμπρὰ κατορθώματα; Ἢ γὰρ οὐχὶ νωθροὶ πάντες, καὶ ἐν ἁμαρτίαις παρειμένοι τὸν νοῦν; Εἶτα πῶς τοῦτο ἀμφίβολον; Ἐκλελοίπασι δὴ οὖν ἐν δίψει. Εἴρηται δὲ οὐκ αὐτοῖς τὸ, « Ἀντλήσετε ὕδωρ ἐκ τῆς πηγῆς τοῦ σωτηρίου. » Ἀλλὰ γὰρ καὶ ἐνετείλατο ταῖς νεφέλαις τοῦ μὴ βρέξαι ἐπ' αὐτοὺς ὑετὸν, ὅτι μηδὲ αὐτῷ γεγόνασιν ὑπήκοοι τῷ Χριστῷ διακεκραγότι· « Εἴ τις διψᾷ, ἐρχέσθω πρός με, καὶ πινέτω. » Καταλελοιπότες δὲ αὐτὸν, καίτοι πηγὴν ὄντα ζωῆς, « Ὤρυξαν λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν. » Προσεσχήκασι γὰρ διδασκαλίαις καὶ ἐντάλμασιν ἀνθρώπων, ἃ ποτίζειν οὐκ οἶδεν εἰς ζωὴν, οὔτε μὴν συνέχειν τοὺς κεχρημένους εἰς σωτηρίαν.

stem consolationem amiserunt. Defecerunt apud eos virgines cum adolescentibus, hoc est, pulchræ et probatæ animæ, quarum incorruptio per virginitatem, firmitas autem virium et perfectissimum robur per adolescentes significatur. Quis enim sanctus inter illos, cum lex « neminem possit reddere perfectum [58], » nec illis ad justitiam suffecerit? Apud quem igitur illorum spirituale robur et mens valida fuerit, quando evangelicæ vitæ illustres actiones non cognoverunt? An non enim desides omnes et ad peccandum remisso vivebant animo? Quid hoc certius? Defecerunt igitur in siti. Dictum est autem non ipsis illud : « Haurietis aquas de fonte Salvatoris [59]. » Quinimo mandavit nubibus ne pluerent super eos imbrem [61], quoniam nec Christo ipsi obtemperarunt clamanti : **341** « Si quis sitit, veniat ad me, et bibat [61]. » Sed, eo deserto, quamvis sit fons vitæ, « Foderunt sibi lacus contritos, qui continere non valebunt aquam. » Attenderunt enim doctrinis et mandatis hominum [62], quæ potare eos non valebant, neque utentes eis in vitam æternam conservare.

ΚΕΦΑΛ. Θ'.

Εἶδον τὸν Κύριον ἐφεστῶτα ἐπὶ τὸ θυσιαστήριον, καὶ εἶπεν· Πάταξον τὸ ἱλαστήριον, καὶ σεισθήσεται τὰ προπύλαια, καὶ διάκοψον εἰς κεφαλὰς πάντων. Καὶ τοὺς καταλοίπους αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενῶ.

ΟΗ'. Οἱ μακάριοι προφῆται τῇ τοῦ Πνεύματος ἀφδουχίᾳ τὸν τῆς δυνάμεως φαιδρύνοντες ὀφθαλμὸν, οὐχὶ μόνην τὴν τῶν ἐσομένων δέχονται γνῶσιν, ἀλλὰ γὰρ καὶ αὐτῶν ἔσθ' ὅτε τῶν πράξεων τὴν θέαν οἷάπερ ἐν πίνακι γραφομένην ὁρῶντες, αὐτοί τε κατατεθήπασι, συνδιατίθεσθαι δέ σφισιν αὐτοῖς ἀναπείθουσι τοὺς ἀκροωμένους, τὰς τῶν ὁράσεων δυνάμεις διατρανοῦν εὖ μάλα σπεύδοντες. Ἔφη τοίνυν ὁ θεῖος Ἀμώς· « Καὶ εἶπε Κύριος πρός με, Ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου τὸν Ἰσραήλ· οὐκ ἔτι οὐ μὴ προσθῶ τοῦ παρελθεῖν αὐτὸν, καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος. Πολὺς ὁ πεπτωκὼς, ἐν παντὶ τόπῳ ἐπιῤῥίψω σιωπήν. » Ἀλλ' ἴδοὺ, τεθέαται τὸ προηγγελμένον, καὶ πράγμασιν αὐτοῖς ἐνεργούμενον, ὥσπερ ἔχει τὴν προαγόρευσιν. Αὐτὸν γὰρ ἔφη τὸν Κύριον ἐφεστῶτα τεθεᾶσθαι τῷ θυσιαστηρίῳ, καὶ οἱονεὶ τῆς καταστροφῆς ἀρχόμενον, τοῦτό τε αὐτὸ γενέσθαι προστάττοντα. Ἐφίσταται δὲ τῷ θυσιαστηρίῳ, οὐ τιμὴν ἀπονέμων, εὔηθες γὰρ τὸ τῇδε νοεῖν, εἴπερ ἐστὶ τῶν ἀτοπωτάτων οἴεσθαί τε καὶ λέγειν, ὡς τοῖς τῶν εἰδώλων βωμοῖς αἰδῶ καὶ σιμὴν ἀπονέμει Θεός. Πῶς οὖν ἂν ἐτίμησε τὸ τῆς δαμάλεως θυσιαστήριον; Ἐφειστήκει δὲ μᾶλλον ὡς καθελῶν, καὶ κατοίσων εἰς γῆν. Ταύτῃτοι μονονουχὶ καὶ κατάρχεσθαι τῆς καταστροφῆς τῷ προφήτῃ προστέταχε, λέγων, « Πάταξον ἐπὶ τὸ θυσιαστήριον, καὶ κατασεισθήσεται τὰ πρόπυλα, » καὶ μεθιέτω λοι-

LXXVIII. Beati prophetæ Spiritus face intellectus oculum illustrati, non solum futurorum notitiam capessunt, sed etiam nonnunquam actiones ipsas ceu in tabula depictas intuentes, et ipsi spectaculo obstupescunt, et ut audientes perinde secum afficiantur, visionum vi declaranda consequi nituntur. Inquit ergo divinus Amos : « Et ait Dominus ad me : Venit finis super populum meum Israel; non adjiciam ultra ut præteream eos, et ululabunt laquearia templi in die illa, dicit Dominus. Multa cadavera; in omni loco projiciam silentium [63]. » Verum ecce visum est quod prænuntiabatur, et rebus ipsis vaticinium comprobatum. Ipsum enim Dominum ait se vidisse stantem super propitiatorium, sive altare, et tanquam catastrophen incipientem, et hoc ipsum fieri jubentem. Constitit autem super altare, non ei honorem tribuens, quod stulte cogitaretur : absurdissimum siquidem opinari ac dicere, idolorum aris reverentiam et honorem impertisse Deum. Et quo pacto tandem altare vitulorum honorasset? Stetit porro supra, potius ut destrueret et everteret. Ideo tantum non initium facere prophetæ mandavit : « Percute, dicens, altare, et commovebuntur vestibula, » et resolvatur jam templum, ut mox casurum. « Disseca porro in capita omnium, » hoc est, incipe ab insignioribus inter illos, et percute præcellentes qui inter alios

CAP. IX.

VERS. 1. *Vidi Dominum stantem super altare, et dixit : Percute propitiatorium, et commovebuntur vestibula, et disseca in capita omnium. Et reliquos eorum in gladio interficiam.*

[58] Hebr. VII, 19; IX, 9. [59] Isa. XII, 3. [60] Isa. V, 6. [61] Joan. VII, 37. [62] Isa. XXIX, 13. [63] Amos, VIII, 2, 3.

Digitized by Google

capitis locum obtinent, quibus cum reliqui mistim interibunt, et præsides in calamitatibus sequentur, **342** ipsi quoque rhomphæa consumpti. Simile huic et illud quod per os Ezechielis est de sex viris qui veniebant a porta ad aquilonem respiciente, sublatisque securibus sequebantur virum talari veste indutum, ad quos Deus : « Ite et in civitatem post eum, et percutite, et ne parcatis, et ne misereamini. Senem, et juvenem, et virginem, et parvulos, et mulieres interficite ad deletionem. Super omnes vero super quos est signum, ne appropinquetis, et a sanctuario meo incipite [64]. » Videsne primum initium fecisse a primoribus, sive ab iis qui venerabiles et sancti haberentur, quod forsitan sacerdotii dignitate essent ornati, aut saltem aliis honoribus conspicui? Hi enim cæterorum velut caput sunt.

A πὸν ὁ νεὼς, ὡς αὐτίκα δὴ μάλα πεσεῖσθαι μέλλων. « Διάκοψον δὲ καὶ εἰς τὰς τῶν πάντων κεφαλὰς, » τουτέστιν, ἀπάρχου τῶν ἐν αὐτοῖς περιφανεστέρων, καὶ πλῆττε τοὺς προὔχοντας, οἱ καὶ ἐν τάξει κεφαλῆς τέθεινται τοῖς ἄλλοις· ἀπολοῦνται δὲ αὐτοῖς ἀναμιξ οἱ κατάλοιποι, καὶ ταῖς τῶν προεστηκότων ἕψονται συμφοραῖς, ἔργον καὶ αὐτοὶ γεγονότες ῥομφαίας. Ὅμοιον δὲ τούτῳ κἀκεῖνο, τὸ διὰ φωνῆς Ἰεζεχιὴλ πρὸς τοὺς ἓξ ἄνδρας, οἳ ἦρχοντο μὲν ἀπὸ τῆς πύλης τῆς βλεπούσης πρὸς βορρᾶν, ἡρμένοι δὲ τοὺς πελέκεις, εἵποντο τῷ ἀνδρὶ τῷ τὸν ποδήρη ἐζωσμένῳ, πρὸς οὓς εἴρηται παρὰ Θεοῦ· « Πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ, καὶ κόπτετε, καὶ μὴ φείδεσθε, καὶ μὴ ἐλεήσητε. Πρεσβύτερον, καὶ νεανίσκον, καὶ νήπια, καὶ γυναῖκας ἀποκτείνατε εἰς ἐξάλειψιν. Ἐπὶ B δὲ πάντας, ἐφ' οὓς ἐστι τὸ σημεῖον, μὴ ἐγγίσητε, καὶ ἀπὸ τῶν ἁγίων μου ἄρξασθε. » Ὁρᾷς ὅτι πρωτόλειον ἐποιεῖτο τῆς ἀρχῆς τοὺς προὔχοντας, ἤτοι τοὺς δοκοῦντας σεπτοὺς εἶναι, καὶ ἁγίους, διὰ τοῦ καὶ ἀνῆφθαι τάχα που τῆς ἱερουργίας τὴν δόξαν, ἤγουν ἑτέραις τισὶν ἐκλελαμπρύνθαι τιμαῖς; κεφάλαιον γὰρ ὥσπερ οἱ τοιοῖδε τῶν ἄλλων εἰσί.

Hoc vero in Christum debacchatis evenit. Posteaquam enim miseri, legem et prophetas parum curantes, Christum finem legis prophetarum repudiarunt, et quamvis probe scirent ipsum hæredem esse, extra vineam ejecerunt, tandemque lapidarunt, Romanis ducibus ad devastandum sunt traditi. Et inflammatum est quidem templum illud celeberrimum, et ejus altare dirutum, concussum vestibulum, et cum plebeiis optimates perierunt, C nulli enim eorum arma hostilia pepercerunt. Et unusquisque fidelium, sive templum sit Dei ipsum in se habitantem habens; sive intelligatur altare, utpote vitam propriam immolans Deo, si postmodum inertiæ se dedens irritaverit Deum, ad nihilum redigetur, miserrimamque catastrophen subibit. « Dominus enim personam non recipit [65], et justitia justi non liberabit eum, in quacunque die peccaverit [66], » ut scriptum est.

Συμβέβηκε δὲ τοῦτο γενέσθαι τοῖς παραφυτισθεῖσι εἰς τὸν Κύριον. Ἐπειδὴ γὰρ οἱ δεῖλαιοι καὶ νόμου, καὶ προφητῶν ὀλίγα πεφρονηκότες οὐ παρεδέξαντο τὸν Χριστὸν, τέλος ὄντα καὶ νόμου καὶ προφητῶν, ἀλλὰ, καίτοι σαφῶς εἰδότες ὡς αὐτός ἐστιν ὁ κληρονόμος, ἔξω τοῦ ἀμπελῶνος ἐκβεβλήκασι, καὶ τελευταῖον ἐσταύρωσαν, δέδονται εἰς ἐρήμωσιν τοῖς Ῥωμαίων στρατηγοῖς. Καὶ ἐμπέπρησται μὲν ὁ διαβόητος ἐκεῖνος ναὸς, κατεσπάσθη δὲ καὶ τὸ ἐν αὐτῷ θυσιαστήριον, καὶ κατεδονήθη τὰ πρόπυλα, συνδιῳλώλασι δὲ τοῖς ἀγελαίοις οἱ προὔχοντες· ἐφείσατο γὰρ οὐδενὸς παρ' αὐτοῖς ὁ πόλεμος. Καὶ ἕκαστος δὲ τῶν πεπιστευκότων, κἂν εἴτε ναὸς εἴη Θεοῦ ὡς ἔνοικον ἔχων αὐτὸν, κἂν εἴτε νοοῖτο θυσιαστήριον, ὡς τὴν ἰδίαν πολιτείαν ἱερουργῶν τῷ Θεῷ, εἶτα βλὰψας ἐπὶ τὸ ῥᾴθυμον παροτρύνῃ Θεὸν, πρὸς τὸ μηδὲν ὠφεληθήσεται, καὶ πάνδεινον ὑποστήσεται κατάστροφήν. « Ἀπροσωπόληπτος γὰρ ὁ Δεσπότης, καὶ δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτὸν, ἐν ᾗ ἂν ἡμέρᾳ πλημμελήσῃ, » κατὰ τὸ γεγραμμένον.

Vers. 2 4. *Et non effugiet ex eis fugiens, neque salvabitur ex eis salvatus. Si defodiantur in infernum, inde manus mea extrahet eos. Et si ascenderint in cœlum, inde deducam eos. Si abscondili fuerint in vertice Carmeli, inde scrutabor, et accipiam eos. Et si mersi fuerint ex oculis meis in profunda maris, ibi mandabo draconi, et mordebit eos. Et si abierint in captivitate ante faciem inimicorum suorum, ibi mandabo gladio, et occidet* **343** *eos. Et firmabo oculos meos super eos in mala, et non in bona.*

Καὶ οὐ μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων, οὐδὲ μὴ διασωθῇ ἐξ αὐτῶν διασωζόμενος. Ἐὰν καταρυγῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς. Καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανὸν, ἐκεῖθεν κατάξω αὐτούς. Ἐὰν ἐγκατακρυβῶσιν εἰς τὴν κορυφὴν τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω, καὶ λήψομαι αὐτούς. Καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ ἐντελοῦμαι τῷ δράκοντι, καὶ δήξεται αὐτούς. Καὶ ἐὰν πορευθῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντελοῦμαι τῇ ῥομφαίᾳ, καὶ ἀποκτενεῖ αὐτούς. Καὶ στηριῶ τοὺς ὀφθαλμούς μου ἐπ' αὐτοὺς εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθά.

LXXIX. Opportune fortassis hæc audientibus delnceps accinetur, quod voce Davidis Domino cantatur : « Quo ibo a spiritu tuo [67]? » et quod sequitur. Omnia enim Divinitas cernit, et præterea vi-

ογδ'. Ἐπὶ καιροῦ τάχα που λοιπὸν εἰρήσεται τοῖς τούτων ἀκροωμένοις τὸ διὰ φωνῆς Δαβὶδ πρὸς τὸν Θεὸν ὑμνούμενον· « Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου; » καὶ τὰ ἑξῆς. Πανδερκὲς γὰρ τὸ Θεῖον, καὶ

[64] Ezech. ix, 5, 6. [65] Ezech. xxxiii, 12. [67] Psal. cxxxviii, 7.

πρός γε τούτῳ καὶ παναλκὲς, καὶ οὐκ ἄν τις διαλάθοι τὸν ἀκατεύναστον ὀφθαλμόν. Ἔφη γάρ, ὅτι « Θεὸς ἐγγίζων ἐγώ εἰμι, καὶ οὐχὶ Θεὸς πόρρωθεν. Μὴ ἀπ' ἐμοῦ κρυβήσεταί τι; » Ἀλλ' οὐκ ἂν ἔξω τις ᾖοι ποτὲ τῆς ἐπερρίμμενης αὐτῷ συμφορᾶς ὡς ἀπὸ θείων νευμάτων· « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » κατὰ τὸ γεγραμμένον. Ποία γὰρ ἡμᾶς ὀνήσει μηχανή; τίς δὲ ὅλως ἡμῖν ἐπαμυνεῖ τρόπος, Θεοῦ καθορίζοντος τὸ χρῆναι παθεῖν; Ὅτι τοίνυν ἀνόνητοι παντελῶς τοῖς ὑπὸ θείαν πεσοῦσιν ὀργὴν καὶ βουλὴ, καὶ σκέψις, καὶ πᾶν εἶδος ἐπινοίας, σαφηνίζει, λέγων ὡς οὐκ ἄν τις διαφύγῃ, κἂν εἰς αὐτὸν κρυβείη τὸν ᾅδην (ἔστι δὲ ὑπερβολικὸς ὁ λόγος), κἂν εἰ ἀναπταίη μὲν εἰς οὐρανὸν, διαλάθοι δὲ καὶ εἰς τὴν τοῦ Καρμήλου κορυφήν. Ἀλλ' εἴπερ ἀνίοι, καταληφθήσεται· κἂν εἰ ἐν θαλάσσῃ γένοιτο, περιπεσεῖται τῷ δράκοντι, ἤγουν κατὰ τὴν τῶν Ἑβραίων δύναμιν, τῷ κήτει δοθήσεται· κἂν εἰ γένοιτο παρ' ἐχθροῖς, καὶ λοιπὸν αἰχμάλωτος, καὶ τοῖς τῆς δουλείας ζυγοῖς ἀσχέτως ἐνισχημένος, καὶ τοῦτο, φησὶ, μικρὸν ἔσται, καὶ οὐκ ἀρκοῦν εἰς δίκην αὐτοῦ· καταρτηθήσεται γὰρ αὐτοῦ καὶ τῆς ῥομφαίας τὸ δεῖμα, καὶ οὐ πεπαύσεται, φησὶν, ὁ τῶν ὅλων Θεὸς, ἐπ' αὐτῷ στηρίζων τὸν ὀφθαλμόν· θυμοῦ δὲ, καὶ ἀπειλῆς τὸ χρῆμα σημεῖον· ἀπερείδομεν γὰρ ἡμεῖς ἔσθ' ὅτε τοῖς λυποῦσι τὸν ὀφθαλμὸν, βλοσυρόν τε καὶ ἀμειδὲς ἐνορῶντες αὐτοῖς. Ἐπειδὴ γὰρ κατασκέπτεται Θεὸς καὶ ἀγαθοὺς, καὶ δικαίους, τὸ τῆς ἐποπτείας διάφορον διατρανοῖ, λέγων· « Εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθά. » Καταβλέψεται γὰρ, φησὶν, οὐχ ἵνα τι νέμῃ τῶν ἀγαθῶν, ἀλλ' ἵν' ἔχοιεν ἀκράδαντον, καὶ οἱονεὶ πεπηγμένην τὴν καθορισθεῖσαν αὐτῶν ποινήν τε καὶ δίκην.

Ὑπομεμένηκε δὲ τοῦτο καὶ ἡ τῶν Ἰουδαίων ἀθλία πληθὺς, ἡ τὸ δίκαιον αἷμα τῆς ἰδίας καταγράψασα κεφαλῆς. Ἔφασκον γὰρ τῷ Πιλάτῳ σταυροῦν ἀναπείθοντες τὸν Χριστόν· « Τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Τοιγάρτοι πανοικὶ διολώλασι καὶ αὐτοῖς ἀνδράσιν ἡρπάσθησαν πόλεις, ὡς τέχα που καὶ διαφυγεῖν ἰσχύσαι μηδένα. Οἷά τε γὰρ καὶ ὅσα πεπόνθασιν, αἱ μακραὶ τῶν τὰ τοιάδε συντεθεικότων βίβλοι συγγραφαί.

Καὶ Κύριος, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἁψαπτόμενος τῆς γῆς, καὶ σαλεύων αὐτήν· καὶ πενθήσουσιν πάντες οἱ κατοικοῦντες αὐτήν· καὶ ἀναβήσεται ὡς ποταμὸς συντέλεια αὐτῆς, καὶ καταβήσεται ὡς ποταμὸς Αἰγύπτου.

Π'. Ἐξ ἀγάπης ὁ προφήτης οὐκ ἐᾷ τοῖς λεγομένοις ἀπιστεῖν, ὡς οὐκ ἐσομένοις, τοὺς ἀκροωμένους. Τοῦτο δὲ ἦν ἀναπείθοντος, τὰ ἀμείνω μᾶλλον ἐλέσθαι μαθεῖν, καὶ δι' αἰδοῦς ποιεῖσθαι τὸ χρήσιμον, ἵνα καὶ Θεὸς ἀποπαύσαιτο τῆς ὀργῆς, καὶ ἀνασειράζοι τὴν συμφοράν, καὶ μετανοοῦντας δέξαιτο. Κατοικτείρει γὰρ ἀεὶ τοὺς ἐπιστρέφειν ἐθέλοντας. Διδάσκει τοίνυν ὅτι παναλκὴς ὁ Θεὸς, καὶ οὐκ ἀνικάνως ἔχων ἐπενεγκεῖν, οἷς ἔφη τὸ πέρας. « Κύριος γὰρ, φησὶ, Κύριος, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἁψαπτόμενος τῆς γῆς, καὶ σαλεύων αὐτήν. » Ὅμοιον ὡς εἰ λέγοι, μὴ καθ' ἡμᾶς

ribus potentissima est, nec quispiam oculum semper vigilem latere possit. Ait enim : « Deus appropinquans ego sum, et non de longe. Numquid a me quidpiam abscondetur [68]? » Certe nemo ingruentem sibi a divino nutu calamitatem evadet : « Manum enim excelsam quis avertet? » ut scriptum est [69]. Quæ enim machina nos juvabit? Qua tandem ratione protegemur, si Deus decreverit nos omnino pati? Consilium itaque, deliberationem, et quamvis commentationem nihil conducere iis quibus iratus est Deus, declarat dicens, neminem, quamvis in ipsa Tartara se absconderit, posse effugere(hyperbolice loquitur), etiamsi volaverit in cœlum, et in vertice Carmeli delituerit. Nam si ascenderit, comprehendetur; et si in mari fuerit, incidet in draconem, aut, secundum proprietatem sermonis Hebræi, ceto tradetur; etiamsi apud inimicos fuerit, et captivus de cætero, et servitutis jugo inevitabili oppressus, et hoc, inquit, parum erit, nec ad pœnam ejus sufficiet. Imminebit enim illi rhomphææ terror, et non cessabit, inquit, Deus universorum firmare super eum oculos : quæ res excandescentiæ et minarum est signum. Nos enim ipsi aspectum aliquando defigimus in iis qui nos molestia afficiunt, truculentoque et tetrico vultu eos intuemur. Quoniam autem Deus bonos quoque et justos intuetur, discrimen intuitus declarat dicens, « in mala, et non in bona. » Intuebitur enim, inquit, non ut aliquid boni largiatur, sed ut decretam sibi pœnam, et ultionem immotam, et quasi fixam habeant.

Sustinuit porro hoc etiam calamitosa Judæorum natio, justi sanguinis ultionem capiti suo imprecata. Dicebant siquidem Pilato, suadentes uti Christum crucifigeret : « Sanguis ejus super nos et super filios nostros [70]. » Proinde totis cum familiis perierunt, et cum ipsis incolis urbes direptæ, ut forte ne unus quidem effugere potuerit. Qualia enim et quanta pertulerint, longis historicorum narrationibus decantatum exstat.

344 Vers. 5. *Et Dominus, Dominus Deus omnipotens, qui tangit terram, et commovet eam. Et lugebunt omnes habitantes eam; et ascendet sicut fluvius consummatio ejus, et descendet sicut fluvius Ægypti.*

LXXX. Ex charitate propheta dictis, quasi non eventuris, diffidere audientes non patitur. Et hoc est suadere ut discamus meliora potius eligere, et utilitatem revereri, quo etiam Deus irasci desinat, et calamitatem revocet, pœnitentesque suscipiat. Semper enim resipiscere volentes miseratur. Docet igitur valentissimum viribus esse Deum, et ad finem quibus dixit afferendum, haud impotentem. Inquit enim : « Dominus, Dominus Deus omnipotens, qui tangit terram, et commovet eam. » Ac si dicat: Ne putemus offensum Deum nostri esse similem. Non

[68] Jerem. XXIII, 23, 24. [69] Isa. XIV, 27. [70] Matth. XXVII, 25.

Digitized by Google

enim est ut homo Dominus, sed ipse virtutum Dominus, qui manum suam terræ, Samaritanorum videlicet, immittit, et commovet eam, et concussionem haud consuetam sustinere facit; sed bello et cladibus atrocissimis universam concutit et conquassat. Quamobrem ait: « Lugebit omnis qui habitat in ea, et ut fluvius Ægypti ascendet consummatio, » omnia cooperiens et submergens. Eodem modo retrocedet, secum quæ arripuerit trahens et demergens. Docuimus porro Sennacherib, et Assyriorum copias, et ab ipsis susceptum contra Samariam bellum fluviorum cursibus comparari. Quare Deum offendentibus ac lædentibus ad fugam locus non patebit; validissima autem et inevitabilis est percutientis manus, et semel comprehensis nullum auxilium neque solatium suppeditabit. « Si enim clauserit, » contra hominem, « quis aperiet[71] ? » ut scriptum est. Multo autem melius est submovere iram divinam, juxta ejus arbitratum et beneplacitum ascensionibus. Iloc, et rectissime quidem, fieri poterit, si eorum quæ retro sunt obliti, et vitia dediscentes, virtutum incrementis nosmetipsos illustremus[72]. Tum enim pœnas a divino furore paratas evademus, et Opificem natura bonum, ut nos benignissima et mansuetissima inspectione dignetur, facile inflectemus.

A ὑπάρχειν οἴεσθαι τὸν [Θεὸν] λελυπημένον. Οὐ γὰρ ὡς ἄνθρωπος ὁ Δεσπότης, ἀλλ' αὐτὸς ὁ τῶν δυνάμεων Κύριος, ὁ χεῖρα τῇ γῇ, Σαμαρειτῶν δηλονότι, τὴν ἰδίαν ἐπαφεὶς, καὶ σαλεύων αὐτὴν, οὔτι που τὸν συνήθη κλόνον ὑπομεῖναι παρασκευάζων αὐτὴν, ἀλλὰ τῷ πολέμῳ, καὶ ταῖς ἀνηκέστοις συμφοραῖς κατασείων ἅπασαν, καὶ καταδονεῖσθαι ποιῶν. Ταύτητοί φησι, « Πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ, καὶ ὡς Αἰγύπτου ποταμὸς ἀναβήσεται μὲν ἡ συντέλεια, » πάντα κατακαλύπτουσα, καὶ βαπτίζουσα. Ὑπονοστήσει δὲ οὕτω πάλιν ἐν ἴσῳ τρόπῳ καθέλκουσα, καὶ καταφέρουσα. Ἔφαμεν δὲ, ὅτι τὸν Σενναχηρὶμ, καὶ τὴν τῶν Ἀσσυρίων πληθὺν, καὶ τὸν ὑπ' αὐτῶν ἀρθέντα κατὰ τῆς Σαμαρείας πόλεμον τοῖς τῶν ποταμῶν παρεικάζει νάμασιν. Οὐκοῦν ἔσται τοῖς προσκρούουσι, καὶ καταB λυποῦσι Θεὸν ἄπορος μὲν ἡ φυγὴ, πανσθενὴς δὲ, καὶ δυσδιάφυκτος ἡ πλήττουσα χεὶρ, καὶ τοῖς ἅπαξ ἐνειλημμένοις οὐκ ἂν γένοιτό τις ἐπικουρία, καὶ παράκλησις. « Ἐὰν γὰρ κλείσῃ » κατὰ ἀνθρώπου, « τίς ἀνοίξει ; » κατὰ τὸ γεγραμμένον. Ἄμεινον δὲ δήπου παρὰ πολὺ ἀποσκευάζεσθαι τὴν ὀργὴν ταῖς εἰς τὸ αὐτῷ δοκοῦν καὶ φίλον ἀναδρομαῖς. Τοῦτο δ' ἂν γένοιτο, καὶ μάλα ὀρθῶς, εἰ τῶν ὄπισθεν ἐπιλανθανόμενοι, καὶ τὸ φαῦλον ἀποσπουδάζοντες, ταῖς εἰς ἀρετὴν ἐπιδόσεσιν ἑαυτοὺς καταλαμπρύνωμεν. Διανηξόμεθα γὰρ τότε τὰ ἐκ θυμοῦ, καὶ ἀγαθὸν ὄντα τῇ φύσει τὸν Δημιουργὸν μεταθήσομεν εὐκόλως εἰς γε τὸ χρῆναι χρηστῆς καὶ ἡμερωτάτης ἡμᾶς ἐποπτείας ἀξιοῦν.

VERS. 6. *Qui ædificat in cœlum ascensionem, et repromissionem in terra fundat; qui* **345** *vocat aquam maris, et fundit eam super faciem terræ : Dominus omnipotens nomen ejus.*

Ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ, καὶ τὴν ἐπαγγελίαν ἐπὶ γῆς θεμελιῶν· ὁ προC καλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ προσώπου τῆς γῆς· Κύριος παντοκράτωρ ὄνομα αὐτῷ.

LXXXI. Adhuc pluribus verbis a Deo discedentes perterret, et ad meliora compellit, scite præstantiam, et summas vires naturæ divinæ recensens, et eum quæ dixerit omnimodis re perfecturum, a nemine impeditum, plenam fidem conatur facere. « Qui tangit terram, inquit, et commovet eam, » juxta modos a nobis paulo ante explicatos, ipse etiam est « qui ædificat in cœlum ascensionem suam, » quod pene idem est ac si diceret, Qui habet omnem potestatem, ut et cœlos ipsos conscendat, et in omnes imperium possideat, ut et ipsam supernam et cœlestem, sive sanctorum angelorum beatam multitudinem sibi subjectam habeat. Cœlum enim esse dicimus angelos cœlum incolentes. Sciendum deinde, Jacob quoque per ænigma istud ipsum vidisse. Scala siquidem a terra usque in cœlum pertingebat. « Et Dominus, inquit, innitebatur illi, » Per eamdem angelos ascendentes et descendentes vidit[73]. Iloc, opinor, est, « Ædificans in cœlum ascensionem suam[74]. » Sed etiam quod promisit in terris habitantibus, inquit, hoc est omnino immobile, et infractum, et veluti firmo fundamento constitutum. Nullo enim modo torpescet Dominus virtutum, nec verbum ab eo dictum intercidet. Et ad hoc credendum Dominus nos confirmat his verbis : « Cœlum

ΠΑ'. Καὶ διὰ πλειόνων ἔτι καταδείττεται λόγων τοὺς ἀποφοιτῶντας Θεοῦ, καὶ μετασοβεῖ πρὸς τὸ ἄμεινον, εὐτέχνως τῆς θείας φύσεως τὴν ὑπεροχὴν καὶ τὸ παναλκὲς ἐξηγούμενος, καὶ ὅτι πάντη τε καὶ πάντως τοὺς ἰδίους λόγους ἀποπερανεῖ παρεμποδίζοντος οὐδενὸς, πειρᾶται πληροφορεῖν. « Ὁ γὰρ ἁπτόμενος, φησὶ, τῆς γῆς, καὶ σαλεύων αὐτὴν, » κατὰ τοὺς ἄρτιως ἡμῖν ἀποδοθέντας τρόπους, αὐτὸς δὴ οὗτός ἐστιν « ὁ οἰκοδομῶν εἰς τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ, » μονονουχὶ φησιν, ὁ πᾶσαν ἔχων τὴν ἐξουσίαν, ὥστε καὶ αὐτοῖς ἐπιβαίνειν τοῖς οὐρανοῖς, καὶ τὸ κατὰ πάντων κεκτῆσθαι κράτος, ὡς καὶ D αὐτὴν ἔχειν ὑπεστρωμένην αὐτῷ τὴν ἄνω τε καὶ ἐν τοῖς οὐρανοῖς, ἤτοι τῶν ἁγίων ἀγγέλων τὴν μακαρίαν πληθύν. Οὐρανὸν γὰρ εἶναί φαμεν τοὺς τὸν οὐρανὸν οἰκοῦντας ἀγγέλους. Ἰστέον δὲ, ὅτι καὶ Ἰακὼβ αἰνιγματωδῶς τὸ χρῆμα τεθέαται. Κλίμαξ γὰρ ἀπὸ γῆς διήκουσα ἄχρις οὐρανοῦ. « Καὶ ὁ μὲν Κύριος, φησὶν, ἐπεστήρικτο ἐπ' αὐτῆς. » Ἀναβαίνοντας δὲ καὶ καταβαίνοντας δι' αὐτῆς ἐθεᾶτο τοὺς ἀγγέλους. Τοῦτο, οἶμαι, ἔστι τὸ, « Οἰκοδομῶν εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ. » Ἀλλὰ καὶ ὅπερ ἂν ἐπαγγέλληται τοῖς ἐπὶ γῆς, φησὶ, τοῦτο δὴ πάντως ἐστὶν ἀκράδαντον, καὶ ἀῤῥαγὲς, καὶ οἷον τεθεμελιωμένον. Ἀτονήσει γὰρ κατ' οὐδένα τρόπον ὁ τῶν δυνάμεων Κύριος, οὐδ' ἂν

[71] Isa. xxii, 22. [72] Philipp. iii, 10. [73] Gen. xviii, 13. [74] ibid., 12.

Digitized by Google

διαπέσοι ῥῆμα τὸ παρ' αὐτοῦ. Καὶ πρὸς τοῦτο ἡμᾶς ὁ Σωτὴρ ἐμπεδοῖ, λέγων· « Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσεται· οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν. » Αὐτὸς οὗτός ἐστιν ὁ καὶ τῆς θαλάσσης τὸ ὕδωρ ἀῤῥήτοις δυνάμεσιν ἀνιμώμενος, καὶ ὗων ἐπὶ τὴν γῆν, τουτέστι πάλιν, ὁ οἰκονομῶν τὰ οὐράνια, καὶ τοσοῦτον εὐσθενής, ὡς καὶ τὰς γεγονότων φύσεις, ἐφ' ὅπερ ἂν ἕλοιτο, μεταστοιχειοῦν εὐκόλως, ὀνομά τε αὐτῷ Κύριος καὶ Θεὸς, καὶ πρός γε τούτοις τὸ, Παντοκράτωρ. Καὶ οὕτι που κλῆσις ἂν νοοῖτο τὸ χρῆμα ψιλὴ, καθάπερ ἀμέλει καὶ ἐπ' ἀνθρώπων τυχὸν, ἀλλ' ἐξ αὐτῆς ἀληθείας ὀρθῶς εὑρημένον. Ἀπὸ γὰρ τοῦ κυριεύειν οὐσιωδῶς, καὶ τὸ κατὰ πάντων ἀνῆφθαι κράτος, οὕτως ὠνόμασται πρός τε ἡμῶν αὐτῶν, καὶ τῶν ἁγίων ἀγγέλων. Σκοπὸς οὖν τῷ προφήτῃ τὸ διὰ πλείστων ὅσων, καὶ, ὅπως ἂν δύναιτο, καταπτοεῖν τοὺς ἠπατημένους, καὶ μεταπείθειν εὖ μάλα πρός γε τὸ χρῆναι γοργῶς ὥσπερ ἀνόπιν ἰέναι, χρῆμά τε ἡγεῖσθαι λαμπρὸν τὴν δικαιοσύνην, καὶ ποιεῖσθαι πάλιν αἱρετὸν τὴν εἰς Θεὸν εὐσέβειαν τοῖς τῶν ἐσομένων δείμασιν ἀνακόπτοντας εὐσθενῶς τὴν εἰς τὰ αἰσχίω ῥοπήν. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ διὰ φωνῆς Δαβὶδ ὀρθῶς εἰρημένον πρὸς τὸν τῶν ὅλων Δεσπότην· « Ἐν κημῷ, καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις, τῶν μὴ ἐγγιζόντων πρὸς σέ. »

A et terra transibunt, verba autem mea non transibunt [75]. » Ipse idem est qui aquam maris virtute ineffabili educit, et super terram pluit; denique hic est qui cœlestia administrat, adeo viribus præpotens, ut rerum quoque exstantium naturas in quod voluerit citra difficultatem transformet, cui nomen est Dominus, et Deus, et insuper, Omnipotens. Nec intelligenda nuda et inanis appellatio, quomodo in hominibus etiam fortasse, sed ex ipsa veritate recte inventa. Ab eo enim quod dominatur secundum essentiam suam, et quod in omnes imperium habet, cum a nobis ipsis, tum a sanctis angelis ita vocatur. Consilium igitur prophetæ est, longissima oratione et, quantum potest, seductos perterrere, et justissime contrarium persuadere, celeriter nempe B quasi retro eundum esse, et justitiæ splendorem admirandum, et denuo optabilem illis pietatem erga Deum efficere, futurorum terroribus propensionem **346** ad turpia resecantibus. Et hoc est forte Davidis voce probe dictum ad universorum Dominum : « In camo et freno maxillas eorum constringes, qui non approximant ad te [76]. »

Λέγοιτο δ' ἂν καὶ ἐπὶ Χριστοῦ, καὶ μάλα εἰκότως· « Ὃς οἰκοδομεῖ εἰς τὸν οὐρανὸν ἀνάβασιν αὐτοῦ. » Ἔστι μὲν γὰρ αὐτὸς ἄνωθεν, καὶ ἐξ οὐρανοῦ, ὅτι Θεὸς ἐκ Θεοῦ γεγέννηται κατὰ φύσιν. Τοιγάρτοι καὶ ἔφασκεν, « Ἐγὼ ἐκ τῶν ἄνω εἰμί. » Μεμαρτύρηκε δὲ καὶ ὁ σοφὸς Ἰωάννης, λέγων περὶ αὐτοῦ· « Ὁ ἄνωθεν ἐρχόμενος, ἐπάνω πάντων ἐστίν. » Ἀλλ' ἔχει οὐσιωδῶς τὴν εἰς οὐρανοὺς ἀνάβασιν. Πρόκειται γὰρ, ὡς ἔφην, ὡς Θεῷ, ὃς βάσιμον αὐτὸν ἀπέφηνε τοῖς ἐπὶ τῆς γῆς. Πρόδρομος γὰρ ὑπὲρ ἡμῶν ἀνέβη πρὸς τὸν Πατέρα, καὶ, ὡς Παῦλος γράφει, « Πρόσφατον ἡμῖν καὶ ζῶσαν ἐνεκαίνισεν ὁδόν. » Ἐνεφανίσθη γὰρ ὡς ἄνθρωπος ὑπὲρ ἡμῶν τῷ προσώπῳ τοῦ Θεοῦ καὶ Πατρός· « Ὃς καὶ συνήγειρεν ἡμᾶς αὐτῷ, καὶ συνεκάθισεν ἐν τοῖς ἐπουρανίοις. » Ἐπειδὴ γὰρ ἀνέβη Χριστὸς, τὴν ἰδίαν ἀνάβασιν ᾠκοδόμησε καὶ ἡμῖν, εἴπερ ἐστὶν ἀληθὴς Παῦλος, λέγων· « Ὅτι ἡμεῖς οἱ ζῶντες οὐ μὴ φθάσομεν τοὺς κοιμηθέντας, ἀλλ' ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις. » Ἀνέβη τοίνυν ὡς ἄνθρωπος, ἵνα τὴν αὐτῷ μόνῳ πρέπουσαν ἀνάβασιν, ὅτι Θεὸς, καὶ ἐκ Θεοῦ ἔστι, καὶ ἡμῖν τοῖς πεπιστευκόσιν ἀποφήνῃ βατήν. Αὐτὸς καὶ « τὴν ἰδίαν ἐπαγγελίαν θεμελιοῖ ἐπὶ τῆς γῆς. » Διαψεύσεται γὰρ οὐδαμῶς, ἀποπερανεῖ δὲ μᾶλλον ἅπερ ἂν ἡμῖν ἐπαγγέλληται κατορθοῦν. Ἔφη μὲν γὰρ, ὅτι « Συμφέρει ὑμῖν, ἵνα ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐ μὴ ἔλθῃ πρὸς ὑμᾶς. » Τοιγάρτοι καὶ τοῖς ἀποστόλοις κελεύει « ἀπὸ Ἰερουσαλὴμ μὴ χωρίζεσθαι, περιμένειν δὲ τὴν τοῦ Πατρὸς ἐπαγγελίαν, ἣν ἀκηκόασιν αὐτοῦ. » Ἀλλ' ἐξέχεε πλουσίως αὐτοῖς τὴν χάριν. Τοιγάρτοι καὶ γεγόνασι μάρτυρες τῆς δόξης αὐτοῦ ἔν τε Ἰερουσαλὴμ, καὶ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἐν πάσῃ τῇ οἰκουμένῃ. Ἄλλως δὲ πως

Possit autem de Christo quoque et convenienter admodum dici : « Qui ædificat in cœlum ascensionem suam. » Est enim ipse desuper, et de cœlo, quia Deus ex Deo, secundum naturam natus est. Quare etiam aiebat, « Ego de supernis sum [77]. » Testatus est item de eo Joannes, cum dixit : « Qui de C cœlo venit, super omnes est [78]. » Verum essentialiter ascensionem in cœlum habet. Proponitur enim Christo, ut dixi prius, tanquam Deo, qui ipsum pervium mortalibus reddidit. Præcursor enim pro nobis ad Patrem ascendit, et, ut Paulus scribit [79], « Initiavit nobis viam novam et viventem [80]. » Ut homo namque pro nobis vultui Dei et Patris apparuit [81]; « et resuscitavit nos cum ipso, et consedere fecit in cœlestibus [82]. » Postquam enim Christus ascendit, ascensionem suam et nobis ædificavit, siquidem vera dicit Paulus illis verbis : « Quoniam nos qui vivimus, non præveniemus eos qui dormierunt, sed simul cum ipsis rapiemur in nubibus [83]. » Ascendit igitur ut homo, ut sibi soli convenientem ascensum, D quia Deus et ex Deo est, etiam nobis credentibus ascensu facilem redderet. Idem « et promissionem suam fundat super terram. » Neutiquam enim mentietur : quin potius præstabit quæ nobis bene facta promiserit. Ait enim, quia « Expedit vobis ut ego vadam. Si enim non abiero, Paracletus non veniet ad vos [84]. » Unde et apostolis mandavit, « ab Hierosolymis ne discederent, sed exspectarent promissionem Patris, quam ab ipso audivissent [85]. » Verum enimvero abunde super ipsos gratiam effudit. Proinde et testes fuerunt gloriæ ejus tum Hierosolymis, tum in Judæa, et toto terrarum orbe. Alio item modo

[75] Matth. xxiv, 35. [76] Psal. xxxi, 9. [77] Joan. viii, 23. [78] Joan. iii, 31. [79] Hebr. vi, 20. [80] Hebr. x, 20. [81] Hebr. ix, 24. [82] Ephes. ii, 6. [83] I Thess. iv, 16. [84] Joan. xvi, 7. [85] Act. i, 4.

Digitized by Google

promissionem ejus fundatam cernimus. Credidimus enim quod in vitam nos revocaturus sit, et corruptione superiores facturus, « et reformabit corpus humilitatis nostræ configuratum corpori claritatis suæ [86], » et regni sui participes suscipiet. Ipse est qui « advocat aquam maris, et fundit eam super faciem terræ : » hoc est, qui amara, et quæ ferri non possunt, et ad usum inepta, utilia facit. Littera enim legis occidit [87], 347 et ipsa per se umbra inutilis est; sed nobis intelligentibus utilissima ad prudentiam in Christo, et quasi quidam spiritualis imber, modo quodam terras irrigans, facta est. Verum est namque olim antiquis acerbam et intolerabilem legem nobis pædagogum factam esse ad mysterium Christi [88], ut in eo fructum, crassitie umbræ in veritatem extenuata, afferre possimus. Quare quod dictum est, paradigmatis loco accipiemus, adhibentes ad probationem etiam Mara aquam : quoniam amara quidem erat; sed ubi Deus Mosi lignum ostendit, idque in aquam immittere jussit, dulcedinem concepit [89]. Signum illud imago, et typus pretiosæ crucis fuit, per quam lex dulcis, et quasi ad potum aptissima evasit, tametsi in historia amaritudinem habeat. « Occidit enim littera, » ut dixi, seu potius ut nobis sapiens Paulus scriptum reliquit [90].

δαίᾳ, καὶ πάσῃ τῇ γῇ. Καὶ καθ' ἕτερον δὲ τρόπον τεθεμελιωμένην εὑρήσομεν τὴν ἐπαγγελίαν αὐτοῦ · πεπιστεύκαμεν γὰρ, ὅτι καὶ ἐκ νεκρῶν ἡμᾶς ἐγερεῖ, καὶ φθορᾶς ἀμείνους ἐργάσεται, « καὶ μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ, » καὶ τῆς ἑαυτοῦ βασιλείας κοινωνοὺς εἰσδέξεται. Αὐτός ἐστιν « ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης, καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς, » τουτέστιν, ὁ τὰ πικρά τε καὶ ἀπαράδεκτα, καὶ εἰς χρῆσιν οὐκ ἐπιτήδεια μετατιθεὶς εἰς τὸ ὠφελοῦν. Ἀποκτείνει μὲν γὰρ τὸ γράμμα τὸ νομικόν · καὶ ἔστιν αὐτὴ καθ' ἑαυτὴν ἀνωφελὴς ἡ σκιὰ, ἀλλὰ γέγονεν ἡμῖν τοῖς νοοῦσιν χρησιμωτάτη λίαν εἰς σύνεσιν τὴν ἐπὶ Χριστῷ, καὶ ὑετὸς ὥσπερ τις ἀνεδείχθη πνευματικὸς, κατάρδων τρόπον τινὰ τὴν ὑπ' οὐρανόν. Εἴπερ ἐστὶν ἀληθὲς ὡς ὁ πάλαι τοῖς ἀρχαιοτέροις πικρὸς, καὶ ἀφόρητος νόμος, γέγονεν ἡμῖν παιδαγωγὸς ἐπὶ τὸ Χριστοῦ μυστήριον, ὡς καὶ ἐν αὐτῷ δύνασθαι καρποφορεῖν, τὸ τῆς σκιᾶς πάχος ἀπολεπτύνοντες εἰς ἀλήθειαν. Οὐκοῦν ὡς ἐν τάξει παραδείγματος ἐκληψόμεθα τὸ εἰρημένον, παρακομίζοντες εἰς ἀπόδειξιν, καὶ τὸ τῆς Μαῤῥᾶς ὕδωρ, ὅτι πικρὸν μὲν ἦν, κατεγλυκαίνετο δὲ Θεοῦ παραδείξαντος ξύλον Μωσεῖ, καὶ τοῦτο τοῖς ὕδασιν ἐνιέναι προστεταχότος. Ἀλλ' ἦν τὸ ξύλον εἰκὼν καὶ τύπος τοῦ τιμίου σταυροῦ, δι' οὗ γέγονε γλυκὺς ὁ νόμος, καὶ οἱονεὶ ποτιμώτατος, καίτοι τῆς ἱστορίας ἐχούσης τὸ πικρόν · « Ἀποκτείνει γὰρ, ὡς ἔφην, τὸ γράμμα, » μᾶλλον δὲ ὡς γέγραφεν ὁ σοφὸς ἡμῖν Παῦλος.

VERS. 7, 8. *Nonne ut filii Æthiopum vos mihi estis, filii Israel? dicit Dominus. Nonne Israel eduxi ex terra Ægypti, et alienigenas ex Cappadocia, et Syros ex fovea? Ecce oculi Domini Dei super regnum peccatorum, et auferam illud a facie terræ.*

Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε ἐμοὶ, υἱοὶ Ἰσραὴλ; λέγει Κύριος. Οὐ τὸν Ἰσραὴλ ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους ἐκ βόθρου; Ἰδοὺ οἱ ὀφθαλμοὶ Κυρίου τοῦ Θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρτωλῶν, καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς.

LXXXII. Supercilium semper erigentes Israelitæ, sursumque ac deorsum nobilitatem majorum verbis perpetuo jactantes, et lingua largissimi, dicebant : « Patrem habemus Abraham. » Verumtamen a Christo contra audierunt : « Si filii essetis Abrahæ, opera Abrahæ faceretis [91]. Non enim omnes qui ex Israel sunt, hi sunt Israelitæ, nec qui semen sunt Abrahæ, omnes filii [92]; » sed operum claritas etiam de majorum nobilitate eximie gloriandi justam facultatem tribuit. Insolenter iidem præ se omnes gentes reliquas despiciebant, illud crepantes, se a Deo ex omnibus gentibus electos esse. Ac de Ægypto quidem nos eduxit, et in terram promissionis traduxit. Hoc verum est. Cæterum qui congruenti vicissitudine eum, a quo honorati fuerant, vicissim oblectare debuerunt, omne genus apostasiis, et ad improbitatem declinationibus in eum mirabiliter et multis modis contumeliosi exstiterunt. Eo autem dementiæ miseri processerunt, ut sibi ad felicem statum, et ad gloriam satis fore arbitrarentur, ex radice Abrahami prodiisse, 348 et ex Ægypto in terram promissionis deportatos esse. Ut igitur nos-

ΠΒ'. Ὑψηλὴν ἀεὶ τὴν ὀφρὺν ἀνατείνοντες οἱ ἐξ Ἰσραὴλ, ἄνω τε καὶ κάτω τὴν τῶν πατρῶν ἀειλογοῦντες εὐγένειαν, καὶ πολὺ τὴν γλῶτταν κατευρύνοντες, ἔφασκον · « Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Πλὴν ἀντήκουον λέγοντος αὐτοῖς τοῦ Χριστοῦ · « Εἰ τέκνα ἦτε τοῦ Ἀβραὰμ, τὰ ἔργα τοῦ Ἀβραὰμ ἐποιεῖτε ἄν. Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδ' ὅσοι σπέρμα Ἀβραὰμ, πάντες τέκνα · » ἀλλ' ἡ τῶν ἔργων λαμπρότης καὶ τὸ ἐπαυχεῖν δύνασθαι λαμπρῶς ταῖς τῶν πατέρων εὐκλείαις ἀπονέμει δικαίως. Κατεσοβαρεύοντο δὲ τῶν ἄλλων ἁπάντων ἐθνῶν κἀκεῖνο λέγοντες, ὡς ἐξ ἁπάντων αὐτοὺς τῶν ἐθνῶν ἀπολέκτους ἐποιήσατο Θεὸς, καὶ ἐξεῖλετο μὲν τῆς Αἰγυπτίας γῆς, μετεκόμισε δὲ εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Καὶ ἀληθὴς μὲν ὁ λόγος. Οἱ δὲ δὴ μάλιστα ταῖς καθηκούσαις ἀμοιβαῖς κατευφραίνειν ὀφείλοντες τὸν τετιμηκότα, ταῖς ὁλοτρόποις ἀποστασίαις, καὶ ταῖς εἰς φαυλότητα παρατροπαῖς ἐκτόπως ὑβρίζοντες κατὰ πολλοὺς ἠλίσκοντο τρόπους. Ἦκον δὲ ἤδη φρενοβλαβείας εἰς τοῦτο οἱ τάλανες, ὡς οἴεσθαί σφισιν αὐτοῖς πρὸς τὸ εὖ εἶναί τε καὶ εἰς δόξαν ἀρκέσειν τὸ ἐκ ῥίζης γενέσθαι τοῦ Ἀβραὰμ, καὶ ὅτι μετεκομίσθησαν ἐκ τῆς

[86] Philipp. III, 21. [87] II Cor. III, 6. [88] Galat. III, 24. [89] Exod. XV, 22-26. [90] Loc. cit. [91] Joan. VIII, 39. [92] Rom. IX, 7.

Digitized by Google

Αἰγυπτίας εἰς τὴν τῆς ἐπαγγελίας γῆν. Ἵνα τοίνυν εἰδεῖεν, ὡς ἀσυντελῆ πρὸς ὄνησιν τὰ τοιάδε τῶν αὐχημάτων αὐτοῖς εἶεν, ἀναπεπτωκόσιν ἐπὶ τὸ ῥᾴθυμον, καὶ οὐκ ἐθέλουσιν εὐσεβεῖν, ἀναγκαίως φησίν· Οὐχὶ οὕτως ὑμᾶς ἡγήσομαι, κἂν ἔχοιτε τὸ ἐκ πατέρων εὐγενὲς, καθάπερ ἀμέλει καὶ τοὺς Αἰθιόπων υἱεῖς, οἳ ῥίζαν οὐκ ἔχουσι τὸν Ἀβραάμ; Ἀποκλινὲς γὰρ τὸ Θεῖον, ἀπροσωπόληπτον παντελῶς, καὶ σαρκικὴν οὐκ οἶδεν εὐγένειαν, πράξεων ἐρήμην ἀγαθῶν. Αἰδοῦς γε μὴν ἀπάσης ἄξιοί τὴν πνευματικὴν, καὶ ἥπερ ἂν ἔποιτο τὸ διὰ λαμπρῶν αὐχημάτων ἀγλαΐζεσθαι φιλεῖν. Ἀλλ' εἶναί τι μέγα καὶ ἐξαίρετον ὑμῖν κἀκεῖνα δοκεῖ, τὸ ἐκ τῆς Αἰγυπτίας μεταφοιτῆσαι πρὸς ἑτέραν. Εἶτα τί τοῦτο; φησὶν, ἢ ποίαν ὑμῖν εἰσκομίσει τὴν ὠφέλειαν; Ἔχουσι τοῦτο λαβόντες παρ' ἐμοῦ καὶ ἕτεροι. Μετεκόμισα γὰρ τοὺς μὲν ἀλλοφύλους, τουτέστι, τοὺς Παλαιστινοὺς, οὕτω γὰρ ἡρμήνευσαν οἱ Ἑβραῖοι, ἐκ Καππαδοκίας, τοὺς δὲ Σύρους, πάντας δηλονότι τοὺς ὑπό γε τὴν Δαμασκοῦ βασιλείαν τὸ τηνικάδε, μετήγαγον ἐκ βόθρου. Ἰστέον δὲ ὅτι ἀντὶ τοῦ « βόθρου » ἐκδεδώκασιν Ἰουδαῖοι, Κυρήνης. Ἄποικοι δὴ οὖν γεγόνασι Παλαιστινοὶ μὲν Καππαδοκῶν, Σύροι δὲ Κυρηναίων. Βόθρον δὲ ὠνόμασαν τὴν Κυρήνην, καίτοι λίαν ἠρμένην, καὶ ὑψοῦ κειμένην διὰ τὸ ὥσπερ ἐν κόλπῳ κεῖσθαι βαθεῖ. Πᾶσα γὰρ, ὡς ἔπος εἰπεῖν, ἡ Λιβύων γῆ κόλπους ἔχει παραθαλαττίους ἐκκειμένους. Ἐμοὶ τοίνυν, φησὶ, τῷ πάντας ἐν ἴσῳ βλέποντι σκοπὸς, τὸ πᾶσαν ἁμαρτωλῶν βασιλείαν ἀποκεῖραι τῆς γῆς. Οὐδὲν οὖν ἄρα ὀνήσειεν τοὺς ἔχοντας σαρκικὴ λαμπρότης. Εὐγένεια γὰρ παρὰ Θεῷ κρίνεται τρόπος ἀγαθὸς, καὶ πολὺ διανενευκὼς εἰς ἕφεσιν ἀρετῆς, καὶ ταῖς τῶν προγόνων εὐσεβείαις ἁμιλλᾶσθαι μεμελετηκως.

A sent glorationes hujuscemodi ipsis nihil prodesse, in socordiam prolapsis, nolentibusque pietatis officia complecti, cogitur dicere: Nonne vos eodem loco habebo, tametsi a majoribus nobiles, quo etiam Æthiopum filios, qui radicem generis sui Abrahamum non habent? Non enim divinum numen magis huc quam illuc inclinatur: nec personam intuetur ullo modo [93]; nec carnalem nobilitatem studiosis actionibus destitutam agnoscit. Omni autem reverentia et honore dignatur spiritualem, et quam ex illustrium operum splendore clarescendo voluntas comitetur. Atqui magnum quiddam, et præclarum et illud vobis videtur, ex Ægypto in aliam regionem transiisse. Tum, quid hoc? inquit, aut quam vobis utilitatem pariet? Acceperunt a me istud beneficium et alii. Transtuli siquidem alienigenas, hoc est, Palæstinos, sic enim interpretati sunt Hebræi, e Cappadocia, et Syros, omnes puta qui tum sub regno Damasci censebantur, traduxi ex fovea. Sciendum pro « fovea, » Judæos edidisse, Cyrene. Coloni igitur fuerunt Palæstini Cappadocum; Syri autem Cyrenæorum. Foveam autem appellarunt Cyrenen, quamvis valde editam, et in alto positam, quod velut in sinu profundo jaceret. Tota enim tellus Libyæ, ut ita dicam, sinus, et recessus maritimos expositos, seu patentes habet. Mihi igitur, inquit, omnes ex æquo respicienti, propositum est, universum regnum peccatorum de terra auferre. Nihil ergo carnalis claritudo ea præditis profuerit. Apud Deum quippe nobilitas censentur boni mores, et ad virtutis morem vehementer propensi, et cum religione majorum contendere soliti.

B

C

Πλὴν ὅτι οὐκ εἰς τέλος ἐξαρῶ τὸν οἶκον Ἰακὼβ λέγει Κύριος. Διότι ἰδοὺ ἐγὼ ἐντέλλομαι, καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον Ἰσραὴλ, ὃν τρόπον λικμᾶται ἐν τῷ λικμῷ, καὶ οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν. Ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ λαοῦ μου, οἱ λέγοντες· Οὐ μὴ ἐγγίσῃ, οὐδὲ μὴ γένηται ἐφ' ἡμᾶς τὰ κακά.

VERS. 9, 10. *Verumtamen quia non in finem auferam domum Jacob, dicit Dominus. Quia ecce ego mando, et cribrabo in omnibus gentibus domum Israel, sicut cum ventilatur in ventilabro, et non cadet contritum super terram. In gladio morientur omnes peccatores populi mei, dicentes: Non appropinquabunt, neque fient super nos mala.*

ΠΓ'. Τετήρηται πάλιν τῷ Ἰσραὴλ τὸ κατάλειμμα διὰ τοὺς πατέρας. Ὁλοτελῆ μὲν γὰρ ὅλεθρον οὐχ ὑπομενοῦσι, φησὶν, οὔτε μὴν εἰσάπαν ἐκ πυδῶν τὸ ἐξ Ἰακὼβ οἰχήσεται γένος. Ἀλλ' ὥσπερ λικμῷ διερριμμένοι, φησὶ, κατασκεδασθήσονται μὲν εἰς πάντα τὰ ἔθνη. Πλὴν « οὐ μὴ πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν, » τουτέστιν, οὐχ οὕτως πεσεῖται τὸ ἐξ Ἰακὼβ γένος, ὡς εἰς ὁλόκληρον καθικέσθαι συντριβὴν, σωθήσεται δὲ μέρει τῷ ἠλεημένῳ· ἀνεκομίσθησαν μὲν γὰρ ἀπὸ τῆς αἰχμαλωσίας τὸ τηνικάδε τινές· σέσωσται δὲ διὰ Χριστοῦ, πεπιστεύκασι γὰρ ἐξ Ἰουδαίων οὐκ ὀλίγοι τὸν ἀριθμόν. Σωθήσεται δὲ καὶ ἐν ἐσχάτοις καιροῖς τὸ κατάλειμμα, τῆς τῶν ἐθνῶν ἀγέλης προσκεκλημένης. Εἶτα ὥσπερ τινὸς λέγοντος, Εἰ σώζεται πάλιν ὁ Ἰακὼβ, κατὰ τίνων αἱ ἀπειλαί; χρησίμως ἀπολογεῖται, καὶ φησιν, ὡς οὐκ ἄκριτος ἔσται κατὰ πάντα ἁπλῶς

LXXXIII. Conservatæ sunt denuo Israeli reliquiæ [94] propter patres. Non enim universe interibunt, inquit, neque genus Jacob simul totum de medio tolletur. Tanquam cribro disjecti, inquit, in omnes nationes dissipabuntur. **349** Verumtamen « non cadet contritum super terram. » Hoc est, non ita cadet posteritas Jacob, ut ad consummatam contritionem deveniat: salvabitur enim, qua parte misericordiam fuerit consecuta; quidam enim e captivitate illis temporibus redierunt: salvata est autem postea pars per Christum [95]; nec enim pauci numero ex Judæis crediderunt. Salvabitur autem extremis temporibus quantum restat, cum gentium grex etiam aggregatus fuerit. Deinde, quasi quis objiceret, Si rursum Jacob salvabitur, in quos igitur intentantur minæ? commode respondet, non

D

[93] Ephes. v, 9, et alibi. [94] Isa. x, 22; Rom. ix, 27. [95] Rom. xi, 5.

Digitized by Google

confuse adversus omnes simpliciter furorem exerturum, neque indiscriminatim ex ira pœnas irrogaturum : eos magis invasurum qui scelera minime dissimulanda perpetraverint. Itaque hoc est quod dicit : « In gladio morientur omnes peccatores populi mei, qui dicunt : Non appropinquabunt, neque fient super nos mala. » Tantopere enim nonnulli insanierunt, ut sanctos quoque prophetas mentiri arbitrarentur : quin etiam affirmarent nihil eorum eventurum quæ illi prænuntiassent. Quod idem testatur et Jeremias in hæc verba : « Ecce isti dicunt ad me : Ubi est verbum Domini ? Veniat [96]. » Sic itaque comparatorum peccatum geminum apparet. Variis enim modis Deum ad iram provocabant, et veritatem mentiri existimabant.

A ὁ θυμὸς, οὔτε μὴν ἀδιαφορήσει τὰ ἐξ ὀργῆς, ἐφαλεῖται δὲ μᾶλλον τοῖς ἀφόρητα πεπλημμεληκόσι. Τουτέστι τό· « Ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ τοῦ λαοῦ, οἱ λέγοντες· Οὐ μὴ ἐγγίσῃ, οὐδ' οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς κακά. » Ἦκον γὰρ εἰς τοῦτο φρενοβλαβείας τινὲς, ὡς οἴεσθαι καὶ ψευδοπεῖν τοὺς ἁγίους προφήτας· καὶ δὴ καὶ ἔφασκον, ὡς οὐκ ἂν γένοιτό τι τῶν προηγγελμένων. Μαρτυρήσει δὲ τοῦτο καὶ Ἱερεμίας, λέγων πρὸς Θεόν· « Ἰδοὺ οὗτοι λέγουσι πρός με, Ποῦ ἔστιν ὁ λόγος Κυρίου ; Ἐλθέτω. » Διττὸν οὖν ἄρα τῶν οὕτω διακειμένων τὸ πλημμέλημα. Παρώτρυνον μὲν γὰρ κατὰ πολλοὺς τρόπους, ᾤοντο δὲ καὶ ψευδομυθεῖν τὴν ἀλήθειαν.

Constat item, post Christi in terras adventum, doctores Judæorum ejus verba pro nihilo putasse. Quocirca audiebant : « Væ vobis, Scribæ et Pharisæi hypocritæ, quia tulistis clavem scientiæ : ipsi non introistis, et eos qui introibant, prohibuistis [97]. » Et iterum : « Væ vobis, quia circuitis mare et aridam, » et quæ sequuntur [98]. Proinde non inter filios, sed inter patria nobilitate spoliatos jure reputati, ac velut inter Æthiopum filios relati sunt et a gladio consumpti, pares stultitiæ suæ pœnas Deo judici persolverunt.

B Εὑρήσομεν δὲ καὶ ἐν καιρῷ τῆς ἐπιδημίας τοὺς τῶν Ἰουδαίων καθηγητὰς τῶν τοῦ Σωτῆρος ἡμῶν οὐ πεφροντικότας λόγων. Τοιγάρτοι καὶ ἤκουον· « Οὐαὶ ὑμῖν, Γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταὶ, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· οὔτε ὑμεῖς εἰσέρχεσθε, οὔτε τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν. » Καὶ πάλιν· « Οὐαὶ ὑμῖν, ὅτι περιάγετε τὴν θάλασσαν, καὶ τὴν ξηρὰν, » καὶ τὰ ἑξῆς. Τοιγάρτοι δικαίως οὐκ ἐλογίσθησαν μὲν εἰς τέκνα, τῆς δὲ τῶν πατέρων εὐγενείας ὠλισθηκότας. Κατεγράφοντο δὲ ὥσπερ ἐν τοῖς Αἰθιόπων υἱοῖς, δεδαπάνηνται δὲ καὶ ὑπὸ ῥομφαίας, καὶ τῆς ἑαυτῶν δυσβουλίας ἰσαρίθμους τῷ κρίνοντι ἐκτετίκασι δίκας.

Vers. 11, 12. *In die illa suscitabo tabernaculum David, quod cecidit, et reædificabo quæ ceciderunt ex eo, et eversa eorum resuscitabo, et reædificabo illud, sicut dies sæculi : ut requirant me reliquiæ hominum, et omnes gentes super quas invocatum est nomen meum, super eas dicit Dominus, faciens omnia hæc.*

C *Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ κατεσκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτὴν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος· ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη, ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτούς, Λέγει Κύριος, ὁ ποιῶν πάντα ταῦτα.*

350 LXXXIV. Pollicitus est, non se funditus exstincturum genus Jacob, sed quanquam quasi cribro disjecti, peregrini et advenæ, patria et domibus suis pulsi, barbaram et extraneam regionem habitaverint, non tamen ad unum contritum iri, neque extremum exitium subituros. Idcirco adjungit se resuscitaturum tabernaculum David [99]. Excitabit porro ejus diruta « sicut dies sæculi, » quod est, in dies, seu tempus diuturnum. Indicium hujus erit, inquit, plena ac certa fides facta reliquis gentibus, et vicinis, et remotissimis, oportere de cætero converti ad Dominum, et ipsum sibi exquirendum deligere, mansuetudinem et potentiæ divinæ magnitudinem admirantes. Itaque, cum dicit « tabernaculum David, » Judæorum nationem significat, domum Jacob videlicet. Sciendum autem, accepta a Cyro libertate, in Judæam remigrasse, et templum construxisse, communitisque denuo civitatibus devastatis, et domibus per eas ædificatis, tuto habitasse [1]; postea quamvis bello a quibusdam, ut Antiocho et Adriano, lacessitos, non amplius,

ΠΔ'. Ὑπέσχετο λέγων, ὡς οὐκ ἂν εἰς τέλος ἐξολοθρεύσειε τὸ ἐξ Ἰακὼβ γένος, ἀλλ' εἰ καὶ λικμῷ τρόπον τινὰ ἐῤῥιμμένοι, ξένοι τε καὶ ἐπήλυδες γένωνται πατρίδος, καὶ οἴκων ἐξωσμένοι, βάρβαρόν τε καὶ ἀλλοδαπὴν οἰκοῦντες χώραν, ἀλλ' οὖν οὐκ ἂν συντρῖβεῖεν εἰσάπαν, οὔτε μὴν εἰς ὄλεθρον οἰχήσονται παντελῆ. Ταύτῃτοί φησιν, ὅτι καὶ ἀναστήσει τὴν σκηνὴν Δαβίδ. Ἐγερεῖ δὲ αὐτῆς τὰ κατεῤῥιμμένα, « καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, » τουτέστιν, εἰς ἡμέρας μακράς. Δεῖγμα δὲ τούτου γενήσεται, φησὶ, καὶ πληροφορία τοῖς ἄλλοις ἔθνεσι τοῖς τε ὁμόροις, καὶ τοῖς ἀποτάτω, τοῦ χρῆναι λοιπὸν ἐπιστρέφειν πρὸς τὸν Θεὸν, καὶ αὐτὸν ἐλέσθαι ζητεῖν, τεθαυμακότας πάντως που τῆς τε ἡμερότητος τοῦ Θεοῦ, καὶ τῆς ἰσχύος τὸ μέγεθος. Οὐκοῦν εἰ λέγοι « σκηνὴν Δαβὶδ, » τὸ τῶν Ἰουδαίων κατασημαίνει γένος, ἤγουν οἶκον τὸν ἐξ Ἰακώβ. Ἰστέον δὲ ὅτι, Κύρου τῆς αἰχμαλωσίας ἀνέντος αὐτοὺς, ὑπενόστησαν εἰς τὴν Ἰουδαίαν, καὶ ἀνεδείμαντο μὲν τὸν νεὼν, πυργώσαντες δὲ τὰς τῶν πόλεων ἠρημωμένας, οἴκους τε ἐν αὐταῖς ὑποσκευασάμενοι, κατῳκήκασιν ἀσφαλῶς, πολέμους μὲν

[96] Jerem. xvii, 15. [97] Luc. xi, 52. [98] Matth. xxiii, 15. [99] Imo, Act xv, 16. [1] I Esdr. i, I seqq.

Digitized by Google

ὑπομείναντες παρά τινων, οἷον Ἀντιόχου τε, φημὶ, καὶ Ἀδριανοῦ, αἰχμάλωτοι δὲ οὐκ ἔτι γεγόνασιν, οὔτε μὴν ἠρήμωνται, καθὼς καὶ ὑπὸ τῶν Βαβυλωνίων. Ὁ μὲν οὖν τῆς ἱστορίας ἐν τούτοις λόγος· ὁ δὲ ἐσωτέρω καὶ ἀληθέστερος εἴη ἂν ἐπὶ Χριστῷ.

Ἐπειδὴ γὰρ ἐκ νεκρῶν ἀνέβιω, τὴν εἰς θάνατον αὐτοῦ πεσοῦσαν σκηνήν, τουτέστι, τὴν ἀπὸ γῆς σάρκα ἐγείραντος τοῦ Θεοῦ καὶ Πατρὸς, τότε δὴ πάντα ἡμῶν κατερριμμένα πρὸς νέαν ὄψιν ἐνήνεκται. « Εἴ τις γὰρ ἐν Χριστῷ, καινὴ κτίσις, » κατὰ τὴν Γραφήν. Συνεγηγέρμεθα γὰρ αὐτῷ, καὶ κατέσκαψε μὲν ὁ θάνατος τὰς ἁπάντων σκηνὰς, ἀνῳκοδόμησε δὲ ὁ Θεὸς καὶ Πατὴρ ἐν Χριστῷ. Καὶ τοῦτο ἡμῖν οὐκ εἰς χρόνον ὑπάρξει μεμετρημένον, ἀλλ' εἰς ἡμέρας αἰῶνος. Ἀναπόβλητον γὰρ ἐν ἡμῖν τὸ τῆς ἀφθαρσίας ἀγαθὸν, καὶ οὐκ ἔτι κρατήσει θάνατος τῶν ἐν Χριστῷ σεσωσμένων. Τότε δὴ καὶ οἱ κατάλοιποι τῶν ἀνθρώπων κατὰ τοὺς πεπιστευκότας ἐξ Ἰσραὴλ τὸν φύσει τε καὶ ἀληθῶς ἐγνώκασι Θεὸν, τῆς ἀρχαίας ἐκείνης, καὶ βεβήλου πλάνης ἀποφοιτήσαντες. Οὐ γὰρ ἦν διαψεύσασθαι λέγοντα τὸν Χριστὸν, ὅτι « Ἐὰν ὁ κόκκος ἀποθάνῃ, καρπὸν πλείονα φέρει. » Καὶ πάλιν· « Ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Κατ' ἐκείνην οὖν τὴν ἡμέραν, καθ' ἣν ἀνεγερῶ τὴν κατεσκαμμένην, καὶ τὴν πεσοῦσαν σκηνὴν τοῦ Δαβὶδ, κληθήσονται πάντα τὰ ἔθνη, καὶ ἐπ' αὐτοῖς ἔσται τὸ ἐμὸν ὄνομα. Καὶ ὅτι πάντη τε καὶ πάντως εἰς πέρας ἐκβήσεται τὸ προηγγελμένον, πεπληροφόρηκε, προσθείς· « Λέγει Κύριος ὁ Θεὸς ὁ ποιῶν ταῦτα. » Εἰ γάρ ἐστι Κύριος ὁ Θεὸς ἀληθῶς, πάντως ποιήσει καὶ ταῦτα, πρὸς οὐδὲν ἀσθενῶν· « Ποιεῖ γὰρ μεγάλα, καὶ ἀνεξιχνίαστα, ἔνδοξά τε καὶ ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός. »

A quemadmodum ante a Babyloniis, pro captivis abductos, neque devastatos esse. Historia igitur talis est, cujus interior et verior sensus ad Christum pertinuerit.

Postquam enim revixit,' et tabernaculum ejus in mortem collapsum, hoc est carnem, de terra Deus et Pater excitavit, tunc humana omnia in antiquam formam dignitatemque excitata ac restituta sunt, et res nostræ omnes, quæ prostratæ jacebant, faciem novam induerunt. « Si qua enim in Christo nova creatura, » juxta Scripturam [a]. Una quippe cum eo resuscitati sumus. Et mors quidem omnium tabernacula evertit, Deus autem et Pater in Christo reædificavit. Atque istud nobis non definito annorum numero, sed diebus sæculi manebit. Bonum enim incorruptionis amittere nequibimus, nec de cætero mors de salvatis in Christo triumphabit. Tunc et reliqui homines post eos qui ex Israel crediderunt, veteri illo et profano errore deserto, eum qui natura ac vere Deus est, cognoverunt. Non enim poterat mentiri Christus, cum diceret : « Si granum mortuum fuerit, multum fructum affert [b]. » Et iterum : « Si exaltatus fuero a terra, omnia traham ad meipsum [c]. » Quare illo die quo collapsum tabernaculum **351** David rursum excitabo, omnes gentes vocabuntur, et in illis erit nomen meum. Prædicta autem ad finem usque collatum iri, certe confirmavit, apponens : « Dicit Dominus Deus, faciens omnia hæc. » Si enim Dominus est Deus, vere omnino faciet et hæc, nec illum vires in ullo deficient : « Facit enim magna, et inscrutabilia, et gloriosa, et mirabilia, quorum non est numerus [d]. »

Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ καταλήψεται ὁ ἀλωητὸς τὸν τρυγητὸν, καὶ πατήσει ἡ σταφυλὴ τὸν σπόρον, καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ πάντες οἱ βουνοὶ σύμφυτοι ἔσονται. Καὶ ἐπιστρέψω τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου Ἰσραὴλ, καὶ οἰκοδομήσουσι πόλεις τὰς ἠφανισμένας, καὶ κατοικήσουσι, καὶ φυτεύσουσι ἀμπελῶνας, καὶ πίονται τὸν οἶνον αὐτῶν, καὶ ποιήσουσι κήπους, καὶ φάγονται καρπὸν αὐτῶν. Καὶ καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῶν, καὶ οὐ μὴ ἐκσπασθῶσιν οὐκ ἔτι ἀπὸ τῆς γῆς αὐτῶν, ἧς ἔδωκα αὐτοῖς, λέγει Κύριος παντοκράτωρ ὁ Θεός.

Verss. 13-15. *Ecce dies veniunt, dicit Dominus, et comprehendet tritura vindemiam, et maturescet uva in semente, et stillabunt montes dulcedinem, et omnes colles consiti erunt. Et convertam captivitatem populi mei Israel, et ædificabunt civitates desertas, et inhabitabunt, et plantabunt vineas, et bibent vinum earum, et facient hortos, et comedent fructus eorum. Et plantabo eos in terra eorum, et non evellentur ultra ex terra sua, quam dedi eis, dicit Dominus Deus omnipotens.*

ΠΕ'. Αὐτὸ δὴ σαφῶς ἡρμήνευσεν, ὅπερ ἔφη. Καὶ εἰ μέν τις ἕλοιτο παχεῖαν, καὶ ἱστορικὴν ποιεῖσθαι τὴν ἀφήγησιν, ἐρεῖ δὴ πάλιν ἐκεῖνο, ὡς ἐπήγγελται σαφῶς τοῖς τὴν αἰχμαλωσίαν ὑπομεμενηκόσι τὴν ἐπάνοδον, καὶ ὅτι τὴν ἑαυτῶν καθέξουσι γῆν, πόλεις τε καὶ οἴκους ἀναδειμάμενοι, καὶ ἐν καλῷ τῆς εὐημερίας λοιπὸν γεγονότες, τὰ ἐξ ἀγρῶν συλλέξουσιν ἀγαθὰ, καὶ τῷ γηπονεῖν ἐγκείσονται μετ' εὐφροσύνης, καὶ χαρᾶς, ὡς ἀδιάλειπτον αὐτοῖς τὸν ἐπί γε ταῖς ἡδίσταις συγκομιδαῖς γενέσθαι πόνον, τῶν ἐξ ἄλλως ἀγαθῶν συγκομιζόντων αὐτοῖς τὸν τρυγητὸν,

LXXXV. Ipsum perspicue interpretatur quod dixit. Quod si quis simplici et historico sensui adhæserit, fatebitur rursum illum diserte reditum captivis, et possessionem patriæ telluris promittere : ædificatisque urbibus et domibus, et in posterum in felici rerum statu collocatis, opes ruris collecturos, et rei rusticæ cum hilaritate et gaudio operam daturos, ut in jucundissimis comportationibus laborandi finem nudum faciant, cum in area excussæ fruges simul vindemiam sint allaturæ, et vindemia usque ad tempus sationis duratura,

[a] II Cor. v, 17. [b] Joan. XII, 24. [c] ibid., 32. [d] Job, v, 9.

Digitized by Google

quo a torculari, et falce, et uvis colonus ad campos aratro invertendos transeat, et areæ pulvere deterso, de torculari sit sollicitus. Quod si quiddam subtilius et spiritualius propositorum considerationi adjicere voluerimus, decenter et merito illud cogitabimus :

Postquam Christus, ut dixi, in vitam est reversus, instauravit Pater tabernaculum David, et reædificavit quæ ceciderant, omnes mortales, gentiles et Judæi multam et exuberantem bonorum copiam adepti sunt. Unus enim idemque Deus et circumcisionem ex fide, et præputium per fidem justificavit [6]. Per terrestres itaque fructus spiritualium fructuum in **352** eos qui crediderint erogatio liberalissima appositissime significatur. Magnus, inquit, frumenti atque vini numerus proveniet. Ac in præsens quidem frumentum ad robur, spirituale scilicet, accipiemus. Scriptum est enim : « Et panis cor hominis confirmans [7], » ille utique panis, quem mens intuetur, divinus et de cœlo descendens : vinum autem ad lætitiam; ait enim : « Vinum cor hominis lætificat [8]. » Gaudemus autem spe, juxta vocem Pauli [9]. « Stillant etiam montes dulcedinem. » Montes, ut verisimile est, hoc loco Ecclesias Christi appellat, propter sublimitatem ejus dogmatum, et pietatis in Deum summam excellentiam : et quoniam montes diversis stirpibus comati sunt, Ecclesiæ vero Christi multa sanctorum capitum millia continent, tanquam cedros, et arbores procerissimas, plantatas secus decursus aquarum sub intelligentiam cadentium [10]. Porro, quemadmodum in montibus arboribus optime consitis apum examina circumvolitantia dulce et charum mel conficiunt; ita similiter in Ecclesiis reliquis insigniores, virtuteque et intelligentia doctrinæ in Christo ditiores, dulce mel colligentes, illud aliorum quoque cordibus quodammodo instillant. Ad istum ergo modum, ut ego ratiocinor, montes dulcedinem distillant. Atqui et colles consitos fore ait. Colles sunt, qui secundas tenent, et virtutis laude præstantissimis concedunt. In Ecclesiis enim sanctimoniæ et justitiæ mensuræ ac modi inveniuntur, et, ut Paulus ait [11], secundum datam unicuique gratiam a Deo ista distribuente. Consiti ergo erunt etiam colles, inquit, hoc est, bene virentes, et bonis referti fructibus, divinorumque dogmatum sinceritate densius frondentem gestantes animum. Convertisse autem captivitatem nostram universorum Deum, nemo jure dubitaverit. « Prædicavit enim captivis indulgentiam [12], » Christus, et mundum e diaboli potestate exemit. Tunc nimirum instar agricolarum spirituali fructuum abundantiæ operam dedimus, hortos et vineas plantavimus, et comedemus fructum eorum. Laborum quippe remunerationem auferemus, et bonita-

Παρατείνοντος δὲ αὖ καὶ τοῦ τρυγητοῦ εἰς τὸν τοῦ σπόρου καιρὸν, ὡς ἐκ ληνοῦ, καὶ δρεπάνης, καὶ βοτρύων αὐτῶν μεταφοιτᾷν τὸν γηπόνον ἐπὶ τὰ τῶν πεδίων ἀρόσιμα, καὶ τῆς ἅλω τὴν κόνιν ἀπονιψάμενον, τῶν ἐπὶ ληνοῖς ἔχεσθαι φροντισμάτων. Εἰ δὲ δὴ λεπτότερον, καὶ πνευματικώτερον τῇ τῶν προκειμένων θεωρίᾳ προσβαλεῖν ἐθέλοιμεν, πρέποι ἂν εἰκότως ἐκεῖνο νοεῖν·

Ἐπειδὴ γὰρ, ὡς ἔφην, ἀνεβίω Χριστὸς, ἤγειρεν ὁ Πατὴρ τὴν σκηνὴν τοῦ Δαβὶδ, καὶ ἀνῳκοδόμησεν αὐτοῖς τὰ κατεσκαμμένα, πολλὴ καὶ ἀμφιλαφὴς τῶν πνευματικῶν ἀγαθῶν ἡ μέθεξις ἐπὶ πάντας γέγονεν ἀνθρώπους Ἕλληνάς τε καὶ Ἰουδαίους. Εἷς γὰρ ὁ Θεὸς, ὃς δεδικαίωκε περιτομὴν ἐκ πίστεως, καὶ ἀκροβυστίαν διὰ πίστεως. Ηλείστη δὴ οὖν τῶν πνευματικῶν καρπῶν τοῖς πεπιστευκόσιν ἡ χορηγία, ἢ διὰ τῶν ἐπιγείων καρπῶν εὖ μάλα κατασημαίνεται. Πλῆθος γὰρ ἔσται σίτου, φησὶ, καὶ οἴνου. Παραδεξόμεθα δὲ νῦν τὸν μὲν σῖτον εἰς ἰσχὺν δηλονότι τὴν πνευματικήν· γέγραπται γάρ· « Καὶ ἄρτος στηρίζει καρδίαν ἀνθρώπου, » νοητὸς δέ που πάντως, καὶ θεῖος ἄνωθεν· τὸν δέ γε οἶνον εἰς εὐφροσύνην· ἔφη γὰρ πάλιν· « Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. » Χαίρομεν δὲ τῇ ἐλπίδι, κατὰ τὴν Παύλου φωνήν. « Στάζει δὲ καὶ τὰ ὄρη γλυκασμόν. » Ὄρη μὲν οὖν, ὡς ἔοικεν, ἐνθάδε φησὶ τὰς Ἐκκλησίας Χριστοῦ, διά τε τὸ ἐπηρμένον τῶν ἐν αὐταῖς δογμάτων, καὶ τῆς εἰς Θεὸν εὐσεβείας τὸ ὑπερφυὲς, καὶ ὅτι τὰ μὲν ὄρη διαφόροις κομῶντα φαίνονται φυτοῖς, αἱ δὲ Ἐκκλησίαι Χριστοῦ μυρίας τε ὅσας ἁγίων ἔχουσι κεφαλὰς, πέδροις τε καὶ ξύλοις ἐν ἴσῳ τοῖς εὐμηκεστάτοις, εἰ ταῖς τῶν νοητῶν ὑδάτων παρίδρυνται διεξόδοις. Ἀλλ' ὥσπερ ἐν τοῖς εὐδενδροτάτοις τῶν ὀρῶν πλήθη μελιττῶν πετόμενα, τὸ γλυκὺ, καὶ τίμιον ἐργάζονται μέλι· οὕτω πάλιν ἐν ταῖς Ἐκκλησίαις οἱ τῶν ἄλλων περιφανέστεροι, καὶ ἀδρότεροι πρὸς ἀρετὴν, καὶ σύνεσιν τῆς ἐπὶ Χριστῷ διδασκαλίας, τὸ γλυκὺ συλλέγοντες μέλι, μονονουχὶ καταστάζουσι καὶ ταῖς ἑτέρων καρδίαις αὐτό. Ἀποσταλάζει δὴ οὖν τὰ ὄρη γλυκασμὸν κατὰ τοῦτον, οἶμαι, τὸν τρόπον. Ἔσεσθαι δὲ συμφύτους ἔφη καὶ τοὺς βουνούς. Βουνοὶ δέ εἰσιν οἱ δεύτεροί τε καὶ τὸ μεῖον ἔχοντες εἰς ἀρετὴν παρὰ τοὺς ἄγαν ἐν τούτῳ διαφανεστέρους. Μέτρα γὰρ ἁγιασμοῦ καὶ δικαιοσύνης ἐν Ἐκκλησίαις, καὶ ὡς ὁ Παῦλός φησι, κατὰ τὴν ἑκάστῳ δοθεῖσαν χάριν παρὰ τοῦ τὰ τοιάδε διανέμοντος Θεοῦ. Σύμφυτοι δὴ οὖν ἔσονται καὶ οὗτοι, φησὶ, τουτέστιν, εὐθαλεῖς τε καὶ εὔκαρποι, καὶ τῇ τῶν θείων δογμάτων ὀρθότητι βαθὺ κομῶντα φοροῦντες τὸν νοῦν. Ὅτι δὲ καὶ ἐπέστρεψεν ἡμῶν τὴν αἰχμαλωσίαν ὁ τῶν ὅλων Θεὸς, οὐκ ἂν ἐνδοιάσειέ τις. Ἐκήρυξε γὰρ αἰχμαλώτοις ἄφεσιν ὁ Χριστὸς, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ἐξεῖλετο τὴν ὑπ' οὐρανόν. Τότε δὴ καὶ ἐν ἴσῳ γηπόνοις τῇς κατὰ νοῦν εὐκαρπίας γεγόναμεν ἐπιμεληταὶ, κατεφυτεύσαμεν κήπους, καὶ ἀμπελῶνας, καὶ φαγόμεθα τὸν καρπὸν αὐτῶν. Ἀπολήψόμεθα γὰρ τὰς τῶν πό-

[6] Rom. III, 30. [7] Psal. CIII, 15. [8] ibid., et Eccli. XL, 20. [9] Rom. XII, 12. [10] Psal. I, 3, [11] Ephes. IV, 7. [12] Isa. LXI, 1 ; Luc. IV, 19.

Digitized by Google

νων αντιμισθίας, ἀποτρυγήσομεν δὲ καὶ τοὺς τῆς ἐπιεικείας καρπούς. Ὅτι δὲ ἀσάλευτον ἕξομεν τὴν παρὰ Θεῷ μονὴν, καὶ τῶν ἅπαξ δοθησομένων παρ' αὐτοῦ κλήρων, καὶ οὐδεὶς ἂν ἐκπέμψειε τοὺς ἐν αὐτοῖς γεγονότας, σαφηνίζει λέγων· « Καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῆς, ἧς ἔδωκα αὐτοῖς, λέγει Κύριος ὁ Θεός. » Ἀμεταμέλητα γὰρ τὰ χαρίσματα ἡ Ἐκκλησία τοῦ Θεοῦ. Καὶ ἐν βεβαίῳ κειμόμεθα παντὸς ἀγαθοῦ, καθηγητὴν καὶ πανηγυριάρχην αὐτὸν ἔχοντες τὸν Χριστόν.

A tis fructus demetemus. Fixam autem et stabilem nos mansionem apud Deum habituros, et data semel **353** ab ipso hæreditate, neminem ejus compotes ejecturum declarat, dicens : « Plantabo eos in terra eorum quam dedi eis, dicit Dominus Deus. » Dona enim quorum pœnitere non potest, sunt Ecclesia Dei. Et in stabilitate omnis boni, ducem et principem panegyricæ nostræ celebritatis Christum ipsum habentes, collocabimur.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΑΒΔΙΟΥ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI,

IN ABDIAM PROPHETAM COMMENTARIUS.

—

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Ἀβδίου δὴ πάλιν προφητεύειν μὲν ἔοικεν ἐν καιροῖς, καθ' οὓς Ἰωὴλ, μονονουχὶ δὲ διέλαχε πρὸς αὐτὸν τὴν ὅρασιν, καὶ μερίζεται τὸ διήγημα. Ὁ μὲν γὰρ Ἰωὴλ ἐπ' αὐτοῖς ἤδη τέρμασι τῆς ἑαυτοῦ προφητείας, « Αἴγυπτος, φησὶν, εἰς ἀφανισμὸν ἔσται, καὶ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ ἐξ ἀδικιῶν υἱῶν Ἰούδα, ἀνθ' ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. » Ὁ δὲ τῆς Ἰδουμαίας τὸν ἀφανισμὸν τίνα τε τρόπον, καὶ ὅπως ἔσται κατὰ καιροὺς, ἀφηγεῖται λεπτῶς. Ἐπειδὴ δὲ τοῖς ἐντευξομένοις τῇ τοῦ βιβλίου συγγραφῇ λυσιτελὲς τὸ ἀναμαθεῖν ἀκριβῶς καὶ πρό γε τῶν ἄλλων, τίς μὲν ἔστιν ἡ Ἰδουμαία, τί δὲ τὸ συμβὰν αὐτῇ, καὶ τοῦ δὴ χάριν ταῖς ἐκ θείας ὀργῆς ὑπενήνεκται συμφοραῖς, φέρε λέγωμεν, ὡς ἔνι τὰ τοιάδε σαφῶς τοῖς φιλομαθέσι καταλεπτύνον-

B

354 PROŒMIUM.

I. Abdiam deinceps eodem sæculo quo et Joelem vaticinatum fit probabile, qui etiam propemodum eamdem cum ipso visionem sortitur, et in expositione communicat. Joel siquidem in extremo prophetiæ suæ, « Ægyptus, inquit, in perditionem erit, et Idumæa in campum desolationis, ex iniquitatibus filiorum Juda, pro eo quod effuderunt sanguinem justum in terra sua [18]. » Hic autem Idumææ desolationem, qua via, et quo modo suo tempore eventura sit, accurate commemorat. Quia vero lectoribus proderit diligenter et ante alia cognoscere, quænam sit Idumæa, et quid ei contigerit, et quam ob causam a Deo irato diris casibus subjecta fuerit, age, hæc omnia perspicue subtiliterque discendi studiosis, quantum in nobis erit, exponamus. (1) [Idu-

[18] Joel III, 19.

(1) Uncinis clausa desunt in Græco.

Digitized by Google

mæi itaque vocantur et sunt Esau posteri.] Quoniam enim Edom nominatus est, hoc est, *terrenus*, quia scilicet primogenita vendidit, et honorem qui inde ipsi debebatur contempsit, et escam sibi unam, eamque vilissimam apponi **355** maluit [14], hac de causa item ex eo propagatos Idumæos nuncuparunt. Vocatur præterea Idumæorum regio Seir, et Thæman : Seir quidem, quod indigenæ, ut fertur, hirsuti essent, qualis et Esau fuit; pilis enim undique coopertus erat [15], Seir autem *pilorum emissio*, sive *pilosus*, Latine redditur. Erat etiam mons in regione Seir nomine. Thæman insuper vocatur, quod ad austrum maxime spectet. Auster porro Hebræis est Thæman. Putant nonnulli Thæman alia quoque de causa dictam esse. Aiunt enim filium Esau olim fuisse Eliphaz; ex hoc natum Thæman, a quo regioni nomen inditum. Hæc de Idumæa et incolis ejus dicta sufficiant. Perierunt autem talem ob causam. Obsessa Hierosolyma a Nabuchodonosor et in extremam delapsa miseriam, occumbebant etenim innumeri, gentium gladiis confecti, vix aliqui salutem retinuerunt, qui in gentium vicinarum regiones se contulerunt. Plurimi porro Israelitarum in Idumæam ipsis finitimam descendebant, et ut fratribus compassuros, sanguineque conjunctorum memores fore, et afflictis opem impensuros arbitrabantur. Ast illi, cum tanquam fratrum misereri debuissent, ne in provinciam quidem eos admittebant, et latronum more exitus ac fines Idumææ circumcursantes, territosque et consternatos raptantes occidebant, immanitateque sua ipsam Babyloniorum feritatem superabant. Perditos enim invadebant, ut dixi, irridebant, et clades consanguineorum panegyricæ cujusdam lætitiæ occasionem faciebant. Judæi igitur in Persidem et Mediam tunc captivi abierunt. Ubi autem Deus elapsis jam septuaginta hebdomadibus misertus est, in Judæam redierunt, urbemque ipsam reædificare et templum ejus de integro excitare studuerunt. At enim Idumæi iterum, licet fratres et vicini, invidia stimulati istiusmodi cœpta disturbare atque impedire volebant, ejusdem animi barbaros vicinos sibi asciscentes. Quinetiam manus conseruerunt. In valle autem Josaphat, Deo pro Israelitis propugnante, occubuerunt ac perierunt. Postquam vero atrocius quam alienigenæ Israelitas Idumæi vexarunt, ipsi eorum regionem incursantes, incolas occiderunt, et cava petrarum, et speluncas, et recessus terræ sive latibula pervestigantes, quotquot inventos neci dederunt.

τες. Ἐπειδὴ γὰρ Ἐδὼμ ὠνόμασται, τουτέστιν, γήϊνος, διά τοι τὸ ἀποδόσθαι τὰ πρωτοτόκια, καὶ ἀλογῆσαι μὲν τῆς ἐντεῦθεν ὀφειλομένης αὐτῷ τιμῆς, βρώσεως δὲ μιᾶς, καὶ τοῦτο εὐτελεστάτης, ἀνθελέσθαι παράθεσιν, ταύτητοι καὶ Ἰδουμαίους ὠνόμαζον τοὺς ἐξ αὐτοῦ γεγονότας. Καλεῖται δὲ τῶν Ἰδουμαίων ἡ χώρα [Σὴρ] καὶ Θαιμάν· καὶ Σὴρ μὲν διὰ τὸ λέγεσθαι δασεῖς τοὺς κατοικοῦντας αὐτήν· δασὺς δὲ καὶ Ἡσαῦ· τετρίχωτο γὰρ, Σὴρ δὲ *τρίχωσις*, ἤτοι *τριχωτὸς* ἑρμηνεύεται. Ἦν δὲ καὶ ὄρος ἐν τῇ χώρᾳ Σήρ. Θαιμὰν δὲ δὴ πάλιν, διὰ τὸ εἶναι νοτιωτάτην. Νότος δὲ ὁ Θαιμὰν κατὰ Ἑβραίων φωνήν. Δοκεῖ δέ τισιν εἰρῆσθαι Θαιμὰν καὶ δι' ἑτέραν αἰτίαν. Φασὶ γὰρ ὅτι γέγονεν υἱὸς τοῦ Ἡσαῦ κατὰ καιροὺς Ἐλιφάζ, ἐκ δὲ τοῦ Ἐλιφὰζ ὁ Θαιμὰν, ἐξ οὗ καὶ ἡ χώρα Θαιμάν. Ἀπόχρη μὲν ταῦτα περὶ τῆς Ἰδουμαίας, καὶ τῶν ἐν αὐτῇ. Ἀπολώλασι δὲ δι' αἰτίαν τοιαύτην. Πολιορκουμένης γὰρ τῆς Ἱερουσαλὴμ ὑπὸ τοῦ Ναβουχοδονόσορ, καὶ ἐν τοῖς ἐσχάτοις ἠκούσης κακοῖς· ἔπιπτον γὰρ ἀναρίθμητοι τοῖς τῶν ἐθνῶν δαπανώμενοι ξίφεσι· μόλις τινὲς ἀνεσώζοντο, καὶ εἰς τὰς τῶν ὁμόρων ἐθνῶν χώρας ἀπεκομίζοντο. Κατέβαινον δὲ οἱ πλεῖστοι μάλιστα τῶν ἐξ Ἰσραὴλ εἰς τὴν Ἰδουμαίαν, ὅμορον οὖσαν αὐτοῖς, ᾠοντό τε ὅτι καὶ συναλγήσουσι, ὡς ἀδελφοῖς, καὶ τῆς ἐξ αἵματος ἀγχιστείας διαμεμνήσονται καὶ ἀθλίως πεπραχόσι χαριοῦνται τὰς ἐπικουρίας. Οἱ δὲ, καίτοι κατοικτεῖραι δέον ὡς ἀδελφοὺς, ἀπεδέχοντο μὲν οὐκ εἰς τὴν ἑαυτῶν, ἀπέσφαττον δὲ, τὰς τῆς Ἰδουμαίας ἐκβολὰς λῃστρικῷ περιθέοντες τρόπῳ, τεθορυβημένους τε καὶ κατεπτηχότας ἁρπάζοντες· ἦσαν δὲ οὕτως ἀπάνθρωποι ὡς, καὶ αὐτὴν ὑπερβάλλεσθαι τὴν Βαβυλωνίων τὴν ἀγριότητα. Ἐπῄεσαν γὰρ, ὡς ἔφην, ἀπολλυμένοις, ἐπιτωθάζοντες καὶ πανηγύρεως ἀφορμὴν τὰς τῶν ὁμαιμόνων ποιούμενοι συμφοράς. Ἀπῴχοντο μὲν οὖν εἰς τὴν Περσῶν τε καὶ Μήδων Ἰουδαῖοι τοτηνικάδε. Ἐπειδὴ δὲ πεπερασμένων ἤδη τῶν ἑβδομήκοντα ἐτῶν κατηλέει Θεός· ἀνεκομίζοντο γὰρ εἰς τὴν Ἰουδαίαν· σπουδὴν ἐποιοῦντο, τήν τε πόλιν αὐτὴν ἀναδείμασθαι, καὶ τὸν ἐν αὐτῇ πάλιν ἀνεγεῖραι νεών. Ἀλλ' Ἰδουμαῖοι πάλιν οἱ ἀδελφοὶ, καὶ γείτονες κατεδάκνοντο τῷ φθόνῳ, καὶ τῶν τοιούτων ἐγχειρημάτων ἀπείργειν ἤθελον, συναγείροντες τοὺς ὁμόφρονας, καὶ περιοικοῦντας βαρβάρους, καὶ δὴ καὶ εἰς μάχην ἦσαν. Πεπτώκασι δὲ καὶ ἀπολώλασιν ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφὰτ, Θεοῦ προασπίζοντος τῶν ἐξ Ἰσραήλ. Ἐπειδὴ δὲ τῶν ἀλλοφύλων φορτικώτεροι γεγόνασιν Ἰδουμαῖοι, κατέδραμον αὐτῶν τὴν χώραν οἱ ἐξ Ἰσραὴλ, καὶ ἀπέκτειναν μὲν τοὺς ἐν αὐτῇ, τρυμαλιὰς δὲ πετρῶν, καὶ σπηλαίων, καὶ γῆς καταδύσεις διερευνώμενοι τοὺς εὑρισκομένους ἀπέσφαττον.

356 CAP. UNICUM.

VERS. 1. *Visio Abdiæ. Hæc dicit Dominus Deus Idumææ: Auditum audiri a Domino, et munitionem in gentes misit; surgite, et consurgamus contra eam in prælium.*

ΚΕΦΑΛ. ΜΟΝΟΜΕΡΕΣ.

Ὅρασις Ἀβδίου. Τάδε λέγει Κύριος ὁ Θεὸς τῇ Ἰδουμαίᾳ· Ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν· ἀνάστητε, καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον.

[14] Gen. xxv, 30. [15] ibid., 25.

Digitized by Google

Β'. Ὅλον ἡμῖν τῆς αὐτοῦ προφητείας ἐν τούτοις ἥγουν τῆς ὁράσεως διερμηνεύει τὸν σκοπὸν, καὶ ὅποι ποτὲ βλέπει διατρανοῖ. Ὅτι γὰρ ἐπὶ τοῖς ἔσεσθαι μέλλουσι κατὰ τῆς Ἰδουμαίας ἡ ὅρασις αὕτη, πειρᾶται πληροφορεῖν. Ἐμπεδοῖ γὰρ πρὸς πίστιν τοὺς ἀκροωμένους, καὶ ὅτι πάντη τε καὶ πάντως συμβήσεται τὸ λαλούμενον, ἀναπείθειν πειρᾶται, λέγων· ὡς ἥκιστα μὲν αὐτοῦ, Θεοῦ δὲ μᾶλλον εἶεν οἱ λόγοι. Ἔφη τοίνυν ἀκοὴν ἀκοῦται περὶ Θεοῦ κατὰ τῆς Ἰδουμαίας. Καὶ τίς ἂν νοοῖτο πάλιν εὐθὺς αὐτὸς διεσάφησεν, προσθεὶς, ὅτι περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν. Ἔθνη δὲ ποῖα τὰ τῆς Ἰδουμαίας. Κατ' αὐτῶν γὰρ ἀπεστάλθαι φησὶ τὴν περιοχὴν, ἤτοι πολιορκίαν, ἤγουν τὸν συγκλεισμὸν, τοῦ θείου κρίματος συνωθοῦντος ἀναγκαίως εἰς τὸ παθεῖν τὴν ἐρήμωσιν. Ἢ καὶ καθ' ἕτερον τρόπον. Τοῖς γὰρ ἔθνεσι τοῖς κύκλῳ τῆς Ἰδουμαίας προστέταχε ποιεῖσθαι τὴν περιοχὴν, ἤτοι τὴν πολιορκίαν. Προστέταχε δὲ οὐχὶ πάντη ἐναργῶς, ἀλλ' οἷον διανιστὰς ὡς Θεὸς, καὶ καταθήγων ἐπ' αὐτοὺς, ἃ καὶ τοῖς θείοις ἀναπεπεισμένα νεύμασι προτροπάδην ἀλλήλοις μονονουχὶ διακεκραγότα φησίν· Ἀνάστητε, καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. Συνεισβεβλήκασι γὰρ τοῖς ἐξ Ἰσραὴλ καταδῃοῦσι τὴν Ἰδουμαίαν καὶ τὰ περίοικα τῶν ἐθνῶν.

II. Hisce verbis totum prophetiæ, sive visionis suæ, scopum et consilium nobis explanat, et quorsum spectet declarat. Nititur enim nobis fidem facere, hanc visionem esse de ijs qui Idumæam hostiliter agressuri sint. Corroborat quippe audientes ad fidem, et quod loquitur, omnibus modis re ipsa eventurum vult persuadere, dum ait, minime sua, sed Dei potius esse verba. Dicit igitur, auditum se audisse a Deo adversum Idumæam. Et rursum, qua auditio intelligenda sit, confestim ipse exponit, addendo obsidionem in gentes misisse. Gentes qualescunque per Idumæam accipe. Contra has enim munitionem, obsidionem, sive conclusionem misisse affirmat, divino judicio eas ad vastitatem ac solitudinem necessario patiendam compellente. Aut alio itaque modo : gentibus in circuitu Idumææ munitionem, sive obsidionem, imperavit. Imperavit autem non prorsus manifeste, sed velut excusciens, ut Deus, et acuens in Idumæos ; quas et divino nutu ac voluntate persuasas, tantum non vicissim se impellendo clamasse dicit : Surgite, et consurgamus adversus ipsam in prælium. Simul enim cum Israelitis Idumæam ferro ignique vastantibus vicinæ illis gentes irruerunt.

Ἰδοὺ ὀλιγοστὸν δέδωκά σε ἐν τοῖς ἔθνεσιν, ἠτιμωμένος εἶ σὺ σφόδρα. Ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε κατασκηνοῦντα ἐν ταῖς ὀπαῖς τῶν πετρῶν, ὑψῶντα κατοικίαν σου, λέγοντα ἐν καρδίᾳ σου· Τίς κατάξει με ἐπὶ τὴν γῆν; Ἐὰν μετεωρισθῇς ὡς ἀετὸς, καὶ ἐὰν ἀναμέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε, λέγει Κύριος.

Vers. 2-4. *Ecce parvulum dedi te in gentibus, inhonoratus tu es valde. Superbia cordis tui elevavit te, habitantem in foraminibus petrarum, exaltantem habitaculum tuum, dicentem in corde tuo : Quis me deducet in terram? Si exaltatus fueris sicut aquila, et si inter sidera posueris nidum tuum, inde deducam te, dicit Dominus.*

Γ'. Ὀλιγοστὸν αὐτὸν ἐν τοῖς ἔθνεσι τεθεῖσθαι φησὶ καὶ ἠτιμημένον διὰ τὸ παντελῶς εὐαριθμήτους γενέσθαι εἰ πρὸς τῶν ἐπιόντων τὴν πληθὺν συγκρίνοιντο. Πλεῖστοι γὰρ, ὡς ἔφην, οἱ κατ' αὐτῶν τεθηγμένοι. Ἢ ὀλιγοστοὺς γενέσθαι φησὶν, ὡς δαπανήσαντος τοῦ πολέμου, καὶ εἰς ὀλίγον περιστήσαντος τὸ γένος αὐτοῖς. Ἐκ πολλῆς δὲ ἄγαν ἀβελτηρίας διακένοις κεχρῆσθαι φυσήμασιν ὁ προφητικὸς ἡμῖν ὑπεμφαίνει λόγος. Ἦθετο γὰρ δυσάλωτος εἶναι τοῖς ἐχθροῖς, οὐ διά γε τὴν ἐγοῦσαν ἀλκὴν αὐτῷ, καὶ τὸ ἐν πολέμοις εὐτεχνὲς, ἀλλ' ὅτι τὸ τραχὺ, καὶ δύσβατον τῆς χώρας ἀποχρήσειν ἔμελλε πρὸς σωτηρίαν αὐτοῖς. Ὄχθοι γὰρ ἦσαν πανταχῇ, καὶ πετρῶν ἀκρωνυχίαι δεινὸν κατεκνεύουσαι καὶ βουνῶν ἀγριότης, καὶ ὀρῶν ὑψώματα. Τί οὖν, φησὶ, τῆς τῶν ἐπιόντων χειρὸς καταλαζονεύεσθε; Εἰ γὰρ καὶ καταψήκησας ἐν χώρᾳ πολὺ ἰσχούσῃ τε δύσβατον, ἠρμένῃ τε ὑψοῦ, κἂν εἰ γένοιό τις ἀετὸς, οἷον ἐν ἀέρῃ αὐτοῖς τὴν καλιὰν ἔχων, ὑπερβολικὸς δὲ πάλιν ὁ λόγος, ἀλλ' οὖν ἐκεῖθεν κατᾳρθήσῃ Θεοῦ κατασύροντος· ἀδυνατεῖ γὰρ αὐτῷ παντελῶς οὐδέν.

III. Parvulum eum in gentibus positum et despicabilem esse dicit, quia paucissimi plane sint, si cum adorientium multitudine conferantur. Etenim adversum eos concitati, numerum, ut dixi, efficient maximum. Aut ideo admodum paucos esse ait, quia genus eorum bello absumptum et ad exiguitatem redactum sit. Præ magna autem dementia inani eos arrogantia inflatos propheticus sermo nobis demonstrat. **357** Rebantur enim se expugnari, et capi ab hostibus non posse : non propter vires quibus pollerent, et scientiam militarem, sed quia regionis aspera, ascensuque difficilia loca ad salutem eorum tuendam sufficerent. Tumuli enim erant ubique, et rupes horribiliter a summo impendentes, et colles asperi, et montes præcelsi. Quid ergo, inquit, hostium arma gloriando contemnitis? Tametsi enim sortitus es regionem valde inviam, editam et excelsam, etiamsi fieres aquila, haberesque velut in aere nidum tuum, hyperbolica rursum est oratio, tamen Deo, qui potest plane omnia, inde detrahente deturbaberis.

Εἰ κλέπται εἰσῆλθον πρὸς σὲ, ἢ λῃσταὶ νυκτὸς, ποῦ ἂν ἀπερρίφης; Οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ ἑαυτοῖς; Καὶ εἰ τρυγηταὶ εἰσῆλθον πρὸς

Vers. 5, 6. *Si fures introissent ad te, vel latrones noctu, ubi projectus esses? Nonne furati essent sufficientia sibi? Et si vindemiatores introissent ad te,*

Digitized by Google

nonne reliquissent racemum? Quomodo investigatus est Esau, et deprehensa sunt ejus abscondita?

IV. Jam diximus, etiam rimas montium, speluncas, et hiatus petrarum et nemora scrutatos, qui cum Israelitis irruperant et homines natione diversos invaserant, Idumæos trucidasse, ut pauci omnino, aut nullus penitus effugere potuerit. Irridentur itaque, et quodammodo deluduntur, cum ait : Si expertus esses latronum irruptionem, et furum genus tibi supervenisset, annon satis habuissent auferre quibus contenti esse potuissent? Quod si qui quasi de vite legerent uvas, nonne lateret racemus oculum vindemiare consuetorum, quantumvis longe curiosissimum? Atqui id ipsis accidere necesse foret quamvis nolentibus : nam fures timor semper ad fugam sollicitat, et discessus occultus, si quid in promptu positum abstulerint, ad animi voluptatem illis videtur sufficere. Vindemiantibus autem semper ad scrutandum impedimento est foliorum copia non ablata, et suffurans quod latere potest. Sed tibi, inquit, o Esau, hoc est, o ex sanguine Esau prognate, Idumæe, deteriora perpeti contigit. Abscondita enim tua deprehensa sunt, et latuit nemo, et fuga, et ipsa locorum difficultas nihil commodavit.

σὲ, οὐκ ἂν ὑπελίποντο ἐπιφυλλίδα; Πῶς ἐξηρευνήθη Ἡσαῦ, καὶ κατελήφθη αὐτοῦ τὰ κεκρυμμένα;

Δ'. Ἤδη φθάσαντες εἴπομεν, ὅτι καὶ ῥωχμὰς ὀρῶν, σπήλαιά τε καὶ διασφαγὰς ἐν πέτραις, δρυμούς τε διερευνώμενοι τοὺς Ἰδουμαίους ἀπέσφαττον, οἱ τοῖς ἐξ Ἰσραὴλ συνεισβεβληκότες, καὶ συνεπιτιθέμενοι τῶν ἑτερογενῶν, ὡς ὀλίγους παντελῶς, ἢ μηδένα τὸ παράπαν ἰσχύσαι διαφυγεῖν. Ἐπιτωθάζει δὴ οὖν ὁ λόγος αὐτοῖς, καὶ οἱονεί πως κατειρωνεύεται, καί φησιν· Εἰ λῃστρικῆς ἐφόδου πεπείρασο, καί σοι τὰ κλεπτῶν ἐπεφοίτησε γένη, οὐκ ἂν ἤρκεσαν τῷ λαβεῖν, ἅπερ ἦν εἰκὸς ἀρκέσειν αὐτοῖς; Εἰ δὲ ἔτι καὶ ἀμπέλου δίκην ἀπετρύγων τινὲς, οὐκ ἂν διέλαθεν ἡ ἐπιφυλλὶς καίτοι περιεργότατον ὄντα λίαν τῶν ἀποτρυγᾶν εἰωθότων τὸν ὀφθαλμόν; Ἀλλ' ἦν ἀνάγκη τοῦτο παθεῖν καὶ οὐχ ἑκοῦσιν αὐτοῖς, ὅτι τοῖς μὲν κλέπτουσιν ἀεὶ τὸ δεῖμα παρεγγυᾷ τὴν φυγὴν, καὶ τὸ οἴχεσθαι λαθόντας, εἴ τι τῶν ἑτοίμων ἁρπάσειαν, ἀποχρῶν εἶναι δοκεῖ πρὸς θυμηδίαν αὐτοῖς. Τοῖς γε μὴν τρυγῶσιν ἐμποδὼν ἀεὶ πρὸς ἐρεύνας ἡ φυλλὰς μὴ παραιρουμένη, καὶ ὑποκλέπτουσα τὸ λαθεῖν δυνάμενον. Ἀλλὰ σοὶ, φησὶν, ὦ Ἡσαῦ, τουτέστιν, ὁ ἐξ αἵματος τοῦ Ἡσαῦ, Ἰδουμαῖε, τὰ χείρω παθεῖν συμβέβηκε. Κατελήφθησαν γὰρ τὰ κεκρυμμένα, καὶ διέλαθε μὲν οὐδείς, ἀνόνητος δὲ καὶ ἡ φυγὴ, καὶ αὐτὴ τῶν τόπων ἡ δυσχωρία.

VERS. 7-11. *Usque ad terminos tuos emiserunt te. Omnes viri testamenti tui restiterunt tibi. Prævaluerunt adversum te viri pacifici tui, posuerunt insidias subter te, non est sapientia* 358 *in eo. In die illa, dicit Dominus, perdam sapientes ex Idumæa, et intelligentiam de monte Esau. Et pavebunt bellatores tui ex Thæman, ut auferatur homo de monte Esau super interfectionem, et impietatem contra fratrem tuum Jacob. Operiet te confusio, et auferetur in æternum. Ex quo die restitisti contra in die captivantium alienigenarum fortitudinem ejus, et alieni ingressi sunt in portas ejus, et super Jerusalem miserunt sortes, et tu eras quasi unus ex eis.*

Ἕως τῶν ὁρίων σου ἐξαπέστειλάν σε. Πάντες οἱ ἄνδρες τῆς διαθήκης σου ἀντέστησάν σοι. Ἠδυνάσθησαν πρὸς σὲ ἄνδρες εἰρηνικοί σου, ἔθηκαν ἔνεδρα ὑποκάτω σου, οὐκ ἔστι σύνεσις ἐν αὐτοῖς. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, ἀπολῶ σοφοὺς ἐκ τῆς Ἰδουμαίας, καὶ σύνεσιν ἐξ ὄρους Ἡσαῦ. Καὶ πτοηθήσονται οἱ μαχηταί σου, οἱ ἐκ Θαιμάν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἡσαῦ, διὰ τὴν σφαγὴν, καὶ τὴν ἀσέβειαν κατ' ἀδελφοῦ σοῦ Ἰακώβ. Καλύψει σε αἰσχύνη, καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα. Ἀφ' ἧς ἡμέρας ἀντέστης ἐξεναντίας ἐν ἡμέραις αἰχμαλωτευόντων ἀλλογενῶν δύναμιν αὐτοῦ, καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ, καὶ ἐπὶ Ἰερουσαλὴμ ἔβαλον κλήρους, καὶ σὺ ἦς ὡς εἷς ἐξ αὐτῶν.

V. Cum Esauitæ Israelitas templum construentes et sanctam civitatem instaurantes prohibere statuissent, cum vicinis gentibus pacis et concordiæ foedus inierunt, ut jam docuimus. Postquam autem regionem ipsorum ab Israelitis expeditione subigi contigit, tum quondam germani amici, et conjurati, et commilitones ipsorum infestiores reliquis omnibus in illos pugnando, vastandoque se exhibuerunt. Bellum igitur, inquit, « usque ad fines misit te, » non in partes regionis tuæ prorumpens, sed totam vi et armis subigens, et usque ad terminos ipsos in solitudine redigens. Restiterunt autem tibi, et pugnaverunt contra te, inquit, quos utique pro spe tua valde consentaneum erat etiam patientem te miserari. « Sed posuerunt subter te insidias, » a quibus salutem exspectabas. In illo autem, « Et non est intelligentia in ipsis, » sapientes et intelligentes

Ε'. Ὅτε κωλύειν ἤθελον τοὺς ἐξ Ἰσραὴλ οἰκοδομοῦντας τὸν ναὸν καὶ τὴν ἁγίαν πόλιν ἀνατειχίζοντας, οἱ ἐξ αἵματος Ἡσαῦ, ὁμοψυχίας συνθήκας πρὸς τοὺς περιοίκους τῶν ἐθνῶν ἐποιήσαντο, καθάπερ εἴπομεν ἤδη. Ἐπειδὴ δὲ συμβέβηκεν ἁλῶναι τὴν χώραν αὐτῶν καταστρατευόντων τῶν ἐξ Ἰσραὴλ, τότε καὶ οἱ πάλαι γνήσιοι, καὶ συνωμόται, καὶ συνασπισταὶ τῶν ἄλλων ἁπάντων γεγόνασι φορτικώτερα καταδηοῦντες δὴ, καὶ μαχόμενοι. Ὁ πόλεμος τοίνυν, φησὶν, « ἕως τῶν ὁρίων σου ἐξαπέστειλέ σε, » οὐ μέρη τῆς σῆς ἐπεισπηδήσας χώρας, ἀλλ' ὅλην ἐλὼν κατακράτος, καὶ μέχρις ὅρων αὐτῶν ἀγαγὼν εἰς ἐρήμωσιν. Ἀντέστησαν δὲ, καὶ πεπολεμήκασι πρὸς σὲ, φησὶν, οὓς ἦν τάχα που καὶ λίαν εἰκὸς, κατά γε τὴν σὴν ἐλπίδα, καὶ ἐπαμύνεσθαι πεπονθότι σοι. « Ἀλλ' ἔθησαν ἔνεδρα ὑποκάτω σου, » παρ' ὧν σωζεσθαι προσεδόκησας. Ἐν δὲ τῷ, « Οὐκ ἔστι σύνεσις

Digitized by Google

ἐν αὐτῷ, » σοφοὺς τε καὶ συνετοὺς ὀνομάζει τοὺς ψευδομάντεις, καὶ βωμολόχους, τοὺς ἀπατεῶνας καὶ οἰωνοσκόπους καὶ τοὺς τῶν ἄστρων ψευδῆ μυθήρια, καταχέοντας, οἵτινες εἰς τοῦτο ληρωδίας ἦκουσιν, ὡς ἐντεῦθεν δύνασθαι καὶ τὴν τῶν ἐσομένων γνῶσιν ἑλεῖν φληνάφως ὑπονοεῖν. Ἀνεπτόηντο δὲ πρὸς τοῦτο λίαν οἱ ταῖς τῶν εἰδώλων λατρείαις ἐμβεβηκότες. Τοῦτο κατὰ τῶν ἄλλων καὶ αὐτοὶ ἠρώτηκότες οἱ Ἰδουμαῖοι, μέλλοντος ἤδη τοῦ πολέμου περιαγγέλλεσθαι, κατεσκέπτοντο μὲν τῶν ἐκβησομένων τὸ πέρας, συναγείροντες δὲ τοὺς ἔν γε δὴ τούτοις σοφοὺς, ἀπαγγέλλειν ἐκέλευον, ὅποι ποτὲ ἄρα βαδιεῖτε αὐτοῖς τὰ τοῦ πολέμου. Οἱ δὲ, κατὰ τὸ εἰκὸς, κατεμαντεύοντο αὐτοῖς τὸ νικᾶν, ἀλλ' ἥλωσαν, καὶ διαπεπτώκασι διαμαρτανούσης αὐτοῖς τῆς τέχνης. Ἠλέγχοντο δὲ καὶ ἀσύνετοι, παντελῶς ψευδοποιοῦντες οἱ δεῖλαιοι. Ὅτι δὲ καίτοι πάλαι θρασεῖς ὄντες οἱ ἐκ Θαιμὰν, αὐτοὶ δὴ πάλιν οἱ Ἰδουμαῖοι ἀνανδροι ἔσονται, καὶ περιδεεῖς, κατεσήμηνε, προσθεὶς, ὅτι « Πτοηθήσονται οἱ μαχηταί σου οἱ ἐκ Θαιμὰν, ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους Ἡσαῦ, » τουτέστιν, ἄχρις ἂν ἀπόλοιτο μέχρι καὶ ἑνὸς τῶν ἐκ τῆς Ἰδουμαίας. Καθίστησιν οὖν ἐναργῆ τὴν αἰτίαν τῆς ἐπενηνεγμένης συμφορᾶς ἐν τῷ διὰ τὴν σφαγὴν, καὶ τὴν ἀσέβειαν τὴν εἰς τὸν ἀδελφόν σου. Ἐπειδὴ γὰρ ἀνῄρηκας, φησὶ, τὸν ἐξ αἵματος ἐγγὺς κατὰ ἀγχιστείαν, τουτέστι, τὸν Ἰακὼβ, ἤτοι τοὺς ἐξ Ἰακὼβ, δαπανηθήσῃ πολέμῳ, καὶ εἰσάπαν ἔσῃ κατεφθαρμένος, αἰσχύνης τε ἔμπλεως, καὶ ἐντροπῆς. Ὅτι δὲ καὶ ἀναπόδλητον ἔξουσι τὸ συμβεβηκὸς, καὶ ταῖς οὕτω δειναῖς ἐναπομενοῦσι συμφοραῖς, διαμεμήνυκεν εἰπών· « Καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα. » Ἐν δὲ τῷ, « ἀφ' ἧς ἡμέρας, » ὑπομιμνήσκει τοῦ καιροῦ, καθ' ἣν τῶν Βαβυλωνίων ἥρηκότων τὴν Ἰουδαίαν, καὶ διαρπαζόντων τὰ ἐν αὐτῇ, καὶ κύκλῳ μαχούντων τὰ ἐκ τῆς Ἱερουσαλὴμ συναγηγερμένα, αὐτοὶ τοὺς φεύγοντας λοχῶντες ἀπέσφαττον, καὶ οἱονεὶ συνειργάζοντο τοῖς ἀλλογενέσι, καίτοι τοὺς ἐξ Ἰακὼβ ἀποφέρουσι εἰς αἰχμαλωσίαν. Ἤλωσαν δὴ οὖν ταῖς τῶν ἀδελφῶν συμφοραῖς ἐπιθρώσκοντες, καὶ ὀλίγα τοῖς Βαβυλωνίοις παραχωροῦντες εἰς ἀγριότητα.

A appellat falsos vates, et assentatores, impostores, et augures, et ex astris fabellas disseminantes, qui eo nugacitatis deveniunt, ut inde etiam futurorum notitiam capi posse stolide arbitrentur. Quibus rebus idolorum cultibus impliciti magnopere perterrebantur. Hoc morbo præter alios etiam ipsi Idumæi affecti, cum inibi esset ut bellum circumquaque denuntiaretur, exitum circumspiciebant illi quidem, congregantes autem harum rerum peritos, quo pacto bellum ipsi eventurum esset, referre jubebant. Illi, ut par erat, victoriam ipsis vaticinabantur. Sed deprehensi sunt mendaces, et arte ipsos fallente a vero aberrarunt, convictique sunt intelligentia carere, plane falsum prolocuti miseri. Thæmanitas porro eosdemque Idumæos, quanquam olim audaces, B imbelles, et meticulosos futuros declaravit, addens: **359** « Pavebunt bellatores tui ex Thæman, ut auferatur homo de monte Esau, » hoc est, donec disperdantur Idumæi usque ad unum. Causam igitur illatæ calamitatis minime dubiam constituit in cæde, et impietate erga fratrem ejus. Ex quo enim consanguinitate propinquum, hoc est, Jacob, sive posteros Jacob interfecisti, bello consumeris, et funditus peribis, ignominiæ et dedecoris plenus. Inevitabilem autem casum subituros et eladibus adeo horribilibus oppressum iri monuit his verbis: « Et auferetis in æternum. » Illud vero, « ex quo die, » submonet temporis quo, cum Babylonii Judæam subjugarent, eamque depopularentur, et Hierosolymam congregatos obsidione cingerent, ipsi fugientes insidiis exceptos occidebant, et alienigenis, quanquam progeniem C Jacob in servitutem abducentibus, quasi subserviebant. Comperti sunt igitur fratrum ærumnis insultare, et immanitate Babyloniis parum cedere.

Καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου ἐν ἡμέρᾳ ἀλλοτρίων, καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς Ἰούδα ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν. Καὶ μὴ μεγαλορρημονήσῃς ἐν ἡμέρᾳ θλίψεως, μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν ἐν ἡμέρᾳ πόνων αὐτῶν. Καὶ μὴ D *ἐπίδῃς καὶ σὺ συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν, μηδὲ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν. Μηδὲ ἐπιστῇς ἐπὶ τὰς διεκβολὰς αὐτῶν, τοῦ ἐξολοθρεῦσαι τοὺς διασωζομένους ἐξ αὐτῶν. Μηδὲ συγκλείσῃς τοὺς φεύγοντας ἐξ αὐτῶν ἐν ἡμέρᾳ θλίψεως.*

VERS. 12-14. *Et ne despicias diem fratris tui in die alienorum, neve lætaris super filios Juda in die perditionis ipsorum. Et ne magna loquare in die angustiæ eorum, neque ingrediaris in portas populorum in die laborum eorum. Et ne despicias et tu congregationem eorum in die perditionis eorum, neque apponeris ad fortitudinem eorum in die perditionis eorum. Neque stabis in egressibus eorum, ut perdas, qui salvantur ex eis. Neque concludes fugientes ex eis in die tribulationis.*

Ϛ'. Ἀπαριθμεῖται δὴ πάλιν τὰ τῶν Ἰουδαίων ἐγκλήματα, σκληροὺς καὶ ἀφιλοικτίρμονας γεγονότας δεικνύων. Ἐσχημάτισται δὲ ὁ λόγος, οἱονεὶ πληττομένοις τε ἤδη, καὶ αἰκιζομένοις ἐπιφωνοῦντος Θεοῦ, καὶ τὸν τῆς ἁμαρτίας τρόπον κατονειδίζοντος. Τὸ δὲ *ἐπιδεῖν* ἐστι τὸ ἐπιγελᾶσαί τε καὶ ἐφησθῆναι κάμνουσιν ἀδελφοῖς, καὶ θυμηδίας ἀφορμὴν τὰς τῶν ἑτέρων ποιεῖσθαι συμφορὰς, καίτοι τῆς θείας λεγούσης Γραφῆς, μὴ δεῖν ὅλως ἐπιμειδιᾷν τοῖς κάμνου-

VI. Idumæorum sce.era iterato recenset, eosque sævos, et ab omni sensu misericordiæ remotos ostendit. Ita porro formata est oratio, quasi Deus jam ferientibus et indigna designantibus acclamet, et genus peccati exprobret. Illud *ἐπιδεῖν* positum est pro ἐπιγελᾶσαι, καὶ ἐφησθῆναι κάμνουσιν ἀδελφοῖς, « super fratribus afflictis ridere, et lætari, » et calamitates aliorum voluptatis suæ materiam argumentumque facere, cum Scriptura calamitosos irrideri serio

Digitized by Google

vetet [16]. Verbis illis, « Et ne læteris super, » et quæ sequuntur, iterum Idumæorum crimina ponuntur, eorumque inhumanitas et immanitas, eaque erga fratres, declaratur. Ne enim, inquit, quemadmodum Assyrii, tu quoque juxta portas **360** festines neutiquam opem et auxilium ceu fratribus apportans, sed devastaturus illos potius. Ne per contemptum Synagogam, seu congregationem interire patiare: neque jam antea graviter pressos malis, tu magis oneres. Ne fugientibus esto laqueus, exitus custodiens, et tendiculas instruens, ut ob vacuitatem amoris tui, nemo saluti consulere queat, etiamsi hostilem gladium evaserit. Ubique sermo propheticus Idumæorum inhumanitatem accusat, ut vicissim divinum judicium, jure talium scelerum reis ad pœnam vocatis, sanctum, et nulli reprehensioni affine appareat.

VERS. 15-17. *Quia juxta dies Domini super omnes gentes. Sicut fecisti, sic erit tibi. Retributio tua reddetur in caput tuum. Quia quemadmodum bibisti super montem sanctum meum, bibent omnes gentes vinum. Bibent, et descendent, et erunt sicut non existentes. In monte autem Sion erit salus, et erit sanctum.*

VII. Denuo tempus belli prædicit quo cum Idumæis consociatæ gentes finitimæ in valle Josaphat acerbas dabunt pœnas. Ipsam vero diem vocat Domini : Deus quippe erat, qui Israelitis in eos sceleratos et injuriosos tradidit. Justo autem judicio supplicium luituros affirmat, cum dicit : « Sicut fecisti, sic erit tibi. » Natura enim ita comparatum est, ut par quisque recipiat, et æqualis omnino merces rependatur iis quæ ab unoquoque commissa fuerint. Illis verbis, « quemadmodum bibisti, » indicatur, ut puto, mos victorum, qui de victis insolenter gloriabantur, festos dies cum compotationibus agebant, atque etiam voces lætas de parta victoria jactabant, et ut ebrii se gerebant. Sicut ergo irrisisti, inquit, et Israelitis insultasti bibens et choros ducens, et fratrum calamitates festæ celebritatis occasionem faciens, ita bibent et insultabunt tibi omnes gentes, « et descendent contra te, » hoc est, regionem tuam incursabunt. Tu autem reputaberis in iis quæ non sunt. Sic enim peribis, ut deinceps ne exstitisse quidem unquam videaris. Montem Sion autem divinitus inspirata Scriptura Ecclesiam nominat. Vere enim excelsa et speculatrix est. Præterea sancta, siquidem domus et urbs Dei sanctissimi est.

VERS. 18, 19. **361** *Et possidebit domus Jacob eos qui possederunt se. Et erit domus Jacob ignis, et domus Joseph flamma, et domus Esau in stipulam; et succendentur in eos, et devorabunt eos. Et non erit ignifer domui Esau, quia Dominus*

[16] Eccli. VII, 12.

σιν. Ἐν δὲ τῷ, « Μὴ ἐπιχαρῇς δὲ, » καὶ τοῖς λοιποῖς ἀπαριθμεῖ δὴ πάλιν τὰ τοῦ Ἰδουμαίου ἐγκλήματα σκληρὸν καὶ ἀφιλοικτίρμονα γεγονότα δεικνύων, καὶ τοῦτο εἰς ἀδελφούς. Μὴ γὰρ δὴ, φησὶν, ἐν ἴσῳ τοῖς Ἀσσυρίοις εἶσω καὶ αὐτὸς ἐπείγου πυλῶν, οὐ χεῖρα τὴν ἐπαμύνουσαν εἰσφέρων, ὡς ἀδελφοῖς, καταδηώσων δὲ μᾶλλον. Μὴ ἐπίδῃς Συναγωγὴν ἀθλίως ὀλοθρευομένην· μήτε μὴν ἐπιφορτίσῃς τοῖς πρὸ σοῦ σφόδρα κατηχθημένοις. Μήτε μὴν τοῖς φεύγουσιν ἴσο πάγη, τηρῶν τὰς διαβολὰς, καὶ βρόχους ἱστὰς, ὡς ἂν μηδεὶς ἀνασώζοιτο ταῖς σαῖς ἐναλοὺς ἀφιλοστοργίαις, κἂν εἰ τὸ τῶν δυσμενῶν διαδράσῃ ξίφος. Πανταχῇ δὲ ὁ λόγος τῆς Ἰδουμαίων ἀπανθρωπίας κατηγορεῖ, ἵνα δὴ πάλιν ὅσιόν τε καὶ ἀνεπίληπτον τὸ θεῖον ὁρῷτο κρίμα, κολαζομένων ἐν δίκῃ τῶν ἐκεῖνα πεπλημμεληκότων.

Διότι ἐγγὺς ἡμέρα Κυρίου ἐπὶ πάντα τὰ ἔθνη. Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι. Τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται ἐπὶ κεφαλήν σου. Διότι ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, πίονται πάντα τὰ ἔθνη οἶνον. Πίονται, καὶ καταβήσονται, καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες. Ἐν δὲ τῷ ὄρει Σιὼν ἔσται ἡ σωτηρία, καὶ ἔσται ἅγιον.

Ζ'. Προαναφωνεῖ πάλιν τὸν τοῦ πολέμου καιρὸν, καθ' ὃν ἐν κοιλάδι τῇ τοῦ Ἰωσαφὰτ συναγηγερμένα τοῖς Ἰδουμαίοις ὁμοῦ τὰ πρόσοικα τῶν ἐθνῶν πικρὰς ἐξήτηνται δίκας. Ἡμέραν δὲ αὐτὴν ὀνομάζει Κυρίου. Θεὸς γὰρ ἦν ὁ παραδιδοὺς τοῖς ἐξ Ἰσραὴλ τοὺς ἀνοσίως ἠδικηκότας. Ὅτι δὲ ὁσίῳ κρίματι κολασθήσονται, διατρανοῖ λέγων· « Ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι. » Ταλανεύει γὰρ ἑκάστου φύσις τὰ ἑκάστου πταίσματα, καὶ ἰσοπαλῆ πάντως ἀντεπάγει τὴν δίκην, οἷς ἂν ἕκαστος ἁλοῖτο πεπλημμεληκώς. Ἐν δὲ τῷ, « ὃν τρόπον ἔπιες, » ἔθος που τάχα τοῖς κρατήσασι τῶν ἐχθρῶν, καταλαζονεύεσθαι μὲν τῶν κεκρατημένων, ἑορτὰς δὲ καὶ πότους ἐπιτελεῖν, καὶ δὴ καὶ ἐπινικίους καταλαλάζειν φωνὰς καὶ τὰ μέθης ἔργα πληροῦν. Ὡς οὖν ἐπετώθασας, φησὶ, καὶ κατεσκίρτησας τῶν ἐξ Ἰσραὴλ, πίνων τε καὶ κατορχούμενος, καὶ πανηγύρεως ἀφορμὴν τὰς τῶν ἀδελφῶν ποιούμενος συμφορὰς, οὕτω πίονται καὶ κατορχήσονταί σου πάντα τὰ ἔθνη· « καὶ καταβήσονται μὲν κατὰ σοῦ, » τουτέστι, τῆς σῆς καταβραμοῦνται χώρας. Καταλογισθήσῃ δὲ αὐτὸς ἐν τοῖς οὐχ ὑπάρχουσιν. Ὀλοθρευθήσῃ γὰρ οὕτως, ὡς δοκεῖν ἤδη πως μηδ' ὑπάρξαι ποτέ. Ὄρος δὲ Σιὼν τὴν Ἐκκλησίαν ἡ θεόπνευστος ὀνομάζει Γραφή· ὑψηλὴ γὰρ ὄντως, καὶ σκοπεύτρια ἀληθῶς. Ἅγια δὲ πρὸς τούτοις, εἴπερ ἐστὶν οἶκός τε καὶ πόλις τοῦ ὑπεραγίου Θεοῦ.

Καὶ κατακληρονομήσουσιν ὁ οἶκος Ἰακὼβ τοὺς κληρονομήσαντας αὐτούς. Καὶ ἔσται ὁ οἶκος Ἰακὼβ πῦρ, καὶ ὁ οἶκος Ἰωσὴφ φλὸξ· ὁ δὲ οἶκος Ἡσαῦ εἰς καλάμην· καὶ ἐκκαυθήσονται εἰς αὐτοὺς, καὶ καταφάγονται αὐτούς. Καὶ οὐκ ἔσται

Digitized by Google

πυρφόρος τῷ οἴκῳ Ἡσαῦ, ὅτι Κύριος ἐλάλησεν. Καὶ κατακληρονομήσουσιν οἱ ἐν Ἀγὲβ τὸ ὄρος τὸ Ἡσαῦ, καὶ οἱ ἐν τῇ Σεφηλᾷ τοὺς ἀλλοφύλους. Καὶ κατακληρονομήσουσιν τὸ ὄρος τὸ Ἐφραΐμ, καὶ τὸ πεδίον Σαμαρείας, καὶ τὴν Βενιαμίν, καὶ τὴν Γαλααδίτιν.

A *locutus est. Et possidebunt qui in austro montem Esau, et qui in campestri alienigenos. Et possidebunt montem Ephraim, et campum Samariæ, et Benjamin, et Galaad.*

Η'. Ἔφθη μὲν ἀπόπληκτος Ἰδουμαῖος κλῆρον ἕξειν τὸν οἶκον Ἰακώβ, τουτέστι, τοὺς ἐκ σπέρματος Ἰακὼβ, καὶ δὴ καὶ κατεμερίζετο τὴν γῆν, συγκατασβήσας αὐτήν. Ἀλλ' ἔσται, φησὶ, τὸ χρῆμα αὐτοῖς ἀδοκήτως ἀντεστραμμένον. Κλῆρος γὰρ ἔσονται τῶν ἐξ Ἰακώβ· δαπανηθήσονται δὲ οὕτως, ὡς ἂν ἐκ φλογὸς καλάμη. Ἔσται γὰρ πῦρ ὁ οἶκος Ἰακὼβ, φλογὸς δὲ δυνάμεσι παραχωρήσειεν ἂν οὐδεμιᾶς ὁ οἶκος Ἰωσήφ. Καταβρωθήσονται δὴ οὖν εἰσάπαν, ὡς ἕνα πυρφόρον μὴ ἂν εὑρεῖν δύνασθαί τινας ἐξ ὁλοκλήρου φυλῆς, ἢ ἔθνους. Ἔοικε δὲ ὁ λόγος ἀκολούθως τῇ τροπῇ « πυρφόρον » εἰπεῖν, πῦρ γὰρ ὠνόμασε τὸν οἶκον Ἰακὼβ, φλόγα δὲ τὸν Ἰωσήφ. Καὶ οἶκος μὲν Ἰακὼβ νοεῖτ' ἂν εἰκότως, οἱ ἐξ Ἰούδα, καὶ Βενιαμίν, οἶκοί γε μὴν Ἰωσὴφ οἱ ἐν τῇ Σαμαρείᾳ, τουτέστιν, αἱ δέκα φυλαὶ, ὧν οἱ βασιλεῖς ἐκ τῶν Ἐφραΐμ γεγόνασι κατὰ καιροὺς, Μανασσῆς δὲ καὶ Ἐφραΐμ ἦστην ἐξ Ἰωσήφ. Ἐν δὲ τῷ « κατακληρονομήσουσιν οἱ ἐν Ἀγὲβ, » [τοῦτο σημαίνεται]. Ὅτε τὴν ἐνεγκοῦσαν ἀφέντες κατὰ τῶν Ἱεροσολύμων ἦεσαν οἱ Βαβυλώνιοι, κατεξαναστάντος αὐτοῖς εἰς μάχην τοῦ Ναβουχοδονόσορ, συμβέβηκεν ἀναγκαίως ἅπασαν μὲν τὴν τῶν Ἰουδαίων καταδηωθῆναι χώραν, ἐνεχθῆναι δὲ λοιπὸν εἰς τοῦτο ταλαιπωρίας, ὡς εἰς ἐρήμωσιν καταστῆναι παντελῆ, καὶ τῶν ἐνοικούντων ὁρᾶσθαι γυμνήν. Ἐπειδὴ δὲ Θεοῦ κατοικτείροντος, καὶ τῶν τῆς αἰχμαλωσίας ἀνιέντος βρόχων, ἀνεκομίσθησαν πάλιν εἰς τὴν ἑαυτῶν, τοσοῦτον αὐτοὺς κατευρυνθήσεσθαι λέγει, καὶ εἰς πολύανδρον πληθὺν ἐπιδοῦναι, ὡς καὶ τὰς τῶν ὁμόρων ἐθνῶν κατανεμηθῆναι χώρας, στενοχωρουμένης κατὰ τὸ εἰκὸς τῆς Ἰδουμαίας. Εὐλογίας δὲ τοῦτο τῆς παρὰ Θεοῦ σημεῖον ἂν γένοιτο μάλα σαφές. « Οἱ γὰρ ἐν τῇ Ἀγὲβ, » φησὶ, τουτέστιν, οἱ πρὸς νότον, νότος γὰρ ἡ Ἀγὲβ ἑρμηνεύεται, « κληρον ποιήσονται τὸ ὄρος τὸ Ἡσαῦ, » τουτέστι, τὴν Ἰδουμαίαν. Νοτίαν γὰρ οὖσαν αὐτὴν, κατανεμήσονται πάντως ὡς γείτονα, καὶ ὅμορον οἱ τὰ νότια τῆς Ἰουδαίας κατῳκηκότες. « Οἱ δὲ ἐν τῇ Σεφηλᾷ, » τουτέστιν, οἱ ἐν τῇ πεδινῇ· μοῖρα δὲ καὶ αὕτη τῆς Ἰουδαίων χώρας βορειοτέρα που πάντως, « κληρονομήσουσι τοὺς ἀλλοφύλους. » Λέγει δὲ τοὺς Φιλιστιεὶμ, ἤτοι Παλαιστηνούς. Καθέξουσι δὲ οὐδὲν ἧττον τὸ ὄρος τοῦ Ἐφραΐμ, τὴν Σαμάρειαν, τὴν Βενιαμὶν, τὴν Γαλααδίτιν. Κλῆροι δὲ οὗτοι ταῖς τοῦ Ἰσραὴλ φυλαῖς ἐννεμηθέντες κατὰ καιροὺς, στρατηγοῦντος Ἰησοῦ τοῦ μετὰ Μωσέα. Ἐπειδὴ δὲ ἠρήμωνται διὰ χειρὸς Ἀσσυρίων καὶ πρὶν ἀφικέσθαι τὸν Ναβουχοδονόσορ, ὑπὸ τῶν Φούα καὶ Σαλμανασὰρ βασιλέων, ταύτητοι καὶ αὐτὰς κατοικηθήσεσθαι λέγει καὶ τὴν πάλαι συμβᾶσαν διαφυγεῖν ἐρημίαν.

VIII. Ratus est insipiens Idumæus possessurum se domum Jacob, hoc est progeniem Jacob : quin etiam partiebatur terram cum eam una cum Chaldæis vastasset. Verum res illis improviso in contrarium convertetur, inquit. Possidebuntur siquidem a domo Jacob, et ita consumentur, ut a flamma calamus, seu stipula. Erit namque ignis domus Jacob, domus autem Joseph nullius flammæ viribus cedet. Penitus itaque devorabuntur, ut in tota tribu, sive gente, ignifer B unus inveniri nequeat. Videtur autem apposite ad hunc tropum « ignifer » appellari ; domum enim Jacob ignem, domum Joseph flammam nominavit. Ac domus quidem Jacob non absurde, qui sunt ex Juda et Benjamin intelligi possint ; domus vero Joseph Samaritæ, hoc est, decem tribus quarum reges aliquando Ephraimitæ fuerunt; Manasses autem et Ephraim ex Joseph nati sunt. In illo, « et possidebunt qui in austro, » hoc significatur : Quando Babylonii, patria sua relicta, Hierosolyma invadebant, insurgente in prælium adversus eos Nabuchodonosor, universam provinciam Judæorum vastari oportuit, eoque miseriarum devolvi, ut ad perfectam solitudinem redigeretur et ab incolis C deserta appareret. Ubi autem Deus miseratus captivitatis laqueos dissolverit, et in patriam redierint, adeo ipsos dilatatum iri dicit, et in tantam multitudinem evasuros, ut vicinarum quoque gentium regiones possideant, nimis angusta, ut par est, Idumæa. Cujus benedictionis a Deo signum minime dubium fuerit. « Qui enim in Ageb, » inquit (hoc est, qui ad austrum : Ageb quippe hoc sonat), « possidebunt montem Esau, » hoc est, Idumæam. Cum namque australis **362** sit, omnino ut vicinam et confinem possidebunt qui australem Judææ partem habitabunt. « Qui autem in Sephela, » hoc est, in campestri, quæ et ipsa Judææ pars est, magis ad aquilonem pertinens, « alienigenas possidebunt. » Quo verbo Philistiim, sive Palæstinos, in- D dicat. Nihilominus montem Ephraim, Samariam et Benjamin, et Galaaditin obtinebunt, quæ olim tribubus Israeliticis in sortem distributæ fuerunt, cum Josue, successor Moysis illarum dux esset. Postquam autem per Assyrios etiam ante adventum Nabuchodonosoris devastati fuerunt, a Phua et Salmanasar regibus videlicet, idcirco ipsas quoque inhabitatum iri et veterem solitudinem effugituras prænuntiat.

Καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη τοῖς υἱοῖς Ἰσραὴλ, γῆ τῶν Χαναναίων ἕως Σαρεπτῶν, καὶ μετοικεσία Ἱερουσαλὴμ ἕως Ἐφραθά. Καὶ κλη-

Vers. 20, 21. *Et transmigrationis principatus iste filiis Israel, terra Chananæorum usque ad Sarepta, et transmigratio Jerusalem usque ad Ephrata.*

Digitized by Google

Et possidebit civitates ad austrum. Et ascendent salvi ex monte Sion, ut puniant montem Esau, et erit Domino regnum.

IX. Transmigrationem hoc loco Israelitas nominat, id est, ex tota Judæa in Babylonem traductos. Principatum autem eorum fore ait, sortem ac possessionem sub manu et potestate ipsorum futuram; velut si quis principatum alicujus et imperium sub ipso principe et imperantis esse dicat. Erit igitur, inquit, quondam translatis principatus et sors terra Chananæorum. Intelligit autem Arabiam, « et usque Sarepta, » quæ est Sidoniæ, ut per hoc Phœniciam intelligas. Extendetur autem, inquit, « usque Ephratham, » sive, ut alii interpretes ediderunt, « usque ad Bosphorum, » hoc est, ad orientales partes, austrum maxime respicientes. Subjugabunt autem, inquit, sibi et civitates Ageb, hoc est, austri. Quibus verbis India videtur significari. Sunt enim Indi et eorum regiones imprimis australes. Perindeque est ac si dicat forte, omnia quæ ad austrum, quæque ad boream, quæque ad orientem, quæque ad occidentem spectant, eorum plena erunt, et quamvis simpliciter urbem regionemque possidebunt. Illo, « et ascendent viri, » in summam colligit quodammodo prophetiæ scopum. Incolæ enim Sion, inquit, servati a Deo, et qui perruperunt vincula servitutis, olim ascendent, et facient vindictam in nomen Esau. Bellarunt enim, ut dixi, **363** contra Idumæos post tempora captivitatis, et regnavit super eos universitatis Deus, tametsi eos pridem rejecerat, et a Judæa propter apostasiam recesserat. Servierant enim vitulis et búculis aureis. Miseratus deinde et reconciliatus iterum regnavit super eos.

A *ρονομήσουσι τὰς πόλεις τοῦ Ἀγέβ. Καὶ ἀναβήσονται ἀνασωζόμενοι ἐξ ὄρους Σιὼν τοῦ ἐκδικῆσαι τὸ ὄρος τὸ Ἡσαῦ, καὶ ἔσται τῷ Κυρίῳ ἡ βασιλεία.*

Θ'. Μετοικεσίαν ἐνθάδε φησὶ τοὺς ἐκ τῆς Ἱερουσαλὴμ, ἤγουν τῆς Ἰουδαίας ἁπάσης εἰς Βαβυλῶνα μετῳκισμένους. Ἀρχὴν δὲ αὐτῶν ἔσεσθαί φησι τὸν ὑπὸ χεῖρά τε καὶ ἐξουσίαν ἐσόμενον κλῆρον· οἷον ὡς εἴ τις ἐπ' ἄρχοντος λέγει τὴν τοῦ δεῖνος τυχὸν ἀρχήν. Ἔσται τοίνυν, φησὶ, τοῖς πάλαι μετῳκισμένοις ἀρχή τε καὶ κλῆρος ἡ γῆ τῶν Χαναναίων. Φησὶ δὲ τὴν Ἀραβίαν, « καὶ ἕως Σαρεπτῶν, » ἥτις ἐστὶ τῆς Σιδωνίας, ἵνα διὰ τούτου Φοινίκων ἐννοῇς. Παρεκταθήσεται δὲ, φησὶ, « καὶ ἕως Ἐφραθά, » ἤγουν ὡς ἐκδέδοται παρὰ τῶν ἑτέρων ἑρμηνευτῶν, « καὶ μέχρι B Βοσπόρου, » ὅ ἐστι, τὰ νοτιώτατα τῇ ἑῳ μέρη. Ποιήσονται δὲ, φησὶν, ὑφ' αὑτοῖς καὶ τὰς πόλεις τοῦ Ἀγέβ, τουτέστι, τοῦ νότου. Ἔοικε δὲ διὰ τούτων ἡμῖν ὁ λόγος τὰ Ἰνδικὰ κατασημαίνεσθαι. Νοτιώτατοι γὰρ οἱ Ἰνδοὶ, καὶ αἱ τούτων χῶραι. Ὅμοιον δὲ ὡς εἰ λέγοι τυχὸν, πάντα αὐτῶν ἔσται πλήρη, τὰ πρὸς νότον, τὰ πρὸς βορρᾶν, τὰ πρὸς ἕω, τὰ πρὸς δύσιν, καὶ πᾶσαν ἁπλῶς καθέξουσι πόλιν τε καὶ χώραν. Ἐν δὲ τῷ, « καὶ ἀναβήσονται ἄνδρες, » ἀνακεφαλαιοῦται τρόπον τινὰ τῆς προφητείας τὸν σκοπόν. Οἱ γὰρ τῆς Σιὼν οἰκήτορες, φησὶν, ἀνασεσωσμένοι παρὰ Θεοῦ, καὶ τὰ τῆς αἰχμαλωσίας διαῤῥήξαντες δεσμὰ, κατὰ καιροὺς ἀναβήσονται, καὶ ποιήσουσιν ἐκδίκησιν εἰς τὸ ὄνομα τοῦ Ἡσαῦ. Πεπολεμήκασι γὰρ, ὡς ἔφην, πρὸς Ἰδουμαίους μετὰ τοὺς τῆς αἰχμαλωσίας καιροὺς, καὶ βεβασίλευκεν ἐπ' αὐτοὺς ὁ τῶν ὅλων Θεὸς, καίτοι πάλαι τὸ χρῆμα παρωθούμενος, καὶ τῆς Ἰουδαίας ἀποφοιτῶν διὰ τὴν ἀπόστασιν. Λελατρεύκασι γὰρ μόσχοις, καὶ ταῖς δαμάλεσι ταῖς χρυσαῖς. Ἐπειδὴ δὲ κατηλέησεν, εἰσεδέξατο πάλιν, καὶ βεβασίλευκεν ἐπ' αὐτούς.

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΙΩΝΑΝ.

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI,

COMMENTARIUS IN JONAM PROPHETAM.

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Ὁ θεσπέσιος Ἰωνᾶς πατρὸς μὲν ἐξέφυ τοῦ Ἀμαθί, ὥρμητό γε μὴν ἐκ Γὲθ Χιβέρ· πολίχνιον δὲ τοῦτο τῆς Ἰουδαίων γῆς ἤτοι κώμη, κατά γε τὸν εἰκότα λόγον. Ἔοικε δὲ τοὺς τῆς προφητείας πεποιῆσθαι λόγους κατ' ἐκεῖνον τὸν καιρὸν, καθ' ὃν καὶ οἱ πρὸ αὐτοῦ Ὡσηέ τέ φημι καὶ Ἀμὼς, καὶ Μιχαίας, καὶ οἱ λοιποί. Πλεῖστα δὲ ὅσα τοῖς Ἰουδαίων δήμοις κατίδοι τις ἂν αὐτὸν κεχρησμῳδηκότα, καὶ τοὺς ἔνωθεν καὶ παρὰ Θεοῦ διαπορθμεύσαντα λόγους, καὶ τὰ ἐσόμενα σαφῶς προαπηγγελκότα. Ἔγγραφος μὲν οὖν τῆς παρ' αὐτοῦ προφητείας λόγος ἕτερος οὐδεὶς παρὰ τοῦτόν ἐστιν. Ὅτι δὲ διατετέλεκε ταῖς Ἰουδαίων ἀγέλαις τὰ κατὰ καιροὺς ἐσόμενα προαναφωνῶν, μεμαρτύρηκεν ἡ θεόπνευστος Γραφή. Ἐν γὰρ τῇ τετάρτῃ τῶν Βασιλειῶν ποιεῖται μὲν τοὺς λόγους τὸ Γράμμα τὸ ἱερὸν περὶ τοῦ Ἱεροβοὰμ, οὐχὶ δὴ τοῦ πρώτου, καὶ ἐν ἀρχῇ, ὃς ἦν τοῦ Ναβὰτ, « ὃς καὶ ἐξήμαρτε τὸν Ἰσραὴλ, » καθὰ γέγραπται, δαμάλεσι δηλονότι ταῖς χρυσαῖς προσκυνεῖν ἀναπείσας· ἀλλ' ἑτέρου πάλιν Ἱεροβοὰμ μετὰ πολλοὺς γεγονότος, ὃς ἦν τοῦ Ἰωάς. Τίνα δὲ προανήγγειλεν ὁ Ἰωνᾶς, ἄκουσον· « Οὗτος ἀπέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Αἰμὰθ, ἕως τῆς θαλάσσης τῆς Ἀραβᾶ, κατὰ τὸ ῥῆμα Κυρίου Θεοῦ Ἰσραὴλ, ὃ ἐλάλησεν ἐν χειρὶ Ἰωνᾶ, ὅτι ἀπεῖδε Κύριος ἐπὶ τὴν ταπείνωσιν Ἰσραὴλ, καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς Ἱεροβοὰμ, » τουτέστι, διὰ χειρός· Ἱεροβοὰμ γὰρ ὁ τοῦ Ἰωνᾶς πεπολέμηκε πρὸς τοὺς ἀλλοφύλους, καὶ πόλεις διηρπασμένας τῆς Ἰουδαίων γῆς ὑφ' ἑαυτὸν πεποίηται πάλιν, καὶ βεβοήθηκεν οὐ

A

364 PROŒMIUM.

I. Divinus Jonas patre quidem natus est Amathi, oriundus autem ex Geth in Chopher, quod fuit oppidulum Judææ, seu vicus, ut fertur, et est credibile. Videtur autem munere vaticinandi functus eo tempore, quo et antecessores ejus, Oseas, inquam, Amos, Michæas, et cæteri. Et scire licet plurima sane oracula edidisse Judæorum tribubus, cœlestesque ac Dei voces sæpius apportasse, et futura sane prænuntiasse, quanquam scriptus ejus prophetiæ sermo præter hunc nullus exstat. Perrexisse autem populis Judæis aliquando eventura prædicere, divina Scriptura testatur. Nam in quarto Regum sacræ Litteræ verba faciunt de Jeroboam rege, non de primo illo, quique fuit a principio, filio Nabat, « qui peccare fecit Israel [17], » ut

B

365 scriptum est, cum nimirum eidem persuasit ut vitulos aureos adoraret; sed de altero ei cognomine, qui post multos demum regnavit. Quæ autem eventura cecinerit Jonas, audi : « Hic restituit terminum Israel, ab introitu Æmath usque ad mare solitudinis, juxta verbum Domini Dei Israel, quod locutus est in manu servi sui Jonæ filii Amathi, prophetæ; quia vidit Dominus humilitatem Israel, et salvavit eos in manu Jeroboam [18], » hoc est, per manum Jeroboam ; siquidem filius Joas bellum cum alienigenis gessit, et urbes Judææ ereptas recuperavit, nec mediocriter Israelitis commodavit, Deo protegente, quanquam ad sortem calamitatis omnium acerbissime devoluti essent. Quamobrem

[17] IV Reg. XIII, 11. [18] IV Reg. XIV, 25.

Digitized by Google

quodam tempore et alios Jonæ propheticos fuisse sermones constat. Quæ autem illi contigerunt commode, et provida ratione conscripta sunt. Memorabile certe quomodo scilicet prædicaverit Ninivitis [19], et quæ interim passus sit. Adumbrat autem quodammodo et Salvatoris nostri œconomiæ mysterium, sicut et ipsemet Christus Judæis loquens affirmat. Quare in iis quæ sancto Jonæ acciderunt, Christi mysterium nobis ut imago exprimitur et figuratur. Cæterum illud lectorem monendum duxi. Quando ad spiritualem considerationem sermo informatur, Christi persona quæ repræsentetur proposita et assumpta, prudentem ac peritum necesse est circumspicere, quænam consequenter tanquam ad scopum propositum inutilia, et quæ rursus utilia et necessaria, et majorem in modum auditoribus conducibilia sint. Exemplum sit Moyses ille beatus, qui Deo Israelem commendabat sub monte Sina, eratque sequester, seu mediator Dei atque hominum. Timentes quippe Israelitæ rogabant dicentes : « Loquere, tu, nobis; non loquatur nobis Dominus, ne forte moriamur [20]. » Quam rem conciliationem per Christum futuram typo quodam præmonstrasse ipse Deus et Pater docuit his verbis : « Bene omnia sunt locuti. Prophetam suscitabo eis de fratribus eorum sicut te [21], » mediatorem videlicet, et advocatum generis humani apud Deum, et universis mortalibus Dei Patris ineffabile consilium annuntiantem. « Ponam enim verba mea in ore ejus, et loquar ad eos omnia quæ mandavero ei [22]. » Ad typum igitur Christi gerendum divinus Moyses assumptus est; non tamen omnia Moysis **366** Christo etiam attribuemus, ne quid indecorum facere ac dicere deprehendamur. Confitebatur enim Moyses, se tenui voce et lingua tardiorem, et ad hanc legationem ineptum esse, et alium deligi orabat. Atqui Christus tardus lingua non est, nec voce tenui, sicut ille; sed est ipse magna tuba, quo illum nomine Isaias appellavit. « Et erit : in die illa clangent tuba magna [23]. » Ubique enim annuntiata sunt verba Salvatoris, et audierunt illa quotquot sub sole degunt. Id quod prænoscens David, ait : « Deus deorum Dominus locutus est, et vocavit terram ab ortu solis usque ad occasum [24]. » Mediatorem igitur Moyses ait ut typus Christi, sed in eo quod impeditioris est linguæ, typi rationem non habet. Aaron quoque ad præmonstrandum Emmanuelem delectus est, summi sacerdotii circumdatus ornamentis, et in Sancta sanctorum ingrediens, et stolam illam gloriosam atque admirabilem indutus [25]. Tamen non omnia illius Christo applicabimus. Non enim culpa vacabat penitus. Reprehensus enim aliquando fuit, quando semel cum Maria de Moyse detraxit [26]. Nec alioqui extra crimen erat, cum Israelitis in solitudine vitulum conflasset [27]. Non igitur singula quæ scriptis et typis insunt, ad spirituales consi-

μετρίως τοῖς ἐξ Ἰσραὴλ Θεοῦ προασπίζοντος, καὶ διασώζειν ἐθέλοντος, καίτοι πρὸς λῆξιν ἥκοντας τῆς ἁπασῶν ἐσχάτης ταλαιπωρίας. Οὐκοῦν γεγόνασι μὲν καὶ ἕτεροι προφητείας λόγοι κατὰ καιροὺς τοῦ Ἰωνᾶ, ἀναγέγραπται δὲ τὰ περὶ αὐτοῦ χρησίμως τε καὶ οἰκονομικῶς. Ἀξιάκουστον γὰρ τὸ χρῆμα, τὸ διακηρύξαι φημὶ Νινευίταις, καὶ παθεῖν μεταξύ. Καταγράφει δέ πως ἐν σκιαῖς, καὶ τῆς τοῦ Σωτῆρος ἡμῶν οἰκονομίας τὸ μυστήριον, ὡς αὐτὸς ἔφη Χριστὸς Ἰουδαίοις προσλαλῶν. Οὐκοῦν ἐξεικονίζεται μὲν καὶ διαπλάττεταί πως ἡμῖν ὡς ἔν γε τοῖς κατὰ τὸν θεσπέσιον Ἰωνᾶν τὸ Χριστοῦ μυστήριον. Πλὴν ἐκεῖνο τοῖς ἐντευξομένοις εἰπεῖν οἰήσομαι δεῖν. Ὅτε θεωρίας πνευματικῆς διαμορφοῦται λόγος, προκειμένου προσώπου, καὶ παραληφθέντός εἰς ὑποτύπωσιν Χριστοῦ, δοκιμάζειν ἀναγκαῖον τὸν σοφόν τε καὶ ἐπιστήμονα, τίνα μὲν ἀκόλουθον ὡς ἄχρηστα ποιεῖσθαι τῷ προκειμένῳ σκοπῷ, τίνα δὴ αὖ χρήσιμά τε καὶ ἀναγκαῖα, καὶ ὠφελεῖν ὅτι μάλιστα πεφυκότα τοὺς ἀκροωμένους, οἷον φέρε εἰπεῖν. Προκείσθω Μωσῆς ὁ μακάριος, ὃς παρέστησε μὲν τὸν Ἰσραὴλ τῷ Θεῷ ὑπὸ τὸ ὄρος τὸ Σινᾶ, γέγονε δὲ μεσίτης Θεοῦ, καὶ ἀνθρώπων. Δεδιότες γὰρ οἱ ἐξ Ἰσραὴλ ἐλιπάρουν λέγοντες· « Λάλει σὺ πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς, μή ποτε ἀποθάνωμεν. » Ἀλλ' ὅτι τὸ χρῆμα τὴν διὰ Χριστοῦ μεσιτείαν προανετύπου σαφῶς αὐτὸς ἐδίδαξεν ὁ Θεὸς καὶ Πατὴρ οὕτω λέγων· « Ὀρθῶς πάντα ἐλάλησαν. Προφήτην αὐτοῖς ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σέ, » μεσιτεύοντα δηλονότι, καὶ παριστάντα τῷ Θεῷ τὸ ἀνθρώπινον γένος καὶ ἀπαγγέλλοντα τοῖς ἀνὰ πᾶσαν τὴν γῆν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς ἀπόῤῥητον βουλήσιν. « Θήσω γὰρ τοὺς λόγους μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσω αὐτοῖς κατὰ πάντα ὅσα ἐντείλωμαι αὐτῷ. » Παρελήφθη δὴ οὖν ὁ θεσπέσιος Μωσῆς εἰς τύπον Χριστοῦ, ἀλλ' οὐ πάντα τὰ Μωσέως καὶ αὐτῷ προσάψομεν, ἵνα μή τι τῶν ἀτόπων δρῶντές τε ὁμοῦ, καὶ λέγοντες ἁλισκοίμεθα. Ὁμολόγει μὲν γὰρ ὁ Μωσῆς, ὅτι τε ἰσχνόφωνος εἴη, καὶ βραδύγλωσσος, καὶ ἀνικάνως ἔχων πρὸς ἀποστολήν, καὶ ἐδέετο ἄλλον προχειρισθῆναι. Ἀλλ' οὐ βραδύγλωσσος ὁ Χριστὸς, οὔτε μὴν ἰσχνόφωνος κατ' ἐκεῖνον, ἀλλ' ἔστιν αὐτὸς ἡ μεγάλη σάλπιγξ. Οὕτω γὰρ αὐτὸν Ἡσαΐας ὠνόμαζε, λέγων· « Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ. » Περιαγγέλλεται γὰρ τοῦ Σωτῆρος ὁ λόγος, καὶ ἀκουστὸς γέγονε τοῖς ἀνὰ πᾶσαν τὴν ὑπ' οὐρανόν. Καὶ τοῦτο εἰδὼς ἔφη Δαβίδ· « Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. » Οὐκοῦν μεσιτεύει μὲν ὁ Μωσῆς εἰς τύπον Χριστοῦ, βραδυστομεῖ δὲ οὐκ ἔτι τὸν τύπον δεικνύων ἐν ἑαυτῷ. Παρελήφθη πάλιν ὁ Ἀαρὼν εἰς ὑποτύπωσιν τοῦ Ἐμμανουὴλ, τοῖς τῆς ἀρχιερωσύνης κατεστεμμένος αὐχήμασι, καὶ εἰς τὰ Ἅγια τῶν ἁγίων εἰστρέχων, καὶ στολὴν ἐκείνην ἀμφιεσάμενος τὴν εὐκλεᾶ τε καὶ ἀξιάγαστον. Ἀλλ' οὐ πάντα πάλιν τὰ αὐτοῦ Χριστῷ παραθήσομεν. Οὐ γὰρ ἦν ἀμώμητος

[19] Matth. xii, 41. [20] Exod. xx, 19. [21] Deut. xviii, 17, 18. [22] ibid. [23] Isa. xxvii, 13. [24] Psal. xlix, 1. [25] Exod. xxviii, passim. [26] Num. xii, 1. [27] Exod. xxxii, 4.

Digitized by Google

παντελῶς. Ἐπετιμᾶτο γάρ ποτε, καταλαλήσας Μωσέως ὁμοῦ τῇ Μαρίᾳ. Ἦν δὲ καὶ ἑτέρως οὐκ ἀνεύθυνος, μεμοσχοποιηκότος κατὰ τὴν ἔρημον τοῦ Ἰσραήλ. Οὐ πάντα δὴ οὖν τὰ ὡς ἐν γράμμασί τε καὶ τύποις ταῖς πνευματικαῖς θεωρίαις χρήσιμα, ἀλλ' εἰ πρόσωπον φέροιτό τινος ἀνατυποῦντος ἡμῖν ἐφ' ἑαυτοῦ τὸν Χριστὸν, παριππεύσομεν εἰκότως τὰ ἀνθρώπινα, μόνοις δὲ τοῖς ἀναγκαίοις ἐφιζήσομεν, πανταχῇ περιτρέποντες τὸ ὠφελεῖν πεφυκὸς εἰς τὸν τοῦ προκειμένου σκοπόν. Οὕτω γὰρ δὴ καὶ ἐπὶ τοῦ Ἰωνᾶ συνήσομεν. Διαμορφοῖ γὰρ ὥσπερ ἡμῖν τὸ Χριστοῦ μυστήριον. Πλὴν οὐ πάντα τὰ συμβεβηκότα αὐτῶν νοοῖτ' ἂν εἰς τοῦτο χρήσιμά τε καὶ ἀναγκαῖα. Οἷον ἀπεστάλη κηρύξαι τοῖς Νινευίταις, ἀλλ' ἐζήτησε φυγεῖν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ κατοκνήσας ὁρᾶται πρὸς ἀποστολήν. Ἀπέσταλται καὶ παρὰ τοῦ Θεοῦ καὶ ὁ Πατὴρ Υἱὸς διακηρύξων τοῖς ἔθνεσιν, ἀλλ' οὐκ ἀπρόθυμος ἦν εἰς διακονίαν, οὔτε μὴν ἐζήτησε φυγεῖν ἀπὸ προσώπου τοῦ Θεοῦ. Παρεκάλει τοὺς ἐμπλέοντας ὁ προφήτης λέγων· « Ἄρατέ με, καὶ ἐμβάλλετε εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν. » Κατεπόθη καὶ ὑπὸ τοῦ κήτους, εἶτα ἐξεδόθη τριήμερος. Καὶ μετὰ τοῦτο ἀπῆλθεν εἰς Νινευὶ, καὶ πεπλήρωκε τὴν διακονίαν. Ἀλυπήτως δὲ οὐ μετρίως κατοικτείραντος Θεοῦ τοὺς ὑπὸ τῆς Νινευί. Ὑπέστη καὶ ὁ Χριστὸς ἑκὼν τὸν θάνατον· ἔμεινεν ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, ἀνέβιω τε αὖ, καὶ μετὰ τοῦτο ἀπῆλθεν εἰς τὴν Γαλιλαίαν, καὶ πρὸς τὰ ἔθνη κηρύγματος ἐκέλευε ποιεῖσθαι τὴν ἀρχήν. Πλὴν οὐ λελύπηται σωζομένους ὁρῶν εἰς μετάγνωσιν, καθάπερ ἀμέλει καὶ Ἰωνᾶς. Οὐκοῦν εἰ μὴ πάντα τῆς ἱστορίας τὸν λόγον εἰς τὸν πνευματικῆς θεωρίας περιτρέψομεν σκοπὸν, αἰτιάσθω μηδείς. Ὥσπερ γὰρ αἱ μέλιτται λειμῶνάς τε καὶ ἄνθη περιίπτάμεναι τὸ χρήσιμον ἀεὶ συναγείρουσι πρὸς τὴν τῶν κηρίων κατασκευὴν, οὕτω καὶ ὁ σοφὸς ἐξηγητὴς τὴν ἁγίαν καὶ θεόπνευστον ἀνερευνώμενος Γραφὴν, τὸ τελοῦν εἰς διασάφησιν τῶν τοῦ Χριστοῦ μυστηρίων ἀεὶ συλλέγων, καὶ συντιθεὶς εὐφυᾶ τε καὶ ἀνεπίπληκτον ἀποτελέσει λόγον.

derationes apta sunt; sed si persona afferatur alicujus imaginem quamdam Christi nobis subjicientis, humana merito præteribimus, solisque necessariis immorabimur, undique conquirentes quæ ad scopum rei propositæ conducere possint. Eodem modo in Jona res se habet. Christi namque mysterium nobis forma quadam ante oculos ponit. Verumtamen non omnia quæ illi contigerunt ad hoc accommodata et necessaria intelligi queant. Verbi gratia, missus est prædicare Ninivitis, fugere tamen a facie Dei conatus est, et cernitur ad legationem tergiversari. Missus est etiam a Deo et Patre Filius prædicaturus gentibus, ad quod ministerium se impigrum et alacrem præbuit, nec fugere quæsivit a facie Dei. Hortabatur vectores propheta his verbis : « Tollite me, et mittite in mare, et quiescet mare a vobis [28]. » Et a ceto absorptus, deinde redditus est die tertio [29]. Postmodum abiit Niniven, et munus impositum explevit. Cepit autem dolorem non modicum, ubi Deus Ninivitarum misertus est. Christus etiam volens mortem sustinuit, mansitque in corde **367** terræ dies tres et noctes totidem [30], et revixit, ac deinde in Galilæam se contulit, promulgandique Evangelii inter gentes initium facere jussit [31]. At vero cum propter pœnitentiam salvatos cerneret, non, quemadmodum Jonas nimirum, tristitiam concepit. Quod cum ita sit, si non secundum omnia historiæ hujus sermonem ad spiritualis considerationis finem torqueamus, nemo nobis vitio ascribat. Sicut enim apes prata et flores circumvolitantes ad mellificium utile semper colligunt, ita sapiens explanator, sanctam et a Deo inspiratam Scripturam perscrutans, quod ad declarationem Christi mysteriorum facit semper colligens et componens, doctrinam commodam satis et inculpabilem conficiet.

ΚΕΦΑΛ. Α'.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν, τὸν Ἀμαθὶ, λέγων· Ἀνάστηθι, καὶ πορεύθητι εἰς Νινευὶ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με.

Α'. Τὴν Ἰωνᾶ προφήτου διακονίαν, καὶ ἀποστολὴν ἐννενοηκὼς, καὶ μάλα εἰκότως, ἐπὶ καιροῦ τὸ διὰ τῆς τοῦ μακαρίου Παύλου φωνῆς ὑμνούμενον· « Ἢ Ἰουδαίων ὁ Θεὸς μόνον, οὐχὶ καὶ ἐθνῶν; εἴπερ εἷς ὁ Θεός. » Πείρᾳ δὲ τοῦτο μεμαθηκὼς καὶ Πέτρος, ἡμῖν ἀναπεφώνηκε λέγων· « Ἐπ' ἀληθειαν καταλαμβάνομεν, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ποιῶν δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. » Δεδημιούργηκε μὲν γὰρ αὐτὸς « γῆν τε καὶ οὐρανὸν, καὶ πάντα τὰ ἐν αὐτοῖς, » πεποίηκε δὲ τὸν ἄνθρωπον ἐν ἀρχῇ « κατ' ἰδίαν εἰκό-

CAP. I.

VERS. 1, 2. *Et factum est verbum Domini ad Jonam filium Amathi, dicens : Surge, et vade in Ninivem, civitatem magnam, et prædica in ea, quia ascendit clamor malitiæ ejus ad me.*

II. Dum Jonæ prophetæ ministerium et missionem mecum cogito, opportunissime a beato Paulo prædicatum illud in me intentum venit : « An Judæorum Deus tantum? nonne et gentium? siquidem unus est Deus [32]. » Et hoc ipsum Petrus expertus pronuntiavit : « In veritate comperi, quia non est acceptor personarum Deus; sed in omni gente, qui timet eum et operatur justitiam, acceptus est illi [33]. » Ipse enim « cœlum terramque et omnia quæ in eis sunt [34] » fabricatus est, condiditque hominem in principio « secundum imaginem et similitu-

[28] Jon. I, 12. [29] Matth. XII, 40. [30] ibid. [31] Matth. IV, 23. [32] Rom. III, 29. [33] Act. X, 34, 35. [34] Psal. CXLV, 6.

Digitized by Google

dinem suam [35], » ut studiis virtutis deditus, vitam sanctitate et beatitudine illustrem agitaret, eorumdemque charismatum abunde particeps redderetur. Inde nequitia et fraudibus diaboli ad peccatum deductus est; quocirca et in maledictum et corruptionem incidit. Ante constitutionem porro mundi Christus ad universi reparationem decretus et destinatus est. Placuit Deo et Patri « omnia instaurare in ipso, quæque in cœlo, quæque in terra sunt [36]. » Sed hujuscemodi præclara opera Unigenito nostra natura cooperto, et cum carne mundo illucenti servabantur. Pro seductis autem etiam **368** ante tempora adventus ejus necessariam gessisse sollicitudinem, et ex ignorantia lapsos gratuito respexisse, rebus quoque ipsis testificari voluit. Hinc beato prophetæ mandavit uti Niniven proficisceretur. Erat ea urbs Persica, ad orientem sita et inclyta : porro, ut ait Jeremias, « terra sculptilium est [37]. » Plurimæ enim civitates Judææ confines erant, idolorumque cultui deditæ. Tyrus nempe, et Sidon, et tota Galilæa alienigenarum opera manuum suarum adorabant, et apud eas genera dæmonum, aræ et delubra innumerabilia cernebantur. Cur igitur, quæso, vicinis præteritis prophetam Niniven mittit, remotissimam, et in qua potissimum, sicut jam dixi, multitudo erat inculta, ad solem, astra, ignem adorandum irrevocabili impetu propendentium? Ultra rationem enim omnem imposturis ac præstigiis Deo invisis religionis metum tribuebat. Dictum est namque ad eam voce Nahum : « Meretrix speciosa et gratiosa, dux veneficiorum [38]. » Autumo ego, omnia scientem Deum voluisse utiliter etiam antiquioribus ostendere, vehementer quoque alienatos, et errorum laqueis implicitos ad cognitionem veritatis aliquando, quasi sagena conclusum iri, quamvis admodum terribiles et præfractos et magnopere indomitos. Sermo quippe Dei ad alendam mentem, ad persuadendum ut ea discat per quæ sapiens evadat, satis est efficax. Audi dicentem ad Jeremiam, nunc quidem : « Ecce dedi verba mea in os tuum ignem, et populum istum ligna, et devorabit eos [39]; » nunc iterum : « Verba mea quasi ignis comburens, dicit Dominus, et sunt securis incidens petram [40]. » Missus est itaque ad Ninivitas non temere Jonas, sed ut tanto ante divina mansuetudo ac lenitas ostenderetur, olim conferenda in eos etiam qui ex ignorantia deliquissent; simul item quod agebatur, Israeli in condemnationem cedebat. Redarguebatur enim ut intractabilis, ut sine affectu, ut floccipendens leges Dei. Ninivitæ enim citra procrastinationem ad pœnitentiam serio capessendam unius prævia proclamatione mutati sunt, licet quam plurimis erroribus ac delictis ægrotarent. Hi vero, Moyse et prophetis contemptis, ipsum quoque Christum despexerunt, tametsi cum doctrina sua opera admiranda conjungeret, quibus eos, et quidem perfacile, induci æquum erat. Quoniam, Deus cum

να, καὶ καθ' ὁμοίωσιν, » ἵνα τῶν εἰς ἀρετὴν σπουδασμάτων ἐχόμενος διαβιῴη λαμπρῶς ἐν ἁγιότητι καὶ μακαρισμῷ, καὶ τῶν αὐτῶν χαρισμάτων πλουσίαν ἔχῃ τὴν μέθεξιν. Εἶτα παρεκομίσθη πρὸς ἁμαρτίαν, τοῖς τοῦ διαβόλου κακουργήμασι πεφενακισμένος· ταύτητοι καὶ γέγονεν ἐπάρατος, καὶ ὑπὸ φθοράν. Προώριστο μὲν γὰρ, καὶ προέγνωστο πρὸ καταβολῆς κόσμου Χριστὸς εἰς τὴν τῶν ὅλων ἐπανόρθωσιν. Εὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ « ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν ἑαυτῷ, τά τε ἐν τῷ οὐρανῷ καὶ τὰ ἐπὶ τῆς γῆς. » Ἀλλ' ἐφυλάττετο μὲν τὰ τοιάδε τῶν κατορθωμάτων γεγονότων καθ' ἡμᾶς τῷ Μονογενεῖ, καὶ ἐπιλάμψαντι τῷ κόσμῳ μετὰ σαρκός. Ὅτι δὲ τὴν ὑπέρ γε τῶν πεπλανημένων φροντίδα, καὶ πρὸ τῶν τῆς ἐπιδημίας καιρῶν ἀναγκαίως ἐποιεῖτο Θεὸς, καὶ τοῖς ἐξ ἀμαθίας ὠλισθηκόσιν ἐχαρίζετο τὴν ἐπίσκεψιν, καὶ διὰ πραγμάτων ἠθέλησε πληροφορεῖν. Ταύτητοι προστέταχε τῷ μακαρίῳ προφήτῃ βαδίζειν εἰς Νινευΐ. Περσικὴ δὲ πόλις ἦν, καὶ πρὸς ἀκτῖνα κειμένη, καὶ διαβόητος, καὶ, ὡς φησιν ὁ προφήτης Ἱερεμίας, « γῆ τῶν γλυπτῶν ἐστι. » Πλεῖσται μὲν γὰρ ὅσαι τῆς Ἰουδαίας ἦσαν ὅμοροι πόλεις, καὶ ταῖς τῶν εἰδώλων λατρείαις προσκείμεναι. Τύρος τε γὰρ, καὶ Σιδὼν, καὶ πᾶσα Γαλιλαία ἀλλοφύλων προσεκύνουν τοῖς ἔργοις τῶν ἰδίων χειρῶν, καὶ ἀναριθμήτων παρ' αὐτοῖς δαιμόνων εἴδη τε ἦσαν, καὶ βωμοὶ, καὶ τεμένη. Τί οὖν, εἰπέ μοι, τὰς ἐκ τῶν γειτόνων παραβραμὼν ἀποστέλλει τὸν προφήτην εἰς Νινευΐ, τὴν ἀπωτάτην κειμένην, ἐν ᾗ μάλιστα, καθάπερ ἤδη προεῖπον, πληθὺς ἦν ἀγρία, διανενευκότων ἀσχέτως ἐπὶ τὸ χρῆναι προσκυνῆσαι ἡλίῳ, καὶ ἄστροις, καὶ πυρί; Ἀνεπτόητο γὰρ καὶ πέρα λόγου παντὸς εἰς θεομισῆ γοητείαν. Εἴρηται γὰρ πρὸς αὐτὴν διὰ τῆς Ναοὺμ φωνῆς· « Πόρνη καλὴ, καὶ ἐπίχαρις, ἡγουμένη φαρμάκων. » Οἶμαι δὴ εἶναι ἔγωγε τὸν πάντα εἰδότα Θεὸν βεβουλῆσθαι χρησίμως καὶ αὐτοῖς καταδεῖξαι τῆς ἀρχαιότητος, ὅτι καὶ οἱ λίαν ἐξέστησαν, καὶ τοῖς τῆς πλανήσεως βρόχοις ἐνειλημμένοι, σαγηνευθήσονται μὲν κατὰ καιροὺς εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν, κἂν εἶεν σφόδρα δεινοί τε καὶ ἀτεράμονες, καὶ πολὺ λίαν κεχωρηκότες εἰς τὸ ἐξήνιον. Ἔχει γὰρ οὐκ ἀνικάνως ὁ τοῦ Θεοῦ λόγος, εἰς τὸ δύνασθαι διαθρέψαι νοῦν, καὶ ἀναπεῖσαι μαθεῖν τὰ δι' ὧν ἂν γένοιτο σοφός. Ἄκουε δὲ λέγοντος πρὸς Ἱερεμίαν, ποτὲ μέν· « Ἰδοὺ δέδωκα τοὺς λόγους μου εἰς τὸ στόμα σου πῦρ, καὶ τὸν λαὸν τοῦτον ξύλα, καὶ καταφάγεται αὐτούς· » ποτὲ δὲ αὖ· « Οὐχὶ οἱ λόγοι μου ὥσπερ πῦρ φλέγον, λέγει Κύριος, καὶ ὡς πέλεκυς κόπτων πέτραν; » Ἐπέμπετο δὴ οὖν πρὸς Νινευΐτας οὐ μάτην ὁ Ἰωνᾶς, ἀλλ' ἵνα τις γένοιτο προαπόδειξις τῆς ἐνούσης ἡμερότητος τῷ Θεῷ, καὶ δοθησομένης κατὰ καιροὺς καὶ αὐτοῖς τοῖς ἐξ ἀμαθίας πεπλανημένοις· ὁμοῦ δὲ καὶ εἰς κατάκρισιν τῷ Ἰσραὴλ τὸ δρώμενον ἦν. Ἠλέγχετο γὰρ ὡς δυσάγωγος, ὡς ἀπαθὴς, ὡς ὀλίγα περφροντικῶς τῶν τοῦ Θεοῦ νόμων. Νινευΐται μὲν γὰρ ἑνὸς προδιακηρύξαντος ἀμελλητὶ μετεπλάττοντο πρὸς τὸ δεῖν ἐλέσθαι μετανοεῖν, καίτοι πλείστην ὅσην κατηρ-

[35] Gen. I, 26. [36] Ephes. I, 10. [37] Jer. L, 38. [38] Nahum III, 4. [39] Jer. V, 14. [40] Jer. XXIII, 29.

Digitized by Google

ρωστηκότες τὴν πλάνησιν. Οἱ δὲ, Μωσέως καὶ Προφητῶν ἐλογήσαντες, καὶ αὐτοῦ καταπεφρονήκασι Χριστοῦ, καίτοι ταῖς διδασκαλίαις προσεπάγοντος τὰς τερατουργίας, δι' ὧν ἦν εἰκὸς ἀναπεῖθεσθαι, καὶ μάλα ῥᾳδίως. Ὅτι Θεὸς ὢν φύσει, γέγονεν ἄνθρωπος, ἅπασαν μὲν ἀνασώσων τὴν ὑπ' οὐρανὸν, πρὸ δέ γε τῶν ἄλλων ἁπάντων αὐτούς. Ὅτι δὲ τὸ πρᾶγμα τοῖς ἐξ Ἰσραὴλ εἰς ἐλέγχου δύναμιν εἴη ἄν, καὶ μάλα εἰκότως, σαφηνίζει λέγων αὐτὸς ὁ Χριστός· « Ἄνδρες Νινευῖται μετανοήσαντες εἰς τὸ κήρυγμα Ἰωνᾶ, κατακρινοῦσι τὴν γενεὰν ταύτην. Ἰδοὺ γὰρ πλεῖον Ἰωνᾶ ὧδε. » Πῶς δὲ τὸ πλεῖον ἐν Χριστῷ περὶ τοῦ Ἰωνᾶ; Ὁ μὲν γὰρ ἠπείλησε μόνον Νινευίταις τὴν καταστροφὴν, ὁ δέ γε Χριστὸς δι' ἀῤῥήτην τερατουργίαν καταπλήττων ἐθαυμάζετο. Ὁλκὸς δέ πως ἀεὶ πρὸς πίστιν ἐστὶ συντρέχον τῷ λόγῳ τὸ θαῦμα. Οἰκονομικώτατα τοίνυν ἀποστέλλεται κηρύξων ὁ Ἰωνᾶς τοῖς καταφηκόσι τὴν Νινευὶ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῶν, πρὸς τὸν τῶν ὅλων Θεόν. Ἠγνόηκε μὲν γὰρ παντελῶς οὐδὲν, εἰ δὲ δὴ κινοῖτο πρὸς ἐπίσκεψιν τῶν πεπλημμελημένων, τότε δὲ ἀναβῆναί φησι πρὸς ἑαυτὸν τὴν ἐκ τῶν ἔργων καταβολήν. Κριτὴς γάρ ἐστι τῶν ὅλων ὡς Θεός. Καταβοῆσαι δὲ λέγεται καὶ τῆς τοῦ Καὶν μιαιφονίας τὸ Ἄβελ αἷμα, καὶ πόλεων δὲ τῶν ἐν Σοδόμοις τῆς αἰσχρουργίας ἡ ἀγριότης.

Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσὶς ἀπὸ προσώπου Κυρίου, καὶ κατέβη εἰς Ἰόππην, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσὶς, καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ, καὶ ἐνέβη εἰς αὐτὸ, τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσὶς ἀπὸ προσώπου Κυρίου.

Γ'. Ἰόππη μὲν οὖν Παλαιστίνης ἐστὶ πόλις, ἐπ' αὐτῇ θαλάσσῃ κειμένη, ἐπίνειον δὲ τῶν ἐπιτηδείων ἐκ τῆς Ἰουδαίας ἐπὶ ναυτιλίαν ἰοῦσι καὶ εἰς πόλεις μάλιστα τὰς πρὸς ἑῴ. Κάτεισι δὴ οὖν ὁ προφήτης. Εἶτα πλοῖον ἀπαίρον εἰς Θαρσεῖς καταλαβὼν, προὐτέθειτο γὰρ τῇ Νινευὶ ὁ αὐτόθι δρόμος, ἐδίδου τὸ ναῦλον, καὶ συναπέπλει τοῖς ἄλλοις. Θαρσεῖς δέ φησι τοὺς νῦν καλουμένους Ταρσοὺς ἤτοι Ταρσόν. Τινὲς μὲν οὖν οἴονται πόλιν διὰ τούτου κατασημαίνεσθαι τὴν παρ' Αἰθίοψι, καὶ Ἰνδοῖς, καὶ ἔστι μὲν ὁμολογουμένως παρ' ἐκείνοις Θαρσεῖς. Ἡ γοῦν σύμπασα τῶν Ἰνδῶν διὰ τοῦ Θαρσεῖς σημαίνεται χώρα· πλὴν εἰς γε τὸ παρὸν οὐκ ἐκείνην οἶμαι βούλεσθαι δηλοῦν τὸν λόγον. Ὅτι τοῖς ἀποπλεῖν ἐθέλουσιν ἐπὶ τὰ τῶν Ἰνδῶν ἔθνη, γένοιτ' ἂν εἰκότως οὐ διά γε τῆς Ἰόππης ὁ πλοῦς, ἀλλὰ διὰ θαλάσσης μᾶλλον τῆς Ἐρυθρᾶς, εἰ μὴ ἄρα τις οἴοιτο βεβουλῆσθαι τὸν προφήτην διὰ Περσῶν τε καὶ Ἀσσυρίων εἰς Αἰθίοπας τοὺς ἐσωτάτω ποιεῖσθαι τὸν ἀπόδρομον. Ἀλλ' ἠλίθιον τὸ χρῆμα παντελῶς. Θαρσεῖς δὴ οὖν ἔοικεν ἀποκαλεῖν τοὺς νῦν Ταρσούς. Κιλίκων δὲ αὕτη πόλις, τὸ Κύδνου πίνουσα νᾶμα, καὶ εἰς αὐτοὺς τοὺς πρόποδας τοῦ Ταρσοῦ κειμένη· Ὄρος δὲ τοῦτο Κιλίκων παμμέγεθες. Ἀπαίρει μὲν οὖν ὁ προφήτης, καὶ πρόφασις αὐτῷ τῆς ἀποδημίας τὸ φυγεῖν ἀπὸ προσώπου τοῦ Θεοῦ. Ἐνταῦθα λοιπὸν οὐκ ἀζήτητος ἡμῖν ὁ λόγος, μᾶλλον δὲ τῆς φυγῆς ὁ τρόπος. Οἶμαι δὴ οὖν ὅτι τὸ παραιτήσασθαι

esset, factus est homo [61], **369** ut toti humano generi, et ipsis ante alios omnes, salutem impertiretur. Rem porro hanc Israelitis probro esse posse, idque jure optimo, docet perspicue Christus ipse his verbis : « Viri Ninivitæ, quia pœnitentiam egerunt ad prædicationem Jonæ, condemnabunt generationem istam. Et ecce plus quam Jonas hic [62]. » Quomodo autem plus in Christo quam in Jona? Quoniam hic tantummodo comminatus est Ninivitis eversionem, Christus, propter ineffabilem miraculorum efficientiam homines obstupefaciens, in admiratione erat. Semper autem concurrentia prodigia quasi machina quædam ad fidem trahunt. Summa igitur providentia Jonas Ninives incolis prædicaturus mittitur, quoniam clamor malitiæ eorum ad Deum universorum ascendit. Nihil prorsus ille quidem ignorat; sed, cum ad inspectionem, seu visitationem eorum quæ peccata sunt, movetur, tum dicitur, clamorem ex operibus ad ipsum ascendisse. Est enim universorum judex ut Deus. Dicitur etiam sanguis Abel clamare contra homicidium Cain, et immanitas turpissimi sceleris urbium in Sodomis.

Vers. 3. *Et surrexit Jonas ut fugeret in Tharsis a facie Domini, et descendit in Joppen, et invenit navem euntem in Tharsis, et dedit naulum suum, et ascendit in eam, ut navigaret cum eis in Tharsis a facie Domini.*

III. Joppe oppidum est Palæstinæ maritimum, rerum victui necessariarum ex Judæa præcipue ad urbes orientales vela dantibus emporium. Descendit ergo propheta. Deinde navi quæ in Tharsi solveret reperta, cursum enim illuc, quam Niniven malebat, naulum dedit, et una navigavit. Tharsis vocat qui nunc Tarsi sive Tarsus dicitur. Quidam hoc nomine urbem significari putant apud Æthiopas et Indos. Et constat apud eos esse Tharsis. Aut hoc vocabulo tota Indorum regio indicatur, quam in præsens significari non arbitror. Nam volentibus abnavigare ad gentes Indicas, non ad Joppe, sed per pelagus Erythræum navigatio recte instituitur, nisi forte quispiam credat prophetam per Persas, et Assyrios, et Æthiopas intimos cursum dirigere voluisse. Sed res stulta est omnino. Tharsis igitur appellare videtur, qui hodie Tarsi. Est autem urbs Ciliciæ, **370** ad Cydnum flumen, et ipsas radices Tarsi montis Ciliciæ multo maximi. Discedit itaque propheta, et prætextus, seu occasio peregrinationis illi est fugere a facie Dei. Hoc loco sequitur ut verba examinanda sint, vel potius fugæ modus. Sentio igitur, fugisse a facie Dei nihil esse aliud quam recusasse missionem, et ad ministerium velut pigritatum esse. Cur autem et quid deliberatum habens Tharsin contendat, nequeo intelligere; nisi forte quis illud apud se cogitabit, in

[61] Philipp. II, 6, 7. [62] Matth. XII, 49.

Digitized by Google

ipso quoque, ut in vetustioribus sanctis de Deo opinionem non satis magnam fuisse. Censebant enim nonnulli, potentiam et imperium Dei universorum solis Judææ finibus circumscribi, et in ipsam quasi compactum ab aliis regionibus excludi. Quapropter divinus Jacob olim a paternis penatibus discedens, et ad Laban in Mesopotamiam contendens, atque in loco quodam pernoctans, et lapide capiti supposito consueto more dormiens, scalamque a terra in cœlum pertinentem, ac per eam angelos Dei ascendentes ac descendentes, Dominum vero illi innitentem videns, ubi surrexit : « Dominus inquit, est in loco isto, et ego nesciebam [44]. » Opinor itaque etiam beatum hunc prophetam quidpiam secum cogitantem, a Judæa ad urbes Græcas discessisse. Quod vero tædium, et quia nollet prompte partes impositas implere, hæc illi fugæ causa fuerit, ex verbis ipsius cognoscemus, quandoquidem abiit postea, et prædicavit. Et quoniam vaticinio ejus effectus non respondit, mœrorem accepit non mediocrem, ut etiam diceret : « O Domine, nonne isti sermones mei sunt, cum adhuc essem in terra mea? Propterea præveni fugere in Tharsis, quia cognovi quia tu misericors et miserator, patiens et multæ misericordiæ, et agens pœnitentiam super malitiis. Et nunc, Dominator Domine, tolle animam meam a me, quia bonum est mori me magis quam vivere [45]. » Nam, ut propheta, quis futurus esset finis ministerii sui non nesciebat, timebat vero ne forte, si promulgatio sua exitum non sortiretur, a Ninivitis, Dei miserantis ipsos benignitatem nescientibus, morte multaretur, et e medio tolleretur ut scurra, et impostor, et mendax, et qui ipsis laborem inanem persuasisset. Semper enim barbari ad iram præcipites sunt, facillimeque ut tauri faciunt, quamvis idonea insaniæ occasio non suppeditet.

καὶ ψευδοεπῆ, καὶ εἰκῇ πονεῖν αὐτοὺς ἀναπεπεικότα. ἑτοίμως ἀποταυρούμενον, κἂν εἰ μὴ πρόφασιν ἔχῃ τῆς μανίας εὔλογον.

371 VENS. 4, 5. *Et Dominus suscitavit spiritum in mari, et facta est tempestas magna in mari, et navis periclitabatur dissolvi, et timuerunt nautæ, et clamabant unusquisque ad deum suum; et jactum fecerunt vasorum quæ erant in navi, in mare, ut aleviaretur ab eis.*

IV. Deo ita procurante, et immanium ventorum procellis æquor permiscentibus, navim fluctus collidunt. Vectores terror incessit, jamque de extrema pernicie sua colloquuntur, stridente oneraria, et propemodum solutis compagibus pessum eunte. Turba nautica ad usitata auxilia confugiens navim exonerat, ut undis emineat, et ita deinceps facili cursu feratur. Magnum porro tempestatis argumentum, quod ipsi quoque nautæ percussi terroribus, sine intermissione deos suos, ut jam desperata salute, opem rogitant.

[44] Gen. XXVIII, 15. [45] Jon. IV, 2, 3.

A τὴν ἀποστολήν, καὶ οἱονεὶ κατοκνῆσαι τὴν διακονίαν τὸ φυγεῖν ἀπὸ προσώπου τοῦ Θεοῦ. Πάρεισι δὲ εἰς Θαρσεῖς ἀνθ' ὅτου, καὶ ὅ τι διεσκεμμένος, οὐκ ἔχω νοεῖν. Εἰ μὴ ἄρα τις ἐκεῖνο καθ' ἑαυτὸν ἐννοήσειεν, ὅτι μικρά τις καὶ ἐν αὐτῷ, καθὼς καὶ ἐν τοῖς ἀρχαιοτέροις ἁγίοις ἡ περὶ Θεοῦ διάληψις ἦν. Ἔφοντο γάρ τινες, μόνης τῆς Ἰουδαίων χώρας ἀνῆφθαι τὸ κράτος τὸν τῶν ὅλων Θεὸν, συστέλλεσθαι δὲ ὥσπερ ἐν αὐτῇ καὶ γῆς ἀπανίστασθαι τῆς ἑτέρας. Καὶ γοῦν ὁ θεσπέσιος Ἰακὼβ ἀπεφοίτα μὲν κατὰ καιροὺς τῆς πατρῴας ἑστίας, ἠπείγετο δὲ πρὸς Λάβαν, καὶ εἰς τὴν μέσην τῶν ποταμῶν· εἶτα κατηυλίζετο μὲν ἐν χώρᾳ τινὶ, λίθον δὲ ὑποθεὶς τῇ κεφαλῇ, κατὰ εἰωθὸς, ἐκάθευδεν· εἶτα τὴν κλίμακα τεθέαται τὴν ἐκ γῆς διήκουσαν εἰς οὐρανὸν, καὶ τοὺς ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντάς B τε καὶ καταβαίνοντας δι' αὐτῆς, ἐπιστηριγμένον δὲ ἐν αὐτῇ τὸν Κύριον. Ἔφασκέ τε διαναστὰς, ὅτι « Ἔστι Θεὸς ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. » Οἶμαι δὴ οὖν, ὅτι τοιοῦτόν τι καθ' ἑαυτὸν ἐννενοηκὼς καὶ ὁ μακάριος προφήτης, τῆς μὲν Ἰουδαίας ἀπενοσφίζετο, ἀπεχώρει δὲ εἰς πόλεις τὰς Ἑλληνικάς. Τοῦ δὲ κατοκνῆσαι τὴν πρόφασιν, καὶ μὴ προθύμως ἐλέσθαι πληροῦν τὴν διακονίαν ἐξ αὐτῶν εἰσόμεθα τῶν αὐτοῦ λόγων· διεκήρυξε μὲν γὰρ ὕστερον ἀπελθών. Ἐπεὶ δὲ οὐκ ἐκβέβηκεν αὐτῷ τὰ τῆς προφητείας εἰς πέρας, λελύπηται σφόδρα, καὶ δὴ καὶ ἔφασκεν· « Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου ὄντος μου ἐν τῇ γῇ μου; Διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσεῖς, δύστι ἔγνων, ὅτι σὺ εἶ ἐλεήμων, καὶ οἰκτίρμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Καὶ νῦν, C Δέσποτα Κύριε, λαβὲ τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με ἢ ζῆν. » Οὐκ ἠγνόησε μὲν γὰρ ὡς προφήτης τῆς διακονίας τὸ πέρας. Ἐδεδίει γε μὴν μὴ ἄρα τῶν δι' αὐτοῦ κηρυγμάτων οὐκ ἐπηνεγμένων εἰς πέρας, ἀγνοήσωσι μὲν Νινευῖται τοῦ κατοικτείραντος Θεοῦ τὴν χρηστότητα, διαχρήσωνται δὲ, καὶ ἀνέλωσιν αὐτὸν, ὡς βωμολόχον, ὡς ἀπατεῶνα. Προαλὲς γὰρ ἀεὶ τὸ βάρβαρον εἰς ὀργὰς, καὶ λίαν

Καὶ Κύριος ἐξήγειρε πνεῦμα εἰς τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε συντριβῆναι, καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ, καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν D *θεὸν αὐτοῦ, καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν.*

Δ'. Κατεξανίσταται μὲν τῆς ναὸς τὸ κλυδώνιον οἰκονομοῦντος Θεοῦ, καὶ πνευμάτων ἀγρίων ἐκβολὰς διακυκῶντος τὴν θάλασσαν. Ἐμπίπτει δὲ τοῖς ναυτῆρσι τὸ δεῖμα, καὶ ὁ λόγος ἦν ἤδη περὶ τῶν ἐσχάτων αὐτοῖς, ἀποτριζούσης μὲν, κατὰ τὸ εἰκὸς, τῆς ἁλκάδος, μονονουχὶ δὲ καὶ ἀπειλούσης ἤδη πως, ὅτι δὴ μέλλει συνθραῦσθαι. Κέχρηται δὲ ταῖς ἐξ ἕτους ἐπικουρίαις ὁ τῶν ναυτῶν ὅμιλος, καὶ ἀποφορτίζει τὴν ναῦν, ὡς ἂν ὑψοῦ τε εἴη κυμάτων, εὐπετεστέρα δὲ οὕτω λοιπὸν ἐποιχοῖτο τοῖς ὕδασι. Μέγα δὲ πρὸς ἀπόδειξιν τοῦ χειμάζεσθαι, τὸ καὶ αὐτοὺς τοῖς δείμασι

Digitized by Google

βεβλῆσθαι τοὺς ναυτίλους, καὶ σωτῆρας ἥκειν αὐτοῖς τοὺς ἰδίους θεοὺς ἐντενέστατα παρακαλεῖν, ὡς ἀπεγνωκότας ἤδη τῆς σωτηρίας.

Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδε, καὶ ἔρεγχε. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεύς, καὶ εἶπεν αὐτῷ· Τί σὺ ῥέγχεις; Ἀνάστηθι, ἐπικαλοῦ τὸν Θεόν σου, εἴ πως σώσῃ ὁ Θεὸς ἡμᾶς, καὶ οὐ μὴ ἀπολώμεθα.

Ε'. Ἁρμόσειε ἂν ἥκιστα νήψεσι προφητικαῖς τὸ ῥᾴθυμον εἰς εὐχὰς, κινδύνων ἐπηρτημένων, καὶ τὸ ὑπτιοῦσθαι δοκεῖν καλούντων εἰς πόνους καιροῦ, καὶ πράγματος, ἐφ' ᾧπερ ἂν πρέποι μᾶλλον τὸν τῶν ὅλων ἐκμειλίσσεσθαι Θεόν. Ὅθεν ἔστι ἐννοεῖν, ὡς πρὸ χειμῶνος ὁ ὕπνος ἦν· εἰωθότος γὰρ σφόδρα κατηρεμεῖν τὸ καὶ εἰς αὐτὴν καθικέσθαι τοῦ πλοίου τὴν κοίλην. Φίλον γὰρ ἀεὶ τοῖς ἁγίοις, καὶ περισπούδαστον, τὸ τρυφῆς ἀποφοιτᾷν, καὶ ὄχλων ἀπονοσφίζεσθαι, καὶ διατελεῖν κατὰ μόνας, καθὼς καὶ Ἱερεμίας· « Ἀγαθὸν ἀνδρὶ, φησὶ, ὅταν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ. Καθίσεται καταμόνας, καὶ σιωπήσει, ὅτι ἦρεν ἐφ' ἑαυτῷ. » Ἀνακεκράγει δὲ πάλιν περὶ τῆς ἀπειθούντων πληθύος· « Κύριε παντόκρατορ, οὐκ ἐκάθισα ἐν συνεδρίῳ παιζόντων αὐτῶν, ἀλλ' ηὐλαβούμην ἀπὸ προσώπου χειρός σου. Καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. » Τὸ δέ γε ἡσυχάσαι καταμόνας, τὸν ἱερεμαῖον, οἶμαί που, κατασημαίνει βίον, καὶ τὸ ἀπαλλάττεσθαι μερίμνης, καὶ φροντίδος βιωτικῆς, καὶ τὸ μὴ ἀναμίξ εἶναι τοῖς ἄλλοις, οἱ τὴν φιλήδονον καὶ φιλόσαρκον τετιμήκασι ζωήν. Ἀπονυστάζει δὴ οὖν ὁ προφήτης, οὐκ ἀφειδήσας τοῦ πρέποντος, ἀλλ', ὡς ἔφην ἤδη, πρὸ τῆς τῶν χειμώνων ἐκβολῆς. Διανύττει γε μὴν ὁ πρωρεὺς, χρῆναι δὴ μᾶλλον εἰπὼν ἐπικαλεῖσθαι τὸν Θεὸν αὐτοῦ. Λυπεῖ γὰρ ἀεί πως τοὺς κινδυνεύοντας τὸ δοκεῖν ἀμείνους δειμάτων εἶναί τινας, καὶ οὐκ ἐν καιρῷ τιμῆσαι τὸ ῥᾴθυμον.

Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· Δεῦτε, βάλλωμεν κλήρους, καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐφ' ἡμῖν ἐστι. Καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν.

Ϛ'. Περιεργότατον μὲν οἱ πλωτῆρες, καὶ ἀσύνηθές τι μελετῶσι, καὶ ξένον, τὸ ἐπείγεσθαι κλήρῳ διαμαθεῖν τὸν ἐφ' ᾧ λελύπηται ὁ Θεός. Πλὴν οἰκονομεῖται καὶ τοῦτο χρησίμως, ὡς ἂν γένοιτο καταφανὴς ὁ νομίσας δύνασθαι φυγεῖν ἐκ προσώπου τοῦ Θεοῦ. Πίπτει γὰρ ὁ κλῆρος ἐπ' αὐτὸν, καὶ τὸν ἐκ τοῦ πράγματος ἔλεγχον ὑπομένων ὁρᾶται. Ἐδείδιει γὰρ, κατὰ τὸ εἰκὸς, τῆς οἰκείας σκέψεως προαλεστέραν ποιεῖσθαι τὴν κατάῤῥησιν. Καλὸν οὖν ἄρα, καὶ σοφὸν τοῖς ἐθέλουσι τηρεῖν, τό· « Μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου. »

Καὶ εἶπον πρὸς αὐτόν· Ἀνάγγειλον δὴ ἡμῖν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἡμῖν; Τίς σου ἡ ἐργασία ἐστὶ, καὶ πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ, καὶ ἐκ ποίας χώρας, καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Καὶ εἶπε πρὸς αὐτούς· Δοῦλος Κυρίου ἐγώ εἰμι, καὶ τὸν Θεὸν τοῦ οὐρανοῦ ἐγὼ φοβοῦμαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν, καὶ εἶπαν πρὸς

Vers. 6. *Jonas autem descendit ad concavum navis, et dormiebat. Et stertebat, et accessit ad eum proreta, et dixit ei: Quid tu stertis? Surge, invoca Deum tuum, si quo modo salvet Deus nos, et non pereamus.*

V. Segnities ad preces fundendas periculis impendentibus in propheticam providentiam minime cadit, nec videri consopitum, cum tempus et negotium, cujus causa potius Deum placare deceat, ad labores vocat. Unde intelligere licet, nondum exorta tempestate hunc somnum fuisse, et vel in intimam navim descendere, admodum quiescere soliti indicium est. Semper siquidem sanctis amicum et optabile fuit recedere a deliciis, et a turbis segregatos in solitudine versari, sicut et Jeremias ait: « Bonum est viro cum portaverit jugum ab adolescentia sua. Sedebit solitarie, et tacebit, quia levavit super se [46]. » Idem rursus super incredulorum multitudine: « Domine omnipotens, non sedi in concilio ludentium, sed timui a facie manus tuæ. Seorsum sedebam, quia amaritudine repletus sum [46]. » Sedere solitarie, vitam, opinor, quietam curis et sollicitudinibus rerum labentium solutamque, et aliorum qui voluptatibus et corporeis oblectamentis totos se tradunt, consortia vitantem significat. Obdormiscit igitur propheta, non quia decorum contemnat, **372** sed, ut jam dixi, antequam tempestas erumpat. Quem proreta dictis exstimulat, dicens, potius invocare debere Deum suum. Semper quippe male habet in discrimine constitutos, si quos imperterritos et alieno tempore desidia languentes aspiciunt.

Vers. 7. *Et dixit unusquisque ad proximum suum: Venite, mittamus sortes, et cognoscamus cujus causa malum hoc super nos sit. Et miserunt sortes, et cecidit sors super Jonam.*

VI. Rem curiosissimam, et insuetum quiddam ac novum nautæ aggrediuntur, ut instent sortibus discere quare iratus sit Deus. Verum hoc quoque militer instituitur, ut comperiatur qui se a facie Dei fugere posse arbitratur. Cadit enim sors super eum, et res ipsa hominem manifeste prodit. Cogitationes enim et consilium suum præcipiti quadam temeritate accusare, nec injuria, formidabat. Bene igitur et sapienter qui illud servant: « Ne confundaris confiteri peccata tua [47]. »

Vers. 8-10. *Et dixerunt ad eum: Indica nobis cujus causa malum hoc nobis est? Quod tuum opus est, et unde venis, et quo vadis, et ex qua regione es et ex quo populo es tu? Et respondit eis: Servus Domini ego sum, et Deum cæli ego timeo, qui fecit mare et aridam. Et timuerunt viri timore magno, et dixerunt ad eum: Cur hoc fecisti? quia cognoverunt viri quod a facie Domini erat fugiens, quia nuntiavit eis.*

[46] Thren. III, 27, 28. [46] Jer. XV, 17. [47] Eccli, IV, 31.

Digitized by Google

αὐτόν· Τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς.

VII. Non sine utilitate curiosi sunt, ut qui sortito jam causam tanti mali indagassent, modum tamen peccati nondum aperte cognovissent. Quoniam vero idololatræ erant, quod ei studium, sive munus, qua regione et patria oriundus, e quo populo veniret, memorare jubent, volentes, ut reor, discere quem Deum offendisset: nam quilibet vectorum suum sibi habebat, nec erat unus omnium communis. Existimabant autem, si infensum ipsi Jonæ numen coluissent, tempestatis incommoda profligaturos. Ast ubi propheta servum Dei se nominavit, qui fabricasset cœlum et terram, et ipsum se adorare dixit, illico eum a facie Dei fugisse animadverterunt, et quomodo id factum sit intellexerunt. Quoniam fas non erat Judæis descripta ac distributa illis **373** regione excedere: neque ad alienigenas, seu extraneos se conferre: neque in urbes idolorum cultui devotas introire. Id enim apud eos probro ducebatur, nec suspicione defectionis a patria religione carebat. Videbatur itaque in legem commisisse, criminique et pœnæ obnoxius. Quamobrem cum Dominus salute quæ per fidem acquiritur Judæos privatum iri perspicue confirmaret nisi lucem præsentis adhuc, et in mundo degentis complecti instituerent. Dicebat enim: « Adhuc modicum vobiscum sum, et vado ad eum qui misit me. Quæretis me, et non invenietis, et ubi ego sum, vos non potestis venire [49]. » Judæi ad gentes defectionem illi exprobrantes, inscite quærebant: « Quo hic iturus est, quia non inveniemus eum? Numquid in dispersionem gentium iturus est, et docturus gentes [50]? » Nam ut stolidum quiddam, et ab usu et consuetudine ipsorum quam remotissimum ignominia notant, gentium populis sese admiscere. Quoniam igitur intra Judææ fines non mansisset, navigaret autem cum ipsis Tarsos, suspicione moventur, et conjecturam capiunt, fortassis vitam secundum legem repudiare, et gentium institutis se addicentem, fugam a facie Dei occœpisse.

Z'. Φιλοπευστοῦσι χρησίμως, ὡς ἤδη μὲν κλήρῳ τὸν αἴτιον ἐπεγνωκότες, οὐκ ἔχοντες σαφῶς διειδέναι τῆς πλημμελίας τὸν τρόπον. Ἐπειδὴ δὲ ἦσαν εἰδωλολάτραι, ποῖον μὲν αὐτῷ τὸ ἐπιτήδευμα, ποῖα δὲ χώρα, καὶ πόλις, καὶ ἐκ ποίων ἔρχεται λαῶν προστετάχασιν εἰπεῖν, ζητοῦντες, οἶμαι, ποίῳ προσκέκρουκε Θεῷ· ἴδιος γὰρ ἦν τῶν ἐμπλεόντων ἑκάστῳ, καὶ οὐχ εἷς ὁ πάντων Θεός. Ἔφοντο δὲ ὅτι τὸν λελυπημένον ἐπ' αὐτῷ θεραπεύσαντες δαίμονα, τὰ ἐκ τοῦ χειμῶνος ἀποκρούσονται βλάβη. Ἐπειδὴ δὲ ὁ προφήτης δοῦλον ἑαυτὸν ὠνόμαζε Θεοῦ τοῦ τεκτηναμένου γῆν τε καὶ οὐρανόν, καὶ αὐτὸν ἔφη ποιεῖσθαι προσκυνητόν, συνῆκαν εὐθὺς, ὅτι πέφευγεν ἐκ προσώπου Θεοῦ, συνῆκαν δὲ ὅπως. Ὅτι μὴ ἐξῆν Ἰουδαίοις τῆς ἐκνεμηθείσης αὐτοῖς ἀπονοσφίζεσθαι χώρας, μήτε μὴν ἀλλοφύλοις ἐπιφοιτᾷν, μήτε πόλεσιν ἐμβάλλειν εἰδωλολατρίαις εἰθισμέναις. Μῶμος δὲ τὸ χρῆμα παρ' αὐτοῖς, καὶ οὐκ ἀνύποπτον εἰς ἀπόστασιν. Ἐδόκει δὴ εἶναι καὶ ἔξω νόμου, καὶ ἐν αἰτίᾳ, καὶ δίκῃ. Καὶ γοῦν ὁ μὲν Κύριος ἀπολισθήσειν αὐτοὺς τῆς σωτηρίας, τῆς ὡς ἐν πίστει φημὶ, διεβεβαιοῦτο σαφῶς, εἰ μὴ ἔλοιντο καταβαρεῖσθαι παρόντος ἔτι καὶ ἐνδημοῦντος ἐν κόσμῳ (Ἔφασκε γὰρ, ὅτι « Μεθ' ὑμῶν μικρὸν χρόνον εἰμὶ, καὶ ὑπάγω πρὸς τὸν πέμψαντά με. Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε, καὶ ὅπου ἐγώ εἰμι, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν »), οἱ δὲ τὴν Ἰουδαίων ἀπόστασιν ἐπὶ τὰ ἔθνη κατονειδίζοντες, ἔφασκον ἀμαθῶς· « Ποῦ μέλλει οὗτος πορεύεσθαι ὅτι ἡμεῖς οὐχ εὑρήσομεν αὐτόν; Μὴ εἰς τὴν διασποράν τῶν Ἑλλήνων μέλλει πορεύεσθαι, διδάσκειν τοὺς Ἕλληνας; » ὡς γὰρ ἐξίτηλόν τε καὶ ἔξω τριβῆς, καὶ συνηθείας ὡς ἀποτάτω τοῖς παρ' αὐτοῖς ὑπὸ μώμων ἄγουσι τὸ τοῖς Ἑλλήνων ἀναφύρεσθαι δήμοις. Ὅτι τοίνυν οὐ μεμένηκεν ἐν τοῖς τῆς Ἰουδαίας ὅροις, συνέπλει δὲ αὐτοῖς εἰς Ταρσοὺς, δέχονται τὰς ὑποψίας, διατεκμαίρονται δὲ, ὅτι παραιτεῖται τάχα που καὶ τὴν ἐν νόμῳ ζωὴν, καὶ τοῖς τῶν Ἑλλήνων ἔθεσιν ἑαυτὸν δοὺς, τὴν ὡς ἐκ προσώπου Θεοῦ μεμελέτηκε φυγήν.

VERS. 11, 12. *Et dixerunt ad eum: Quid tibi faciemus, et quiescet mare a nobis? quia mare ibat, et suscitabat magis fluctum. Et dixit Jonas ad eos: Tollite me, et mittite in mare, et quiescet mare a vobis. Quia novi ego quod propter me fluctus iste magnus super vos est.*

Καὶ εἶπαν πρὸς αὐτόν· Τί σοὶ ποιήσομεν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο, καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· Ἄρατέ με, καὶ ἐμβάλετε εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν. Διότι ἔγνωκα ἐγὼ, ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστιν.

VIII. Mare adversum se intolerabiliter concitatum metuebant, nec minus Hebræorum Deum horrescebant: nec enim, quanquam alienigenæ, quanta esset ejus potentia et gloria nesciebant. Quia vero servum Dei se nominarat, hærent deinceps, et ancipiti cogitatione distrahuntur. Non audent homini vitam eripere, iram Dei omnipotentis subveriti. Fluctibus autem irruentibus, non minus quam prius necessario de salute et incolumitate sua angun-

Η'. Δεδίασι μὲν ἀγριαίνουσαν κατ' αὐτῶν οὐ φορητῶς τὴν θάλασσαν· καταπεφρίκασι δὲ οὐδὲν ἧττον τὸν τῶν Ἑβραίων Θεόν· οὐ γὰρ ἦσαν ἐν ἀγνοίᾳ τῆς ἐνούσης αὐτῷ δυνάμεώς τε καὶ δόξης, καίπερ ὄντες ἀλλογενεῖς. Ἐπειδὴ δὲ δοῦλον ἑαυτὸν ἔφη Θεοῦ, διαποροῦσι λοιπὸν, καὶ μερίζονται τὰς γνώμας. Ὀκνοῦσι μὲν γὰρ τὸν φόνον, ὑποβλεπόμενοι τὴν ὀργὴν τοῦ πάντα ἰσχύοντος Θεοῦ. Ἐπιθρωσκούσης δὲ τῆς θαλάσσης αὐτοῖς οὐ μεῖον ἢ πρὶν ἀναγκαίαν τὴν ἐκεῖ

[49] Joan. VII, 33, 34. [50] ibid. 35

Digitized by Google

γε σφῶν αὐτῶν ποιοῦνται φροντίδα. Ταύτητοι παρακαλοῦσιν εἰπεῖν τὸ, τί ἂν γένοιτο παρ' αὐτῶν, καὶ κατευναθήσεται μὲν ὁ κλύδων, κατηρεμήσει δὲ καὶ τὸ κῦμα, καὶ τὸν ἐπὶ τοῖς ἐσχάτοις αὐτοὶ διαφεύξονται κίνδυνον. Τί οὖν ὁ προφήτης; Ὁμολογεῖ τὸ πλημμέλημα, καὶ προσκεκρουκὼς αἰσχύνεται, καὶ τῆς ἑαυτοῦ δυσβουλίας καταψηφίζεται. « Ἄρατέ με γάρ, φησί, καὶ ἐμβάλετε εἰς τὴν θάλασσαν. » Μονονουχὶ γὰρ τοῦ κατακνῆσαι τὴν ἀποστολὴν ἐξαιτεῖσθαι παρ' αὐτῶν δεῖν ἔφη τὰς δίκας. Ἤδει γὰρ ὅτι σπένδεταί πως τῇ νηῒ τὸ κλυδώνιον, εἰ λάβῃ τὸ ζητούμενον, καὶ καταλήξοι τῆς μάχης ἡ θάλασσα, ἔχουσα λοιπὸν τὸν προσκεκρουκότα.

Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν, καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο, καὶ ἐξεγείρετο μᾶλλον ἐπ' αὐτούς. Καὶ ἀνεβόησαν πρὸς Κύριον, καὶ εἶπον· Μηδαμῶς, Κύριε, μὴ ἀπολώμεθα ἕνεκα τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον. Διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου πεποίηκας. Καὶ ἔλαβον τὸν Ἰωνᾶν, καὶ ἐνέβαλον αὐτὸν εἰς τὴν θάλασσαν, καὶ ἔστη ἐκ τοῦ σάλου αὐτῆς.

Θ'. Ἑαυτοῦ μὲν τὸν θάνατον ὁ προφήτης κατεψηφίζετο, καὶ τῷ κινδύνῳ τῆς ἰδίας ψυχῆς καταλύειν αὐτοῖς ἠξίου τὸ δεῖμα. Οἱ δὲ ἦσαν ἔτι περιδεεῖς, καὶ ἀνηροὶ πρὸς μιαιφονίαν, δοῦλον δὲ ὄντα Θεοῦ σώζειν ἤθελον, καὶ ζῶντα δοῦναι τῇ χέρσῳ, οὕτω δὲ μᾶλλον ἀποφορτίσασθαι τὴν ὀργήν. Ταύτητοι παρεβιάζοντο καὶ προσκεῖλαι τὴν ναῦν, ἀλλ' ἦν τῶν ἐγχειρημάτων ἀνήνυτος κόπος, ἅμαχον αὐτοῖς τὸ κῦμα διανιστάντος τοῦ πνεύματος, καὶ ἀγρωτέραις ὁρμαῖς καταθέοντος τῆς ὁλκάδος. Ταύτητοι λοιπὸν ἐκμελίσσονται μὲν διὰ προσευχῆς, συγνώμονα δὲ αὐτοῖς γίνεσθαι παρακαλοῦσι τὸν Θεὸν, οὐ φονᾷν ἐθέλουσιν, ἀλλ' ὡς τοῖς αὐτοῦ παραχωροῦσι κρίμασι, καταθιαζομένοις τε λοιπὸν πρὸς τὸ δοῦναι τῇ θαλάσσῃ τὸν Ἰωνᾶν, καὶ δὴ καὶ δεδώκασιν. Ἡ δὲ λαβοῦσα, σπένδεται μόλις, ἁπλοῖ δὲ γαλήνην, καὶ δίδωσι μὲν τοῖς ναυτίλοις τοῦ σώζεσθαι τὴν ἐλπίδα· πανταχοῦ δὲ τοῖς θείοις εἴκουσα νεύμασι, καὶ Δεσποτικοῖς προστάγμασιν ὑπηρετοῦσα, γοργῶς ἐξ αὐτῶν ἐφαίνετο τῶν πράων.

Καὶ ἐφοβήσαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον, καὶ ἔθυσαν θυσίας τῷ Κυρίῳ, καὶ ηὔξαντο εὐχάς.

Ι'. Ὠφέληνται λίαν, ἕνα τε καὶ φύσει Θεὸν εἶναι πιστεύοντες, καίτοι μεμερισμένοι πρὸς ἕκτοπον πλάνησιν, καὶ μυρίους εἶναι νομίζοντες ἀνὰ τὸν κόσμον θεούς. Τοιγάρτοι θύουσι τῷ φύσει, καὶ μόνῳ, καὶ ἀληθῶς Θεῷ, παρέντες τοὺς ἑαυτῶν, καὶ ἐῤῥέσθαι φράσαντες τοῖς ἐξ ἀπάτης τετιμημένοις, καὶ τὴν Θεῷ πρέπουσαν ὑποκλέπτουσι δόξαν. Ἐπαγγέλλονται δὲ καὶ εὐχὰς, καίτοι τοῦτο δρᾷν εἰωθότες τοῖς ἐναλίοις δαίμοσι. Δοκεῖ γὰρ Ἑλλήνων παισὶ τὸ τῆς θαλάσσης ἀνῆφθαι κράτος Ποσειδῶνί τινι· μύθοι γὰρ πάντα τὰ παρ' ἐκείνοις, τερθρεία τε καὶ ἀποπληξία δεινή. Ἡμεῖς δὲ τὸν φύσει Θεὸν δοξάζοντες, αὐτῷ φαμεν ἀληθεύοντες· « Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης, » καὶ τὰ ἑξῆς.

[80] Psal. LXXXVIII, 10.

A tur. Quocirca orant uti aperiat quid ipsos ad sedandam tempestatem, ad fluctus componendos, atque ad extremum exitium effugiendum facere oporteat. Quid postea propheta? Crimen suum confitetur, et se offendisse erubescit, et consilium suum sinistrum condemnat. **374** Ait enim: « Tollite me, et mittite in mare. » Quibus verbis detrectationem profectionis suæ tantum non ultrices pœnas eos poscere oportere professus est. Norat enim fluctus, quodammodo facto sibi sacrificio, si, quem quærebant, accepissent, navi placatum iri, et mare ab oppugnatione desiturum, si de cætero reum excepisset.

B Vers. 13-15. *Et conabantur viri ut reverterentur ad terram, et non poterant, quia mare ibat, et insurgebat magis contra eos. Et clamaverunt ad Dominum, et dixerunt: Nequaquam, Domine, ne pereamus propter animam hominis istius, et ne des super nos sanguinem justum. Quia tu, Domine, sicut voluisti fecisti. Et tulerunt Jonam, et miserunt eum in mare, et stetit a commotione sua.*

IX. Propheta in semetipsum mortis sententiam tulit, et periculo vitæ suæ illis terrorem ac metum eximendum putavit. Qui tamen ad necem illi inferendam valde timidi ac segnes erant, et ut servum Dei servare, vivumque in terram exponere, atque hac ratione potius iræ divinæ onus quo premebatur, excutere desiderabant. Hac de causa navem appellere ad littus connitebantur, sed inanes flebant conatus; et vento increbrescente onerariamque turbulentius jactante, fluctibus resisti non poterat. Idcirco deinceps precibus Deum propitiantes, ut sibi ignoscat precantur, ut qui nolint occidere: sed tanquam judiciis ejus permittentibus, cogantur jam Jonam pelago tradere, sicut etiam tradiderunt. Pelagus eo accepto tandem sedatur, tranquillitatem diffundit, et nautis spem salutis reportat, et divino nutui quacunque cedens, Dominicis præceptis serviens, celeriter mite tractabileque apparet.

Vers. 16. *Et timuerunt viri timore magno Dominum, et immolaverunt hostias Domino, et voverunt vota.*

D X. Non modicam utilitatem percipiunt, unum et natura Deum esse credunt, tametsi absurdis erroribus discreparent, et mille mundi deos esse opinarentur. Quare naturali, et uni, ac vere Deo sacrificant, suis desertis, et valere jussis omnibus, quibus decepti cultum adhibuerunt; quibus gloriam Deo debitam suffurati erant. Promittunt insuper vota, licet id marinis dæmonibus facere consueverant. Græci enim **375** maris imperium penes quemdam Neptunum esse tradunt: omnia quippe apud eos fabulæ, imposturæ et horribiles insaniæ sunt. At nos eum qui natura Deus est laudibus celebrantes, vere illi dicimus: « Tu dominaris potestati maris [80], » etc.

Digitized by Google

CAP. II.

A

ΚΕΦΑΛ. Β'.

Vers. 1. *Et præcepit Dominus ceto magno, et devoravit Jonam. Et fuit Jonas in ventre ceti tres dies et tres noctes.*

XI. Mandat Dominus pisci, dum annuit. Illius enim velle quidpiam effici, est lex, et ipsa rei consummatio, et vim legis habet. Haud enim asserimus, sicut nobis ipsis, sive sanctis angelis, ita Deum universorum ceto mandasse, quodammodo menti eorum insonantem quid agendum esset, et cordibus notitiam eorum quæ voluerit immittentem. Hoc enim magnæ cujusdam simplicitatis et propemodum amentiæ foret, existimare videlicet etiam erga brutas animantes tali quadam ratione sese gerere universorum Deum. Sed si quid dicatur mandare B plane aut bestiis, aut elementis, aut alteri creaturæ, legem illi et mandatum divinum esse aio beneplacitum ipsius. Omnia siquidem ejus nutui cedunt, ac modus obedientiæ, nobis omnino ineffabilis, ipsi vero perspectissimus est. Devoratur itaque a ceto, inoffensus; et in ipso dies tres et noctes totidem moratur. Quæ res quibusdam fœda fortassis, et indecora videatur. Nam ante alios, qui natura et vere Deum nesciunt, istud non credunt; deinde diabolicis fraudibus ac fallaciis devincti. Dicent porro: Quomodo servari potuit in ceto? Quomodo deglutitus, non est consumptus, aut quomodo insitum visceribus calorem sustinuit, aut tanto humore in ventre circumfusus quo pacto vixit? Imo, qui tandem non instar alimenti coctus et digestus est? C Caruncula enim quiddam perinfirmum, et ad consumptionem perquam facile est. Respondemus ergo, vere præter opinionem et rationem, et supra consuetudinem merito haberi posse quod accidit. Sed si Deus præclari hujus miraculi auctor dicatur, quis erit qui ultra dubitet? Divino enim numine nihil potentius: a quo rerum natura nullo negotio in quod ipse voluerit transmutatur; et nihil est, quod nutui ipsius ineffabili repugnet. Quod enim natura sua interitui obnoxium est, **376** ipso volente, interitum effugiet. Et quod fixum atque inconcussum, et a corruptione tutum est, levi momento interibit. Natura enim rerum est, opinor, Creatoris arbitrium. Verumtamen et illud sciendum, D Græcos in fabulis a se compositis narrare, Alcmenæ Herculem et Jovis filium, devoratum quidem a ceto, redditum tamen, ab insito pisci calore capite duntaxat pilis denudato. Historiæ meminit Lycophron. Hic autem unus est eorum quos ipsi ut eximios admirantur. Ait enim de ipso:

Leonis trium noctium, quem aliquando maxillis,
Tritonis aspere dentatus canis marinus comprehen-
[dit.

Verum nos ex illorum figmentis divinorum mysteriorum probationem ac fidem non petimus, sed eorum opportune mentionem injicimus, ut incredulos redarguamus, quando hujusmodi narrationes

Καὶ προσέταξεν Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν. Καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

ΙΑ'. Προστάττει τῷ κήτει ὁ Θεὸς ἐν τῷ κατανεῦσαι. Τὸ γὰρ ἐθελῆσαί τι πρὸς πέρας ἐλθεῖν, τοῦτο καὶ νόμος ἐστὶ, καὶ πλήρωσις, καὶ νόμου δύναμιν ἔχει. Οὐ γάρ που φαμεν, καθάπερ ἁμέλει καὶ ἡμῖν αὐτοῖς, ἤγουν ἁγίοις ἀγγέλοις ἐντετάλθαι τῷ κήτει τὸν τῶν ὅλων Θεὸν, ἐνηχοῦντά πως εἰς νοῦν τὸ πρακτέον, καὶ καρδίαις ἐνιόντα τὴν ὧν ἂν ἕλοιτο γνῶσιν. Εὔηθες γὰρ κομιδῇ, καὶ ἀποπληξίας οὐ μακρὰν τὸ καὶ κνωδάλοις ἡγεῖσθαι κατὰ τοιόνδε τινὰ τρόπον τὸν τῶν ὅλων προσφέρεσθαι Θεὸν, ἀλλ' εἰ δή τι λέγοιντο προστάττειν ὅλως ἢ ζώοις ἀλόγοις, ἤγουν τοῖς στοιχείοις, ἢ μέρει κτίσεως, νόμον εἶναί φημι, καὶ πρόσταγμα τὸ αὐτῷ δοκοῦν. Πάντα γὰρ εἶκει τοῖς αὐτοῦ νεύμασι, καὶ ἀπόῤῥητος μὲν ἡμῖν παντελῶς ὁ τῆς ὑπακοῆς τρόπος, ἐγνωσμένος δὲ πάντως αὐτῷ. Καταπίνεται τοίνυν ὑπὸ τοῦ κήτους ἠδιημένος οὐδὲν, καὶ ἦν ἐν αὐτῷ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Δόξειε δ' ἂν ἴσως τὸ χρῆμα τισὶν ἀκαλλὲς εἶναί πως, καὶ πέρα λόγου τοῦ πρέποντος. Ἀπιστοῦσι γὰρ καὶ πρό γε τῶν ἄλλων οἱ τὸν φύσει καὶ ἀληθῶς οὐκ εἰδότες Θεὸν, προσκείμενοι δὲ ταῖς τῶν δαιμόνων ἀπάταις. Ἐροῦσι δέ· Πῶς ἂν διεσώθη γεγονὼς ἐν κήτει; Πῶς δὲ οὐκ ἂν ἐφθάρη καταπινάμενος, ἢ πῶς ἠνέσχετο τῆς ἐκφύτου θερμότητος, ὑγρότητι δὲ τῇ τοσαύτῃ περιεχόμενος, τῇ ἐν νηδύϊ φημὶ, πῶς διεβίω; Μᾶλλον δὲ πῶς οὐκ ἐν ἴσῳ τροφῆς δεδαπάνηται καθεψόμενος; Ἀσθενὲς γὰρ κομιδῇ, καὶ πολὺ λίαν ἕτοιμον εἰς καταφθορὰν τὸ σαρκίον. Φαμὲν οὖν, ὅτι παράδοξον ἀληθῶς, καὶ λόγου καὶ συνηθείας ἐπέκεινα νοεῖτ' ἂν εἰκότως τὸ συμβεβηκός. Ἀλλ' εἰ Θεὸς λέγοιτο κατορθοῦν, τίς ὁ ἀπιστήσων ἔτι; Παναλκὲς γὰρ τὸ θεῖον, καὶ τὰς τῶν ὄντων φύσεις μεταπλάττων εὐκόλως, πρὸς ὅπερ ἂν ἕλοιτο, καὶ τοῖς ἀῤῥήτοις αὐτοῦ νεύμασι τὸ ἀντεξάγον οὐδέν. Τὸ γὰρ φθείρεσθαι πεφυκὸς, κρεῖττον ἂν γένοιτο καὶ φθορᾶς, αὐτοῦ ἐθέλοντος. Καὶ τὸ πεπηγὸς, καὶ ἀκράδαντον, καὶ τοῖς τῆς φθορᾶς δυσάντητον νόμοις, πάθοι ἂν εὐκόλως φθοράν. Φύσις γὰρ, οἶμαι, τοῖς οὖσι τὸ τῷ κτίσαντι δοκοῦν. Πλὴν κἀκεῖνο ἰστέον, ὅτι Ἑλλήνων παῖδες τοὺς παρὰ σφισιν αὐτοῖς συντεθέντες μύθους, Ἡρακλέα φασὶ, τὸν Ἀλκμήνης καὶ Διὸς, καταποθῆναι μὲν ὑπὸ κήτους, ἐκδοθῆναι δὲ πάλιν ἐκ τῆς ἐκφύτου θερμότητος, ὑφιλωμένης αὐτῷ τῆς κεφαλῆς, καὶ μόνης τριχὸς πεπονθότι τὴν ἀπόφασιν. Μέμνηται δὲ τῆς ἱστορίας Λυκόφρων. Εἷς δὲ οὗτος τῶν παρ' αὐτοῖς λογάδων. Ἔφη γὰρ περὶ αὐτοῦ·

Τριεσπέρου λέοντος, ὃν ποτε γνάθοις
Τρίτωνος ἡμάλαψε κάρχαρος κύων.

Ἀλλ' οὐκ ἐκ τῶν παρ' ἐκείνοις μυθολογουμένων τὰ θεῖα πιστούμεθα, διαμεμνήμεθα χρησίμως, τοὺς ἀπιστοῦντας ἐλέγχοντες, ὅτι καὶ τῆς παρ' αὐτοῖς ἱστορίας ὁ λόγος οὐκ ἀπόβλητα ποιεῖται τὰ τοιάδε τῶν διηγη-

Digitized by Google

μάτων. Ἐπειδὴ δὲ τῷ παραδόξῳ, καὶ ἐκ τῶν ἔτι δρωμένων κατὰ βούλησιν Θεοῦ, χρῆναι συνειπεῖν τῶν ἀναγκαίων ὑπολαμβάνω, φέρε δὴ λέγωμεν, ὅτι καὶ ἐν μήτρᾳ τὸ ἔμβρυον ὑγρότητι μὲν ἐννήχεται τῇ φυσικῇ, κατακέχωσται δὲ ὥσπερ τῇ τῆς κυοφορούσης νηδύϊ, καὶ τὸ ἀναπνεῖν οὐκ ἔχει· ζῇ δὲ καὶ οὕτω, καὶ σώζεται, τοῖς τοῦ Θεοῦ νεύμασι παραδόξως τιθηνούμενον. Ἀλλ' οὐδεὶς ἂν τῶν τοιούτων ἐφίκοιτο λόγος, οὐδ' ἂν γένοιτό τισιν ἁλώσιμα τὰ τοῦ Θεοῦ. « Τίς γὰρ ἔγνω νοῦν Κυρίου; » κατὰ τὸ γεγραμμένον. Ἢ τίς ἂν εἰδείη τὰς τῶν παραδόξων ὁδούς; ἢ τίνος ὅλως οὐκ ἂν ὑπερφέροιντο νοῦν τὰ λόγου δύναμιν ὑπερτρέχοντα; Ἐπισφαλὲς οὖν ἄρα τὸ ἀπιστεῖν, κἂν εἴ τι τῶν ἄγαν ἐπέκεινα λόγου Θεὸς ἐργάζοιτο· παραδεξόμεθα δὲ ὡς ἀληθὲς τὴν ἄκαιρον ἐξιστάντες βάσανον.

Χρῆναι δέ φημι, τῆς ἐν Χριστῷ νοουμένης διακονίας παραληφθέντος εἰς τύπον τοῦ προφήτου, προσεπειπεῖν ἀναγκαίως, ὅτι κεκινδύνευκεν ἡ σύμπασα γῆ, κατεχειμάζετο τὸ ἀνθρώπινον, μονονουχὶ καταθρωσκόντων αὐτῇ τῶν τῆς ἁμαρτίας κυμάτων, δεινῆς τε καὶ ἀφορήτου περικλυζούσης ἡδονῆς, καὶ ὡς ἐν τάξει κλύδωνος κατεξανισταμένης τῆς φθορᾶς, καὶ πνευμάτων ἀγρίων καταῤῥηγνυμένων, τοῦ τε διαβόλου, φημὶ, καὶ τῶν ὑπ' αὐτόν τε καὶ σὺν αὐτῷ δυνάμεων πονηρῶν. Ἐπειδὴ δὲ ἦμεν ἐν τούτοις, ἠλέησεν ὁ Δημιουργὸς, πέπομφεν ἡμῖν ὁ Θεὸς καὶ Πατὴρ ἐξ οὐρανοῦ τὸν Υἱὸν, ὃς ἐν σαρκὶ γεγονὼς, καὶ εἰς γῆν ἀφιγμένος τὴν κινδυνεύουσαν καὶ χειμαζομένην, καθῆκεν ἑαυτὸν ἑκὼν εἰς θάνατον, ἵνα στήσῃ τὸν κλύδωνα, καὶ κοπάσῃ μὲν ἡ θάλασσα, κατευνασθείη δὲ τὸ κῦμα, καταλήξῃ δὲ καὶ ὁ κλύδων. Σεσώσμεθα γὰρ ἐν θανάτῳ Χριστοῦ. Καὶ ὁ μὲν χειμὼν παρελήλακεν, ὁ ὑετὸς ἀπῆλθεν, τὰ κύματα ἐστορέσθησαν, λέλυται τῶν πνευμάτων ἡ βία, βαθεῖα δὲ λοιπὸν ἔστρωται γαλήνη, καὶ ἐσμεν ἐν εὐδείαις ταῖς νοηταῖς, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν. Ἔχεις τι τούτων τὸ παραπλήσιον ἐν εὐαγγελικοῖς συγγράμμασι. Διέπλει μὲν γάρ ποτε τῶν ἀποστόλων τὸ σκάφος τὴν Τιβεριάδος θάλασσαν· εἶτα βαγδαίου τοῖς ὕδασιν ἐκβεβηκότος πνεύματος, ἀφορήτως κατεχειμάζοντο. Καὶ τὸν ἐπὶ τοῖς ἰσχάτοις κίνδυνον ὑπομένοντες, καθεύδοντα διανύττουσι συνόντα Χριστὸν, διαῤῥήδην ἀνακεκραγότες· « Ἐπιστάτα, σῶσον, ἀπολλύμεθα. » Ὁ δὲ διεγερθεὶς, φησὶν, ἐπετίμα μὲν τῇ θαλάσσῃ τὸ « Σιώπα, πεφίμωσο, » μετ' ἐξουσίας εἰπὼν, διέσωζε δὲ τοὺς μαθητάς. Τύπος δὲ ἄρα τὸ δρώμενον ἦν τῶν τῇ ἀνθρωπείᾳ φύσει συμβεβηκότων. Δι' αὐτοῦ γὰρ, ὡς ἔφην, ἀπηλλάγμεθα καὶ θανάτου φθορᾶς, καὶ ἁμαρτίας, καὶ παθῶν, καὶ ὁ πάλαι χειμὼν ἀπελήλαται, μετακεχώρηκε δὲ πρὸς γαλήνην τὰ καθ' ἡμᾶς.

Καὶ προσεύξατο Ἰωνᾶς πρὸς τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ εἶπε· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου, ἤκουσας φωνῆς μου.

ΙΒ'. Ἀδικηθεὶς οὐδὲν, οἶκῳ δὲ ὥσπερ τῷ κήτει

etiam apud ipsos solita narrari historia non aspernabiles reddit. Quoniam autem huic rei tam admirabili necessario assentiendum existimo, etiam propter ea quæ usque hodie Dei voluntate fiunt, age dicamus : etiam in utero infans humori naturali innatat, et in ventre prægnantis velut sepultus, respirare non potest : vivit nihilominus et servatur, Dei nutu mirabiliter nutritus. Sed istiusmodi nulla oratio consequatur, neque divina ab ullis mortalibus capi queant. « Quis enim cognovit sensum Domini? » ut scriptum est [81]. Aut quis noverit admirabilium vias? aut cujus tandem captum non excedant, quæ vim rationis exsuperant? Lubricum est igitur fidem non adhibere, etiamsi quidpiam longe supra rationem Deus operetur : quod ut verum amplectemur, intempestivum examen fugientes.

Cum autem propheta ad typum ministerii quod in Christo intelligitur assumptus sit, illud quoque his addendum prorsus judico : Universus terrarum orbis in periculum veniebat, humanum genus tempestate agitabatur, tantum non fluctibus peccati in ipsum insilientibus, diraque et nimium onerosa voluptate circumfluente, et perditione instar fluctuum insurgente, ventis immane prorumpentibus, diaboli, inquam, et malignarum sub ipso et cum ipso potestatum. Cumque in his miseriis jaceremus, misertus nostri conditor Deus Pater, de cœlo Filium misit, qui homo natus, et in terram periculis et tempestate jactatam delatus, semetipsum ultro in mortem demisit, **377** ut procellam compesceret, et placidum staret mare, et fluctus subsiderent, et tempestas desineret. Per mortem enim Christi salvati sumus. Et tempestas quidem præterilit, imber recessit, fluctus conquierunt, ventorum violentia compressa est, magna deinceps explicata serenitas, et Christo pro nobis mortuo in tranquillitate vivimus. Simile quiddam horum in scriptis evangelicis habes. Apostolorum enim navigium mare Tiberiadis aliquando trajiciebat, cum, undis vehementi flamine exasperatis, intolerabilem in modum jactari cœperunt. In extremum igitur adducti periculum, Christum qui aderat, dormientem impellunt, clare exclamantes : « Domine, salva nos, perimus [82]. » Ille vero experrectus increpavit mare cum potestate, dicens : « Tace, obmutesce [83], » et discipulis salutem dedit. Istud ea quæ humanæ naturæ acciderunt adumbravit. Per ipsum namque, ut dixi, et a morte, et a corruptione, et a peccato, et a pœnis liberati sumus, et, depulsa antiqua tempestate, res quoque nostræ in serenitatem commigrarunt.

VERS. 2, 3. *Et oravit Jonas ad Dominum Deum suum de ventre ceti, et dixit : Clamavi in tribulatione mea ad Dominum Deum meum, et exaudivit de ventre inferni clamorem meum, audisti vocem meam.*

XII. Nihil læsus, et ceto pro domicilio utens,

[81] Rom. xi, 34. [82] Matth. viii, 25. [83] Marc. iv, 39.

Digitized by Google

mentis compos, nullaque ex parte vel corpore, vel animo vitiatus, sentit auxilium. Sciebat Deum esse benignum et clementem, et cum non ignoraret hoc sibi inde evenisse quod ministerium gravatus esset, dat se in preces, et gratiarum actoriam supplicationem sursum emittit, simulque gloriam conservantis se confitetur, et potentiam admiratur, et mansuetudinem prædicat. Exauditam quippe precationem suam testatur, id quod spiritu prophetico, ut arbitror, intelligebat. Quod ait, « de ventre inferi, » idem est, quod de ventre ceti. Belluam enim inferno apte comparat, utpote quæ, quod cepisset, occidere et sæviter absorbere nosset.

A χρησάμενος, εὔνους τε ὑπάρχων, καὶ κατ' οὐδένα τρόπον ἢ σῶμα τυχὸν, ἢ φρένα λελωβημένος, αἰσθάνεται τῆς ἐπικουρίας. Οἶδε γεγονότα τὸν Θεὸν εὐμενῆ, οὐκ ἠγνοηκὼς δὲ τὸ συμβὰν ἐκ τοῦ κατοκνῆσαι τὴν διακονίαν, τρέπεται πρὸς εὐχὰς, καὶ χαριστηρίους μὲν ἀνατείνει λιτὰς, ὁμοῦ δὲ τὴν δόξαν ὁμολογεῖ τοῦ σώζοντος, καὶ καταθαυμάζει τὴν ἐξουσίαν, καὶ ἀνακηρύττει τὴν ἡμερότητα. Δεχθῆναι γὰρ ἔφη τὴν ἑαυτοῦ προσευχὴν, καὶ τοῦτο, οἶμαί που, προφητικῷ πνεύματι συνιείς. Τὸ δὲ, « ἐκ κοιλίας ᾅδου, » τὸ οἷον ἐκ τῆς τοῦ κήτους γαστρὸς, ᾅδῃ καὶ θανάτῳ παρεικάζων εὐφυῶς τὸ θηρίον, ἅτε δὴ καὶ φονεύειν εἰδὸς, καὶ καταῤῥοφεῖν ἀγρίως τὸν ἁλισκόμενον

Vers. 4,5. *Projecisti me in profunda cordis maris, et flumina circumdederunt me. Omnes elevationes tuæ, et fluctus tui super me transierunt. Et ego dixi: Abjectus sum ex oculis tuis.*

Ἀπέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με. Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Κἀγὼ εἶπον· Ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου.

XIII. Multimodis enarrat casum suum, **378** ad superna quasi eum referens, divinoque nutui testimonium dans, eum profligare omne genus malorum facile posse. In ipsis enim recessibus maris, et in confusione multarum aquarum, instar fluctuum fluvialium ipsum pulsantium, se fuisse affirmat, et eo calamitatis delapsum, ut cogitaret divinos oculos a se penitus aversos, et salutem sibi in desperatis habendam. Sane gravissimum et exitiosum est, non aspici a Deo. Proinde et David orabat, inquiens: « Ne avertas faciem tuam a me, et ne declines in ira a servo tuo [83*]. » Aversiones istas utique divinæ iræ perferendæ necessitas sequetur; quinimo aversionem ira prius exorta antecedet. φαῖς τὸ χρῆναι παθεῖν τὴν θείαν ὀργὴν, μᾶλλον δὲ θυμός.

Ιʹ. Ἐξηγεῖται πολυτρόπως τὸ συμβεβηκὸς, ἀνακομίζων ὥσπερ ὑψοῦ τὴν χάριν, καὶ τοῖς θείοις νεύμασιν ἐπιμαρτυρῶν τὸ καὶ ἐκ παντὸς δύνασθαι κακοῦ διασώζειν εὐκόλως. Ἐν αὐτοῖς μὲν γὰρ γεγενῆσθαί φησι τοῖς τῆς θαλάσσης μυχοῖς, καὶ ἐν συγχύσει πολλῶν ὑδάτων, ποταμίοις ἐν ἴσῳ κύμασιν ἐπικλυζόντων αὐτὸν, καὶ συμφορᾶς εἰς τοῦτο κατωλισθηκότα, ὡς ἐννοῆσαι λοιπὸν παντελῆ τῶν θείων ὀμμάτων ὑπομεῖναι τὴν ἀποστροφὴν, καὶ εἰς ἀπόγνωσιν τῆς σωτηρίας ἐλάσαι. Πάνδεινον δὲ τὸ χρῆμα, καὶ ὀλέθρου πρόξενον, τὸ ἐξ ὀμμάτων φημὶ γενέσθαι Θεοῦ. Τοιγάρτοι καὶ Δαβὶδ ἐλιπάρει λέγων· « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. » Ἕπεται δὲ πάντως ταῖς ἀποστροφαῖς προανατελεῖ που καὶ προηγήσεται τῆς ἀποστροφῆς ὁ

Vers. 6, 7. *Circumfusa est mihi aqua usque ad animam; abyssus vallavit me extrema. Intravit caput meum in scissuras montium; descendi in terram, cujus vectes ejus retinacula sempiterna. Et ascendat ex corruptione vita mea ad te, Domine Deus meus.*

Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου· ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. Ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων· κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι. Καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σέ, Κύριε ὁ Θεός μου.

XIV. Novit se potentia Dei custoditum, et superno auxilio dignatum vitam retinere, et salutem consecutum, idque in ceto et ventre belluæ præter opinionem et rationem. Ambigit tamen, non immerito, num etiam ab ea reddendus atque in lucem restituendus sit. Optandum autem longe maxime et vere multis expetendum votis existimat, divinum templum revisere, Deoque servatori suo laudes dicere. Hujusmodi beneficium consequi optat, testificans, ut dicebam, Deum omnia egregie præstare et efficere posse.

Ιαʹ. Οἶδε μὲν ὅτι δυνάμει Θεοῦ τετήρηται, καὶ τῆς ἄνωθεν ἐπικουρίας ἠξιωμένος διεβίω, καὶ σέσωσται, καὶ τοῦτο ἐν κήτει καὶ κοιλίᾳ θηρὸς παραδόξως καὶ ὑπὲρ λόγον. Ἐνδοιάζει γε μὴν, κατὰ τὸ εἰκὸς, εἰ καὶ ἐκδοθήσεται, καὶ εἰς φῶς ἐλάσει πάλιν. Τριπόθητον δὲ ποιεῖται καὶ πολύευκτον ἀληθῶς τὸ καὶ εἰς αὐτὸν ἐλάσαι τὸν θεῖον νεὼν, ἀναθεῖναί τε τὰς δοξολογίας τῷ σεσωκότι Θεῷ. Καὶ τῆς τοιᾶσδε χάριτος εὔχεται τυχεῖν, τὸ πάντα δύνασθαι κατορθοῦν, ὡς ἔφην, ἐπιμαρτυρῶν τῷ Θεῷ.

Vers. 8, 9. *Et præcepit Dominus piscibus grandibus, et devoravit Jonam. Et erat Jonas in ventre piscis tribus diebus et tribus noctibus.*

Καὶ προσέταξε Κύριος τῷ κήτει τῷ μεγάλῳ, καὶ κατέπιε τὸν Ἰωνᾶν. Καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

XV. Inexplicabili potentia servatus a Deo, insignius ei gratias cantare vult. Enarrat ad unguem quæ sibi contigerint, et quali cinctus sit calamitate exacte docet; quomodo autem salvatus sit, subjungit. Se igitur in mari, et in abysso multa, et in scissuris montium fuisse, subeunte ceto petras et

Ιεʹ. Ἀῤῥήτῳ δυνάμει σεσωσμένος παρὰ Θεοῦ, λαμπροτέρας βούλεται τὰς τῶν εὐχαριστηρίων ἀναπέμπειν ᾠδάς. Ἀφηγεῖται που πάντως τὰ συμβεβηκότα, καὶ ποίᾳ μὲν γέγονε περίσχετος συμφορᾷ διδάσκει λεπτῶς, σέσωσται δὲ ὅπως ἀνακηρύττει πάλιν. Ὅτι τοίνυν ἐν θαλάσσῃ γέγονε, καὶ ἐν ἀβύσσῳ πολλῇ,

[83*] Psal. xxvi, 9.

Digitized by Google

καὶ ἐν σχισμαῖς ὀρέων, καταδυομένου, κατὰ τὸ εἰκὸς, τοῦ κήτους ἐν πέτραις καὶ τοῖς ἐν ἁλὶ σπηλαίοις, οὐκ ἠγνόησεν ὡς προφήτης. Καθικέσθαι δέ φησιν εἰς γῆν, « ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι, » τουτέστι τὸν ᾅδην, οὐχ ὅτι γέγονεν ἐκεῖσε, τεθνεῶτα γὰρ οὐχ εὑρήσομεν, ἀλλ' ὅτι τῶν κινδύνων τὸ μέγεθος, καὶ τῶν συμβεβηκότων τὸ ἄχθος οὐδὲν ἀποδεῖ τοῦ καὶ ἐκτεθνᾶναι δοκεῖν, καὶ εἰς αὐτὸν ἀφικέσθαι τὸν ᾅδην, ὅθεν οὐκ ἂν ἐξοίχοιτό τις, ὑπονοστείσειε δ' ἂν οὐδαμῶς ὁ ἅπαξ ἐνειλημμένος. Τοῦτο γὰρ οἶμαι δηλοῦν τὸ, « κατόχους ἔχειν εἰς αἰῶνας τοὺς μοχλοὺς, » οἷον ἀῤῥήκτους, καὶ ὑπ' οὐδενὸς πώποτε νενικημένους ἡγουν παραλελυμένους. Ὅτι δὲ οὐ τέθνηκε, διεδίω δὲ ἐν τῷ κήτει, καὶ ἦν ἐν αὐτῷ, τῶν εἰς θάνατον ἡ καταφθορὰν πεπονθὼς οὐδέν, ἀποφήνειεν ἂν εὐκόλως τὸ καὶ ἐν ἐλπίσιν εἶναι τοῦ σωθήσεσθαι πάλιν. Ταύτητοί φησι τό· « Ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, Κύριε ὁ Θεός μου. » Ἐκδοθῆναι γὰρ εἰς φῶς εὔχεται, καὶ οἷον ἐξ ᾅδου τῆς τοῦ κήτους ἀνενεχθῆναι γαστρός.

Ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ Κυρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν ἅγιόν σου.

ΙϚ'. Τοῖς ἐθέλουσιν εὐδοκιμεῖν οὐκ ἀκερδὴς ὁ πόνος, οὐδ' ἂν νοοῖτο τὸ θλίβεσθαι φορτικόν. Καὶ μαρτυρήσει λέγων Δαβίδ· « Ἐν θλίψει ἐπεκαλεσάμην τὸν Κύριον, » ἕτερος δὲ αὖ τῶν ἁγίων προφητῶν· « Κύριε, ἐν θλίψει ἐμνήσθην σου. » Ἐδόκει δὲ σφόδρα καὶ τῷ θεσπεσίῳ Παύλῳ ἀποδέχεσθαι, καὶ ἐπαινεῖν τὴν θλῖψιν, τὴν ἐπ' ἀρετῇ δηλονότι συμβαίνουσαν. Ἔφη γάρ, ὅτι « Ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, » καὶ τὰ ἑξῆς. Ἐκλειπούσης δὴ οὖν τῆς τοῦ προφήτου ψυχῆς, τουτέστι τὸν εἰς κίνδυνόν τε καὶ τὸν ἐπ' ἐσχάτοις ὑπομενούσης πόνον, πάλιν τι τῶν ὠνησιφόρων ἐπράττετο. Οὐ γὰρ, κατά τινας, εὐθὺς ἀπολισθήσας εἰς ἀκηδίαν τῶν θείων κριμάτων ἐποιεῖτο κατάῤῥησιν, ἀλλ' ἐμνήσθη τοῦ σώζοντος· βεβόηκε γὰρ πρὸς αὐτὸν, δεδίψηκε τὴν ἐπικουρίαν, οὐκ ἀγνοήσας τὴν ἡμερότητα, καὶ τὴν τῆς ἰσχύος ὑπεροχὴν, τὰς πρὸς αὐτὸν ἐποιεῖτο λιτὰς, ῥυσθῆναι παρακαλῶν ἐκ θανάτου καὶ φθορᾶς τὴν ἑαυτοῦ ζωήν. Μέγα δὴ οὖν καὶ ἀξιάγαστον τὸ ἐν πόνοις μὴ ἀκηδιᾷν, ἱκετείαις δὲ μᾶλλον καὶ λιταῖς ἐκμειλίσσεσθαι τὸν Δεσπότην, καὶ παρ' αὐτοῦ ζητεῖν τοῦ κακοῦ τὴν ἀνάκλησιν, καὶ τῆς συμφορᾶς τὴν λύσιν.

Φυλασσόμενοί ματαια καὶ ψευδῆ, ἔλεος αὐτῶν ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι. Ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ.

ΙΖ'. Ἕτεροι μὲν γὰρ, φησὶν, σὲ τὸν τῶν ὅλων ἠγνοηκότες Δεσπότην, τὸν Δημιουργὸν, εἶτα τοῖς τῆς ματαιότητος ἐνειλημμένοι βρόχοις, καὶ τοῖς ψευδωνύμοις θεοῖς ἀναθέντες τὸ σέβας, καὶ διώκοντες μὲν ὄρνεα πετώμενα τὴν ἐπ' ἐκείνοις ἐλπίδα, ποιμαίνοντες δὲ καὶ ἀνόμους, οὐκ ἐξαιτοῦσι παρὰ σοῦ τὸν ἔλεον, οὔτε μὴν ἐλπίδος εἴσω γεγόνασι τῆς τοιᾶσδέ ποτε. Ἐγὼ δὲ οὐ κατ' ἐκείνους ποτὲ, ἀλλ' οἶδά σε τὸν ἐπίκουρον, τὸν ἀγαθόν τε καὶ φιλοικτίρμονα.

A specus sub mari, non ignoravit, quia propheta scilicet. Devenisse porro ait in terram, « cujus vectes retinacula sempiterna, » hoc est, ad inferos: non quod ibi fuerit (non enim legimus exstinctum), sed quod periculorum magnitudo et casus tanti moles nihil prohiberet, quin mortuus et in ipsum descendisse 379 infernum putaretur, unde nemo exiverit, nec ab eo semel conclusus revocare ad superos gradum possit. Hoc enim velle sibi opinor quod dicitur, habere « vectes retinacula sempiterna, » quasi infractos, et a nemine unquam evictos sive dissolutos. Quod autem animam in ceto non amisit, fuitque in eodem nihil passus, quod mortem aut corruptionem afferret, planum est inde quod etiam rursum se salvum fore spem concipit. Quocirca subdit: B « Ascendat de corruptione vita mea, Domine Deus meus. » Restitui enim in lucem, et ex ventre ceti velut ex inferno emergere optat.

Vers. 8. *Cum deficeret a me anima mea, Domini memoratus sum: et veniat ad te oratio mea ad templum sanctum tuum.*

XVI. Clarescere cupientibus fructuosus est labor, nec illis afflictio molesta et onerosa videri potest. Testis erit David: « In tribulatione, inquit, invocavi Dominum [84], » et alius de sanctis prophetis, « Domine, in tribulatione recordatus sum tui [85]. » Divinus quoque Paulus tribulationem complectendam et commendandam vehementer, propter virtutem nimirum inde efflorescentem, existimavit. Ait enim: C « Tribulatio patientiam operatur [86], » et cætera. Deficiente igitur propheta anima, hoc est, extremorum discriminum labores sustinente, rursum quidpiam conducibile agit. Non enim, ut quidam, statim in negligentiam prolapsus, divina judicia condemnat: sed servantis se memor, ad eum clamat, opem ardenter expetit, ejusque mansuetudinem et potentiam excellentem non ignorans, obsecrat, vitamque suam e morte et exitio eripi rogat. Magnum igitur quiddam, et admiratione prosequendum est, afflictionibus non torpere, sed obtestando et obsecrando flectere Dominum, ab eoque mali revocationem et calamitatis finem petere.

Vers. 9, 10. *Qui custodiunt vana et mendacia, misericordiam suam reliquerunt. Ego autem cum voce laudis et confessionis immolabo tibi. Quæcunque vovi reddam tibi in salutem meam Domino.* D

XVII. Alii quidem, inquit, te universorum Dominum ac moliorem nescientes, et vanitatis implicati laqueis, et deos commentitios adorantes, et spem suam in volatilibus observandis pascentes, et iniqui, 380 abs te misericordiam non exposcunt, nec in istam spem unquam ingressi sunt. Ego autem nunquam ut illi, sed novi te auxiliatorem, bonum et promptum ad miserandum. Proinde voce et precibus confitebor tibi, inquit, et cantica quasi quoddam

[84] Psal. xvii, 7. [85] Isa. xxvi, 16. [86] Rom. v, 3.

Digitized by Google

fragrantissimum thymiama tibi offeram. Gratiarum actionibus plena nempe et spiritualia sacrificia faciam tibi, glorificationem et laudationem. Ac perlibenter votis salutaribus fungar : hoc est, quæcunque mihi salutifera sunt, et animæ meæ conducunt. Hæc autem sunt ad omne beneplacitum obedientia, et prophetici ministerii perfunctio, omni cunctatione ac pusillanimitate sublatis.

Τοιγάρτοι μετὰ φωνῆς καὶ δεήσεως ἐξομολογήσομαί σοι, φησὶ, καὶ ὥσπερ τι τῶν εὐοσμοτάτων θυμιαμάτων ἀναθήσω τὰς ᾠδάς, χαριστηρίους δὲ δηλονότι καὶ πνευματικὰς προσοίσω σοι θυσίας, τὴν δοξολόγησιν, τὴν εὐφημίαν. Ἀποπερανῶ δὲ καὶ μάλα προθύμως τὰς εἰς σωτηρίαν εὐχὰς, τουτέστιν, ὅσα μοι τὸ σώζεσθαι κατεργάζεται, καὶ τὴν ἐμὴν ὀνίνησι ψυχήν. Τόδε ἦν ἡ πρὸς ἅπαν ὁτιοῦν τῷ Θεῷ δοκούντων ὑπακοὴ, καὶ τῆς προφητικῆς λειτουργίας ἐκπλήρωσις, ὄκνου τε παντὸς καὶ μικροψυχίας ἐξῃρημένων.

Orat itaque propheta in ceto latens. Ac typus quidem est humanus, vera autem rei imago, hoc est, Christus, ante pretiosam crucem, tantum non passione jam irruente apparuit, cum Patrem cœlestem sic est precatus : « Si possibile est, transeat a me calix iste [87]. » Ingens eum horror circumstetit, ac veluti pressavit. Utrum autem, ubi in loca subterranea descendit, quiddam humanum locutus sit, ipse noverit, id enim affirmare periculosum est. Constat tamen sanctum Petrum vocem Davidis illi ascribere : « Propter hoc non derelinques animam meam in inferno, neque dabis sanctum tuum videre corruptionem [88]. » Tertio enim die revixit, « juxta quod impossibile erat [89], » cum esset ipse naturaliter vita. « mortis vinculis eum detineri. »

Εὔχεται μὲν οὖν ὁ προφήτης ἐν τῷ κήτει γεγονώς· καὶ ὁ μὲν τύπος ἀνθρώπινος, ἡ δὲ ἀληθὴς τοῦ πράγματος εἰκὼν, τουτέστι Χριστὸς, ἐφαίνετο πρὸ τοῦ τιμίου σταυροῦ, μονονουχὶ καὶ εἰσβάλλοντος ἤδη τοῦ παθεῖν, πρὸς τὸν ἐν τοῖς οὐρανίοις Πατέρα λέγων· « Εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο. » Γέγονε δὲ καὶ περιδεὴς, καὶ ὡς συνεχόμενος. Εἰ δὲ δὴ καὶ ἐν ὑποχθονίοις ἀφικόμενος χώραις λελάληκέ τι τῶν ἀνθρωπίνων, αὐτὸς ἂν εἰδείη· σφαλερὸν γὰρ εἰπεῖν. Πλὴν εὑρήσομεν τὸν θεσπέσιον Πέτρον αὐτῷ προσνέμοντα τὰ διὰ φωνῆς τοῦ Δαβίδ· « Διὰ τοῦτο οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. » Τριήμερος γὰρ ἀνεβίω, « καθότι οὐκ ἦν δυνατὸν» ζωὴν ὄντα κατὰ φύσιν, « αὐτὸν τοῖς τοῦ θανάτου κρατεῖσθαι δεσμοῖς. »

Verbs. 11. *Et præceptum est ceto, et eiecit Jonam super aridam.*

Καὶ προσετάγη τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν.

XVIII. Iterum jubetur cetus, divina quadam et inexplicabili virtute ad ejus nutum ac voluntatem motus. Quinetiam e visceribus prophetam emittit, non sine fructu ex perpessione, quin ex ipsa experientia incitatum magis et probe doctum, periculosum esse Dominicis decretis se opponere.

ΙΗ'. Προστάττεται πάλιν τὸ κῆτος θείᾳ τινὶ καὶ ἀπορρήτῳ δυνάμει Θεοῦ πρὸς τὸ αὐτῷ δοκοῦν κινούμενον. Καὶ δὴ καὶ ἐκ λαγόνων ἀνίησι τὸν προφήτην, οὐκ ἀκερδὲς ἔχοντα τὸ παθεῖν, ἠκονημένον δὲ μᾶλλον ἐκ πείρας, καὶ ἐγνωκότα σαφῶς, ὡς ἔστιν ἐπισφαλὲς τὸ δεσποτικοῖς ἀντιβλέπειν δόγμασι.

CAP. III.

ΚΕΦΑΛ. Γ'.

Verbs. 1, 2. *Et factus est sermo Domini ad Jonam secundo, dicens : Surge et vade in Niniven civitatem illam magnam, et prædica in ea secundum prædicationem priorem, quam ego locutus sum ad te.*

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου, λέγων· Ἀνάστηθι, καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ λελάληκα πρὸς σέ.

381 XIX. Alacrior itaque multo et promptior factus, denuo pergere Niniven jubetur, idemque proclamare quod antea in mandatis accepe-rat, nempe, « Quoniam ascendit clamor malitiæ ejus ad me. » Et quanquam dixi modo quæ ad Christum pertinent, tamen nihil gravatus iterum dicam. Scriptum quippe exstat, quoniam « Eadem dicere mihi quidem non pigrum, vobis autem necessarium [90]. » Ergo antequam in pretiosa cruce suffigeretur, certum est Christum cunctatum etiam gentibus oraculorum evangelicorum sermonem impertire. Quare apertissime ait : « Non sum missus nisi ad oves quæ perierunt domus Israel [91]. » Et ipsis sanctis discipulis mandabat : « In viam gentium ne abieritis [92], » et quæ sequuntur. Cæterum fuit « in corde terræ tribus diebus et tribus

Ιθ'. Θερμοτέραις δὴ οὖν προθυμίαις ἤδη χρώμενος, διακελεύεται πάλιν ἰέναι μὲν εἰς τὴν Νινευὶ, κεχρῆσθαι δὲ τῷ αὐτῷ κηρύγματι, τῷ καὶ ἐν ἀρχῇ πρὸς αὐτὸν εἰρημένῳ· τοῦτο δὲ ἦν, « Ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. » Ἔφην μὲν οὖν ἤδη τὰ ἐπὶ Χριστῷ, πλὴν ἐρῶ πάλιν, ὀκνήσας οὐδέν. Γέγραπται γὰρ, ὅτι « Τὰ αὐτὰ λέγειν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. » Οὐκοῦν πρὸ μὲν τοῦ τιμίου σταυροῦ κατοκνοῦντά που ἔτι Χριστὸν εὑρήσομεν, εἰς γε τὸ χρῆναι, φημὶ, καὶ τοῖς ἐξ ἐθνῶν τὸν τῶν εὐαγγελικῶν θεσπισμάτων προθεῖναι λόγον. Καὶ γοῦν ἐναργέστατά φησιν· « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ ἀπολωλότα πρόβατα οἴκου Ἰσραήλ. » Καὶ αὐτοῖς δὲ τοῖς ἁγίοις ἐνετέλλετο μαθηταῖς· « Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, » καὶ τὰ ἑξῆς. Ἀλλὰ γέγονεν « ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. »

[87] Matth. xxvi, 39. [88] Psal. xv, 10. [89] Act. ii, 24. [90] Philipp. iii, 1. [91] Matth. xv, 24. [92] Matth. x, 5.

Digitized by Google

Ἦλθε δὲ ἐπὶ πηγὰς «θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησεν.» Ἔδυ δὲ ὥσπερ εἰς σχισμὰς ὀρέων, καὶ καταβέβηκεν εἰς γῆν, «ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι.» Εἶτα σκυλεύσας τὸν ᾅδην, καὶ τοῖς ἐκεῖσε διακηρύξας πνεύμασι, καὶ τὰς ἀκινήτους πύλας ἀνεῖς, ἀνεβίω πάλιν. Ἀναβέβηκε γὰρ ἐκ φθορᾶς ἡ ζωὴ αὐτοῦ, ὤφθη δὲ οὕτω καὶ πρό γε τῶν ἄλλων ταῖς ἐν τῷ κήπῳ ζητούσαις αὐτὸν γυναιξίν. Εἶτα τὸ χαίρειν εἰπών, ἀπαγγέλλειν ἐκέλευσε τοῖς ἁγίοις μαθηταῖς, ὅτι προάγει αὐτοὺς εἰς τὴν Γαλιλαίαν. Τότε γέγονε καὶ πρὸς τὰ ἔθνη λοιπὸν ὁ λόγος αὐτοῦ διὰ τῶν μακαρίων ἀποστόλων. Τότε τοῖς πλανωμένοις «ἐκήρυξε κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν.» Οὐ γὰρ ἑτέραις ἐντολαῖς πεπαιδαγώκηκε μὲν πρὸ τοῦ θανάτου τὸν Ἰσραὴλ, ἑτέραις δὲ μετὰ τοῦτον τοὺς ἐξ ἐθνῶν· ἀλλ' ἓν ἐπὶ πάντας τὸ Εὐαγγέλιον, καὶ τῶν θείων μαθητῶν ἡ γνῶσις μία πάντως, καὶ οὐχ ἑτέρα παρά γε τοῖς ἐξ Ἰσραὴλ καὶ ἡμῖν τοῖς ἐξ ἐθνῶν κεκλημένοις διὰ τῆς πίστεως εἰς ἁγιασμόν.

A noctibus[63].» Et venit ad fontes, «seu profunda «maris, et in vestigiis, seu novissimis abyssi deambulavit[64].» Ingressus est quasi fissuras montium, et descendit in terram, «cujus vectes retinacula sempiterna.» Deinde spoliato inferno, et affatus spiritus ibidem constitutos, apertisque portis immobilibus, in vitam est reversus. Ascendit enim ex interitu vita ejus, atque ita visus est ante alios mulieribus in horto eum quærentibus. Deinde ubi eas salutavit, sanctis discipulis ferre nuntium præcepit, seipsos in Galilæam præcessurum[65]. Tum etiam gentibus verbum ejus per beatos apostolos annuntiatum est. Tunc errantibus «secundum prædicationem priorem prædicavit.» Nec enim aliis præceptis ante mortem Israelem, aliis postea gentes B erudivit; sed unum pervenit ad omnes Evangelium, et divinorum apostolorum una omnino scientia, et nos alia exstitit apud eos qui sunt ex Israel, alia apud nos, qui ex gentibus per fidem in sanctificationem vocati sumus.

Καὶ ἀνέστη Ἰωνᾶς, καὶ ἐπορεύθη εἰς Νινευή, καθὰ ἐλάλησε Κύριος. Ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ, ὡσεὶ πορείας ὁδοῦ ἡμερῶν τριῶν. Καὶ ἤρξατο Ἰωνᾶς εἰσπορεύεσθαι εἰς τὴν πόλιν, ὡσεὶ πορείας ἡμέρας μιᾶς. Καὶ ἐκήρυξε, καὶ εἶπεν· Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται.

Vers. 3, 4. *Et surrexit Jonas, et abiit Niniven, sicut locutus est Dominus. Ninive autem erat civitas magna Deo, quasi itineris viæ trium dierum. Et cœpit Jonas ingredi in civitatem quasi itinere diei unius. Et prædicavit, et dixit: Adhuc tres dies, et Ninive subvertetur.*

Κ'. Στέλλεται μὲν ὁ προφήτης, καὶ προθυμίαις ἀμάχοις διεζωσμένος ἐξέρχεται τῶν πρακτέων. Εἴσεισι γὰρ, καὶ μάλα νεανικῶς, εἰς τὴν ἀλλόφυλον Νινευὴ, τοῖς θείοις ὑπηρετήσων νεύμασιν. Εὑρεῖαν οὖσαν τὴν πόλιν, καὶ εἰς τοῦτο μεγέθους ἐκτεινομένην, ὡς δεῖσθαι πορείας ἡμερῶν τριῶν, εἴ τις ἑλοιτο περινοστεῖν, δίεισιν αὐτὸς εἰς ἡμέραν μίαν, ἤγουν, ὡς ἑτέροις δοκεῖ, μιᾶς ἡμέρας ἐξανύσας ὁδὸν ἐν αὐτῇ, τὸν τῶν θείων κηρυγμάτων ποιεῖ λόγον. Θαῦμα δέ που πάντως ὁ προφήτης ἦν, ἀνὴρ Ἑβραῖος, καὶ ἐξ ἀλλοδαπῆς ἥκων, καὶ οὐδενί που τάχα τῶν ἐκεῖσε διεγνωσμένος, διὰ μέσου βαδίζων τοῦ ἄστεος, ἀνακεκραγώς τε καὶ λέγων· «Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται.» Ἐνταῦθα δὲ ἄθρει μοι πάλιν ἐκεῖνο καὶ κατασκέπτου λεπτῶς. Ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς διακηρύττειν ἐκέλευε περὶ τῆς Νινευὶ, «Ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με,» ὁ δέ γε προφήτης ἐν αὐτῇ γεγονώς· «Ἔτι, φησὶν, τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται.» Τί οὖν ἐροῦμεν; Ψευδοπεῖ, καὶ λελάληκε τὰ ἀπὸ καρδίας, καὶ οὐχὶ δὴ μᾶλλον τὰ ἀπὸ στόματος Κυρίου, κατά τινας; Οὐ τοῦτό φαμεν, ἐκεῖνο δὲ μᾶλλον, δεῖ σημαίνουσιν οἱ προφῆται πολλάκις τῆς ἑαυτῶν ἀποστολῆς τὸν τρόπον. Ὅτι μὲν γὰρ πρὸς αὐτὸν λελάληκεν ὁ Δεσπότης· «Ἀνάστηθι, καὶ πορεύθητι εἰς Νινευὶ, καὶ κήρυξον ἐν αὐτῇ ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με,» σαφῶς ἠκούσαμεν ἐν ἀρχῇ εὐθὺς τῆς προφητείας, ὅτι δὲ αὐτός τι λελάληκε πρὸς Θεὸν, οὐκ ἐγνώκαμεν. Πλὴν εὑρήσομεν λέγοντα· «Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου;» καὶ

XX. Mittitur propheta, et, invicta præditus alacritate, mandata exsequitur. Ingreditur enim, et animose admodum, Niniven, urbem extraneam, divinæ voluntati morem gesturus. Cum autem esset ampla, et eo magnitudinis extenderetur ut, si quis eam obire vellet, triduo indigeret, **382** perambulat illam die uno, sive, ut aliis placet, confecto unius diei itinere, verbum divinum in ea elata voce enuntiat. Erat autem stupori, homo Hebræus, e peregrina regione veniens, et nulli fortasse incolarum ibi cognitus, per mediam urbem incedens proclamansque, et dicens: «Adhuc tres dies, et Ninive subvertetur.» Hoc loco rursum illud perpende accurateque considera. Deus universorum de Ninive prædicari jussit, «Quia clamor malitiæ ipsius ascendit ad me,» propheta autem in ea præsens ait: «Adhuc tres dies, et Ninive subvertetur.» C Quid ad hæc dicemus? Falsumne loquitur, et de corde suo hæc depromit, nec potius ex ore Domini, ut quidam sentiunt? Non hoc asseremus, sed illud magis, prophetas sæpenumero missionis suæ modum significare. Locutum enim esse Dominum ad illum: «Surge, et vade in Niniven, et prædica ibi, quia ascendit clamor malitiæ ejus ad me,» in ipso statim prophetiæ principio liquide cognovimus, ipsum quidpiam ad Deum locutum esse non cognovimus. Verumtamen dixit, ut sequetur infra: «Nonne isti sunt sermones mei?» et cætera. Vides plurima silentio prætorita, et latenter dicta a Deo, et ad Deum similiter verbis prophetæ? Consequens

[63] Matth. XII, 40. [64] Job XXXVIII, 16. [65] Matth. XXVIII, 7.

Digitized by Google

igitur est, sanctorum vocibus veritatem tribuere. Nequaquam enim falsum proferent, qui spiritum veritatis affatim possident.

τῶν ἁγίων φωναῖς ἐπιψηφίζεσθαι τὴν ἀλήθειαν. Ψευδοεπήσουσι γὰρ ἥκιστά γε, τὸ τῆς ἀληθείας πλουτήσαντες πνεῦμα.

VERS. 5. *Et crediderunt viri Ninive Deo, et prædicaverunt jejunium, et vestiti sunt saccis a majore eorum usque ad parvum eorum.*

Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν.

XXI. Magnam significationem habet oratio. « Crediderunt enim viri ex Ninive, » inquit, hoc est, ex urbe omnium semper scelerum condemnatæ; in qua visebatur ingens et innumerabilis idolorum multitudo, multa delubrorum millia, et artes vetitæ exercebantur. Nam cantiones magicæ et prædictiones mendaces illic colebantur, et in astrorum observatione curiositas summæ sapientiæ loco ducebatur, gloriaque cumulabatur, qui ad quidvis nefarium se expeditum præberet. Sed crediderunt Deo a minore usque ad majorem, hoc est, illustres et obscuri, optimates et plebei, divitiis et deliciis affluentes, et sub paupertatis onere laborantes. Una omnibus cura, verbis prophetæ 383 obtemperare. Res admiranda profecto, et credentium magna laus. Illico enim non segniter ad meliora de cætero vocantem sequuntur, delicatamque cervicem divinis prædicationibus subjiciunt, idque homine peregrino, et uno duntaxat, nec pridem cognito, ad pœnitentiam invitante. Ac Ninivitæ quidem ita se gesserunt. Contra insipiens Israel legi est inobediens, Moysen irridet, nihili facit prophetarum oracula, Dominum quoque occidit, nec ipsi Christo est obsecutus. Melior itaque status fuit Ninivitarum, id quod verum esse ostendit universorum Deus, sic alicubi ad Ezechielem dicens : « Fili hominis, vade et ingredere ad domum Israel : non ad populos alterius linguæ, neque gravis linguæ exsistentes tu mitteris. Et si ad tales misissem te, ipsi audissent te. Domus autem Israel nolunt audire te, qui contentiosi sunt et duri corde [66]. » Etenim alterius linguæ, et profundi labii, et sermone superbi, hoc est, Ninivitæ oraculo honorem habuerunt, et ad pœnitentiam sine mora se applicuerunt; contentiosus autem Israel nec legem ipsam, nec Dominum prophetarum est reveritus.

ΚΑ'. Ἐμφαντικὸς ὁ λόγος. « Πεπιστεύκασι γὰρ οἱ ἐκ Νινευὶ, » φησὶ, τουτέστιν, οἱ ἐκ πόλεως τῆς ἐφ' ἅπασιν ἀεὶ τοῖς ἀτόποις κατεγνωσμένης· ἐν ᾗ πολὺς μὲν καὶ ἀναρίθμητος εἰδώλων ὄγκος, μυρία δὲ ὅσα τεμένη, καὶ ἐν σπουδῇ τὰ ἀπόρρητα. Γοήτεια: γὰρ καὶ ψευδομαντίαι, τὰ παρ' αὐτῶν τιμώμενα, καὶ σοφὸς ἦν ἄγαν ὁ περίεργον τοῖς ἄστροις τὸν ὀφθαλμὸν ἐνιείς, καὶ εἰς λῆξιν ἥκων εὐκλείας ὁ πρὸς πᾶν ὁτιοῦν τῶν ἀτόπων εὔκολος. Ἀλλὰ πεπιστεύκασι τῷ Θεῷ ἀπὸ μικροῦ ἕως μεγάλου, τουτέστι, περιφανεῖς τε καὶ ἄσημοι, λαμπροὶ καὶ κατερρίμμενοι, καὶ οἱ ταῖς ἐκ πλούτου τρυφαῖς ἐπιχεόμενοι, καὶ οἱ τῷ τῆς πενίας ἄχθει καταμεθύοντες. Μία δὲ ἦν ἅπασιν ἡ σπουδὴ τὸ τοῖς τοῦ προφήτου καταπειθεσθαι λόγοις. Μέγα δὲ τὸ θαῦμα, καὶ πολὺς ἄγαν τῶν πεπιστευκότων ὁ ἔπαινος. Ἕπονται γὰρ εὐθὺς οὐκ ἀμελλητὶ πρὸς τὸ ἄμεινον καλοῦντι λοιπὸν, καὶ τρυφερὸν τοῖς θείοις κηρύγμασιν ὑπέχουσι τὸν αὐχένα, καὶ τοῦτο ἀλλογενοῦς, καὶ ἑνὸς ἀνδρὸς, καὶ οὐ πάλαι διεγνωσμένου, καλοῦντος εἰς μετάγνωσιν. Ἀλλ' ὧδε μὲν τὰ Νινευιτῶν. Ὁ δέ γε ἀπόπληκτος Ἰσραὴλ ἀπειθεῖ τῷ νόμῳ· διαγελᾷ τὸν Μωσέα, οὐδὲν ἡγεῖται τὰ προφητῶν, καὶ τί τοῦτο λέγω ; γέγονε καὶ κυριοκτόνος, οὐδὲ αὐτῷ πειθόμενος Χριστῷ. Οὐκοῦν ἐν ἀμείνοσιν ἦν τὰ Νινευιτῶν, καὶ τοῦτο δέδειχεν ἀληθὲς ὁ τῶν ὅλων Θεὸς, οὕτω που λέγων πρὸς Ἰεζεχιήλ· « Υἱὲ ἀνθρώπου, βάδιζε, εἴσελθε πρὸς τὸν οἶκον Ἰσραὴλ, οὐ πρὸς λαοὺς ἀλλογλώσσους, οὐδὲ βαρεῖς τῇ γλώσσῃ ὄντας. Καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν ἤκουσάν σου, ὁ δὲ οἶκος τοῦ Ἰσραὴλ οὐ μὴ θελήσωσιν ἀκοῦσαί σου, ὅτι φιλόνεικοί εἰσι καὶ σκληροκάρδιοι. » Οἱ μὲν γὰρ ἀλλόγλωσσοι, καὶ βαθύχειλοι, καὶ σοβαροὶ τοὺς λόγους, τουτέστι, οἱ Νινευῖται, τετιμήκασι τὸ χρησμῴδημα, καὶ πρὸς τὸ χρῆναι μετανοεῖν κεχωρήκασιν ἀμελλητί· ὁ δὲ φιλόνεικος Ἰσραὴλ οὐ τετίμηκεν οὐδὲ αὐτὸν τὸν τοῦ νόμου καὶ προφητῶν Δεσπότην.

VERS. 6-9. *Et appropinquavit sermo ad regem Ninive, et surrexit de throno suo, et abstulit stolam suam a seipso, et indutus est sacco, et sedit in cinere. Et prædicatum est in Ninive a rege, et ab omnibus magnatibus ejus, dicens : Homines, et jumenta, et boves, et oves non gustent, neque pascantur, et aquam non bibant. Et cooperti sunt saccis homines, et jumenta, et clamaverunt ad Deum vehementer, et aversus est unusquisque de via sua mala, et iniquitate quæ erat in manibus eorum, dicentes : Quis scit si pœnitentiam aget Dominus, et exorabitur, et revertetur ab ira furoris sui, et non pereamus?*

Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευὴ, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη, καὶ ἐρρήθη ἐν τῇ Νινευὴ παρὰ τοῦ βασιλέως, καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ, λέγων· Οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ οἱ βόες, καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν, μηδὲ νεμέσθωσαν, μηδὲ ὕδωρ πιέτωσαν. Καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς, καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πο-

[66] Ezech. III, 4-7.

Digitized by Google

νηρας, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν, λέγοντες· Τίς οἶδεν εἰ μετανοήσει ὁ Κύριος, καὶ παρακληθήσεται, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα;

ΚΒ'. Ἐπιτείνει σφόδρα τῆς εὐπειθείας τὸν ἔπαινον, καὶ καταθαυμάζει μειζόνως τὸ ἕτοιμον εἰς ὑπακοὴν τῶν κεκλημένων εἰς μετάγνωσιν. Ἐπειδὴ γὰρ τῶν τοῦ προφήτου ῥημάτων κατήκοοι ἦσαν, καὶ αὐτὸς ὁ τῷ σκήπτρῳ τετιμημένος, καὶ ταῖς ἀνωτάτω κατεστεμμένος εὐκλείαις, ὑπεχώρει μὲν τῶν τῆς βασιλείας θρόνων, ἔρρεσθαι δὲ φράσας ταῖς αὐτῷ πρεπούσαις στολαῖς, καὶ τὴν ἀλουργίδα ἐκδὺς περιεβάλλετο σάκκον, τουτέστιν, ἐν πενθικοῖς ἦν σχήμασιν. Ἐφιζήσας δὲ καὶ σποδῷ, σύνθημα τοῖς ἄλλοις ἐδίδου τὸ χρῆναι καὶ ἀσιτεῖν, καὶ ἀκαταλήκτοις λιταῖς ἐξημεροῦντας Θεὸν ἐξαιτεῖν τὸν ἔλεον. Σοφοὶ δὲ λίαν οἱ Νινευῖται, συνεπιτηδεύοντες τῇ νηστείᾳ καὶ τῆς φαυλότητος τὴν ἀποστροφήν. Μετανοίας γὰρ οὗτος ἂν εἴη ἀληθὴς καὶ ἀμώμητος τρόπος. Ἐπειδὴ δὲ τὸ ἐν τούτοις εὐτελὲς οὐκ ἔχων Ἰσραὴλ, ἀλογωτάτην ἔσθ' ὅτε καὶ βέβηλον ἐποιεῖτο νηστείαν, ἐκέλευε τῷ προφήτῃ Θεὸς εἰς ὕψος αἴροντα τὴν φωνὴν ἀπαγγέλλειν αὐτοῖς, ὅτι Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, λέγει Κύριος. Καὶ διὰ ποίαν αἰτίαν διαμεμήνυκεν αὐτὸς, ἐπενεγκὼν εὐθύς· « Ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑπονύσσετε· εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν. » Θὐκοῦν ἀμείνους οἱ Νινευῖται, καθαρὰν καὶ ἄμωμον ἐπιτελοῦντες Θεῷ τὴν νηστείαν. Μεμαρτύρηκε γὰρ τὸ Γράμμα τὸ ἱερὸν, ὅτι « Ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτοῦ. » Εἶσω δὲ λόγου καὶ φρενὸς τὸ δρώμενον ἦν. Πεπιστεύκασιν ὅτι μετανοήσει Θεὸς, ἀνακόψει τὰ ἐξ ὀργῆς. Τὸ δὲ « μετανοήσει » φησὶ ἀντὶ τοῦ βουλήσεται. Κἂν εἴδῃ μεταφοιτήσαντας ἐκ φαυλότητος εἰς τὸ ἀγαθὸν, μετοιχήσεται καὶ αὐτὸς εἰς τὴν ὅτι μάλιστα φιλαιτάτην αὐτῷ γαλήνην καὶ φιλανθρωπίαν. Ἔστι γὰρ μὲν ἀγαθὸς τῇ φύσει. Πλὴν ἐπάγει τοῖς πλημμελοῦσι τὰς δίκας, καὶ τοῖς ἀκαθέκτως ἀπονενευκόσι πρὸς τὸ ἐξήνιον, οἱά τινι χαλινῷ ἀνακόπτοντι γεννικῶς, καὶ μετατιθέντι πρὸς εὐπείθειαν, ἐπιφέρει τὰ ἐξ ὀργῆς. Ἄθρει δὲ ὅπως οἱ μὲν Νινευῖται φασιν· « Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; » ὁ δέ γε σοφὸς Ἰσραὴλ, ὁ νόμῳ πεπαιδευμένος, ὅτι χρηστὸς καὶ ἥμερος ὁ Δεσπότης, οὐκ ἀνέχεται νοεῖν. Ἔφασκον γὰρ ἁμαθαίνοντες· « Αἱ πλάναι ἡμῶν, καὶ αἱ ἀνομίαι ἡμῶν ἐφ' ἡμῖν εἰσι, καὶ ἐν αὐταῖς ἡμεῖς τηκόμεθα, καὶ πῶς ζησόμεθα; » Ἀλλ' ἤκουον Θεοῦ λέγοντος ἐναργῶς· « Ἀποστροφῇ ἀπεστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς, καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; » Ὁ δὴ δεδράκασι Νινευῖται, ταῖς εἰς τὰ ἀμείνω μεταδρομαῖς τὴν ἐπηρτημένην αὐτοῖς ἐκδυσωποῦντες ὀργὴν, πλὴν προσέταττον τοῖς ἀνθρώποις καὶ τὰ κτήνη συγκαταλγύνεσθαι, τροφῆς καὶ ποτοῦ ἀποστερούμενα, καὶ οἷον πενθεῖν κατηναγκασμένα. Καὶ τὸ χρῆμα ἂν ὑπερβολικὸν, οὐχ ὡς ἀναγκαίως γεγονὸς,

XXII. Mire laudem obedientiæ amplificat, vocatorumque ad pœnitentiam promptum studium ad obsequelam impensius admiratur. Simul enim prophetæ verba auribus acceperunt, etiam ipse, qui sceptri honore augustus erat, et splendore atque gloria eminentissimus, thronum regalem deserit, stolam sibi propriam valere jubet, purpuram exuit, saccum induit, **384** hoc est, habitum lugubrem capit, et in cinere sedens, signum cæteris dat, et cibo abstinere, et continuis obsecrationibus Deum mitigando misericordiam exposcere oportere. Sapientes porro non parum Ninivitæ, qui uno animo nequitiam jejunio abigere nituntur. Hic namque sincerus et inculpatus pœnitentiæ modus fuerit. Quoniam vero Israel, hujusmodi rerum imperitus, nonnunquam rationi minime consentaneam profanamque inediam suscipiebat, Deus prophetæ præcipit exaltare vocem, et illis nuntiare, non tale jejunium se elegisse. Causam ipse exprimit, mox subjungens: « In diebus enim jejuniorum vestrorum invenitis voluntates vestras, et omnes subjectos vestros affligitis; in judicium et pugnas jejunatis, et percutitis pugnis humilem [67]. » Meliores proinde Ninivitæ, purum nec reprehensioni affine jejunium Deo peragentes. Testatur enim id Scriptura sancta: « Aversus est unusquisque, inquit, a via sua mala, et ab iniquitate manuum suarum. » Cum ratione et prudentia procedebant. Crediderunt mutaturum sententiam, et ex ira pœnam præparatam inhibiturum. Μετανοήσει « pœnitebit illum » dicit, pro βουλήσεται « volet. » Et si viderit ab improbitate ad probitatem transgressos, ipse quoque ad tranquillitatem et benignitatem sibi amicissimam transibit. Est siquidem natura bonus. Verumtamen in peccantes animadvertit, et insano impetu ad contumaciam et rebellionem declinantibus, veluti frenum quoddam valide retrahens, et ad obedientiam transferens, pœnas iratus addit. Perpende porro quod Ninivitæ dicunt: « Quis novit si pœnitentiam aget Deus, et revertetur ab ira furoris sui, et non peream[us]? » At sapiens Israel, in lege institutus, non sustinet intelligere, quoniam bonus et mansuetus Dominus. Dicebant enim homines ignorantes: « Errores nostri, et iniquitates nostræ super nos sunt, et in ipsis nos tabescimus, et quomodo vivemus [68]? » Et audierunt Deum claris verbis dicentem: « Conversione convertimini a via mala vestra; et quare moriemini, domus Israel [69]? » Quod cum fecissent Ninivitæ, recipiendo se ad frugem, impendentem sibi iram anteverterunt. Nihilominus imperavit rex uti cum hominibus dolerent etiam jumenta, pabulo et potu subtracto, et quodammodo ad luctum compellerentur. Res communem modum et consuetudinem excedit; non quod ita necessitas flagitaret, aut Deus jumentorum hic

[67] Isa. LVIII, 3, 4. [68] Ezech. XXXIII, 10. [69] ibid. 11.

Digitized by Google

laborem molestiamque requireret. Indicavit hoc etiam Scriptura, **385** ut pœnitentiæ Ninivitarum magnitudinem declararet. Non fugit nos, quosdam super hoc erubescere, dicereque jumenta intelligendos, qui inter homines rationis usum quam minimum habent. Et ita est, et bene haberet aliquando, si hoc modo a quibusdam intelligeretur. Sed ad sensum propositorum aperiendum illud forte quadraverit, excellentiam pœnitentiæ per brutorum quoque laborem descriptum declarari.

VERS. 10. *Et vidit Deus opera eorum, quoniam reversi sunt a viis suis malis. Et egit pœnitentiam Deus super malo quod locutus est ut faceret eis, et non fecit.*

XXIII. Velox est ad misericordiam Dominus, et pœnitentes salvat, continuoque veteribus piaculis absolvit, et desinentibus hominibus peccare, ipse quoque irasci desinit, melioraque cogitat. Et quoniam ad bonas rationes appulisse animum cernit, ad mansuetudinem descendit, et perditionem differt, et venia eos dignatur. Etenim verum dicit, cum dicit : « Quare moriemini, domus Israel? dicit Dominus. Quia nolo mortem morientis; quin potius ut convertatur a via sua, et vivat anima ejus [70]. » Malitiam autem cum dicit, cave improbitatem intelligas, sed iram potius, unde afflictio venit. Non enim facit mala virtutis amans Deus noster.

CAP. IV.

VERS. 1-3. *Et tristatus est Jonas tristitia grandi, et confusus est, et oravit ad Dominum, et sic ait : Domine, nonne isti sermones mei sunt, adhuc existente me in terra mea? Propterea prævent fugere in Tharsis, quoniam cognovi quia tu Deus misericors et miserator, patiens et multæ misericordiæ, et agens pœnitentiam super malitiis. Et nunc, dominator Domine, tolle animam meam, quia bonum mori me magis quam vivere.*

XXIV. Postquam Deus pœnitentia agenda pœnas ex ira divina sibi ingruentes amolientibus misericordiam impertivit, et tempus jam exiit post quod evenire prædicta æquum erat, et nihil tamen eorum evenit, mœrorem hausit propheta non mediocrem : non quia civitas perniciem effugisset, hoc enim hominis maligni et invidi, et minime sancto conveniens fuisset; sed quia falsiloquus, et blatero, seu nugator videretur, et frustra illos terruisse, et **386** pro libidine sua, et nullo modo de ore Domini locutus, ut scriptum est [71]. Putant autem prophetam ob alias et arcanas quasdam cogitationes contristatum. Postquam enim cognovit, aiunt ipsi, vocato grege ex gentibus, Israelem quasi jam exactis ejus temporibus posthabitum iri, mœstus erat magnopere, et super consanguineis tantum non jam perditis cruciabatur. Sed hoc sentire vetat ipse, apertissime confitens se in Tharsis fugisse (sed quia missionem

[70] Ezech. XVIII, 31, 32. [71] Jerem. XXIII, 16.

A ἡ Θεοῦ ζητοῦντος παρὰ τῶν κτηνῶν τὸν πόνον. Ἐπεσήμηνε δὲ καὶ τοῦτο ἡ Γραφὴ, τῆς τῶν Νινευιτῶν μετανοίας ἐμφανίζουσα τὴν ὑπερβολήν. Οἶδα μὲν οὖν ὅτι κατερυθριῶσί τινες ἐπὶ τῷδε, καὶ φασι κτήνη νοεῖσθαι τοὺς ἐν ἀνθρώποις ἀλογωτάτους. Καὶ ἀληθὴς ὁ λόγος, καὶ εὖ ἂν ἔχοι κατὰ καιροὺς, εἰ τῇδε νοοῖτο παρά τινων. Ἀλλ' εἰς γε τῶν προκειμένων τὸν νοῦν ἁρμόσειεν ἂν ἐκεῖνό που τάχα, τὸ τῆς μετανοίας κατασημαίνεσθαι τὴν ὑπερβολὴν διὰ τοῦ καὶ αὐτὸν καθορίζεσθαι τῶν κτηνῶν τὸν πόνον.

Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν. Καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησεν

B ΚΓ'. Ταχὺς εἰς ἔλεον ὁ Δεσπότης, καὶ σώσει μεταγινώσκοντας, ἀπαλλάττει δὲ παραχρῆμα τῶν ἀρχαίων αἰτιαμάτων, καὶ καταληγούσης τῆς παρ' αὐτοῖς ἁμαρτίας, ἀνίησι καὶ αὐτὸς τὴν ὀργὴν, καὶ μεταβουλεύεται τὰ χρηστά. Ἐπειδὴ δὲ μεταθεμένους ὁρᾷ πρὸς τὸ ἀγαθὸν, μεταφοιτᾷ πρὸς τὸ ἥμερον, καὶ ἀναβάλλεται τὴν καταστροφὴν, καὶ φειδοῦς ἀξιοῖ. Καὶ γάρ ἐστιν ἀληθὴς ὅταν λέγῃ· « Ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραήλ; λέγει Κύριος. Διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν τὴν ψυχὴν αὐτοῦ. » Κακίαν δὲ ὅταν λέγῃ, μὴ φαυλότητα νόει, τὴν κακωτικὴν δὲ μᾶλλον ὀργήν. Οὐ γάρ ἐστι τῶν κακῶν ἐργάτης ὁ φιλάρετος ἡμῶν Θεός.

ΚΕΦΑΛ. Δ'.

C

Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνεχύθη, καὶ ηὔξατο πρὸς Κύριον, καὶ εἶπεν ὧδε· Κύριε, οὐχ οὗτοι οἱ λόγοι, ἔτι ὄντος μου ἐν τῇ γῇ μου; Διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσὶς, διότι ἔγνων ὅτι σὺ Θεὸς ἐλεήμων, καὶ οἰκτίρμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Καὶ νῦν, Δέσποτα Κύριε, λαβὲ δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με ἢ ζῆν.

ΚΔ'. Θεοῦ κατοικτείραντος τοὺς ταῖς μεταγνώσεσιν ἀποκρουομένους τὰ ἐξ ὀργῆς, καὶ εἰς πέρας ἤδη τὸ ὡρισμένον ἐνηνεγμένου τοῦ καιροῦ, μεθ' ὃν ἦν εἰκὸς συμβήσεσθαι τὸ προηγγελμένον, εἶτα γεγονότος τῶν προηγγελμένων οὐδενὸς, λελύπηται λίαν ὁ προφήτης, καὶ οὐχ ὅτι διέδρα τὸν ὄλεθρον ἡ πόλις D (πονηροῦ γὰρ τοῦτο βασκάνου, καὶ ἥκιστα ἁγιοπρεπὲς), ἀλλ' ὅτι ψευδοσπὴς εἶναί τις καὶ βωμολόχος ἐδόκει, καὶ μάτην αὐτοὺς τεθορυβηκὼς, καὶ τὰ ἀπὸ γνώμης λαλῶν, καὶ οὐχὶ δὴ πάντως τὰ ἀπὸ στόματος Κυρίου, κατὰ τὸ γεγραμμένον. Οἴονταί γε μὴν λελυπῆσθαι τὸν προφήτην ἐφ' ἑτέραις τισὶ καὶ ἀπορρήτοις εὐνοίαις. Ἐπειδὴ γὰρ ἔγνω, φασὶ, ὅτι κεκλημένης τῆς ἐξ ἐθνῶν ἀγέλης, ἀπολισθήσει πάντως τῆς εἰς Θεὸν ἐλπίδος ὁ Ἰσραὴλ, ὡς ἥκοντος ἤδη καιροῦ τοῦ τοιούτου πρὸς τὸ πέρας, κατηφὴς ἦν ἄγαν, καὶ μονονουχὶ τοῖς ἐξ αἵματος ἐπιστυγνάζει διαλελοίσειν. Ἀλλ' ἐξίστησιν αὐτὸς τοῦτο δὲ νοεῖν, ἐναργέστατα

Digitized by Google

λέγων, ὡς ἀπέδραμεν εἰς Θαρσεῖς, ἦλω δὲ κατοκνήσας τὴν ἀποστολήν, διά τοι τὸ εἰδέναι σαφῶς, ὅτι « χρηστὸς καὶ οἰκτίρμων ἐστὶ, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. » Ἐπειδὴ γὰρ ἦσθα τοιοῦτος, φησὶ, πῶς ἐκέλευες διακηρύξαι αὐτοῖς μάτην τὴν καταστροφήν; Καὶ μικροψυχεῖ μὲν ὡς ἄνθρωπος, τούτοις ἑαυτὸν χρήσασθαι τοῖς λόγοις, καὶ ἐν τῇ τῶν Ἰουδαίων διαβεβαιούμενος γῇ, ἐκτεθνᾶναι δὲ ἤδη παρακαλῶν, καὶ μονονουχὶ τῆς οἰκονομίας οὐ μετρίαν τινὰ ποιεῖται τὴν καταβοήν. Ἐπισφαλὲς δὲ τὸ χρῆμα καὶ φρενὸς ἁγίας οὐκ ἄξιον. Εἰ γὰρ τοῖς τῶν σωμάτων ἰατροῖς ἐπιτιμήσειεν ἂν οὐδεὶς, εἴ γε νοῦν ἔχει, τὰ τοῖς τραύμασι χρειωδέστερα μεταπλάττουσι φάρμακα, πῶς ἄν τις εἰκότως καταβοήσειε τοῦ πάντα εἰδότος Θεοῦ, καὶ ταῖς ἡμετέραις διανοίαις τὴν ἀεὶ πρέπουσαν καὶ χρειωδεστάτην ἀληθῶς ἐπινοοῦντος ἄκεσιν; Ἰατρὸς γάρ ἐστι πνευμάτων, ποτὲ μὲν τοῖς πόνοις, ποτὲ δὲ αὖ τοῖς ἐξ ἡμερότητος ἀγαθοῖς, τῶν ἐν ἡμῖν παθῶν κατευνάζων τὴν ἀγριότητα.

Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαί αυ; Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως. Καὶ ἐποίησεν αὐτῷ ἐκεῖ σκηνὴν, καὶ ἐκάθητο ὑποκάτω αὐτῆς ἐν σκιᾷ, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει.

ΚΕ'. Οὐκ ἐᾷ ταῖς ἀκηδίαις καταπνίγεσθαι τοῦ προφήτου τὸν νοῦν, ἀναῤῥώννυσι δὲ ὥσπερ ἠσθενηκότα. Καὶ χρηστὸς μὲν λίαν, πλὴν ὅτι λελύπηται, καταιτιᾶται χρησίμως. Ὑπεμφήνειε γὰρ ἕτερον, οἶμαι, τί παντελῶς οὐδὲν τὸ ἀναπυνθάνεσθαί τε καὶ λέγειν· « Εἰ σφόδρα λελύπησαι; » μονονουχὶ δὲ καὶ ἐπιπλήττει λελυπημένῳ καὶ τῶν θείων κριμάτων οὐ συνιέντι τὸν σκοπόν. Ἡμερῶν δὲ ἤδη διαγενομένων, μεθ' ἃς ἦν εἰκὸς ἀποπερανθήσεσθαι τὰ διηγγελμένα, εἶτα τῆς ὀργῆς ἀπρακτούσης ἔτι, συνίησι μὲν ὅτι κατηλέησε Θεὸς, πλὴν οὐκ εἰσάπαν ἔξω βέβηκε τῆς ἐλπίδος· οἴεται δὲ, ἅτι δέδοται μὲν αὐτοῖς ἀνάβλησις τοῦ κακοῦ, μετανοεῖν ᾐρημένοις, πλὴν ἔσται τι πάντως τῶν ἐξ ὀργῆς, οὐκ ἰσοπαλεῖς τοῖς πταίσμασι τοὺς ἐπὶ ταῖς μεταγνώσεσι πόνους ἐπιδεδειχόσι. Τί γὰρ ὠνήσειε τριήμερος ἰδρὼς τοὺς ἀτόπῳ παντὶ κατακεχωσμένους, καὶ ταῖς οὕτω δειναῖς πλημμελείαις κατισχημένους; Ταῦτα καθ' ἑαυτὸν κατά γε τὸ εἰκὸς διενθυμούμενος, τοῦ μὲν ἄστεος ἀποφοιτᾷ, περιμένει δὲ ἰδεῖν τί ἔσται αὐτοῖς. Προσεδόκει γὰρ ἢ πεσεῖσθαι τυχὸν καταδονουμένην, ἢ κατεμπρησθήσεσθαι πυρὶ, καθὼς καὶ τὰ Σόδομα. Σχεδιάζεται δὲ οἶκος αὐτοῦ, καὶ σκηνὴ τὸ δρώμενον ἦν.

Καὶ προσέταξεν Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς Ἰωνᾶ, τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. Καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην.

ΚϚ'. Προστάττει δὴ πάλιν τῇ κολοκύνθῃ Θεὸς, καθὰ καὶ τῷ κήτει, κατανεύσας δηλονότι καὶ θελήσας μόνον. Ἀνίσχει δὲ παραχρῆμα καλή τε καὶ εὐανθὴς, καὶ ὅλην εὐθὺς κατήρεψε τὴν σκηνὴν, οἷον

A declinaret, interceptum esse), quod nosset probe quia Deus « benignus et misericors esset, et pœnitens super malitiis. » Quoniam enim talis eras, inquit, quid ita ipsis frustra me promulgare subversionem jubebas? Et pusillanimis est quidem, ut homo, quia istiusmodi sermones exprompserit, affirmatque se his verbis ita in Judæa adhuc locutum esse; orans autem mortem in præsens, de œconomia et providentia divina propemodum non leviter conqueritur. Quæ res periculo non caret, et mentem sanctam haud decet. Si enim corporum medicos nemo prudens incusaverit quia vulneribus utiliorem medicinam faciunt, quomodo quispiam omnia scientem Deum, et animis nostris semper congruentem, maximeque conducibilem medelam
B vere meditantem, juste reprehenderit? Est enim medicus spirituum, quandoque laboribus et afflictionibus, quandoque bonis ex mansuetudine oblatis malarum affectionum nostrarum feritatem consopiens.

Vers. 4, 5. *Et dixit Dominus ad Jonam: Si vehementer contristatus es tu? Et egressus est Jonas ex civitate, et sedit contra civitatem. Et fecit sibi illic tabernaculum, et sedit sub eo in umbra, donec videret quid erit civitati.*

XXV. Animum prophetæ abundantioris tristitiæ fluctibus submergi non sinit, sed tanquam infirmato pristinum robur addit. Benignus est admodum, verumtamen mœstitiam ejus non inutiliter reprehendit. Nihil siquidem, meo judicio, quidquam aliud
C sibi vult, quod percontatur, ac dicit: « Si vehementer contristatus es? » ac tantum non etiam contristato divinorumque judiciorum scopum non intelligenti succenset. Diebus jam elapsis, secundum quos nuntiata ad opus conferri debebant, et tamen Ira adhuc effectu suo carente, animadvertit quidem Deum misericordiam tribuisse, nihilominus a spe non penitus discedit, opinaturque, quoniam dare se **387** pœnitentiæ voluerint, suppliciorum gratiam illis ad tempus factam, sed omnino quiddam pœnarum luituros, quandoquidem pœnitentiæ labores delictorum gravitatem non æquaverint. Quid enim juvet triduanus sudor omni genere nefandarum actionum sepultos, et peccatis adeo tetris obrutos? Hæc secum, ut verisimile est, volutans, ab urbe re-
D cedit, et exspectat videre quid incolis futurum sit. Exspectabat enim aut terra tremente collapsuram, aut instar Sodomæ conflagraturam. Excitat vero tumultuarie sibi domum: domus autem erat tabernaculum.

Vers. 6. *Et præcepit Dominus Deus cucurbitæ, et ascendit super caput Jonæ, ut esset umbra super caput ejus, et inumbraret eum a malis ejus. Et lætatus est Jonas super cucurbita gaudio magno.*

XXVI. Mandat rursum cucurbitæ Deus, sicut ceto, annuens videlicet et volens tantum. Continuo bella et pulchre florida prodit, subitoque totum tabernaculum contegens, in morem nemoris ad jucundita-

Digitized by Google

tem gravissimam umbram fundit. Qua majorem in modum exhilaratur propheta, et revera ut in actione probabili et laudanda exsultat. Perpende igitur etiam hinc simplicitatem et candorem ejus animi. Ingentem tristitiam cepit, quoniam quæ vaticinatus fuerat re ipsa non eveniebant : rursum gaudio magno super olere et herba perfusus est.

Mens innocens et ad dolorem et ad hilaritatem flexilis est. Vera ac certa loqui me cognosces, si ad mores infantium respicias, qui frequenter sine causa dolent, et in rebus exiguis plorant largiter; contra nonnunquam re parva demulsi gaudent, repenteque a tristitia ad lætitiam prosiliunt. Quemadmodum enim in corporibus humanis, quæ firma ac robusta esse non solent, impulsu aliquo facile cadunt, quamvis id non valide, sed velut teneriore manus tactu fiat : ita et animus calliditatis expers non difficulter cedit iis quæ ipsum quocumque impellere, aut afficere molestia queunt.

VERS. 7, 8. *Et præcepit Deus vermi matutino in crastinum, et percussit cucurbitam, et arefacta est. Et factum est, cum oriretur sol, et præcepit Dominus Deus spiritui ardoris urenti, et percussit sol super caput Jonæ. Et angustiabatur,* **388** *et despondebat animum suum, et dixit : Bonum mihi mori me quam vivere.*

XXVII. Vermem matutinum appellat erucam, quoniam ex rore sub auroram cadente generari incipit. Præcipit autem illi atque etiam æstui Deus, eo modo quo et cucurbitæ ipsi, et ceto præcepisse intelligi potest. Et ille quidem improviso exaruit; ferit autem ardor solis eum vehementer, et incertum animi ac mœstum radiis ferventibus verberat, umbra nudatum inveniens : et ad mœstitiam illius permagna fit accessio. Ita demum animo concidit, ut et ipsam mortem votis omnibus expetat.

VERS. 9. *Et dixit Dominus ad Jonam : Si valde contristatus es tu super cucurbitam? Et ait : Valde contristatus sum ego, usque ad mortem.*

XXVIII. Vide rursum universorum Deum ex immensa benignitate cum innocentibus sanctorum animabus tantum non colludentem, et patrum amori, quo sunt erga liberos singulari nihil concedentem. Opacat enim prophetam sic cucurbita. Ea re mirabiliter lætatur. Postmodum eruca, ita curante Deo, insidiatur, percutit æstus, et umbram ei utilissimam atque ad usum necessariam fuisse ostendit, ut magis doleat rebus optimis privatus. Deinde re parva, cucurbita, inquam, tantopere contristatus, benignitatem divinam, si illustrissimis civitatibus et innumerabilium incolarum plenis clementer ignoscere velit, amplius ne accuset. Interrogat igitur scite, ecquid graviter super olere mœreat. Ille confitetur; id responsum deinceps benigno Deo materia defensionis fit.

VERS. 10, 11. *Et dixit Dominus : Tu pepercisti*

ἄλσει πρὸς εὐθυμίαν εὖ μάλα σκιάζουσα. Χαίρει δὲ λίαν ὁ προφήτης ἐπ' αὐτῇ, καὶ γέγηθεν ἀληθῶς ὡς ἐπὶ μεγάλῃ τινὶ καὶ ἀξιολήπτῳ πράξει. Ἄθρει δὴ οὖν κἀντεῦθεν τῆς ἐνούσης αὐτῷ διανοίας τὴν εἰς ἁπλότητα ροπήν. Ἐλυπήθη μὲν λύπην μεγάλην, ὅτι μὴ ἐκβέβηκεν εἰς πέρας αὐτῷ τὰ τῆς προφητείας· ἐχάρη δὲ αὖ χαρὰν μεγάλην ἐπὶ λαχάνῳ καὶ πόᾳ.

Εὔκολος δὲ λίαν ὁ ἄκακος νοῦς πρός τε λύπας καὶ θυμηδίας. Ὄψει δὲ ἀτρεκῆ τὸν λόγον, τοῖς τῶν νηπίων ἤθεσιν ἐνορῶν, ἃ καταλγύνεται μὲν ἐπ' οὐδενὶ πολλάκις, καὶ κλαίει λίαν ἐπὶ μικροῖς· γέγηθε δὲ αὖ, καὶ ἀθρόαν ποιεῖται τὴν ἐκ τοῦ λυπεῖσθαι πρὸς τὸ χαίρειν μετάστασιν, ἐπὶ μικρῷ δὴ πάλιν ἔσθ' ὅτε καταθελγόμενα. Ὑπερ γὰρ τρόπον ἐν τοῖς ἀνθρωπίνοις σώμασι τὰ μὴ λίαν εὐρωστεῖν εἰωθότα πίπτει ῥᾳδίως, προσωθοῦντος τινός, κἂν εἰ μὴ τοῦτο δρῴη νεανικῶς, τρυφερότερα δὲ ὥσπερ ἅπτηται χειρί· οὕτω καὶ νοῦς ὁ ἀπάνουργος, εὔκολος εἰς ἀποφορὰν τὴν ἐφ' ὁτῳοῦν τῶν κατατρέπειν αὐτὸν ἢ καὶ λυπεῖν πεφυκότων.

Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολόκυνθαν, καὶ ἐξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, καὶ προσέταξε Κύριος ὁ Θεὸς πνεύματι καύσωνος συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν Ἰωνᾶ. Καὶ ὠλιγοψύχει, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε· Καλόν μοι τὸ ἀποθανεῖν με ἢ ζῆν.

ΚΖ'. Σκώληκα μὲν ἑωθινὴν ὀνομάζεται τὴν κάμπην, διάτοι τὸ ἐκ δρόσου τῆς ὑπὸ τὴν ἕω πιπτούσης τὰς τῆς γενέσεως ἔχειν ἀρχάς. Προστάττει γε μὴν αὐτῇ καὶ μέντοι τῷ καύσωνι Θεὸς, ὡς ἂν νοοῖτο προστεταχὼς καὶ αὐτῇ τῇ κολοκύνθῃ, καὶ τῷ κήτει. Καὶ ἡ μὲν ἀδοκήτως αὐαίνεται· πλήττει δὲ ὁ καύσων σφόδρα, καὶ θερμὸν ἐνίησιν ἀλύοντι σέλας, σκιᾶς δὲ ἔρημον εὑρὼν, ὅθεν αὐτῷ μάλιστα τὰ τῆς δυσθυμίας ἐπετείνετο. Κατῖκτο δὲ ἤδη πρὸς τοῦτο μικροψυχίας, ὡς καὶ αὐτὸν πολύευκτον ποιεῖσθαι τὸν θάνατον.

Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· Εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; Καὶ εἶπε· Σφόδρα λελύπημαι ἐγὼ, ἕως θανάτου.

ΚΗ'. Ἄθρει δὴ πάλιν τὸν τῶν ὅλων Θεὸν, ἐξ ἀμετρήτου φιλανθρωπίας ταῖς ἀκακίαις μάλιστα τῶν ἁγίων ψυχῶν μονονουχὶ προσαθύροντα, καὶ ταῖς τῶν πατέρων φιλοστοργίαις παραχωροῦντα μηδέν. Κατασκιάζει μὲν γὰρ ὡς κολόκυνθα. Ἐπιγάννυται δὲ λίαν ὁ προφήτης αὐτῆς. Ἐπιβουλεύει δὲ μετὰ τοῦτο οἰκονομικῶς ἡ κάμπη, πλήττει δὲ ὁ καύσων, χρειωδεστάτην αὐτῷ καὶ ἀναγκαίαν εἰς δύησιν ἀποφαίνων τὴν σκιὰν, ἵνα δὴ μᾶλλον ἀλγύνοιτο τῶν ἀρίστων ἐστερημένος, εἶτα ἐπὶ σμικρῷ λυπούμενος, καὶ τοῦτο δεινῶς, τῇ κολοκύνθῃ λέγω, μηκέτι τὴν θείαν αἰτιῷτο φιλανθρωπίαν, εἰ φειδώ τε καὶ ἡμερότητα διανέμειν ἔλοιτο ταῖς τῶν πόλεων περιφανεστάταις, καὶ ἀναριθμήτῳ πλήθει τῶν ἐνοικούντων μεμεστωμέναις. Ἐρωτᾷ δὴ οὖν εὐτεχνῶς, εἰ σφόδρα λελύπηται, καὶ τοῦτο ἐπὶ λαχάνῳ. Ὁ δὲ ὁμολογεῖ, καὶ τὸ χρῆμα λοιπὸν ἀπολογίας ἦν τρόπος τῷ φιλανθρώπῳ Θεῷ.

Καὶ εἶπε Κύριος· Σὺ ἐκείσω ὑπὲρ τῆς κολο-

Digitized by Google

κύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' αὐτὴν, καὶ οὐδὲ ἐξέθρεψας αὐτὴν, ἡ ἐγενήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσιν πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

A *super cucurbita, pro qua non laborasti super ea, neque enutristi eam, quæ sub nocte nata est, et sub nocte periit : ego autem non parcam super Ninive civitate magna, in qua habitant plus quam duodecim myriades hominum, qui non cognoverunt dexteram suam neque sinistram, et jumenta multa ?*

ΚΘ'. Ὦ τῆς ἀσυγκρίτου καὶ ὑπὲρ νοῦν ἡμερότητος ! Ποῖος ἂν ἡμῖν ἐξαρκέσειε λόγος εἰς ὑμνολογίαν; ἢ ποῖον ἀνοιγνύντες στόμα, τὰς χαριστηρίους ᾠδὰς ἀναθήσομεν τῷ φιλοικτίρμονι καὶ ἀγαθῷ; « Μακρύνει γὰρ ἀφ' ἡμῶν τὰς ἀνομίας ἡμῶν, » καὶ τὰ ἑξῆς. Θέα γὰρ ὅπως οὐκ ἐν καιρῷ λυπούμενον, οὐδὲ ἐφ' οἷς ἦν εἰκὸς ἀποφαίνει τὸν Ἰωνᾶν, καίτοι δέον ἁγιοπρεπῶς, κατακροτεῖν καὶ εὐφημεῖν τὸν Δεσπότην. Εἰ γὰρ σὺ, φησὶν, ἐπεστύγνασας, μᾶλλον δὲ καὶ B εἰς ἐσχάτην κατακομίζῃ λύπην, ὅτι σοι καὶ μεμάρανται τὸ τῆς κολοκύνθης φυτὸν, ὃ ὑπὸ νύκτα μίαν ἀνέφυ, διόλωλε δὲ ὡσαύτως, πῶς ἂν ἀλογήσειεμι πολυανδρούσης πόλεως, ἐν ᾗ πλείους εἰσὶν ἢ δώδεκα μυριάδες ἀνδρῶν οὐκ ἐχόντων ἀπὸ τοῦ καιροῦ καὶ τῆς ἡλικίας τὸ διειδέναι δύνασθαι ποία μὲν αὐτοῖς ἡ δεξιὰ, ποία δὲ ἡ εὐώνυμος; Ἀδιάκριτα γὰρ πως τοῖς ἔτι νηπίοις καὶ ταῦτα, οἷς ἦν ἀκόλουθον καὶ πρό γε τῶν ἄλλων χαρίσασθαι τὴν φιλανθρωπίαν, ἡμαρτηκόσιν οὐδέν. Τί γάρ; Οὔπω τὰς ἑαυτοῦ χεῖρας εἰδώς, ποίοις ἂν ἐνέχοιτο πλημμελήμασι; Εἰ δὲ ὀνομάζει καὶ κτήνη, καὶ φειδοῦς ἀξιοῖ, φιλαγάθως καὶ τοῦτο. Εἰ γὰρ δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτῶν, ἔστι δὲ αὐτῷ πρὸς ἔπαινον καὶ τοῦτο, τί τὸ C παράδοξον, εἰ καὶ αὐτὸς ὁ τῶν ὅλων Θεὸς φειδώ τε καὶ οἰκτιρμοὺς ἀπονέμει καὶ τούτοις;

XXIX. O incomparabilem incomprehensamque clementiam ! Quæ nobis oratio ad laudandum sufficiet? Aut quod os aperientes misericordi et bono Deo cantica gratiarum persolvemus ? « Longe enim facit a nobis iniquitates nostras [72], » et quæ sequuntur. Cerne, quæso, quomodo Jonam alieno tempore **389** et sine causa in mœrore versari demonstret, cum oporteret, pro eo ac sanctum decebat, factum Domini plausu approbare, et fausta acclamatione prosequi. Si enim tu tristaris, inquit, imo extrema ægritudine conficeris, quia tibi stirps cucurbitæ emarcuit, quæ una nocte nata est, et una similiter nocte periit, quomodo ego populosissimæ urbis, in qua numerantur plus centum viginti millia hominum, quibus tempus ætatis nondum dedit ut sciant, quæ dextra, quæ sinistra sit, rationem nullam habeam? Nam et ista adhuc infantes non discernunt, quibus præ aliis benignitatem donare, cum nihil peccaverint, consequens erat. Quid enim? qui necdum manus suas novit, qualibus peccatis obstringatur? Quia vero etiam jumenta nominat, parcendumque illis existimat, hoc quoque ex bonitate magna proficiscitur. Si enim justus ipsorum jumentorum animas miseratur, atque hoc etiam ad laudem ejus facit : quid mirabile, si ipse universorum Deus parcit, et miseretur etiam justorum?

Οὕτω δὴ πάντας διέσωσεν ὁ Χριστὸς, δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ μικροῦ καὶ μεγάλου, σοφοῦ καὶ ἀσόφου, πλουσίου καὶ πένητος, Ἰουδαίου καὶ Ἕλληνος. Ὦ καὶ λέγοιτ' ἂν εἰκότως· « Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε, ὡς ἐπλήθυνας τὸ ἔλεός σου, ὁ Θεός. Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπει τῶν πτερύγων σου ἐλπιοῦσιν. »

Sic omnes salvavit Christus, dans seipsum pretium redemptionis pro parvo et magno, sapiente et insipiente, divite et paupere, Judæo et Græco : quare et jure dicamus licet : « Homines et jumenta salvabis, Domine, quemadmodum multiplicasti misericordiam tuam, Deus. Filii autem hominum in tegmine alarum tuarum sperabunt [73]. »

[72] Psal. CII, 12. [73] Psal. XXXV, 8.

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΜΙΧΑΙΑΝ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN MICHÆAM PROPHETAM COMMENTARIUS.

—

390 PROŒMIUM.

I. Unus est omnium sanctorum prophetarum idemque acceptus Deo scopus, permovere Israelem', uti errores animo forti desertum eat, et Deo vivo ac vero servire, justitiæque ornamentis gloriari malit, damnari ob res improbissimas fugiat quam maxime. Multi porro et continuata serie prophetæ fuerunt, cum prius testaretur Deus, plurimorumque vocibus palam prænuntiaret, nisi vellent recte vivere, et in posterum meliora suscipere, et ad ea omni studio contendere, ipsos contra semet ultionem concitaturos, et a se accersitam perniciem subeuntes, suis ipsorum duntaxat voluntatibus malorum quæ ipsis acciderent causas attributuros. Jam vero quod sermones sanctorum prophetarum iisdem argumentis et expositionibus contineantur, nemo vitio dandum putet, nec tautologiam (id est, earumdem rerum inanem iterationem) ipsis objiciat, **391** quin potius illud perspicue intelligat, nullum omnino tempus exstitisse quo non etiam exstiterint qui peccatis obstrictos emendare et ad salutaria corrigere possent. Et quemadmodum nemo, modo sanæ mentis sit, in reprehensione posuerit, quovis tempore medicos reperiri qui eosdem in nobis morbos accommodatis auxiliis ac medicinis depellant : ita nullus, opinor, sanctos prophetas facile insectabitur, etiamsi easdem res et verba tractare videantur. Unus quippe erat Dominus qui loquebatur omnibus, et omni tempore errantibus ostendebat quorum opera quasi in rectam semitam reducerentur. Omnes siquidem prædicunt bella, captivitates, urbium devastationes, afflictiones,

A

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Εἷς μὲν ἅπασι τοῖς ἁγίοις προφήταις καὶ θεοφιλὴς ὁ σκοπὸς, τὸ ἀναπεῖσαι τὸν Ἰσραὴλ ἀποφοιτῆσαι νεανικῶς τοῦ πλανᾶσθαι θέλειν, θέλεσθαι δὲ μᾶλλον τὸ δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ τοῖς τῆς δικαιοσύνης αὐχήμασιν ἐναβρύνεσθαι, τὴν ἐπὶ τοῖς ἀτοπωτάτοις κατάῤῥησιν ῥιπτοῦντες ὡς ἀπωτάτω. Πολλοὶ δὲ γεγόνασι καὶ καθεξῆς, προδιαμαρτυρομένου τρόπον τινὰ τοῦ Θεοῦ, καὶ διὰ πλείστων ὅσων στομάτων προαναφωνοῦντος ἐναργῶς, ὡς εἰ μὴ ἔλοιντο βιοῦν ὀρθῶς, μήτε μὴν ποιοῖντο περὶ πολλοῦ τὴν εἰς τὰ ἀμείνω λοιπὸν ἐπιτηδεύειν ἀναδρομὴν, αὐτοὶ καθ' ἑαυτῶν ὁρινοῦσι τὰς δίκας, καὶ αὐτόκλητον ἀνατλάντες ὄλεθρον, τὰς τοῦ παθεῖν αἰτίας ταῖς ἰδίαις ἀνάψουσι γνώμαις. Εἰ δὲ δὴ τῶν B αὐτῶν ἔχοιντο διηγημάτων τῶν ἁγίων προφητῶν οἱ λόγοι, αἰτιάσθω μηδεὶς, ταυτολογίαν ἐπιφημίζων αὐτοῖς, ἀναλογιζέσθω δὲ μᾶλλον ἐκεῖνο σαφῶς· οὐδένα γὰρ ἐχρῆν ὀφθῆναι καιρὸν, καθ' ὃν οὐκ ἦσαν ἐπανορθοῦν ἰσχύοντες τοὺς ἡμαρτηκότας. Καὶ ὥσπερ οὐκ ἂν αἰτιάσαιτό τις, εἴγε νοῦν ἔχοι, τὸ κατὰ πάντα καιρὸν ὑπάρχειν ἰατροὺς, τοὺς τὰ αὐτὰ τῶν ἐν ἡμῖν παθῶν ταῖς αὐτοῖς πρεπούσαις ἐπικουρίαις ἀνασειράζοντας, οὕτως οὐκ ἂν, οἶμαι, τις εὐκόλως ἐπιτιμήσειε τοῖς ἁγίοις προφήταις, εἰ καὶ διὰ τῶν αὐτῶν ἰόντες φαίνοιντο πραγμάτων τε καὶ λόγων. Εἷς γὰρ ἦν Κύριος ὁ πᾶσι λαλῶν, καὶ τοῖς πλανωμένοις ἀναδεικνὺς κατὰ πάντα καιρὸν τοὺς ἀποκομίζειν εἰδότας εἰς εὐθεῖαν ὥσπερ ὁδόν. Προαγορεύουσι γὰρ ἅπαντες τοὺς πολέμους, τὰς αἰχμαλωσίας, τὴν τῶν πόλεων ἐρήμωσιν, τοὺς πόνους, τὰ πένθη, τοὺς ἐπὶ τοῖς

Digitized by Google

τεθνεώσιν ὀδυρμούς, τὰς περὶ τῶν παραλελειμμένων καταλαιπωρίας, τὴν τῶν πορθούντων ὠμότητα· καὶ ἁπαξαπλῶς διὰ πάσης αὐτοῖς ἀγριότητος κεχωρηκότα τὰ διηγήματα κατίδοι τις ἄν, διά γε τὸ τοῖς πλανωμένοις εἰς δνησιν ἀναγκαῖον. Ἀνακόπτεται γὰρ ἔσθ' ὅτε τοῖς δείμασι καὶ τὸ ἀσχέτως ἐκνενευκὸς εἰς ἀπόστασίν τε καὶ ἁμαρτίαν. Προφητεύει τοίνυν καὶ ὁ μακάριος Μιχαίας ἐν καιρῷ βασιλείας τοῦ τε Ἰωάθαμ, καὶ τοῦ Ἀχὰτζ, καὶ Ἐζεκία. Καὶ βασιλεύοντος μὲν Ἰωάθαμ κατεστρατεύετο τῆς Ἱερουσαλὴμ ὁ τοῦ Ῥωμελίου Φακεὲ, καὶ Ῥαασὼν βασιλεὺς Συρίας. Διαδέχεται δὲ τεθνεῶτος τὴν ἀρχὴν ὁ Ἀχὰτζ, ὃς καὶ παρατείνοντος τοῦ πολέμου κατεμισθοῦτο χρήμασι τὸν Ἀσσύριον, ἐπαμῦναί τέ οἱ παρεκάλει, ταῖς τῶν ἐπιόντων δυνάμεσιν ἀντεξάγειν οὐκ ἔχοντι. Ὃς καὶ παρελθὼν εἶλε μὲν τὴν Δαμασκὸν, ἀπέκτονε δὲ καὶ τὸν Ῥαασών. Εἶτα κατ' ἐκεῖνο τοῦ καιροῦ βασιλευόντων ἐν τῇ Σαμαρείᾳ Ἱεροβοάμ τε τοῦ Ἰωὰς, καὶ μετ' αὐτὸν Ἀζαρίου, καὶ τρίτον δὲ Μανασὴμ, ἀνέβη Φουλὰ βασιλεὺς Ἀσσυρίων, ὃς καὶ πολλοῖς μόλις χρήμασιν ὑποπεισθείς, εἰς τὴν ἐνεγκοῦσαν ἀνεκομίζετο. Μετὰ δέ γε τὸν Φουλὰ, κατεστράτευε τῆς Ἰουδαίας γῆς Θεγλαφαλασὰρ ὁ Ἀσσύριος, καὶ πλείστας μὲν ὅσας τῆς Σαμαρείας ἀνέστησε πόλεις, προσετίθει δὲ αὐτῷ πᾶσαν τὴν Γαλιλαίαν ἕως Νεφθαλήμ. Εἴρηται μὲν δὴ ταυτὶ λεπτῶς, ὅτε τὴν ἐπὶ τῷ μακαρίῳ προφήτῃ Ὡσηὲ συνετίθεμεν ἐξήγησιν, ὑπεμνήσαμεν δὲ καὶ νῦν ἀναγκαίως διὰ τὸ τεθεῖσθαι τοὺς χρόνους τῆς τοῦ Μιχαίου προφητείας. Ἔδει γὰρ, ἔδει τὸν φιλακροάμονα καὶ φιλαληθῆ μὴ ἀγνοῆσαι τὴν αἰτίαν, δι' ἣν ὠνομάσθησαν οἱ τῆς Ἱερουσαλὴμ βεβασιλευκότες, Ἰωάθαμ, φημὶ, καὶ Ἀχάτζ. Παρατείνει δὲ τῆς προφητείας ὁ χρόνος καὶ μέχρι τῆς Ἐζεχίου βασιλείας, ἐφ' ᾧ πάλιν ὁ Σεναχηρεὶμ, Ἀσσυρίων καὶ οὗτος βασιλεὺς, εἶλε κατακράτος τὴν Σαμαρειτῶν, κατεδῄωσε δὲ καὶ τὰς πόλεις τῶν Φυλιστιείμ, τουτέστι τὰς Παλαιστηνῶν. Εἶτα τὴν Λαχεὶς ἑλὼν, πόλις δὲ αὕτη τῆς Ἰούδα βασιλείας, ἐκεῖθεν πέμπει Ῥαψάκην πολιορκήσοντα τὴν Ἱερουσαλὴμ, ὃς καὶ τῆς ἀλαζονείας καὶ τῆς κατὰ Θεοῦ γλωσσαλγίας ἐξαιτεῖται δίκας, ἀποθανουσῶν ἐν μιᾷ νυκτὶ τῆς τῶν Ἀσσυρίων στρατιᾶς ρπε' χιλιάδων. Γέγονε τοίνυν, φησὶ, λόγος Κυρίου πρὸς Μιχαίαν τὸν τοῦ Μωρασθί.

lamentationes, luctus mortuorum, superstitum calamitates, expugnantium crudelitatem, et, ut universe dicam, eorum sermones omne genus diritatis complexos videas, quod ita errantium utilitas flagitaret. Nonnunquam enim terroribus effrenatus ad defectionem et peccatum impetus retunditur. Itaque et beatus Michæas Joathan, Achaz, et Ezechia regnantibus vaticinatur. Ac sub Joathan quidem Hierosolymam armis adortus est Phacee filius Romeliæ, et Rasin rex Syriæ. Cui successit Achaz, qui bello diuturniore cum hostem reprimere nequiret, Assyrium pecunia conduxit, et ad opem sibi ferendam advocavit. Is adveniens Damascum cepit, Rasin interemit [74]. Eadem ætate regnantibus in Samaria Jeroboam filio Joas, et post eum Azaria, et tertio Manahem, ascendit Phula rex Assyriorum, qui grandi licet pecunia ægre persuasus, in patriam est reversus [75]. Post Phulam Theglatphalasar Assyrius copias in Judæam adducens, plurimas Samariæ urbes evertit, totamque Galilæam usque Nephthalim sibi subjunxit [76]. Verum de his in explanationibus Oseæ prophetæ exquisitius disputavimus, et nunc eadem propter tempora proposita, quibus Michæas prophetavit, iterare debuimus. Oportebat enim, oportebat, inquam, auditionis et veritatis cupidum non ignorare causam quamobrem Hierosolymæ reges, Joathan videlicet et Achaz, nominarentur. Cæterum tempus prophetiæ usque ad regnum Ezechiæ pertinet, quo regnante rursum Senacherib, **392** et ipse Assyriorum rex, Samariam oppressit, urbes Philistiim, hoc est, Palæstinorum vastavit. Deinde capta Lachis urbe regni Juda, inde Rabsacen Hierosolymam expugnaturum misit, qui arrogantiæ et maledicentiæ in Deum, centum octoginta quinque Assyriorum millibus una nocte deletis, pœnas dedit. Factum est igitur, inquit, verbum Domini ad Michæam Morasthæ filium.

ΚΕΦΑΛ. Α'.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Μιχαίαν, τὸν τοῦ Μωρασθὶ, ἐν ἡμέραις Ἰωάθαμ, καὶ Ἀχὰζ, καὶ Ἐζεχίου βασιλέων Ἰούδα.

Β'. Χρὴ δὲ εἰδέναι πάλιν, ὡς Ἑβραῖοι γεγράφασιν ἀντὶ τοῦ Μωρασθὶ τὸν Μωρασθίτην, ἵνα μὴ ὡς ἐκ πατρὸς, ἀλλ' ὡς ἐκ τόπου σημαίνηται. Φασὶ γὰρ εἶναι τὴν Μωρασθὶ πόλιν, ἤτοι πολίχνην εἰς Ἰουδαίων γενέσθαι χώρας. Συμφέρονται δὲ τῇ ἐκδόσει καὶ οἱ ἕτεροι τῶν ἑρμηνευτῶν. Οὐκοῦν εἴη ἂν οὐχὶ τοῦ προφήτου πατὴρ ὁ Μωρασθὶ, σημαίνηται δὲ, ὡς ἔφην, ἐκ τόπου μᾶλλον καὶ Μωρασθίτης. Τίνες δὲ ἄρα λοιπὸν οἱ πρὸς αὐτὸν γεγονότες λόγοι, παραθῆναι ἀναγκαῖον.

Ὑπὲρ ὧν εἶδεν περὶ Σαμαρείας, καὶ περὶ Ἱερουσαλήμ.

CAP. I.

Vers. 1. *Et factum est verbum Domini ad Michæam, Morasthæ filium, in diebus Joathan, et Achaz, et Ezechiæ, regum Juda.*

II. Sciendum Hebræos pro Morasthæ Morasthiten scripsisse, quasi non a patre, sed a loco nominetur. Aiunt quippe, Morasthi urbem, seu oppidulum Judææ fuisse. Huic editioni et alii quoque interpretes assentiuntur. Esto igitur, non fuerit prophetæ pater dictus Morasthi, nominetur, ut dixi, potius a loco Morasthites. Quod sit autem factum ad illum verbum, deinceps videamus necesse est.

De quibus vidit de Samaria, et de Jerusalem.

[74] Isa. VII, 1 seqq.; II, 4; II Paral. XXVIII, 5 seqq. [75] IV Reg. XV, 1 seqq. [76] ibid. 29 seqq.

Digitized by Google

III. Vidit enim tanquam in viso sibi oblato quæ ventura essent, et brevi futurorum seu in foribus præsentium malorum non solum percepta notitia, sed quod ad visum per visum attinet, eorum eventum metuens, de Samaria et Hierosolyma necessario verba facit.

Γ'. Τεθέαται γὰρ ἐν ὁράσει τὰ ἐσόμενα, καὶ τῶν ὅσον οὐδέπω παρεσομένων ἢ καὶ ἐπὶ θύραις ὄντων κακῶν οὐχὶ μόνην ἐλὼν τὴν γνῶσιν, ἀλλ' ὅσον ἦκεν εἰς ὄψιν, τὴν ἐν ὁράματι λέγω, δεδιὼς τὴν ἔκβασιν, ἀναγκαίως ποιεῖται τοὺς λόγους περί τε τῆς Σαμαρείας καὶ τῆς Ἱερουσαλήμ.

VERS. 2. *Audite, populi, sermones; attendat terra, et omnes qui in ea. Et erit Dominus Deus in vobis in testimonium, Dominus ex domo sancta sua.*

Ἀκούσατε, λαοί, λόγους, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. Καὶ ἔσται Κύριος ὁ Θεὸς ἐν ὑμῖν εἰς μαρτύριον, Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ.

IV. Hortatur uti se ad prompte obediendum comparent, tantum non auriculas ad divinorum oraculorum seu eloquiorum virtutem subtiliter percipiendam inclinent. Non autem e sua mente, seu voluntate aliqua humana, sed ab omnipotente Deo hæc memorari, certissimo confirmat, adjiciens : « Quia erit Dominus in vobis in testimonium, » ille ipse. Propemodum ac si diceret : Tametsi ego Michæas loquor, tametsi ut homo forte quidam intercedam; at ipse universorum Deus vobis testificatur, et Dominicis **393** oraculis vocem meam commodo. Erit igitur vobis in testimonium ille ipse cui hoc decantatum et conspicuum templum exstruxistis; cui divinum a vobis altare constitutum est; quem adoratione prosequi per legem didicistis; qui a domo sua semper ad prophetas sanctos locutus est, et præ aliis ad beatum Moysen, qui vetus illud tabernaculum in solitudine excitavit. Loquebatur namque desuper e propitiatorio; et, ut ait sacra Scriptura, Moyses loquebatur, Deus autem illi voce respondebat [77]. « Et nunc vos contestabitur, inquit Michæas, e domo sua. Quare audite, populi, et attendat terra. » Cognatum est huic illud Isaiæ : « Audi, cœlum, et auribus percipe, terra, quia Dominus locutus est [78]. » Habitat igitur Altissimus in templis, verum illis non lapideis aut manufactis [79]. Quia vero ad gloriam Dei sacra templa exædificari confitemur, ideo et in ipsis habitare universorum Deum non dedignari credimus, quamvis cœlum et terram, et quæ infra terram sunt, impleat [80].

Δ'. Ἑτοιμάζεσθαι κελεύει πρὸς τὸ εὐήνιον, καὶ μονονουχὶ κατακλίνοντας τὸ ὠτίον συνιέναι λεπτῶς τῶν θείων λογίων τὴν δύναμιν. Ὅτι δὲ οὐκ ἀπὸ γνώμης ἥγουν θελημάτων ἀνθρωπίνων ἡ ἀφήγησις, ἀλλὰ παρ' αὐτοῦ τοῦ τῶν ὅλων κρατοῦντος Θεοῦ, πληροφορεῖ προστιθείς· « Ὅτι ἔσται Κύριος ἐν ὑμῖν εἰς μαρτύριον, » ἐκεῖνος αὐτός. Μονονουχὶ γάρ φησι, Κἂν αὐτὸς ἐγὼ Μιχαίας ποιῶ τοὺς λόγους, κἂν εἰ μεσιτεύοιμι τυχὸν ὡς ἄνθρωπος, ἀλλ' αὐτὸς ὑμῖν ὁ τῶν ὅλων διαμαρτύρεται Θεὸς, καὶ δεσποτικοῖς θεσπίσμασι τὴν ἐμαυτοῦ δανείζω φωνήν. Ἔσται τοίνυν ἐν ὑμῖν εἰς μαρτύριον αὐτὸς ἐκεῖνος, ᾧ τὸν διαβόητον τοῦτον ἢ καὶ περιφανῆ ναὸν ἐστήσατε, ᾧ τὸ θεῖον ἵδρυται πρὸς ὑμῶν θυσιαστήριον, ᾧ τὸ σέβας ἀνάπτειν πεπαίδευσθε διὰ νόμου· ὃς ἐκ τοῦ ἰδίου οἴκου λελάληκεν ἀεὶ πρὸς προφήτας ἁγίους, καὶ πρό γε τῶν ἄλλων τῷ μακαρίῳ Μωσεῖ, τὴν ἀρχαίαν ἐκείνην σκηνὴν ἐγηγερκότι κατὰ τὴν ἔρημον. Ἐλάλει γὰρ ἄνωθεν τοῦ ἱλαστηρίου, καί, ᾗ φησι τὸ Γράμμα τὸ ἱερὸν, Μωσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ. « Καὶ νῦν ὑμᾶς διαμαρτύρεται, φησί, ἐκ τοῦ οἴκου αὐτοῦ. Οὐκοῦν ἀκούετε μὲν, οἱ λαοί, προσεχέτω δὲ καὶ ἡ γῆ. » Τούτῳ παραπλήσιον τὸ διὰ φωνῆς Ἡσαΐου· « Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησε. » Κατοικεῖ μὲν οὖν ὁ Ὕψιστος οὐκ ἐν γε τοῖς ἐκ λίθων ναοῖς ἢ χειροποιήτοις τεμένεσι. Ἐπειδὴ δὲ εἰς δόξαν Θεοῦ τοὺς ἁγίους οἴκους ἐγηγέρθαι φαμὲν, ταύτητοι καὶ κατοικεῖν ἐν αὐτοῖς οὐκ ἀπαξιοῦν πεπιστεύκαμεν τὸν τῶν ὅλων Θεὸν, καίτοι πληροῦντα τοὺς οὐρανοὺς καὶ τὴν γῆν καὶ τὰ κατωτέρω.

Non inepte porro quispiam hæc ad Christum, ad salutem non populos modo de sanguine Abraham, sed universum terrarum orbem vocantem transferat. Ore enim Davidis velut testatus est, dicens : « Audite hæc, omnes gentes; auribus percipite, omnes qui habitatis orbem [81]. » At enim, tanquam e domo propria et sibi longe charissima, de cœlo ad nos Sermonem descendisse, cui dubitare fas est? Nihil autem absurdum, domum Dei cœlum appellare, quando et terrenam Sion, quæ typus Ecclesiæ habebatur, et domum et civitatem ejus divinitus inspiratæ Scripturæ nuncupant. Psallit enim, et ait alicubi divinus David : « Gloriosa dicta sunt de te, civitas Dei [82]. » Quocirca ut civitas, ita quoque do-

Ἐφαρμόσαι δ' ἄν τις εἰκότως Χριστῷ καὶ ταῦτα, καλοῦντι πρὸς σωτηρίαν οὐχὶ μόνους λαοὺς, οἱ καὶ ἐξ αἵματος ἦσαν Ἀβραὰμ, ἀλλὰ γὰρ καὶ σύμπασαν τὴν γῆν. Διεμαρτύρατο γὰρ ὥσπερ διὰ φωνῆς τοῦ Δαβὶδ, λέγων· « Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. » Ὅτι δὲ ὡς ἐξ οἴκου τοῦ ἰδίου καὶ φιλαιτάτου λίαν αὐτῷ καταπεφοίτηκεν ὡς ἡμᾶς ἐξ οὐρανοῦ ὁ Λόγος, πῶς ἔστιν ἀμφιβαλεῖν; Ἄτοπον δὲ οὐδὲν οἶκον Θεοῦ λέγειν τὸν οὐρανὸν, ὁπότε καὶ τὴν ἐπίγειον Σιὼν, ἣ καὶ εἰς τύπον τῆς Ἐκκλησίας λαμβάνεται, οἶκόν τε αὐτοῦ καὶ πόλιν αἱ θεόπνευστοι λέγουσι Γραφαί. Ψάλλει γάρ που καὶ φησιν ὁ θεσπέσιος Δαβίδ· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ »

[77] Num. VII, 89. [78] Isa. I, 2. [79] Act. XVII, 24. [80] Jerem. XXIII, 24. [81] Psal. XLVIII, 2. [82] Psal. LXXXVI, 3.

Digitized by Google

θύκοῦν πόλις εἴη ἂν οὕτω καὶ οἶκος ἡ Ἐκκλησία Χριστοῦ, πληροῦντος τὰ πάντα κατά γε τὴν τῆς θεότητος φύσιν.

A mus ejus fuerit Ecclesia Christi, secundum divinitatis naturam implentis omnia.

Διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται, καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς. Καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ. Καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, καὶ ὡς ὕδωρ φερόμενον ἐν καταβάσει.

VERS. 3, 4. *Quia ecce Dominus egreditur de loco suo, et descendet, et ascendet super excelsa terræ. Et commovebuntur montes super eum. Et valles tabescent sicut cera a facie ignis, et sicut aqua profluens in descensu.*

Ε'. Ἀσαφὴς μὲν λίαν καὶ αἰνιγμάτων ἔμπλεως ὁ τοιόσδε λόγος. Πλὴν ἐκεῖνό φαμεν ἀναγκαίως, ὅτι κἂν εἰ τοῖς καθ' ἡμᾶς σημαίνηται λόγοις τὰ περὶ Θεοῦ, ἀλλ' οὖν ὁ περὶ ταῦτα τεχνίτης, καὶ νοεῖν εἰδὼς παραβολὴν, καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα, συνήσει λεπτῶς, καὶ ὡς ἂν ὅτι μάλιστα πρέποι τῇ θείᾳ τε καὶ ἀῤῥήτῳ φύσει. Ἵδρυσίς τε γὰρ αὐτῆς, θρόνοι τε καὶ ἔγερσις διὰ τῆς τῶν ἁγίων λέγεται φωνῆς, καὶ μὴν καὶ ὁδοὶ, καὶ πορεῖαι, ἕτερα δὲ πρὸς τούτοις ἄττα σμικρὰ καὶ ἀνθρώπινα. Ἀλλ', ὡς ἔφην ἀρτίως, τὰ τοιάδε τῶν θεωρημάτων ἰσχνῶς τε καὶ κατερῥινημένως νοεῖτ' ἂν εἰκότως παρά γε τοῖς ἀγαθοῖς καὶ ἀρτίφροσι. Γίνονται γὰρ ὡς ἐξ ὁμοιώσεως καὶ μεταφορᾶς τῶν καθ' ἡμᾶς οἱ λόγοι. Ὅταν τοίνυν ἀκούσῃς τοῦ προφήτου τὸ, « Διότι ἰδοὺ Κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, » προσεπάγει δὲ, ὅτι καὶ ὄρη μὲν σαλευθήσονται, καὶ κατατακήσονται καὶ αἱ κοιλάδες, τότε δὴ, τότε ἐν αἰσθήσει πραγμάτων ὑπερφέρων βραχὺ, ἄνιθι τοῖς θεωρήμασιν εἰς εὔνοίας ἰσχνάς. Ἔξοδον τοίνυν ἐνθάδε νοήσεις Θεοῦ γενομένην ὥσπερ ἐξ ἰδίου τόπου, τὴν οἱονεί πως ἐκ τῆς ἡρεμίας κίνησιν, τὴν ἐπὶ πᾶσι τῶν πραχθησομένων. Μόνον γὰρ οὐχί φησι, Κεκίνηται λοιπὸν ὁ πάλαι μακροθυμῶν, καὶ ἀφεδήσει δή πως ἔτι κατηρεμεῖν ἐπὶ τοῖς προκεκρουκόσι, καὶ τὴν αὐτῷ φίλην ἡμερότητα τρόπον τινὰ καταλελοιπὼς, ἐποίσει τὰς δίκας λοιπόν. « Ἐπιβήσεται μὲν γὰρ ἐπὶ τὰ ὕψη τῆς γῆς, » τουτέστι, πατήσει λοιπὸν τοὺς ἐν ταῖς ἄγαν ὑπεροχαῖς, ἵνα νοῶμεν τοὺς βασιλεύοντας ἔν τε Σαμαρείᾳ καὶ ἐν Ἱερουσαλήμ. « Σαλευθήσονται δὲ καὶ τὰ ὄρη, » τουτέστι, πάλιν μετακινηθήσονται τῶν ἰδίων ἀξιωμάτων οἱ τοὺς ἄλλους ὑπεραίροντες, καὶ πολὺ λίαν ἀφεστηκότες ἐν δόξῃ· ὄρεσι γὰρ τοὺς τοιούτους εὖ μάλα παρεικαστέον. « Ἐκτακήσονται δὲ καὶ, ὡς κηρὸς, αἱ κοιλάδες, » τουτέστιν, οἱ ταπεινοὶ, κατερῥιμμένοι, καὶ τὸ τῶν ἀγελαίων ἔχοντες μέτρον, ἀλλὰ καίτοι λίαν ὄντες σκληροὶ, καὶ τοῖς θείοις θεσπίσμασιν εἴκειν οὐκ ἀνεχόμενοι, οἱονεὶ πυρὶ προσβάλλοντες τῷ ἐκ τῆς θείας ὀργῆς, κηροῦ δίκην κατατακήσονται. Γ'ένήσονται δὲ καὶ « ὡς ὕδωρ φερόμενον ἐν καταβάσει, » τουτέστι κατὰ πρανοῦς ὄξεῖ καὶ ἀσχέτῳ διάττον δρόμῳ. Ὡς γὰρ ἤδη προεῖπον, οἱ τῶν Ἀσσυρίων βασιλεῖς τήν τε Σαμάρειαν αὐτὴν καὶ τὴν Ἰούδα βασιλείαν ἀγρίως καταδήσαντες, ἀπῴκισαν μὲν τῶν βασιλέων τινὰς, ἀπεκτόνασι δὲ πάντας τοὺς ἡγουμένους, δρομεῖς δὲ ὥσπερ καὶ ὡς ὕδωρ κατὰ πρανοῦς ἐρχόμενον ἀπεκόμισαν εἰς τὴν ἑαυτῶν τὴν τῶν ἀγελαίων πληθύν. Τοῦτο ἦν τὸ ὕδωρ τὸ καταφερόμενον ἐν καταβάσει, καὶ τρέχον ἐκ τῆς Σαμαρείας εἰς τὴν Περσῶν τε καὶ Μήδων.

V. Perobscurus et ænigmatum refertus est hic sermo. Verumtamen illud dicendum est : Quanquam divina verbis nostris exprimuntur, tamen eorum peritus, **394** parabolamque et tenebris involutum sermonem, et dicta sapientum, et ænigmata intelligere doctus, enucleate hæc, divinæque et ineffabili B naturæ in primis convenienter intelliget. Sanctorum vocibus ejus sessio, thronus et surrectio, atque etiam viæ et itinera, et alia quædam insuper exilia et humana memorantur. Verum, ut dicebam, talia ad considerandum proposita subtiliter et limate a bonis et mente perfectis merito percipiantur. Nam ut a nostris rebus ducta similitudine et metaphora, ita loquitur. Cum itaque audieris prophetam dicentem : « Quia ecce Dominus egreditur de loco suo, et ascendet super excelsa terræ, » et addentem, montes quoque commotum, et valles tabefactum iri, tunc nimirum, tunc supra res in sensum cadentes aliquantum te sustollens, ad subtilem contemplatum cogitando ascende. Egressum igitur Dei e loco suo hic accipies, quasi propter agenda quæ- C dam ex quiete motum. Propemodum enim dicit, Motus est jam, qui pridem patientem se præstabat, et in posterum desinet super iis a quibus est offensus quiescere, et amicam sibi mansuetudinem quodammodo deponens, posthac pœnas irrogabit. « Ascendet enim super excelsa terræ, » hoc est, in altissimo gradu constitutos conculcabit, ut reges Samariæ et Hierosolymæ intelligamus. « Commovebuntur autem montes » quoque, hoc est, qui supra alios eminent, et gloria plurimum ab iis differunt, suis dignitatibus rursus movebuntur; montibus siquidem tales non male comparantur. « Tabescent item valles, instar ceræ, » hoc est, humiles abjectique, et e medio grege vulgi, quamvis admodum D præfracti et divinis oraculis cedere nescii in divinam iram ut in ignem incurrentes, tabescent, et fient « sicut aqua profluens in descensu, » hoc est, per præceps celeri et rapido cursu desiliens. Nam, ut paulo ante memini, Assyriorum reges, et Samariam ipsam et regnum Juda hostiliter depopulati, quosdam reges in alias sedes transtulerunt, et omnes duces interfecerunt, et instar cursoris, atque ut aqua præcipitans, populi multitudinem in suum regnum abduxerunt. Hæc fuit illa aqua, quæ deorsum in descensu fluitans, ex Samaria in Persidem et Mediam cucurrit.

Ἐκπεπόρευται δὲ καὶ ὁ τοῦ Θεοῦ Λόγος ἐκ τοῦ τό-

Egressus est autem et Dei Sermo de **395** loco

Digitized by Google

suo. Deus enim cum esset natura, factus est homo, in quo motionem quodammodo subiisse illum videri aio, etsi mutationis est expers, potiusque in propria natura firmus ac stabilis ut Deus. « Ascendit porro etiam super excelsa terræ, et commovit montes, et tabefecit valles, ipsasque ut aquam profluentem in descensu fluere fecit. » Excelsa terræ sunt superiores omnibus virtutes, quæ mente comprehenduntur, et spiritus nequitiæ possunt intelligi. Montes autem commoti, principatu in nos deturbati dæmones. Ejecti sunt enim illi, et nos de cætero ad serviendum natura et vere Deo vocati sumus. Valles autem, dæmonum gregaria multitudo, vilis et abjecta, et instar ceræ liquefacta, et ut aqua in intima inferni defluens. Accedebant enim ad Christum maligni spiritus, rogabantque ne juberet eos abire in abyssum [93]. Nam cæteris jam eodem missis, qui restabant, negotium istud perhorrescebant. Quod si quispiam excelsa, et montes, et valles, Judæorum principes et populos eis obsequentes interpretari voluerit : sane hi propter injurias et contumelias in Christum etiam suo imperio expulsi sunt, et in calamitates belli a Romanis illati, ut in flammam ignis incidentes, tabefacti, et ut aqua transiens contempti, et sicut cera quæ fluit [94] sublati sunt, juxta vocem Psalmographi : cui, inquam, sic interpretari ista libuerit, a scopo congruente diversus non abibit.

Vers. 5. *Propter impietatem Jacob omnia hæc, et propter peccatum domus Israel.*

VI. Cum dixisset universorum Deum ascensurum super excelsa terræ, et commotum iri montes ab eo, et valles instar ceræ et aquæ liquatas esse defluxuras, adjungit deinceps : « Propter impietatem Jacob hæc omnia. » Vide ergo quemadmodum abscondita loquatur mysteria, nec prædictorum vim et sententiam sensibilibus definit, obscuriusque Samaritanis et Hierosolymitanis paulo post adventuras clades, quas novit, enarrat. Quem enim terrorem haberet, et quomodo Samaritanis forte, aut aliis ægrimoniam crearet, concuti montes? et valles quonam modo tabefierent? aut instar aquæ descenderent? Sed novit, ut dixi, quæ Israelitas manerent, et ut dignum fuit, indicavit. Idcirco nunc necessario supplicia inducit, non quasi ignorantes eos **396** alloquens, ut puto, sed quasi castigans, et ad voluntatem utilia et decentiora sapiendi eos rectissime traducens. Ait igitur, « Propter impietatem Jacob hæc omnia, et propter peccatum domus Israel, » ut universus Israel in Deum et homines culpam admisisse cognoscatur. Impietatem quippe in Deum delicta, in fratres autem et populares peccata videtur nominare. ἀνθρώπους. Ἀσέβειαν μὲν γὰρ ὀνομάζειν ἔοικε τὰ ὁμογενεῖς ἁμαρτίαν.

Quæ impietas Jacob? nonne Samaria? Et quod peccatum domus Juda? nonne Jerusalem?

[93] Luc. VIII, 31. [94] Psal. LVII, 9.

που αὐτοῦ. Θεὸς γὰρ ὢν φύσει γέγονεν ἄνθρωπος. Δοκεῖ δέ πως καὶ ὑπομεῖναι κίνησιν τὴν ἐν γε τούτῳ φημὶ, καίτοι τροπὴν οὐκ εἰδὼς, ἐρηρεισμένος δὲ μᾶλλον ἐν ἰδίᾳ φύσει, καὶ τὸ βεβηκὸς ἔχων ὡς Θεός. « Ἐπέβη δὲ καὶ ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σεσάλευκεν ὄρη, καὶ κατέτηξε κοιλάδας, καὶ ὡς ὕδωρ αὐτοὺς φερόμενον ἐν καταβάσει ῥεῦσαι παρεσκεύασε. » Καὶ ὕψη μὲν τῆς γῆς αἱ κατὰ πάντων ἐπαιρόμεναι νοηταὶ δυνάμεις, καὶ τὰ πνεύματα τῆς πονηρίας νοηθεῖεν ἄν. Ὄρη δὲ σαλευόμενα οἱ τῆς καθ' ἡμῶν ἀρχῆς ἐξωσθέντες δαίμονες. Ἐκβέβληνται γὰρ, καὶ κεκλήμεθα λοιπὸν εἰς τὸ ὑποκεῖσθαι τῷ φύσει καὶ κατὰ ἀλήθειαν Θεῷ. Κοιλάδες δὲ πάλιν ἡ τῶν δαιμόνων ἀγελαία πληθὺς, ἡ ταπεινὴ καὶ κατερρίμμενη, ἡ δίκην κηροῦ κατατετηγμένη, ῥεύσασα δὲ καὶ ὡς ὕδωρ εἰς τοὺς ἐν ᾅδου μυχούς. Προσῄεσαν γὰρ τὰ πονηρὰ πνεύματα τῷ Χριστῷ, καὶ παρεκάλουν αὐτὸν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Ὡς γὰρ ἑτέρων ἤδη προαπεσταλμένων, οἱ περιλειφθέντες ἔτι τὸ χρῆμα καταπεφρίκεσαν. Εἰ δὲ δή βούλοιτό τις ὕψη τε καὶ ὄρη, καὶ κοιλάδας, τοὺς τῶν Ἰουδαίων νοῆσαι καθηγητὰς, καὶ μέντοι δήμους τοὺς ὑπ' αὐτοῖς, οἳ, διά γε τὴν εἰς Χριστὸν παροινίαν, καὶ τῆς ἰδίας ἐξώσθησαν ἀρχῆς· ἐτάκησαν γὰρ καὶ ὡς κηρὸς, ταῖς τοῦ πολέμου τοῦ παρὰ Ῥωμαίων συμφοραῖς ὡς φλογὶ προσβαλόντες, ἐξουθενώθησαν δὲ καὶ ὡς ὕδωρ διαπορευόμενον, καὶ ὡσεὶ κηρὸς ταχεῖς ἀντανῄρηνται, κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν· οὐκ ἔξω τοῦ πρέποντος βαδιεῖται σκοποῦ.

Δι' ἀσέβειαν Ἰακὼβ ταῦτα πάντα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ.

Γ'. Ἐπιβήσεσθαι λέγων τὸν τῶν ὅλων Θεὸν ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεσθαι μὲν ὑπ' αὐτοῦ τὰ ὄρη, κηροῦ δὲ δίκην καὶ ὕδατος ἐκτακήσεσθαι καὶ καταῤῥεῖν τὰς κοιλάδας, ἐπιφέρει λοιπὸν· « Δι' ἀσέβειαν Ἰακὼβ ταῦτα πάντα. » Ἄθρει δὴ οὖν ὅπως κεκρυμμένα λαλεῖ μυστήρια, καὶ οὐ μέχρι τῶν αἰσθητῶν τὸν τῶν προκειμένων ἵστησι νοῦν, οἷδε δὲ πλαγίως τῶν ἐν Σαμαρείᾳ καὶ τῶν ἐν τοῖς Ἱεροσολύμοις τὰς ὅσον οὐδέπω παρεσομένας ἀφηγησάμενος συμφοράς. Ποῖον γὰρ ἂν ἔχοι τὸ δεῖμα, καταλυπήσει δὲ ὅπως τοὺς ἐν Σαμαρείᾳ τυχὸν, ἤγουν τοὺς ἑτέρους, τὸ καταδονεῖσθαι τὰ ὄρη; κοιλάδες δὲ τίνα τρόπον ἐκτακεῖεν ἄν, ἢ καὶ ὡς ὕδωρ ἔσονται καταφερόμενον καταβάσει; Ἀλλ' οἶδεν, ὡς ἔφην, κατασημήνας ἀξίως τὰ συμβησόμενα τοῖς ἐξ Ἰσραήλ. Ταύτῃτοι λοιπὸν ἀναγκαίως ἐπάγει τὰς δίκας, οὐχ ὡς ἠγνοηκόσιν αὐτοῖς, καθάπερ ἐγῷμαι, διαλεγόμενος, ἀλλ' οἷον ἐλέγχων, καὶ μετατιθεὶς εὖ μάλα πρὸς τὸ ἐλέσθαι φρονεῖν τὰ χρήσιμά τε καὶ πρεπωδέστερα. Ἔφη τοίνυν, ὅτι « Δι' ἀσέβειαν Ἰακὼβ ταῦτα πάντα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ, » ἵνα σύμπαν νοῆται πεπλημμεληκὸς τὸ ἐξ Ἰσραὴλ εἴς τε Θεὸν καὶ εἰς Θεὸν πταίσματα, τὰ δέ γε εἰς ἀδελφοὺς καὶ

Τίς ἡ ἀσέβεια Ἰακώβ; οὐ Σαμάρεια; Καὶ τίς ἡ ἁμαρτία οἴκου Ἰούδα; οὐχὶ Ἱερουσαλήμ;

Digitized by Google

Ζ'. Ἰακὼβ ὀνομάσας τοὺς ἐξ Ἰακὼβ γεγονότας, τὸν Ἐφραΐμ δή λέγω, τὸν ἐν Σαμαρείᾳ, καθίστησιν ἐναργῆ τὰ αὐτῶν ἐγκλήματα. Σαμάρειαν δὲ εἶναί φησι τῆς ἀσεβείας τὸ εἶδος. Καὶ οὐ δήπω φαμὲν, ὡς αὐτὴν αἰτιᾶται τὴν χώραν· κομιδῇ γὰρ ἀπόπληκτον τὸ τῇδε νοεῖν. Σαμάρειαν δὲ τὰ εἰς Σαμάρειάν φησιν, οἷον τὰς δαμάλεις, τὸν Χαμὼς, τὸν Βάαλ, καὶ τὰ ἐν αὐτῇ πραττόμενα κατά τινων διὰ τῆς τῶν κρατούντων πλεονεξίας. Ἔφη γάρ, ὅτι κατεκονδύλιζον εἰς κεφαλὰς πτωχῶν, καὶ ὁδὸν ταπεινῶν ἐξέκλιναν. Καὶ πρὸς τούτοις ἔλεγον· « Πότε διελεύσεται ὁ μὴν, καὶ ἐμπολήσομεν· καὶ τὰ Σάββατα, καὶ ἀνοίξομεν θησαυροὺς; τοῦ ποιῆσαι μικρὸν μέτρον, καὶ τοῦ μεγαλῦναι στάθμιον, καὶ ποιῆσαι ζυγὸν ἄδικον; » Ἁμαρτίαν δὲ τοῦ Ἰούδα τὴν Ἱερουσαλὴμ γενέσθαι φησί. Καὶ οὕτι πως πάντως αὐτὴν ἐν τούτοις τὴν πόλιν αἰτιώμεθα φρονοῦντες ὀρθῶς· οἰηθησόμεθα δὲ μᾶλλον τὰ ἐν αὐτῇ πραττόμενα τῷ Ἰούδα γενέσθαι πρὸς ἁμαρτίαν. Κατῃτιᾶτο δὲ Θεὸς τῶν Ἰουδαίων τὰς παροινίας, καὶ δὴ καὶ ἔφασκεν ἐναργῶς, « Ὅτι κατ' ἀριθμὸν πόλεών σου ἦσαν οἱ θεοί σου, Ἰούδα, καὶ κατ' ἀριθμὸν διόδων τῆς Ἱερουσαλὴμ ἐπέταξας βωμοὺς τοῦ θυμιᾶν τῷ Βάαλ. Ἵνα τί λαλεῖτε πρός με; Πάντες ὑμεῖς ἠνομήσατε, καὶ πάντες ὑμεῖς ἠσεβήσατε εἰς ἐμὲ, λέγει Κύριος παντοκράτωρ. » Ἐπιπλήττει δὲ αὐτοῖς καὶ διὰ φωνῆς Ἡσαΐου λέγων· « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί; Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον· οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι· οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χηρῶν οὐ προσέχοντες. » Γέγονε τοίνυν εἰς ἁμαρτίαν τῷ Ἰούδα τὰ ἐν τοῖς Ἱεροσολύμοις ἀνοσίως πραττόμενα, καὶ οὔτι που μᾶλλον ἡ πόλις.

Δεῖ δὴ οὖν ἄρα καὶ Θεὸν ἀγαπᾶν « ἐξ ὅλης ψυχῆς καὶ καρδίας, » ἀποσείεσθαι δὲ καὶ τὸ ῥᾴθυμον εἰς ἀγαθουργίαν, καὶ κατὰ μηδένα τρόπον κακοῦν τὸν πλησίον· μᾶλλον δὲ ἀνακτᾶσθαι ταῖς ἐπιεικείαις, ἀποσπουδάζειν μὲν τὰ πονηρὰ, προσκεῖσθαι δὲ μᾶλλον τοῖς τῆς δικαιοσύνης αὐχήμασιν. Ὑπτιουμένοις δὲ περὶ τὰ οὕτω σεπτὰ, καὶ καταφρονεῖν ᾠρημένοις, ἐποίσει τὰ ἐξ ὀργῆς, καὶ ὡς κηρὸν κατατήξει ἐν πυρὶ, καὶ ὡς ὕδωρ σκορπιεῖ, φειδοῦς ἡμᾶς ἔτι καὶ ἀγάπης οὐκ ἀξιῶν.

Καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν ἀμπελῶνος· καὶ καταspάσω εἰς χάος τοὺς λίθους αὐτῆς· καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω· καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψουσι· καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσομαι ἐν πυρί· καὶ πάντα εἴδωλα αὐτῆς θήσομαι εἰς ἀφανισμόν.

Η'. Τίνα δὴ πάλιν ἔσονται τῶν οὕτω προσκεκρουκότων τὰ πάθη, διηγεῖται σαφῶς. Ἔσται γὰρ ἡ Σαμάρεια, φησὶ, καὶ ὀπωροφυλάκιον ἀγροῦ, καὶ ὡς φυτεία ἀμπελῶνος. Τὰ μὲν γὰρ ἐν ἀγροῖς φυόμενα τηροῦσί τινες, σκηνὰς ἀναπλέκοντες, καὶ ἐν αὐταῖς

VII. Appellatis Jacob ex Jacob prognatis, Ephraim, inquam, qui erat in Samaria, eorum crimina detegit. Samariam porro genus impietatis esse dicit. Ipsam autem regionem ab eo accusari neutiquam affirmamus; nam sic ista intelligere multum foret desipere. Sed Samariam dicit quæ erant in Samaria, ut vituli, ut Chamos, ut Baal, et quæ in ea contra quosdam per avaritiam potentiorum designabantur. Dixit enim (Amos) eos impingere pugnos in capita pauperum, et declinare viam humilium. Insuper dicebant: « Quando transibit mensis, et venundabimus merces; et Sabbatum, et aperiemus thesauros, ut imminuamus mensuram, et angeamus stateram, et faciamus stateram iniquam [86]? » Peccatum vero Juda Jerusalem esse affirmat. In his si sapimus, nullo modo urbem ipsam reprehendemus; sed potius in ipsa perpetrata Juda in peccatum facta arbitrabimur. Coarguit autem Deus Judæorum insolentias, dixitque aperte: « Quia secundum numerum civitatum tuarum erant dii tui, Juda, et secundum numerum viarum Jerusalem constituisti aras, ut adoleres incensum Baal [86]. Utquid loquimini ad me? Omnes vos inique egistis, et omnes vos impie egistis in me, dicit Dominus omnipotens [87]. » Increpat etiam eos per prophetam Isaiam his verbis: « Quomodo facta est meretrix civitas fidelis Sion, plena judicii, in qua justitia dormivit in ea, nunc autem homicidæ? Argentum vestrum reprobum, caupones tui miscent vinum aqua, principes tui non obediunt, socii furum, diligentes munera, sequentes retributiones, pupillis non judicantes, et judicio viduarum non attendentes [88]. » Cesserunt igitur in peccatum Juda, quæ Hierosolymis impie ac nefarie actitabantur; nec urbs ipsa potius accusatur.

397 Amandus ergo Deus « ex tota anima, et toto corde [89], » et repellenda ad bonorum operum exercitationem ignavia, nullaque ratione proximus affligendus; imo vero demerendus humanitate, studium in rebus pravis nullum ponendum, et magis justitiæ laudibus vacandum sedulo. In tam venerandis autem supinos ac negligentes cum contemptu esse statuentes, iratus puniet, et ut ceram in igne liquefaciet, et ut aquam disperget, nec amplius venia et amore dignabitur.

VERS. 6,7. *Et ponam Samariam in pomorum custodiam agri, et in plantationem vineæ; et detraham in voraginem lapides ejus; et fundamenta ejus revelabo; et cuncta sculptilia ejus concident; et omnes mercedes ejus comburam igni; et cuncta idola ejus ponam in perditionem.*

VIII. Quæham gravia perpessuri sint, qui sic Deum offenderint, clare indicat. Erit enim Samaria, et pomorum agri custodia, et ut plantatio vineæ, inquit. Nam quæ in agro enascuntur quidam custodiunt, tabernacula compingentes, et in illis deli-

[86] Amos VIII, 5. [86] Jer. XI, 13. [87] Jer. II, 29. [88] Isa. I, 21-23. [89] Matth. XXII, 37.

Digitized by Google

tescentes, et inde quodvis illis noxium arcentes. Comportatis autem fructibus, custodes de laboribus suis contemptim loquuntur, ipsisque tuguriis eversis domum revertuntur. Hoc Samariæ accidisse constat. Postquam enim non leviter peccavit, imo in ipsum universorum Deum impie se gessit, in finibus suis consecrato divinis honoribus simulacro, eversa est, et concidit, descrentibus ipsam forte etiam sanctis virtutibus, et angelis ad eam custodiendam olim constitutis. Hujusmodi quiddam de ipsa etiam beatus Isaias propheta dixit : « Derelinquetur filia Sion ut tentorium in vinea et sicut pomorum custodia in cucumerario [90]. » Derelicta est autem quodammodo ; supernarum enim cohortium multitudo quæ illam assiduo tuebatur, discessit. Erit igitur ut agri pomorum custodia, et ut plantatio vineæ. Perinde ac si dicat, et ab urbibus, et a domibus deserta, et in faciem agri commutata. Aut etiam alio modo intelliges, si placuerit. Qui vineas instituunt, ubi convenientissimum illis locum occuparunt, aratro ipsum proscindunt, sursumque ac deorsum versant. Hoc Samariam passuram, et quasi arabilem fore terram minatur, urbibus et domibus ejus excisis, ut dixi. **398** Propter hoc dixit : « Quia detraham in voraginem lapides ejus, et fundamenta ejus revelabo. » Futuramque ridiculam insuper ait. Quos enim exspectabant fore salvatores suos, tanquam deos, una cum adoratoribus suis interibunt. Comburentur item mercedes ejus, et delebuntur, inquit, omnia idola ipsius. Mercedes simul cum idolis combustæ, fortassis anathemata seu donaria suspensa et dedicata significant. Delubris enim ad gloriam idolorum de facultatibus suis dedicabant, et prodesse nihil valentibus gratiarum actiones veluti mercedem et retributionem eorum quæ se beneficio ipsorum habere opinabantur, offerebant. Meminimus porro etiam voce Oseæ Judæorum Synagogam accusatam in hunc modum : « Et ipsa non cognovit quia dedi ei frumentum, et vinum, et oleum, et argentum, et aurum multiplicavi ei : hæc autem argentea et aurea fecit Baal [91]. » Declarant igitur anathemata, insipientem Israelem felicitatem suam ut mercedem et compensationem studii sui in errando interpretatum. Nihilominus intelliges et illud rursus a Deo dictum : « Et disperdam vineam ejus et ficus ejus, quæcunque dixit : Mercedes meæ sunt istæ ; has dederunt mihi amatores mei [92]. » Existimabat enim, ut docui, idolorum voluntate et divitiis se abundare, et in deliciis esse, et vitam felicem vivere. Cæca est igitur mens errantium. Si enim natura Deum non ignoraret, ipsi utique potius quam aliis quibusdam cultum tribueret, ipsi vota cum gratiarum actione faceret, ipsum omnis boni dato-

A ἰζήσαντες· εἶτα πᾶσαν αὐτῶν ἀποσοβοῦσι βλάβην. Εἰ δὲ δὴ γένοιτο συναχθῆναι τοὺς καρποὺς, καταλαλήσουσι (1) τῶν πόνων οἱ φύλακες, οἵκοι τε ὑπονοστοῦσι, καὶ αὐτὰς ἀνατρέψαντες τὰς σκηνάς. Τοῦτο τὴν Σαμάρειαν παθοῦσαν εὑρήσομεν. Ἐπειδὴ γὰρ πεπλημμέληκεν οὐ μετρίως, μᾶλλον δὲ καὶ εἰς αὐτὸν δεδυσσέβηκε τὸν τῶν ὅλων Θεὸν, τοῖς ἰδίοις ὅροις ἀνατιθεῖσα σέβας, ἀνετράπη, καὶ πέπτωκεν, ἀφέντων αὐτὴν τάχα που καὶ τῶν πάλαι τηρεῖν ἐπιτεταγμένων, ἁγίων τέ φημι δυνάμεων καὶ ἀγγέλων. Ἔφη τι τοιοῦτον περὶ αὐτῆς καὶ ὁ μακάριος προφήτης Ἡσαΐας· « Ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὁπωροφυλάκιον ἐν σικυηράτῳ. » Ἐγκατελείφθη δὲ ὅπως· ἀποπεφοίτηκε γάρ, ὡς ἔφην, ἡ προσεδρεύουσά τε καὶ ῥυομένη πληθὺς B τῶν ἄνω ταγμάτων. Ἔσται τοίνυν ὡς ὁπωροφυλάκιον ἀγροῦ, καὶ ὡς φυτεία ἀμπελῶνος, δρυμὸν ὡς εἰ λέγοι, Καὶ πόλεων, καὶ οἰκων ἐρήμη καὶ εἰς ὄψιν ἀγρῶν μετενηνεγμένη. Ἢ καὶ καθ' ἕτερον τρόπον συνήσεις, εἰ δοκεῖ. Τῶν ἀμπέλων οἱ φυτουργοὶ τὸν αὐτοῖς ὅτι μάλιστα πρέποντα καταλαβόντες χῶρον, ἀρότοις αὐτὸν ἀνατέμνουσιν, ἄνω τε καὶ κάτω στρέφοντες Τοῦτό τοι παθεῖν τὴν Σαμαρειτῶν ἀπειλεῖ, μονονουχὶ καὶ ἀρόσιμον ἔσεσθαι γῆν, ἐξῃρημένων αὐτῆς, ὡς ἔφην, πόλεών τε καὶ οἴκων. Διὰ τοῦτό φησιν ὅτι, « Κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω. » Ἔσεσθαί τε καὶ καταγέλαστον, πρὸς τούτῳ φησί. Οὓς γὰρ προσεδόκησαν ἔσεσθαι σωτῆρας αὐτοῖς ὡς θεοὺς, οὗτοι καὶ συνδιολοῦνται τοῖς προσκυνεῖν εἰωθόσιν αὐτούς. Καταπρηςθήσονται C δὲ καὶ τὰ μισθώματα αὐτῆς, καὶ εἰς ἀφανισμὸν οἰχήσονται, φησὶ, πάντα τὰ εἴδωλα αὐτῆς. Μισθώματα δὲ τοῖς εἰδώλοις ὁμοῦ τὰ πιμπρώμενα, τάχα που τὰ ἀναθήματα δηλοῖ. Προσεκόμιζον γὰρ τοῖς τεμένεσιν εἰς δόξαν εἰδώλων τὰ ἐξ ἰδίου νέμοντες πλούτου καὶ τοῖς οὐδὲν ὠφελεῖν ἰσχύουσιν, ὡσανεὶ μισθὸν, καὶ ἀντέκτισιν ὧν ἔχειν ᾤοντο παρ' αὐτῶν ἀνετίθεσαν τὰς εὐχαριστίας. Μεμνήμεθα δὲ ὅτι καὶ διὰ φωνῆς Ὡσηὲ κατηγόρησε τὴν τῶν Ἰουδαίων Συναγωγὴν, οὕτω λέγων· « Καὶ αὐτὴ οὐκ ἔγνω ὅτι ἐγὼ ἔδωκα αὐτῇ τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον, καὶ ἀργύριον, καὶ χρυσίον ἐπλήθυνα αὐτῇ· καὶ ἀργυρᾷ καὶ χρυσᾷ ἐποίησε τῇ Βάαλ. » Οὐκοῦν ἐναργῆ τὰ ἀναθήματα, ὅτι μισθώματά τε καὶ ἀντέκτισιν τῆς ἐπί D γε τῷ πλανᾶσθαι σπουδῆς κατελογίζετο τὴν εὐτυχίαν ὁ Ἰσραὴλ ὁ παράφρων. Οὐδὲν ἧττον συνήσεις Θεοῦ πάλιν λέγοντος· « Καὶ ἀφανιῶ ἄμπελον αὐτῆς, καὶ τὰς συκᾶς αὐτῆς, ὅσα εἶπε, Μισθώματά μου ταῦτα ἔδωκάν μοι οἱ ἐρασταί μου. » Ὤετο γὰρ, ὡς ἔφην, τοῖς τῶν εἰδώλων νεύμασι καὶ πλούτου κομᾷν, καὶ ἐν τρυφαῖς εἶναι, καὶ εὐημερεῖν. Τυφλὸς οὖν ἄρα τῶν πλανωμένων ὁ νοῦς. Εἰ γὰρ ἦν τὸν φύσει Θεὸν οὐκ ἠγνοηκὼς, αὐτῷ δὴ μᾶλλον, καὶ οὐχ ἑτέροις τισὶ, τὸ σέβας ἀνῆψεν· αὐτῷ τὰς χαριστηρίους ἀνετίθει

[90] Isa. I, 8. [91] Osee, II, 8. [92] Ibid., 12.

(1) Lege καταλήσουσι a καταλανθάνω, et verte : *Si vero comportati fuerint fructus, custodes oblivi-scentur laborum.* Cotelerius, *Monum. Eccl. Gr.*, II, 505.

Digitized by Google

λιτὰς, αὐτὸν ὡμολόγει παντὸς ἀγαθοῦ δοτῆρα καὶ πρύτανιν. Φρονεῖν δὲ ὧδε διεγνωκὼς, οὐκ ἂν γέγονεν ὡς ὀπωροφυλάκιον ἀγροῦ, ἀλλ' οὐδὲ εἰς φυτείαν ἀμπελῶνος· ἐπ' ἀκλονήτοις δὲ μᾶλλον εὐημερίαις μακαριζόμενος διετέλει, καὶ ταῖς ἄνωθεν εὐμενείαις τετειχισμένος, ἐν καλῷ τῆς εὐθυμίας γεγονὼς ἐθαυμάζετο.

A rem et dispensatorem confiteretur. Sic animo affecta, non fieret in pomorum agri custodiam, nec in plantationem vineæ; quin potius beata in prospero et immutabili rerum statu permaneret, cœlestique benevolentia velut muro communita, et in bono tranquillitatis constituta, admirationem consequeretur.

Διότι ἐκ μισθωμάτων πορνείας συνήγαγεν, καὶ ἐκ μισθωμάτων πόρνης κατέστρεψεν.

Quia ex mercedibus fornicationis congregavit, et ex mercedibus fornicariæ destruxit

Θ'. Λιαγελᾷ πάλιν ὁ λόγος, καὶ τῆς Ἰούδα ἀμαθείας κατειρωνεύεται σὺν ἤθει πολλῷ. Τῆς γὰρ ἐνούσης αὐτοῖς ὑπονοίας τὴν ἀποπληξίαν καθίστησιν ἐμφανῆ, καὶ τὴν εἰς νοῦν ἔσω, καὶ καρδίαν κειμένην καταλευκαίνει σαφῶς. Καὶ γάρ φησιν· Ὀρθῶς καὶ δικαίως ἀνέθει τοῖς λίθοις τὰ χαριστήρια, αἰσθήσεως πλέως ὁ Ἰσραὴλ, εὐγνώμων καὶ σοφός. Ἔγνω τοὺς τετιμηκότας, τῆς εὐημερίας τοὺς χορηγοὺς, τοὺς τὸν πλοῦτον αὐτοῦ συναγηγερκότας, καὶ ἐν εὐπαθείᾳ εἶναι παρασκευάζοντας. Οἴεται γὰρ ὅτι μισθὸν ἔχει τῆς νηπτῆς πορνείας τὸ εὐημερεῖν· καὶ ἐπειδὴ τέθυκεν εἰδώλοις, ξύλοις τε λατρεύει καὶ λίθοις, ἀνενδεὴς ἔσται τῶν ἐν εὐχαῖς. Συνήγαγεν, ὥς φησι, καὶ πεπλούτηκε ἐκ μισθωμάτων πορνείας. Συνέστρεψε, καὶ συνήγερκεν, ἀκράδαντον ἔχει τὴν εὐθυμίαν. Οὐκοῦν ἐν ἤθει τε καὶ εἰρωνείᾳ, συμπεπλεγμένης καὶ ἀπειλῆς, τὴν τῶν εἰρημένων δύναμιν ἐκληψόμεθα.

IX. Rursum irridet, et multa cum arte, Juda inscitiam ironice carpit. Insaniam enim opinionis eorum luculenter ostendit, et quod in animo et corde inclusum gerunt, perspicue manifestat. Inquit enim: Etiam recte et juste lapidibus gratias agit, judicio plenus Israel, bonus et sapiens. Agnovit honorantes se, felicitatis suæ auctores, divitiarum suarum 398 congregatores, et voluptatis suæ procuratores. Putat enim se fornicationis, quæ intelligentia cernitur, mercedem accipere felices rerum successus: et si sacrificarit idolis, lignaque et lapides coluerit, nihil optabile sibi defuturum. Congregavit, inquit, et ditatus est ex mercedibus fornicationis. Coacervavit, et congregavit, inconcussam habet securitatem. Itaque hæc ut oratorie et ironice, implicitis etiam minis, dicta accipiemus.

Ἕνεκεν τούτου κόψεται, καὶ θρηνήσει, πορεύσεται ἀνυπόδετος, καὶ γυμνὴ, ποιήσεται κοπετὸν ὡς δρακόντων, καὶ πένθος ὡς θυγατέρων Σειρήνων. Ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς, διότι ἦλθεν ἕως Ἰούδα, καὶ ἥψατο ἕως πύλης λαοῦ μου ἕως Ἰερουσαλήμ.

VERS. 8, 9. *Propter hoc plangel, et lugebit, incedet discalceata et nuda, faciet planctum quasi draconum, et luctum quasi filiarum Sirenum. Quia obtinuit plaga ejus, quia venit usque ad Judam, et tetigit usque ad portam populi mei usque ad Jerusalem.*

Ι'. Ἐπειδὴ γὰρ διεβίω, φησὶ, ἐν πλάναις, καὶ κατέληξε μὲν οὐδαμῶς τὸν ἑαυτῆς λυποῦσα Δεσπότην, ἀναπιθεῖσα δὲ τοῖς γλυπτοῖς τὰ ἐφ' οἷς εὖ ἔχει καὶ διευθυμεῖται χαριστήρια, πρὸς τοῦτό τε δυσσεβείας διελήλακε, ταύτητοι « κόψεται, καὶ θρηνήσει. » Καὶ οὐχ ἑτέροις τυχὸν ἐπαλγήσει τισὶν, ἤγουν ἐπ' ὀθνείοις, τὸ ὡς ἐξ ἀγάπης στάζουσα δάκρυον, ἀλλὰ ταῖς οἰκείαις αὖ καταπαιομένη (1) συμφοραῖς. Ἡ δὲ δὴ γυμνότης καὶ ἀνυποδησία τὸ τῶν αἰχμαλώτων σχῆμα δεικνύει. Οὕτω καὶ ὁ μακάριος προφήτης Ἡσαΐας, τὴν ὅσον οὐδέπω παρεσομένην αὐτοῖς αἰχμαλωσίαν ὑποδηλῶν, περιεφοίτα τὴν Ἱερουσαλὴμ, γυμνός τε καὶ ἀνυπόδετος, Θεοῦ τὸ χρῆμα γενέσθαι προστάττοντος. Ἀπομιμήσεται δὴ οὖν ἐν ἰδίοις πάθεσι τῶν δρακόντων τὰ πένθη, καὶ τῶν Σειρήνων τοὺς ὀδυρμούς. Φασὶ γάρ τινες, ὡς, εἰ πληγείη δράκων, τότε δὴ, τότε κατολοφύρεσθαι κινδυνεύοντα, καὶ τοῦτο δηλοῦν καταπαίοντά τε τῇ κέρκῳ τὴν γῆν, καὶ οὐ μετρίαν ἠχὴν ἀποτελεῖν εἰωθότα. Σειρῆνας δὲ λέγουσι Ἕλληνες μὲν, καὶ παῖδες ἐκείνων, πτηνὰ μελῳδεῖν εἰωθότα, καὶ καταθέλγειν ἰσχύοντα ταῖς τῶν ᾠδῶν εὐρυθμίαις τοὺς ἀκροωμένους. Ἡ δέ γε θεόπνευστος Γραφὴ Σειρῆνας καλεῖ τὰ τῶν στρουθίων λαλίστατα

X. Quoniam enim in seductionibus vixit, et neutiquam cessavit suum deserere Dominum, et gratias agere simulacris, a quibus bene haberet et lætaretur, eoque impietatis progressa est, idcirco « planget et lugebit. » Nec super aliis quibusdam forte dolebit, sive super peregrinis et alienigenis sicut ex amore lacrymas profundet: sed contra suismet calamitatibus oppressa. Nuditas autem et discalceatio captivorum habitum significat. Sic item beatus Isaias mox adfuturam ipsis captivitatem subindicans, Hierosolymam nudus et discalceatus obibat, Deo ita ut faceret imperante [99]. In malis igitur suis draconum luctus et Sirenum lamentationes imitabitur. Narrant enim nonnulli, si percutiatur draco, tum demum ejulare, ut in periculo, doloremque suum cauda terram verberando declarare solitum, nec mediocrem clamorem emittere. Sirenas autem Græci veteres ac recentes tradunt volucres quasdam modulatrices esse, et posse cantuum concinnitate oblectare audientes. Divinitus autem inspirata Scriptura sirenas vocat passerculorum loquacissimos, et suavem sonum edere solitos, aut interdum ipsas luscinias, quæ in si-

[99] Isa. xx, 1-6.

(1) Aubertus καταπταιομένη, et infra καταπταίοντα Edit.

Digitized by Google

nibus marinis ovis incubant, deinde nido a fluctibus abrepto, lugubre melos fundunt, partus sui damna quodammodo lamentantes. Ita Samariam suorum liberorum interitum lamentaturam affirmat. « Obtinuit enim eos plaga, inquit, et pervenit usque ad Judam, et usque ad portas Jerusalem. » Videtur nobis his verbis bellum a Senacherib illatum insinuari, **400** qui, capta Samaria, et Judæam depopulatus, Hierosolymam circumsedit, cumque ad portas venisset, eas inflammaturum est minatus : verumtamen Deo protegente, non potuit, temporibus Ezechiæ videlicet [94]. Quocirca, si unum et natura ac vere Dominum relinquentes, immundis dæmonibus adhærere studemus, omnimodis nosmet lamentabimur, et nostris stultitiis ingemiscentes, ab ejus gratia et auxilio deseremur, vitamque indecoram ac deformem agemus : id quod discalceatio monet. Subjiciemur item verberanti nos Satanæ, nec quidquam erit impedimento quominus in omni malorum genere volutemur.

Α τε καὶ εὐστομεῖν εἰωθότα, ἢ καὶ αὐτὰς ἔσθ' ὅτε τὰς ἀηδόνας, αἳ τοῖς ἐναλίοις ἐπωάζουσαι κόλποις, εἶτα τῆς καλιᾶς ληφθείσης ὑπό κυμάτων, γοερὸν ᾄδουσι μέλος, καὶ καταθρηνοῦσι τρόπον τινὰ τὴν τῆς ἑαυτῶν ὠδῖνος ζημίαν. Οὕτω καταθρηνήσειν ἔφη τὴν Σαμάρειαν τῶν ἰδίων τέκνων τὸν ὄλεθρον. « Κατεκράτησε γὰρ αὐτῆς ἡ πληγή, φησί, ἀφίκετο δὲ καὶ ἕως Ἰούδα, καὶ μέχρι πυλῶν Ἱερουσαλήμ. » Ἔοικε δὲ ὁ λόγος ἡμῖν ἐν τούτοις τὸν παρὰ τοῦ Σεναχηρεὶμ αἰνίττεσθαι πόλεμον, ὃς πᾶσαν ἑλὼν τὴν Σαμάρειαν, καὶ καταδηώσας τὴν Ἰουδαίαν, περιεκάθισε τὴν Ἱερουσαλήμ, καὶ μέχρι πυλῶν ἀφιγμένος, ἠπείλησε μὲν ἐμπρῆσαι αὐτάς· οὐ μὴν ἔτι καὶ δεδύνηται, Θεοῦ προασπίζοντος, κατὰ τὸν Ἐζεχίου τοῦ βασιλέως καιρόν. Οὐκοῦν, ὅταν τὸν ἕνα, καὶ φύσει, καὶ ἀληθῶς Δεσπότην ἀφέντες, προσκεῖσθαι σπουδάσωμεν τοῖς ἀκαθάρτοις δαίμοσι, τότε πάντη τε καὶ πάντως ἑαυτοὺς θρηνήσομεν, καὶ ταῖς ἑαυτῶν ἀβουλίαις ἐποιμώζοντες, γυμνοὶ μὲν ἐσόμεθα τῆς παρ' αὐτοῦ χάριτός τε καὶ βοηθείας, ἀσχήμονα δὲ καὶ ἀκαλλῆ διαζήσομεν βίον· τοῦτο γὰρ

Β

ἡ ἀνυποδησία δηλοῖ. Ὑποκειτόμεθα δὲ καὶ πλήττοντι τῷ Σατανᾷ, καὶ οὐδὲν ἔτι τὸ κωλύον ἐν παντὶ γενέσθαι κακῷ.

Vers. 10. *Qui in Geth, non magnificemini, et qui in Enacim, non reædificetis ex domo derisum. Terram aspergite derisum vestrum.*

XI. Obscura et involuta est oratio, captuque difficillima verborum istorum, et mox consequentium sententia. Verumtamen pro modulo nostro ea declarabimus. Bello Samariæ urbes incursante, aliis insuper sceptro Juda et Benjamin subditis in potestatem redactis, finitimi alienigenæ, et omnes Judæorum vicini, et finitimæ gentes, in risum effusæ, Israeli, ut divinis auxiliis prorsus destituto, conviciabantur. Manum namque Servatoris et imbecilliorem evasisse, et propter vastantium impetus languescere oportere arbitrabantur. Sed præstabat eos cogitare, cum Servatorem suum contristare non dubitassent, Deumque offendissent, calamitates sensisse, et in hostium manus traditos esse. Quia vero indignum erat, illas secum cogitare, se virtute suorum numinum in beato ac florenti statu persistere, Israelem propter tutoris infirmitatem periisse et occidisse funditus, ideo Deus et ipsas finitimorum urbes Senacherib in solitudinem redigendas concessit. Quamobrem Rabsaces stantes pro muris Hierosolymæ alloquens, hæc ipsa in memoriam ipsis revocabat : « Ubi est Deus Æmath et Arphad? ubi est Deus urbis Sepharvim, Asna et Ava? numquid possunt liberare Samariam de manu mea [95]? » Est igitur Geth alienigenarum, qui dicuntur Philistiim, Palæstinæ metropolis. Nec minus Enacim oppidulum in extremis Judææ finibus ante solitudinem, versus austrum, pertinens quidem ad sceptrum Juda, **401** non tamen etiam Judæorum, sed vicinorum populorum, Moabitarum puta et Idumæorum sacra colens. Ait ergo : O habitatores Geth, o incolæ Enacim, ne aliorum calamitates in

Οἱ ἐν Γέθ, μὴ μεγαλύνεσθε, καὶ οἱ Ἐνακεὶμ, μὴ ἀνοικοδομεῖτε ἐξ οἴκου καταγέλωτα. Γῆν καταπάσασθε καταγέλωτα ὑμῶν.

ΙΑ'. Περισκεπὴς μὲν ὁ λόγος, καὶ δυσάλωτος κομιδῇ τῶν προκειμένων ὁ νοῦς, καὶ τῶν ἑξῆς ἔτι κειμένων. Πλὴν ὡς ἔνι δὴ εἰπεῖν πειράσομαι. Καθεόντος τοῦ πολέμου τὰς ἐν τῇ Σαμαρείᾳ πόλεις, ἁλισκομένων δὲ καὶ ἑτέρων τῶν ὑπὸ τὸ σκῆπτρον Ἰούδα καὶ Βενιαμὶν, τῶν ἀλλοφύλων οἱ πρόσοικοι, καὶ ὅσα τῆς Ἰουδαίων γῆς ὁμορά πως ἦν, καὶ ἐκ γειτονούντων ἔθνη, πλατὺ γελῶντα, κατεκερτόμουν τὸν Ἰσραὴλ, ὡς οὐδὲν ὠφελημένον παρὰ Θεοῦ. Ἔφοντο γὰρ τὴν τοῦ σώζοντος χεῖρα καὶ παθεῖν τὸ ἄναλκι, καὶ ἀτονῆσαι δεῖν, ὡς πρὸς τὰς τῶν καταδηούντων ὁρμάς. Ἀλλ' ἦν ἄμεινον ἐννοεῖν, ὅτι λυπεῖν ἠρημένοι τὸν σώζοντα, καὶ προσκεκρουκότες Θεῷ, πεπείρανται τῶν δεινῶν, δέδονται δὲ καὶ εἰς χεῖρας ἐχθρῶν. Ἐπεὶδὴ δὲ ἦν τῶν ἀτόπων, ἐκείνας μὲν οἴεσθαι κατὰ σφᾶς αὐτοὺς, ὅτι τῇ δυνάμει τῶν ἰδίων σεβασμάτων, ἐν καλῷ τῆς εὐημερίας μεμενήκασιν, ἀπώλωλε δὲ καὶ ὠλόθρευται διὰ τὴν τοῦ σώζοντος ἀσθένειαν ὁ Ἰσραὴλ, ταύτητοι Θεὸς καὶ αὐτὰς τὰς τῶν περιοίκων πόλεις παρεδίδου τῷ Σεναχηρεὶμ εἰς ἐρήμωσιν. Καὶ γοῦν ὁ Ῥαψάκης τοῖς ἐν τῷ τείχει τῶν Ἱεροσολύμων προσλαλῶν, τούτων αὐτῶν διεμέμνητο, λέγων· « Ποῦ ἐστιν ὁ Θεὸς Αἰμαθὶ, καὶ Ἀρφαδί; Ποῦ ἐστιν ὁ Θεὸς τῆς πόλεως Σεφαρουεὶμ, Ἀνὰ καὶ Ἀβά; Μὴ δύνανται ῥύσασθαι Σαμάρειαν ἐκ τῆς χειρός μου; » Ἔστι τοίνυν ἡ Γὲθ ἀλλοφύλων μὲν τῶν καλουμένων Φυλιστιεὶμ, μητρόπολις δὲ τῆς Παλαιστίνης. Ἀλλὰ καὶ Ἐνακεὶμ ὁμοίως πολίχνη πάλιν ἐν ἐσχατιαῖς τῆς Ἰουδαίας κειμένη, πρὸς τῇ κατὰ νότον ἐρήμῳ, εἰκουσά γε μὴν τοῖς Ἰούδα σκήπτροις, φρονοῦσά γε μὴν οὐκέτι τὰ Ἰουδαίων, προσκειμένη δὲ μᾶλλον τοῖς τῶν ἐθνῶν ὁμόροις, Μωαβίταις δὴ λέγω, καὶ Ἰδουμαίοις. Ὦ τοί-

[94] IV Reg. XVIII, 19. [95] Ibid., 33, 34.

Digitized by Google

νυν, φησὶ, τῆς Γὲθ οἰκήτορες, ὦ τῆς Ἐνακεὶμ, μὴ ἐκ τῶν ἑτέρων συμφορὰς ἑορτῆς ποιεῖσθε προφάσεις· μὴ μεγαλύνεσθε διὰ ταῦτα. Ἐπειδήπερ ὁ γείτων ὑμῶν οἶκος ἠρήμωται, τουτέστιν, ὁ τοῦ Ἰσραὴλ, ταύτητοι πλατὺ γελᾶτε, φησὶ, μονονουχὶ τῶν ἀπολωλότων κατορχούμενοι. Μὴ οἰκοδομεῖτε ἐξ οἴκου καταγέλωτα, ἀλλ' ὡς καὶ αὐτοὶ τὰ χείρω πεισόμενοι, καθάπερ τινὰ γῆν καταπάττεσθε τὸν ἐσόμενον καθ' ὑμῶν γέλωτα, καὶ τὰς ἑαυτῶν θρηνεῖτε συμφοράς. Κατορχήσονται γὰρ ὑμῶν Βαβυλώνιοι, καὶ οἰκτρῶς ἀπολωλότων ἐπιμειδιάσουσιν οἱ ἐχθροί. Σοφὸν οὖν ἄρα τὸ μεμνῆσθαι τοῦ λέγοντος· « Ἐὰν πέσῃ ὁ ἐχθρός σου, μὴ ἐπιχαρῇς αὐτῷ, ὅτι ὄψεται Κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ, καὶ ἀποστρέψει τὸν θυμὸν αὐτοῦ ἀπ' αὐτοῦ. »

A festi diei occasionem vertite : ne magnificemini propter hæc. Quoniam enim vicina vobis domus, hoc est Israel, devastata est, ideo plenis buccis ridetis, inquit, quasi perditis insultantes. Ne ædificate ex domo derisum : sed ut ipsi quoque cladem sensuri, quasi quamdam terram conspergite risum quo deridebimini, et vestras ipsorum miserias lamentamini. Insultabunt enim in vos Babylonii, et miserabiliter perditos irridebunt inimici. Consultissimum itaque meminisse dicentis : « Si ceciderit inimicus tuus, ne læteris super ipso, quoniam videbit Dominus, nec placebit illi, et avertet iram suam ab eo [96]. »

Πράττουσι δὲ τοῦτο καὶ οἱ Χριστὸν οὐκ εἰδότες. Διωκομένων γὰρ ἔσθ' ὅτε τῶν Ἐκκλησιῶν, καὶ δοκιμαζομένων ἁγίων, ἤτοι τῶν ἐν αὐταῖς, τότε δὴ μάλιστα τοὺς ἰδίους αὐτοὶ θαυμάζουσι θεούς. Ἀλλ' ὁ γέλως αὐτοῖς ἐκτελευτᾷ πρὸς δάκρυον, κατευμαρίζοντος μὲν τὰ δεινὰ τοῦ Χριστοῦ, κατευνάζοντος δὲ τὰ κεκινημένα, καὶ ἀποσοβοῦντος μὲν τὸ λυποῦν, ἀνευρύνοντος δὲ τοῖς ἁγίοις θυμηδίαν καὶ χαράν· τέλος γὰρ πόνων εὐκλεια, καὶ τρυφή. Καί μοι δοκεῖ φάναι τι τοιοῦτον ὁ μακάριος Δαβὶδ, πρὸς τὸν τῶν ὅλων Θεόν· « Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. »

B Perpetrant etiam hoc qui Christum nesciunt. Cum enim aliquando Ecclesiæ persecutionem patiuntur et probantur sancti, sive qui iis continentur, tunc ipsi potissimum deos suos admirantur. Sed risus eorum in lacrymas exit, Christo atrocia illa alleviante, et motus consopiente, et molesta profligante, et sanctis hilaritatem animi gaudiumque dilatante : finis quippe laborum gloria et voluptas. Ac mihi quidem tale quid dixisse beatus David ad universorum Deum videtur : « Transivimus per ignem et aquam, et eduxisti nos in refrigerium [97]. »

Κατοικοῦσα καλῶς τὰς πόλεις αὐτῆς, οὐκ ἐξῆλθεν κατοικοῦσα Σενναὰρ κόψασθαι οἶκον ἐχόμενον αὐτῆς. Λήψεται ἐξ ὑμῶν πληγὴν ὀδύνης.

C Vers. 11. *Habitans bene civitates ejus, non est egressa habitatrix Sennaar plangere domum quæ est juxta eam. Accipiet ex vobis plagam doloris.*

ΙΒ'. Ἐκδεδώκασι μὲν οἱ Ἑβδομήκοντα *Σενναὰρ*, Ἀκύλας δὲ ἔφη *Σεναὰρ*, *Εὐσθενοῦσαν* δὲ ὁ Σύμμαχος, τάχα πού τι τοῦτο *Σεναὰρ* ὑπεμφαίνοντος. Ἀλλ' εἰ μὲν νοοῖτο Σεναὰρ, φαμὲν ὅτι χωρίον ἐστὶ πλατὺ κατὰ πόλεις τε καὶ κώμας οἰκούμενον ἀλλοφύλοις μὲν, πλὴν ἐν ὅροις τῆς Ἰουδαίας. Εἰ δὲ δὴ νοοῖτο Σεναὰν, λαμπρὰν καὶ ἐπίδημον Αἰγύπτου πόλιν κατασημαίνει εὐσθενῆ τε, ὅτι καὶ πίων ἡ χώρα, καὶ λῃστοις κατάκομος, πῶς ἔστιν ἀμφιβαλεῖν; Σεναὰρ τοίνυν φησὶ, ἤτοι Σεναὰν ἡ καλῶς τὰς ἑαυτῆς « οἰκοῦσα » πόλεις. Ἥξει δὲ ὁ λόγος κατὰ τῶν οἰκούντων αὐτὰς, οὐκ ἐπεδάκρυσε τοῖς ἐγγὺς οἰκτρῶς, καὶ ἀθλίως διολωλότων. « Οὐκ ἐξῆλθε κόψασθαι τὸν ἐχόμενον οἶκον, » τουτέστιν, οὐ τεθρήνηκε τοὺς ἐκ γειτόνων. Ἐγγὺς δὲ τῆς Ἰουδαίας ἡ Σεναὰρ, ὡς ἔφην, καὶ μέντοι, καὶ ἡ Σεναὰν, τουτέστιν, ἡ Αἰγυπτία. Διαπίπτοντι δὲ, καὶ πεπορθημένῳ τῷ Ἰσραὴλ, οὐκ ἐπήλγησε μᾶλλον, ἀλλ' ἐπετώθασεν, ἐπέχαιρε δὲ αὐτῷ, καθάπερ οἱ ἀπὸ Γὲθ, καὶ Ἐνακεὶμ. Τί οὖν, ὦ Ἰσραὴλ; Ἆρα γελάσουσιν εἰκῇ τὰ περίοικα τῶν ἐθνῶν, καὶ ταῦτα ὀρώντων ἐκείνων ἀνεξικακήσει Θεός; Ἀνέξεται δὲ παρ' ἐχθρῶν γελωμένης αὐτοῦ τῆς δόξης; οὐδαμῶς, φησὶ, « Ἀλλ' ἐξ ὑμῶν, » ἤτοι δι' ὑμᾶς, « λήψεται πληγὴν ὀδύνης· » τουτέστι, καταδηωθήσεται καὶ αὐτὴ ταῖς ἄλλαις ὁμοῦ. Πεπόρθηται δὲ καὶ ἡ Σενναὰρ, καὶ μέν τοι καὶ Αἴγυπτος, κατα-

XII. Septuaginta ediderunt *Sennaar*, Aquila *Senaan*, Symmachus Εὐσθενοῦσαν, id est, *prævalidam* : ac talis fortasse Senaan est notio. Si legatur Sennaar, dicimus regionem esse amplam, oppidatim et vicatim habitatam alienigenis, sed in Judææ finibus tamen. Sin autem Senaan, illustrem et extremam Ægypti urbem significari. Esse autem bene validam, seu potentem, quoniam regio pinguis et frumentifera, qui dubitari potest ? Sennaar igitur ait, sive Senaan, quæ bene urbes suas « habitat. » Veniet autem verbum super incolas earum, non illacrymavit vicinis misere et infeliciter perditis. **402** « Non exivit plangere domum quæ est juxta eam, » hoc est, non est lamentata vicinos. Est porro proxima Judææ Sennaar, ut dixi, sicut et Senaan Ægyptia. Cadente autem et expugnato Israel, non est miserata potius, sed irrisit, et gavisa est casu ejus, quomodo Geth et Enacim. Quid igitur, o Israel ? Num frustra circumjectæ gentes ridebunt, et hæc illis facientibus, Deus patietur ? Et gloriam suam ab inimicis irrideri sustinebit ? Neutiquam, inquit; « sed ex vobis, » sive propter vos, « accipiet plagam doloris : » hoc est, vastabitur, et ipsa cum aliis simul. Sennaar namque et simul Ægyptus vastatæ sunt, Senacherib eas incursante. Quare necesse est, et bene stantem formidare,

[96] Prov. xxiv, 17. [97] Psal. lxv, 12.

Digitized by Google

ne cadat [98], et a calamitosis irridendis abesse quam longissime : flere autem potius cum flentibus, nec in alienis malis supercilium tollere, sed timere magis ne tibi eadem contingant [99].

VERS. 12. *Quis cœpit in bona habitans dolores? Quia descenderunt mala a Domino in portas Jerusalem, sonitus curruum et equitantium.*

XIII. O Gethæi, inquit, o Enacim, o Sennaar, sive Senaan indigenæ, finitimorum calamitatibus non estis conturbati ; argumentum risus vobis est, prostratus et exitio datus aliquando terribilis vobis et intolerabilis Israel. Existimastis porro Deum defensorem ejus infirmatum, et invaluisse apud vos opera manuum, et eo roboris repente evasisse citra laborem, ut vestras tueri urbes queant. Proinde e rebus ipsis agedum spectemus, quis natura et vere sit Deus ; quis robustissimus sit, et quos voluerit ope sua invictos reddat. Urbes Israel juxtaque vestræ captæ et eversæ sunt, et quasi communem calamitatem sustinuistis. Quænam igitur urbs illa, in doloribus extremorumque periculorum terroribus versans, hoc enim est, « habitans dolores, » inclinavit improviso in bonum, hoc est, in securitatem et sortem secundam ? Num una de vestris ? Minime, inquit, sed mea rursum Jerusalem. Descenderunt enim super ipsos a Domino mala : hoc est, ego offensus sum, et castigavi, et Assyrium ipsis immisi, et a me irato ipsis afflictio venit. Verumtamen conquievit, et discussa est vincente manu mea, et potentiam **403** meam religiose venerantes mirabiliter liberante. Usque ad portas enim erit calamitas. Jam vero multo cum equitatu Rabsacem venisse Hierosolymam, et propemodum ipsas portas tetigisse novimus. Nullo tamen modo cepit : una siquidem nocte Assyrius absumptus est. Lamentati sunt igitur Hierosolymitani, quasi mox delendi, totamque noctem insomnem lacrymantes egerunt. Ast ubi aurora sparsit polum, miraculum illud apparuit. Jacuerunt siquidem per humum mortui innumerabiles, ut a Deo præter opinionem servati exsilirent gaudio, dicerentque : « Ad vesperum demorabitur fletus, et mane exsultatio [1-18]. » Vides igitur quomodo prima et sola præter alias urbes ad bonum tendat, quamvis dolores habitat ? Deus quippe suos non penitus deserit ; sed cum moderate corripuerit, in pristinum statum restituit, et gloriam sibi convenientem, quanquam nos ipsum offendamus, haud mediocriter curat. Ait enim alicubi per prophetam quemdam : « Non propter vos ego facio, dicit Dominus, sed propter nomen meum [19]. »

VERS. 13. *Habitans Lachis, princeps peccati est filiæ Sion : quia in te inventæ sunt impietates Israel.*

XIV. Cæterum Lachis urbs est regni Juda, vici-

θέοντος αὐτὴν Σεναχηρείμ. Δεῖ δὴ οὖν ἄρα καὶ τὸν ἑστῶτα καλῶς φοβεῖσθαι μὴ πέσῃ, καὶ ῥίπτειν μὲν ὡς ἀπωτάτω τὸ τοῖς πεπονθόσιν ἐπιμειδιᾷν, κλαίειν δὲ μᾶλλον μετὰ κλαιόντων, καὶ μὴ ταῖς ἑτέρων ἐξοφρυοῦσθαι συμφοραῖς, εἰσδεδιέναι δὲ μᾶλλον τὸ τοῖς ἴσοις περιπεσεῖν.

Τίς ἤρξατο εἰς ἀγαθὰ κατοικοῦσα ὀδύνας ; Ὅτι κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἰερουσαλήμ, ψόφος ἁρμάτων καὶ ἱππευόντων.

Ι΄. Ὦ Γεθαῖοι, φησὶν, ὦ τῆς Ἐνακεὶμ, ὦ τῆς Σενναὰρ ἤτοι Σεναὰν οἰκήτορες, οὐκ ἐπλήγητε ταῖς τῶν ὁμόρων συμφοραῖς· γέλωτος ὑμῖν γεγόνασιν ἀφορμὴ πίπτων τε καὶ διολλύμενος ὁ πάλαι δεινὸς ὑμῖν καὶ ἀφόρητος Ἰσραήλ. Ἡήθητε δὲ ὅτι ὁ Θεὸς ἠσθένησεν ὁ σώζων αὐτοὺς, ἔῤῥωται δὲ τὰ παρ' ὑμῖν χειρόκμητα, καὶ πρὸς τοῦτο διάττει σθένους, ὡς ἀμογητὶ δύνασθαι τὰς ὑμῶν διασῶσαι πόλεις. Οὐκοῦν ἀπὸ τῶν πραγμάτων φέρε καταθρήσωμεν, τίς ὁ φύσει, καὶ ἀληθῶς ἐστι Θεός· τίς ὁ παναλκὴς, καὶ ἄμαχον ἀπονέμων, οἷς ἂν ἕλοιτο, τὴν ἐπικουρίαν. Ἤλων μὲν γὰρ, καὶ πεπόρθηνται, φησὶν, αἵ τε τοῦ Ἰσραὴλ, καὶ αἱ παρ' ὑμῖν δὲ πόλεις, καὶ κοινὴν ὥσπερ ἀνέτλητε συμφοράν. Ποία δὴ οὖν ἄρα πόλις ἐν ὀδύναις οὖσα, καὶ τοῖς περὶ τῶν ἐσχάτων δείμασι, τοῦτο γάρ ἐστι, « κατοικοῦσα ὀδύνας, » διανένευκεν ἀδοκήτως εἰς ἀγαθὸν, τουτέστιν, εἰς εὐθυμίαν, καὶ εὐημερίαν; Ἆρα μία τῶν παρ' ὑμῖν ; Οὐδαμῶς, φησὶν, ἀλλ' ἡ ἐμὴ πάλιν Ἱερουσαλήμ. Κατέβη μὲν γὰρ ἐπ' αὐτοὺς παρὰ Κυρίου κακὰ, τουτέστιν, ἐγὼ λελύπημαι, καὶ πεπαίδευκα, καὶ τὸν Ἀσσύριον αὐτοῖς ἐπενήνοχα, καὶ ἐξ ἐμῆς ὀργῆς ἡ κατ' αὐτῶν γέγονε κάκωσις. Πλὴν ἀπέσβη, καὶ λέλυται τῆς ἐμῆς νικώσης χειρὸς, καὶ παραδόξως ἐκρυομένης τοὺς τὰ ἐμὰ σέβοντας κράτη. Μέχρι γὰρ πυλῶν ἔσται τὸ λυποῦν. Ἴσμεν δὲ ὅτι πολλὴν ἵππον ἔχων ὁ Ῥαψάκης ἀφίκετο μὲν ἐν τοῖς Ἱεροσολύμοις, μόνον δὲ οὐχὶ καὶ αὐτῶν ἥψατο πυλῶν. Εἶλε δὲ οὐδαμῶς· δεδαπάνηται γάρ ὁ Ἀσσύριος ἐν μιᾷ νυκτί. Καὶ γοῦν τεθρηνήκασιν οἱ ἐν τοῖς Ἱεροσολύμοις, ὡς αὐτίκα δὴ μάλα τεθνηξόμενοι, ἄϋπνόν τε κλαίοντες διατετελέκασι νύκτα. Σκιδναμένης δὲ τῆς ἠοῦς, ὤφθη τὸ παράδοξον. Ἔκειντο γὰρ εἰς γῆν ἀναρίθμητοι νεκροὶ, ὡς ἀνασκιρτῶντας λέγειν τοὺς διὰ Θεοῦ παραδόξως σεσωσμένους· « Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς, καὶ εἰς τὸ πρωὶ ἀγαλλίασις. » Ὁρᾷς οὖν ὅπως πρώτη τε καὶ μόνη παρὰ τὰς ἄλλας πόλεις διανεύει εἰς ἀγαθὸν, καίτοι κατοικοῦσα ὀδύνας ; Οὐ γὰρ περιόψηται παντελῶς τοὺς ἰδίους Θεὸς, ἀλλὰ παιδεύσας συμμέτρως, ἀνασώζει πάλιν, καὶ τῆς αὐτῷ πρεπούσης εὐκλείας οὐ μετρίαν ποιεῖται φροντίδα, κἂν προσκρούωμεν ἡμεῖς. Ἔφη γάρ που δι' ἑνὸς τῶν προφητῶν· « Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, λέγει Κύριος, ἀλλ' ἢ διὰ τὸ ὄνομά μου. »

Κατοικοῦσα Λαχεὶς, ἀρχηγὸς ἁμαρτίας αὕτη ἐστὶ τῇ θυγατρὶ Σιών· ὅτι ἐν σοὶ εὑρέθησαν ἀσέβειαι τοῦ Ἰσραήλ.

ΙΔ΄. Λαχεὶς δὲ πάλιν πόλις μὲν ἔστι τοῖς Ἰούδα

[98] Rom. XII, 15-17. [99] IV Reg. XIX, 1-37; Psal. XXIX, 6. [1-18] Ezech. XXXVI, 22.

Digitized by Google

σκήπτροις ὑποκειμένη, γείτων δὲ, καὶ ὅμορος τῶν Φιλιστιείμ, ἐκτόπως δὲ καὶ αὕτη πικρὰ, καὶ εἰδωλολάτρις, καὶ ἀποσπουδάζουσα μὲν τὴν εἰς Θεὸν εὐσέβειαν καὶ τὴν εἰς τὸν νόμον αἰδῶ, περὶ πλείστου δὲ ποιουμένη τὸ καὶ πλανᾶσθαι, καὶ προσαπολλύειν ἑτέρας. Ταύτην τάχα που καὶ πρώτην πόλιν ἑλὼν τῶν ὑπὸ τὸ σκῆπτρον Ἰούδα καὶ Βενιαμὶν, πέπομφεν ἐκεῖθεν τὸν Ῥαψάκην εἰς Ἱεροσόλυμα. Ἡ τοίνυν Λαχεὶς, φησὶν, ἡ καλῶς οἰκοῦσά ποτε, καὶ ἀσφαλῶς ἱδρυμένη, αὕτη « γέγονεν ἀρχηγὸς ἁμαρτίας τῇ Σιὼν, » ἤτοι τῇ Ἱερουσαλήμ. « Εὑρηνται γὰρ ἐν αὐτῇ ἀσέβειαι τοῦ Ἰσραὴλ, » τουτέστι, τὰ χειρόκμητα, καὶ τῶν ψευδωνύμων θεῶν οὐ μετρία πληθύς. Τί οὖν ὁ λόγος δηλοῦν βούλεται; Ἀπολογεῖται τρόπον τινὰ τοῖς τῶν ἀλλοφύλων δήμοις, καὶ ἀναπείθειν πειρᾶται διακεῖσθαι λοιπὸν, ὡς οὐκ ἂν ἠσθένησεν ὁ σώζων Θεός. Ἐπειδὴ δὲ δεδυσσεβήκασιν εἰς αὐτὸν αἱ τῆς Ἰουδαίας πόλεις, παραδέδονται τοῖς ἐχθροῖς. Ἀρχηγὸς γὰρ, φησὶν, « ἡ Λαχεὶς ἁμαρτίας γενομένη τῇ Σιών. » Ἀποστασίας πρόφασις πρώτη δέδοται τῷ Σενναχηρείμ. Ἀπόλωλε δὴ οὖν ὁ Ἰσραὴλ, ὡς ἀπό γε τῆς Λάχεως ἔξεστιν ἰδεῖν, οὐχ ἡρρωστηκότος Θεοῦ τὸ ἀναλκὶ, πολλοῦ γε καὶ δεῖ, τὸ πλανᾶσθαι δὲ μᾶλλον ἠρρωστηκὼς, καὶ ταῖς τῶν εἰδώλων λατρείαις ἀσυνέτως προσκείμενος.

Διὰ τοῦτο δώσεις ἐξαποστελλομένους ἕως κληρονομίας Γὲθ, οἴκους ματαίους. Εἰς κενὰ ἐγένοντο τοῖς βασιλεῦσιν τοῦ Ἰσραὴλ, ἕως τοὺς κληρονόμους ἀγάγωσι, κατοικοῦσα Λαχεὶς κληρονομία σου. Ἕως Ὀδολλὰμ ἥξει ἡ δόξα τῆς θυγατρὸς Ἰσραὴλ. Εὕρησαι, καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ τρυφερά σου. Ἐμπλάτυνον τὴν χηρείαν σου ὡς ἀετὸς, ὅτι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ.

ΙΕ'. Ὑποπεπτωκότος τοῦ Ἰσραὴλ τοῖς ἐξ ὀργῆς κινήμασι, καὶ τῶν εἰς Θεὸν πεπλημμελημένων ἀποτινυόντος δίκας, οἱ ἀπὸ Γέθ τε καὶ Ἐνακεὶμ τῆς τοῦ Θεοῦ δόξης καταμειδιᾶν ἀπετόλμων. Ἔφοντο γὰρ ὅτι, καθάπερ ἤδη προσεῖπον, οὐ σέσωκε τοὺς ἰδίους, ὡς τῆς Ἀσσυρίων χειρὸς ἡττώμενος. Εἶτα πρὸς τοῦτο Θεὸς ἀναπείθειν ἤθελεν, ὡς ἀπό γε τῆς Λάχεως, ὅτι δέδονται τοῖς ἐχθροῖς διὰ τὸ εὑρῆσαι πολλὰς ἀσεβείας τοῦ Ἰσραὴλ ἐπ' αὐτοῖς, καὶ ὅτι γεγόνασιν ἁμαρτίας ἀρχηγοὶ τῇ θυγατρὶ Σιὼν, τουτέστι, τῇ Ἱερουσαλήμ. Ταῦτα Θεοῦ λέγοντος, συνεὶς εὖ μάλα τὸ δηλούμενον, καὶ πρό γε τῶν ἄλλων ὁ μακάριος προφήτης, ἀποδέχεται τοὺς λόγους, καὶ μονονουχὶ ταῖς παρ' ἑαυτῷ ψήφοις εἰς ἀλήθειαν στεφανῶν, ἀναπεφώνηκεν εὐθύς· « Διὰ τοῦτο δώσεις ἐξαποστελλομένους ἕως τῆς κληρονομίας Γὲθ, οἴκους ματαίους. » Ναὶ, φησὶ, ὦ Δέσποτα, βαδιοῦνται πρὸς ἐχθροὺς, καὶ ἐξαποσταλήσονται παρὰ σοῦ, τὴν ἐνεγκοῦσαν ἀφέντες, καὶ εἰς τὴν τῶν Ἀσσυρίων μεταχωρήσαντες, οὐχὶ μόνοι, φησὶν, οἱ ἐν Σαμαρείᾳ, ἀλλὰ γὰρ καὶ οἱ ἐν Γὲθ, ὧν οἱ μὲν γεγόνασιν ἀποστάται, καὶ ὑβρισταὶ, καὶ τῶν σῶν κατόπιν ἰέναι θεσπισμάτων οὐκ ἀνεχόμενοι· οἱ δὲ πεπραχόσιν ἀθλίως ἐπιτωθάζοντες, τῆς σῆς δόξης ἐποιοῦντο κατάρρησιν τὸ συμβεβηκός. « Αὐτὸς οὖν δώσεις ἐξαποστελλομένους ἕως κληρονομίας Γὲθ, οἴκους ματαίους. » Μάταιοι γὰρ οἶκοι καὶ ὁ τοῦ Ἐφραΐμ,

A na et confinis Philistiim, mirum in modum et ipsa infensa et idolis dedita, pietatem erga Deum et reverentiam erga legem contemnens, a vero autem discedere, et alias urbes secum in exitium trahere palmarium ducens. Hac, opinor, primum ex Juda et Benjamin urbibus subjugata, inde Rabsacem Hierosolymam misit. Lachis ergo, inquit, bene habitans aliquando, et in tuto collocata, ipsa « facta est princeps peccati filiæ Sion, » sive Jerusalem. « Inventæ sunt enim in ea iniquitates Israel, » hoc est, simulacra falsorumque deorum turba non mediocris. Quid igitur verba sibi volunt? Aliqua ratione alienigenarum populos defendunt, et conantur persuadere, sic sentire in posterum Deum servatorem non esse viribus imminutum. Postquam autem B Judææ urbes impie se adversus ipsum gesserunt, traditi sunt inimicis. Lachis enim, inquit, « princeps peccati facta est Sioni. » Prima occasio ex apostasia data est Senacherib. Periit igitur Israel, **404** ut a Lachis videre licet, non quia Deum potentia defecerit, multum sane abest, sed potius quia ipsum bona mens defecit, et idolorum cultui stulte adhæsit.

VERS. 14-16. *Ideo dabis emissarios usque ad hæreditatem Geth, domos vanas. In vana fuerunt regibus Israel, donec hæredes adducant tibi, habitans Lachis hæreditas tua. Usque ad Odollam veniet gloria filiæ Israel. Decalvare et detondere super filios dilectos tuos. Dilata calvitium tuum, sicut aquila, quoniam captivi ducti sunt ex te.* C

XV. Cum Israel Deum in se irritasset, commissorumque in illum pœnas lueret, Gethæi et qui ab Enacim Dei gloriam ludibrio habere audebant. Rebantur namque, sicut ante dicebam, ipsum ideo non servasse ac defendisse suos, quod Assyriis victus cessisset. Deinde Deus persuadere voluit initium fuisse Lachis, quæ quia multæ impietates Israelis in ea inventæ fuissent, et quia auctor peccati filiæ Sion, hoc est Jerusalem, fuisset, ideo hostibus tradita esset. Hæc Deo dicente, optime et ante alios intelligens propheta quid diceretur, recipit D verba, et quasi suum suffragium ad veritatem confirmandam adjiciens, mox exclamat: « Propterea dabis emissarios usque ad hæreditatem Geth domos vanas. » Etiam, Domine, inquit, vadent ad inimicos, et emittentur a te, relicta patria, et in Assyriam migrantes, non tantum, inquit, qui sunt incolæ Samariæ, sed insuper Gethæi: quorum illi facti sunt apostatæ et protervi, et oracula tua sequi noluerunt: hi miseros irridentes, casum eorum in gloriæ tuæ maledictum traxerunt. « Tu igitur emissarios dabis, usque ad hæreditatem Geth, domos vanas. » Vana enim domus et Ephraim et Gethæorum, quod neque Deum venerari sustinent, et cultum sculptilibus impendunt, et solum carnalia sapiunt, et terrenis affixi virtutem in postremis

Digitized by Google

ducunt. Postmodum interjicit querimoniam quamdam, quasi complodens manus beatus propheta, dum recordatur quæ aliquando facta sint in Samaria. Volutat autem secum regum superbiam, eorumque stultitiæ peccatum **405** Israelis fuisse recogitat. Nam eorum inventa et vituli et idolorum delubra fuerunt. Nec Opificem continenter exasperare desinebant. Indignans itaque propheta, « In vana, inquit, fuerunt regibus Israel, donec hæredes adducant. » Ut si diceret: Vanis studere rebus reges non desierunt, donec eo miseriæ devenerunt, ut aliorum hæreditas fieret quæ illis a Deo destinata erat. Quoniam autem Assyrii totius Judææ potituri erant, sumit duas urbes in extremis finibus totius regionis sitas, Lachis, inquam, et Odollam (1).

A καὶ τῶν ἀπὸ Γὲθ, διάτοι τὸ μήτε Θεὸν ἀνέχεσθαι τιμᾶν, ἀπονέμειν δὲ τὰς λατρείας τοῖς γλυπτοῖς, ὅτι μόνα πεφρονήκασι τὰ σαρκὸς, καὶ τοῖς ἐπιγείοις προσκείμενοι, οὐδένα τῆς ἀρετῆς ἐποιοῦντο λόγον. Εἶτα μεταξὺ σχετλιάζει τρόπον τινὰ, καὶ μονονουχὶ τῷ χεῖρε συμπλήττων ὁ μακάριος προφήτης, εἰς ἔννοιαν ἐρχόμενος τῶν κατὰ καιροὺς πεπραγμένων ἐν Σαμαρείᾳ. Διαλογίζεται δὲ τὴν τῶν βασιλέων ἀγερωχίαν, καὶ ὅτι τῆς ἐκείνων σκαιότητος ἀνοσιουργήματα γεγόνασι τὰ ἐφ' οἷς πεπλημμέληκεν ὁ Ἰσραήλ. Αὐτῶν γὰρ εὑρήματα καὶ αἱ δαμάλεις ἦσαν, καὶ τὰ τῶν ἑτέρων εἰδώλων τεμένη. Οὐ διαλελοίπασι δὲ διὰ παντὸς τρόπου παροτρύνοντες τὸν Δημιουργόν. Ἀσχάλλων δὴ οὖν ὁ προφήτης, « Εἰς κενὰ, φησὶ, ἐγένοντο τοῖς βασιλεῦσι τοῦ Ἰσραὴλ, ἕως τοὺς κληB ρονόμους ἀγάγωσιν. » Ὅμοιον δὲ ὡς εἰ λέγοι· Τῶν εἰς ματαιότητα σπουδασμάτων οὐ κατέληξαν οἱ βασιλεῖς, ἄχρις ἂν εἰς τοῦτο πεπτώκασιν ἀθλιότητος, ὡς ἑτέρων γενέσθαι κλῆρον τὸν ἐκνεμηθέντα αὐτοῖς παρὰ Θεοῦ. Ὅτι δὲ Ἐμελλον Ἀσσύριοι τῆς τῶν Ἰουδαίων ἁπάσης κατάρξαι γῆς, δέχεται δύο πόλεις ἐν ἐσχατιαῖς τῆς ὅλης χώρας κειμένας, τήν τε Λαχὶν φημὶ καὶ τὴν Ὀδολλάμ.

CAP. II.

VERS. 1, 2. *Facti sunt cogitantes labores et operantes mala in cubilibus suis. Et simul cum die consummabant ea, quia non levaverunt ad Dominum manus suas. Et desiderabant agros, et diripiebant pupillos, et domos opprimebant, et diripiebant virum, et domum ejus, virum et hæreditatem ejus.*

XVI. Cum potius manus ad Deum tollere debuissent, ut matutino sacrificio juxta legem oblato..... Consultabant autem noctu, et in otio deliberabant, agros alienos concupiscebant, domos evertebant, tyrannidem et avaritiam exercebant, virum et hæreditatem diripiebant: idcirco jure emissi sunt, ut domus vanæ, et nescientes quæ Deo placent sapere. Millies itaque præstat magno animo talia aspernari, et omni improbitati nuntium mittere, longissimeque avaritiam fugando, et supervacanea non cupiendo, alimenta et tegumenta quærere, et quæ frugi hominibus ad vitam tuendam sufficiunt. « Qui enim volunt divites fieri, incidunt in desideria multa inutilia et nociva, quæ mergunt homines in interitum et perditionem [16]. » Est insuper detrimentosum nocturnum otium considerationibus ad peccandum consumere; bonum autem æmulari beatum Psalmicinem universorum Deum sic alloquentem: « Media nocte surgebam ad confitendum tibi super judicia justificationis tuæ [17]. » Et iterum: « Deus, Deus **406** meus, ad te de luce vigilo. Sitivit in te anima mea, multipliciter caro mea. Memor fui tui super stratum meum, in matutinis meditabar in te [18]. »

VERS. 3. *Propterea hæc dicit Dominus: Ecce ego cogito super tribum istam mala, de quibus non auferatis colla vestra, et non ambuletis erecti, quia tempus malum est.*

ΚΕΦΑΛ. Β'.

Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν. Καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτὰ, διότι οὐκ ἦραν πρὸς τὸν Κύριον τὰς χεῖρας αὐτῶν. Καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ἐρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον τὸν ἄνδρα, καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ.

ΙΣ'. Μᾶλλον τὰς χεῖρας πρὸς Θεὸν, ὡς ἐωθινῆς C θυσίας ἀναφερομένης κατὰ τὸν νόμον..... Ἦσαν δὲ αὐτοῖς τὰ ἐν νυκτὶ βουλεύματα, καὶ ἡ σχολαία διάσκεψις, ἀγρῶν ἀλλοτρίων ἐπιθυμίαι, οἴκων ἀνατροπαὶ, καταδυναστεῖαι καὶ πλεονεξίαι, ἀνδρός τε καὶ κλήρου διαρπαγαί. Ταύτητοι δικαίως ἐξεπέμφθησαν ὡς οἶκοι μάταιοι, καὶ τὰ ἀνδάνοντα Θεῷ φρονεῖν οὐκ εἰδότες. Ἄμεινον οὖν ἄρα, καὶ ἀσυγκρίτως, κατευμεγεθεῖν τῶν τοιούτων, καὶ φαυλότητος μὲν ἁπάσης ἀποφοιτᾷν, πλεονεξίαν δὲ ῥιπτοῦντας ὡς ἀπωτάτω, καὶ τῶν περιττῶν οὐκ ἐφιεμένους, διατροφὰς ζητεῖν, καὶ σκεπάσματα, καὶ ὅσα τοῖς σώφροσιν ἀπόχρη πρὸς τὸ βιοῦν. « Οἱ γὰρ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς ἐπιθυμίας πολλὰς, καὶ ἀνονήτους, καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον καὶ ἀπώλειαν. » D Ἐπιζήμιον δὲ πρὸς τούτῳ καὶ τὰς ἐν νυκτὶ σχολὰς τοῖς εἰς ἁμαρτίαν σκέμμασι δαπανᾷν· χαλὸν δὲ ζηλοῦν τὸν μακάριον Ψαλμῳδὸν πρὸς τὸν τῶν ὅλων λέγοντα Θεόν· « Μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. » Καὶ πάλιν· « Ὁ Θεὸς, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. Ἐδίψησέ σοι ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου. Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ. »

Διὰ τοῦτο τάδε λέγει Κύριος· Ἰδοὺ ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακὰ, ἐξ ὧν οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρθοὶ, ὅτι καιρὸς πονηρός ἐστιν.

[16] I Tim. VI, 9. [17] Psal. CXVIII, 62. [18] Psal. LXII, 2, 7.

(1) Deficit expositio verborum in contextu prophetæ sequentium, in fine capitis præcedentis, et principio sequentis.

Digitized by Google

ΙΖ'. Ἐπειδὴ γὰρ αὐτοὶ κόπους ἐλογίζοντο, καὶ εἰργάζοντο κακά τισι, τὸ πρὸς Θεὸν αἴρειν τὰς χεῖρας ὡς ἀχερδὲς καὶ ἀνόνητον παρωθούμενοι, ταύτῃτοι κἀγὼ, φησὶ, κατὰ πάσης τοιαύτης φυλῆς λογιοῦμαι κακὰ, τουτέστι, διασκέψομαι τὰ ἐφ' οἷς ἂν εἶεν κακοῖς, ἤγουν ἀνιάτοις συμφοραῖς. Ἔσεσθαι δὲ οὕτω φησὶ δύσοιστά τε καὶ φορτικὰ τὰ ἐπενεχθησόμενα, ὡς ἐν ἴσῳ γενέσθαι τοῖς κεκυφόσι τοὺς πεπονθότας, καὶ τρόπον τινὰ καταχαμφθήσεσθαι, δεινῶς καὶ ἀφορήτως κατηχθημένους. « Καιρὸς γὰρ ἔσται, φησὶ, πονηρὸς, » καθ' ὃν ἂν αὐτοῖς τὰ ἐξ ὀργῆς ἐπαρτήσειε. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ ὑπό του σοφῶς ὑμνούμενον· « Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ. » Ἀλλ' ὅ γε Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοὺς οὕτω κατηχθημένους πρὸς ἀπόθεσιν τῶν ἐπηρτημένων αὐτοῖς ἐκάλει, λέγων· « Δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. » Ἀλλ' οἱ μὲν τῇ πίστει τὸν κεκληκότα τιμήσαντες, ἀπεσείσαντο τὸ φορτίον· ἀπομεμενήκασι δὲ κάμνοντες, καὶ πεπιεσμένοι, καὶ σφόδρα εἰκότως, οἱ ταῖς ἀπαθείαις λελυπηκότες Γραμματεῖς τε καὶ Φαρισαῖοι, καὶ ἡ σὺν αὐτοῖς ἑτέρα πληθὺς, οἳ οὐκ ἂν δύναιντο βαδίζειν ὀρθῶς. Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος Δαβὶδ ἀνεκεκράγει πρὸς Θεόν· « Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον· » ἵνα τὰ ἄνω μὴ βλέποντες, μήτε μὴν ἀνακουφίζειν ἰσχύοντες τῆς διανοίας ὀφθαλμὸν πρὸς τὴν τῶν ἁγίων ἐλπίδα, καὶ τὴν ἐν τοῖς οὐρανοῖς καλλίπολιν, πρὸς μόνα βλέπωσι τὰ ἐπὶ τῆς γῆς, μονονουχὶ κεκυφότες, καὶ τοῖς προσκαίροις καὶ σαρκικοῖς τὸν ὑβριστὴν καὶ μισόθεον ἐνερείδοντες νοῦν.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ληφθήσεται ἐφ' ἡμᾶς παραβολὴ, καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει, λέγων· Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν. Μερὶς λαοῦ μου κατεμετρήθη ἐν σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύων αὐτὸν τοῦ ἀποστρέψαι.

ΙΗ'. Δύο κατὰ ταυτὸν συμβήσεσθαι λέγει, παραβολήν τε καὶ θρῆνον. Καὶ ἡ μὲν παραβολὴ σημαίνειν ἔοικε τὸ οἱονεί πως ἐν στόματι πάντων τὸν ἐπ' αὐτοῖς, ἤτοι περὶ αὐτῶν, γενέσθαι λόγον· μνημονεύεται ἀεὶ καὶ τὰ ἐξαίσια τῶν κακῶν, καὶ τῶν τοιούτων ἡ φήμη πόλεις τε καὶ χώρας ἐπιφοιτᾷ, καὶ μέχρι τερμάτων τῆς ὅλης διάττει γῆς. Θρῆνος δέ γε τὸ δάκρυον καὶ τὰς ἐπ' αὐτοῖς οἰμωγὰς, ἃς ἂν ἕτεροι ποιοῖντο τυχὸν, ἤγουν αὐτοὶ, κατὰ σφᾶς αὐτοὺς τὰ οἰκεῖα κλαίοντες πάθη. Τοιγάρτοι φησί· « Ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν. » Καὶ τίς ἂν νοοῖτο τῆς ταλαιπωρίας ὁ τρόπος, διατρανοῖ λέγων· « Μερὶς λαοῦ μου κατεμετρήθη σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύων αὐτὸν τοῦ ἀποστρέψαι. » Ὁ κλῆρος, φησὶ, ἐκνεμηθεὶς τῷ ἐμῷ, καὶ ἠγαπημένῳ, δῆλον δὲ ὅτι τῷ Ἰσραὴλ, μεμέτρηται παρ' ἐχθρῶν, τουτέστι, θεσμοῖς καὶ τέλεσιν ὑπενήνεκται. Τὸ γὰρ μετρούμενον ὑπόφορόν ἐστι, καὶ τελοῦν. Εἶτα τούτου γεγονότος, καὶ παρ' ἐλπίδα συμβεβηκότος, οὐκ ἦν ὁ κωλύσων. Ποῖ δὴ οὖν ἄρα, φησὶν, αἱ δαμάλεις, ὁ Χαμὼς, ὁ Δαγὼν, ὁ Βεελφεγὼρ, ὁ Βάαλ, καὶ τὰ ἐν τοῖς

XVII. Quandoquidem ipsi labores cogitabant, et de quibusdam merebantur male, manus ad Deum tollere, ut infructuosum et inutile contemnentes, idcirco et ego, inquit, adversus totam hanc tribum cogitabo mala : hoc est, considerabo in quibus malis, sive calamitatibus inevitabilibus esse debeant. Tam autem onerosa et intolerabilia fore dicit quibus multabuntur, ut qui ea patientur, cervices inclinantium sint futuri similes, duriterque et intolerandum in modum oneratos quodammodo incurvatum iri. « Tempus enim malum est, » inquit, quo ipsis ex ira divina supplicia impendeant. Atque hoc est, opinor, a quodam sapienter cantatum : « Quia iniquitates meæ supergressæ sunt caput meum : sicut onus grave gravatæ sunt super me [39]. » Verum Dominus noster Jesus Christus adeo oneratos ad onera deponenda vocabat, cum diceret : « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos [40]. » Porro qui fide vocantem sunt reveriti, onus excusserunt : Scribæ autem et Pharisæi, quos passionum vacuitas contristabat, Justissime laborantes et pressi remanserunt, et cum ipsis alia multitudo, quæ non valuit recte incedere. Hoc non ignorans divinus David exclamavit ad Dominum : « Obtenebrentur oculi eorum ne videant, et dorsum eorum semper incurva [41]; » ut superna non respicientes, neque oculum mentis ad spem sanctorum et præclaram in cœlis civitatem attollere valentes, terrena duntaxat intueantur : quasi scilicet incurvati, et animum insolentem et osorem Dei caducis et carnalibus alligantes.

Vers. 4. *In die illa sumetur super vos parabola, et plangetur planctus in cantico, dicens : Afflictione afflicti sumus. Pars populi mei demensa est funiculo, et non erat qui prohiberet eum ut averteret.*

XVIII. Duo simul eventura narrat, parabolam et planctum. Et parabola quidem significare videtur, quasi in omnium ore de ipsis, aut de ipso sermonem fore : insignes enim casus semper sunt memorabiles, eorumque fama urbes et regiones pervadit, et usque ad extremos mundi fines penetrat; planctus autem, lacrymas et gemitus, quibus alii forsitan eorum causa indulgebant, aut ipsi, secum sua mala deplorantes. Proinde ait : « Afflictione afflicti sumus. » Quis autem afflictionis modus intelligendus videatur, declarat his verbis : « Pars populi mei demensa est funiculo, et non erat qui prohiberet eum ut averteret. » Hæreditas, inquit, distributa meo et dilecto, haud dubium quin Israeli, demensa est ab hostibus, hoc est legibus et tributis subjecta est. Nam quod metimur, tributarium est, et paret. Deinde cum hoc factum esset, ac præter spem contigisset, non erat qui prohiberet. Quousque igitur, inquit, vituli Chamos, Dagon, Beelphegor, Baal, et diversa in fanis Samariæ simulacra siluerunt? Non restiterunt divisoribus, non sunt auxi-

[39] Psal. xxxvii, 5. [40] Matth. xi, 28. [41] Psal. lxviii, 24.

Digitized by Google

liati adoratoribus suis, non sunt irati terram dimetientibus. Tale quidpiam et voce Jeremiæ de Israelitis dicit : « Et in tempore afflictionis suæ dicent : Surge, et libera nos. Et ubi sunt dii tui, quos fecisti tibi? Si surgent, et liberabunt te in tempore afflictionis tuæ [22]. » Sed quo pacto alios liberent, qui facile ferant omne quod cuipiam in eos libuerit? Sunt enim, sunt, inquam, « opera manuum hominum [23], » argentum, et aurum, et lapis, et ligna, surda et insensilis materia. Cantet itaque divinus David : « Similes illis fiant qui faciunt ea, et omnes qui confidunt in eis. »

A τεμένεσι τῆς Σαμαρείας πολυειδῆ χειρόκμητα σεσιγήκασιν; Οὐκ ἀντετάξαντο τοῖς μεριζομένοις· οὐ βεβοηθήκασι τοῖς ἰδίοις προσκυνηταῖς· οὐκ ἐπήγαγον ὀργὴν τοῖς μετροῦσι τὴν γῆν. Τοιοῦτόν τί φησι καὶ διὰ φωνῆς Ἱερεμίου περὶ τῶν ἐξ Ἰσραήλ· « Καὶ ἐν τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν· Ἀνάστα, καὶ σῶσον ἡμᾶς. Καὶ ποῦ εἰσὶν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ; Εἰ ἀναστήσονται, καὶ σώσουσί σε ἐν καιρῷ τῆς κακώσεώς σου. » Ἀλλὰ πῶς ἂν ἑτέρους ἐκσώσειαν, οἳ πάθοιεν ἂν εὐκόλως πᾶν ὅσον τις ἕλοιτο δρᾷν; Εἰσὶ γὰρ, εἰσὶν « ἔργα χειρῶν ἀνθρώπων, » ἀργύριον, καὶ χρυσίον, καὶ λίθος, καὶ ξύλα, κωφὴ καὶ ἀναίσθητος ὕλη. Ψαλλέτω δὲ ὁ θεσπέσιος Δαβίδ· « Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. »

VERS. 5. *Agri vestri divisi sunt. Propter hoc non erit mittens funiculum in hæreditatem.*

XIX. Verborum præcedentium vim explanat. Exhæredes enim facti estis, ait, et regionem vestram dimensi sunt, seu diviserunt alii, tibi autem tua dividere non conceditur. Hoc superbos Judæos tempore adventus Christi passos invenimus. Eo namque crudeliter tractato, hæreditatibus sibi attributis exciderunt. Erat enim primogenitus, et eorum esse promissiones sanctissimus Paulus confirmat [24], eorum patres, et ex ipsis Christum secundum carnem. Spe autem et omni gloria eam consequente frustratus est, « et plenitudo gentium intravit [25], » eorumque hæreditatem occupavit. **408** Ipsarum enim sunt promissiones, ipsarum Christus, ipsarum patres. Filii enim Abraham nominantur, vestigiis fidei ejus in præputio insistentes. « Non enim omnes qui sunt ex Israel, hi sunt Israelitæ; neque qui sunt semen Abraham, sed filii promissionis, hi reputantur in semine [26]. » Quamobrem et divinus Joannes Judæorum fastum et inanes spiritus deprimens, « Facite igitur, inquit, fructus dignos pœnitentiæ : et ne velitis dicere inter vos : Patrem habemus Abraham [27]. » Quare insipiens Israel hæreditatem amisit : contra gentium multitudo quasi enata est, et ipsis Christus inclytam acceptioneque dignam bonorum cœlestium hæreditatem dispertit [28]. Facti sunt enim cives angelorum, et domestici Dei, unum corpus cum Christo, et unione cum ipso per Spiritum illuminati, vere optatissimam in sanctitate, et sanctificatione, et incorruptione vitam traducent.

B *Οἱ ἀγροὶ ὑμῶν διεμερίσθησαν. Διὰ τοῦτο οὐκ ἔσται ὁ βάλλων σχοινίον ἐν κλήρῳ.*

ΙΘ'. Φανερὰν ποιεῖται τῶν εἰρημένων τὴν δύναμιν. Ἀπόκληροι γὰρ γεγόνατε, φησὶ, καὶ μεμέτρηνται μὲν τὴν ὑμῶν, ἕτεροι, σοὶ δὲ οὐκ ἐξέσται μετρεῖν τὰ σά. Πεπονθότας δὲ τοῦτο κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν καὶ τοὺς ἀλαζόνας εὑρήσομεν Ἰουδαίους. Ἐμπαροινήσαντες γὰρ τῷ Χριστῷ, τῶν ἐκνεμηθέντων αὐτοῖς ἀπώλισθον κλήρων. Ἦν γὰρ πρωτότοκος, καὶ αὐτῶν εἶναί φησι τὰς ἐπαγγελίας ὁ σοφώτατος Παῦλος, αὐτῶν τοὺς πατέρας, καὶ ἐξ αὐτῶν τὸ κατὰ σάρκα Χριστόν. Ἐκπέπτωκε δὲ τῆς ἐλπίδος, καὶ τῆς εἰς τοῦτο πάσης εὐκλείας, « εἰσέφρησε τῶν ἐθνῶν ἡ πλήθυς, » εἰς τὸν ἐκείνων ἀντανέδη κλῆρον. Αὐτῶν γὰρ γεγόνασιν αἱ ἐπαγγελίαι, αὐτῶν ὁ Χριστὸς, αὐτῶν οἱ πατέρες. Τέκνα γὰρ χρηματίζουσιν Ἀβραὰμ, κατακολουθοῦντες τοῖς ἴχνεσι τῆς ἐν ἀκροβυστίᾳ πίστεως αὐτοῦ. « Οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ, οὗτοι Ἰσραὴλ, οὐδὲ ὅτι εἰσὶ σπέρμα Ἀβραὰμ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας, ταῦτα λογίζεται εἰς σπέρμα. » Τοιγάρτοι καὶ ὁ θεσπέσιος Ἰωάννης τὴν τῶν Ἰουδαίων ὀρὴν, καὶ τὸ εἰκαῖον φύσημα καταφέρων, « Ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας, φησὶ, καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, ὅτι Πατέρα ἔχομεν τὸν Ἀβραάμ. » Οὐκοῦν ἀποπέπτωκε μὲν τῆς κληρονομίας ὁ ἀπόπληκτος Ἰσραὴλ, ἀντανέφυ δὲ ὥσπερ ἡ ἐξ ἐθνῶν ἀγέλη, καὶ αὐτοῖς ὁ Χριστὸς τῶν ἄνωθεν ἀγαθῶν τὸν εὐκλεᾶ τε καὶ ἀξιόληπτον ἀπονέμει κλῆρον. Συμπολίται γὰρ γεγόνασι τῶν ἀγγέλων, καὶ οἰκεῖοι τοῦ Θεοῦ, σύσσωμά τε τοῦ Χριστοῦ, καὶ τῇ πρὸς αὐτὸν ἑνότητι διὰ Πνεύματος ἐκλελαμπρυσμένοι, τὸν πολύευκτον ἀληθῶς διαζήσονται βίον, ἐν ὁσιότητί τε καὶ ἁγιασμῷ, καὶ ἀφθαρσίᾳ.

VERS. 6,7. *In ecclesia Domini ne flete lacrymis, neque ploret super his. Neque enim abjiciet opprobria qui dicit : Domus Jacob provocavit spiritum Domini. Si hæ adinventiones ejus sunt?*

XX. Num ergo, dic mihi, pœnitere volentem Israel cohibet, et mansuetudinem illis subtrahit, quantumvis sibi convenientissima discere, et in posterum quæ illi grata sunt præstare cupiant? Non hoc dicit. Sed consuetudo quibusdam est, si, cum peccaverint,

Ἐν ἐκκλησίᾳ Κυρίου μὴ κλαίετε δάκρυσιν, μηδὲ δακρυέτω ἐπὶ τούτοις. Οὐδὲ γὰρ ἀπώσεται ὀνείδη ὁ λέγων· Οἶκος Ἰακὼβ παρώργισε πνεῦμα Κυρίου. Εἰ ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστι;

Κ'. Ἆρ' οὖν ἀπείργει τοῦ μετανοεῖν ἐλέσθαι τὸν Ἰσραὴλ, ἀνακόπτει δὲ, εἰπέ μοι, τὴν ἐπ' αὐτῷ ἡμερότητα Θεὸς, κἂν εἰ βούλοιντο μαθεῖν τὰ ἑαυτοῖς ὅτι μάλιστα πρεπωδέστατα, καὶ δρᾷν ἤδη πως τὸ ἀνδάνον αὐτῷ; Οὐ τοῦτό φησι. Ἀλλ' ἔθος τισὶν, εἰ ὑπό

[22] Jerem. II, 27, 28. [23] Psal. CXIII, 4. [24] Galat. III, 22 seqq. [25] Rom. XI, 25. [26] Rom. IX, 6 [27] Matth. III, 8, 9. [28] Ephes. II, 18, 19.

Digitized by Google

του τυχὸν τῶν σοφῶν πεπλημμεληκότες ἐλέγχοιντο, A ab aliquo sapiente forsitan reprehendantur, pœnitentiæ modum in lacrymis ponere, erratumque summ confiteri, atque hoc et solo expiationem admissorum quærere ; non etiam objecta flagitia omittere. Hoc nonnulli de Israelitis faciebant, ut interdum nec vestimentis parcerent. Sed quid ait qui cor et renes intuetur [29]? « Convertimini ad me ex toto corde vestro, in jejunio, in fletu et planctu, et scindite corda vestra, et non vestimenta vestra [30]. » Quoniam igitur solas lacrymas profundunt, et bona simulate loquuntur, et interim proprias voluntates non deserunt, ideo non eos benevolum ac mitem sibi reddere judicem docet, dicens : « In ecclesia ne flete lacrymis. » Dei templum, inquit, nolite facere domum luctus : nec idcirco lacrymas fundite, ut dicatis tantummodo, B **409** vos in domo Domini flevisse : istud namque utilitate vacat omnino. Neque illud quidam dicant : « Domus Jacob provocavit spiritum Domini. » Nequaquam enim peccatorum suorum probra abscondet, etiamsi quispiam adeo bonis vocibus abuti velit. « Si hæ adinventiones ejus sunt. » Has ipsas enumerat. « Facti sunt cogitantes labores, et operantes mala in cubilibus suis. Et simul cum die consummabant ea, et non sustulerunt ad Dominum manus suas. Et desiderabant agros, et diripiebant pupillos, et domos opprimebant, et diripiebant virum et domum ejus, virum et hæreditatem ejus [31]. » Itaque si talia, inquit, sint ejus studia, quomodo opprobria depellet, tantummodo lacrymans, con- C fitensque, et dicens : « Domus Jacob provocavit spiritum Domini ? » Opus est ergo pœnitentiam volentes agere, a perversitatis criminibus discedere, et ita demum plorare, et confiteri Deo, jam usum bonorum operum magni æstimantes. Deus siquidem non simpliciter lacrymas et bona verba, sed vitam et mores aspiciet. Tunc autem fletus proderit, quando mores recte factorum cum eversione improbitatis conjungi apparebit. Sublato enim in nobis peccato, virtus ejus loco exsistere incipit.

τὸν τῆς μεταγνώσεως τρόπον μέχρι τοῦ δακρύσαι μετρεῖν, καὶ ὁμολογεῖν, τὴν ἀμετρίαν τούτῳ τε καὶ μόνῳ ζητεῖν τὴν ἄφεσιν· οὐ μὴν ἔτι καὶ τῶν προκειμένων αὐτοῖς καταλήγειν κακῶν. Τοῦτό τινες ἔδρων τῶν ἐξ Ἰσραὴλ, ὡς μηδὲ αὐτῶν ἔσθ' ὅτε φείδεσθαι τῶν ἀμφίων. Ἀλλὰ τί φησιν ὁ εἰς καρδίαν ὁρῶν καὶ νεφρούς ; « Ἐπιστρέψατε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν, ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ, καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. » Ὅτι τοίνυν ψιλὸν ἐξ ὀμμάτων καταχέοντες δάκρυον, καὶ χρηστοεπεῖν ὑποκρινόμενοι, τῶν γε μὴν ἰδίων οὐ καταλήγοντες θελημάτων, οὐκ ἂν εὐμενῆ καὶ πρᾶον ἐφ' ἑαυτοῖς καταστήσειαν τὸν κριτὴν, ἐκδιδάσκει λέγων· « Ἐν ἐκκλησίᾳ Κυρίου μὴ κλαίετε δάκρυσι. » Μὴ ποιεῖτε, φησὶ, πένθους οἶκον τὸν θεῖον ναόν· μηδὲ ἐπὶ τούτῳ δακρύετε, ὥστε εἰπεῖν ἐν οἴκῳ μόνον κλαῦσαι Θεοῦ· ἀνόητον γὰρ τὸ τοιόνδε παντελῶς. Μή τε μὴν ἐκεῖνο λεγόντων τινές· « Οἶκος Ἰακὼβ παρώργισε πνεῦμα Κυρίου. » Ἀποκρύψαιτο γὰρ ἂν ἥκιστά γε τοὺς ἐφ' οἷς πεπλημμέληκεν ὀνειδισμοὺς, κἂν εἰ ἕλοιτό τις ταῖς οὕτω χρησταῖς ἀποκεχρῆσθαι φωναῖς. « Εἰ ταῦτά ἐστι τὰ ἐπιτηδεύματα αὐτοῦ. » Καὶ ποῖα δὴ ταῦτά φησιν. « Ἐγένοντο λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν. Καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλεσαν αὐτὰ, καὶ οὐκ ἦραν πρὸς Κύριον τὰς χεῖρας αὐτῶν. Καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα, καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα καὶ τὴν κληρονομίαν αὐτοῦ. » Οὐκοῦν εἰ τοιάδε, φησὶν, εἶεν αὐτοῦ τὰ ἐπιτηδεύματα, πῶς ἂν διακρούσαιτο τὰ ὀνείδη, ψιλὸν καταχέων δάκρυον, ὁμολογῶν τε καὶ λέγων· « Οἶκος Ἰακὼβ παρώργισε τὸ πνεῦμα Κυρίου ; » Χρὴ δὴ οὖν ἄρα μετανοεῖν ἠρημένους ἀπαλλάττεσθαι μὲν τῶν ἐκ φαυλότητος ἐγκλημάτων, δακρύειν δὲ οὕτω, καὶ ἐξομολογεῖσθαι Θεῷ, τετιμηκότας ἤδη τὸ ἀγαθουργεῖν. Ὁ γὰρ Θεὸς οὐχ ἁπλῶς εἰς δάκρυον, καὶ εἰς χρηστοὺς ἐμβλέψεται λόγους, ἀλλ' εἰς ἔθη καὶ τρόπους. Ὀνησιφόρον δὲ τότε τὸ κλαίειν ἔσται, ὅταν φαίνωνται τῇ ἀγαθουργίᾳ οἱ τρόποι τῇ τῆς φαυλότητος ἀνατροπῇ συνεισθέοντες. Ἀναιρουμένης γὰρ ἐν ἡμῖν τῆς ἁμαρτίας, ἡ τῆς ἀρετῆς παρεισδύεται γένεσις.

Οὐχὶ οἱ λόγοι αὐτοῦ εἰσι καλοὶ μετ' αὐτοῦ ; καὶ ὀρθοὶ πεπόρευνται, καὶ ἔμπροσθεν ὁ λαός μου εἰς ἔχθραν ἀντέστη κατέναντι τῆς εἰρήνης αὐτοῦ ; D

Vers. 8. *Nonne sermones ejus sunt boni cum eo ? et recti ambulaverunt, et prius populus meus restitit in inimicitiam contra pacem ejus ?*

ΚΑ'. Καταιτιᾶται δὴ πάλιν ὡς εἰωθότα μὲν ἀριστοεπεῖν, ἀσύμβατον δὲ τοῖς λόγοις διάνοιαν ἔχοντα. Ὀρθοὶ μὲν γὰρ, φησὶ, οἱ παρ' αὐτοῖς γίνονται λόγοι, καλοὶ δὲ λίαν, ὁμολογοῦσι γὰρ τὰ ἐγκλήματα, χρηστόν τε καὶ ἀγαθὸν ὀνομάζουσι τὸν Κύριον, καὶ κατειρωνεύονται πολυτρόπως, ἔργοις γε μὴν αὐτοῖς παροτρύνοντες οὐ διαλελοίπασιν. Ἴδοι δ' ἂν τις αὐτοὺς ἑαυτοῖς γεγονότας ἐχθροὺς, καὶ τὴν σφῶν αὐτῶν ἀποσοβοῦντας εἰρήνην. Αὐτὸς γὰρ ὁ λαός μου ἀντικατέστη, φησὶ, ὡς ἐχθρὸς τῇ ἑαυτοῦ εἰρήνῃ. Ἐξὸν γὰρ αὐτοῖς ἐν εὐπαθείαις εἶναι, καὶ τρυφαῖς, καὶ ἐν βεβαίῳ τῆς δόξης, καὶ ἐρηρεισμένην ἔχειν τὴν εὐθυμίαν, εἰ τετίμηται Θεὸς, ἐθελοντὶ κατώλισθον εἰς ἀπόστασιν. Ταύ-

XXI. Rursus eum accusat, ut qui consueverit bona quidem proloqui, sed animo cum verbis non consentiat. Recta quidem loquuntur, inquit, et bona valde : confitentur enim peccata sua, Dominum mitem ac bonum vocant, et varie dissimulant : operibus autem ipsis eum irritare non parcunt. Et possis videre ipsos sibi inimicos, suamque ipsorum pacem repudiantes. Ipse enim populus meus, ait, hostiliter paci suæ restitit. Nam cum illis liceret Deum colentibus vitam felicem et delicatam agitare in perpetua quadam gloria et jucunditate, scientes ac volentes ab eo desciverunt. Hinc pacis assiduitatem aspernati, velut a semetipsis impulsi, suis ipso-

[29] Psal. VII, 10. [30] Joel. II, 12, 13. [31] Mich. II, 1, 2.

Digitized by Google

rum capitibus bellum accersunt. Non carere autem omni fructu peccatis obnoxios pie Deum affari, videlicet si quis propter peccata sua erubescere instituerit, **410** ex ipsa divinitus inspirata Scriptura patefaciemus. Scriptum est enim in secundo Paralipomenon de Roboam : « Et factum est, postquam præparatum est regnum Roboam, postquam roboratum est, dereliquit mandata Dei, et omnis Israel cum eo. » Deinde Susacin Ægyptiorum rex adversus Hierosolymam arma cepit, et quantis potuit copiis de terra sua excurrit. Venit autem deinde propheta Semeas ad Roboam, et ad principes Juda congregatos in Jerusalem a facie Susac, dixitque illis : « Hæc dicit Dominus : Vos reliquistis me, et ego relinquam vos in manu Susac. Et verecundati sunt principes Israel et rex, et dixerunt : Justus est Dominus. Et cum vidisset Dominus quod conversi fuerant, factus est sermo Domini ad Semeam, dicens : Conversi sunt, non disperdam eos [32,33]. » Iterum infra dicitur : « Et cum humiliavit se rex, aversa est ab eo ira Domini, et non in corruptionem in finem. Etenim in Juda, inquit, fuerunt sermones boni [34]. » Cernis hinc igitur quam non sit inutile in lingua bonos sermones habere, si simul quispiam erubescat, et de admissis pudore suffundatur. Itaque, ut Paulus ait : « Regnum Dei non est in sermone, sed in virtute [35]. » Sic et Christus alicubi clare dixit : « Non omnis qui dicit mihi, Domine, Domine, intrabit in regnum cœlorum, sed qui facit voluntatem Patris mei qui est in cœlis [36]. » Vanum est igitur, ut dicebam modo, bona dicere de Deo, quando opera laudabilia non sequuntur.

Pellem ejus excoriaverunt, ut auferrent spem contritionem belli.

XXII. Denuo ducibus ac præsidibus crimen et culpam exitii popularis impingit. Nam cum populus per se idoneus non esset, ut semet erudiret, atque in rectam et minime distortam semitam deduceret, pietatemque erga Deum, quod maxime debebat, amplecteretur, sculptilium vero studium ac venerationem ut inutilem perniciosamque abjiceret, et quam maxime fugeret, ipsi pestes et corruptores subditorum facti, omnino animos illorum in contrarium inflexerunt, et posthabito Deo, exsultare potius in erroribus illis persuaserunt. Sic offenso Deo, etiam spe in illum exciderunt, in qua si perseverassent, nihil obstitisset quominus debellare hostem potuissent. Igitur ut in ovibus, inquit, quia « pellem eorum detraxerunt, ut auferrent **411** spem contritionem belli. » Ut si diceret, spei tegumentis nudarunt, et cura auxilioque meo exuerunt, atque ita adversis opportunum et captu facilem reddiderunt. Orbati sunt enim spe quæ erat ipsis belli contritio. Quemadmodum enim bestiis tutum indumentum est pellis, facillime enim læditur nuda caruncula ; ita nobis quoque ipsis tutum vestimen-

A τητοι καὶ τὸ ἐν εἰρήνῃ διατελεῖν ἀποβεβηκότες αὐτόκλητοι, ὥσπερ ταῖς σφῶν αὐτῶν κεφαλαῖς ἀγείρουσι πόλεμον. Ὅτι δὲ οὐχὶ πάντως ἀκερδὲς τὸ χρηστοεπεῖν πρὸς Θεὸν τοὺς ἡμαρτηκότας, ἤγουν εἰ ἔλοιτό τις τοῖς ἰδίοις πταίσμασιν ἐπερυθριᾷν, ἐξ αὐτῆς ἀποδείξομεν τῆς θεοπνεύστου Γραφῆς. Γέγραπται γὰρ ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων περὶ τοῦ Ῥοβοάμ· « Καὶ ἐγένετο ὡς ἡτοιμάσθη ἡ βασιλεία Ῥοβοὰμ, καὶ ὡς κατεκρατήθη, ἐγκατέλιπε τὰς ἐντολὰς Κυρίου, καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ. » Εἶτα Σουσακεὶμ, ὁ τῶν Αἰγυπτίων τύραννος, κατὰ τῶν Ἱεροσολύμων ὡπλίζετο, καὶ πανστρατὶ τῆς οἰκείας ἐξέθει γῆς. Ἀφικνεῖτο δὲ μετὰ τοῦτο Σαμέας ὁ προφήτης πρὸς Ῥοβοὰμ, καὶ πρὸς τοὺς ἄρχοντας Ἰούδα, τοὺς συναγαχθέντας εἰς Ἱερουσαλὴμ ἀπὸ προσώπου Σουσακεὶμ, B καὶ εἶπεν αὐτοῖς· « Οὕτως εἶπε Κύριος· Ὑμεῖς ἐγκατέλιπετέ με, κἀγὼ ἐγκαταλείπω ὑμᾶς ἐν χειρὶ Σουσακεὶμ. Καὶ ἠσχύνθησαν οἱ ἄρχοντες Ἰσραὴλ, καὶ ὁ βασιλεὺς, καὶ εἶπον· Δίκαιος ὁ Κύριος. Καὶ ἐν τῷ ἰδεῖν Κύριον ὅτι ἐνετράπησαν, καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμέαν, λέγων· Ἐνετράπησαν, οὐ καταφθερῶ αὐτούς. » Εἶτα πάλιν φησί· « Καὶ ἐν τῷ ἐντραπῆναι αὐτὸν ἀπεστράφη ἀπ' αὐτοῦ ὀργὴ Κυρίου, καὶ οὐκ εἰς καταφθορὰν εἰς τέλος. Καὶ γὰρ ἐν τῷ Ἰούδα, φησὶ, ἦσαν λόγοι ἀγαθοί. » Ὁρᾷς οὖν, ὅπως οὐκ ἀκερδὲς τὸ ἀγαθοὺς ἔχειν ἐπὶ γλώττης, εἰ παρέποιτο τὸ ἐντρέπεσθαι, καὶ τὸ ἐφ' οἷς πεπλημμέληκέ τις κατερυθριᾷν. Οὐκοῦν ὡς ὁ Παῦλός φησι· « Οὐκ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ, ἀλλ' ἐν δυνάμει. » Καὶ αὐτὸς δέ που Χριστὸς ἀναφανδὸν ἔφη· « Οὐ πᾶς ὁ C λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλὰ πᾶς ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. » Εἰκαίον οὖν ἄρα, ὅτε τὸ ἐν ἔργοις εὐδόκιμον οὐ παρομαρτεῖ.

Τὴν δορὰν αὐτοῦ ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδα συντριμμὸν πολέμου.

ΚΒ'. Ἐπιφέρει πάλιν τοῖς καθηγεῖσθαι λαχοῦσι τῆς τῶν ἀγελαίων ἀπωλείας τὰ ἐγκλήματα. Οὐ γὰρ ἂν ἱκανῶς ἔχοντα εἰς γε τὸ δύνασθαι παιδεύειν αὐτοὺς, καὶ εἰς τὴν ὀρθήν τε καὶ ἀδιάστροφον ἀποκομίζειν τρίβον, καὶ ἀντέχεσθαι μὲν, ὅ τι μάλιστα φιλεῖ, τῆς εἰς Θεὸν εὐσεβείας, ὡς ἀχρεῖον δὲ, καὶ ὀλέθρου πρόξενον ἀπορρίπτειν, καὶ ἀπωτάτω ποιεῖσθαι τὸ προσκεῖσθαι γλυπτοῖς, αὐτοὶ γεγόνασιν ὀλετῆρες καὶ φθορεῖς, πρὸς πᾶν τοὐναντίον τὰς τῶν ὑπὸ χεῖρα μετατρέποντες γνώμας, καὶ Θεοῦ μὲν ἀποφοιτᾷν ἀναπείθοντες, ἐπαγάλλεσθαι δὲ μᾶλλον τοῖς τῆς πλανήσεως τρόποις. Ταύτητοι Θεῷ προσκρούοντες, καὶ τῆς D εἰς αὐτὸν ἐλπίδος ἀπώλισθον, ἣν εἴπερ ἔχοντες διετίλουν, οὐδὲν τὸ ἀπεῖργον ἦν καταθλεῖν δύνασθαι τὸν ἐχθρόν. Οὐκοῦν ὡς ἐπὶ προβάτων φησὶν, ὅτι « τὴν δορὰν αὐτῶν ἐξέδειραν, τοῦ ἀφελέσθαι ἐλπίδα συντριμμὸν τοῦ πολέμου. » Ὅμοιον ὡς εἰ λέγοι, Γυμνὸν ἀπεφήναντο τῶν ἐξ ἐλπίδος περιβλημάτων, ἀπαμφιάσαντες δὲ ὥσπερ τῆς παρ' ἐμοῦ φροντίδος, καὶ ἐπικουρίας, εὐπαθῆ καὶ εὐάλωτον ἀποτετελέκασι. Παρῄρηται γὰρ αὐτῶν ἡ εἰς Θεὸν ἐλπὶς, τοῦτο δὲ ἦν αὐτοῖς τοῦ πολέμου τὸ σύντριμμα. Ὥσπερ γὰρ τοῖς

[32,33] II Paral. XII, 1-7. [34] ibid., 12. [35] I Cor. IV, 20. [36] Matth. VII, 21.

Digitized by Google

ἀλόγοις τῶν ζώων ἀσφαλὲς ἀμφίον ἡ δορά· κομιδῇ γὰρ εὐπαθὲς τὸ γυμνὸν σαρκίον, οὕτω καὶ ἡμῖν αὐτοῖς ἀσφαλὲς ἐπίβλημα, καὶ δορά τις ὥσπερ, τῆς εἰς Θεὸν ἐλπίδος ἡ δύναμις. Ἣν εἴπερ ἔχοιμεν, κατ' οὐδένα τρόπον λυποῦντες Θεὸν, κατευμεγεθήσομεν τῶν ἐχθρῶν, καὶ περιεσόμεθα μὲν πολέμου παντὸς σαρκικοῦ τε καὶ νοητοῦ. Ἐπιβησόμεθα δὲ καὶ ἐπὶ ἀσπίδα, καὶ βασιλίσκον, καὶ καταπατήσομεν λέοντα, καὶ δράκοντα, κατὰ τὸ γεγραμμένον· ἀναμέλψομεν δὲ πεποιθότες, « Κύριε ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. »

A tum est et quasi pellis quædam spei divinæ virtus. Quam si habeamus, nullo modo Deum offendentes, hostium dominabimur, et omni bello carnali ac spirituali superiores evademus. Ambulabimus item super aspidem et basiliscum, et conculcabimus leonem ac draconem, ut scriptum est [37]; et cantabimus cum fiducia : « Domine Deus virtutum, beatus homo qui sperat in te [38]. »

Διὰ τοῦτο ἡγούμενοι λαοῦ μου ἀπορριφήσονται ἐκ τῶν οἴκων τρυφῆς αὐτῶν. Διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν.

Vers. 9. *Propter hoc duces populi mei projicientur de domibus deliciarum suarum. Propter malas adinventiones suas ejecti sunt.*

ΚΓ'. Ἐπειδὴ γὰρ, φησὶ, οἱ ταῖς εἰσηγήσεσι καὶ ταῖς νουθεσίαις ὠφελεῖν δυνάμενοι τοὺς ὑπεζευγμένους, οἱ χειραγωγοὶ, καὶ πατέρες, οἱ ποιμένες, καὶ ἐπιστάται, τὴν δορὰν αὐτοῦ ἐξέδειραν, καὶ ἀφεῖλοντο τὴν ἐλπίδα τὴν εἰς Θεὸν, δι' ἧς εὐκόλως ἦν πάντα συντρίβεσθαι πόλεμον, ταύτητοι δικαίως τὰ οἰκοι μεθέντες ἀγαθὰ, τῶν ὅτι μάλιστα φιλαιτάτων ἐστερημένοι, τέρψεώς τε καὶ τρυφῆς ἀπωλισθηκότες, βαδιοῦνται πρὸς ἐχθροὺς, καὶ πικροὺς τῆς ῥᾳθυμίας καὶ τῆς φαυλότητος ἀποτίσουσι λόγους. Ὅτι δὲ τοῦ παθεῖν οὐχ ἕτερός τις αὐτοῖς, αὐτοὶ δὲ μᾶλλον σφισιν αὐτοῖς γεγόνασιν ἀφορμὴ, σαφηνίζει λέγων· « Διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν. » Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς, κατὰ τὸ γεγραμμένον. Αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά.

XXIII. Quoniam enim, inquit, qui doctrinis et B admonitionibus seducere potuerunt subjectos, manuductores, patres, pastores, præpositi, pellem eorum detraxerunt, abstuleruntque illis spem in Deum, per quam bellum omne non difficulter conterere potuissent, idcirco jure relictis domesticis bonis, multoque charissimis privati, delectationeque et deliciis amissis, ad hostes abibunt, et ignaviæ scelerumque rationem acerbam reposcentur. Perpessionis autem hujus non aliud, sed ipsos potius sibi causam fore ostendit, dicens : « Propter malas adinventiones suas ejecti sunt. » Non enim frustra extenduntur retia pennatis, juxta Scripturam. Ipsi namque cædis participes, thesaurizant sibi ipsis mala [39].

Αὐτοὶ δὴ οὖν ἡμεῖς ἑαυτοὺς ἀδικήσομεν, εἰ δρᾶν C ἐθέλοιμεν ἃ μὴ θέμις. Ἐκπεμπόμεθα δὲ καὶ ἐξ οἴκων τρυφῆς. Οἱ γὰρ Θεῷ προσκρούοντες, τὰς ἄνω καὶ ἐν οὐρανοῖς οὐκ ὄψονται μονὰς, ἀμέτοχοι δὲ μενοῦσι, καὶ τῆς τῶν ἁγίων ἐλπίδος, καὶ τῆς εἰς αἰῶνα τρυφῆς. Ἀλλ' οἵγε σοφοί τε καὶ ἀγαθοὶ, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν ἐπαινουμένων διανενευκότες, οὐκ ἐν τούτοις ἔσονται, φησὶ, ἔξουσι δὲ πάλιν τὴν ἐν οὐρανοῖς Ἐκκλησίαν, καὶ ταῖς ἄνω μοναῖς ἐνδιαιτήσονται, καὶ τοῖς οὐρανίοις ἐντρυφήσουσιν ἀγαθοῖς.

Ipsi igitur nos ipsos lædemus, si agere velimus quæ fas non est. Ejiciemur etiam de domibus deliciarum. Qui enim Deum offendunt, supernas et cœlestes mansiones non videbunt, et spei sanctorum æternarumque deliciarum exsortes manebunt. Verum sapientes, et boni, et ad omne laudabile propendentes, non in his erunt, inquit, sed potius in cœlis congregabuntur, et in supernis habitationibus versabuntur, et cœlestibus bonis jucunde perfruentur.

Ἐγγίσατε δρεσιν αἰωνίοις. Ἀνάστηθι καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις.

412 Vers. 10. *Propinquate montibus æternis. Surge et ambula, quoniam non est tibi hæc requies.*

ΚΔ'. Ἔστι μὲν ἔτι πρὸς τοὺς ἡγεῖσθαι λαχόντας ὁ λόγος. Κατειρωνεύεται δὲ, καὶ οἷον ἐν ἤθει γέγονε, τὸ λυποῦν εἰσφέρων ὡς χρήσιμον. Μονονουχὶ γάρ φησι· Ὦ λαῶν ἡγούμενοι, τάχα που βαρύ τε καὶ φορτικὸν ὑμῖν εἶναι δοκεῖ τὸ οἴκοι τε τρυφᾷν, καὶ τὴν ἐνεγκοῦσαν ἔχειν, καὶ ἐν εἰρήνῃ διατελεῖν, καὶ τὴν ἐλευθερίᾳ πρέπουσαν ποιεῖσθαι δίαιταν. Ἐπειδὴ δὲ τοῦτο ὑμῖν, ὡς ἔοικεν, εὖ ἔχειν δοκεῖ, βαδίζετε πρὸς ἐχθροὺς, ἀποτρέχετε πρὸς τὴν τῶν Περσῶν τε καὶ Ἀρμενίων. « Ἐγγίσατε τοῖς αἰωνίοις δρεσι. » Φησὶ δὲ τὴν Ἀραράθ. Αἰώνιά τε ἦν, ὅτι μακροὺς ἐν αὐτοῖς ἔμελλον διατελέσαι χρόνους. Ἢ τὰ ἐξ αἰῶνος διαβόητα, διά τοι τάχα τὸ ἐν αὐτοῖς ἀπομεῖναι τὴν κιβωτόν.

XXIV. Adhuc magistratum et gubernaculis præfectos alloquitur. Simulate autem, et ut fit in oratione morata, quod molestum est, utilitatis causa infert. Quasi enim aperte dicit : O rectores populi, forsitan grave et onerosum vobis videtur laute vivere, in patria hærere, in pace vivere, et, ut libertate dignum est, vitam instituere : Quoniam igitur, ut apparet, ita vobis placet, itote ad hostes, in Persidem et Armeniam aufugite. « Propinquate montibus æternis. » Intelligit autem Ararath. Æternos vocat, quoniam longo tempore in ipsis commoraturi erant. Aut a sæculo celebratos; fortassis quod supra illos arca requieverit [40].

Εἴη δ' ἂν ὁ λόγος καὶ κατὰ τῶν ἐν καιροῖς τῆς ἐπιδημίας, οἳ ταῖς τῶν Γραμματέων τε καὶ Φαρι-

Poterit oratio hæc etiam ad eos qui vixerunt tempore adventus Christi accommodari; qui, Scri-

[37] Psal. xc, 13. [38] Psal. xxxiii, 9. [39] Prov. i, 16-18. [40] Gen. viii, 4.

Digitized by Google

barum Pharisæorumque auctoritati obtemperantes, fidem non admittebant. Nam inter eos magis conspicui, velut quidam montes erant, et ob sacerdotii amplitudinem in summo gradu et gloria locati. Sed illa erant temporanea : cessavit quippe umbra, et cultus typicus quasi inveteravit, quodque tunc erat sacrum genus, jam desiit; de cætero enim ostensi sunt montes æterni, nempe novi Testamenti præcones et ministri, qui mysterium Christi loquuntur, illi decantati, et illustrissimi, et virtutis celsitudinibus excellentes. Montes enim illos etiam per alium prophetam Deus appellat, his verbis : « Et stillabunt montes dulcedinem, et omnes colles culti erunt [41]. » Suavissimus est siquidem divinitus loquentium sermo, et ipso melle dulcior his qui ex animo Deum impensissime diligunt; qui jure suo Christo omnium nostrum Salvatori dicere queunt : « Quam dulcia faucibus meis eloquia tua! super mel ori meo [42]. » Istis itaque montibus sub intelligentiam cadentibus, qui nondum crediderunt, propinquent, dixerit quispiam, secundum convenientiam, et affectionem spiritualem scilicet, et invenient requiem. Illico enim onus peccati quo gravabantur, deponent, tametsi secundum legem vivendo quietem nullam habuerunt : siquidem verum est illud, litteram recedere, spiritum autem prævalere. Audiant ergo Judæi et a nobis ipsis : « Surge, et vade, quoniam non est tibi hæc requies. » Quia enim non habes in lege requiem, vade, et per fidem ad disciplinam Christi transmigra.

A σαίων ἑπόμενοι γνώμαις οὐ προσίεντο τὴν πίστιν. Ὄρη μὲν γὰρ ὥσπερ καὶ οἱ παρ' αὐτοῖς ἦσαν διαφανέστεροι, καὶ τοῖς τῆς ἱερωσύνης αὐχήμασιν ὑψοῦ τε ἠρμένοι, καὶ εἰς λῆξιν ἥκοντες δόξης. Ἀλλ' ἦν ἐκεῖνα πρόσκαιρα· πέπαυται γὰρ ἡ σκιὰ, πεπαλαίωται δὲ ὥσπερ ἡ ἐν τύποις λατρεία, ἤργησε δὲ καὶ τὸ ἱερὸν τὸ τηνικάδε γένος, ὄρη γὰρ ἀνεδείχθη λοιπὸν τὰ αἰώνια, τουτέστιν, οἱ τῆς νέας Διαθήκης κήρυκές τε καὶ διάκονοι, οἱ τὸ Χριστοῦ λαλοῦντες μυστήριον, οἱ διαβόητοι, καὶ περιφανέστατοι, καὶ τοῖς τῆς ἀρετῆς ὑψώμασι διαπρέποντες. Ὄρη γὰρ αὐτοὺς καὶ δι' ἑτέρου προφήτου κατονομάζει Θεὸς, οὕτω λέγων· « Καὶ ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν, καὶ πάντες οἱ βουνοὶ σύμφυτοι ἔσονται. » Γλυκὺς γὰρ λίαν τῶν θεηγόρων ὁ λόγος, καὶ αὐτοῦ μέλιτος ἡδίων τοῖς γε ἀληθῶς φι- B λοθεωτάτοις, οἷς ἂν εἴη καὶ πρέπον εἰπεῖν τῷ πάντων ἡμῶν Σωτῆρι Χριστῷ· « Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου. » Τούτοις δὴ οὖν ἄρα τοῖς νοητοῖς ὄρεσιν οἱ οὕπω πεπιστευκότες, εἴπῃ τις, γένοιντο πλησίον, κατὰ σχέσιν δηλονότι τὴν πνευματικὴν, καὶ εὑρήσουσι τὴν ἀνάπαυσιν. Ἀποφορτοῦνται γὰρ εὐθὺς τὴν ἐπισκήψασαν ἁμαρτίαν, καίτοι μηδεμίαν ἀνάπαυσιν ἔχοντες ἐν τῇ κατὰ νόμον ζωῇ, εἴπερ ἐστὶν ἀληθὲς, ὡς τὸ γράμμα ὑποχωρεῖ, τὸ δὲ πνεῦμα πλεονεκτεῖ. Οὐκοῦν ἀκουόντων Ἰουδαῖοι καὶ πρός γε ἡμῶν αὐτῶν· « Ἀνάστηθι, καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις. » Ἐπειδὴ γὰρ οὐκ ἔχεις ἐν νόμῳ τὸ ἀναπαύεσθαι, βάδιζε, καὶ μεταχώρησον διὰ πίστεως εἰς τὰ Χριστοῦ παιδεύματα.

413 *Propter immunditiam corrupti estis corruptione.*

XXV. Immunditiam nominat absurdam, et exsecrandam, et infamem idololatriæ contaminationem : vere enim turpis et indecens est. Similiter alius modus est sordium et immunditiæ : « Circumvenire in negotio fratres [43], » rapere aliena : et alio item modo sordida est iniquitas, qua nocetur multis. Propter hanc igitur immunditiam perilstis, inquit, corruptione in mortem misere consumpti. Perierunt etiam fidei quæ in Christo est oppugnatores, nec ob aliud nisi ob immunditiam. Hoc nobis Christus ipse, incredulos Judæos alloquens, affirmat : « Amen, amen dico vobis, nisi crediderit quia ego sum, moriemini in peccatis vestris [44]. » An hoc non est, « Propter immunditiam corrupti estis corruptione? » Nec enim abluerunt crimina, nec veteribus delictis expiati, a Christo salutem sunt consecuti, sicut qui fidem receperunt.

C *Ἕνεκεν ἀκαθαρσίας διεφθάρητε φθορᾷ.*

ΚΕ'. Ἀκαθαρσίαν δέ φησιν τὸν τῆς ἐκτόπου καὶ βδελυρᾶς εἰδωλολατρείας δυσκλεᾶ μολυσμὸν, αἰσχρὰ γάρ ὄντως, καὶ ἄκοσμος. Τρόπος δὲ αὖ βύπου τε καὶ ἀκαθαρσίας ἕτερος, τὸ « Πλεονεκτεῖν ἀδελφοὺς, ἁρπαγμα ποιεῖσθαι τὸ ἀλλότριον, » καὶ ἡ καθ' ἕτερον τρόπον κατὰ πολλῶν ἀδικία. Ταύτης δὴ οὖν ἕνεκα τῆς ἀκαθαρσίας, φησὶ, διολώλατε, φθορᾷ τῇ εἰς θάνατον ἀθλίως κατεφθαρμένοι. Διολώλασι δὲ καὶ οἱ τῆς ἐν Χριστῷ μαχόμενοι πίστει, καὶ οὐχὶ ἑτέρου του χάριν, ἀλλ' ἢ ἕνεκεν ἀκαθαρσίας. Σαφὲς δὲ τοῦτο ἡμῖν καταστήσει λέγων αὐτὸς ὁ Χριστὸς πρὸς τοὺς ἀπιθοῦντας Ἰουδαίους· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, D ἐὰν μὴ πιστεύσητε ὅτι ἐγὼ εἰμὶ, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Ἢ οὐχὶ τοῦτό ἐστι τὸ « Ἕνεκεν ἀκαθαρσίας διεφθάρητε φθορᾷ; » Οὐ γὰρ ἀπενίψαντο τὰ ἐγκλήματα· οὔτε μὲν τῶν ἀρχαίων αἰτιαμάτων ἀπηλλαγμένοι τῆς παρὰ Χριστοῦ μετέλαχον σωτηρίας, καθὼς καὶ οἱ τὴν πίστιν εἰσδεδεγμένοι.

Fugistis, nemine persequente.

XXVI. Sponte ac libenter, inquit, sustinuistis captivitatem, sive fugam ad extraneos, ac procul dubio etiam ad hostes. Nemine enim ingruente aut cogente, ipsi ea, et quidem perstudiose, agere præoptarunt, per quæ necesse fuit vel invitos puniri. Fugerunt porro et Judæorum catervæ, nemine

Κατεδιώχθητε, οὐδενὸς διώκοντος.

ΚΖ'. Αὐθαίρετον, φησὶ, ὑπομεμενήκατε τὴν αἰχμαλωσίαν, ἤτοι τὴν φυγὴν τὴν εἰς ἀλλοτρίους, ἔξιλου δὲ ὅτι καὶ πρὸς ἐχθρούς. Ἐγκειμένου γὰρ οὐδενὸς, ἢ ἐπαναγκάζοντος, αὐτοὶ τετιμήκασι τὸ δρᾶν ἐκεῖνα, καὶ μάλα ἐσπουδασμένως, δι' ὧν ἦν ἀνάγκη καὶ οὐχ ἑκόντας κολάζεσθαι. Κατεδιώχθησαν δὲ καὶ τῶν Ἰου-

[41] Amos, IX, 13. [42] Psal. CXVIII, 103. [43] I Thess. IV, 6. [44] Joan. VIII, 24.

Digitized by Google

δαίων τὰ στίφη, διώκοντος οὐδενός. Ἐξὸν γὰρ αὐτοῖς εὐημεροῦντας διατελεῖν, καὶ ἐν παντὶ κεῖσθαι καλῷ τετιμηκότας Χριστὸν, κατώλισθον εἰς ἀπόστασιν, καὶ προσκεκρούκασι πολυτρόπως· ἀπειθοῦντες, ὑβρίζοντες, καὶ τί ἂν οὐχὶ τῶν ἀτόπων δρῶντες, καὶ λέγοντες; Οὐκοῦν οὐδενὸς διώκοντος ἑαυτοὺς διώξωμεν, καὶ τῶν ἀνηκέστων κακῶν ταῖς ἰδίαις ψυχαῖς παραίτιοι γεγονότες, αἰτιασόμεθα μὲν οὐχ ὁσίως ἔτι τὸν τῶν ὅλων δοτῆρα Θεὸν, ἑαυτοὺς δὲ μᾶλλον, εἴπερ ἐσμὲν ἐν καλῷ καὶ νοῦ καὶ φρενός.

A persequente. Nam cum possent in statu felici consistere, perfruique bonis omnibus, si Christum colerent, eum respuentes, multimodis peccaverunt, increduli, contumeliosi, et quid non improbe dicentes facientesque? Itaque nullo persequente, nos ipsos persequamur, et malorum insanabilium animabus nostris auctores facti, ne inique universorum datorem Deum accusemus, sed nos ipsos potius, si quidquam bonæ mentis et judicii habemus.

Πνεῦμα ἔστησε ψεῦδος. Ἐστάλαξέν σοι εἰς οἶνον, καὶ εἰς μέθυσμα.

ΚΖ'. Τοῖς τῶν εἰδώλων τεμένεσι προσιζήσαντές τινες τῶν ἐν Σαμαρείᾳ κατεμαντεύοντο πολυτρόπως, καὶ τῶν ἐσομένων ἀκριβῆ τὴν κατάληψιν ἔχειν ὑποπλαττόμενοι, τὰ θυμήρη καὶ φίλα τοῖς προσιοῦσιν ἀπήγγελλον, ψυχρὰ καὶ ἀπόπτυστα ζητοῦντες λήμματα, καὶ ὀλίγων ὀβολῶν, ἢ κλάσματος ἄρτου, κατὰ τὸ γεγραμμένον, ψευδῆ πωλοῦντες ῥήματα. Τοῦτο δὴ μάλιστα κατέφθειρέ τε καὶ ἀπολώλεκε τὸν Ἰσραήλ. Φησὶ οὖν, ὅτι πνεῦμα πονηρὸν ὡς παγίδα τῷ Ἐφραΐμ ἔστησε ψεῦδος, καὶ ὥσπερ τι τῶν δηλητηρίων φαρμάκων ἐνεστάλαξαν οἴνῳ τὴν δαιμονιώδη πλάνησιν, καὶ ταῖς εἰς πᾶν ὁτιοῦν τῶν αἰσχίστων εὐκαίροις ἀφορμαῖς μονονουχὶ καταμεθύοντα δέδειχεν αὐτόν.

B

Ἐνεστάλαξε δὲ καὶ τοῖς Φαρισαίοις ὁ πονηρὸς δράκων, ὁ ἀποστάτης τὴν ἐπὶ Χριστῷ ψευδοδοξίαν, καὶ ἔκτοπον πλάνησιν. Ποτὲ μὲν γὰρ ἔφασκον· « Εἰ ἦν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος, οὐκ ἂν ἔλυε τὸ Σάββατον· » ποτὲ δὲ καὶ Σαμαρείτην, καὶ μέν τοι καὶ πάροινον ἀποκαλεῖν ἀπετόλμων. Καὶ εἴπερ ἐστὶν ἀληθὲς, « Ὡς οὐδεὶς λέγει ἀνάθεμα Ἰησοῦ, εἰ μὴ ἐν Βεελζεβοὺλ, » πῶς οὐ ταλαίπωρον ἰδεῖν, ὅτι δὴ μάλιστα παρ' αὐτοῖς πνεῦμα ἔστησε τὸ ψεῦδος; Κατεστάλαξε δὲ καὶ εἰς νοῦν αὐτῶν καὶ καρδίαν, τὴν διὰ πλανήσεως λήθην αὐτοῦ, ἐφ' ἧς δικαίως καὶ ἀπολώλασι, θηριοπρεπῶς ἐπιθρώσκοντες παντὶ θράσει, καὶ δυσφημίᾳ μαχόμενοι.

C

Ver. 11. *Spiritus statuit mendacium. Stillavit tibi in vinum et in ebrietatem.*

XXVII. Idolorum fanis quidam Samaritanorum assidentes, vaticinabantur multimodis, et futurorum plenam cognitionem se habere fingentes, grata et jucunda accedentibus nuntiabant, lucella et aversanda lucra quærentes, paucisque obolis, aut fragmento panis, ut scriptum est [48], mendacia vendentes. Hoc potissimum corrupit ac perdidit Israel. Ait igitur, spiritum malignum 414 Ephraimo tanquam laqueum posuisse mendacium, et tanquam venenatorum pharmacorum quidpiam instillasse vino, seductionem dæmoniacam, et ad quidvis turpissimum commodis occasionibus quasi ebrium reddidisse.

Instillavit autem etiam Pharisæis malignus et apostata draco falsam opinionem et absurdum errorem de Christo. Aliquando enim dicebant : « Si hic homo esset a Deo, non solveret Sabbatum [49]. » Aliquando et Samaritanum, et vinolentum vocare audebant. Et, si verum est : « Neminem dicere anathema Jesu, nisi in Beelzebub [50], » quomodo non miserum est videre, apud eos potissimum spiritum statuisse mendacium? Instillavit etiam in mentem et cor eorum ejus oblivionem, per errorem quo eos decepit, in qua et juste perierunt, ut feræ bestiæ irruentes, et summa audacia, ac maledicentia belligerantes.

Καὶ ἔσται σοι ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου. Συναγόμενος συναχθήσεται Ἰακώβ. Σὺν πᾶσιν ἐκδεχόμενος ἐκδέξομαι αὐτοὺς, τοὺς καταλοίπους τοῦ οἴκου Ἰσραήλ. Ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτῶν.

ΚΗ'. Κατὰ βραχὺ πρὸς αὔξησιν ἰόντα τὰ φαῦλα, καὶ ἐν ὀλίγοις ἀνθήσαντα τὴν ἀρχὴν, καταδράττεταί πως ἀεὶ καὶ τῶν ἔτι πλειόνων, ἐπέκεινά τε τῶν ἐν ἀρχαῖς ἐκτείνεται μέτρων. Ἴδοι δ' ἂν τις ἀτρεκὲς ὃ λέγω, τὰ συμβεβηκότα τῷ Ἐφραΐμ εἴπερ νοεῖν ἔλοιτο λεπτῶς. Πρῶτος μὲν γὰρ Ἱεροβοὰμ, καί τινες τῶν ὁμοφρόνων αὐτῷ τὰς δαμάλεις τοῖς τεμένεσιν ἐνιδρύσαντες, προσκεκυνήκασιν αὐταῖς, καὶ τῶν ἀνοσίων ψευδομάντεων, ἦγουν ψευδοπροφητῶν προσεσχήκασι λόγοις. Εἶτα διέρποντος τοῦ κακοῦ, καὶ ἀεὶ τοῖς πρώτοις προστιθέντος ἕτερα, συνήχθη λοιπὸν, καὶ συνεδράμηκεν ὅλως εἰς ἕνα σκοπὸν ὁ Ἰσραὴλ, καὶ τῷ πλημμελήματι κάτοχος ἦν, καὶ οὐκ ἀνὰ μέρος τι, παμπληθεὶ δὲ μᾶλλον καὶ ὁλοτρόπως. Οὐκοῦν ἀπὸ τῆς

D

Ver. 12. *Et erit tibi de stilla populi hujus. Congregatus congregabitur Jacob. Cum omnibus expectans expectabo ipsos reliquos domus Israel. In idipsum ponam aversionem eorum.*

XXVIII. Mala sensim aucta et principio in paucis pullulantia serpunt, semperque proxima quæque corripiunt, et ultra primos terminos proferuntur. Quod ex eventis Ephraim verum esse quispiam animadvertat, si rem apud se considerare exactius voluerit. Primus enim Jeroboam, et nonnulli eadem mente et sententia præditi, vitulis per templa constitutis adorationem adhibuerunt, et impiis ac falsis vatibus, sive pseudoprophetis, auscultarunt. Postmodum, malo progrediente et prioribus semper alia addente, Israel ad unum scopum concurrens sese penitus aggregavit, et peccato non in parte aliqua, sed universe et omnimodis constringendum se tradidit. Itaque a stilla, inquit, quam ipsis stillabit mendaciloquorum prophetarum sermo

[48] Prov. xxiii, 1. [49] Joan. ix, 16. [50] I Cor. xii, 3.

Digitized by Google

(quamplurimi quippe apud Ephraim hanc consuetudinem habebant), congregabitur universus Jacob, hoc est, in unam sententiam adducetur, et morbus omnia occupabit. Ego vero ipsos ob hoc non sigillatim puniam, sed exspectare malo eos qui jam corruptis accesserint. Hoc enim sibi vult, « Exspectans exspectabo reliquos Israel. » Et tunc, tunc, inquam, simul ab omnibus avertar.

σταγόνος, φησὶ, ἧς ἂν αὐτοῖς καταστάξειεν ὁ τῶν ψευδομάντεων ὁ λόγος, πλεῖστοι γὰρ ὅσοι παρὰ τῷ Ἐφραΐμ οἱ τοῦτο δρᾷν εἰωθότες, συναχθήσεται, φησὶ, σύμπας ὁ Ἰακὼβ, τουτέστιν, εἰς μίαν συνενεχθήσεται γνώμην, κατανεμηθήσεται δὲ ἅπαντα ἡ νόσος. Ἐγὼ δὲ αὐτοῖς οὐκ ἀνὰ μέρος ἐποίσω τὰς διὰ τοῦτο δίκας, περιμενῶ δὲ μᾶλλον τοὺς τοῖς ἤδη κατεφθαρμένοις ἐπενηνεγμένους. Τοῦτο γάρ ἐστι τὸ, « Ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ Ἰσραήλ. » Καὶ τότε δὴ, τότε μίαν ποιήσομαι τὴν κατὰ πάντων ἀποστροφήν.

415 Esto hoc etiam tolerantiæ Dei argumentum, non statim multantis, sed benigne procrastinantis, emendationemque et errantium conversionem exspectantis. Quæ si non sequatur, sed morbum potius augescere appareat, tum demum et cunctando avertitur. A quibus autem avertitur, eos omnino esse miseros oportet. Quare et divinus David psallit : « Ne avertas faciem tuam a me, et ne declines in ira a servo tuo [48]. » Sciendum porro Beelzebub falsam et sinistram de Christo opinionem Scribis et Pharisæis instillasse, et morbum quodammodo possedisse omnes, principumque fallaciis reliquam multitudinem inescatam. Quocirca et unam, damnationis videlicet et aversionis, sententiam subeuntes, pro delictorum gravitate pœnas dabunt.

Ἔνδειξις δὲ καὶ τοῦτο ἂν εἴη ἐνούσης ἀνεξικακίας Θεῷ, μὴ κολάζοντος εὐθὺς, ὑπερτιθεμένου δὲ χρηστῶς, καὶ τὴν ἐπανόρθωσιν περιμένοντος, καὶ τῶν πλανωμένων τὴν ἐπιστροφήν. Εἰ δὲ δὴ μὴ γένοιτο, φαίνοιτο δὲ μᾶλλον εἰς αὔξην ἰὸν τὸ ἀῤῥώστημα, τότε δὴ μάλιστα, καὶ ὀκνηρῶς ἀποστρέφεται. Ἕψεται δὲ πάντως ταῖς ἀποστροφαῖς τὸ χρῆναι ταλαιπωρεῖν, τοὺς τοῦτο παθόντας. Τοιγάρτοι καὶ ὁ θεσπέσιος ψάλλει Δαβὶδ · « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. » Ἰστέον δὲ, ὅτι ἔσταξεν ὥσπερ τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις ὁ Βεελζεβοὺλ τὴν ἐπὶ Χριστῷ ψευδῆ καὶ ἀπαίσιον δόξαν, κατενεμήθη δὲ ὥσπερ καὶ ἅπαντας ἡ νόσος, καὶ συνδεδράμηκε ταῖς τῶν ἡγουμένων ἀπάταις ἡ ἑτέρα πληθύς. Τοιγάρτοι καὶ μίαν ὑπομενηκότες ψῆφον, τὴν εἰς κατάκρισιν λέγω, καὶ ἀποστροφὴν, ἰσοπαλεῖς τοῖς ἡμαρτημένοις ἀποτίσουσι δίκας.

416 perrumpentes, et cum ipsis ducibus se in-

VERS. 13. *Sicut oves in tribulatione. Quasi grex in medio cubilis sui exsilient ex hominibus per diversionem ante faciem eorum. Diviserunt, et transiverunt portam, et exiverunt per eam. Et egressus est rex eorum ante faciem eorum, quia Dominus dux fuit eorum.*

Ὡς πρόβατα ἐν θλίψει. Ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτοῦ ἐξαλοῦνται ἐξ ἀνθρώπων διὰ τῆς διακοπῆς πρὸ προσώπου αὐτῶν. Διέκοψαν, καὶ διῆλθον πύλην, καὶ ἐξῆλθον δι' αὐτῆς. Καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν, ὅτι Κύριος ἡγήσατο αὐτῶν.

XXIX. Consueverunt sancti prophetæ sæpenumero etiam videre quo pacto olim evenient quæ ab ipsis prænuntiantur, et ea quasi præsentia et reipsa intueri, quæ multis post temporibus patebunt. Ut beatus propheta Isaias, quæ Christo eventura essent enarrans, atque ad salutarem passionem euntem oculis ipsis propemodum aspiciens, « Sicut ovis ad occisionem ductus est, inquit, et sicut agnus coram tondente se obmutuit [49]. » Interrogat autem, quodammodo clavorum loca contemplans, et ait ad illum, fortasse Dominum nostrum Jesum Christum : « Quid sunt plagæ istæ in medio manuum tuarum? » Respondet ipse : « Quibus plagatus sum in domo dilecti mei [50]. » Divinus autem Jeremias cum bellum urbi Hierosolymitanæ prædixisset, jamque magnam Judæorum multitudinem prostratam videret, prophetico spectaculo videlicet, ingemiscit et exclamat : « Heu mihi, quoniam defecit anima mea [51] ! » Sic item beatus propheta Michæas futurum in civitatibus Samariæ tumultum, consternatosque jam complures, alios fugientes, murosque ac fossas transilientes, et ipsos hostium globos portas

Κθ'. Ἔθος τοῖς ἁγίοις προφήταις καὶ ἐν θεωρίαις αὐταῖς γίνεσθαι πολλάκις, τῶν ὡς ἐσονται κατὰ καιροὺς προαπηγγελμένων, μονονουχὶ δὲ παρόντα τε καὶ ἐνεργούμενα βλέπειν, τὰ καὶ πολλοῖς ὕστερον ἐξετασθησόμενα χρόνοις. Οἷον ὁ μακάριος προφήτης Ἡσαΐας τὰ περὶ Χριστοῦ διηγούμενος, μονονουχὶ δὲ καὶ ἀποκομιζόμενον βλέπων ἐπὶ τὸ σωτήριον πάθος· « Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. » Ἐρωτᾷ δὲ ὥσπερ τοὺς τῶν ἥλων τόπους καταθεώμενος, καί φησι πρὸς αὐτὸν, τάχα που τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· « Τί αὗται αἱ πληγαὶ ἀνὰ μέσον τῶν χειρῶν σου; » Ὁ δὲ εἶπεν· « Ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου. » Ἰερεμίας γε μὴν ὁ θεσπέσιος τὸν ἐσόμενον κατὰ τῆς Ἱερουσαλὴμ προαναφωνήσας πόλεμον, καὶ πληθὺν ἤδη τῶν Ἰουδαίων πολλὴν κειμένην ἰδὼν, ὡς ἐν θεωρίαις δὲ δηλονότι ταῖς προφητικαῖς, κατοιμώζει λέγων· « Οἴμοι ἐγὼ, ὅτι ἐκλείπει ἡ ψυχή μου, ἐπὶ τοῖς ἀνῃρημένοις. » Οὕτω καὶ ὁ μακάριος προφήτης Μιχαίας, ἔοικέ πως, ὁρᾷ τὸν ἐν ταῖς πόλεσι τῆς Σαμαρείας ἐσόμενον θόρυβον, πτοουμένους τε ἤδη πολλοὺς, φεύγοντας δὲ ἑτέρους τείχη τε καὶ τάφρους ὑπερθέοντας, καὶ αὐτὰ τὰ τῶν πολε-

[48] Psal. LXXXVII, 15. [49] Isa. LIII, 7. [50] Zachar. XIII, 5, 6. [51] Jerem. IV, 31.

Digitized by Google

μίων στίφη διαῤῥηγνύντα μὲν πύλας, εἰσχεόμενα δὲ δι' αὐτῶν τοῖς κρατοῦσιν ὁμοῦ, μονονουχὶ Θεοῦ προασπίζοντος, καὶ τοῖς ἐξ αἵματος Ἰσραὴλ ἐπιθήγοντος, ὡς λελυπημένου. Οὐκοῦν οὕτω, φησὶ, καταπτοηθήσονται, ὡς ἂν εἰ καὶ πρόδατον ἐν θλίψει γένοιτο τυχὸν, ἦγουν ὅλον ποίμνιον, εἰ κοιτάζοιτο μὲν ἐν τόποις, εἶτά τινες βούλοιντο λαβεῖν, ἄνω τε καὶ κάτω πηδῶντα τὰ θρέμματα καταθεῶτό τις ἂν, καὶ εἴπερ ἂν γένοιτο διακοπὴ, δι' αὐτῆς ἰόντα. Οὕτω, φησὶ, κἀκεῖνοι, καθ' ὧν ἂν ἴοι τῶν Βαβυλωνίων ὁ πόλεμος. Διακόπτοντες δὲ καὶ πύλας, ὁρώντων αὐτῶν, ἤτοι πρὸ προσώπου αὐτῶν εἰσελεύσονται καὶ ἐξελεύσονται δι' αὐτῶν, τουτέστιν, ἀμογητὶ, καὶ δίχα φόβου παντὸς εἰσελεύσονται τὰς πόλεις, αὐτὸν ἔχοντες ἡγούμενον τὸν τῶν Ὅλων Κύριον, ὅτι μὴ τῆς ἐκείνων ἰσχύος ἔργον ἦν τὸ κρατῆσαι τοῦ Ἰσραὴλ, ἀλλὰ παραδόντος Θεοῦ. Ταῦτα συμφῆναί φαμεν, καὶ τοῖς εἰς αὐτὸν πεπαρῳνηκόσι τὸν Ἐμμανουήλ. Πεπόρθηνται γὰρ αἱ παρ' αὐτῶν πόλεις τε καὶ κῶμαι Οὐεσπασιανοῦ τε καὶ Τίτου κρατούντων τότε, καὶ τὸν θεῖον ἐπ' αὐτοῖς πληρούντων θυμόν.

A fundentes, tantum non Deo pro illis propugnante, et adversum Israelitas, ut exacerbato, eos acuente, quodammodo aspicere videtur. Itaque sic pavescent, velut si ovis forte in tribulatione esset, aut totus grex cubaret in locis suis; deinde quidam velleut eum abducere, sursum et deorsum exilientes pecudes cerneret, et, si fieret divisio, si daretur transitus, per ipsam incedentes. Perinde, inquit, illi quibus arma Babylonii inferent. Dividentes autem portas, spectantibus ipsis, sive ante faciem eorum, ingredientur et egredientur per eas, hoc est, sine labore et sine timore omni ingredientur in urbes, ipsum universitatis Dominum ducem habentes, quoniam non eorum roboris opus erat Israelem subigere, sed permittentis, et eos tradentis Dei. Hoc contigisse autumamus etiam iis qui in Emmanuelem debaechati sunt. Vespasiano enim et Tito victoribus, divinæque in ipsos iræ morem gerentibus, eorum urbes ac vici devastati sunt.

B

ΚΕΦΑΛ. Γ'.

Καὶ ἐρεῖ· Ἀκούσατε δὴ ταῦτα, αἱ ἀρχαὶ οἴκου τοῦ Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ. Οὐχ ὑμῖν ἐστι τὸ γνῶναι, τὸ κρῖμα; οἱ μισοῦντες τὰ καλὰ, καὶ ζητοῦντες τὰ κοπρὰ, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν, καὶ τὰς σάρκας αὐτῶν ἀπὸ τῶν ὀστέων αὐτῶν; Ὃν τρόπον κατέφαγον τὰς σάρκας τοῦ λαοῦ μου, καὶ τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν ἐξέδειραν, καὶ τὰ ὀστέα αὐτῶν συνέθλασαν, καὶ ἐμέρισαν ὡς σάρκας εἰς λέβητας, καὶ ὡς κρέα εἰς χύτραν· οὕτως κεκράξονται πρὸς τὸν Κύριον, καὶ οὐκ εἰσακούσεται αὐτῶν· καὶ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ ἀπ' αὐτῶν ἐν τῷ καιρῷ ἐκείνῳ, ἀνθ' ὧν ἐπονηρεύσαντο ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν ἐπ' αὐτούς.

CAP. III.

VERS. 1-4. *Et dicet : Audite igitur hæc, principatus domus Jacob, et reliqui domus Israel. Nonne vobis est scire judicium, qui odistis bona, et quæritis mala, diripientes pelles eorum ab ipsis, et carnes eorum ab ossibus eorum? Sicut devoraverunt carnes populi mei, et pelles eorum ab ipsis excoriaverunt, et ossa eorum confregerunt, et diviserunt sicut carnes in lebetes, et sicut carnem in ollam : sic clamabunt ad Dominum, et non exaudiet eos, et avertet faciem suam ab eis in tempore illo, eo quod impie egerunt in adinventionibus suis super ipsos.*

C

Λ'. Τοῖς πολεμοῦσι τὸν Ἰσραὴλ ἀνοιγνὺς τὰς πύλας, ὁ πάντα καταλεαίνων αὐτοῖς, καὶ τὰ δυσχερῆ καταστρέφων, ὡς ἂν δύναιντο λοιπὸν δι' εὐκαιρίας ἰέναι πολλῆς, καὶ ἀκονιτὶ καταδράττεσθαι τῶν ἀνθεστηκότων, ὁ ἡγούμενος αὐτῶν Κύριος αὐτός. « Καὶ ἐρεῖ τοῖς ἄρχουσι, καὶ τοῖς καταλοίποις τοῦ λαοῦ· » τὸ, Ἐρεῖ, τέθεικεν ἀντὶ τοῦ, προσδιαλεχθήσεται. Καὶ τοῖς μὲν διέπουσι τὰς ἀρχὰς ἐγκαλεῖ τὸ ῥᾴθυμον, καὶ ὅτι τῶν ὑπὸ χεῖρα κατημεληκότες, ὄλεθροι γεγόνασι, καὶ φθόροι. Τοῖς γε μὴν ὑπεστραμμένοις, καὶ ταῖς τῶν κρατούντων δυστροπίαις ἡπατημένοις, οὕτω δίδωσι νοεῖν, ὅτι τῶν εἰς αὐτοὺς ἕνεκα πλημμελημάτων ἀπορῥίπτεται δίκη τοῖς ἡμαρτηκόσι. Κήδεται γὰρ καὶ τῶν πλανωμένων ὁ τῶν ὅλων δημιουργὸς, ὁ κτίσας τὸν ἄνθρωπον ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς καὶ « Προητοίμασεν, ὡς θεσπέσιος γράφει Παῦλος, ἵνα καὶ περιπατῶμεν ἐν αὐτοῖς. » Τί τοίνυν; φησὶν· « Οὐχ ὑμῖν ἐστι τὸ γνῶναι τὸ κρῖμα; » Κρῖμα δέ φησιν ἤτοι τὴν ἐπ' αὐτοῖς γεγενημένην ὁσίαν τε καὶ ἀμώμητον ψῆφον, ἦγουν τὴν κρίσιν· πρέποι δ' ἂν ἐν τούτοις νοεῖσθαι τὴν τοῦ κρίματος εἴδησιν οὐχ ὡς ἐν μαθήσει μόνον; τί γὰρ ἂν τοῦτο τοῖς ἐκείνα πεπλημ-

XXX. Qui oppugnantibus Israelem portas reserat, et omnia illis complanat, et molesta tollit, ut de cætero multa commoditate procedere et citra laborem potiri resistentium queant, dux illorum est Dominus ipse. « Et dicet principibus, et reliquis populi. » Dicet, posuit pro, alloquetur. Et magistratus quidem gerentibus socordiam exprobrabit, quodque neglectis quos in ditione habebant, pestes et perditores eorum facti **417** sint. Subditos autem et principum perversitatibus seductos ita monet, propter peccata in ipsos admissa, supplicium reis immissum iri. Curat enim et errantes universorum opifex, qui condidit hominem propter opera bona, quæ, ut a divino Paulo scriptum est [88], « Præparavit Deus, ut ambulemus in eis. » Quid igitur? inquit, « Nonne vobis est scire judicium? » Judicium vocat, seu super ipsis latam justam inculpatamque sententiam; seu judicationem. Convenit autem in his intellig judicii notitiam, non cognitionis tantum : quid enim istud illorum peccatorum reis nocuisset? aut quomodo impietatem alligatis ægre fecisset? sed quatenus experiundo ipsi qui peccare solent pœnas futuras

D

[88] Ephes. II, 10.

Digitized by Google

puniteribus persolventes, tunc demum et potestatis quam illi habent magnitudinem, et Dominicorum judiciorum vim cognoscere dicuntur. Necesse est igitur, inquit, vos potissimum per eventura discere judicium : vos, semper ad mala inclinatos, studium boni nullum capessentes; vos quæ mea sunt atrocem et sævum in modum invadentes, atque ab immanissimis feris nihil distantes, oves excoriantes, carnes dilacerantes, nihilque parcendo concidentes, et tanquam in ollis coquentes. Per hæc porro avaritiæ, inexplebilis cupiditatis et dominationis, seu tyrannidis, genus omne significat. Quoniam autem hæc fecerunt, et ipsi clamabunt, inquit; et neque inspectione mea illos dignabor : neque si clamaverint misericordiam implorantes, eam illis impertiam. Maligne enim subjectos et ipsi tractarunt, et omne genus improbitatis, acerbarumque et impiarum adinventionum molitionumque in eos exprompserunt.

ἐπιδοίην ἄν. Κατεπανουργεύσαντο γὰρ αὐτοὶ τῶν πονηρίας, πικρῶν τε καὶ ἀνοσίων εὑρέσεων, καὶ

Hæc eadem aptissime ad Scribas et Pharisæos transferas licet. Qui populorum duces, et gregum præfecti in gregarios simul, velut in oves, impotenter insiluerunt, in fideles Christi scilicet, quos tantum non excoriantes discerpserunt, et sanctos comederunt, immitibus bestiis nihil mitiores. Quamobrem etiam audierunt, per Isaiæ vocem ita loquente Deo : « Cum extenderitis manus vestras ad me, avertam oculos meos a vobis : et cum multiplicaveritis obsecrationem, non exaudiam vos. Manus enim vestræ sanguine plenæ sunt [53]. »

418 VERS. 5. *Hæc dicit Dominus super prophetas, qui seducunt populum meum, qui mordent in dentibus suis, et prædicent super eos pacem, et non sit data in ore eorum, excidaverunt super eum prælium.*

XXXI. Accusabat vehementer Israelitas, ut qui sponte se in exitium præcipitassent, et semetipsos in miserias ultro conjecissent, desidiaque et languore multo tenerentur. Addebat item graviter multatos, semper ipsos decipiente, et in fraudem impellente nequam et impuro dæmone. Sic autem aiebat : « Propinquate montibus æternis. Surge, et ambula, quoniam non est tibi hæc requies. Propter immunditiam corrupti estis corruptione. Fugistis nemine persequente. Spiritus statuit mendacium. Stillavit tibi in vinum et in ebrietatem [54]. » Hanc ob causam imperium in populum sortitus non leviter objurgavit. At nunc opportune ad prophetas et vates ipsorum sermonem dirigit, qui propemodum quæ a maligno immundoque dæmone habebant, in vinum ipsis instillabant, mendacia et imposturas videlicet. Sic jam quasi quadam ebrietate implicitos, a sanitate mentis deturbabant. Mordebant enim, nec parum lædebant, persuadentes servientibus suis, eos

μεληκόσι διελυμήνατο; ἢ πῶς ἂν λελύπηκε τοὺς ἠσεβηκότας; ἀλλ' ὡς διὰ πείρας αὐτοὶ τῶν συμβησομένων ἀποτίνοντες τοῖς κολάζουσι δίκας, οἱ πλημμελεῖν εἰωθότες, τότε δὴ, τότε μανθάνειν λέγονται καὶ τῆς ἐνούσης αὐτοῖς ἐξουσίας τὸ ὑπερφερὲς, καὶ δεσποτικῶν κριμάτων τὴν δύναμιν. Ἔστι δὴ οὖν ἀναγκαῖον ἡμᾶς δὴ μάλιστα, φησὶ, διὰ τῶν συμβησομένων τὸ κρῖμα μαθεῖν· ὑμᾶς, τοὺς ἀεὶ μὲν τοῖς φαύλοις προσκεκλιμένους, ἀποσπουδάζοντας δὲ τὸ ἀγαθόν· ὑμᾶς τοὺς ἀγρίαν τινὰ, καὶ ἀνήμερον κατὰ τῶν ἐμῶν πραγμάτων ποιουμένους τὴν ἔφοδον, καὶ τοῖς τῶν θηρίων ἀπηνεστάτοις παραχωροῦντας οὐδέν, τοὺς ἀποδέροντας μὲν τὰ πρόβατα, καταξαίνοντας δὲ τὰς σάρκας, καὶ καταμερίζοντας ἀφειδῶς, καὶ οἷον ἕψοντας διὰ χύτρας. Σημαίνει δὲ διὰ τούτων πᾶν εἶδος πλεονεξίας, ἁπληστίας τε καὶ δυναστείας. Ἐπειδὴ δὲ ταῦτα δεδράκασι, καὶ αὐτοὶ κεκράξονται, φησί· καὶ οὔτ' ἂν ἐποπτείας ἀξιώσαιμι τῆς παρ' ἐμαυτοῦ· οὔτ' ἂν εἰ κεκράξειαν αἰτοῦντες τὸν ἔλεον, ὑπεζευγμένων καὶ πᾶν εἶδος αὐτοῖς ἐπενηνόχασι ἐγχειρημάτων.

Ἐφαρμόσαι δ' ἄν τις τὰ τοιαῦτα καὶ μάλα εἰκότως τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις. Οἱ λαῶν ἡγούμενοι, καὶ ποιμνίων προεστηκότες, τοῖς ἀγελαίοις ὁμοῦ καθάπαρ τισὶ προβάτοις, ἐπέθρωσκον ἀφειδῶς τοῖς πιστεύουσι εἰς Χριστὸν, μονονουχὶ δὲ καὶ ἐκδέροντες κατεμέριζον, καὶ κατεδηδόκασι τοὺς ἁγίους θηρῶν ἀγρίων διενεγκόντες οὐδέν. Τοιγάρτοι καὶ ἤκουον προαναφωνοῦντος Θεοῦ διὰ φωνῆς Ἡσαΐου· « Ὅταν τὰς χεῖρας ἐκτείνητε πρὸς μὲ, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ' ὑμῶν· καὶ ἐὰν πληθύνητε δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν. Αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις. »

Τάδε λέγει Κύριος ἐπὶ προφήτας, τοὺς πλανῶντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν τοῖς ὀδοῦσιν αὐτῶν, καὶ κηρύσσοντας ἐπ' αὐτῶν εἰρήνην, καὶ οὐκ ἐδόθη εἰς τὸ στόμα αὐτῶν, ἡγειραν ἐπ' αὐτὸν πόλεμον.

ΛΑ'. Κατητιᾶτο λίαν τοὺς ἐξ Ἰσραὴλ ὡς ἑθελουσίων μὲν ἀνατλάντας ὄλεθρον, σφᾶς δὲ αὐτοὺς αὐτοκελήτως ἐνιέντας κακοῖς, καὶ πολὺ βλέποντας εἰς τὸ ῥᾴθυμον. Προσετίθει δὲ, ὅτι καὶ ἠδίκηται σφόδρα, τοῦ πονηροῦ, καὶ ἀκαθάρτου δαίμονος ἀεὶ φενακίζοντος, καὶ ἀπατῶντος αὐτούς. Ἔφη δὲ οὕτως· « Ἐγγίσατε ὄρεσιν αἰωνίοις. Ἀνάστηθι, καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις. Ἕνεκεν ἀκαθαρσίας διεφθάρητε φθορᾷ. Κατεδιώχθητε, οὐδενὸς διώκοντος. Πνεῦμα ἔστησε ψεῦδος. Ἐστάλαξέ σοι εἰς οἶνον, καὶ μέθυσμα. » Ταύτης ἕνεκα τῆς αἰτίας ἐπέσκηψε μὲν οὐ μετρίως τοῖς καθηγεῖσθαι λαχοῦσι. Μεθίστησι δὲ νυνὶ χρησίμως τοὺς λόγους ἐπὶ τοὺς ὄντας παρ' αὐτοῖς ψευδοπροφήτας τε καὶ μάντεις, οἳ μονονουχὶ καὶ εἰς οἶνον αὐτοῖς κατεστάλαξαν, τὰ ἐκ τοῦ πονηροῦ τε καὶ ἀκαθάρτου δαίμονος, ψευδοπείας δὲ δηλονότι, καὶ φενακισμοὺς, οὕτω τε λοιπὸν οἷά τινι μέθῃ περιβεβληκότες ἐξίστησαν λογισμοῦ τοῦ σώφρονος. Ἔδακνον μὲν γὰρ, καὶ οὐ μετρίως ἠδίκουν, ἀναπεί-

[53] Isa. I, 15. [54] Mich. II, 10, 11.

Digitized by Google

θοντες τοῖς παρ' αὐτοῖς προσκεῖσθαι λόγοις, καὶ οὐχὶ δὴ μᾶλλον τοῖς παρὰ Θεοῦ διὰ προφητῶν ἁγίων. Κατεψεύδοντο δὲ, λέγοντες, ὡς καταβιώσονται μὲν ἐν εἰρήνῃ, καὶ εὐημερίαις, παρενοχλήσει δὲ ὅλως τῶν ἀνιᾶν πεφυκότων οὐδέν. Ἀλλ' ἦν αὐτοῖς ὁ εἰς τοῦτο λόγος οὐ παρὰ Θεοῦ. Οὐ γὰρ ἂν ἀκαθάρτοις ἐδόθη γλώτταις τὸ χρῆναι λαλεῖν τὰ οὕτω λαμπρά τε καὶ ἀξιώληπτα. Ἐπειδὴ δὲ ἀναπεπείκασι προσέχειν αὐτοῖς, ἤγειραν ἐπ' αὐτοὺς πόλεμον, οὐκ αὐτοὶ τοὺς Ἀσσυρίους εἰς τοῦτο διανιστῶντες ποθὲν, καταθήγοντες δὲ μᾶλλον ἐπ' αὐτοὺς τὴν ὁσίαν ὀργήν. Ὅτι γὰρ ἐκείνοις προσεσχήκασιν ἐπενήνεκται δικαίως καὶ τὰ ἐκ τοῦ πολέμου κακά.

Ἔγκλημα δὴ τοῦτο τῶν ὅτι μάλιστα καὶ ἀληθῶν, καὶ πρεπωδεστάτων τοῖς ἀρχιερεῦσι καὶ Φαρισαίοις, οἷς ἡ ἄθλια τῶν Ἰουδαίων πληθὺς κατακολουθήσασα διόλωλέ τε καὶ κατεφθάρη· γέγονε γὰρ δυσσεβὴς, καὶ κυριοκτόνος.

Διὰ τοῦτο νὺξ ὑμῖν ἔσται ἐξ ὁράσεως, καὶ σκότος ὑμῖν ἔσται ἐκ μαντείας. Καὶ δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας, καὶ συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα.

ΛΒ'. Ἐπειδὴ γὰρ, φησὶν, ἐσταλάξατε τὸ ψεῦδος εἰς οἶνον, καὶ μέθυσμα τῷ λαῷ, καὶ κατεδάκνετε μὲν ὡς θῆρες, εὐηγγελίζεσθε δὲ τὴν εἰρήνην, ψευδοεποῦντες αὐτῷ, καὶ ταῖς τοῦ πολέμου συμφοραῖς ἁλῶναι παρεσκευάσατε, ταύτητοι δικαίως νὺξ ἐφ' ὑμᾶς ἔσται, καὶ σκότος, καίτοι καὶ ὁρᾶν ὑποκρινομένους, καὶ ὥσπερ οἴεσθε κατὰ σφᾶς, ἀριστά τε καὶ ὀψευδῶς τὸ μαντεύεσθαι μεμελετηκότας. Δύσεται γὰρ ὑμῖν ὁ ἥλιος, καὶ αὐτὸ δὲ τῆς ἡμέρας συσκοτάσει τὸ φῶς. Καὶ οὐ δή που φαμεν, ὡς συνέστειλεν ἀληθῶς ἐπ' αὐτοῖς ὁ ἥλιος τὰς αὐγὰς, ἤγουν τῆς ἰδοῦς κατεσκοτίσθη τὸ φῶς, ἀλλ' ὅτι τῆς συμφορᾶς τὸ μέγεθος οἱονεὶ σκότος αὐτοῖς, καὶ νὺξ ἀφεγγὴς, καὶ ἡλιακῆς ἀκτῖνος κατάδυσις, καὶ φωτὸς συστολὴ, καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων γενέσθαι συμβέβηκε. Τὰ γάρ τοι δεινὰ, καὶ ἐξαίσια τῶν κακῶν καταμεθύσκει τὸν νοῦν, καὶ καταθολοῖ τὴν καρδίαν, ἐμπίπλησι δὲ καὶ σκότους.

Φαίη δ' ἄν τις ἀληθῶς, ὅτι καὶ τοῖς Ἰουδαίων δήμοις ἐμπαροινήσασι τῷ Χριστῷ κατέδυ λοιπὸν ὁ ἥλιος νοητῶς, οὐκέτι Θεοῦ καταλάμποντος, οὐκέτι τῆς νοητῆς ἡμέρας διαυγαζούσης αὐτοῖς, ἀλλ' οἷον νυκτὸς κατασκιδναμένης αὐτῶν τῆς πτώσεως. Πεπώρωνται γὰρ, ὡς ὁ Παῦλός φησι, « Καὶ ἡνίκα ἀναγινώσκεται Μωσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται. Φάσκοντες γὰρ εἶναι σοφοὶ, ἐμωράνθησαν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία. » Καὶ ὅτι ταῦτα συμβήσεται παθεῖν αὐτοῖς, προκαταμεμήνυκε λέγων αὐτοῖς ὁ Χριστός· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ ἵνα μὴ σκότος ὑμᾶς καταλάβῃ. » Ἐπειδὴ δὲ τὸ θεῖον οὐ προσίεντο φῶς, τουτέστι, Χριστὸν, κατελήφθησαν ὑπὸ τῆς σκοτίας, καὶ νὺξ αὐτοῖς γέγονεν ἐξ ὁράσεως, κατὰ τὴν τοῦ προφήτου φωνήν. Τοῦτο δὲ αὐτὸ συμβήσεται καὶ τοῖς τῶν αἱρέσεων εὑρεταῖς, οἳ βλέπειν ὑποκρινόμενοι, διατεινόμενοί τε

A assentiri potius quam a Deo per sanctos prophetas profectis. Mentiebantur autem, dicentes, eos in pace et rebus secundis vitam traducturos, nec quidquam triste molestiam illis creaturum. Verum hic eorum sermo non manabat a Deo. Nec adeo splendida et acceptabilia proloqui linguis impuris concessum est. Quoniam vero eos ut sibi obtemperarent permoverunt, bellum in eosdem concitarunt : non quia ipsi Assyrios alicunde huc impulerint, sed quia justam in Israelitas iram Dei incenderunt. Quia namque illis aures dederunt, etiam cladibus bellicis merito cumulati sunt.

Hoc igitur crimen principibus sacerdotum et Pharisæis verissime et rectissime objectum est, quos
B infelix Judæorum populus secutus, impius, et Domini sui interfector evasit, atque ita periit, et occidit.

Vers. 6. *Propterea nox vobis erit ex visione, et tenebræ vobis erunt ex divinatione. Et occumbet sol super prophetas, et contenebrescet super eos dies.*

XXXII. Quoniam enim, inquit, stillastis mendacium in vinum, et ebrietatem populo, **419** et momordistis ut feræ, et annuntiastis pacem mendacium illi loquentes, atque ita belli calamitatibus opportunum effecistis, idcirco jure nox superveniet vobis, et tenebræ, quamtumvis videntium personam induatis, et judicio vestro optime citraque mendacium valicinari studeatis. Occidet enim vobis sol, et
C ipsum diei lumen contenebrescet. Non quod revera sol super ipsis radios suos contraxerit, aut auroræ lumen obtenebratum sit : sed quod calamitatis acerbitas ipsis instar tenebrarum, et obscuræ noctis, et radii solaris occasus, et lucis contractio, et quid non hujusmodi tandem fieri contigit. Dira enim et immensa mala mentem inebriant, et turbulentum reddunt eor, et tenebris implent.

At potest vere dici, Judæorum populo in Christum petulanter injurioso, solem intelligibili quadam ratione occubuisse, Deo non amplius illustrante; sed velut nocte peccati iis effusa. Excæcati sunt enim,
D ut Paulus ait, « Et quando legitur Moses, velamen super cor eorum positum est [86]. Dicentes enim se esse sapientes, stulti facti sunt, et obscuratum est insipiens cor eorum [86]. » Quos talia passuros Christus prædixit : « Dum lucem habetis, ambulate in luce, ne tenebræ vos comprehendant [87]. » Quoniam autem divinum lumen, puta Christum, non admiserunt, comprehensi sunt a tenebris, et nox secundum prophetæ verbum ex visione illis facta est. Idipsum inventoribus hæresum eveniet, qui se videre simulantes, et Christi mysterium penetrare intelligentia posse asseverantes, mentiuntur miseri, fallaciarumque suarum detrimenta simpliciorum cordibus quo-

[86] II Cor. III, 23. [86] Rom. I, 22. [87] Joan. XII, 35.

Digitized by Google

dammodo instillant. Deinde ipsos a dogmatum veritate distrahunt. Erit igitur ipsis ex visione nox, et tenebræ, abibuntque in exteriores tenebras, cum peccaverint in fratres, et percusserint infirmam eorum conscientiam, « pro quibus Christus mortuus est [88]. »

A νοεῖν δύνασθαι τὸ Χριστοῦ μυστήριον, ψευδοεποῦσιν οἱ δείλαιοι, καὶ τὰ ἐξ ἀπάτης βλάβη μονονουχὶ κατα· στάζουσι ταῖς τῶν ἁπλουστέρων καρδίαις. Εἶτα τῶν τῆς ἀληθείας αὐτοὺς ἀποφέρουσι δογμάτων. Ἔσται δὴ οὖν αὐτοῖς ἐξ ὁράσεως νὺξ, καὶ σκότος, κατοιχί·σονται δὴ οὖν εἰς τὸ ἐξώτερον σκότος, ἁμαρτήσαντες εἰς τοὺς ἀδελφοὺς, καὶ τύπτοντες αὐτῶν ἀσθενοῦσαν τὴν συνείδησιν, « ὑπὲρ ὧν Χριστὸς ἀπ·έθανε. »

Vers. 7. *Et confundentur qui vident somnia, et irridebuntur arioli, et obloquentur eis omnes, quia non est exaudiens eos.*

Καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια, καὶ καταγελασθήσονται οἱ μάντεις, καὶ καταλα·λήσουσι κατ' αὐτῶν πάντες αὐτοὶ, διότι οὐκ ἔσται ὁ ἐπακούων αὐτῶν.

XXXIII. Multam enim fore pacem vaticinabantur, et, frigidis quibusdam somniis familiares **420** rapientes, sic afficiebant, ut omnia sibi ad voluntatem fluxura, et quæ optarent omnino eventura crederent. Postquam autem eventum rerum cum eorum dictis pugnare compertum est, et prorsus contra quam speraverant accidit, necessario pro falsidicis, pro assentatoribus et impostoribus damnati sunt; quin etiam tantam ignominiæ labem contraxerunt, ut animum illis advertere nemo vellet. Quomodo enim, aut cur, cum bona quidem loquerentur, seductos autem in improvisam calamitatem, et a bonis speratis quam remotissimam conjicerent?

ΛΓ'. Οἱ μὲν γὰρ ἐμαντεύοντο τὴν εἰρήνην ὡς ἔσται πολλὴ, καὶ ψυχροῖς ὀνειρατίοις τοὺς προσιόν·τας αὐτοῖς συναρπάζοντες διακεῖσθαι παρεσκεύαζον, ὡς βαδιεῖται πάντα κατὰ νοῦν αὐτοῖς, καὶ κρατήσει τὰ ἐν εὐχαῖς. Ἐπειδὴ δὲ οἷς ἔφασκον ἡ πεῖρα μαχο·μένην ἔδειξε τῶν πραγμάτων τὴν ἔκβασιν, καὶ εἰς πᾶν αὐτοῖς τοὐναντίον τὰ τῆς ἐλπίδος ἐκβέβηκε, κατ·εγινώσκοντο λοιπὸν ἀναγκαίως, ὡς ψευδοεπεῖς, ὡς βωμολόχοι τε καὶ φένακες· καὶ δὴ καὶ εἰς τοῦτο δυσκλείας κατώλισθον, ὡς μηδένα βούλεσθαι προσ·έχειν αὐτοῖς. Πῶς γὰρ, ἢ πόθεν, οἵ γε χρηστὰ μὲν ἐλάλουν, ἐμβεβλήκασι δὲ τοὺς ἠπατημένους εἰς ἀδόκητον συμφορὰν, καὶ τῶν ἐλπισθέντων ὡς ἀπω·τάτω;

Vers. 8. *Nisi ego implevero virtutem in spiritu Domini, et judicio, et potentia, ut annuntiem Jacob impietates suas, et Israel peccata sua.*

Ἐὰν μὴ ἐμπλήσω ἐγὼ ἰσχὺν ἐν πνεύματι Κυ·ρίου, καὶ κρίματος, καὶ δυναστείας, τοῦ ἀπαγ·γεῖλαι τῷ Ἰακὼβ ἀσεβείας αὐτοῦ, καὶ τῷ Ἰσραὴλ ἁμαρτίας αὐτοῦ.

XXXIV. Demonstrat penitus, penitusque mentiri oportere falsam prophetiæ opinionem habentes. Qui enim vera loquatur, qui in Deo, qui est veritas, non loquitur [89]? De Cain alicubi Christus ait : « Ille homicida erat ab initio, et in veritate non stetit, quia mendax est, sicut et pater ejus [90]. » Patrem dat illi, mendacii quoque inventorem, nempe Satanam. Ex diabolico autem spiritu, quæ ille suggerit loquentibus mentiendum esse, quinam dubitari potest? Qui vero per Deum loquuntur, illi non possunt non optime loqui, et vera dicere, quoniam in se veritatem habent. Inquit igitur, quomodo sermo quorumdam propheticus non sit mendacii ac deceptorius, si eum per spiritum meum potentia quadam, et justitia, sive judicio non implevero, ut intrepide et fideuter peccatoribus adversetur, eosque redarguat? Opus est enim, ut existimo, de divinis disserentibus audacia virili, eaque plurima. Reprehendunt enim nonnunquam populos totos, atque etiam reges, et vel opibus vel honoribus eminentes, qui potissimum rectoribus morum infesti sunt, et orationem utilitatem apportantium invisam reddunt. Delassati sunt beati prophetæ, imo pericula adierunt, et ira scelerata eorum quos erudiebant nonnunquam in se irritata, varie necati sunt. Flagellati sunt quoque divini discipuli. Nam pleni virtute, et judicio, et justitia in Christo, per fidem in Christum ad Deum Judæorum

ΛΔ'. Δείκνυσιν ὅτι πάντη τε καὶ πάντως ψευδο·επεῖν ἀναγκαῖον τοὺς κατάπλαστον ἔχοντας τὴν τῆς προφητείας δόξαν. Πῶς γὰρ ἀληθεύσειεν ὁ μὴ ἐν Θεῷ λαλῶν, ὅς ἐστιν ἀλήθεια; Περὶ μὲν γὰρ τοῦ Κάϊν ἔφη που Χριστός· « Ἐκεῖνος ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ ἐν τῇ ἀληθείᾳ οὐχ ἕστηκεν, ὅτι ψεύστης ἐστὶ, καθὼς καὶ ὁ πατὴρ αὐτοῦ. » Πατέρα δίζωσιν αὐτῷ τὸν καὶ ψεῦδος ἐξευρηκότα, τουτέστι, τὸν Σα·τανᾶν. Ὅτι δὲ ἀνάγκη, τοὺς ἐκ διαβολικοῦ λαλοῦντας πνεύματος τὰ ἐκείνου λέγοντας ψεύδεσθαι, πῶς ἔστιν ἀμφιβάλλειν; Οἵ γε μὴν διὰ Θεοῦ, πάντη τε καὶ πάντως ἀριστοεποῦσί τε καὶ ἀληθεύουσιν· ἔχουσι γὰρ ἐν αὐτοῖς τὴν ἀλήθειαν. Οὐκοῦν πῶς ἂν γένοιτο, φη·σὶν, οὐ διεψευσμένος παρά τισι τῆς προφητείας ὁ λόγος, εἰ μὴ ἐμπλήσαιμι διὰ τοῦ ἐμοῦ πνεύματος, δυνάμεώς τινος καὶ δικαιοσύνης, ἤτοι κρίματος, ὥστε ἀδεῶς, καὶ τεθαρρηκότως κατεξανίστασθαι τῶν ἁμαρ·τηκότων, καὶ διελέγχειν αὐτούς; Δεῖ γάρ, οἶμαι, τοῖς λαλοῦσι τὰ περὶ Θεοῦ, πλείστης τε δσης καὶ ἀγαθῆς εὐτολμίας. Ἐλέγχουσι γὰρ ἐσθ' ὅτε δήμους τε ὅλους, καὶ μέν τοι καὶ βασιλεῖς, καὶ τοὺς ὄντας ἐν ὑπεροχαῖς, οἳ δὴ μάλιστα τοῖς ἐπανορθοῦν ἐθέλουσιν ἐπιτρίβουσι, καὶ οὐκ οἰστὸν ποιοῦνται τὸν τῶν ὠφε·λούντων λόγον. Κεκμήκασι γὰρ οἱ μακάριοι προφῆ·ται, μᾶλλον δὲ κεκινδυνεύκασι, καὶ ἀνήρηνται πολυ·τρόπως ταῖς τῶν παιδαγωγουμένων ἀνοσίοις ὀργαῖς κατὰ καιροὺς περιπίπτοντες. Ἐμαστίζοντο δὲ καὶ

[88] I Cor. VIII, 11. [89] Joan. XIV, 10. [90] Joan. VIII, 44.

Digitized by Google

οἱ θεσπέσιοι μαθηταί. Πλήρεις γὰρ ὄντες δυνάμεως, καὶ κρίματος, καὶ δικαιοσύνης τῆς εἰς Χριστὸν, προσεκόμιζον τῷ Θεῷ διὰ πίστεως τῆς εἰς Χριστὸν τὰς τῶν Ἰουδαίων ἀγέλας. Ἀλλ' ἔχαιρον αἰκιζόμενοι, καὶ τρυφῶντες τῶν συνεδρίων ἐξήεσαν, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. Ἤδεσαν ὅτι συμπεπονθότες Χριστῷ, καὶ συμβασιλεύσουσιν αὐτῷ.

A coetus adducebant [61]. Verum cæsi gaudebant, et flagella in 421 delicias numerantes, de concilio exibant, quandoquidem digni essent habiti pro nomine ejus contumeliam pati [62]. Sciebant, Christe compassos, etiam cum illo regnaturos.

Ἀκούσατε δὴ ταῦτα, οἱ ἡγούμενοι οἴκου Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραήλ. Οἱ βδελυσσόμενοι κρῖμα, καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες. Οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασι, καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις.

VERS. 9, 10. *Audite hæc, duces domus Jacob, et reliqui domus Israel. Qui abominamini judicium, et omnia recta pervertitis. Qui ædificatis Sion in sanguinibus, et Jerusalem in iniquitatibus.*

ΛΕ'. Ἀγαθὸς ὢν λίαν ὁ Δημιουργὸς, εἶτα τῶν συμβησομένων αὐτοῖς τὸ μέγεθος οὐκ ἠγνοηκὼς, διὰ παντὸς ἔρχεται τρόπου, καὶ πᾶν εἶδος εἰσηγήσεώς τε καὶ ἀπειλῆς εἰσφέρει, εἰ τάχα πως ἂν ἀναπεισθεῖεν οἱ ἡμαρτηκότες, καὶ μετανοεῖν ἔλοιντο τὰ αἴσια μεταμανθάνοντες, καὶ κατορθοῦν ἠρημένοι, τὰ δι' ὧν ἦν εἰκὸς ἀκονιτὶ δύνασθαι διαδρᾶναι τὰ ἐξ ὀργῆς. Εἰδέναι γε μὴν ἀναγκαῖον τὸν φιλομαθῆ, καὶ φιλολογώτατον, ὅτι συνεχὴς μὲν τῶν προφητῶν ὁ λόγος ἐν βιβλίοις τε καὶ συγγραφεῦσι, γέγονε δὲ κατὰ καιροὺς καὶ ἀνὰ μέρος. Ὥστε κἂν εἰ φαίνοιντο ταυτοεποῦντες ἔσθ' ὅτε, ἀλλ' οὖν ἀκόλουθον ἐννοεῖν, ὡς οὐ καθ' ἕνα καιρὸν, ὡς ἔφην, οὔτε μὴν τοῖς αὐτοῖς, τοιάδε προσεφώνουν, μακρῶν δὲ πολλάκις παρεισβεβληκότων διαστημάτων, ἄλλοτε ἄλλοις, καὶ κατὰ καιρὸν προσελάλουν. Ἔδει γὰρ πάντα εἰδέναι τὰ συμβησόμενα, καὶ κοινῆς συμφορᾶς τοῖς ἀνὰ πᾶσαν τὴν γῆν γενέσθαι τὴν προαγόρευσιν. Πρὸς ὑμᾶς δὴ οὖν ὁ λόγος, φησὶ, τοὺς εἰς τοῦτο λοιπὸν ἀφιγμένους ἐμβροντησίας, ὡς βδελύττεσθαι τὸ κρῖμα, τουτέστι, τὴν δικαιοσύνην, καὶ διεστραμμένον ἀποφαίνειν τὸν εἰς εἴδησιν ἀγαθὴν κατορθοῦντα νόμον. Πρὸς ὑμᾶς τοὺς οἰομένους τάχα που ταῖς μιαιφονίαις, καὶ ἀδίκοις αἵμασιν ἀνορθοῦν τὴν Σιὼν, καὶ εὐκλεᾶ, καὶ περίοπτον τὴν Ἱερουσαλὴμ ἀποφαίνειν. Ἀλλ' ἦν ἄμεινον ἐννοεῖν, ὅτι καταστρέφουσι μᾶλλον αὐτὴν, καίτοι τιθέμενοι πρὸς οἰκοδομὴν, καὶ εἰς ἐπανόρθωσιν, ἅτε δὴ καὶ τῶν ποιμνίων προεστηκότες, ἱερεῖς τε καὶ νομοφύλακες παρὰ Θεοῦ τεταγμένοι.

XXXV. Cum sit tam bonus ille opifex, et magnitudinem adversorum casuum qui illos oppressuri sint non ignoret, omnes modos tentat, et omne genus admonitionis comminationisque usurpat, si forte persuadeantur qui peccarunt, et perceptis tandem melioribus agere pœnitentiam non recusent, et ea officia complectentur, per quæ illos citra difficultatem irrogandas ex ira Dei pœnas effugere posse consentaneum esset. Tenendum est porro discendi cupido, et litterarum amantissimo, continentem prophetarum sermonem in Bibliis et historicis sacris expositum, divisis temporibus et sigillatim esse habitum. Itaque etiamsi idem interdum loqui videantur, tamen ratio postulat intelligere, non uno tempore, sicut dixi, neque iisdem talia, sed sæpe, longis spatiis interpositis, alias aliis et pro tempore elocutos. Omnia enim eventura scire conveniebat, communemque calamitatem omnibus per orbem mortalibus prænuntiari. Ad vos itaque sermo est, inquit, qui jam eo stuporis venistis, ut judicium, hoc est, justitiam detestemini, et legem ad scientiam bonam probe ducentem pervertatis. Ad vos, qui cædibus et sanguine per scelus effuso instaurari posse Sion, et Jerusalem inclytam et conspicuam reddi forsitan arbitramini. Sed æquius erat illos cogitare eversores fore potius, quanquam ad ædificationem et emendationem constitutos, velut nimirum et gregum præfectos, sacerdotesque, et custodes legum a Deo lectos.

Καθηρήκασι δὲ ἀληθῶς τὴν Σιὼν ἐν αἵμασιν. Ἀπεκτόνασι γὰρ τοὺς προφήτας, προσέθεσαν δὲ αὐτοῖς καὶ τὸν τῶν ὅλων Δεσπότην, φημὶ δὴ τὸν Χριστόν. Οἰκοδόμοι γὰρ ὄντες τῆς Σιὼν, ἀπεδοκίμαζον αὐτόν· καίτοι Θεοῦ λέγοντος ἐναργῶς· « Ἰδοὺ τίθημι εἰς τὰ θεμέλια Σιὼν λίθον ἐκλεκτὸν, ἀκρογωνιαῖον, ἔντιμον, » καὶ ὁ πιστεύων εἰς αὐτὸν, οὐ μὴ καταισχυνθῇ. Ἀλλ' ὡς ἔφην, οἱ τῆς Σιὼν οἰκοδόμοι τὸν ἐκλεκτὸν, καὶ ἔντιμον ἀπεδοκίμασαν λίθον. « Πλὴν εἰς κεφαλὴν τίθεται γωνίας. » Βεβασίλευκε γὰρ ἐθνῶν, καὶ τῶν ἐκ περιτομῆς ὁ Χριστὸς, οὓς καὶ ἔκτισεν εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην διὰ τοῦ σταυροῦ, καὶ ὥσπερ τινὰ γωνίαν συνείρων εἰς ὁμοψυχίαν ἐν πνεύματι. Γέγραπται γάρ· « Ὅτι τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν καρδία καὶ ψυχὴ μία. » Ἐπειδὴ δὲ σύμμορφοι γεγόνασι δι' ἁγιασμοῦ

Regnavit enim super gentes et circumcisos Christus, quos et in unum novum hominem condidit, faciens pacem per crucem, et quasi unum angulum in concordiam spiritus connectens. Scriptum est enim : « Quia multitudinis credentium cor erat unum et anima una [63]. » Quoniam autem per sanctificationem et fidem summe

[61] Act. v, 26 seqq.; xxii, 1 seqq. [62] Act. v, 41. [63] Isa. xxviii, 16. [64] Matth. xxi, 42. [65] Act. iv, 32.

Digitized by Google

et pretiosissimo angulari lapidi conformes facti sunt, et bene et sapienter divinus Petrus scribit : « Et ipsi tanquam lapides vivi superædificamini domus spiritualis, in templum sanctum, in habitaculum Dei in Spiritu [66]. » Habitat enim Deus in cordibus credentium. Et de ipsis alicubi per os prophetæ dicit : « Inhabitabo in eis, et inambulabo, et ero eorum Deus, et ipsi erunt mihi populus [67]. »

VERS. 11-12. *Duces eorum cum muneribus judicabant, et sacerdotes eorum cum mercede respondebant, et prophetæ eorum cum argento divinabant, et super Dominum requiescebant, dicentes : Nonne Dominus in nobis est? Non venient super nos mala. Idcirco propter vos Sion quasi ager arabitur, et Jerusalem ut pomorum custodia erit, et mons domus in nemus saltus.*

XXXVI. Exsecrandum negotium, et Deo omnium purissimo etiam atque etiam vehementerque exosum, judicium injustum, et acceptio munerum. Scriptum est enim : « Accipientis munera in similibus injuste, non prosperantur viæ [68]. » Adeo enim quidam a detestanda lucri cupiditate superati sunt, ut pervertere justitiam et venumdare veritatem pro nihilo ducant. Quemadmodum autem qui pulverem oculis accipiunt, facultate videndi imbecilliore utuntur : sic et qui in Christo mutilantur aut debilitantur, nihil vident : munera enim, juxta Scripturam, « Excæcant oculos sapientum, et pervertunt verba justorum [69]; » qui vero justitiam adulterant, in divinæ dignitatis sinceram elegantiam injuriosi reperiuntur. Solum quippe Deum decet judicium. Et hoc sciens beatus Moses ait : « Non accipies personam in judicio, quia Dei judicium est [70]. » Ast qui se ad inique judicandum exercet, autem non divinum et altissimum thronum invadit, et in ipsam ineffabilem gloriam se peccare sciat, quæ recte et juste judicare novit. Dei enim judicium est, ut dicebam. Ad hæc nefarium plane est, pietatem quæstus occasionem facere [71], et res divinas acquirendæ pecuniæ viam arbitrari. Video enim quemadmodum inaccusatos haud **423** præterierat prophetam, et sacerdotem, mercedem captantes, ut consulentibus renuntiari juberent, vellentne mercedem et munera afferre. Puto autem pseudoprophetarum, et non prorsus secundum legem, ac vere sacerdotio fungentium : sed qui solerent in tales honores callide irrepere, et gloriam istam pretio sibi comparare, mentionem hic denuo induci. Neque enim sanctus propheta, seu verus sacerdos, hujusmodi delictis animam suam obstringeret. Deinde cum sic peccarent, inquit, super Dominum requiescebant dicentes : « Nonne Dominus est in nobis? Non venient super nos mala. » Erat quidem sine controversia in Israel omnium Dominus ; eruit ipsos e miseriis Ægyptiis, in terram promissionis

καὶ πίστεως τῷ ἀκρογωνιαίῳ καὶ ἐντιμοτάτῳ, καλῶς καὶ σοφῶς καὶ ὁ θεσπέσιος γράφει Πέτρος· « Καὶ ὑμεῖς ὡς λίθοι ἐποικοδομεῖσθε ζῶντες, οἶκος πνευματικὸς εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι. » Κατῴκησε γὰρ ὁ Χριστὸς, ἐν ταῖς τῶν πιστευόντων καρδίαις. Καὶ περὶ αὐτῶν πού φησι διὰ προφήτου φωνῆς, ὅτι « Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός. »

Οἱ ἡγούμενοι αὐτῶν μετὰ δώρων ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῶν μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ προφῆται αὐτῶν μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν Κύριον ἐπανεπαύοντο, λέγοντες· Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; Οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. Διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς ἀγρὸς ἀροτριασθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου ὡς ὕλσος δρυμοῦ.

ΛϚ'. Βδελυρόν τι χρῆμα, καὶ τῶν ὅτι μάλιστα κατεστυγημένων τῷ πανάγνῳ Θεῷ κρίσις ἄδικος, καὶ δωροδοκία. Γέγραπται γὰρ, ὅτι « Λαμβάνοντος δῶρα ἐν κόλποις ἀδίκως οὐ κατευοδοῦνται ὁδοί. » Ἥττηνται γὰρ ὧδέ τινες τῆς ἐπαράτου φιλοκερδίας, ὡς ἡγεῖσθαι παρ' οὐδὲν τὸ παρευθύνειν τὸ δίκαιον, καὶ πιπράσκειν τὴν ἀλήθειαν. Ὥσπερ δὲ κόνιν λαβόντες εἰς ὀφθαλμοὺς ἀτονοῦσαν ἔχουσι τῆς ὀπτικῆς δυνάμεως τὴν ἐνέργειαν, οὕτω κἀκεῖνοι τὴν εἰς Χριστὸν δεχόμενοι πήρωσιν, ὅτι τὰ γὰρ δῶρα « Ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καθὼς γέγραπται, καὶ λυμαίνεται ῥήματα δίκαια· οἱ δὲ δὴ τὸ δίκαιον παρευθύνοντες, τῶν θείων ἀξιωμάτων τὸ εἰλικρινὲς ἀδικοῦσι κάλλος. Πρέπει γὰρ μόνῳ τὸ κρίνειν Θεῷ, καὶ τοῦτο εἰδὼς ὁ μακάριος ἔφη Μωσῆς· « Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν. » Ὁ δὲ κρίνειν ἄδικα μεμελετηκὼς, μονονουχὶ τῶν θείων, καὶ ὑπερτάτων ἅπτεται θρόνων, καὶ εἰς αὐτὴν ἴστω πεπλημμεληκὼς τὴν ἀπόῤῥητον δόξαν, ἣ κρίνειν οἶδεν ὀρθῶς, καὶ δικαίως. Θεοῦ γὰρ ἡ κρίσις, ὡς ἔφην. Πάνδεινον δὲ πρὸς τούτῳ καὶ τὸ κέρδους ἀφορμὴν ποιεῖσθαι τὴν εὐσέβειαν, καὶ πορισμὸν ἡγεῖσθαι τὰ παρὰ Θεοῦ. Ὁρῶ γὰρ ὅπως ἀκαταιτίατον οὐκ ἐᾷ προφήτην, καὶ ἱερέα μισθοφορεῖν ἐθέλοντα, ὡς τοῖς προσιοῦσιν ἀπαγγέλλεσθαι λέγειν, εἰ δὴ προσκομίζειν ἔλοιντο μισθούς τε καὶ δῶρα. Οἶμαι δὲ ὅτι ψευδοπροφητῶν ὁ λόγος διαμέμνηται πάλιν εἰς τὸ παρὸν, καὶ οὐχὶ πάντως ἱερουργούντων ἐκ νόμου, καὶ ἀληθινῶς, ἀλλ' οἷς ἦν ἔθος τὰς τοιάσδε τιμὰς ὑποτρέχειν, καὶ ὠνητὴν ἑαυτοῖς πεποιῆσθαι τὴν δόξαν. Οὐ γὰρ ἂν προφήτης ἅγιος, ἤγουν ἱερεὺς ἀληθῶς, τοῖς τοιοῖσδε πταίσμασι τὴν ἰδίαν ἔνοχον καθίστη ψυχήν. Εἶτα, τοιαῦτα πλημμελοῦντες, φησὶν, ἐπὶ τὸν Κύριον ἐπανεπαύοντο, λέγοντες· « Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστιν; Οὐ μὴ ἐπέλθῃ κακὰ ἐφ' ἡμᾶς. » Ἦν μὲν γὰρ ὁμολογουμένως ἐν τῷ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς, ἐξείλετο δὲ αὐτοὺς τῆς ἐν Αἰγύπτῳ ταλαιπωρίας, εἰσηκεκόμικεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, κρείττους, καὶ ἀλκιμωτέρους ἔδειξεν ἐχθρῶν. Ἀλλ'

[66] I Petr. II, 5. [67] Levit. XXVI, 12; II Cor. VI, 16. [68] Prov. XVIII, 23. [69] Deut. XVI, 19. [70] Deut. I, 7. [71] I Tim. VI, 6.

Digitized by Google

ἔδει που πάντως ἐννοεῖν, ὅτι πλημμελοῦσι δεινῶς, καὶ ἐπὶ τοῖς τοιούτοις ἐκτόποις κατεγνωσμένοις, οὐκ ἂν ἡνέσχετο συνεῖναι Θεός. Ἀσύμβατον γὰρ τῷ βεβήλῳ τὸ ἅγιον, καὶ ἀσυναφὲς τῷ ῥυπουῦντι τὸ καθαρόν. Ὅτι τοίνυν μάταια πεφρονήκασιν, οἰηθέντες, ὅτι κἂν εἰ τῆς φαυλότητος εἶεν ἐργάται, κἂν δρᾷν ἔλοιντο τὰ παντὸς ἐπέκεινα κακοῦ, συνέσται πάλιν αὐτοῖς οὐδὲν ἧττον Θεὸς, ἐξ αὐτῶν ἐπιγνώσεσθαί φησι τῶν συμβησομένων. « Ἀροτριασθήσεται μὲν γὰρ ἡ Σιὼν, » ἔσται δὲ « ὡς ὀπωροφυλάκιον » ἡ διαβόητος Ἱερουσαλὴμ, τουτέστιν, ἠρημωμένη, καὶ κατεστραμμένη. Καὶ αὐτὸ δὲ « τὸ ὄρος τοῦ οἴκου, » τουτέστιν, ὁ ἐφ' ὑψηλοῦ γηλόφου νεὼς, « εἰς ἄλσος δρυμοῦ, » ὅμοιον ὡς εἰ λέγοι, θηρίων ἀγρίων ἐγκύλωμα, καὶ δρακόντων χειαί. Ὥσπερ γὰρ ἐν τοῖς δρεσι, καὶ τοῖς δρυμοῖς κατοικοῦσιν οἱ θῆρες, καὶ τὰ τῶν ἑρπετῶν ἀτίθασσα γένη, οὕτω καὶ ἐν τοῖς ἠρημωμένοις τῶν τόπων, καὶ ἔνθαπερ πολλὰ λίαν φαίνοιντο τὰ συμπεπτωκότα.

Συμβέβηκε δὲ ταυτὶ τοῖς τῶν Ἰουδαίων δήμοις, ὅτι καὶ εἰς αὐτὸν πεπαρῳνήκασι τὸν Ἐμμανουήλ. Τότε γὰρ, τότε διολώλασι παντελῶς, καὶ λίθος οὐ μεμένηκεν ἐπὶ λίθῳ, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ἀρόσιμος δὲ ἡ γῆ καὶ τοῖς γηπονοῦσιν ἐπιτηδεία δέδεικται λοιπὸν ἡ πάλαι σεπτὴ, καὶ ἀξιάγαστος Σιών. Πλὴν ἰστέον, ὅτι Θεὸς ἔσται καὶ ἐν ἡμῖν, οὐ πίστιν ἔχουσι μόνην, οὐδὲ οἷον ἐπ' αὐτὸν ἀναπαυομένοις διὰ τοῦτο, ἀλλ' εἰ προσγένοιτο τῇ πίστει καὶ τὸ ἐξ ἔργων εὐδοκιμεῖν. « Ἡ γὰρ πίστις χωρὶς ἔργων νεκρά ἐστι, » κατὰ τὸ γεγραμμένον. Συνθεόντων δὲ τῶν ἔργων τοῖς τῆς πίστεως ἀγαθοῖς, τότε δὴ, τότε καὶ συνέσται Θεὸς, καὶ ἀναῤῥώσει ῥᾳδίως, καὶ φίλους ἡγήσεται, καὶ ὡς γνησίους εὐφρανεῖ, καὶ παντὸς ἀπαλλάξει κακοῦ.

introduxit, hostibus potentiores ac fortiores ostendit. Cogitare nihilominus oportebat omnino, graviter peccantibus, et ob hujuscemodi nefanda facinora damnatis neutiquam adesse Deum. Inconveniens enim profano sanctum, et intactile sordenti quod purum est. Vanas igitur fuisse cogitationes ipsorum, quamvis cum improbitate commercium haberent, et supra modum nequam esse vellent, nihilominus Deum cum ipsis, ut ante, futurum, ex ipsis eventis cognituros inquit. « Arabitur enim Sion ; » erit autem « ut pomorum custodia » illa laudata Jerusalem, hoc est, desolata et diruta. Et ipse « mons domus, » hoc est, in sublimi colle templum, « in nemus saltus ; » perinde ac si dicat, ferarum agrestium latibula, et draconum speluncæ. Sicut enim in montibus et saltibus habitant belluæ, et serpentium fera genera, sic et in locis ad solitudinem redacti, et ubi multæ parietinæ visuntur.

Jam vero ista Judæorum genti acciderunt, quoniam ipsum quoque Emmanuelem injuriis divexarunt. Tunc enim revera funditus perierunt, nec lapis mansit super lapidem [71], juxta vocem Salvatoris. Et illa veneranda quondam atque admiranda Sion, terra arabilis et rusticationi idonea evasit. Verumtamen sciendum, Deum etiam in nobis fore, non fidem solam habentibus, nec velut in ipso propterea requiescentibus : sed si fidei bonorum quoque operum ornamenta copulaverimus. « Fides enim sine operibus mortua est, » ut scriptum exstat [72]. Operibus autem cum bonis fidei conspirantibus, tunc, tunc et Deus aderit, et facile nos refocillabit, et amicos ducet, et ut legitimos exhilarabit, et ab omni malo liberabit.

ΚΕΦΑΛ. Δ'.

Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος οἴκου Κυρίου, ἕτοιμον ἐπὶ τὴν κορυφὴν τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ σπεύσουσι πρὸς αὐτὸν λαοὶ, καὶ πορεύσονται ἐπ' αὐτὸν ἔθνη πολλὰ, καὶ ἐροῦσι· Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ.

ΑΖ'. Σαφὴς ἐν τούτοις ὁρᾶται λοιπὸν τῆς ἐξ ἐθνῶν Ἐκκλησίας ἡ προαγόρευσις. Ἐκ μέσου γὰρ ὥσπερ γεγενημένου τοῦ κατὰ σάρκα Ἰσραὴλ, καὶ θυσιῶν πεπαυμένων τῶν κατὰ τὸν νόμον, ἠρεμούσης δὲ καὶ ἱερωσύνης τῆς ἐξ αἵματος τοῦ Λευΐ, καὶ αὐτοῦ δὲ λοιπὸν τοῦ διαβοήτου κατεμπρησθέντος νεὼ, καὶ τῆς Ἱερουσαλὴμ καθηρημένης, ἀνέδειξεν ὁ Χριστὸς τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, καὶ ὡς ἐν λοίσθῳ καιρῷ, τουτέστιν ἐπὶ συντελείᾳ τοῦ αἰῶνος τούτου· τότε γὰρ γέγονε καθ' ἡμᾶς. Ὄρος δὴ οὖν ὀνομάζει τὴν Ἐκκλησίαν, « ἥτις ἐστὶν οἶκος Θεοῦ ζῶντος. » Ὑψηλὸν δὲ, ὅτι παντελῶς χθαμαλὸν ἐν αὐτῇ οὐδέν· ἀλλ' αἴρεται

424 CAP. IV.

VERS. 1, 2. *Et erit in diebus novissimis manifestus mons domus Domini, præparatus super verticem montium, et elevabitur super colles, et festinabunt ad eum populi, et ibunt gentes multæ, et dicent : Venite, ascendamus in montem Domini, et in domum Dei Jacob, et ostendent nobis viam ejus, et ambulabimus in semitis ejus.*

XXXVII. In verbis ipsis, jam nunc Ecclesiæ ex gentibus congregandæ prædictio perspicue apparet. Israele enim secundum carnem velut sublato e medio, sacrificiisque in lege præscriptis cessantibus : deserto item sacerdotio familiæ Leviticæ, et ipso demum templo illo fama nobili exusto, et Hierosolyma destructa, Christus Ecclesiam ex gentibus instituit, et velut in novissimo tempore, hoc est, in fine hujus sæculi, tunc enim nostri similis factus est. Montem ergo appellat Ecclesiam, « quæ est domus Dei viventis [73]. » Sublimem vero, quoniam in ea humile ac depressum prorsus nihil est, sed

[71] Luc. XIX, 21. [72] Jac. II, 20. [73] I Tim. III, 15.

Digitized by Google

divinorum dogmatum notitia, sublime tollitur; ipsa præterea vita justificatorum in Christo, et sanctificatorum in Spiritu, alte ædificata est. Non enim reperitur in illis quod in terram pronum spectet, et usque ad brutorum animalium naturam abjectum sit, quod nimirum etiam in iis qui sunt de circumcisione, videre queas : illos enim amor carnalium et turpis quæstus subegit, cædium insuper injustarum, et aliorum quamplurimorum peccatorum damnati sunt. « Qui autem sunt Jesu Christi, juxta vocem divini Pauli, carnem suam crucifixerunt cum vitiis et concupiscentiis [75]. » A desiderio autem cumulandarum opum sic abhorrent, ut libere exclamantes audire possis : « Habentes alimenta, et quibus tegamur, his contenti erimus. Nam qui volunt divites fieri, incidunt in tentationem, et in laqueum diaboli, et desideria multa, et inutilia, quæ mergunt homines in interitum et perditionem [75]. » Tantopere item cædibus abstinent, ut ferientibus in maxillam dexteram præbeant et sinistram [76]. Montem vero et aliter accipere licet, Ecclesiam scilicet cum Græcorum dogmatibus comparatam. Illi namque lapides, et ligna, et ipsam creaturam adorare oportere stolidissime docent. Hæc natura et vere Deum **425** qui totam hanc universitatem architectatus est, et ut bene sit, conservat, et ut Deus, omnium rerum est Dominus, liquido cognosci facit. Elevatum porro montem Domini super montes et colles, esseque præparatum, quasi in loco undequaque conspicuo consitam et positam esse significat. Nam quod in monte positum est, ex omni parte cernitur, oculisque objicitur, et nulli fortasse, quamquam procul absenti, ignotum est. Cupidissime autem ad illam properaturos, propheticus sermo clare demonstrat. Idipsum testatus est, et verum esse probavit eventus. « Festinabunt enim, inquit, ad illum populi, » haud dubium quin ad domus Dominum, ad Christum videlicet. Et quid dicent? « Venite, ascendamus ad montem Domini, et ad domum Dei nostri : et ostendent nobis viam ejus, et ambulabimus in ea. » Audis quomodo quasi hostibus terga dantes inter se hortantur, dicuntque, « ascendamus. » Recte enim et prudenter dixerim, humilitatis et abjectionis Græcorum dogmatum non ignaros, illud Ascendamus exclamare, ut deinceps in altum exsilientes, quod ad cognitiones de eo qui natura et vere Deus est, pertinet. Appetunt porro justitiam, et sitiunt discere viam Domini. Quinetiam perstudiose in ejus semitis ingressuros polliceantur. Quinam autem horum doctores et monitores sint? Qui, nisi discipuli Salvatoris, quibus mandatum est divinitus, ad quos Christus dixit : « Euntes, docete omnes gentes, baptizantes eos in nomine Patris, et Filii, et Spiritus sancti, docentes eos servare omnia quæcunque mandavi vobis [77]? »

μὲν ὑψοῦ τῶν περὶ Θεοῦ δογμάτων τῇ γνώσει, ἀνῴκισται δὲ καὶ αὐτὸς ὁ βίος τῶν ἐν Χριστῷ δεδικαιωμένων, καὶ ἡγιασμένων ἐν Πνεύματι. Οὐ γάρ ἐστιν ἐν αὐτοῖς τὸ χαμαιρριφὲς, καὶ πεπατημένον εἰς ζῶον, καθάπερ ἀμέλει καὶ ἐπὶ τῶν ἐκ περιτομῆς κατίδοι τις ἄν. Οἱ μὲν γὰρ ἥττηνται φιλοσαρκίας, καὶ λημμάτων αἰσχρῶν, ἡλίσκοντο δὲ φονῶντες ἀδίκως, πλείσταις τε ὅσαις καὶ ἑτέραις πλημμελείαις ἔνοχοι. « Οἱ δὲ τοῦ Ἰησοῦ Χριστοῦ, καθώς φησι ὁ θεσπέσιος Παῦλος, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις. » Μεμισήκασι δὲ οὕτω χρῆναι πλουτεῖν, ὥστε καὶ ἀνακεκραγότων ἐκ παῤῥησίας ἐπαΐοι τις ἄν· « Ἔχοντες διατροφὰς, καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν, καὶ παγίδας, καὶ ἐπιθυμίας πολλὰς, καὶ ἀνονήτους, αἵ τινες βυθίζουσι τοὺς ἀνθρώπους εἰς ὄλεθρον, καὶ ἀπώλειαν. » Ἀφεστήκασι δὲ ὧδε τοῦ φονᾶν, ὥστε καὶ τοῖς παίουσιν εἰς τὴν δεξιὰν σιαγόνα, στρέφειν καὶ τὴν ἑτέραν. Ὅρος δ' ἂν νοοῖτο καὶ ἑτέρων ἡ Ἐκκλησία τοῖς Ἑλλήνων παραβαλλομένη δόγμασιν. Εἰ μὲν γὰρ λίθοις, καὶ ξύλοις, καὶ αὐτῇ δὲ τῇ κτίσει χρῆναι προσκυνεῖν ἀσυνετώτατα δογματίζουσιν. Ἡ δὲ καθίστησιν ἐναργῆ τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, ὃς τόδε τὸ σύμπαν διετεκτήνατο, καὶ πρὸς τὸ εὖ εἶναι συνέχει, καὶ ἔστι τῶν ὅλων Κύριος ὡς Θεός. Ἐπῆρθαί γε μὴν τὸ ὄρος Κυρίου ἐπ' ὄρη τε καὶ βουνοὺς, εἶναί τε ἕτοιμον, τὸ οἷον ἐν περιφανείᾳ πολλῇ κεῖσθαί τε καὶ εἶναι διὰ τούτου σημαίνει. Περίοπτον γὰρ τὸ ἐν ὄρει κείμενον, ἕτοιμόν τε λίαν ἰδεῖν, καὶ οὐδενί πω τάχα καὶ τῶν ἀποκειμένων ἀγνοούμενον. Ὅτι δὲ καὶ μάλα προθύμως διάπτειν ἔμελλον ἐπ' αὐτὸ, διαμεμήνυκεν ἐναργῶς τῆς προφητείας ὁ λόγος. Μεμαρτύρηκε δὲ τοῦτο, καὶ ἀτρεκὲς ὂν ἀπέφηνε καὶ αὐτὴ τῶν πραγμάτων ἡ ἔκβασις. « Σπεύσουσι γὰρ, φησὶν, ἐπ' αὐτὸν λαοὶ, » δῆλον δὲ ὅτι τὸν τοῦ οἴκου Δεσπότην, τουτέστι τὸν Χριστόν. Τί δὲ καὶ ἐροῦσι; « Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. » Ἀκούεις ὅτι προτροπάδην ἀλλήλοις διακελεύονται, τὸ « ἀναβῶμεν » λέγοντες. Ὀρθῶς τε καὶ νουνεχῶς· φαίην γὰρ ὅτι τῶν παρ' Ἕλλησι δογμάτων τὸ χθαμαλὸν, καὶ κατερριμμένον οὐκ ἠγνοηκότες τὸ Ἀναβῶμεν λέγουσιν, ὡς ὑψοῦ λοιπὸν ἀναθρώσκοντες, ὅσον ἧκει εἰς ἔννοιαν· ἐπί γε τῷ φύσει, καὶ ἀληθεῖ ὄντι Θεῷ. Γλίχονται δὲ τῆς δικαιοσύνης, καὶ δεδιψήκασι μαθεῖν τὴν ὁδὸν Κυρίου. Καὶ δὴ καὶ ἰέναι κατεπαγγέλλονται, καὶ λίαν ἐσπουδασμένως, ἐν ταῖς τρίβοις αὐτοῦ. Καὶ τίνες ἂν εἶεν οἱ τῶν τοιούτων εἰσηγηταί; Ἢ δηλονότι τοῦ Σωτῆρος οἱ μαθηταὶ, οἷς τὸ θεῖον ἐγχειρίσται πρόσταγμα, πρὸς οὓς ἔφη Χριστός· « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. »

Vers. 3. *Quia de Sion exibit lex, et verbum Do-*

Ὅτι ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος

[75] Galat. v, 24. [75] I Tim. VI, 8, 9. [76] Matth. v, 39. [77] Matth. XXVIII, 19, 20.

Digitized by Google

Κυρίου ἐξ Ἱερουσαλήμ. Καὶ κρινεῖ ἀναμέσον A *mini de Jerusalem. Et judicabit inter populos mul-*
λαῶν πολλῶν, καὶ ἐλέγξει ἔθνη ἰσχυρὰ, ἕως εἰς *tos, et arguet gentes fortes, usque in terram longin-*
γῆν μακράν. *quam.*

ΛΗ'. Αἱ μυρίαι τε καὶ ἀναρίθμητοι τῶν ἐθνῶν ἀγέλαι, αἱ βαδίζουσαι μὲν ἐπ' ὄρος Κυρίου, τουτέστι, τὴν Ἱερουσαλὴμ, γλιχόμεναί τε μαθεῖν τὴν ὁδὸν Κυρίου, καὶ δι' αὐτῆς ἰέναι προθύμως ὑπισχνούμεναι, τὴν αἰτίαν ἐνθάδε φασὶ, τοῦ μὴ θέλειν ἔτι μονονουχὶ τελεῖσθαι τῷ νόμῳ, καὶ προστρέχειν Ἰουδαϊσμῷ. Πρὸ μὲν γὰρ τῆς τοῦ Σωτῆρος ἐπιδημίας, ἔτι τῶν κατὰ τὸν νόμον ἐστώτων ἐθνῶν, προσῄεσάν τινες τῶν πεπλανημένων, καὶ τοῖς τῆς εἰδωλολατρίας κακοῖς ἐῤῥῶσθαι φράζοντες, εἶτα τὴν σάρκα περιτεμνόμενοι, τοῖς τῶν Ἰουδαίων ἔθεσί τε καὶ νόμοις διαζῆν ἐσπούδαζον. Ἀριθμοῦ δὲ κρείττων παρ' αὐτοῖς ἡ τοιάδε πληθύς. Καὶ γοῦν ὁ Σολομὼν, ὅτε τὸν ἐν B τοῖς Ἱεροσολύμοις ἀνορθοῦν ἐσκέπτετο ναὸν, ἑκατὸν καὶ πεντήκοντα χιλιάδας λαοτόμων τε καὶ ἐργατῶν, καὶ τῶν προσηλύτων προεχειρίζετο· γέγραπται γὰρ οὕτως ἐν ταῖς Παραλειπομένοις. Τύπος ἦν ἄρα μυστηρίου τὸ δρώμενον· ἔμελλον γὰρ ἀναδείμασθαι τῷ Θεῷ τὸν ἀληθῆ, καὶ περίοπτον ναὸν, τουτέστι τὴν Ἐκκλησίαν, οὐκ Ἰουδαῖοι δὲ μᾶλλον, ἀλλ' οἱ ἐξ ἐθνῶν, τὸν ἐν τῷ κρυπτῷ περιφέροντες Ἰουδαῖον, καὶ περιτομὴν ἔχοντα οὐ τὴν ἐν σαρκὶ μᾶλλον, ἀλλὰ τὴν ἐν πνεύματι. Οὐκοῦν πρὸ μὲν τῆς ἐπιδημίας προσῄεσάν τινες τῶν εἰδωλολατρῶν, καὶ τοῖς Ἰουδαίων διέζων νόμοις. Ἐπειδὴ δὲ ἀνεδείχθη λοιπὸν τὸ ὄρος τοῦ Κυρίου τὸ περίοπτον ἀληθῶς, ἐπ' αὐτὸ δὴ μᾶλλον ἴενται, χαίροντές τε καὶ λέγοντες· « Ὅτι ἐκ Σιὼν C ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ. » Ἐοίκασι δὲ βούλεσθαι δηλοῦν, κἀκεῖνό που διακεκραγέναι σαφῶς, ὡς ἔρημος ἔσται καὶ αὐτοῦ νόμου Σιὼν, καὶ γυμνὴ τῶν θείων λόγων ἡ Ἱερουσαλήμ. Οἱονεί γάρ πως ἐκπεφοίτηκεν αὐτῶν ὁ δι' ἀγγέλου λαληθεὶς λόγος Θεοῦ. Κατήργηται γὰρ ἡ σκιὰ, καὶ πέπαυται τὰ ἐν τύποις, ἀνῄρηνται δὲ καὶ αἱ θυσίαι, καὶ πάντα λοιπὸν τὰ διὰ Μωσέως συμπεπέρασταί πως, ὅσον ἦκεν εἰς τὸ γράμμα φημί. Ὅτι δὲ ἔμελλεν ὁ Χριστὸς κρίναι τε καὶ διελέγχειν ἔθνη πολλὰ, μονονουχὶ προφητεύουσι, καὶ προαγορεύουσι κρίναι τε καὶ ἐλέγχειν· ὅπως τε, καὶ τίνα τρόπον, εἰπεῖν ἀναγκαῖον. Ἀναπείθων γὰρ τῶν τῆς πλανήσεως ἀπέχεσθαι τρόπων, καὶ καταδεικνὺς ἐναργῶς, ὅτι σπεύδουσιν εἰς ἀπώλειαν, εἰ μὴ ἔλοιντο βιοῦν ὀρθῶς, καὶ τῶν ἀρ- D χαίων πλημμελημάτων ἀπομάττεσθαι τὰ ἐγκλήματα, κρίνει τε καὶ ἐλέγχει τρόπον τινὰ, καὶ οὐχὶ μόνον ἔθνος ἕν, « Ἀλλ' ἕως εἰς μακρὰν γῆν, » τουτέστι, μέχρι τερμάτων τῆς ὑπ' οὐρανόν· πανταχοῦ γὰρ ὁ σωτήριος ὑμνεῖται λόγος. « Κηρυχθήσεται γὰρ, φησὶ, τὸ Εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ. » Ἔοικε δέ τι καὶ ἕτερον ἡμῖν ἰσχνὸν, καὶ κεκρυμμένον μυστήριον ὁ προφητικὸς ὑποφαίνειν λόγος. Ἀφηγεῖται γὰρ ὥσπερ τινὰ δὴ τρόπον οἱ ἐξ ἐθνῶν εἰσδεχθεῖεν ἄν, καὶ τὴν ἀρχαίαν ἐκείνην ἀφέντες πλάνησιν βαδιοῦνται λοιπὸν ἐπὶ τὸ ὄρος τοῦ Κυρίου, τουτέστι, τὴν Ἐκκλησίαν. Ἐκ γάρ τοι, φησὶν, τῆς ἄνω Σιὼν, καὶ

XXXVIII. Immensæ et innumerabiles gentium catervæ, petentes montem Domini, hoc est, Jerusalem, cupientesque discere viam Domini, et per eam se ituras alacriter promittentes, causam hoc loco exponunt cur nolint ultra legis pœnæ vestigales fieri, et ad judaismum accurrere. Ante adventum quippe Salvatoris, stantibus adhuc gentium legibus et institutis, quidam de errori servientibus accedebant, et idololatriæ nocumentis valere jussis, carnemque circumcisi, Judæorum moribus et legibus se dicabant. Talium apud eos innumera multitudo visebatur. Itaque Salomon Hierosolymis **426** templum illud augustum meditans, centum quinquaginta millia lapicidarum, et operarum, proselytorumque delegit : sic enim in Paralipomenis legimus [78]. Sane quod tum agebatur, typus erat et adumbratio mysterii : verum enim et undique spectabile templum, puta Ecclesiam, Deo constructuri erant, non Judæi magis quam qui ex gentibus essent, eum qui in abscondito est Judæum circumferentes : et circumcisionem habentem non illam quæ in carne, sed quæ in spiritu est. Itaque ante adventum quidam idololatræ ad Judæos se conferebant, eorumque legibus vivebant. Ast ubi postea mons Domini, vere conspicuus exhibitus est ac demonstratus, majore ejus cupiditate exarserunt, gaudentes et dicentes, « Quia de Sion exibit lex, et verbum Domini de Jerusalem. » Videntur autem velle significare, et illud non obscure proclamare, et Sion ab ipsa lege desertum, et Jerusalem divinis oraculis nudatum iri. Quodammodo enim ab ipsis abscessit lex, et sermo Dei habitus per angelum. Umbra siquidem evacuata est, et quæ per typos gerebantur, desierunt, sacrificia sublata sunt, et omnia demum Mosaica quantum ad litteram, inquam, simul finita sunt. Quoniam autem Christus judicaturus et redarguturus erat gentes multas, aliquo modo prophetant, et prænuntiant, judicaturum quidem, ac redarguturum; quomodo autem et qua ratione id facturus sit, dicere necesse est. Suadens enim abstinere erroribus, et manifeste ostendens eos properare ad perniciem, nisi velint recte vivere, veterumque peccatorum maculas abstergere, judicat, et redarguit quodammodo, nec unam gentem duntaxat, « Sed usque in terram longinquam, » hoc est, usque ad terminos orbis terrarum : ubique enim salutis verbum prædicatur, « Prædicabitur Evangelium hoc, inquit, in toto mundo [79]. » Videtur autem propheticus sermo adhuc aliud subtile et occultum mysterium subostendere. Narrat enim quasi quo pacto ex gentibus venientes verbum Dei recepturi, desertoque errore antiquo, deinceps ad montem Domini, hoc est, ad Ecclesiam accessuri sint. Nam ex superne Sion, inquit, et Jerusalem quæ sub intelligentiam

[78] II Paral. II, 17. [79] Matth. XXVI, 13.

Digitized by Google

cadit, egredietur lex, et verbum Domini. Devenit enim ad nos de cœlo Verbum Dei, factumque est nobis lex, et legislator, et ipsum « judicabit inter populos multos, et redarguet gentes fortes in terram longinquam. » Quid autem sibi velit, « judicabit, et arguet, » dicam quod mihi in mentem venit. **427** Tyrannidem in omnes exercebat Satanas, et una cum nequam potestatibus suis totum sub sole mundum oppugnabat, omnibusque avaritiæ suæ jugo imposito, mortalium genus a Deo segregabat. Sed apparuit nobis Deus, ut scriptum est [80]; visus est aliquando bonus pastor [81], et seductos ejus aviditati eripuit, seductores condemnavit, et qui nocuerant, eos redarguit, hoc est, principatus et potestates principis mundi sæculi hujus, « Spiritualia nequitiæ, in cœlestibus [82]. » Et hoc nobis Christus ipse manifestat, cum ait : « Nunc judicium est mundi. Nunc princeps hujus mundi ejicietur foras. Et ego, si exaltatus fuero, omnes traham ad me ipsum [83]. » Jus enim dixit populis multis et innumerabilibus, nempe injuste habitis, et justificavit eos in miseratione et fide. Ejecit autem principem hujus mundi, et a dominatu in nos abegit, ut nefarium et homicidam, ut totum orbem sibi vindicare conatum redarguens. Redargutæ sunt cum illo omnino aliæ quoque dæmoniorum gentes, olim infestæ et validæ, nec urbem circumeuntes, sed usque in terram longinquam, hoc est, usque ad fines orbis dispersæ. Terram enim velut distribuerunt, nec mortalium quisquam illorum perversitatem effugere poterat. ἄπειρος.

τῆς νοητῆς Ἱερουσαλὴμ ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου. Καταπεφοίτηκε γὰρ εἰς ἡμᾶς ἐξ οὐρανῶν ὁ τοῦ Θεοῦ Λόγος. Ὃς καὶ γέγονεν ἡμῖν νόμος τε καὶ νομοθέτης, καὶ αὐτὸς « κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν, καὶ ἐλέγξει ἔθνη ἰσχυρὰ εἰς γῆν μακράν. » Τί δ' ἂν βούλοιτο δηλοῦν τὸ, « κρινεῖ, καὶ ἐλέγξει, » κατά γε τὸ εἰς νοῦν ἦκον ἐρῶ. Τετυράννευκε κατὰ πάντων ὁ Σατανᾶς, καὶ ὁμοῦ ταῖς σὺν αὐτῷ δυνάμεσι πονηραῖς τῆς ὑφ' ἥλιον κατεστρατεύετο, καὶ πᾶσιν ἐπιθεὶς τῆς πλεονεξίας τὸν ζυγὸν, ἀπεδουκόλησε Θεοῦ τὸ τῆς γῆς γένος. Ἀλλ' ἐπέφανεν ἡμῖν Θεὸς, κατὰ τὸ γεγραμμένον, ὥφθη λοιπὸν ὁ ἀγαθὸς ποιμὴν, καὶ τῆς μὲν ἐκείνου πλεονεξίας ἐξείλετο τοὺς πεπλανημένους, κατεδίκασε δὲ τοὺς πλανήσαντας, καὶ διήλεγξε τοὺς ἠδικηκότας, τουτέστι, τὰς ἀρχὰς, τὰς ἐξουσίας τοῦ κοσμοκράτορος τοῦ αἰῶνος τούτου, « τὰ πνεύματα τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. » Καὶ τοῦτο ἡμῖν αὐτὸς ὁ Χριστὸς καθίστησιν ἐναργὲς, λέγων· « Νῦν κρίσις ἐστὶ τοῦ αἰῶνος τούτου. Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου ἐκβληθήσεται ἔξω. Κἀγὼ ἐὰν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Δεδίκακε γὰρ πολλοῖς, καὶ ἀναριθμήτοις λαοῖς, δῆλον δὲ ὅτι τοῖς ἠδικημένοις, καὶ δεδικαίωκε μὲν αὐτοὺς ἐν ἐλέῳ, καὶ πίστει. Ἐκβέβληκε δὲ τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου, καὶ τῆς καθ' ἡμῶν ἀπεσόβησεν ἀρχῆς, ἐλέγχων ὡς ἀνόσιον, ὡς ἀνθρωποκτόνον, ὡς πλεονεκτήσαντα τὴν ὑπ' οὐρανόν. Συνηλέγχοντο δὲ αὐτῷ πάντως που καὶ τὰ ἕτερα τῶν δαιμονίων ἔθνη, τὰ πάλαι δεινά τε καὶ ἰσχυρὰ, καὶ οὐ μίαν περιφοιτῶντα πόλιν, ἀλλ' ἕως εἰς γῆν μακρὰν κατεσκεδασμένα, τουτέστι, μέχρι περάτων τῆς ὑπ' οὐρανόν. Διενείμαντο γὰρ ὥσπερ τὴν γῆν, καὶ οὐδεὶς ἦν ὅλως τῆς ἐκείνων δυστροπίας

VERS. 4. *Et concident gladios suos in aratra, et spicula sua in falces, et non ultra tollet gens contra gentem gladium, et nequaquam discent ultra belligerare. Et requiescet unusquisque sub vite sua, et unusquisque sub ficu sua, et non erit qui exterreat, quia os Domini omnipotentis locutum est hæc.*

Καὶ κατακόψουσι τὰς ῥομφαίας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα, καὶ οὐκ ἔτι οὐ μὴ ἄρῃ ἔθνος ῥομφαίαν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. Καὶ ἀναπαύσεται ἕκαστος ὑποκάτω ἀμπέλου αὐτοῦ, καὶ ἕκαστος ὑποκάτω συκῆς αὐτοῦ, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν, διότι τὸ στόμα Κυρίου παντοκράτορος ἐλάλησε ταῦτα.

XXXIX. Omnia in Christo nova facta sunt; et verum dicit Paulus : « In Christo nova creatura, et vetera transierunt [84]. » Transiit enim in melius, et ipsa rerum conditio, non amplius bella, et pugnas patiens, quæ profecto propter omne genus calamitatis quod apportant, nemini non intolerabiliter veniunt. Nam instrumenta belli ad usum operum a rusticis transformari, et unumquemque requiescere, sicut ait propheta, « sub ficu » atque etiam sub « vite sua, » et neminem esse « qui exterreat, » quid aliud nobis indicat, quam altam et perennem pacem, et otium ab armis fore? Quæ temporibus adventus completa sunt. Proinde Christus ipse aiebat : « Pacem meam **428** do vobis [85]. » Quando autem aut quomodo mundo pax contigit? Postquam Romanorum principatus, imperiumque clarissimum orbem terrarum subegit, sub unum jugum

ΛΘ'. Πάντα γέγονεν ἐν Χριστῷ καινά· καὶ ἀληθεύει λέγων ὁ Παῦλος, ὅτι « ἐν Χριστῷ καινὴ κτίσις, καὶ τὰ ἀρχαῖα παρῆλθε. » Μετακεχώρηκε γὰρ ἐπὶ τὸ ἄμεινον, καὶ αὐτὴ ἡ τῶν πραγμάτων κατάστασις, οὐκέτι πολέμους, καὶ μάχας ὠδίνουσα, δύσοιστον ἔχοντα, καὶ παμμόχθηρον ἀληθῶς κατὰ πάντων τὴν ἔφοδον. Τὸ γὰρ μεταπλάττεσθαι μὲν τὰ πολέμου πρὸς ἔργα γηπόνου, καὶ ἕκαστον δὲ ἀναπαύεσθαι, καθώς φησιν ὁ προφήτης, « ὑποκάτω συκῆς ἰδίας, » καὶ μὴν καὶ « ἀμπέλου, » μηδένα τε εἶναι « τὸν δεδιττόμενον, » τί δὴ ἕτερον ἡμῖν ὑποφήνειεν ἄν, ἢ ὅτι βαθεῖά τις ἔσται, καὶ ἄληκτος ἡ εἰρήνη, καὶ καιρὸς ἀπόλεμος; Τετέλεσται δὲ ταυτὶ κατὰ τοὺς ἐπιδημίας καιρούς. Καὶ γοῦν αὐτὸς ἔφασκεν ὁ Χριστός· « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. » Πότε δὲ, ἢ πῶς καὶ ἡ ἐν κόσμῳ γέγονεν εἰρήνη; Ἐπειδὴ γὰρ τῆς ὑπ' οὐρανὸν κατεκράτησε λοιπὸν ἡ τῶν Ῥωμαίων ἀρχὴ,

[80] Tit. III, 4. [81] Joan. X, 11, 17. [82] Ephes. VI, 12. [83] Joan. XII, 31, 32. [84] II Cor. V, 17. [85] Joan. XIV, 27.

Digitized by Google

καὶ εὐκλεεστάτη βασιλεία, συνηνέχθησάν τε καὶ ὑφ' ἕνα ζυγὸν γεγόνασι τὰ ἔθνη πάντα, καὶ κατέληξαν μὲν τοῦ πρὸς ἄλληλα πολέμου, ἐτράποντο δὲ πρὸς τὰ τῆς εἰρήνης ἔργα, δῆλον δὲ ὅτι πρὸς γεωπονίας, ἕκαστοί τε ἀσφαλῶς τὰς ἑαυτῶν οἰκοῦσι πόλεις. Οὔπω μὲν γὰρ τῆς Ῥωμαίων χειρὸς κατακρατούσης αὐτῶν, πόλεμοί τε καὶ ἐξαναστάσεις χωρῶν τε καὶ πόλεων γεγόνασι πανταχοῦ, καὶ προὔκειτο μὲν τοῖς ἐθέλουσιν οὓς ἂν ἕλοιντο καταδῃοῦν, ἄγειν τε καὶ φέρειν τὰ ἑτέρων ὡς νενικηκόσι, καὶ ἦν ἀνάγκη τοῖς τοῦ πολέμου σκεύεσιν ἐνηρμόσθαι καλῶς τοὺς ἐν ἑκάστῃ χώρᾳ τε καὶ πόλει, καὶ μελέτην ποιεῖσθαι τὰ τακτικά, σφίσι τε αὐτοῖς ἐπαμύνειν καὶ τέκνοις. Ἐπειδὴ δὲ ἠδρύνθη λοιπὸν ἡ τῆς βασιλείας ἰσχύς, πέπαυται τὰ τοιάδε, καὶ τοῦ πολέμου τὰ σκεύη σκεπάναι, καὶ δρέπανα, καὶ μήν, καὶ ἄροτρα γεγόνασιν, καὶ εἰς ἕτερα ἅττα τὰ τοιάδε λοιπὸν μετεπλάττοντο.

A gentes universæ conductæ ac devinctæ, et armis vicissim depositis, et ad opera pacis, ad agriculturam videlicet, conversæ sunt, singulique suas urbes tuto habitarunt. Antequam enim sub manu et potestate Romanorum essent, ubique bella fervebant, et regionibus urbibusque mutuo pellebant, licebatque volentibus populando vexare quos liberet, et aliena tanquam victoribus diripere : et cujusque regionis atque urbis indigenas scienter arma tractare, et in militia exerceri, seque liberosque suos defendere oportebat. At ubi postea imperium est corroboratum, ista desierunt, et instrumenta bellica in bipennes, et falces, et vomeres, et aratra migrarunt, et in alia quædam hujusmodi deinceps mutata sunt.

Εἰ δὲ δή τις ἕλοιτο πνευματικῶς τοῖς προκειμένοις προσβαλεῖν, συνήσει πάλιν, ὅτι ἐκ τῆς ἰδίας ἡμῖν ἡμερότητος εἰρήνην βραβεύοντος Χριστοῦ, καὶ καταργοῦντος τὰς ἀρχάς, καὶ τοὺς πάλαι μαχομένους τοῖς ἐθέλουσιν εὐσεβεῖν, κατελήξαμεν δειμάτων, ἔξω τε γεγόναμεν ἐφόδου, καὶ μάχης, τετραμμένοι τε πρὸς γεωργίαν τῶν πνευματικῶν, καὶ τοὺς τῆς δικαιοσύνης καρποὺς συναγείρομεν, ἀναπεπαύμεθά τε λοιπὸν ὑποκάτω συκῆς, καὶ ἀμπέλου. Καὶ συκῆ μὲν ἔσται γλυκύτητος σύμβολον, ἄμπελος δέ γε τῆς νοητῆς εὐφροσύνης. Γλυκὺς γὰρ λίαν τοῦ Σωτῆρος ὁ λόγος, καὶ κατευφραίνειν εἰδὼς καρδίαν ἀνθρώπου, κατὰ τὸ γεγραμμένον. Γλυκεῖα δὲ δὴ πρὸς τούτῳ καὶ εὐφροσύνης ἐπίμεστος ἡ εἰς τὸ μέλλον ἐλπὶς, ἣν ἐν Χριστῷ πεπλουτήκαμεν.

B Quod si quis ista spiritualiter intueri velit, intelliget præterea, Christo ex sua benignitate pacem nobis dispensante, et principatus quique olim pietati deditos lacessebant destruente, terroribus expeditos impressionem, et pugnam evasisse, ad spiritualiumque agriculturam conversos, justitiæ fructus colligere : et in posterum sub ficu et vite requiescere. Ac ficus quidem dulcedinis, vitis gaudii, quod mente cernitur, symbolum esto. Præduleis enim est sermo Salvatoris, et qui noverit exhilarare cor hominis, ut scriptum est [88]. Dulcis item et lætitia plena futurorum spes, qua in Christo ditati sumus.

Ὅτι πάντες οἱ λαοὶ πορεύσονται, ἕκαστος τὴν ὁδὸν αὐτοῦ, ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν εἰς αἰῶνα, καὶ ἐπέκεινα.

C Vers. 5. *Quia omnes populi ibunt, unusquisque viam suam, nos autem ibimus in nomine Domini Dei nostri in æternum, et ultra.*

Μ'. Οἱ σπουδὴν πεποιημένοι τὸ ἀναφοιτᾷν εἰς τὸ ὄρος Κυρίου, καὶ ἀναμανθάνειν ἐθέλοντες τὰς τρίβους αὐτοῦ, τὸ εὐήνιον ἐπαγγέλλονται, καὶ τῆς ἐν Χριστῷ πολιτείας ἀποδέχονται τὰ αὐχήματα, καὶ ὅτι τῶν εἰς εὐσέβειαν σπουδασμάτων παντὶ σθένει μεταποιήσονται, διὰ τούτων ἡμῖν εὖ μάλα κατασημαίνουσιν. Ἕκαστος γάρ, φησὶ, τῶν ἐν πάσῃ χώρᾳ τε καὶ πόλει, ἣν ἂν αὐτὸς ἕλοιτο διαστείχοι τρίβον, διαβιώῃ δὲ αὖ κατὰ τὸ αὐτῷ δοκοῦν, ἢ καὶ εὖ ἔχειν ὑπειλημμένον. Ἡμῖν δὲ φροντὶς ὁ Χριστὸς, καὶ τρίβον ὀρθὴν ποιησόμεθα τὰ αὐτοῦ θεσπίσματα, συμβαδιούμεθα δὲ ὥσπερ αὐτῷ, καὶ οὐχὶ δὴ μόνον εἰς αἰῶνα τὸν ἐνεστηκότα καὶ παρῳχημένον, ἀλλ' ἔτι πολὺ καὶ ἐπέκεινα. Ἀτρεκὴς ὁ λόγος. Οἱ γὰρ νυνὶ συμπάσχοντες, συνελεύσονται διαπαντὸς, καὶ συνδοξασθήσονται, καὶ συμβασιλεύσουσι. Φροντίδα γε μὴν ποιοῦνται Χριστὸν οἱ τῆς εἰς αὐτὸν ἀγάπης προτιθέντες οὐδέν, οἱ καταλήγοντες μὲν τῶν εἰκαίων τοῦ κόσμου περισπασμῶν, ζητοῦντες δὲ μᾶλλον τὴν δικαιοσύνην, καὶ τὸ ἀνδάνον αὐτῷ, καὶ τὸ διαπρέπειν ἐν ἀρεταῖς, ὁποῖός τις ἦν καὶ ὁ θεσπέσιος Παῦλος. Γράφει γοῦν, ὅτι « Χριστῷ συνεσταύρωμαι. Ζῶ δὲ

XL. Qui contendunt ascendere in montem Domini, voluntque discere vias ejus, promptam obedientiam pollicentur, et præclara vitæ in Christo instituta approbant, et se totis viribus in studia pietatis abituros per hæc nobis pulcherrime indicant. Unusquisque enim, inquit, eorum qui in tota regione et civitate **429** sunt, quæ placuerit, via ambulaverit, et pro arbitratu, aut prout ipsi conducere visum fuerit, vitam et mores suos instituerit. Nobis autem curæ est Christus, et ejus oracula viam rectam existimabimus, cum quo velut gradiemur D non in præsenti modo sæculo et præterito, sed multo etiam ulterius. Verus est sermo. Qui enim nunc compatiuntur, semper simul ambulabunt, et conglorificabuntur, et coregnabunt. Curæ autem ac sollicitudini est Christus iis qui ejus dilectioni nihil anteferunt, qui ab inanibus mundi distractionibus desinunt, magisque justitiam quærunt, et quod illi placeat, et excellere virtutibus, qualis et divinus Paulus erat. Scribit igitur, « Christo confixus sum cruci. Vivo autem jam non ego, vivit vero in me Christus [89]. » Et iterum : « Non enim ju-

[88] Jerem. xv, 16. [89] Galat. II, 19, 20.

Digitized by Google

dicavi me aliquid scire inter vos, nisi Jesum Christum, et hunc crucifixum [87]. »

VERS. 6, 7. *In die illa, dicit Dominus, congregabo contritam, et ejectam recipiam, et quos repuleram. Et ponam contritam in reliquias, et repulsam in gentem potentem, et regnabit Dominus super eos in monte Sion ex nunc et usque in sæculum.*

XLI. Spe omni minime excidere posse Israelem, rursum docet. Contritus quidem fuit, et rejectus sive propter plurimam impietatem explosus, utpote adversarius Dei, et idolorum cultor, exsecrandus et profanus, et homicidii criminibus non parum obnoxius. Occiderunt enim prophetas [88], et postremo ipsum universorum Salvatorem et Liberatorem in crucem egerunt; verumtamen propter patres misericordiam et salutem consecutæ reliquiæ [89], factæ sunt in gentem magnam. Etenim multitudinem in Christo justificatorum, gentem maximam intelligi, verum et omnino æquum est. Excellentia autem, et ob quæ in admirationem venire possit, sunt ejus bona animi, et honestamenta cordis, hoc est, sanctificatio, spes in Christum, germana fides, admirabilitas virtutis, stupenda patientia, et regnum esse ipsius Christi, et ipsi adhærere magistro. « Unus enim magister noster Christus [90]. » Ubi autem mortui resurrexerint, « Et nos qui vivimus, qui relinquimur, simul cum ipsis rapiemur in nubibus in occursum Christi in aera : et sic semper **430** cum Domino erimus [91]. » Montem autem Sion supernam Jerusalem appellat, primogenitorum matrem, in qua et una cum Christo erimus.

VERS. 8. *Et tu, turris gregis squalidi, filia Sion. Ad te veniet et ingredietur principatus primus, regnum ex Babylone filiæ Jerusalem.*

XLII. Quæ mansuetudinis opera sunt, his qui labores toleraverunt, nuntiantur. Ait porro se contritam olim suscepturum, et in gentem magnam positurum. Verumtamen accusat interea, et quod prorsus ærumnosa evaserit, contritaque et abjecta sit, utiliter exprobrat. Nam, ut beatus Paulus ait : « Tristitia secundum Deum pœnitentiam in salutem stabilem operatur [92]. » Percutit igitur ex charitate, et quoniam curæ illi non fuit ne quidquam durum et acerbum sponte sua et ultro experiretur, ideo eam objurgatione ferit. Gregis autem squalidi turrim Sion, sive ipsam Jerusalem nominat, veluti cum affectu dicens, et tantum non tristis ejus causa. O Sion, sive Jerusalem, misera filia, o mearum ovium miserum et obscurum habitaculum, exponeris omnino etiam invita inimicis. Veniet enim, veniet, et non multo post tempore, super te regnorum

οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. » Καὶ πάλιν· « Οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον. »

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἐξωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην. Καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος δυνατὸν, καὶ βασιλεύσει Κύριος ἐπ' αὐτοὺς ἐν ὄρει Σιὼν ἀπὸ τοῦ νῦν εἰς τοὺς αἰῶνας.

ΜΑ'. Ὅτι τῆς ἐλπίδος ἥκιστά γε διολισθήσειεν ἂν ὁλοτρόπως ὁ Ἰσραὴλ, ἀποφαίνει πάλιν. Συνετρίβη μὲν γὰρ, γέγονε δὲ καὶ ἀπόπεμπτος, ἤγουν ἀποβέβληται διὰ πολλὴν ἄγαν ἀσέβειαν· θεομάχος γὰρ καὶ εἰδωλολάτρης, βδελυρός τε καὶ βέβηλος ἦν, καὶ τοῖς τῆς μιαιφονίας ἐγκλήμασιν οὐ μετρίως ἐνισχημένος. Ἀπεκτόνασι γὰρ τοὺς προφήτας, εἶτα τελευτῶντες καὶ αὐτὸν ἐσταύρωσαν τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, πλὴν ἠλέηται διὰ τοὺς πατέρας, καὶ σέσωσται τὸ κατάλειμμα, γέγονέ τε καὶ εἰς ἔθνος μέγα. Καὶ γάρ ἐστιν ἀληθὲς, ὡς ἔθνος ἂν νοοῖτο πάμμεγα, καὶ μάλα εἰκότως, ἡ τῶν ἐν Χριστῷ δεδικαιωμένων ἁγία πληθύς. Ἐξαίρετα δὲ αὐτῆς, καὶ τὰ ἐφ' οἷς ἂν ἔχοι τὸ χρῆναι θαυμάζεσθαι, τὰ εἰς νοῦν ἀγαθὰ, τὰ εἰς καρδίαν αὐχήματα, τουτέστιν, ὁ ἁγιασμὸς, ἡ εἰς Χριστὸν ἐλπὶς, τὸ ἐν πίστει γνήσιον, τὸ τεθαυμασμένον ἐν ἀρεταῖς, τὸ ἀξιάγαστον ἐν ὑπομονῇ, καὶ τὸ ὑπ' αὐτοῦ βασιλεύεσθαι τοῦ Χριστοῦ, καὶ αὐτὸν ποιεῖσθαι καθηγητήν. « Εἷς γὰρ ἡμῶν καθηγητὴς ὁ Χριστός. » Εἰ δὲ δὴ καὶ ἐγερθεῖεν οἱ νεκροὶ, « Καὶ ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καὶ οὕτως πάντοτε σὺν Κυρίῳ ἐσόμεθα. » Ὄρος δὲ Σιὼν τὴν ἄνω φησὶ Ἱερουσαλὴμ, τὴν τῶν πρωτοτόκων μητέρα, ἐν ᾗ καὶ αὐτῷ συνεσόμεθα τῷ Χριστῷ.

Καὶ σὺ πύργος ποιμνίου αὐχμώδους, θυγάτηρ Σιών. Ἐπὶ σὲ ἥξει καὶ εἰσελεύσεται ἀρχὴ ἡ πρώτη, βασιλεία ἐκ Βαβυλῶνος τῇ θυγατρὶ Ἰερουσαλήμ.

ΜΒ'. Ἐξαγγέλλεται μὲν τὰ ἐξ ἡμερότητος τοῖς πεπονηκόσιν. Ἔφη δὲ ὅτι κατὰ καιροὺς εἰσδέξεται τὴν συντετριμμένην, θήσει τε αὐτὴν καὶ εἰς ἔθνος μέγα. Πλὴν αἰτιᾶται τῷ μεταξὺ, καὶ ὅτι τεταλαιπώρηκεν ὅλως, συνετρίβη τε καὶ ἀποβέβληται, κατονειδίζει χρησίμως. Ὡς γὰρ ὁ μακάριος ἔφη Παῦλος· « Ἡ κατὰ Θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται. » Πλήττει δὴ οὖν ἐξ ἀγάπης, καὶ ὅτι οὐ μετὴν οὐδενὸς τῶν λελυπηκότων εἰς πεῖραν ἐλθεῖν ἐθελουσίοις εἰς τοῦτο καθικεῖτο ῥοπαῖς. Ποιμνίου δὲ πύργον αὐχμώδους τὴν Σιὼν, ἤγουν καὶ αὐτὴν ὀνομάζει τὴν Ἱερουσαλὴμ, οἱονεί πως ἐν ἤθει λέγων, μονονουχὶ δὲ καὶ ἐπιστυγνάζων αὐτῇ. Ὦ Σιὼν, ἤγουν Ἱερουσαλὴμ, ἀθλία θυγάτηρ, ὦ τῶν ἐμῶν προβάτων ἄθλιον, καὶ ἀφεγγὲς ἐνδιαίτημα, προκείσῃ δὴ πάντως καὶ οὐκ ἐθέλουσα τοῖς ἐχθροῖς. Ἥξει γὰρ, ἥξει, καὶ οὐκ εἰς μακρὰν, ἐπὶ σοὶ τῶν

[87] I Cor. II, 2. [88] Luc. XI, 49-52. [89] Isa. X, 22; Rom. IX, 27. [90] Matth. XXIII, 10. [91] I Thess. IV, 16. [92] II Cor. VII, 10.

Digitized by Google

ἐπὶ γῆς βασιλειῶν ἡ προύχουσα, καὶ εὐσθενεστέρα, τουτέστιν, ἡ Βαβυλωνίων. Πύργον δὲ αὐχμώδη, καὶ σκοτεινὸν ἐνδιαίτημα τὴν Σιὼν ἀποκαλεῖ, ἤτοι τὴν Ἱερουσαλήμ, διὰ τὸ πάντας τοὺς ἐν αὐτῇ οἷον ἐν σκότῳ περιπατεῖν, ἀπὸ τοῦ μὴ βούλεσθαι λύχνον ὥσπερ τινὰ ποιεῖσθαι καὶ φῶς τὸν τοῦ Θεοῦ νόμον, καὶ τὸν παρ' αὐτοῦ φωτισμὸν εἰσδέχεσθαι κατὰ νοῦν. Ἦν γὰρ οὕτω, καὶ οὐχ ἑτέρως, καὶ ἁπλανῆ δύνασθαι διάττειν ὁδὸν, καὶ βόθρον ἀποφοιτᾷν, καὶ διαπηδᾷν ἁμαρτίαν, καὶ τοῖς μεταξὺ περιπίπτουσι μὴ περιπταίειν κακοῖς. A

Ψάλλωμεν δὴ οὖν καὶ ἡμεῖς αὐτοὶ λέγοντες πρὸς τὸν Θεόν· « Φώτισον τοὺς ὀφθαλμούς μου, μή ποτε ὑπνώσω εἰς θάνατον, μή ποτε εἴπῃ ὁ ἐχθρός· Ἰσχυσα πρὸς αὐτόν. » Φωτὶ γὰρ τῷ θείῳ καταυγασμένοι, καὶ τῆς ἄνωθεν παρὰ Θεοῦ σοφίας λαβόντες εἰς νοῦν τὸ σέλας, ἀνάλωτοι μὲν ἐσόμεθα τοῖς ἐχθροῖς, διεκδύνοντες τὰ ἐκ θείας ὀργῆς, ἐν καλῷ δὲ ἐσόμεθα τῆς ἄνωθεν εὐθυμίας, καὶ ἐν Χριστῷ δὴ πάντως εὐημερήσομεν. B

Καὶ νῦν ἵνα τί ἔγνως κακά; Μὴ βασιλεὺς οὐκ ἦν ἐν σοί; ἢ βουλή σου ἀπώλετο, ὅτι κατεκράτησάν σου ὠδῖνες, ὡς τικτούσης; Ὄδινε, καὶ ἀνδρίζου, καὶ ἔγγιζε, θυγάτηρ Σιὼν, ὡς τίκτουσα, διότι νῦν ἐξελεύσῃ ἐκ πόλεως, καὶ κατασκηνώσεις ἐν πεδίῳ, καὶ ἥξεις ἕως Βαβυλῶνος. Ἐκεῖθεν ῥύσεταί σε, καὶ ἐκεῖθεν λυτρώσεταί σε Κύριος ὁ Θεός σου, ἐκ χειρὸς ἐχθρῶν σου.

ΜΓ'. Ἀφίξεται μὲν οὖν ἐπὶ σὲ, φησὶ, ἀρχὴ ἡ πρώτη. Πλὴν τίς ἄρα ἐστὶν ἡ πρόφασις, δι' ἣν τοῖς οὕτω δεινοῖς περιθραύῃ κακοῖς, ἤγουν τοῖς κακοῦν εἰωθόσι, φημὶ δὴ ταῖς τοῦ πολέμου συμφοραῖς; « Μὴ ἄρα σοι βασιλεὺς οὐκ ἦν; » Ἢ οὐ μεμελέτηκας βουλεύεσθαι σοφὰ, καὶ ἀρίστας σὺν σαυτῇ ποιεῖσθαι τὰς σκέψεις; Ὑποπλήττει δὲ πάλιν εὐφυῶς, καὶ κατονειδίζει πλαγίως ὡς καὶ ἀσύνετον κομιδῇ, καὶ θεῷ προσκρούειν οὐ παραιτουμένην. Καὶ τίς ὁ τρόπος, βραχυλογήσας ἐρῶ. Βεβασίλευκε μὲν γὰρ τῶν ἐξ Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς ἐν ἀρχῇ, μεσιτεύοντος τοῦ πανσόφου Μωσέως, εἶτα μετ' ἐκεῖνον Ἰησοῦ τοῦ Ναυῆ παραληφθέντος εἰς στρατηγίαν. Εἶτα διὰ τῶν κατὰ καιροὺς ἀναδεδειγμένων κριτῶν, καὶ μετ' ἐκείνους διὰ τοῦ μακαρίου Σαμουήλ. Ἐχόντων δὲ ὧδε τῶν πραγμάτων αὐτοῖς, καὶ ἐν τάξει τῇ παναρίστῃ κειμένων, πικρὰ καθ' ἑαυτῶν οἱ δείλαιοι πεφρονήκασιν. Ἀποσειόμενοι δὲ τῆς ὑπὸ Θεοῦ βασιλείας τὸν ζυγὸν προσῄεσαν, λέγοντες τῷ μακαρίῳ Σαμουήλ· « Ἰδοὺ σὺ γεγήρακας, καὶ οἱ υἱοί σου οὐ πορεύονται τῇ ὁδῷ σου, καὶ νῦν κατάστησον ἐφ' ἡμᾶς βασιλέα, δικάζειν ἡμᾶς, καθὼς καὶ τὰ λοιπὰ ἔθνη. Καὶ ἦν, φησὶ, πονηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαμουὴλ, ὡς εἶπε· Δὸς ἡμῖν βασιλέα δικάζειν ἡμᾶς. Καὶ προσηύξατο Σαμουὴλ πρὸς Κύριον· καὶ εἶπε Κύριος πρὸς Σαμουήλ· Ἄκουε τῆς φωνῆς τοῦ λαοῦ, καθὼς ἂν λαλήσωσι πρὸς σὲ, ὅτι οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμὲ ἐξουθενήκασι, τῷ μὴ βασιλεύειν ἐπ' αὐτῶν. » Εἶτα τοῦ μακαρίου Σαμουὴλ τὸ δικαίωμα τῆς βασιλείας καταγγέλλοντος C D

terrestrium præcipuum et robustius, nempe Babyloniorum. Turrim autem squalidam, tenebrosum habitaculum Sion, sive Jerusalem nuncupat, quod omnes ejus incolæ velut in tenebris ambulent, quia nolint tanquam lucernam et lumen sibi facere legem Dei, et illuminationem ejus in pectus admittere. Sic enim, et non aliter et tutam ab errore viam currere, et foveam vitare, et transilire peccatum, et in incidentia mala non offendere licebat.

Cantemus itaque et nos, dicentes Deo : « Illumina oculos meos, ne unquam obdormiam in morte, ne quando dicat inimicus meus : Prævalui adversus eum [93]. » Lumine enim divino collustrati, et, superno fulgore sapientiæ divinæ in animum accepto, capi ab hostibus non poterimus, et pœnas iræ divinæ effugiemus : bonum autem supernæ jucunditatis possidebimus, et in Christo plane ex sententia ac feliciter vivemus.

VERS. 9, 10. *Et nunc quare cognovisti mala? Numquid rex non erat in te, aut consilium tuum periit, quia obtinuerunt te dolores ut parturientis? Dole, et viriliter age, et appropinqua,* 431 *filia Sion, ut pariens, quia nunc egredieris ex civitate, et habitabis in campo, et venies usque Babylonem. Inde liberabit te, et inde redimet te Dominus Deus tuus de manu inimicorum tuorum.*

XLIII. Veniet igitur ad te, inquit, principatus primus. At enim quæ est occasio propter quam adeo diris conflictare malis, seu belli calamitatibus, inquam, in quibus est afflictio? « Num igitur tibi rex non erat? » An non studuisti tibi sapienter consulere, et optime providere? Subobjurgat rursum dextere, et exprobrat oblique, ut magnopere insipienti, et Deum offendere non recusanti. Modum breviter declarabo. Regnabat in Israel principio universorum Deus, mediatore et internuntio Mose sapientissimo ; deinde post ipsum Jesu Nave in militiæ ducem assumpto ; postmodum per tempora creatis judicibus, et post illos beato Samuele. Cum res eorum hunc cursum tenerent, et florerent maxime, miseri in semet dire consuluerunt, abjectoque jugo regni Dei, ad beatum Samuelem adierunt cum his verbis : « Ecce tu senuisti, et filii tui non ambulant in viis tuis; et nunc constitue super nos regem, ut judicet nos, sicut et reliquæ habent nationes. Et displicuit sermo in oculis Samuelis, inquit, eo quod dixissent · Da nobis regem qui judicet nos. Et oravit Samuel ad Dominum ; et respondit Dominus Samueli, Audi vocem populi in omnibus quæ loquuntur tibi; non enim te abjecerant, sed me, ne regnem super eos [94]. » Deinde beato Samuele jus regis illis annuntiante, multosque admodum terrores illis incutiente. et ab hujusmodi frivolis et impiis commentationibus acerrime revocante, nihilominus urgenant, dicentes :

[93] Psal. XII, 4, 5. [94] I Reg. VIII, 5, 6.

Digitized by Google

« Non, sed rex erit super nos, et erimus nos sicut et cæteræ gentes, et judicabit nos rex noster, et egredietur ante faciem nostram, et pugnabit bellum nostrum[98]. » Itaque vetera illa et periculosa consilia in memoriam illis redigit, et quodammodo dissimulanter casum eorum irridet, aitque : « Quomodo cognovisti mala ? An non erat tibi rex ? an consilium tuum periit ? » Nonne petivisti regem, inquit, cum diceres : « Egredietur ante faciem nostram, et bellum nostrum bellabit ? » **432** Nonne igitur bene tunc consuluisti ? Ecce rerum eventus consilium tuum quam commodum et necessarium fuerit ostendit. Abjecisti jugum regni Dei. « Ecce obtinuerunt te dolores ut parientis. Dole igitur, et viriliter age, filia Sion. » Rursum morata est oratio. Ait enim : O bona filia, patiens esto ad dolores, dura ad molestias; appropinqua ad partum : hoc est, non longe aberis ab iis quæ expetuntur, sed velut mulier partui vicina jam ejulabis præ doloribus, relictisque urbibus bene munitis, « habitabis in tentorio, in campo, » et manebis, inquit, in solitudine. Venies autem in Babylonem ipsam. Sed enim non penitus consolatione destitutam reliequit : addit enim fuga elapsuram, et a Deo miserante transportatam iri.

Consultissimum igitur sub Deo manere, et cum regem pati, et sibi virtutem, protectorem et auxiliatorem facere, ipsi soli animæ cervicem submittere, ex ejus voluntate vivere, et ipsi placita, ante omnia magni ducere. Quod si hoc non facimus, omnimodis Babyloniorum, qui animo comprehenduntur, jugum sustinebimus, adversarias dico, et immundas potestates, et primum principatum, id est, Satanam, et velut ejecti ex urbe sancta, cujus opifex et conditor Deus est, Babyloniorum habitabimus. In confusione enim, et tumultu erimus, vanæ hujus vitæ distractionibus. Babylon *confusionem* interpretatur.

VERS. 11-13. *Et nunc congregatæ sunt super te gentes multæ, dicentes : Exsultabimus, et inspicient in Sion oculi nostri. Ipsi autem non cognoverunt cogitationem Domini, et non intellexerunt consilium ejus, quia congregavit eos, ut manipulum areæ. Surge, et tritura eos, filia Sion, quoniam cornua tua ponam ferrea, et ungulas tuas ponam æreas, et minues populos multos, et consecrabis Domino multitudinem eorum, et robur eorum Domino universæ terræ.*

XLIV. Non semel diximus, regnum Hierosolymis obtinente Ezechia, Samariæ vastitatem intulisse Senacherib, et cum illa multas quoque Judææ urbes evertisse. Deinde misit ex Lachis Rabsacen, qui adversus gloriam Dei immodice blateravit, quando manu **433** angelica una nocte centum octoginta

[98] I Reg. 19, 20. [99] IV Reg. XIX, 35.

A αὐτοῖς, καὶ πολλοῖς ἄγαν καταπτοοῦντος δείμασιν, ἀφιστάντος τε καὶ μάλα γοργῶς τῶν οὕτω σαθρῶν, καὶ ἀνοσίων σκεμμάτων, οὐδὲν ἧττον ἐπεφύοντο, λέγοντες· « Οὐχὶ, ἀλλ' ἢ βασιλεὺς ἔσται ἐφ' ἡμᾶς, καὶ ἐσόμεθα καὶ ἡμεῖς καθὼς καὶ τὰ λοιπὰ ἔθνη, καὶ δικάσει ἡμᾶς βασιλεὺς ἡμῶν, καὶ ἐξελεύσεται πρὸ προσώπου ἡμῶν, καὶ πολεμήσει τὸν πόλεμον ἡμῶν. » Οὐκοῦν εἰς ἀνάμνησιν αὐτοὺς ἀνάφέρει τῶν ἀρχαίων ἐκείνων, καὶ ἐπισφαλῶν βουλευμάτων, καὶ οἷον κατειρωνεύεται τὸ συμβάν, καί φησι· « Πῶς ἔγνως κακά; Μὴ οὐκ ἦν σοι βασιλεύς; ἢ ἡ βουλή σου ἀπώλετο; » Οὐ βασιλέα, φησὶν, ᾐτήσω, λέγων· « Προπορεύσεται πρὸ προσώπου ἡμῶν, καὶ τὸν πόλεμον ἡμῶν πολεμήσει. » Μὴ ἄρα καλῶς ἐβουλεύσω τότε ; Ἰδοὺ τῶν πραγμάτων τὸ πέρας τὴν σὴν ἔδειξε βουλήν, ὡς ἀρίστη τε εἴη, καὶ ἀναγκαία. Ἀπόβλητον ἐποιήσω τῆς ὑπὸ Θεῷ βασιλείας τὸν ζυγόν. « Ἰδοὺ κατεκράτησάν σου ὠδῖνες ὡς τικτούσης. Ὠδινε οὖν, καὶ ἀνδρίζου, θύγατερ Σιών. » Ἐν ἤθει πάλιν ὁ λόγος. Ὦ γὰρ, χρηστὴ θύγατερ, φησὶ, τλημαθὴς ἔσο πρὸς τὰς ὠδῖνας, διακαρτέρει πρὸς τὰς λύπας, ἔγγιζε τῷ τίκτειν, τουτέστιν, οὐκ ἔσῃ μακρὰν τῶν προσδοκωμένων· ἀλλ' οἷον ἐπίτεξ ἤδη γυνὴ κατολολύζεις ἐκ πόνων, ἀφιεῖσα δὲ πόλεις τὰς εὐπυργοτάτας, « κατασκηνώσεις ἐν πεδίῳ, » καταυλισθήσῃ, φησὶν, ἐν ἐρήμοις. Ἀφίξῃ δὲ καὶ εἰς Βαβυλῶνα αὐτήν. Πλὴν καὶ ἀναφεύξεται, καὶ διακομισθήσεται παρὰ Θεοῦ

B ἀπαράκλητον οὐκ ἐᾷ παντελῶς, προστέθεικε γὰρ, ὅτι κατοικτείροντος.

C Κάλλιστον οὖν ἄρα τὸ ὑπὸ Θεῷ μένειν καὶ βασιλεύεσθαι καὶ αὐτὸν ποιεῖσθαι δύναμιν, ὑπερασπιστήν τε καὶ ἀρωγὸν αὐτῷ, καθυφεῖναι μόνῳ τῆς ψυχῆς τὸν αὐχένα, τοῖς αὐτοῦ θελήμασι βιοῦν, καὶ λόγου παντὸς ἀξιοῦν τὸ αὐτῷ δοκοῦν. Ἢ εἰ μὴ τοῦτο δρῴημεν, πάντη τε καὶ πάντως ὑπὸ νοητοὺς ἐσόμεθα Βαβυλωνίους, ἀντιτεταγμένους λέγω, καὶ ἀκαθάρτους δυνάμεις, καὶ ὑπὸ τὴν πρώτην ἀρχὴν, τουτέστι, τὸν Σατανᾶν, πόλεως δὲ ὥσπερ τῆς ἁγίας ἐξερριμμένοι, ἧς ἐστι τεχνίτης, καὶ δημιουργὸς ὁ Θεὸς, τὴν Βαβυλωνίων οἰκήσομεν. Ἐν συγχύσει γὰρ, καὶ θορύβοις ἐσόμεθα τοῖς εἰκαίοις τοῦ παρόντος βίου περισπασμοῖς. Σύγχυσις ἡ Βαβυλὼν ἑρμηνεύεται.

D *Καὶ νῦν ἐπισυνήχθησαν ἐπὶ σὲ ἔθνη πολλὰ, λέγοντες· Ἐπιχαρούμεθα, καὶ ἐπόψονται ἐπὶ Σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὸν λογισμὸν Κυρίου, καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ, ὅτι συνήγαγεν αὐτοὺς ὡς δράγμα ἅλωνος. Ἀνάστηθι, καὶ ἄλοα αὐτοὺς, θυγάτηρ Σιών, ὅτι τὰ κέρατά σου θήσομαι σιδηρᾶ, καὶ τὰς ὁπλάς σου θήσομαι χαλκᾶς, καὶ λεπτυνεῖς λαοὺς πολλοὺς, καὶ ἀναθήσεις τῷ Κυρίῳ τὸ πλῆθος αὐτῶν, καὶ τὴν ἰσχὺν αὐτῶν τῷ Κυρίῳ πάσης τῆς γῆς.*

ΜΔ'. Πλειστάκις ἤδη προείπομεν, ὅτι τὴν βασιλείαν ἐν τοῖς Ἱεροσολύμοις διέποντος Ἐζεχίου, κατεδῄωσε μὲν τὴν Σαμάρειαν ὁ Σεναχηρεὶμ, πολλὰς δὲ αὐτῇ καὶ τῆς Ἰουδαίας συνήρηκε πόλεις. Εἶτα μετεπέμψεν ἐκ Λαχὶς τὸν Ῥαψάκην, ὃς οὐ μετρίως τῆς θείας κατεφλυάρησε δόξης, ὅτε καὶ ἀπολώλασιν

Digitized by Google

ἐν μιᾷ νυκτὶ ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες ἀγγελικῇ χειρί. Ταυτησὶ τῆς ἱστορίας διαμέμνηται πάλιν. Συνήχθησαν γὰρ ἔθνη πολλὰ κατὰ σοῦ, φησὶ, μονονουχὶ καὶ ἀθύροντα, καὶ ὅσον οὐδέπω κεισομένης κατορχησόμενα. Πλὴν οὐκ ἔγνωσαν ἃ βεβούλευται Θεός. Συνεκομίσθησαν γὰρ ὡσεὶ εἰς ἅλως, καὶ δράγματος δίκην τοῖς σοῖς ὑποκείσονται ποσίν. « Ἀνάστα δὴ οὖν, καὶ ἀλόα αὐτούς, » κέρατα γὰρ ἕξεις σιδηρᾶ, καὶ ὁπλὰς χαλκᾶς, τουτέστι, δυσκαταγώνιστος ἔσῃ, καὶ ἄμαχος τοῖς ἐχθροῖς, μονονουχὶ δὲ καὶ καταπατήσεις τοὺς ἀνθεστηκότας. Ἐπειδὴ γὰρ ἅλω τε καὶ δράγματος πεποίηται μνήμην, τετήρηκε τῇ μεταφορᾷ τὸν πρέποντα τρόπον, καὶ ὡς ἐπὶ μόσχου φησὶ κέρατα, καὶ ὁπλάς, ἐπεὶ οὐκ ἀνθρωπείᾳ χειρὶ δεδαπάνηνται, ἀλλ' ἔργον ἦσαν οἱ κείμενοι τῆς θείας ὀργῆς. Μὴ σαυτῷ, φησὶν, ἀνάψῃς τὰ ἐπὶ τούτοις αὐχήματα, ἀνατίθει δὲ μᾶλλον τῷ Κυρίῳ πάσης τῆς γῆς τό τε πλῆθος αὐτὸ, καὶ τὴν ἰσχὺν τῶν ἀπολωλότων. Ἀλλ' οὗτοσὶ μὲν τῆς ἱστορίας ὁ νοῦς. Θορυβήσει δὲ ἴσως τῶν ἐντευξομένων τινὰς τὸ οὕτως ἀγχίστροφον τῶν προφητικῶν κηρυγμάτων. Ἄρτι μὲν γὰρ ἠκούομεν λέγοντος· « Ἐπὶ σὲ ἥξει, καὶ εἰσελεύσεται ἡ ἀρχὴ ἡ πρώτη βασιλεία Βαβυλωνίων, » καὶ ὁ τῆς αἰχμαλωσίας ἡμῶν ἐγράφετο τρόπος. Εἶτα σεσωσμένην ὁρῶμεν εὐθὺς, καὶ καταπατοῦσαν τοὺς ἐχθρούς. Δεῖ δὴ οὖν ἄρα τῆς τῶν χρόνων εὐδιακρίτου διαστολῆς· ἔσται γὰρ οὕτως ἀσύγχυτος, καὶ σαφὴς τῶν λεγομένων ἡ θεωρία. Ἐζεχίου μὲν γὰρ βασιλεύοντος, ἀνέβη Σενναχηρεὶμ κατὰ τῶν Ἱεροσολύμων. Εἶτα μετὰ Ἐζεχίου θάνατον, τέσσαρες γεγόνασι βασιλεῖς, καὶ πέμπτος Ἰεχονίας. Τότε καὶ πᾶσαν εἶλε τὴν Ἰουδαίαν, καὶ αὐτὰ Ἱεροσόλυμα Ναβουχοδονόσορ, καὶ ἀπεκόμισεν εἰς αἰχμαλωσίαν πάντα Ἰσραήλ. Γράφει δὲ σοφῶς τὴν ἐπὶ τούτοις ἡμῖν ἱστορίαν ὁ μακάριος προφήτης Ἱερεμίας.

quinque millia disperierunt[96]. Hujus historiæ rursum meminit. Congregatæ sunt, inquit, super te gentes multæ, tantum non ludentes super te, et jamjam procubituræ pedibus insultaturæ. Verumtamen non cognoverunt quid statuerit Deus. Comportati sunt enim velut in aream, et instar manipuli pedibus tuis subjicientur. « Surge igitur, et tritura eos : » cornua enim ferrea habebis, et ungulas æreas, hoc est, inexpugnabilis et invicta eris hostibus tuis, et tantum non conculcabis qui restiterint tibi. Quoniam enim areæ et manipuli mentionem fecit, decorum metaphoræ servavit, et tanquam de vitulo cornua et ungulas dicit : siquidem non humana manu consumpti, sed ira divina confecti erant, qui jacebant mortui. Ne tibi laudem istam ascribas, inquit : sed consecra potius Domino universæ terræ, et multitudinem eorum, et robur interfectorum. Et hic quidem sensus est historiæ. Turbabit autem quosdam lectorum fortassis tanta propheticarum promulgationum mutabilitas. Modo quippe dicentem audiebamus, « Ad te veniet, et ingredietur principatus primus regnum Babyloniorum ; » et captivitatis modus nobis describebatur. Deinde salvatam mox, et hostes suos conculcantem cernimus. Proba igitur temporum distinctione opus est : sic enim quæ dicuntur citra confusionem et obscuritatem considerabuntur. Regnante enim Ezechia, ascendit contra Jerusalem Senacherib. Post, Ezechia mortuo, quatuor reges usque ad quintum Jechoniam intercesserunt. Tunc universam Judæam, et Hierosolymam ipsam Nabuchodonosor in potestatem redegit, totumque Israel captivum abduxit. Quam historiam apte beatus propheta Jeremias nobis descriptam reliquit.

ΚΕΦΑΛ. Ε'.

Νῦν ἐμφραχθήσεται θυγάτηρ Ἐφραὶμ ἐμφραγμῷ· συνοχὴν ἔταξεν ἐφ' ἡμᾶς. Ἐν ῥάβδῳ πατάξουσι ἐπὶ σιαγόνα τὰς φυλὰς τοῦ Ἰσραήλ.

ΜΕ'. Ἐπισυναχθήσονται μὲν γὰρ ἐπὶ Σιὼν ἔθνη πολλὰ, εἶτα κατορχήσεσθαι, καὶ καταμειδιάσειν αὐτῆς προσδοκήσαντα, ἡλόηνταί τε καὶ συνετρίβησαν, Θεοῦ τοῖς ποσὶ τῶν νικησάντων, παραῤῥιπτοῦντος αὐτοὺς ὡς ἐν εἴδει δράγματος. Ἦλω δὲ, καὶ ἀπόλωλεν ἡ Σαμαρειτῶν, καὶ δεδαπάνηται τῷ πολέμῳ, καὶ περὶ αὐτῆς φησι, ὡς ἐμφραχθήσεται, καὶ ἐνσχεθήσεται καθορίζοντος δηλονότι Θεοῦ τὸ ἐν συνοχῇ γενέσθαι, καὶ χρῆναι παθεῖν αὐτήν. Θυγατέρα δὲ τοῦ Ἐφραὶμ ὀνομάζει τὴν Σαμάρειαν, ἤγουν τὴν ἐν Σαμαρείᾳ πληθύν· ἔοικε γάρ πως ἐν τάξει κεῖσθαι Πατρὸς τοῖς ὑποκειμένοις ὁ βασιλείαν πεπιστευμένος. Βεβασίλευκε δὲ τῆς Σαμαρείας ὁ ἐξ Ἐφραΐμ. Ἔσται δὴ οὖν, φησὶ, περίσχετος, καὶ διεζωσμένη τοῖς τῶν πολεμίων δήμοις ἡ Σαμαρειτῶν, οἳ μονονουχὶ καὶ πατάξουσιν εἰς σιαγόνας αὐτὴν, οὐ χερσὶ ῥαπίζοντες ἐχομέναις φειδοῦς, ἀλλὰ ῥάβδοις συντρίβοντες καὶ καταικιζόμενοι σφοδρῶς. Σημαίνει δὲ διὰ τούτου πρὸς ταῖς ἀτιμίαις καὶ δύσοιστον ὄντα τῆς αἰχμαλωσίας τὸν πόνον. Ἀτι-

CAP. V.

VERS. 1. *Nunc circumsepietur filia Ephraim septo. angustiam posuit super nos. In virga percutient super maxillam tribus Israel.*

XLV. Congregabuntur enim super Sion gentes complures. Deinde cum sperarent se illi cum irrisione insultaturos, comminutæ et contritæ sunt, Deo victorum pedibus eas in speciem manipuli substernente. Capta est, et periit Samaria, **434** et bello absumpta est, ac de ea dicit, circumseptum et obstrictum iri, decernente videlicet Deo, ut in angustiam redacta omnino affligeretur. Filiam autem Ephraim Samariam, sive Samariæ multitudinem nominat : videtur enim subjectis quasi loco patris esse, cui regnum committitur. Regnavit porro in Samaria, qui erat de tribu Ephraim. Erit igitur, inquit, circumquaque septa, et cincta hostium populis Samaritanorum regio, qui propemodum percutient ipsam in maxillas, non manibus cedentes, quæ parcius verberant, sed virgis conterentes, et verberantes valide. Significat per hoc, præter ignominiam laborem quoque captivitatis intolerabilem fore. Ignominiæ enim signum non dubium est ictus

Digitized by Google

in faciem. Id si per virgam intelligatur fieri, omnino miserum ac servile erit. Contempta igitur esto, inquit, et in plagis ac doloribus, quæ a tribu Ephraim regitur Samaria.

Sed ferientis manus feriabitur, nec experiemur verbera, si totis viribus in nosmet iram Domini universitatis per actiones nefarias, et studiosam consectationem illi odiosorum exacuere, quantum possumus, cavebimus. Potius autem probitate illum honorantes felices erimus, conspicuamque et vere amplectendam vitam transigemus.

VERS. 2. *Et tu, Bethlehem, domus Ephratha minima es, ut sis in millibus Juda. Ex te mihi egredietur ut sit in principem in Israel, et egressus ejus ab initio ex diebus sæculi.*

XLVI. Rerum nostrarum reditum ad principia propheticus sermo nobis his verbis evangelizat. Scitissime autem meminit instaurationis quæ in Christo facta dicitur. Nam « in ipso nova creatura, » sicut scriptum est [97]. Et vetera quidem transierunt, facta sunt autem per eum nova transformantem humana, et in antiquam bonitatem restituentem. Rex enim denuo factus est, et optabile in omnia imperium rursus acquisivit. Universum autem etiam per particulatim administrata exprimitur. Regebatur enim regali imperio Israel initio, ut dixi, sub Deo, sanctis, ut administris, interjectis. Deinde non multo post stultitia laborans, et sub Deo vivere contemnens, humana potius imperia suspexit. **435** Itaque Saul sibi regem petivit. Qua in re graviter peccarunt: universorum quippe Deus moleste ferens, beato Samuęli dixit: « Non te abjecerunt, sed me, ne regnem super eos [98]. » Nequaquam vero istud profuisse illis, sed acerbum, et detrimentosum, et otiosum potius fuisse ipsa experientia docuit, nec id ullam dubitationem habet. Nam ob hoc in tetra et inevitabilia incommoda inciderunt. Itaque tanquam reducens Israel ob id quod fuit in principio, ut Deum regem haberent, Christum in Bethlehem natum ipsis fore Salvatorem et Redemptorem ante proclamat.

Non abiret a scopo qui putaret generatim quasi verba fieri. Postquam enim terrestres nos regiam Dei in nos potestatem abjecimus, peregrinum nobis jugum imposuimus, et Dominum nobis ascivimus, non natura Dominum, sed superbum potius, et apostatam, Satanam dico, in omne genus malorum devenimus. Sed, ut modo dixi, « Complacuit Deo et Patri omnia in Christo instaurare, quæ in cœlis, quæque in terris sunt [99]; et liberavit nos de potestate tenebrarum, et transtulit in regnum Filii dilectionis suæ in lumine [1]. »

μίας μὲν γάρ ἐστι σημεῖον οὐκ ἀμφίβολον τὰ εἰς σιαγόνας ῥαπίσματα. Εἰ δὲ δὴ νοοῖτο καὶ διὰ ῥάβδου γενέσθαι, φορέσει πάντως τὸ μοχθηρὸν, καὶ τὸ οἰκεῖον οἰκέτῃ πρέπον. Ἄτιμος οὖν ἔστω, φησὶ, καὶ ἐν αἰκίαις, καὶ πόνοις ἡ ὑπὸ τῆς φυλῆς Ἐφραὶμ βασιλευομένη Σαμάρεια.

Ἀλλ' ἥ γε τοῦ παίοντος ἀργήσει χειρ, ἄγευστοι δὲ μενοῦμεν αἰκίας, εἰ παντὶ δὴ σθένει παραιτοίμεθα τὸ καταθήγειν ἐφ' ἑαυτοῖς εἰς ὀργὰς τὸν τῶν ὅλων Κύριον διά τοι τοῦ δρᾶν ἃ μὴ θέμις, καὶ πειεῖσθαι περισπούδαστον τὸ ἀπηχθημένον αὐτῷ. Τιμῶντες δὲ μᾶλλον ταῖς ἐπιεικείαις ἐσόμεθα ταῖς εὐημερίαις ἐν καλῷ, λαμπρόν τε καὶ ἀξιόληπτον ἀληθῶς διαζήσομεν βίον.

Καὶ σὺ, Βηθλεὲμ, οἶκος τοῦ Ἐφραθᾶ, ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. Ἐκ σοῦ ἐξελεύσεται τοῦ εἶναι εἰς ἄρχοντα τῷ Ἰσραήλ· καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.

ΜΖ'. Τὴν εἰς τὴν ἐν ἀρχαῖς ἀναφοίτησιν τῶν καθ' ἡμᾶς πραγμάτων ὁ προφητικὸς ἡμῖν ἐν τούτοις εὐαγγελίζεται λόγος. Διαμέμνηται δὲ μάλα σοφῶς τῆς ἀνακεφαλαιώσεως τῆς ἐν Χριστῷ γεγενῆσθαι λεγομένης. « Καινὴ γὰρ κτίσις τὰ ἐν αὐτῷ, » καθὼς γέγραπται· Καὶ τὰ μὲν ἀρχαῖα παρῆλθε, γέγονε δὲ ἃ αὐτοῦ καινὰ, μεταστοιχειοῦντος τὰ ἀνθρώπινα, καὶ ἀνακαινίζοντος εἰς τὸ εὖ εἶναι πάλιν αὐτά. Βεβασίλευται γὰρ, καὶ περιπεποίηται πάλιν αἱρετὸν τὴν κατὰ πάντων ἀρχήν. Σημαίνεται δὲ τὸ καθόλου καὶ διὰ τῶν μερικῶς οἰκονομουμένων. Ἐβασιλεύετο γὰρ, ὡς ἔφην, ὁ Ἰσραὴλ ἐν ἀρχαῖς ὑπὸ Θεοῦ, μεσολαβούντων ἁγίων. Εἶτα μετ' οὐ πολὺ νοσήσας τὸ εὐηθες, ἀτιμάσας τε τὸ πράττειν ὑπὸ Θεῷ, τὰ ἀνθρώπινα μᾶλλον τετιμήκασι κράτη. Καὶ γοῦν ᾔτησεν ἐφ' ἑαυτῷ βασιλέα τὸν Σαούλ. Εἶτα προσκεκρούκασιν οὐ μετρίως· λελυπημένος γὰρ ἔφασκεν ὁ τῶν ὅλων Θεὸς τῷ μακαρίῳ Σαμουήλ· « Οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἢ ἐμὲ ἐξουθενήκασι, τοῦ μὴ βασιλεύειν ἐπ' αὐτοῖς. » Ὅτι δὲ τὸ χρῆμα αὐτοῖς ὀνησιφόρον μὲν οὐδαμῶς, πικρὸν δὲ, καὶ ἐπιζήμιον, καὶ ὀλέθρου πρόξενον, αὐτὴ δέδειχεν ἡ πεῖρα. Πῶς δ' ἂν ἐνδοιάσειέ τις; Περιπεπτώκασι γὰρ δεινοῖς, καὶ ἀφύκτοις διὰ τοῦτο κακοῖς. Οὐκοῦν ἀνακομίζων ὥσπερ τὸν Ἰσραὴλ ἐπὶ τὸ ἐν ἀρχαῖς, φημὶ δὴ τὸ ὑπ' αὐτοῦ βασιλεύεσθαι τοῦ Θεοῦ, τὸν ἐκ Βηθλεὲμ αὐτοῖς ἐσόμενον Σωτῆρα καὶ Λυτρωτὴν προανακεκράγει Χριστόν.

Ἴοι δ' ἂν οὐκ ἀπὸ σκοποῦ κἂν εἴ τῳ δοκῇ γενικὸν ὥσπερ τινὰ τὸν λόγον ποιεῖσθαι, Ἐπειδὴ γὰρ ἀποπεπτώκαμεν τῆς ὑπὸ Θεῷ βασιλείας, οἱ ἐπὶ τῆς γῆς, ὀθνεῖον ἑαυτοῖς καταστήσαντες ζυγὸν, καὶ Δεσπότην ἐπιγραψάμενοι τὸν οὐ φύσει Δεσπότην, μᾶλλον δὲ ἀλαζόνα, καὶ ἀποστάτην, φημὶ δὴ τὸν Σατανᾶν, ἐν παντὶ γεγόναμεν κακῷ. Ἀλλ' ὡς ἔφην ἀρτίως, « Εὐδόκησεν ὁ Θεὸς καὶ Πατὴρ ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, καὶ ἐῤῥύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους, μετέστησε δὲ εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ ἐν τῷ φωτί. »

[97] II Cor. v, 17. [98] I Reg. VIII, 7. [99] Ephes. II, 10. [1] Coloss. I, 13.

Digitized by Google

Ποιεῖται δὲ οὖν τὸν λόγον πρὸς τὴν Βηθλεὲμ, ἤτοι τὸν οἶκον τοῦ Ἐφραθᾶ. Καὶ καλεῖται μὲν ὁ χῶρος Ἐφραθᾶ, Βηθλεὲμ δὲ, τὸ πολίχνιον, ἤγουν ἡ ἐν τῇ χώρᾳ κώμη, ὅθεν ἦν Ἰεσσαὶ καὶ Δαβὶδ, καὶ αὖτη πάλιν ἡ ἁγία Παρθένος, ἣ τὸ θεῖον ἡμῖν ἐκτέτοκε βρέφος τὸ παιδίον τὸν Ἰησοῦν· « Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος. » Βεβασίλευκε γὰρ διὰ τοῦ σταυροῦ, καὶ ἐπειδὴ γέγονεν ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, ταύτῃτοι, καθὼς φησιν ὁ θεσπέσιος Παῦλος, « Ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵν' ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. » Ἦ τοίνυν Βηθλεὲμ, φησὶν, οἶκος Ἐφραθᾶ, εἰ καὶ « Ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα, » τουτέστι, μυρίαι μὲν ὅσαι λαμπραὶ, καὶ μεγάλαι τῆς Ἰουδαίας αἱ πόλεις, καὶ πολυανδρίᾳ πληθύϊ τῶν ἐνοικούντων καταμεθύουσαι. Ἀλλ' εἰ καὶ ὀλίγοι παντελῶς οἱ σε κατοικοῦντες, καὶ νεμόμενοι, σὺ γενήσῃ τροφὸς, καὶ κληθήσῃ πόλις τοῦ βασιλεύσαντος ἐπὶ τὸν Ἰσραὴλ, καὶ οὔτι που πάντως τῶν ἐξ αἵματος Ἰσραὴλ· ἀλλὰ καὶ τῶν ἐν ἐπαγγελίαις προεπηγγελμένων τῷ Ἀβραάμ. Ἔφη γάρ που πρὸς αὐτὸν, ὅτι « Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. » Τὸ δὲ « Ἐν Ἰσαὰκ » ἐξ ἐπαγγελίας φησί. Βεβαία τοίνυν ἡ ὑπόσχεσις οὐχὶ μόνον τοῖς ἐξ αἵματος Ἰσραὴλ, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς ἐν ἀκροβυστίᾳ πίστεως τοῦ πατρὸς ἡμῶν Ἀβραάμ. Οὗτοι γὰρ ὁ Ἰσραὴλ, « Ὅτι τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται ὡς σπέρμα. » Ὅμοιον οὖν ὡς εἰ λέγοι, κατάρξαι παντὸς τοῦ πιστεύοντος εἰς αὐτὸν, καὶ προσοικειοῦντος ἑαυτὸν ἐμοὶ δι' αὐτοῦ. Προσενηνέγμεθα γὰρ τῷ Πατρὶ δι' Υἱοῦ, καὶ μαρτυρήσει λέγων αὐτός· « Οὐδεὶς ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ. » Ἀνεδείχθη τοίνυν ἐκ Βηθλεὲμ ὁ Χριστὸς ὁ ποιμὴν ὁ καλὸς, ὁ ἐν κήποις ἡμᾶς καταβόσκων, καὶ κρίνοις, καὶ τὴν τῶν εὐαγγελικῶν θεσπισμάτων εὐοσμίαν παρατιθεὶς, καὶ οἷον ἄνθη προσάγων ὥριμα τὰ καθ' ἑαυτὸν, τοῖς ἐθέλουσιν ἀποδρέπεσθαι. Ἔφασκε γάρ· « Ἐγὼ ἄνθος τοῦ πεδίου, κρίνον τῶν κοιλάδων· » Ἀπ' ἀρχῆς δὲ εἶναί φησι τὰς ἐξόδους αὐτοῦ, καὶ ἐξ ἡμερῶν αἰῶνος, ἢ τὴν προαιώνιον ὕπαρξιν τὴν Λόγου σημαίνων. Ἔστι γὰρ συναΐδιος τῷ ἰδίῳ Πατρὶ, καὶ αὐτὸς τῶν αἰώνων ὁ ποιητὴς, ἤγουν ὅτι γέγονε μὲν ἄνθρωπος ὡς ἐν λοίσθῳ τοῦ αἰῶνος καιροῦ, προώρισταί γε μὴν ὡς ἐν προγνώσει Πατρὸς καὶ πρὸ τῆς τοῦ κόσμου καταβολῆς τὸ ἐπ' αὐτῷ μυστήριον. Ἐξόδους οὖν φησιν ἢ τὴν ἄχρονον τοῦ Θεοῦ ἐκ Πατρὸς γέννησιν εἰς ἰδίαν ὕπαρξιν τοῦ Υἱοῦ· ἤτοι τὴν ἀνάδειξιν, τὴν ἐν καιροῖς ἐσομένην, ὅτε γέγονε σάρξ· εἰ καὶ ἐξ ἡμερῶν προώριστό τε καὶ τέθειτο παρὰ τοῦ Πατρὸς Σωτήρ τε καὶ Λυτρωτὴς, οὐκ ἠγνοηκότος τὰ μεταξὺ τῷ ἀνθρωπίνῳ γένει συμβησόμενα διὰ τὴν ἐν Ἀδὰμ παράβασιν.

Alloquitur ergo Bethlehem, sive domum Ephratha. Et vocatur quidem regio Ephratha, Bethlehem autem oppidulum, sive vicus regionis, unde oriundi Jesse, et David, et præterea sancta Virgo, quæ divinum nobis infantem peperit, puerulum Jesum: « Cujus imperium factum est super humerum ejus, et vocatur nomen ejus magni consilii Angelus [2]. » Regnavit enim per crucem. Et quoniam factus est obediens usque ad mortem, mortem autem crucis, ideo, ut est apud divinum Paulum, « Deus ipsum exaltavit, et donavit illi nomen quod est super omne nomen, ut in nomine Jesu omne genu flectatur cœlestium, terrestrium et infernorum, et omnis lingua confiteatur, quoniam Dominus Jesus est in gloria Dei Patris. Amen [3]. » Ait ergo: O Bethlehem domus Ephratha, tametsi « minima es, ut sis in millibus Juda, » hoc est mille et amplius sunt in Judæa splendidæ et amplæ civitates, et incolarum infinitate refertissimæ. Sed quanquam pauci sunt plane cives, et incolæ tui, tu eris nutrix et vocaberis civitas regnantis **436** super Israel, nec super eos tantum utique qui sanguine sunt Israelitæ, sed super eos insuper qui in promissionibus Abrahamo prædicti sunt. Ait enim illi alicubi Deus: « In Isaac vocabitur tibi semen [4]. » Illud autem, « in Isaac, » ex promissione dicit. Firma est igitur promissio non solum iis qui sunt de sanguine Israel, sed etiam iis qui in præputio per vestigia fidei patris nostri Abraham ingrediuntur. Hi enim sunt Israel, « quoniam filii promissionis reputantur in semine [5]. » Ac si dicat, rector erit cujusvis in eum credentis, et mihi se per ipsum conciliantis. Oblati enim sumus Patri per Filium, et testatur id ipse his verbis: « Nemo venit ad Patrem nisi per me [6]. » Editus est igitur in Bethlehem Christus pastor ille bonus [7], qui in hortis et liliis nos pascit [8], et evangelicorum oraculorum suaveolentiam apponit, et sua tanquam flores maturos decerpere volentibus exhibet. Dixit enim: « Ego flos campi, et lilium convallium [9]. » Egressus autem ejus a principio esse inquit, et ex diebus sæculi; aut omnibus sæculis antiquiorem Verbi existentiam significans: est enim coæternus Patri suo, et ipsemet sæculorum conditor; aut quia homo natus est quidem quasi in extrema ætate sæculi: mysterium autem in ipso peragendum in præscientia Patris ante constitutionem mundi prædestinatum est. Egressus itaque appellat aut temporis expertem Dei Filii ex Patre in propria subsistentia generationem, aut exhibitionem ejus in tempore futuram, quando caro factus est: aut etiam ex diebus sæculi prædefinitus et constitutus est Salvator et Redemptor, a Patre, qui quæ in medio humano generi per transgressionem Adam eventura erant non ignorabat.

[2] Isa. IX, 6. [3] Philipp. III, 8-11. [4] Gen. XXI, 12. [5] Rom. IX, 8. [6] Joan. XIV, 6. [7] Joan. X, 14-16. [8] Cant. VI, 1. [9] Cant. II, 1.

Digitized by Google

VERS. 3. *Propterea dubis eos usque ad tempus parientis. Pariet, et reliqui fratrum eorum convertentur ad filios Israel.*

XLVII. Videtur propheta cogitare secum forte, ratiocinarique, et dicere, non loquetur falsum Deus, et ad finem prorsus deducet quæ promisit. Et quia Israel in tam insigni spe est, et nascetur illis dux, regnabitque, et ab omni eos malo liberabit, cur tandem in manus hostium veniet? Deinde cogitato tempore promissionis, et ita, ut præsens concepto, sibi quodammodo respondet in hæc verba: Quoniam promissionis tempus diu procrastinabitur, ipsi autem in delictis non levibus sunt, **437** et neutiquam peccare desinunt, « idcirco dabis eos, » id est, trades, hostibus, o Domine, « usque ad tempus parientis, » donec divinus ille infans in visceribus virgineis concipiatur. Tunc enim erit redemptio, et felicitate stabili perfruentur, nihil ipsis omnino ad jucunditatem deficiente. Hæc propheta tunc volutante, et veluti apud se susurrante, subauscultans Deus, pariet, inquit, et ad fidem ipsum corroborat. Simile huic ad prophetam Habacuc dixit: « Adhuc pusillum, et qui venturus est, veniet, et non tardabit [10]. » Nascetur enim omnino, inquit, « reliqui autem fratrum ejus revertentur ad filios Israel [11]. » Suscepit enim fidem in Christum Judæorum ingens numerus, et ante alios beati discipuli: exciderunt autem spe qui in contumacia sua Christum contumeliosissime multavernnt. Cæterum in extremis temporibus cum aliis inferentur, et quasi cursu subeuntes, vix tandem eo accurrent, quo eos ab initio venisse præstiterat.

καιροῖς προσεπενεχθήσονται τοῖς ἄλλοις, καὶ οἷον ἐξ ἄμεινον ἐλθεῖν ἐν ἀρχαῖς.

VERS. 4. *Et stabit, et videbit, et pascet gregem suum in fortitudine Dominus, et in gloria nominis Domini Dei sui erunt. Quia nunc magnificabuntur usque ad terminos terræ, et hæc erit pax.*

XLVIII. Stabit, dicit, pro ἐπιστατήσει, *præerit*, suarumque ovium ipsemet pastorem aget, nec alteri cuipiam earum institutionem mandabit, sicut olim beato Mosi, sed ipse per semetipsum operam hanc præstabit. Verum est enim, non a legato quopiam, non ab angelo, sed ab ipso Deo nos salvatos esse. Pascet autem nos in fortitudine, citra omnem sudorem laboremque nostrum. Quasi enim defensorem pro nobis se objiciet, et salvabit strenue: nec sinet illegitimos pastores ex fallaciis suis celebritatem adipisci: nec feras immites in greges insilire; nec malignas et adversarias potestates patietur, quemadmodum olim, fidelibus robore prævalere, quibus dabit potius « super aspidem et basiliscum ambulare, leonemque et draconem conculcare [12]. » Per ipsum enim inclyti evasimus, et cum claritate

[10] Habac. II, 3. [11] Mich. V, 3. [12] Psal. XC, 13.

A *Διὰ τοῦτο δώσεις αὐτοὺς ἕως καιροῦ τικτούσης. Τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν ἐπιστρέψουσι ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ.*

ΜΖ'. Ἔοικεν ὁ προφήτης ἐντεθυμῆσθαι καθ' ἑαυτὸν ἐκεῖνο τάχα που, διαλογίζεσθαί τε καὶ λέγειν· Οὐ ψευδοεπήσει Θεὸς, ἀποπερανεῖ δὲ πάντως τὰ ἐπηγγελμένα. Καὶ εἴπερ ἐστὶν ἐν λαμπραῖς οὕτως ἐλπίστν ὁ Ἰσραὴλ, καὶ ἀποτεχθήσεται μὲν αὐτοῖς ὁ ἡγούμενος, κατάρξει δὲ, καὶ παντὸς ἀπαλλάξει κακοῦ, τί καὶ ὅλως ἔσται δορύληπτος (1); Εἶτα τῆς ἐπαγγελίας ἐννενοηκὼς τὸν χρόνον, οὕτω τε παρόντα συνείς, ἑαυτῷ τρόπον τινὰ καὶ ἀπολογεῖται, λέγων· Ἐπεὶ γὰρ ἐν ὑπερθέσει μέν ἐστι μακρὸς τῆς ἐπαγγελίας ὁ χρόνος, αὐτοὶ δέ εἰσιν ἐν οὐ μετρίοις πταίσμασι, καταλήγουσι δὲ πλημμελοῦντες οὐδαμῶς, « ταύτητοι B δώσεις αὐτοὺς, » τουτέστι, παραδώσεις ἐχθροῖς, ὦ Δέσποτα, « ἕως καιροῦ τικτούσης, » ἄχρις ἂν κυηθῇ, φησὶ, τὸ θεῖον ἐκεῖνο βρέφος ἐκ λαγόνων παρθενικῶν. Τότε γὰρ ἔσται λύτρωσις, καὶ ἐν βεβαίῳ κείσονται τῆς εὐημερίας, οὐδενὸς αὐτοῖς παντελῶς τῶν εἰς εὐθυμίαν ἐκλελοιπότος. Ταυτὶ τοῦ προφήτου διενθυμουμένου τέως, καὶ οἱονεὶ διαψιθυρίζοντος ἐν ἑαυτῷ, προσυπακούει Θεὸς, τέξεται, φησὶ, καὶ εἰς πίστιν αὐτὸν ἑδραῖον ἀποτελεῖ. Ὅμοιον δὲ τούτῳ πρὸς τὸν προφήτην Ἀμβακούμ· « Ἔτι μικρὸν ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ. » Τεχθήσεται μὲν γὰρ πάντη τε καὶ πάντως, φησὶ, « οἱ δέ γε κατάλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ. » Παρεδέξαντο μὲν γὰρ τὴν πίστιν τὴν εἰς Χριστὸν τῶν Ἰουδαίων οὐκ εὐαρίθμητοι, καὶ πρό γε τῶν ἄλλων οἱ μακάριοι μαθηταί· διωλισθήκασι δὲ τῆς ἐλπίδος οἱ ταῖς ἀπειθείαις περιυβρίσαντες. Πλὴν ἐν ἐσχάτοις ὑποδρομῆς ἀναδραμοῦνται μόλις, πρὸς ὅπερ ἦν

Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ πολίτιον αὐτοῦ ἐν ἰσχύι Κύριος, καὶ ἐν τῇ δόξῃ ὀνόματος Κυρίου Θεοῦ αὐτῶν ὑπάρξουσι. Διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς, καὶ ἔσται αὐτὴ ἡ εἰρήνη.

ΜΗ'. Τὸ «στήσεται» φησὶν ἀντὶ τοῦ καὶ ἐπιστατήσει, καὶ ἔσται τῶν ἰδίων προβάτων αὐτουργὸς ὁ ποιμὴν, οὐχ ἑτέρῳ τινὶ τὸ παιδαγωγεῖν ἐπιτρέψας, καθὼς καὶ πάλαι τῷ μακαρίῳ Μωσεῖ, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ· καὶ γάρ ἐστιν ἀληθὲς ὡς οὐ πρέσβυς, οὐκ ἄγγελος, D ἀλλ' αὐτὸς ὁ Κύριος ἔσωσεν ἡμᾶς ἐν ἰσχύι παντὸς ἄνω τιθεὶς ἱδρῶτος, καὶ πόνου. Προβεβλήσεται γάρ ὥσπερ, καὶ διασώσει γενναίως, οὐ ψευδοποιμέσιν ἐπιτρέπων ἐξ ἀπάτης εὐδοκιμεῖν, οὐ θηρσὶν ἀγρίοις ἐπιθρώσκειν ἀγέλαις· οὐ ταῖς πονηραῖς, καὶ ἀντικειμέναις δυνάμεσι συγχωρῶν, καθάπερ ἀμέλει καὶ πάλαι, κατανεανιεύεσθαι τῶν πεπιστευκότων, διδοὺς δὲ μᾶλλον αὐτοῖς «ἐπ' ἀσπίδα, καὶ βασιλίσκον ἐπιβαίνειν, λέοντά τε καὶ δράκοντα καταπατεῖν. » Εὐκλεεῖς γὰρ γεγόναμεν δι' αὐτοῦ, ἥρμεθά τε ὑφ' ὧν λαμπροὶ, καὶ διαφανεῖς, καὶ μέχρι τερμάτων γεγόναμεν τῆς ὑπ'

(1) Ed. Aub., δωρόληπτος, *dona accipiet.*

Digitized by Google

οὐρανόν. Αὐτὸς γὰρ ἡμῶν ἰσχὺς, δύναμις, καὶ μεσίτης καὶ διαλλακτὴς, καὶ αὐτὸς ἡμῶν ἡ εἰρήνη. « Καθεῖλε γὰρ τὸ μεσότοιχον τοῦ φραγμοῦ, καὶ κατήργησε μὲν ἐν δόγμασι τὸν νόμον τῶν ἐντολῶν, » ἔκτισε δὲ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, κατὰ τὸ γεγραμμένον, καὶ τοῖς τῆς ἀγάπης δεσμοῖς εἰς ἑνότητα κατασφίγγων. Ὄνομα δὴ οὖν αὐτῷ πρέπον εἰρήνη, καὶ εἰ καλοῖτο Χριστός.

A splendoreque in altum evecti, et usque ad terminos orbis terrarum propagati sumus. Ipse namque est fortitudo nostra, virtus, mediator, reconciliator, et ipse pax nostra. « Solvit enim medium parietem maceriæ, et legem mandatorum in decretis evacuavit [15], » et duos populos in unum novum hominem condidit, faciens pacem, sicut scriptum est [16], **438** et charitatis vinculis in unitatem constringens. Nomen igitur illi idoneum pax, etsi Christus vocetur.

Ὅταν Ἀσσύριος ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ' αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ ὀδήγματα ἀνθρώπων. Καὶ ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ, καὶ τὴν γῆν τοῦ Νεβρὼδ ἐν τῇ τάφρῳ αὐτοῦ, καὶ ῥύσεται ἐκ τοῦ Ἀσσοὺρ, ὅταν ἔλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν.

Vers. 5, 6. *Quando Assyrius venerit super terram vestram, et cum ascenderit super regionem vestram, et consurgent super eum septem pastores, et octo morsus hominum. Et pascent Assur in gladio, et terram Nebrod in fovea ejus, et liberabit de Assur, quando venerit super terram vestram, et cum ascenderit super terminos vestros.*

ΜΘ'. Ἡ Ἑβραίων ἔκδοσις τοῦ προκειμένου κεφαλαίου ποιεῖται τὴν ἀρχὴν ἀπὸ τοῦ, « Καὶ ἔσται αὐτὴ ἡ εἰρήνη, ὅταν Ἀσσύριος ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν. » Οὗτος γὰρ ἔσται, φησὶ, τῆς εἰρήνης ὁ τρόπος, εἰ δὴ βούλοιτο καταθεῖν τῆς ὑμῶν γῆς τε καὶ χώρας ὁ Ἀσσούρ. Διερμηνεύοντες δὲ τοὺς στίχους, ἐροῦμεν ἡμεῖς, ὅτι τῶν αἰσθητῶν, καὶ ἐμφανεστέρων πραγμάτων ἀποφοιτᾷ πάλιν ὁ λόγος, αἴρεται δὲ ὥσπερ ὑψοῦ, καὶ ἐμφανοῦς εἰκόνος ἀποφέρει λεπτῶς ἐπὶ τὰ νοητῶς συμβαίνοντα. Ἀσσύριον μὲν γὰρ ἐν τούτοις ἄνδρα μὲν οὐκέτι τὸν ἐκ Βαβυλῶνος, κατασημαίνει δὲ μᾶλλον τὸν τῆς ἁμαρτίας εὑρετὴν, ἤτοι τὸν Σατανᾶν. Μᾶλλον δὲ, ἁπαξαπλῶς εἰπεῖν, τὴν ἀτίθασσον τῶν δαιμονίων πληθὺν, ἣ παντὸς ἀγίου κατεξανίσταται νοητῶς, καὶ μάχεται τῇ ἁγίᾳ πόλει τῇ νοητῇ Σιὼν, ἧς καὶ ὁ θεσπέσιος Μελῳδὸς ἐπεμέμνητο, λέγων· « Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » Κατοικεῖ γὰρ τὴν Ἐκκλησίαν, καὶ ὥσπερ τινὰ πόλιν ἰδίαν ἐποιήσατο Χριστὸς, καίτοι τῇ τῆς θεότητος φύσει τὰ πάντα πληρῶν. Αὕτη δὴ οὖν ἡ τοῦ Θεοῦ πόλις γῆ τις ὥσπερ ἐστὶ καὶ χώρα τῶν ἡγιασμένων, καὶ τὴν εἰς Θεὸν ἑνότητα πεπλουτηκότων ἐν πνεύματι. « Ὅταν τοίνυν Ἀσσύριος, φησὶ, ἐπέλθῃ ἐπὶ τὴν πόλιν ὑμῶν, » τουτέστιν, εἰ μάχοιντο τοῖς ἁγίοις αἱ βάρβαροι καὶ ἀντικείμεναι δυνάμεις, οὐκ ἐρήμους εὑρήσουσι τῶν παρεστηκότων. « Κατεξαναστήσονται γὰρ αὐτῶν, ἑπτὰ μὲν ποιμένες, ὀκτὼ δὲ ἀνθρώπων ὀδήγματα. » Ἔοικε δὲ τῆς προφητείας ὁ νοῦς ἀπὸ τῶν καιρῶν, ἤτοι τῶν ἀριθμῶν, τοῦ τε ἑπτά φημι, καὶ τοῦ ὀκτὼ, τοὺς ἁγίους βούλεσθαι δηλοῦν, τοὺς πρὸ τῆς ἐπιδημίας, καὶ τοὺς κατ' αὐτὴν ἅμα, καὶ μετ' αὐτὴν γεγονότας. Τετίμητο γὰρ πρὸ τῆς ἐπιδημίας, καὶ κατὰ τὸν Μωσέως νόμον ἐν ἑβδομάσι σαββατισμὸς, καὶ ἦν ἔτι τῆς σκιᾶς ὁ καιρός. Τότε καὶ τὸ τῶν ἁγίων προφητῶν ἀνεδείχθη στίφος, παιδαγωγοῦν εἰς εὐσέβειαν, καὶ ἐπίγνωσιν τοῦ καιροῦ. Ἐπειδὴ δὲ λοιπὸν ἐπέφανεν ὁ Μονογενὴς, καὶ τὸν ὑπὲρ τῆς ἁπάντων ζωῆς ἀνέτλη σταυρὸν, ἀνεβίω δὲ

XLIX. Hebræorum editio propositi contextus initium facit ab illis verbis : « Et erit hæc pax, quando Assyrius venerit super terram vestram, et quando ascenderit super regionem vestram. » Hic enim erit pacis modus, inquit, si Assur terram et regionem vestram incursare voluerit. Quod ad interpretationem versuum attinet, dicemus nos, a rebus sensus tangentibus, et manifestis denuo abire sermonem, et eum tolli quodammodo in sublime, atque aperta ex imagine ad ea quæ ita contingunt, ut intelligi tantum possint, subtiliter deducere. Assyrium enim in his verbis non jam hominem illum Babylonium, sed inventorem peccati potius, sive Satanam exprimit. Imo vero, ut universe loquar, implacabilem dæmoniorum multitudinem, quæ omni bono ratione quæ intelligentia videtur, resistit, et sanctam civitatem Sion, quam animo intuemur, oppugnat, cujus et divinus Modulator meminit in hæc verba : « Gloriosa dicta sunt de te, civitas Dei [17]. » Inhabitat enim Christus Ecclesiam, et tanquam propriam sibi civitatem fecit, etsi natura divinitatis universa compleat. Hæc itaque civitas Dei quasi quædam tellus, et regio sanctificatorum, et unitate in Deo per spiritum locupletatorum est. « Quando igitur Assyrius, inquit, venerit super civitatem vestram, » hoc est, si barbaræ et adversariæ potestates sanctos lacessiverint, non eos præsidiariis destitutos reperient. « Nam illis septem quidem pastores, octo autem morsus hominum resistent. » Videtur sententia hujus vaticinii ex temporibus, sive ex numeris, septenario, inquam, et octonario significare sanctos quique ante Christi adventum, quique ipso adventu, et post vixerunt. Nam et ante adventum secundum legem Mosis quoque in hebdomadibus Sabbatismus honoratus est [18], et erat tum adhuc umbræ tempus. Tum quoque sanctorum prophetarum turba se exhibuit, qui homines ad pietatem et agnitionem venturi temporis erudierunt. **439** Postquam deinde Unigenitus apparuit, et pro omnium

[15] Ephes. II, 14. [16] ibid. 15. [17] Psal. LXXXVI, 3. [18] Deut. XVI, 3.

Digitized by Google

vita crucem sustinuit, spoliatoque inferno tertia die in vitam rediit, sanctis apostolis mandavit, « Ut informarent omnes gentes, et baptizarent eos in nomine Patris, et Filii, et Spiritus sancti [17], » docerentque servare omnia quæcunque præcepisset. Ilos igitur octo hominum morsus dicit, utpote et qui tum eo resurgente, et qui post fuissent insinuans. Quando igitur supervenerit Assyrius, inquit, sive alienigena et barbarus, tunc ad septem pastores veniet, et ad morsus octo. Constat enim etiam lege florente sanctos exstitisse, quos septem pastores nominat, et præter hos apostolos, et evangelistas, et Ecclesiæ suis temporibus magistros, qui semper bellarent, et dæmonum fraudibus generose obviam irent, et maligni perversitatibus suam vigilantiam quasi adversam aciem opponerent. Etenim sanctam terram regionemque habitantes salvos præstant, traditis ad omnem virtutem præceptis eos communientes. Porro chorum sanctorum aliquo modo Satanæ insidiaturum, et morsibus intelligibilibus illum consumpturum, rursum declarat Deus per vocem sancti, sic de eo loquens : « Væ qui multiplicat sibi quæ non sunt sua ! Usquequo ? et aggravat densum lutum contra se. Quia subito consurgent mordentes eum, et vigilabunt insidiatores tui ; et eris in rapinam ipsis ; quia tu spoliasti gentes multas, spoliabunt te omnes reliqui populi [18]. » Audis morsum, et spoliatum iri multiplicantem sibi quæ ejus non sunt ? hoc est Satanam. Deinde spoliatores ejus vocat « relictos, » hoc est, posteros Jacob. Quod si quis etiam Assyrius quibusdam supervenerit, hoc est, aliter sapiens, et errore seductus, et fidem veram germanamque non habens, claudicans autem, et velut mente fractus, et huic veritatis robur opponunt, propemodum ut lupum mordentes, et ab ovium intelligibilium grege repellentes. Septem igitur pastores isti, et qui ut in octo morsibus intelligendi sunt, « Assur in rhomphæa pascent. » Verbum «pascent» pro persequentur, usurpavit. Quia enim pastorum meminit, sermonis metaphora servata, pascent dixit. Quæ autem rhomphæa merito intelligenda sit, qua sancti uti consueverint, Psaltes ostendit, de ipsis loquens : « Et rhomphææ ancipites in manibus eorum [19]. **440** Vivus enim sermo Dei, et penetrabilior omni gladio ancipiti [20]. » Paulus quoque militem, qui in Christo intelligitur, armans, dat ei « gladium spiritus, quod est verbum Dei [21]. » Divinam autem et validissimam rhomphæam, id est, verbum Dei, persequi Assur, nihilominus nos docet propheta Isaias, his verbis : « Et erit in die illa, inducet Deus gladium sanctum, et magnum, et fortem super draconem colubrum tortuosum, et occidet draconem [22]. » Et iterum : « Et erit cum consummaverit Dominus cuncta faciens in Sion et Jerusalem, inducet super mentem magnam, super principem Assyriorum, et super celsitudinem gloriæ oculorum

A αὖ, σκυλεύσας τὸν ᾅδην τῇ ἡμέρᾳ τῇ ὀγδόῃ [γρ. τρίτῃ] τότε τοῖς ἁγίοις κεκέλευκεν ἀποστόλοις « Μαθητεύειν μὲν πάντα τὰ ἔθνη, βαπτίζειν δὲ αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, » διδάξαι δὲ τηρεῖν ὅσα αὐτοῖς ἐντέταλται. Τούτους οὖν ἄρα φησὶ τὰ ὀκτὼ τῶν ἀνθρώπων δήγματα, ὡς ἀπό γε τοῦ τῆς ἀναστάσεως καιροῦ, τοὺς ἐν αὐτῷ τε καὶ μετ' αὐτὸν γεγονότας ὑποδηλῶν. Ὅταν τοίνυν ἐπέλθῃ, φησὶν, ὁ Ἀσσύριος ἢ ἀλλογενὴς, καὶ βάρβαρος, τότε δὴ, τότε πρὸς ἑπτὰ μὲν ἥξει ποιμένας, πρὸς δήγματα δὲ ὀκτώ. Εὑρήσομεν γὰρ καὶ τοὺς ἐν καιρῷ τοῦ νόμου γεγονότας ἁγίους, οὓς ἑπτὰ ποιμένας φησὶ, καὶ πρός γε δὴ τούτοις ἀποστόλους τε καὶ εὐαγγελιστὰς, καὶ τοὺς τῶν Ἐκκλησιῶν κατὰ καιροὺς διδασκάλους, ἀεὶ πολεμοῦντας, καὶ ἀνθεστηκότας γενναίως ταῖς τῶν B δαιμόνων ἀπάταις, καὶ ταῖς τοῦ πονηροῦ δυστροπίαις τὴν οἰκείαν ὥσπερ ἀντεξάγοντας νῆψιν. Ἀνασώζουσι γὰρ τοὺς τὴν ἁγίαν οἰκοῦντας χώραν τε καὶ γῆν, ταῖς εἰς ἅπαν ὁτιοῦν τῶν ἀρίστων παιδαγωγίαις ἀσφαλιζόμενοι. Ὅτι δὲ ἔμελλεν ὁ τῶν ἁγίων χορὸς ἐπιβουλεύειν τρόπον τινὰ τῷ Σατανᾷ, καὶ νοητοῖς αὐτὸν δήγμασι δαπανᾷν, διεσάφει καὶ πάλιν Θεὸς διὰ φωνῆς ἁγίου λέγων περὶ αὐτοῦ· « Οὐαὶ, ὁ πληθύνων αὐτῷ τὰ οὐκ ὄντα αὐτοῦ ! Ἕως τίνος ; καὶ βαρύνων τὸν πηλὸν αὐτοῦ στιβαρῶς. Καὶ ὅτι ἐξαίφνης ἀναστήσονται οἱ ἐγείροντες αὐτὸν, ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς, ὅτι σὺ ἐσκύλευσας ἔθνη πολλὰ, σκυλεύσουσί σε πάντες οἱ ὑπολελειμμένοι λαοί. » Ἀκούεις ὅτι καταδηχθήσεσθαί φησι καὶ σκυλευθήσεσθαι τὸν πληθύνοντα ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ ; C τουτέστι, τὸν Σατανᾶν. Εἶτα τοὺς σκυλεύσαντας αὐτὸν ὀνομάζει τοὺς « ὑπολελειμμένους, » τουτέστι, τοὺς ἐξ Ἰακώβ. Ἀλλ' εἰ καί τις Ἀσσύριος ἐπέλθῃ τισὶ, τουτέστιν, ἀνὴρ ἑτερόφρων, καὶ πεπλανημένος, καὶ τὴν εἰς εὐθὺ διάττουσαν πίστιν οὐκ ἔχων, χωλεύων δὲ ὥσπερ, καὶ κεκλασμένος τὸν νοῦν, ἀντανιστᾶσι καὶ τούτῳ τὴν τῆς ἀληθείας δύναμιν, ὡς λύκον μονονουχὶ καταδάκνοντες καὶ τῆς τῶν νοητῶν προβάτων ἀγέλης ἐξωθοῦντες. Οὗτοι δὴ οὖν οἱ ἑπτὰ ποιμένες, καὶ ὡς ἐν ὀκτὼ νοούμενοι δήγμασι. « Ποιμανοῦσι τὸν Ἀσσοὺρ ἐν ῥομφαίᾳ. » Τὸ « ποιμανοῦσιν » ἀντὶ τοῦ διώξουσι λέγει. Ἐπεὶ γὰρ ἐμνήσθη ποιμένων, τετήρηκε τὴν τοῦ λόγου μεταφοράν, τὸ ποιμανοῦσιν εἰπών. Καὶ τίς ἡ ῥομφαία νοεῖτ' ἂν εἰκότως, ᾗ κεχρῆσθαι τοὺς ἁγίους ἔθος, σαφηνίζει λέγων ὁ Ψαλμῳδὸς περὶ D αὐτῶν· « Καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν. Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. » Ἐξοπλίζων δὲ καὶ ὁ Παῦλος τὸν ἐν Χριστῷ νοούμενον στρατιώτην, δίδωσιν αὐτῷ « τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ. » Ὅτι δὲ διώκει τὸν Ἀσσοὺρ ἡ θεία καὶ παναλκὴς ῥομφαία, τουτέστιν, ὁ τοῦ Θεοῦ λόγος, οὐδὲν ἧττον ἡμᾶς ἀναπείσει λέγων καὶ ὁ προφήτης Ἡσαΐας· « Καὶ ἔσται, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, τὴν μεγάλην, καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα τὸν σκολιὸν, καὶ ἀνέλῃ τὸν δράκον-

[17] Matth. xxviii, 19. [18] Habac. ii, 10, 11. [19] Psal. cxlix, 6. [20] Hebr. iv, 12. [21] Ephes. vi, 17. [22] Isa. xxvii, 1.

Digitized by Google

τα. » Καὶ πάλιν· « Καὶ ἔσται, ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν, καὶ ἐν τῇ Ἱερουσαλὴμ, ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ. Εἶπε γάρ· Ἐν τῇ ἰσχύϊ μου ποιήσω, καὶ τῇ σοφίᾳ τῆς συνέσεώς μου ἀφελῶ ὅρια ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας. » Ἐν ταύτῃ οὖν τῇ ῥομφαίᾳ ποιμανοῦσι τὸν Ἀσσοὺρ, καὶ πᾶσαν τὴν γῆν τοῦ Νεβρώδ. Τὴν τῶν Ἀσσυρίων ὀνομάζει χώραν, ἤτοι τὴν Βαβυλωνίων, περὶ ἣν, ὡς φασι, βαθεῖα βέβλητο τάφρος· γῆν δὲ αὐτὴν τοῦ Νεβρὼδ ὀνομάζει, διὰ τὸ αὐτὸν εἶναι τὴν Βαβυλωνίων ἀρχὴν, καὶ γένεσιν, καὶ πατέρα τοῦ γένους. Γέγραπται δὲ οὕτως ἐν τῇ Γενέσει περὶ αὐτοῦ· « Υἱοὶ Ῥεγμὰ Σαβὰ, καὶ Δαδάν. Χοῦς δὲ ἐγέννησε τὸν Νεβρώδ. Οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς. Οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον Κυρίου τοῦ Θεοῦ. Διὰ τοῦτο ἐροῦσιν, ὡς Νεβρὼδ γίγας κυνηγὸς ἐναντίον Κυρίου τοῦ Θεοῦ. Καὶ ἐγένετο ἡ ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν, καὶ Ἀρὰχ, καὶ Ἀρχὰδ, καὶ Χαλάννη. » Περσικὸν δὲ τοῦτο χωρίον καὶ ἡ θεία λέγει Γραφή. Γῆν οὖν ἄρα τοῦ Νεβρὼδ τὴν Βαβυλωνά φησιν, ἣ τάφρῳ διέζωσται, καθάπερ ἔφην ἀρτίως. Οὕτω δὴ οὖν « Ποιμανοῦσι, φησὶ, τὸν Ἀσσύριον, καὶ πᾶσαν δὲ τὴν γῆν τοῦ Νεβρὼδ, » ὡς εἴσω μένειν τῆς τάφρου, καὶ πόλεων μὲν ἢ χωρῶν κατευρύνεσθαι οὐκέτι. Μένειν δὲ ὥσπερ οἴκοι περιδεεῖς, καὶ τρέμοντας τοῦτό τι παθεῖν διὰ Χριστοῦ τὰ τῶν δαιμονίων εὑρήσομεν στίφη· οὐ γὰρ ἔτι τῆς ὑφ' ἥλιον καταλαζονεύεται.

A ejus. Dixit enim : In fortitudine faciam, et sapientia intellectus auferam terminos gentium, et fortitudinem eorum deprædabor, et concutiam civitates habitatas[83]. » In ista igitur rhomphæa pascent Assur, et omnem terram Nebrod. Assyriorum, sive Babyloniorum regionem ita appellat, quam, ut ferunt, profunda fossa cingit; ipsam autem terram Nebrod, propterea quod ipse Babyloniorum initium, origo et parens sit. Super quo exstat in Genesi hunc in modum : « Filii Regma Saba, et Dadan. Porro Chus genuit Nemrod, hic cœpit esse gigas super terram. Ille erat gigas, venator coram Domino. Propter hoc dicent, quod Nemrod gigas venator coram Domino. Et fuit principium regni ejus Babylon, et Arach, et Archad, et Chalanne[84], » quod et ipsa Scriptura oppidum Persicum B dicit. Terram igitur Nemrod Babylonem dicit, quæ fossa circumdatur, ut jam dicebam. Sic igitur « Pascent Assyrium, inquit, et omnem terram Nemrod, » ut intra fossam maneant, nec ultra urbibus aut regionibus dilatentur. Tanquam domi autem manere dæmonum globos, pavitantes, et trepidantes, ne quid tale per Christum patiantur, certum est : haud enim amplius super mundo universo insolenter gloriantur.

Καὶ ἔσται τῷ Ἰακὼβ τὸ ὑπόλειμμα ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν, ὡς δρόσος παρὰ Κυρίου πίπτουσα, καὶ ὡς ἄρνες ἐπ' ἄγρωστιν, ὅπως μὴ συναχθῇ μηδεὶς, μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων.

VERS. 7. *Et erit reliquum Jacob in medio populorum multorum, quasi ros a Domino cadens, et quasi agni super gramen, ut non congregetur quisquam, neque subsistat in filiis hominum.*

Νʹ. Ἔφην ἤδη πλειστάκις, ὅτι σέσωσται τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, καὶ οὐκ ἀπόλωλεν εἰσάπαν τὸ ἐξ Ἰακὼβ γένος. Πεπιστεύκασι γὰρ εἰς Χριστὸν οὐκ ὀλίγοι, καὶ τὴν διὰ πίστεως σωτηρίαν καὶ πρὸ τῶν ἐθνῶν πεπλουτήκασιν. Ἀλλ' ἐκ τούτου τοῦ καταλελειμμένου μέρους καὶ αὐτοὶ γεγόνασιν οἱ θεσπέσιοι μαθηταὶ, καὶ οἱ συνηθληκότες αὐτοῖς ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ. Τούτους δὴ οὖν αὐτοὺς σεσῶσθαί φησιν ἐν τοῖς ἔθνεσιν, οἷάν τινα δρόσον ἀγρῶν καταχεομένην, καὶ τῆς διαβολικῆς δυστροπίας τὸν καύσωνα παραλύουσαν. Ὥσπερ γὰρ ἐν ἀγροῖς ποτε καὶ κρίνοις, εἰ τὸ τῆς ἡλιακῆς ἀκτῖνος ἐμπίπτοι σέλας, χαλᾶσθαι ποιεῖ πρὸς τὸ ἀκαλλὲς, καὶ μεμαράνθαι· οὕτω καὶ ὁ τῆς ἁμαρτίας εὑρετὴς κοσμικαῖς φιληδονίαις, ὅτε τὸν ἀνθρώπινον καταφλεγμαίνει νοῦν, καὶ μαραίνει τρόπον τινὰ, καὶ ἀκαλλῆ πάνυ φαίνεσθαι ποιεῖ. Ἀνορθοῖ δὲ ὥσπερ αὐτὸν ὁ τοῦ Θεοῦ λόγος, καθὼς καὶ ἄνθος ἡ πόας ἡ δρόσος. Καὶ οὕτως ἔσονται, φησὶ, καὶ οἱ ἐξ Ἰακὼβ ἐν τοῖς ἔθνεσι, τὰς τῶν πειθομένων ψυχὰς οἷά τινι δρόσῳ κατάρδοντες τοῖς εἰς εὐσέβειαν λόγοις, καὶ μαθήμασιν εὐαγγελικοῖς πλουσίως καταπιαίνοντες. Καὶ ὥσπερ ἀμνοῖς πολλή τε καὶ εὐανθὴς εἰ παράκειται πόα, τότε δὴ, τότε κατατρυφῶσί τε καὶ κατασκαίρουσι· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ τῶν διδασκόντων ὁ νοῦς τροφὴν ποιεῖται, καὶ τέρψιν τῶν παιδαγωγουμένων, τὸ εὐή-

L. Dixi jam sæpe salvatas esse reliquias Israel[85], nec universum genus Jacob interiisse. Non pauci enim in Christum crediderunt, **441** et ante gentes etiam per fidem salutis divitias acquisierunt. Porro in parte ista relicta nihilominus divini discipuli numerantur, et qui in Evangelio proseminando certaminum socios illis sese præbuerunt. Hos ipsos ergo inter gentes esse affirmat, veluti rorem agris superfusum et diabolicæ pravitatis æstum refrigerantem. Quemadmodum enim in agris nonnunquam radiorum solarium fulgor lilia percutiens, ad deformitatem ea languescere, et marcescere facit; ita quoque peccati auctor, cum animum hominis mundanarum voluptatum ardore incendit, et marcidum reddit quodammodo, et speciem ejus deformissimam efficit. Sed divinus sermo eumdem, sicut ros florem aut herbam, quasi rursum erigit. Tales erunt, inquit, et qui ex Jacob genus ducunt inter gentes, sermonibus pietatis credentium animas veluti rore quodam perfundentes et doctrinis evangelicis abunde impinguantes. Et sicuti cum agnis multum et viridans pabulum est propositum, tunc sane luxuriant et saliunt; ita, ut arbitror, docentium animus eorum qui docentur et sacris eruditur facilitatem et obedientiam alimentum et delectationem suam facit. Itaque Dominus noster Jesus Christus Sama-

[83] Isa. x, 12, 13. [84] Gen. x, 7-10. [85] Isa. x, 22; Rom. ix, 27.

Digitized by Google

ritanorum obsequendi promptitudinem quasi propriam et sibi accommodatam alimoniam ducebat. Ait enim apostolis : « Ego cibum habeo manducare, quem vos nescistis [25]. » Illico declarandi causa subdit : « Meus cibus est, ut faciam voluntatem ejus qui misit me, et perficiam opus ejus [26]. » Cibus ergo et deliciæ sanctorum opus Dei est. Persultabunt igitur, inquit, qui sunt de progenie Jacob, quasi gramen, id est, bene florentem herbam tondentes, et eos qui de gentibus crediderunt quasi depascentes, adeo dilatatam prædicationis viam invenient, ut adversum eos congregari, et subsistere contra illos nemo possit, hoc est, neque congredi cum illis, neque eorum impetum sustinere, hoc enim sibi vult hoc loco ὑποστῆναι, *subsistere*, si qui de filiis hominum eos afflictare constituerint. Multa quippe a multis adversum eos cogitata et incepta sunt, quæ tamen eis nihil obfuerunt, Deo potentium furores comprimente, et admirabiliter ab omni tentatione eos liberante, salvosque et incolumes præstante.

VERS. 8, 9. *Et erunt reliquiæ Jacob in gentibus in medio populorum multorum quasi leo* 442 *inter jumenta in saltu, et quasi catulus leonis in gregibus ovium. Quemadmodum cum pertransierit, et dividens rapuerit, et non fuerit qui eruerat. Elevabitur manus tua super eos qui tribulant te, et omnes inimici tui disperdentur.*

LI. Utiles et memorabiles narrationes, quamvis iterentur, molestia carent et jucunditate demulcent. Reliquiæ igitur Jacob, inquit, hoc est, de genere Jacob per fidem in Christum salvati, et evangelicorum oraculorum præcones sacerdotesque constituti, inter gentes instar roris erunt, pascenturque ut agni per herbam pulchram et uberem salientes. Erunt nihilominus ut leo inter jumenta saltus, rugitum edens vehementem et horribilem, et remotos etiam metu percellens. Erunt etiam ut catuli leonis in grege, generose nimirum contra insurgentes. Dominus enim noster Jesus Christus sanctis discipulis suis dicebat : « Ecce ego mitto vos sicut oves in medio luporum [27], » hoc est, mites et modeste vos gerentes. Eorum fortitudo corda oppugnantium eos confregit, multamque ipsis venerationem conciliavit. Sic inimicos superarunt et adversarios devicerunt. Lupis terribiles facti sunt, quanquam ovium locum ordinemque tenerent. Effugerunt insidias, « pericula latronum, ut beatus Paulus scribit, pericula ex genere, pericula ex falsis fratribus [28], » et haud secus quam a leonibus gentium greges ab iis diripiebantur. Qui autem eas propriis voluntatibus ad exitium paverat Satanas, opem contra ferre non poterat, et quod ad salutem captum fuerat, de manibus apostolicis eripere non valebat. Atque hoc nempe est, quod ad eum per Habacuc dicitur : « Væ qui multiplicat sibi quæ non sunt sua! Usquequo? et aggravat densum lutum contra

A νιον, καὶ τῶν μυσταγωγουμένων, τὸ εὐπειθές. Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τὴν Σαμαρειτῶν εὐπείθειαν ἰδίαν ὥσπερ, καὶ αὐτῷ πρέπουσαν ἐποιεῖτο τροφήν. Ἔφη γὰρ τοῖς ἀποστόλοις· « Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. » Εἶτα τοῦτο δηλῶν, προσετίθει λέγων· « Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. » Βρῶμα δὴ οὖν τοῖς ἁγίοις, καὶ τροφὴ, τὸ ἔργον τοῦ Θεοῦ. Κατορχήσονται τοίνυν, φησὶν, ὥσπερ ἄγρωστιν, ἤγουν εὐανθῆ κείροντες πόαν, καὶ οἱονεί πως καταφερβόμενοι τοὺς ἐξ ἐθνῶν πιστεύοντας οἱ ἐξ Ἰακὼβ, κατευρυνομένην οὕτω τοῦ κηρύγματος εὑρήσουσι τὴν ὁδὸν, ὡς μηδένα δύνασθαι συναχθῆναί τε καὶ ὑποστῆναι κατ' αὐτῶν, τουτέστι, μήτε συνελθεῖν, μήτ' ἀντισχεῖν, τοῦτο γὰρ τὸ ὑποστῆναι, εἴ κακοῦν B ἕλοιντό τινες τῶν ἐν υἱοῖς ἀνθρώπων. Πολλοὶ μὲν γὰρ, καὶ παρὰ πολλῶν σκέψεις, καὶ ἐγχειρήματα συντέθειται κατ' αὐτῶν, ἠδίκηνται δὲ οὐδὲν, Θεοῦ κατευνάζοντος τοὺς τῶν ἰσχυόντων θυμοὺς, καὶ παραδόξως αὐτοὺς ἐκ παντὸς ῥυομένου τε καὶ ἀνασώζοντος πειρασμοῦ.

Καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ Ἰακὼβ ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν ὡς λέων ἐν κτήνεσι ἐν τῷ δρυμῷ, καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων. Ὃν τρόπον ὅταν διέλθῃ, καὶ διαστείλας ἁρπάσῃ, καὶ μὴ ᾖ ὁ ἐξαιρούμενος. Ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται.

ΝΑ'. Τὰ χρηστὰ, καὶ ἀξιάκουστα τῶν διηγημάτων, κἂν εἰ διὰ C τῶν αὐτῶν προέρχοιντο λόγων, οὐκ ἂν ἔχοιεν τὸ φορτικὸν, ἔψεται δὲ μᾶλλον αὐτοῖς τὸ ἐπίχαρι. Τὸ κατάλειμμα οὖν τοῦ Ἰακὼβ φησι, τουτέστιν, οἱ ἐξ Ἰακὼβ σεσωσμένοι διὰ τῆς πίστεως τῆς εἰς Χριστὸν, καὶ τῶν εὐαγγελικῶν θεσπισμάτων ἀναδεδειγμένοι κήρυκες καὶ ἱερουργοὶ, ἔσονται ὡς δρόσος ἐν τοῖς ἔθνεσιν, νεμηθήσονται δὲ ὡς ἄρνες, καλῆς καὶ ἀμφιλαφοῦς κατασκαίροντες πόας. Γενήσονται δὲ οὐδὲν ἧττον καὶ ὡσεὶ λέων ἐν κτήνεσι δρυμοῦ, βαθὺ καὶ φρικῶδες καταβρυχόμενος, καὶ μέγα ἐντιθεὶς τὸ δεῖμα καὶ τοῖς μακράν. Ἔσονται δὲ καὶ ὡς σκύμνοι λέοντος ἐν ποιμνίῳ, κατεξανιστάμενοι δηλονότι γενναίως. Ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς ἁγίοις ἔφασκε μαθηταῖς· « Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων, » τουτέστι, πρᾴους μὲν καὶ ὑφειμένους. Ἰδίᾳ δὲ αὐτοῖς ἰσχὺς τὰς τῶν D πολεμούντων συνθραύσει καρδίας καὶ πολύ τι τὸ περὶ αὐτοὺς ἐργάζεται σέβας. Οὕτω κεκρατήκασι τῶν ἐχθρῶν, νενικήκασι τοὺς ἀντεστηκότας. Φοβεροὶ τοῖς λύκοις γεγόνασι, καίτοι προβάτων ἐν τάξει κείμενοι. Διέδρασαν τὰς ἐπιβουλὰς, « κινδύνους ληστῶν, ὡς ὁ μακάριος γράφει Παῦλος, κινδύνους ἐκ γένους, κινδύνους ἐν ψευδαδέλφοις, » καὶ διηρπάζοντο μὲν ὡς ὑπὸ τῶν λεόντων αἱ τῶν ἐθνῶν ἀγέλαι. Ὁ δὲ ἰδίοις αὐτὰς θελήμασι καταδοσκήσας εἰς ὄλεθρον Σατανᾶς, ἐπαμύνειν οὐκ εἶχεν, οὔτε μὴν ἐκσπᾶσαι χειρῶν ἀποστολικῶν τὸ εἰλημμένον εἰς σωτηρίαν. Καὶ τοῦτο ἦν ἄρα τὸ πρὸς αὐτὸν εἰρημένον διὰ φωνῆς Ἀμβακούμ·

[25] Joan. IV, 32. [26] ibid. 34. [27] Matth. X, 16. [28] II Cor. XI, 26.

Digitized by Google

« Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτῷ. Ἕως A se, quia subito consurgent mordentes eum, et vigi-
τίνος; καὶ βαρύνων τὸν πηλὸν αὐτοῦ στιβαρῶς, ὅτι labunt insidiatores tui, et eris in rapinam ipsis.
ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντές αὐτὸν, καὶ ἐκνή- Quia tu spoliasti gentes multas, spoliabunt te om-
ψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς. nes reliqui populi [29].» Mordebant enim illi octo,
Ὅτι σὺ ἐσκύλευσας ἔθνη πολλὰ, σκυλεύσουσί σε πάν- et ab illo congregata ceu catuli leonum diripiebant.
τες οἱ ὑπολελειμμένοι λαοί. » Κατέδακνον μὲν γὰρ Congregaverat enim sibi, quæ non erant ejus; Dei
οἱ ὀκτὼ, καὶ διήρπαζον ὡς σκύμνοι τὰ παρ' ἐκείνου enim est homo, quin ne Dei quidem penitus. Verum-
συνηθροισμένα. Συναγήγερκε γὰρ αὐτῷ τὰ οὐκ ὄντα tamen a « reliquis populis » spoliatus est, ut rursum
αὐτῷ, Θεοῦ γὰρ ὁ ἄνθρωπος· μᾶλλον δὲ καὶ οὐδὲ evangelicorum **443** oraculorum sacros ministros
ἐκείνου παντελῶς. Πλὴν ἐσκυλεύετο παρὰ « τῶν ὑπο- et interpretes intelligas. Deinde Christus eos cor-
λελειμμένων λαῶν, » ἵνα πάλιν ἐννοῇς τῶν εὐαγγε- roborans, et conservans, sic affatur : « Exaltabitur
λικῶν θεσπισμάτων τοὺς ἱερουργούς. Εἶτα πρὸς αὐ- manus tua super tribulantes te, et omnes inimici
τοὺς ὁ ἐνισχύων αὐτοὺς, καὶ συνέχων Κύριος· « Ὑψω- tui disperdentur. » Vicerunt enim in Christo, ut
θήσεται, φησὶν, ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε, dixi, et omnibus insidiis majores fuerunt, in mundo
καὶ πάντες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται. » Νενι- splenduerunt, hostes domuerunt, perditosque Deo
κήκασι γὰρ, ὡς ἔφην, ἐν Χριστῷ, καὶ ἀμείνους ἦσαν B recuperarunt.
ἁπάσης ἐπιβουλῆς, καὶ διέλαμψαν ἐν κόσμῳ, καὶ κατεκράτησαν ἐχθρῶν, Θεῷ κατακτώμενοι τοὺς ἀπολω-
λότας.

Καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύριος, ἐξολοθρεύσω τοὺς ἵππους σου ἐκ μέσου σου, καὶ ἀπολῶ τὰ ἅρματά σου. Καὶ ἐξολοθρεύσω τὰς πόλεις τῆς γῆς σου· καὶ ἐξαρῶ πάντα τὰ ὀχυρώματά σου· καὶ ἐξολοθρεύσω τὰ φάρμακά σου ἐκ τῶν χειρῶν σου· καὶ ἀποφθεγγόμενοι οὐκ ἔσονται ἐν σοί. Καὶ ἐξολοθρεύσω τὰ γλυπτά σου, καὶ τὰς στήλας σου ἐκ μέσου σου· καὶ οὐκ ἔτι μὴ προσκυνήσῃς τοῖς ἔργοις τῶν χειρῶν σου. Καὶ ἐκκόψω τὰ ἄλση ἐκ μέσου σου· καὶ ἀφανιῶ τὰς πόλεις σου. Καὶ ποιήσω ἐν ὀργῇ καὶ θυμῷ ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἀνθ' ὧν οὐκ εἰσήκουσαν.

VERS. 10-14. *Et erit in die illa, dicit Dominus, interficiam equos tuos de medio tui, et disperdam currus tuos. Et subvertam civitates terræ tuæ, et auferam omnes munitiones tuas, et perdam omnia veneficia tua de manibus tuis, et qui loquantur, non erunt in te. Et disperdam sculptilia tua, et statuas tuas de medio tui et non adorabis ultra opera manuum tuarum. Et succidam lucos tuos de medio tui et demoliar civitates tuas. Et faciam in ira, et in furore ultionem in gentibus, pro eo quod non audierunt.*

NB'. Ἐπανήκει πάλιν ὁ λόγος ἐπὶ τὰ σκυθρωπὰ, LII. Redit sermo ad tristia, et in narrationem
καὶ καταλήγει μὲν τέως τῶν ἐπὶ Χριστῷ λαμπρῶν, rerum de Christo eximiarum et admirabilium de-
καὶ ἀξιαγάστων διηγημάτων. Συνείρει δὲ ὥσπερ τοῖς C sinit. Continuantur autem hæc antecedentibus quo-
ὀπίσω ταυτὶ, καὶ τὰ ἐξ ὀργῆς ἐσόμενα δηλοῖ. Ἔφη dammodo, et quæ ex ira divina profectura sint,
τοίνυν· « Ὅτι καὶ σὺ πύργος ποιμνίου αὐχμώδους, ante oculos ponunt. Dixit igitur : « Quoniam et tu
θύγατερ Σιὼν, ἐπὶ σὲ ἥξει, καὶ εἰσελεύσεται ἡ ἀρχὴ, turris gregis squalidi, filia Sion, super te veniet, et
ἡ πρώτη, βασιλεία Βαβυλῶνος. » Τότε δὴ οὖν, τότε, ingredietur principatus primus, regnum Babylo-
φησὶν, οἰχήσεται μέν σοι τὸ ἱππικὸν, συνδιολεῖται nis [30]. » Tunc ergo, tunc inquit, peribit equitatus
δὲ τούτῳ καὶ ὀχημάτων ἀγερωχία, καταδῃωθή- tuus, et simul cum eo peribit curruum superbia,
σονται δὲ καὶ πόλεις, καὶ αὐτῶν τῶν τειχῶν ἔρημος devastabuntur quoque urbes, et mœnibus ipsis
ἔσῃ· κατεπίμπρασαν γὰρ αὐτοῖς ἀνδράσι τὰς πόλεις destitueris : Babylonii quippe una cum incolis urbes
οἱ Βαβυλώνιοι, τὰ δέ γε τῆς σῆς ἐπινοίας ἐπιτηδεύ- inflammarunt; commentationis autem tuæ studia,
ματα, γοητεῖαί τε καὶ ψευδομαντεῖαι, καὶ αὐτὰ τὰ τῆς incantationes et mentita vaticinia, et ipsæ fallaciarum officinæ, fana simul cum idolis funditus
ἀπάτης ἐργαστήρια, τεμένη δὲ πάντως ὁμοῦ τοῖς evertentur, atque ab ipsis fundamentis luci eruen-
εἰδώλοις ἐξολοθρευθήσονται, καὶ ἐκ βάθρων αὐτῶν tur. Et quid postea? judicium nobile, et supplicii
πεσεῖται τὰ ἄλση. Καὶ τί τὸ ἐντεῦθεν; διαβόητος ἡ modus non latebit gentes finitimas. Cognoscent
δίκη, καὶ ὁ τῆς ποινῆς τρόπος οὐκ ἂν διαλάθοι τοὺς autem, ideo omnia passos, quia non audierunt,
ὁμόρους τῶν ἐθνῶν. Γνώσονται δὲ, ὅτι δὴ πάντα συν- D hoc est, ipsorum rebellionis crimina. Rursum, præ-
έβη παθεῖν αὐτοὺς ἀνθ' ὧν οὐκ εἰσήκουσαν, τουτέστι, fractis et contumacibus Sapientia tale quiddam dicit.
τὰ τῆς ἀπειθείας ἐγκλήματα. Ἔφη τι τοιοῦτον τοῖς « Quoniam extendebam sermones meos, et non
ἀχάλινον ἔχουσι τὸν λογισμὸν καὶ ἡ σοφία πάλιν· attendebatis, igitur et ego in interitu vestro ridebo,
« Ἀνθ' ὧν ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε, τοι- et gaudebo quando supervenerit vobis pernicies, et
γαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, κα- quando advenerit vobis subito tumultus, et sub-
ταχαροῦμαι δὲ ἡνίκα ἂν ἔρχηται ὑμῖν ὅλεθρος, καὶ versio tanquam tempestas adfuerit [31]. » Fructus
ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος, ἡ δὲ καταστροφὴ enim divinæ aversionis sunt ira et furor, tribu-
ὁμοία καταιγίδι παρῇ. » Καρποὶ γὰρ ἀποστροφῆς latio et angustia. **444** Deum igitur ad utilitatem
ὀργὴ καὶ θυμὸς, θλῖψις καὶ στενοχωρία. Δεῖ οὖν,

[29] Habac. II, 6-8. [30] Supra, IV, 8. [31] Prov. I, 25, 26.

Digitized by Google

absque ulla cunctatione sequi celeriter oportet, et quæ illi grata sunt præstare : tarditas enim, et segnities in recte factis, magnum nobis detrimentum pariet, et in miserias magnas devolvet. Vide porro quemadmodum et pœnas commissorum repetens Deus iterum commodat. Israelem namque a detestanda idololatria, ab aris, a delubris, a sacrificiis et ab adoratione operum manuum suarum liberat. Non ergo infructuosum est corripi, verum si id in judicio, et non in furore fiat, juxta prophetæ vocem [22]. »

Ac si quis hæc Judæis, qui Christum indignissime habuerunt, hæc contigisse dicat, scopum tanget. Eorum enim civitates devastatas, et quidquid hominum tolerandæ militiæ idoneum fuit, Romanorum manibus consumptum esse, verum est. Et fortasse veteris idololatriæ pœnas expenderunt, etsi erat adhuc apud eos qui creaturam adorare non recusarent, et magicas artes colerent. Solent enim ista semper comitari eos qui simulacrorum cultui se aliquando consecrarunt, et nihil est apud eos, quamvis absurdissimum, de quo illi non præclare sentiant.

CAP. VI.

Vers. 1, 2. *Audite igitur quæ Dominus dixit : Surge, et judicare contra montes, et audiant colles vocem tuam. Audite, colles, judicium Domini, et valles, fundamenta terræ. Quia judicium Domino adversus populum ejus, et cum Israel dijudicabitur.*

LIII. Habet vim pudefaciendi sermo, Judæorumque stuporem quasi insectatur, qui et ipsa Dei verba nihili faciant, ad eos habita mansuete, et moderate, et tanquam a patre ad filios, sinceram erga eos charitatem demonstrante, facienteque ut pertinaciam suam nulla tegere excusatione possint. Solet autem bonorum amans Deus horribilium prædictione nonnunquam prius terrorem afferre peccatoribus, non tamen ullo verborum blandimento delinitos, et salutem desperantes relinquere, sed simul iis quæ eventura prænuntiat, cohortationem decentem adjungere, et quasi semitam ipsis ad effugiendum servare, si ad pœnitentiam recurrere velint. Id quod nunc etiam ex insita lenitate denuo facit. « Audite igitur, inquit, quæ Dominus dixit. » Quid autem mihi imperavit ? « Surge, et judicare **445** contra montes, et audiant colles vocem tuam. » Simile etiam istud est voci Isaiæ : « Audi, cœlum, et auribus percipe, terra, quia Dominus locutus est [23]. » Fortassis namque virtutes intelligibiles, montes et colles nominavit, quæ universum hoc rerum naturæ opus juxta Dei voluntatem tuentes ac foventes, dæmonum imposturas ac fraudes a mortalibus arcent. Quoniam autem divinæ mansuetudinis magnitudinem ipsæ præ aliis cognoscunt, et quantam nostri curam gerat Deus, ex iis quæ ejus legibus obtemperantes nobis præstant, compererunt, ad illas ipsas

[22] Jerem. x, 21. [23] Isa. I, 2.

καὶ λίαν ἀμελλητὶ Θεῷ καλοῦντι πρὸς τὸ συμφέρον ἕπεσθαί τε γοργῶς, καὶ τὰ αὐτῷ θυμήρη πληροῦν· ὡς τό γε βραδὺ, καὶ ῥᾴθυμον εἰς τὸ δρᾶν ἐλέσθαι τὸ ἀγαθὸν, πρὸς πολλῆς ἡμῖν ἔσται ζημίας, καὶ πικροῖς ἐνίησι πόνοις. Θέα δὲ ὅπως καὶ δίκας αἰτῶν ἡμαρτημένων ὀνίνησι Θεός. Ἀπαλλάττει γὰρ τὸν Ἰσραὴλ βδελυρᾶς εἰδωλολατρίας, βωμῶν, τεμενῶν, θυσιῶν, καὶ τοῦ προσκυνεῖν τοῖς ἔργοις τῶν ἰδίων χειρῶν. Οὐκοῦν οὐκ ἀνόνητον τὸ παιδεύεσθαι, πλὴν εἰ καὶ ἐν κρίσει γένοιτο, καὶ μὴ ἐν θυμῷ, κατὰ τὴν τοῦ προφήτου φωνήν.

Εἰ δὲ δή τις λέγοι ταῦτα συμβῆναι τοῖς Ἰουδαίοις πεπαρῳνηκόσιν εἰς Χριστὸν, οὐχ ἁμαρτήσει τῆς ἀληθείας. Καὶ γάρ ἐστιν ἀληθὲς, ὡς ἠρήμωνται μὲν αἱ παρ' αὐτοῖς πόλεις, ἀπόλωλε δὲ καὶ πᾶν μάχιμον γένος ταῖς Ῥωμαίων χερσὶ δαπανώμενον. Καὶ τάχα που τῆς ἀρχαίας εἰδωλολατρίας ἐξῄτηνται λόγους, εἰ καὶ ἦσαν παρ' αὐτοῖς οἱ προσκυνεῖν ἔτι τῇ κτίσει βουλόμενοι, καὶ γοητειῶν ἀπτόμενοι. Φιλεῖ γάρ πως ἀεὶ τοῖς εἰδωλολατρεῖν ᾠρημένοις ἕπεσθαι ταυτὶ, καὶ οὐδέν ἐστι παρ' αὐτοῖς τῶν ἄγαν ἐκτοπωτάτων, ὃ φαύλην ἔχει τὴν δόξαν.

ΚΕΦΑΛ. Ϛ'.

Ἀκούσατε δὴ ἃ ὁ Κύριος εἶπεν· Ἀνάστηθι, καὶ κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν οἱ βουνοὶ φωνῆς σου. Ἀκούσατε, βουνοὶ, τὴν κρίσιν τοῦ Κυρίου, καὶ αἱ φάραγγες θεμέλια τῆς γῆς. Ὅτι κρίσις τῷ Κυρίῳ πρὸς τὸν λαὸν αὐτοῦ, καὶ μετὰ τοῦ Ἰσραὴλ διελεγχθήσεται.

ΝΓ'. Ἐντρεπτικὸς μὲν ὁ λόγος, καὶ οἱονεὶ κατακέκραγε τῆς τῶν Ἰουδαίων ἀναισθησίας, οἳ καὶ αὐτοὺς παρ' οὐδὲν τοὺς θείους ἐποιοῦντο λόγους, οἷπερ ἂν γένοιντο πρᾴως τε καὶ ὑφειμένως, καὶ ὡς πατρὸς πρὸς τέκνα τὸ τῆς ἀγάπης γνήσιον ὑποφαίνοντος, καὶ ἀπροφάσιστον αὐτοῖς ἀποτελοῦντος τὸ ἐξήνιον. Ἔθος δὲ τῷ φιλαγάθῳ Θεῷ προαγορεύσει μὲν τῶν δεινῶν προεκδείματοῦν ἑαυτὸ' ὅτε τοὺς ἡμαρτηκότας· οὐ μὴν ἐᾷν ἀμαλθάκτους, καὶ ἀπεγνωκότας, ἀλλ' ὁμοῦ τοῖς συμβήσεσθαι μέλλουσι τὸν τῆς παρακλήσεως κόσμον λύειν, καὶ τόμον ὥσπερ αὐτοῖς τοῦ διαδρᾶναι τηρεῖν, εἰ παλινδρομεῖν ἔλοιντο πρὸς μετάγνωσιν. Τοῦτο οὖν ἐξ ἐμφύτου πάλιν ἐργάζεται γαληνότητος. « Ἀκούσατε τοίνυν, φησὶν, ὅσα ὁ Κύριος εἶπε. » Τί δέ μοι προστέταχεν ; « Ἀνάστηθι, καὶ κρίθητι πρὸς τὰ ὄρη, καὶ ἀκουσάτωσαν οἱ βουνοὶ φωνῆς σου. » Ἔοικε μὲν οὖν τῷ διὰ φωνῆς Ἡσαΐου καὶ τοῦτο· « Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, ἡ γῆ, ὅτι Κύριος ἐλάλησεν. » Ὄρη γάρ που τάχα καὶ βουνοὺς τὰς νοητὰς ὀνομάζει δυνάμεις, αἳ τόδε τὸ σύμπαν περιέπουσι κατὰ βούλησιν Θεοῦ, τὰς τῶν δαιμόνων πλεονεξίας ἀποσοβοῦσαι τῶν ἐπὶ τῆς γῆς. Ἐπειδὴ δὲ τῆς τοῦ Θεοῦ γαληνότητος τὴν ὑπερβολὴν αὗται πρό γε τῶν ἄλλων ἐπιγινώσκουσιν, ὅσην τε τῶν καθ' ἡμᾶς ἐποιεῖτο φροντίδα μεμαθήκασιν ἐξ ὧν ἐνεργοῦσιν εἰς ἡμᾶς, τοῖς παρ' αὐτοῦ πειθόμενοι νόμοις, ἐπ' αὐτῶν γενήσεσθαι δεῖν τὴν κρίσιν ἐντέλλεται. Εἰκὸς δὲ δή τινα καὶ ἕτερον νοῦν τὸν προφητικὸν ἡμῖν ὑποφαίνειν λόγον. Ἐπειδὴ γὰρ ὄρη τε καὶ βου-

Digitized by Google

νοὺς καταλαμβάνοντες οἱ ἐξ Ἰσραὴλ ἐκεῖ τελετὰς, καὶ θυσίας τοῖς δαιμονίοις προσῆγον ὑποκάτω δρυὸς, καὶ πεύκης, ταύτῃτοι λοιπὸν πρὸς βουνοὺς αἱ κρίσεις, ἐν οἷς ἦσαν ἐναργῆ τῶν κατηγορουμένων ἐγκλήματα. Εἰκὸς δὲ βουνοὺς καὶ θεμέλια τῆς γῆς ὀνομάζειν αὐτὸν τοὺς ὑπερκειμένους ἐν δόξῃ, καὶ ὑπεραίροντας τὴν τῶν ἀγελαίων πληθὺν, οἳ καὶ μάλιστα γεγόνασι τοῖς ὑπὸ χεῖρα καὶ ὁδὸς καὶ πάγη πρὸς ὄλεθρον. Ἔφη γάρ που πρὸς αὐτοὺς, ὅτι « Πρὸς ὑμᾶς ἐστι τὸ κρίμα, ὅτι παγὶς ἐγενήθητε τῇ σκοπιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον. » Ὦ τοίνυν, φησὶ, τῶν ἄλλων ὑπερανεστηκότες, ὦ θεμέλια τῆς γῆς, τουτέστιν, ἐφ' οἷς τὰ τῶν ἄλλων ἐρήρεισται πράγματα, ἀκούσατε τὴν πρὸς ὑμᾶς κρίσιν τοῦ πάντων Κυρίου. Ἀλλ' ὁ γε φρονῶν ὀρθῶς ᾄδει, καί φησι πρὸς τὸν τῶν ὅλων Δεσπότην· « Μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. » Περιέσται γὰρ πάντως ὁ πάντα εἰδὼς, « Καὶ καυχήσεται οὐδεὶς ἁγνὴν ἔχειν τὴν καρδίαν. Οὐδεὶς ἂν γένοιτο καθαρὸς ἀπὸ ἁμαρτιῶν. » Πάνδεινον οὖν ἄρα τὸ κρίνεσθαι πρὸς Θεόν. Ἰστέον δὲ ὅτι ἡ μὲν τῶν Ἑβδομήκοντα αἵρεσις ἔχει τὸ φάραγγες, ἡ δὲ τῶν Ἑβραίων βουνοὺς ὀνομάζει καὶ θεμέλια τῆς γῆς, ἵνα γνῶμεν διὰ μὲν τῶν βουνῶν τὸ οἷον ἦρθαι τοὺς τῶν λαῶν ἡγουμένους, καὶ τὸ τῶν ἄλλων ὑπερέχειν, θεμέλια δὲ τοὺς αὐτούς. Οἱ γὰρ τῶν χωρῶν ἢ πόλεων ἡγούμενοι, ὥσπερ εἰσὶ περιφανεῖς τὴν δόξαν, ἠρμένοι τε πρὸς τὸ ὑψοῦ, οὕτως εἶεν ἂν θεμέλια, τουτέστιν, ἔρεισμά τι, καὶ ὑπόβαθρον τῶν πραγμάτων· βέβηκε γὰρ ἐπ' αὐτοῖς, καὶ ἐνίδρυται τὰ τῶν ἑτέρων πράγματα, καθάπερ ἔφην ἀρτίως.

A judicium fieri mandat. Verisimile est porro alium quoque sensum propheticis verbis insinuari. Quia enim Israelitæ montes et colles petentes, ibi mysteriis fungebantur, et dæmonibus sacrificia sub quercu et picea offerebant, idcirco deinceps judicia contra montes et colles fiunt, in quibus erunt manifesta peccata eorum qui accusantur. Consentaneum est item colles et fundamenta terræ appellari a propheta gloria præcellentes, et plebeiæ multitudini præstantes, sive optimates, qui potissimum subditis et via et laqueus ad perniciem exstiterunt. Ait enim alicubi ad eos : « Ad vos est judicium, quia laqueus facti estis speculationi, et ut rete expansum super Thabor [34]. » Ait igitur : O qui supra alios ascendistis, o fundamenta terræ, hoc B est, quibus aliorum res nituntur, audite contra vos judicium Domini universorum. Sed qui recte sapit, cantat, et dicit Domino universorum, « Ne intres in judicium cum servo tuo [35]. » Vincet enim omnino, qui novit omnia : « Et nemo gloriabitur castum se habere cor. Nemo mundus est a peccatis [36]. » Periculosissimum est itaque cum Deo venire in judicium. Sciendum porro Septuaginta editionem habere valles, Hebræorum autem editio colles et fundamenta nominat, ut per colles principes populorum quasi in fastigio locatos, aliis eminere, eosdem quoque fundamenta intelligamus. Qui enim regionibus aut urbibus præsunt, sicuti sunt gloria eminentes, et in honorum culmen sublati, C sic etiam sunt fundamenta, hoc est firmamentum et basis quædam rerum : aliorum namque res, sicut modo dixi, ipsis fulciuntur ac innituntur.

Λαός μου, τί ἐποίησά σοι, ἢ τί σε ἐλύπησα, ἢ τί σοι παρηνώχλησα; Ἀποκρίθητί μοι. Διότι ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου, καὶ ἐξ οἴκου δουλείας ἐλύτρωσά σε, καὶ ἐξαπέστειλα πρὸ προσώπου σου τὸν Μωσῆν, καὶ Ἀαρὼν, καὶ Μαριάμ.

Vers. 3, 4. *Populе meus, quid feci tibi, aut in quo molestus fui tibi? Responde mihi. Quia eduxi te de terra Ægypti, et de domo servitutis redemi te, et misi ante faciem tuam Mosen, et Aaron, et Mariam.*

ΝΔ'. Δικάζεται Θεὸς ἀπὸ προσώπου προφήτου φωνῆς ἀπόφασιν ἀποφαίνων τῶν εἰς αὐτὸν δεδυσσεβηκότων τῆς ἀποστασίας τὸν τρόπον, καὶ πέρα λόγου τοῦ πρέποντος, μᾶλλον δὲ καὶ ἀποπληξίας ἁπάσης τὰ τολμήματα, καὶ τὸ τῆς ἀποπληξίας μέγεθος, ἀσύνηθές τε καὶ μέγα καὶ αὐτοῖς που τάχα τοῖς λίαν ἀγνώμοσι. Ποία γάρ μοι, φημὶ, τῶν εἰς ἐμὲ δεδυσσεβημένων ἡ πρόφασις; Τί δὲ τὸ φορτικὸν τῶν ἐμῶν θεσπισμάτων, ἤτοι λυποῦν; Εἰς ἐμὲ ἦκε, δεικνὺς ὅτι ἡμάρτηκα τοῦ εἰκότος, ὅτι σε δουλείας ἀπήλλαττον πηλοῦ, καὶ πλινθίας, καὶ τῶν ἐντεῦθεν ἱδρώτων· ὅτι δὲ ἀδικοῦσι τοῖς Αἰγυπτίοις καὶ αὐτὴν ἐξώπλιζον τὴν κτίσιν, καὶ διέσωζον τοὺς ἐμοὺς, ἐγκαλέσεις που τάχα καὶ αὐτὸν σὺν ἐμοὶ τὸν παιδαγωγὸν, φημὶ δὴ Μωσέα, τὸν ἀκλεᾶ σύνεσιν ἀποφέροντα, καὶ παραδεικνύντα σαφῶς τὸ ἀνδάνον Θεῷ, ἵνα ἔχοις ἀκράδαντον τὸ διαβιῶναι λαμπρῶς. Οὐ μετρίαν δὲ τάχα καὶ αὐτὴν ποιήσῃ τῆς ἱερουργίας τὴν καταβολήν (1);

446 LIV. Judicio contendit Deus, in persona prophetæ demonstrans, qua ratione impii illi secus quam decuit a se desciverint, imo vero ausus omnis amentiæ plenissimos, et insaniæ magnitudinem, singularemque facinoris insolentiam etiam eorum fortasse judicio, qui sunt vehementer ingrati. Quæ D enim a me data est occasio, inquam, eorum quæ adversum me scelerate patrata sunt? Quod jussorum meorum onerosum, quod molestum? Contra me veni, et iniqui me convince, quod te servitute luti ac lateris, et sudoribus illis liberaverim [37]; quod in Ægyptios inique affligentes creaturam ipsam armaverim, et meos servaverim, fortasse mecum in crimen vocabis, et ipsum a me datum pædagogum, seu institutorem, Mosen, inquam, abducentem te a cogitationibus humilibus et abjectis, et perspicue Deo placita demonstrantem, ut vitam illustrem continenter traduceres. Fortasse et ipsam

[34] Osee v, 1. [35] Psal. CXLII, 2. [36] Prov. XX, 9. [37] Exod. XIV.

(1) Cotelerius (*Monum. E. G.*, II, 533) legendum monet καταβοήν.

Digitized by Google

institutionem sacerdotii floccipendes. Ego siquidem delegi Aaronem, et inter Deum ac vos sequestrum esse jussi. Oh hoc ipsum indignamini? Quid jam de Maria Ægyptiis pereuntibus insultante, et choros ducentibus præeunte dicam? Cecinit, cecinit pulsando tympanum, « equum et ascensorem ejus suffocatos in mari [38]. » Verum istud tibi, et victoria ipsa Dei aversabilis est, et pro nihilo eam ducis, qui tibi potestatem per medias undas transeundi dedit, et hostibus mare infestum reddidit. Festive igitur expostulat, ad acceptorum donorum recordationem eos exsuscitans, et quasi urbane ipsis eorum oblivionem objiciens, quorum semper meminisse, et ut omnium communem Servatorem prompta ad omnia voluntate vicissim recreare melius fuerat.

A Ἐγὼ μὲν γὰρ κέκρικα τὸν Ἀαρὼν, καὶ μεσιτεύειν προστέταχα Θεῷ καὶ ὑμῖν. Ἀσχάλλετε δὲ καὶ πρὸς τοῦτο αὐτοί; Τί δ' ἂν εἴποιμι τὴν Μαρίαν, τὴν τοῖς Αἰγυπτίοις ἀπολωλόσιν ἐπιτωθάζουσαν, καὶ ταῖς χορευούσαις ἐξάρχουσαν; Ἤδε γὰρ, ἥδε κατακτυποῦσα τὸ τύμπανον, « ἵππον τε καὶ ἀναβάτην καταπεπνιγμένους ἐν ὕδατι. » Ἀλλά σοι τό γε καὶ τὸ νικᾶν ἀπευκτὸν, καὶ ἐν λόγῳ μηδενὶ τοῦ Θεοῦ, σοὶ μὲν διὰ μέσων ἐξιέναι κυμάτων ἐξεῖναι διδόντι, ἀνήμερον δὲ τοῖς ἐχθροῖς ἀποτελοῦντι τὴν θάλασσαν. Ἐν ἤθει δὴ οὖν ποιεῖται τὰς μέμψεις, ὧν ἐσχήκασιν ἀγαθῶν διανιστὰς εἰς ἀνάμνησιν, καὶ οἱονεί πως κατονειδίζων ἀστείως ὡς λήθην εἰσδεδεγμένους, ὧν ἦν ἄμεινον μεμνῆσθαι διαπαντὸς, καὶ ταῖς εἰς πᾶν εὐπειθείαις ἀντευφραίνειν ὡς πάντων Σωτῆρα.

B

Eduxit et nos ipsos ex Ægypto spirituali, hoc est, e tenebris, et fraudibus diabolicis, et luto ac latere, affectionibus scilicet carnalibus. Trajecit et per mare nascentes inde distractiones, et acerbis quasi periculorum fluctibus inde exsistentibus liberavit, divinasque leges in animum insculpsit. Sacerdotem præterea creavit salutis nostræ auctorem [39]. Ac velut Mariam emisit, Ecclesiam utique, hostium insidiis superiorem, servatorique Deo gloriam insigniter rependentem. In Ecclesia enim perpetuo hymni, et gratiarum actiones, et divinorum beneficiorum laudationes, ac prædicationes vigent. Cavendum igitur nobis quoque, ne forte in 447 Judaica scelera prolabamur, et ne intolerabile existimemus, quod Deo placet. Nam ut beatus Joannes scribit, « Mandata ejus gravia non sunt [40]. » Et ipse Christus ait : « Jugum meum suave, et onus meum leve [41]. » Offeramus igitur Deo promptum animum, quoniam onerosum nihil imperat.

Ἐξήγαγε δὲ ἡμᾶς αὐτοὺς ἐξ Αἰγύπτου νοητοῦ, τουτέστιν ἐκ σκότου, καὶ δαιμονίης πλεονεξίας, καὶ πηλοῦ, καὶ πλινθίας, σαρκικῶν δηλονότι παθῶν. Διεβίβασε καὶ θάλασσαν τοὺς ἐντεῦθεν περισπασμοὺς, μονονουχὶ καὶ πικρῶν ἀπήλλαξε κυμάτων ἐπ' αὐτοῖς κινδύνων, καὶ νόμους τοὺς θείους εἰς νοῦν ἐνεχάραξεν. Ἀνέδειξε δὲ καὶ ἱερουργὸν τὸν τῆς σωτηρίας ἡμῶν ἀρχηγόν. Ἐξαπέστειλε δὲ ὥσπερ καὶ Μαριὰμ, δῆλον δὲ ὅτι τὴν Ἐκκλησίαν, ἢ τῆς τῶν ἐχθρῶν ἐπιβουλῆς ὑπερῆρθη, λαμπρῶς ἀντιθεῖσα τὴν δόξαν τῷ σεσωκότι Θεῷ. Ἀεὶ γὰρ ὕμνοι, καὶ χαριστήρια, καὶ τῆς τοῦ Θεοῦ δόσεως ἔπαινοι, καὶ ἀναῤῥήσεις ἐν Ἐκκλησίᾳ. Παραφυλακτέον οὖν καὶ ἡμῖν αὐτοῖς, μὴ ἄρα πως ἡμεῖς τοῖς Ἰουδαϊκοῖς ἐγκλήμασιν ὑποπέσωμεν, καὶ μὴ φορτικὸν ἡγώμεθα, τὸ ἀνδάνον Θεῷ. Ὡς γὰρ ὁ μακάριός φησιν Ἰωάννης, « Αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσι. » Καὶ αὐτὸς δέ φησι ὁ Χριστός· « Ὁ ζυγός μου χρηστὸς, καὶ τὸ φορτιόν μου ἐλαφρόν. » Προσάγωμεν τοίνυν Θεῷ τὸ εὐήνιον, ὅτι τῶν παρ' αὐτοῦ φορτικὸν οὐδέν.

C

Vers. 5. *Populе meus, recordare, quid cogitavit adversum te Balach rex Moab, et quid ei respondit Balaam filius Beor de Schœnis usque Galgala, ut cognosceretur justitia Domini.*

Λαός μου, μνήσθητι δὴ, τί ἐβουλεύσατο κατὰ σοῦ Βαλὰκ βασιλεὺς Μωάβ, καὶ τί αὐτῷ ἀπεκρίθη Βαλαὰμ υἱὸς Βεὼρ ἀπὸ τῶν Σχοίνων ἕως τοῦ Γαλγὰλ, ὅπως γνωσθῇ ἡ δικαιοσύνη τοῦ Κυρίου.

LV. Reprehendit eos rursum, ut qui impie adversus potentiam suam insolentius se extulerint, cum afferre nihil possint quamobrem merito, ut juste dolentes, declinare ad defectionem potuerint. Dignatus sum enim eos, inquit, tanta indulgentia et charitate, ut nec verbis saltem illis maledici sustinuerim. Exsecrabilis enim Balach, Moabitarum rex, Baalam hariolum et augurem mercede conduxit, hortatusque est, ut Israeli male precaretur [42]. Ast universorum Deus quiddam præter opinionem, et eximium fecit, linguam falsi alioqui vatis ad benedictionem convertens. Quod cum Balach crimini daret, et augurem incusaret, mox ad alios colles eum recta abduxit. Deinde jubens excitata ara taurum sacrificare, arbitrabatur fortassis Deum non omni in loco potentem. Sed benedictio reperiebatur

ΝΕ'. Εὐθύνει δὴ πάλιν, ὡς ἀνοσίως ἐξυβρικότας εἰς τὰ αὐτοῦ κράτη, καίτοι λέγειν ἔχοντας οὐδὲν, ἐφ' οἷς ἦν εἰκὸς ἐν δίκῃ λελυπημένους ἀποκλῖναι πρὸς ἀπόστασιν. Ἠξίωσα γὰρ τοσαύτης, φησὶ, τῆς παρ' ἐμαυτοῦ φειδοῦς, καὶ ἀγάπης, ὡς μηδ' ὅσον ἦκεν εἰ λόγους ἀνασχέσθαι δυσφημουμένων. Ὁ μὲν γὰρ ἐπάρατος Βαλὰκ, ὁ Μωαβιτῶν τύραννος κατεμισθοῦτο τὸν Βαλαὰμ γόητα, καὶ οἰωνοσκόπον, εἶτα καταράσασθαι παρεκάλει τὸν Ἰσραήλ. Ὁ δέ γε τῶν ὅλων Θεὸς παράδοξόν τι καὶ ὑπερφυὲς κατειργάζετο, τὴν τοῦ ψευδομάντεως γλῶτταν μετατρέπων εἰς εὐλογίαν. Ἐπίκλημα δὲ ποιουμένου τὸ χρῆμα τοῦ Βαλαὰμ, καταιτιωμένου τε τὸν οἰωνοσκόπον, ἀπεκόμιζεν εὐθὺς ἐφ' ἑτέρους αὐτὸν βουνούς. Εἶτα βωμὸν ἐγείρειν προστάττων, καὶ ταύρους ἱερουργεῖν, ᾤετο τάχα που μὴ ἐν παντὶ τόπῳ δύνασθαι Θεὸν, ἀλλ' ἦν

[38] Exod. xv, 1. [39] Hebr. II, 10. [40] I Joan. v, 7. [41] Matth. xi, 30. [42] Num. xxiii, 24.

Digitized by Google

τύλογεῖσθαι πανταχοῦ, καίτοι περιθέων ἐκ τῶν καλουμένων Σχαινίων, χῶρος δὲ τῆς Μωάβ, ἕως ὄρους Γαλγάλ. Μνήσθητι οὖν τί μὲν ἐβούλετο Βαλάκ, καὶ τί ὁ Βαλαὰμ ἀπεκρίνετο. Ἐγὼ μὲν γὰρ καὶ αὐτὰς ἀνέκοπτον τὰς καθ' ὑμῶν δυσφημίας, οὐδὲ ὅσον ἦκεν εἰς λόγους καταλαλεῖν ἐπιτρέπων τὸν οἰωνοσκόπον. Ὑμεῖς δὲ καὶ τούτου ἀμνημονήσαντες, τὴν ἐμοὶ πρέπουσαν δόξαν ὕλαις ἀψύχοις ἀνατεθείκατε, δαμάλεσι ταῖς χρυσαῖς ἐπιφωνοῦντες, καὶ λέγοντες· « Οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵ σε ἀνήγαγον ἐκ γῆς Αἰγύπτου. » Οὐκοῦν διανέμοντος τοῦ Θεοῦ τὰ ἐξ ἀγάπης ἡμῖν ἀγαθὰ, καὶ πλείστη μὲν ὅση φιλοτιμία καταπαίνοντος, καταδονοῦντος δὲ τοὺς ἐχθροὺς, παραλύοντός τε καθ' ἡμῶν ἐγχειρήματα, τί ἂν δρῴημεν αὐτοὶ τὸ χρῆναι φρονεῖν ὀρθῶς ᾠρημένοι; Ἐκεῖνό που πάντως τὸ δι' ὧν γένοιτο καὶ ἡμᾶς αὐτοὺς ὁρᾶσθαι θεοφιλεῖς. Τοῦτο δέ ἐστι, τὸ τοῖς αὐτοῦ θελήμασιν ἕπεσθαι, καὶ τὸ αὐτῷ θυμῆρες ἀποπεραίνειν εὖ μάλα, μονονουχὶ δὲ τῷ τῆς διανοίας παραστήματι γεγονότας ἐγγὺς, ἐκεῖνο λέγειν τὸ ἐν Ψαλμοῖς· « Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. »

Ἐν τίνι καταλάβω τὸν Κύριον; Ἀντιλήψομαι Θεοῦ μου ὑψίστου; Εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις; Εἰ προσδέξεται Κύριος ἐν χιλιάσι κριῶν, ἢ ἐν μυριάσιν χιμάρων πιόνων; Εἰ δῶ πρωτότοκά μου ὑπὲρ ἀσεβείας, καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου; Εἰ ἀνηγγέλη σοι, ἄνθρωπε, τί καλόν; Ἢ τί Κύριος ἐκζητεῖ παρὰ σοῦ, ἀλλ' ἢ τὸ ποιεῖν κρίμα, καὶ ἀγαπᾷν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου;

ΝΖ'. Ἀπροφάσιστον τοῖς ἐξ Ἰσραὴλ ἀποφήναντος τοῦ Θεοῦ τὴν ἀπόστασιν, καὶ τρόπον τινὰ δικασαμένου, καὶ σαφῶς ἀπελέγξαντος, ὡς εἴη μὲν αὐτὸς κατὰ μυρίους ὅσους εὐεργετήσας τοὺς τρόπους, οἱ δὲ πρὸς ἀμέτρητον ἐληλακότες ἀναισθησίαν λελυπήκασιν οὐ μετρίως τὸν σεσωκότα, τὸ τοῦ μετανοοῦντος εὐθὺς εἰσφέρεται πρόσωπον, οἱονεί πως κλαίοντος ἐπί γε τοῖς ἤδη προπεπαισμένοις, καὶ ζητοῦντος ἀναμαθεῖν, τίνα δὴ τρόπον διακρούσαιτο τὰ ἐγκλήματα, καὶ τῶν Θεῷ φιλτάτων ἀντέχοιτο σπουδασμάτων. Φησὶ τοίνυν· « Ἐν τίνι καταλάβω τὸν Κύριον; » Τί γὰρ προσοίσω; φησί. Τί δὲ δράσαιμι λοιπὸν, ὁ οὕτω προσκεκρουκώς; Ἆρα δὴ μόσχους ἱερουργῶν, νέους τε καὶ ἁπαλοὺς ἔσομαι καθαρός; Ἐπινεύσει δέ μοι ὁ Θεὸς εἰ ἐλοίμην ὁλοκαυτοῦν; Εὕροιμι δ' αὐτόν· τουτέστιν, ἐγγὺς ἔσομαι, καὶ εἰς οἰκειότητα παραδεχθήσομαι τὴν πνευματικὴν, εἰ πολὺ πλῆθος ἀναθείην θρεμμάτων; Ἀλλ' ἐκεῖνα παρεὶς, τῶν τῆς ἐμῆς κοιλίας ἅψομαι θρεμμάτων. Εὐαρεστήσω δὲ ἄρα, καταθύσας αὐτῷ τῶν ἐμῶν θρεμμάτων τὸ ἐξαίρετον, τουτέστι, τὸ πρωτότοκον; Ταῦτά τινος οἱονεί πως διασκεπτομένου καὶ λέγοντος, ἀποκρίνεται πάλιν ὁ προφήτης, καί φησιν ἐν πνεύματι· Οὐκ ἀσυμφανὲς τὸ χρῆμα, καὶ οὐ σὺν ἰδρῶτι ληπτόν. Οἶσθά που τὸ ἀγαθὸν θέλημα τοῦ Θεοῦ· ἀκήκοας τὸ δοκοῦν, καὶ φίλον αὐτῷ. Τοιγαροῦν τί ἐνδοιάζεις, ἄνθρωπε; Ζη-

A ubique, quamvis a Schœniis (loci in Moab nomen est) usque ad montem Galgal circuiret. Quocirca recordare quid voluerit Balach, et quid Balaam responderit. Ego enim et detestationem ipsam contra vos præcidi, nec verbis obloqui augurem permisi. Vos autem, hujus quoque immemores, gloriam mihi debitam rebus inanimis consecratis, vitulis aureis acclamantes, et dicentes : « Hi sunt dii tui, Israel, qui eduxerunt te de terra Ægypti [48]. » Deo igitur ex charitate bona nobis distribuente, et maxima liberalitate nos quasi impinguante, et hostes exagitante, et molitiones eorum in nos dissipante, quid ipsi meliora capessentes consilia faciemus? Illud plane, opinor, per quod et ipsi chari Deo videri possimus. Hoc autem est, ejus voluntatem sequi, et quod ipsi probatur, præstare cumulatissime, et animi quasi præsentia illi junctos, **448** illud ex Psalmis dicere : « Adhæsit anima mea post te [49]. »

VERS. 6-8. *In quo apprehendam Dominum? Suscipiam Deum meum excelsum? Si apprehendam eum in holocaustis, in vitulis anniculis? Si suscipiet Dominus in millibus arietum, aut in decem millibus caprarum pinguium? Si dedero primogenita mea pro impietate, fructum ventris mei pro peccato animæ meæ? Si annuntiatum fuerit tibi, homo, quid bonum? Aut quid Dominus requirit a te, nisi ut facias judicium, et diligas misericordiam, et paratus sis ad ambulandum cum Domino Deo tuo?*

LVI. Cum Israelitis inexcusabilem eorum apostasiam demonstrasset, et quodammodo in judicium eos vocasset, dilucideque probavisset, se mille modis beneficum exstitisse, ipsos contra, immenso quodam stupore oppressos, Servatorem suum non leviter offendisse, mox pœnitentis personam induxit, quasi commissa deflentis, et cupientis cognoscere, quanam via se objectis criminibus exsolvat, et quæ studia Deo acceptissima persequatur. Ait igitur : « In quo apprehendam Dominum? » Quid enim offeram? inquit. Quid agam de cætero, qui tantopere deliqui? Num vitulos nuperos ac teneros sacrificans mundus ero? Annuetne mihi Deus, si holocausta obtulero? Inveniamne ipsum? hoc est, appropinquabo illi, et in familiaritatem spiritualem admittar, si ingentem numerum pecudum ipsi immolavero? Sed, his omissis, ventris mei partus sumam. An placebo, si quod genui, et educavi præcipuum, hoc est, primogenitum, illi sacrificavero? Hæc quopiam secum quasi deliberante, et dicente, propheta respondet, et in spiritu ait : Res non est obscura, nec sudore parabilis. Nosti voluntatem Dei bonam : audisti quid ei placitum et charum sit. Quid ergo dubitas, homo? Quid namque universorum Deus abs te requirit aliud, præterquam « facere judicium, et diligere misericordiam,

[48] Exod. XXXII, 4. [49] Psal. LXII, 9.

Digitized by Google

et paratum esse ambulare cum Domino Deo tuo? » Facere igitur judicium, est operari et implere justitiam. Judicium enim est justitia. Diligere autem misericordiam, est mutui affectus ornamento præditum esse, et fraternæ charitatis gloria circumfluere. **449** Paratum vero esse ambulare cum Deo tuo, facilem et promptam ad omnia obedientiam ostendit. Monet item beatus Paulus [46], induendam nobis loricam justitiæ, et calceandos pedes in præparationem Evangelii pacis, hoc est, Christi. Adjubet etiam, dicens : « Induite viscera misericordiæ [46]. » Quin et ipse Salvator, « Estote misericordes, sicut et Pater vester cœlestis misericors est [47]. » Hoc est gratum Deo acceptumque sacrificium. Odor enim holocaustorum quæ mente duntaxat percipiuntur, sanguine, fumo et thure præstantior est. Illa enim fiebant in figura; hæc autem ipsam Deo veritatem suaveolentem efficiunt, qui et per alium prophetam ait : « Misericordiam volo, et non sacrificium, et scientiam Dei magis quam holocautomata [48]. » Observa item quomodo persona pœnitentis sacrificia legis exsequi meditatur : ast Deus prænonens legem infirmam esse et ad purganda peccata imbecillam, multo vero meliorem et incomparabili excellentia superiorem vitæ in Christo rationem, legalia illa propemodum inacceptabilia facit. Ait autem, velle Deum : « Nos facere judicium, et diligere misericordiam, et paratum esse ambulare cum eo. » Quæ quidem vitæ Christianæ decora et honestamenta sunt.

A τεῖ γὰρ περὶ σοῦ τί ἕτερον ὁ τῶν ὅλων Θεὸς, ἢ ὅτι δὴ μόνον « Τὸ ποιεῖν κρίμα, καὶ ἀγαπᾷν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου; » Τὸ μὲν οὖν ποιεῖν κρίμα, τὸ κατεργάζεσθαι, καὶ πληροῦν ἐστι τὴν δικαιοσύνην. Κρίμα δὲ ἡ δικαιοσύνη. Τὸ δὲ ἀγαπᾷν ἔλεος, τῆς φιλαλληλίας ἔχειν τὰ αὐχήματα, καὶ τῆς εἰς ἀδελφοὺς ἀγάπης καταπλουτεῖν τὴν δόξαν. Τὸ δὲ ἕτοιμον εἶναι πορεύεσθαι μετὰ Κυρίου Θεοῦ σου, τὸ εἰς πᾶν ὁτιοῦν εὐπειθὲς, καὶ εὐήνιον ὑποφαίνει. Δεῖν δὲ ἡμᾶς, καὶ ὁ μακάριος ἔφη Παῦλος, ἐνδύσασθαι μὲν τὸν θώρακα τῆς δικαιοσύνης, ὑποδήσασθαι δὲ τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης, τουτέστι Χριστοῦ. Προσεπιτάττει δὲ, λέγων · « Ἐνδύσασθε σπλάγχνα οἰκτιρμῶν. » Καὶ μὴν καὶ αὐτὸς ὁ Σωτὴρ · « Γίνεσθε οἰκτίρμονες, καθὼς καὶ ὁ Πατὴρ ὑμῶν οἰκτίρμων ἐστί. » Ταῦτα φίλη τε καὶ ἀξιόληπτος θυσία Θεῷ. Ὀσμὴ νοητῶν ὁλοκαυτωμάτων ὑπὲρ αἷμα, καὶ καπνοὺς, καὶ λιβανωτόν. Τὰ μὲν γὰρ ἦσαν ἐν τύποις · τὰ δὲ αὐτὴν εὐωδιάζει Θεῷ τὴν ἀλήθειαν, ὃς καὶ δι' ἑτέρου προφήτου · « Ἔλεον θέλω, καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ ἢ ὁλοκαυτώματα. » Ἐπιτήρει δὲ ὅπως τὸ τοῦ μεταγινώσκοντος πρόσωπον τὰς κατὰ νόμον θυσίας πληροῦν ἐσκέπτετο · Θεὸς δὲ προανσφαίνων ὡς ἀδρανής τέ ἐστι, καὶ ἀνικάνως ὁ νόμος ἔχει πρὸς ἀποκάθαρσιν ἁμαρτίας, παραπολὺ δὲ ἀμείνων, καὶ ἀσυγκρίτως ὑπερκειμένη τῆς ἐν Χριστῷ πολιτείας ἡ δύναμις, ἀπαράδεκτα μὲν ὥσπερ ποιεῖται τὰ κατὰ τὸν νόμον. Ἔφη δὲ ὅτι θελητὸν τῷ Θεῷ, « Τὸ ποιεῖν κρίμα, καὶ ἀγαπᾷν ἔλεος, καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετ' αὐτοῦ. » Ταῦτα δέ ἐστι τῆς ἐν Χριστῷ ζωῆς τὰ αὐχήματα.

B

C

VERS. 9. *Vox Domini super civitatem clamabitur, et salvabit timentes nomen ejus.*

LVII. Etiam alio modo, oblationis per sanguinem nullum esse fructum, spiritualis autem cultus virtutem non mediocriter prodesse manifeste docet. Posuit in his *vocem* pro nomine, sive invocatione. Fortasse ac si diceret : Si forte super civitate nomen Dei celebratum palam seu invocatum fuerit, sine ulla prorsus dubitatione salvabitur. Ne enim, homo, tu existimes, inquam, me sanguinum sacrificiis delectari, aut pro impia et iniqua habere civitatem, ni mihi vitulos in holocausta sacraverit. Sed neque periculo exemerim ullo modo, si boves sacrificare instituerit, neque si ovium cædibus altare cruentaverit : neque si arietum greges obtulerit; invocari super ea nomen Dei, hoc ei ad salutem sufficiet. Est enim plane mea, quæ potentiam meam honorat, et quæ mihi placita sunt ea sentit, et citra procrastinationem exsequitur. Tunc salvabo timentes me. Itaque quando Dei esse dicimur, tunc etiam timemus ipsum, et ab ipso salvamur, et spiritualis cultus talis virtus intelligi jure debet. Hujuscemodi quiddam rerum omnium princeps Deus etiam per os David loquitur : « Audi, populus meus, **450** et loquar tibi, Israel, et testi-

Φωνὴ Κυρίου τῇ πόλει ἐπικληθήσεται, καὶ σώσει φοβουμένους τὸ ὄνομα αὐτοῦ.

ΝΖ'. Καὶ δι' ἑτέρου τρόπου καθίστησιν ἐναργὲς, ὅτι τῆς δι' αἱμάτων προσαγωγῆς οὐδεὶς ὁ καρπὸς, ὀνήσειε δ' ἂν οὐ μετρίως τινὰ τῆς πνευματικῆς λατρείας ἡ δύναμις. Τέθεικε δὲ τὴν *φωνὴν* ἐν τούτοις ἀντὶ τοῦ ὀνόματος, ἤτοι τῆς ἐπικλήσεως. Ὅμοιον δὲ ὡς εἰ λέγοι τυχόν · Εἰ ἐπιφημίζοιτο τῇ πόλει τὸ ὄνομα τοῦ Θεοῦ, πάντη τε καὶ πάντως σωθήσεται. Μὴ γὰρ οἰηθῇς, ἄνθρωπε, φημὶ, ταῖς δι' αἱμάτων ἐφήδεσθαί με θυσίαις, μηδὲ ἀσεβῆ, καὶ ἄνομον ἡγεῖσθαι πόλιν εἰ μὴ προσάγοι μόσχους εἰς ὁλοκαύτωσιν · ἀλλ' οὐδ' ἂν ὅλως σώσαιμι κινδυνεύουσαν, βουθυτεῖν ἠρημένην, κἂν μηλοσφαγίαις μὲν καθαιμάττοιτο τὸ θυσιαστήριον, ἕλοιτο δὲ καὶ κριῶν προσάγειν ἀγέλας · ἀρκέσει δὲ μᾶλλον εἰς σωτηρίαν αὐτῇ τὸ ἐπικληθῆναι τὸ ὄνομα τοῦ Θεοῦ. Ἔστι γὰρ πάντως ἡ τὰ ἐμὰ τιμῶσα κράτη, καὶ τὰ ἐμοὶ θυμήρη δρῶσα ἀμελλητὶ καὶ φρονεῖν ἑλομένη. Τότε σώσω τοὺς φοβουμένους ἐμέ. Οὐκοῦν ὅτε καὶ Θεοῦ λεγόμεθα, τότε καὶ δεδίκαμεν αὐτὸν, καὶ παρ' αὐτοῦ σωζόμεθα, καὶ πνευματικῆς λατρείας ἡ τοιάδε δύναμις νοοῖτ' ἂν εἰκότως. Ἔφη τι τοιοῦτον ὁ τῶν ὅλων Θεὸς καὶ διὰ φωνῆφ τοῦ Δαβίδ · « Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι. Ὁ Θεός σού εἰμι ἐγώ. Οὐκ

D

[46] Ephes. VI, 11-15. [46] Col. III, 12. [47] Luc. VI, 36. [48] Osee VI, 6.

Digitized by Google

ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε, τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού εἰσι διὰ παντός. » Εἶτα τούτοις ἐπενεγκών· « Ὡς οὐ φάγεται κρέα ταύρων, ἀλλ' οὐδ' ἂν ἐκπίοι τὸ τράγων αἷμα. » Πάλιν φησί· « Θύσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου. Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. »

Ἄκουε, φυλὴ, καὶ τίς κοσμήσει πόλιν; Μὴ πῦρ, καὶ οἶκος ἀνόμων θησαυρίζων θησαυροὺς ἀνόμους, καὶ μετὰ ὕβρεως ἀδικίας;

ΝΗ'. Κατὰ φυλήν τε καὶ γένος κατῳκήκασι τὴν Ἰουδαίαν, καὶ μέν τοι καὶ τὴν Σαμάρειαν οἱ ἐξ αἵματος Ἰσραὴλ, κατακληροδοτοῦντος αὐτοῖς τῆς ἐπαγγελίας τὴν γῆν Ἰησοῦ τὸ ἐπίκλην Ναυῆ. Διαλέγεται τοίνυν ὁ Θεὸς καὶ ἰδικῶς ἑκάστῃ, καὶ πάσαις· Ἄκουε δὴ οὖν, ὦ πᾶσα φυλὴ, σώζεται μὲν ἡ πόλις ἥπερ ἂν ἀναφημίζοιτο τὸ ὄνομα τοῦ Θεοῦ. Περιόψεται γὰρ οὐδαμῶς τοὺς φοβουμένους αὐτὸν, ἀλλ' ἔσται τεῖχος ἀπόρθητον, κόσμημά τε καὶ δόξα τοῖς θέλουσι κατορθοῦν τὸ θεοφιλές. Εἰ δὲ δὴ βούλεσθε, φησὶ, καὶ τὸ ἐναντίον ἰδεῖν, τί κοσμήσει πόλιν; οἶκος ἀνόμων, ἢ μετὰ ὕβρεως ἀδικία; Ἆρα, φησὶ, διὰ πολλὴν ἁμαρτίαν εἰ δαπανῷτο πόλις ὑπὸ πυρὸς ταῖς τῶν πολεμίων ἁλοῦσα χερσὶν, εὐσχήμων ἔσται, καὶ καλὴ, λαμπρὰν δὲ, καὶ εὐκλεεστάτην ἀποφήνειεν οἶκος ἀνόμων, ὁ θησαυρίζων θησαυροὺς ἀδικίας, ὠφελήσει δὲ αὐτὴν μετὰ ὕβρεως ἀδικία; Ἀλλ' οὐκ ἐνδοιάσειεν ἂν οὐδεὶς τῶν ὀρθῶς φρονεῖν εἰωθότων, ὅτι δυσκλεᾶ καθίστησι τὰ τοιάδε πόλιν. Οὐ γὰρ ἂν ἦλω, καὶ δεδαπάνητο πυρὶ, μὴ οὐχὶ πάντως προσκρούσασα διὰ πολλὴν ἁμαρτίαν. Τί τοίνυν μεθέντες, φησὶ, τὰ δι' ὧν ἀνασῴζοιτό τε καὶ κατακαλλύνοιτο πόλις, ζηλωτὰ πεποιήσθε, μᾶλλον τὰ κατασίνεσθαι εἰωθότα, τετιμήκατε δὲ τὰ δι' ὧν ἂν ὁρῷτο τὸ αἰσχρά τε καὶ ἀκαλλὴς, πονηροὺς ἔχουσα τοὺς οἰκήτορας, ἐρασιχρημάτους, καὶ ἀδίκους, καὶ θησαυρίζοντας ἀνόμως;

Εἰ δικαιωθήσεται ἐν ζυγῷ ἄνομος, καὶ ἐν μαρσίππῳ στάθμια δόλου, ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἐνέπλησαν; Καὶ οἱ κατοικοῦντες αὐτὴν ἐλάλουν ψεύδη, καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη ἐν τῷ στόματι αὐτῶν.

ΝΘ'. Ἆρα γὰρ οἴεσθε, φησὶν, ἐν ζυγῷ δικαιωθήσεσθαι τὸν ἄνομον; Τουτέστι, εἰ δοκιμάζοιμι, καὶ οἷονεὶ ταλαντεύοιμι τὸν ἑκάστου βίον τῶν ἀδίκων, δικαιοσύνης ψῆφον ἐπενεγκεῖν ἀνέχεσθαί ποτε τὸν ἀφιλάρετον (1) πεπιστεύκατε; Τοὺς δὲ ἔχοντας « ἐν μαρσίππῳ στάθμια δόλου, » τουτέστι, τοὺς ἐκ πλεονεξίας καὶ φιλοκερδίας ἐκτόπου καταπλουτεῖν ἐθέλοντας, διαφυγεῖν δύνασθαι νενομίκατε τὴν ὀργήν; Ἀπὸ γὰρ τοιούτων λημμάτων τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἐνέπλησαν. Γεγόνασι δὲ καὶ ψεῦσται, καὶ ἀλαζόνες. Παρέπεται γὰρ ἀεὶ τὸ μὲν ψεύδεσθαι φιλεῖν τοῖς τῆς ἀνισότητος ἐρασταῖς, καὶ λημμάτων αἰ-

ficabor tibi. Deus tuus sum ego. Non in sacrificiis tuis arguam te, holocausta autem tua in conspectu meo sunt semper [49]. » Statim addit : « Non manducabit carnes taurorum, aut sanguinem hircorum potabit [50]. » Rursumque : « Immola Deo sacrificium laudis, et redde Altissimo vota tua. Et invoca me in die tribulationis, et eruam te, et honorificabis me [51]. »

VERS. 10. *Audi, tribus, et quis ornabit civitatem? Numquid ignis, et domus iniquorum thesaurizans thesauros iniquos, et cum injuria iniqua?*

LVIII. Tributim et secundum genus habitabant Judæam, atque etiam Samariam, qui erant de sanguine Israel, terra promissionis a Jesu cognomento Nave sorte illis distributa. Alloquitur ergo Deus, et seorsum unamquamque, et omnes simul : Audi igitur, omnis tribus, salvatur urbs, super qua invocatum fuerit nomen Domini. Neutiquam enim timentes se despiciet : sed erit murus inexpugnabilis, et ornamentum, et gloria volentibus rite obire quæ ille diligit. Quod si vultis, inquit, videre contrarium, quid ornabit civitatem? domus iniquorum, an cum injuria iniquitas? Num, inquit, si propter multa scelera civitas hostium manibus capta incendatur ac deflagret, pulchra erit et decora, insignemque et clarissimam reddet domus iniquorum, quæ thesaurizat thesauros iniquitatis, et proficiet ei cum injuria iniquitas? Atqui nemo prudens dubitaverit, quin ista urbem infamem et despectam effectura sint. Non enim capta, et igne absumpta fuisset, nisi compluribus flagitiis Deum graviter offendisset. Quid ergo, relictis, inquit, per quæ civitas pristinam incolumitatem recuperaret, pro amplectendis expetivistis quæ noxia sunt potius, et suspexistis per quæ videri possit turpis et deformis, improbos habens cives, pecuniæ avidos, et injustos, et scelerate thesauros corradentes?

VERS. 11, 12. *Si justificabitur in statera iniquus, et in sacculo pondera doli, de quibus divitias suas impietatis impleverunt? Et habitantes eam locuti sunt mendacia, et lingua eorum exaltata est in ore eorum.*

LIX. An putatis, inquit, in statera justificatum iri improbum? Hoc est, si explorem, et velut in statera examinem vitam uniuscujusque **451** improborum, calculum, seu suffragium justitiæ improbis posse tribuere virtutis inimicum creditis? « Et in sacculo pondera doli » habentes, hoc est ex malis artibus, et cupiditate lucri nefaria divitias possidere laborantes, effugere iram posse existimatis? Ex hujusmodi enim quæstibus opes impietatis suæ coacervarant. Fuerunt etiam mendaces et arrogantes. Semper enim inæqualitatis cupidos, et a turpi quæstu, amoreque lucri subactos studium mentiendi

[49] Psal. XLIX, 7, 8. [50] Ibid. 13. [51] Ibid. 14, 15.

(1) Sic pro edito φιλάρετον, postulante sensu, legi jubet Cotelerius in *Monum. Eccl. Gr.* II, 585. Mox vocem ἔχοντας supplemus quam reddidit interpres. EDIT.

Digitized by Google

comitatur : jactatio vero et superbia eos qui jam divitias acquisiverunt.

Habent in sacculis pondera dolosa etiam impiorum dogmatum architecti, omnia recta pervertentes [88], et in simplicium animos dolis et fraudibus irrepentes. Et divites quidem, quia multos capiunt et irretiunt : verumtamen hujuscemodi divitias impietatis plenas sibi corradentes, nihil cohærens et verum, sed adulterina, falsa, et fallaciarum scitamentis quasi colorata loquuntur. Exaltant etiam linguam suam tales, iniquitates contra Deum loquentes, sicut scriptum est [88], effundentes verba superbissima, quibus par est occinere, « Audi, tribus, et quis ornabit civitatem ? num ignis, aut domus iniquorum thesauros thesaurizans iniquitatis, et cum injuria iniquitatem? » Non enim ipsis ad ornatum, sed ad pœnam erit ignis supplicii. Quoniam autem domus facti sunt, iniquitatem thesaurizantes maledicentur, et punientur, et in omnem calamitatem devolventur.

VERS. 13-16. *Et ego incipiam percutere te, perdam te in peccatis tuis. Tu comedes, et non impleberis. Et ejiciam te in te, et apprehendes, et non salvaberis. Et quotcunque salvati fuerint, in gladium tradentur. Tu seminabis et non metes. Tu premes oleam et non ungeris oleo, et vinum, et non bibetis. Et dissipabuntur legitima populi mei. Et custodisti justificationes Zumbri, et omnia opera domus Achab, et ambulavistis in consiliis ejus, ut traderem te in perditionem, et habitantes eam in sibilum, et opprobria populorum accipietis.*

LX. Quoniam domus impiorum iniquitates thesaurizant, et ex iniquitatibus rem colligunt, de cætero pœnas comminatur, et quæ futura exspectantur, jam initium capere narrat, ut proportioni delictorum perditio **452** respondeat. Incutit vero pavorem utiliter, et terroribus futurorum quasi quodam freno ad voluntatem meliora sectandi, et posterioribus consiliis Deum mitigandi circumagit. Plagas autem quasi enumerat, et in conspectu ponit. Nam et fame, et rerum necessariarum egestate punitum, et ipsos in semetipsos sublatum iri affirmat, et apprehensuros fugam quidem, plane tamen non effugituros. Quod si qui etiam præsentibus damnis elabi quiverint, eos capiendos, et non multo post aliorum rhomphææ objiciendos. Per hoc illud nobis videtur significare. Longe plurima bella contra Israelitas mota sunt, sive contra universum Juda, nec semper ab hostibus : ipsi quoque civilibus armis se lacessiverunt, ut aliquando quidem Ephraim, sive decem tribus contra Judam insurrexerint; aliquando ipsi Jerosolymitæ in Ephraimitas moverint : nec paucæ numero urbes perierint, et seipsos inter se frequenter sedibus pepulerint.Et hoc modo pulsi ex urbe ad alios deve-

[88] Mich. III, 9. [88] Isa. LIX, 3.

σχρῶν ἡττωμένοις, καὶ φιλοκερδείας, μεγαληγορία δὲ, καὶ ὑπερηφία τοῖς ἤδη πεπλουτηκόσιν.

Ἔχουσιν ἐν μαρσίπποις στάθμια δόλου καὶ οἱ τῶν ἀνοσίων δογμάτων εὑρεταὶ, οἱ πάντα τὰ ὀρθὰ διαστρέφοντες, καὶ τὸν τῶν ἁπλουστέρων ὑποτρέχοντες νοῦν ἀπάταις καὶ δόλοις, καὶ πλουτοῦντες μὲν διὰ τοῦ θηρᾶσθαι πολλούς. Πλὴν ἀσεβείας ἐπίμεστον τὸν τοιοῦτον ἑαυτοῖς συναγείραντες πλοῦτον, λαλοῦσιν ὁμολογουμένως ἀτρεκὲς μὲν οὐδὲν, παρᾴσημα δὲ καὶ ψευδῆ, καὶ ταῖς ἐξ ἀπάτης κομψείαις, οἱονεὶ κατακεχρωσμένα. Ὑψοῦσι δὲ καὶ τὴν ἑαυτῶν γλῶτταν οἱ τοιοῖδε πάλιν, ἀδικίας κατὰ Θεοῦ λαλοῦντες, κατὰ τὸ γεγραμμένον, ἀποφθεγγόμενοι τὰ τῆς ματαιότητος ὑπέρογκα ῥήματα, οἷς ἀκόλουθον εἰπεῖν· « Ἄκουε, φυλὴ, καὶ τίς κοσμήσει πόλιν; μὴ πῦρ, ἢ οἶκος ἀνόμων θησαυροὺς θησαυρίζων ἀνομίας, καὶ μεθ' ὕβρεως ἀδικίαν ; » Οὐ γὰρ εἰς κόσμον αὐτοῖς, ἀλλ' εἰς δίκην ἔσται τὸ τῆς κολάσεως πῦρ. Ἐπειδὴ δὲ οἶκοι γεγόνασι θησαυρίζοντες ἀνομίαν, εἰς ἀρὰν ἔσονται, καὶ δίκην, καὶ ἐν παντὶ πεσοῦνται κακῷ.

Καὶ ἐγὼ ἄρξομαι τοῦ παιδεῦσαί σε, ἀφανιῶ σε ἐν ταῖς ἁμαρτίαις σου. Σὺ φάγεσαι, καὶ οὐ μὴ ἐμπλησθῇς. Καὶ ἐξώσω σε ἐν σοὶ, καὶ καταλήψῃ, καὶ οὐ μὴ διασωθῇς. Καὶ ὅσοι ἂν σωθῶσιν, εἰς ῥομφαίαν παραδοθήσονται. Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς. Σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ οἶνον, καὶ οὐ μὴ πίητε. Καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου. Καὶ ἐφύλαξας τὰ δικαιώματα Ζαμβρὶ, καὶ πάντα τὰ ἔργα οἴκου Ἀχαὰβ, καὶ ἐπορεύθητε ἐν ταῖς βουλαῖς αὐτοῦ, ὅπως παραδώσω σε εἰς ἀφανισμὸν, καὶ τοὺς κατοικοῦντας αὐτὴν εἰς συρισμὸν, καὶ ὀνείδη λαῶν λήψεσθε.

Ξ'. Ἐπειδὴ γὰρ οἶκοι γεγόνασιν ἀσεβῶν θησαυρίζοντες ἀνομίαν, καὶ συναγείροντες πλοῦτον ἐξ ἀδικιῶν, λοιπὸν ἀπειλεῖ τὴν δίκην, καὶ τῶν ἔσεσθαι προσδοκωμένων τὴν ἔφοδον ἐν ἀρχῇ ἤδη πως τεθεῖσθαί φησι, ὡς ἀναλόγως τοῖς πταίσμασι κατ' αὐτῶν ἔσεσθαι τὸν ἀφανισμόν. Καταπτοεῖ δὲ χρησίμως, καὶ τοῖς τῶν ἐσομένων δείμασι μονονουχὶ χαλινῷ περιτρέπει πρὸς τὸ δρᾷν ἐλέσθαι τὰ βελτίω, καὶ τοῖς δευτέροις ἐκμειλίσσεσθαι Θεόν. Ἀπαριθμεῖται δὲ ὥσπερ, καὶ ἐν δψει τίθεται τὰς πληγάς. Λιμῷ τε γὰρ αὐτοὺς κολασθήσεσθαί φησι, καὶ ταῖς τῶν ἐπιτηδείων ἐνδείαις, καὶ αὐτοὺς ἐν αὐτοῖς ἐξαρθήσεσθαι, καὶ καταλήψεσθαι μὲν, οὐ μὴν ἔτι καὶ διαδράναι παντελῶς. Ἀλλ' εἰ καί τινες τὰ παραυτίκα βλάβη φυγεῖν ἰσχύσειαν, τούτους ἁλώσεσθαι, καὶ οὐκ εἰς μακρὰν ἔργον τε γενήσεσθαι τῆς ἑτέρων ῥομφαίας. Ἐκεῖνο δὲ ἔοικεν ἡμῖν διὰ τούτου δηλοῦν. Πλεῖστοι μὲν γὰρ ὅσοι κεκίνηνται πόλεμοι κατὰ τῶν ἐξ Ἰσραὴλ, ἦγουν κατὰ παντὸς Ἰούδα, πλὴν οὐκ ἀεὶ παρ' ἐχθρῶν, ὡπλίζοντο δὲ καὶ αὐτοὶ κατὰ σφῶν αὐτῶν, ὥς ποτε μὲν τὸν Ἐφραὶμ ἤτοι τὰς δέκα φυλὰς, κατεξανίστασθαι τοῦ Ἰούδα, ποτὲ δὲ καὶ ἐν τοῖς Ἱεροσολύμοις αὐτοὺς καταστρατεύεσθαι τοῦ Ἐφραὶμ· οὐκ εὐαρίθμητοι δὲ διολώλασι πόλεις, ὡς ἑαυτοὺς ἐν ἑαυτοῖς ἐξωσθῆναι

Digitized by Google

πολλάκις. Καὶ κατὰ τοῦτον τὸν τρόπον διωκομένους ἐκ πόλεως, καταλαβεῖν μὲν ἑτέρους. Πλὴν ἁλῶναι καὶ κατὰ καιροὺς, ἢ Σύρων ἐμβεβληκότων καὶ τῶν τῆς Δαμασκοῦ βασιλέων, ἢ καὶ αὐτῶν που τάχα Περσῶν, καὶ Μήδων. Τοῦτο, οἶμαι, ἔστι τὸ, Ἐξώσω σε ἐν σοὶ, « Καὶ καταλήψῃ, καὶ οὐ μὴ διασωθῇς, καὶ ὅσοι ἂν σωθῶσι εἰς ῥομφαίαν παραδοθήσονται. » Ὅτι δὲ καὶ τῆς ἐξ ἀγρῶν εὐκαρπίας ἐστερημένοι, καὶ ταῖς τῶν ἀναγκαίων ἐνδείαις ἐκτετρυμένοι διαβιώσονται μὲν ἀθλίως, ἀποτίσουσι δὲ δίκας τῶν ἀνοσίως αὐτοῖς εἰργασμένων, καθίστησιν ἐναργὲς διά γε τῶν ἑφεξῆς. « Σπερεῖς γὰρ, φησὶ, καὶ οὐκ ἀμήσεις, » καταφθείροντος, οἶμαι, Θεοῦ τοὺς καρπούς. « Καὶ πιέσεις μὲν ἐλαίαν αὐτός· » ἐλαιοφόρος γάρ ἐστιν ἡ Σαμαρειτῶν χώρα, ἔσῃ δὲ οὕτως ἐλαίου, φησὶν, ἐνδεὴς, ὡς μηδ' ἂν εἰ ἔλοιο, πρὸς ἀλοιφὴν εὑρεῖν εὐπορῆσαί που τάχα. Πολυαμπέλου δὲ λίαν οὔσης ὑμῖν τῆς χώρας, καὶ εὐοινούσης ἄγαν, ὡς καὶ πόλεσιν αὐτὴν διανέμειν ἑτέραις, οὐκ ἂν εὕροις πιεῖν αὐτός. Ἀργήσει δὲ καὶ τὰ νόμιμα, φησὶν, ἃ σὺ τέθεικας τοῖς εἰδώλοις προσκομίζων αὐτοῖς τῆς εὐκαρπίας τὰς ἀπαρχάς. Ποίας γὰρ ἔτι λοιπὸν ἀπαρχὰς ἀναθήσεις; ἢ ποῖα προσοίσεις χαριστήρια, καὶ ἐπὶ τίσιν, εἰκότως ὁ πίπτων ἀθλίως, καὶ δαπανώμενος; Εἶτα διδάσκων ὅτι οὐχ ἕτερος αὐτῷ παραίτιος ἂν νοοῖτο τῆς συμφορᾶς γεγονὼς, ἀλλ' αὐτὸς ἑαυτὸν ἀδικήσας ἀλώσεται τῶν ὅτι μάλιστα δεδυσσεβηκότων ζηλώσας τοὺς τρόπους, ἐπιφέρει, καί φησι· « Καὶ ἐφύλαξας τὰ δικαιώματα Ζαμβρὶ, καὶ πάντα τὰ ἔργα οἴκου Ἀχαὰβ, καὶ ἐπορεύθητε ἐν ταῖς βουλαῖς αὐτοῦ, ὅπως παραδώσω σε εἰς ἀφανισμόν. » Ζαμβρὶ γέγονε βασιλεὺς ἐπὶ τὸν Ἰσραὴλ, αὐτὸς δέ ἐστιν ὁ Ἀχαὰβ πατὴρ, ἀλλ' ὡς τὸ Γράμμα φησὶ τὸ ἱερόν· « Πεπόρευται μὲν ἐν ὁδοῖς Ἱεροβοὰμ υἱοῦ Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. » Ἐπονηρεύσατο δὲ ὑπὲρ πάντας τοὺς πρὸ αὐτοῦ γεγονότας. Τοιγάρτοι καὶ δεδαπάνηται πυρὶ, κατεμπρήσας αὐτὸς ἐφ' ἑαυτῷ τὸν ἴδιον οἶκον· γέγραπται γὰρ ὦδι, οἶκον δὲ, ὡς ἔοικεν, Ἀχαὰβ τὴν ἐξ Ἰεζάβελ ἀποκαλεῖ, φόνοι δὲ ἦσαν ἐκείνῃ, καὶ ἁρπαγαὶ, καὶ διώξεις ἁγίων τὰ ἐπιτηδεύματα. Ταῦτα δὴ οὖν τετήρηκας, φησὶν, ἵνα σε καὶ ἀφανίσω δικαίως, καὶ γέλωτα ποιήσωμαι, καὶ ὄνειδος τῶν ἄλλων.

Ἁρμόσομεν δὲ τὸν τοιόνδε λόγον καὶ τοῖς τῆς ἀληθείας ἐχθροῖς, οἳ ταῖς ἑαυτῶν εὐγλωττίαις ἀναθαρσήσαντες, καὶ ἀθλίων νοημάτων συναγείροντες σωρηδὸν, πλουτοῦσιν ὥσπερ ἐξ ἀδικίας, συλλέγοντες αὐτοῖς τὰ οὐκ ὄντα αὐτῶν, καὶ τὰς τῶν ἁπλουστέρων ἀγέλας πολεμίων δίκην καταδηοῦν εἰωθότες, καὶ εἰς ἔκτοπον αὐτὰς ἀποφέροντες πλάνησιν. Ἀκουέτωσαν τοίνυν Θεοῦ λέγοντος· « Καὶ ἐγὼ ἄρξομαι τοῦ ταράξαι σε, καὶ ἀφανιῶ σε ἐπὶ ταῖς ἁμαρτίαις σου. Σὺ φάγεσαι, καὶ οὐ μὴ ἐμπλησθῇς. » Περιτυγχάνοντες γὰρ ταῖς θείαις Γραφαῖς, εἶτα τῶν τῆς ἀληθείας δογμάτων οὐκ ἐμφορούμενοι, καίτοι δοκοῦντες ἐσθίειν, φθείρονται λιμῷ, οἰόμενοι δὲ καὶ καταλαμβάνειν τὴν τῆς σωτηρίας, οὐκ ἂν εὕροιεν ὁδὸν, σπείροντες δὲ, ὥς γε νομίζουσι, οὐδένα τῶν

A nerunt; verumtamen capti sunt aliquando, aut Syris, et Damasci regibus, aut forte ipsis Persis ac Medis irrumpentibus. Hoc, opinor, est, quod ait : « Expellam te in te, et apprehendes, et non salvaberis ; et quotquot salvi fuerint, in gladium tradentur. » Fructuum porro agrestium copia spoliatos, et necessariorum inopia vexatos, vitam miseram victuros, et impie factorum pœnas persoluturos, sequentibus clare indicat. Ait siquidem : « Seminabis, et non metes, » Deo, ut arbitror, fructus perdente. « Et premes quidem oleam ipse : » ferax enim olei est Samaritanorum regio ; eris autem olei adeo indigus, ut, etiamsi velis, ad unctionem ejus inveniendi facultas nulla forsitan suppetat. Cum autem regio vestra vinetis et vino abundet
B egregie, ut et reliquis urbibus divendat, non invenies ipse quod bibas. Cessabunt et legitima, inquit, quæ tu idolis constituisti, de fructuum uberi proventu primitias illis consecrans. Quales enim in posterum primitias dedicabis? aut quas gratiarum actiones offeres, et propter quæ, qui merito misere concidisti, et consumptus es? Deinde docens non alium ipsi auctorem, et causam calamitatis posse intelligi, sed ipsummet ærumnæ suæ machinatorem convictum iri, cum longe impiissimorum mores æmulatus sit, adjungit, et ait : « Et custodivisti justificationes Zambri, et omnia **453** opera domus Achab, et ambulastis in consiliis ejus, ut traderem te in perditionem. » Zambri fuit rex Israel, idem Achabi pater, qui, ut habet sacra Scriptura, « Ambulavit in viis Jeroboam filii Nabat, qui
C peccare fecit Israel [84]. » Vicit autem sceleribus antecessores suos. Proinde et igne absumptus est, cum ipse super se domum propriam incendisset, ut proditum est Litteris; domum autem Achab, ut apparet, propter Jezabel nominat, cui cædes, rapinæ et persecutiones sanctorum studio fuerunt. Hæc igitur observasti, inquit ut te jure perdam, et deridendam atque despicabilem aliis faciam.

Verba porro hæc etiam hostibus veritatis aptabimus, qui, facundia sua freti, infelicium sententiarum sordes et quisquilias congregantes, tanquam
D ex iniquitate ditescunt, et colligunt sibi quæ ipsorum non sunt, et simpliciorum cœtus hostilem in modum deprædari atque in errorem insipientem deducere consueverunt. Audiant ergo Deum dicentem : « Et ego incipiam conturbare te, et perdam te propter peccata tua. Tu comedes, et non saturaberis. » Volventes enim divinas Scripturas, deinde doctrina veritatis haud saturati, quanquam comedere sibi videantur, fame pereunt ; putantesque se apprehendere viam salutis, eam invenire nequeunt; seminantes autem, ut ipsi quidem arbitrantur, nullam suorum laborum mercedem accipiunt; et oleam

[84] III Reg. xvi, 19.

Digitized by Google

intelligibilem exprimentes, hoc est, Scripturam sacram, gratia Spiritus nulla ex parte pinguescunt; et cum se quasi vindemiare existiment, a lætitia spirituali procul absunt. « Custodierunt justificationes Zambri, et omnia opera domus Achab, » hoc est, scelerate egerunt, rem suam inique auxerunt, et contra sanctos persecutionem excitarunt. Erunt igitur in perditionem, et in probrum exsecrationemque tandem dabuntur.

A πόνων εὑρήσουσι τὸν μισθὸν, καὶ τὴν νοητὴν ἐλαίαν ἐκθλίβοντες, τουτέστι, τὸ Γράμμα τὸ ἱερὸν, τῇ τοῦ Πνεύματος χάριτι κατ' οὐδένα τρόπον κατασπαίνονται. οἷον δὲ τρυγᾶν οἰόμενοι, μακρὰν εὐφροσύνης ἔσονται τῆς πνευματικῆς. « Τετηρήκασι τὰ δικαιώματα Ζαμβρὶ, καὶ πάντα τὰ ἔργα οἴκου Ἀχαάβ, » τουτέστιν, ἐπονηρεύσαντο, πεπλεονάκασιν, καὶ διωγμοὺς εἰργάσαντο κατὰ τῶν ἁγίων. Ἔσονται δὴ οὖν εἰς ἀφανισμὸν, καὶ εἰς ἐπονείδιστόν τε καὶ ἐπάρατον ἀληθῶς καταστρέψουσι τέλος.

CAP. VII.

VERS. 1. *Væ mihi, quia factus sum sicut qui congregat stipulam in messe, et sicut racemos in vindemia, cum non sit botrus ad comedendum primitiva.*

LXI. Ex charitate propheta Israelitas lamentatur, ut jamjam in exitium abituros, **454** et ad eum numerum tandem venturos, ut pauci admodum, et soli relinquantur; similes autem fore spicis decidentibus, quas metentium manus prætereunt, quæ a spicilegis raræ inveniuntur. Similes nihilominus racemis qui dicuntur, quas legulorum seu vindemiantium manus reliquerunt. Puto etiam subostendi quam difficile sit sanctos invenire, utpote paucis ea ætate superstitibus; et qui haud aliter quam spicæ post demessas segetes reperirentur: ut etiam inter botros primogenitos secundorum accessiones. Cœlo enim fervente, e palmitibus una principio et prima quasi cum impetu prorumpit. At procedente tempore merito post hujuscemodi uvas aliæ nonnunquam secundo loco prodeunt, quas vindemiantes non facile inveniunt, quod sub pampinorum multitudine, et ob acinorum paucitatem, facile occultentur. Has non sine labore, et curiosius perspectis vitibus colligunt, qui legulos sequuntur. Videtur itaque nobis propheta bonorum raritatem his verbis lamentari. Hoc porro detrimento fuisse Israelitis, in tanta, inquam, sanctorum penuria versari, quo pacto dubitari potest? Parcit enim interdum et regionibus et urbibus, plurimaque scelera ignoscit Deus, ut benignus Dominus; et licet vix quinque in iis boni inveniantur, intus autem sint Sodomitæ innumeri, miseretur tamen, sanctorumque paucorum admodum personas reveritus, iram cohibet.

B

C

ΚΕΦΑΛ. Ζ'.

Οἴ μοι, ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλίδας ἐν τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος τοῦ φαγεῖν τὰ πρωτόγονα.

ΞΑ'. Ἐξ ἀγάπης ὁ προφήτης κατοιμώζει τὸν Ἰσραὴλ, ὡς ὅσον οὐδέ πω κατοιχησομένους εἰς ὄλεθρον, καὶ εἰς τοῦτο λοιπὸν ἥξοντας ἀριθμοῦ, ὡς ὀλίγους κομιδῇ, καὶ μόνους περιλειμπάνεσθαι, ἐοικέναι δὲ τοῖς ἀποπίπτουσι τῶν σταχύων, οὓς αἱ τῶν ἀμώντων παρατρέχουσι χεῖρες, οὕτοι δὲ οὕτω καὶ τοῖς τὴν καλάμην συλλέγουσι σπανίως ἁλώσιμοι. Ἐοικέναι δὲ οὐδὲν ἧττον καὶ ταῖς καλουμέναις ἐπιφυλλίσιν, ἃς αἱ τῶν τρυγόντων παρῆλθον χεῖρες. Οἶμαι δὲ ὅτι καὶ τῶν ἁγίων δυσεύρετον ὑποδηλοῖ, ὡς ἐν ὀλίγοις ὄντων λειψάνοις κατ' ἐκεῖνο τοῦ καιροῦ, εὑρισκομένων δὲ οὕτως, ὡς ἂν εἰ καὶ ἄσταχυς εἷς ἐν ληΐνοις τεθερισμένοις, ἢ καὶ ἐν τοῖς πρωτογόνοις τῶν βοτρύων αἱ τῶν δευτέρων ἐπεμβολαί. Ἀέρος μὲν γὰρ καταθάλποντος, ἐκβράττεται τῶν κλημάτων ὁ βότρυς ὁ ἐν ἀρχαῖς τε καὶ πρῶτος. Προϊόντος γε μὴν τοῦ καιροῦ, εἰκότως ἔσθ' ὅτε καὶ δευτέρα μετ' ἐκείνους ἀκολουθεῖ βοτρύων διεκβολή· ταῦτα δέ ἐστι τοῖς τρυγῶσι δυσεύρετα, διάτοι τὸ ἐν πολλῇ τῇ φυλλάδι διαλανθάνειν εὐκόλως, καὶ ἐν ὀλίγαις εἶναι ῥᾳδί. Ταῦτα συλλέγουσιν οὐκ ἀνιδρωτὶ, περιεργότερον ταῖς ἀμπέλοις ἐνιέντες τὸν ὀφθαλμὸν τοῖς τρυγῶσιν ἑπόμενοι. Ἔοικε δὴ οὖν τῶν ἐπιεικῶν τὴν σπάνιν ὁ προφήτης ἡμῖν ἐν τούτοις κατολοφύρεσθαι. Ὅτι δὲ πρὸς ζημίας γέγονε τοῖς ἐξ Ἰσραὴλ τὸ χρῆμα, τὸ ἐν ἐνδείᾳ γενέσθαι, φημὶ, τῶν ἁγίων, πῶς ἔστιν ἀμφιβαλεῖν; Φείδεται γὰρ ἔσθ' ὅτε καὶ χωρῶν, καὶ πόλεων, καὶ πολλὰ λίαν ἀνίησιν ἐγκλήματα Θεὸς, ὧν φιλάνθρωπος ὁ Δεσπότης, πέντε που μόλις ἁγίων ἐν αὐτοῖς εὑρημένων, κἂν ἔσωθεν οἱ Σοδομιτῶν ποταμοὶ, κατοικτείροντος Θεοῦ, καὶ αἰδοῖ τῇ πρὸς τοὺς ἁγίους, καὶ ὀλίγους κομιδῇ, τὴν ὀργὴν ἀνακόπτοντος.

VERS. 2, 3. *Væ mihi, anima, quia periit religiosus de terra, et recte faciens in hominibus non est. Omnes in sanguines judicant, unusquisque proximum suum tribulant tribulatione. In malum manus suas parant. Princeps postulat, et judex pacifica verba locutus est, desiderium animæ suæ est.*

LXII. Verus est sermo, ut mihi quidem videtur. Dolens enim conqueritur, non esse religiosum in tota terra, puta Judæorum, quanquam olim infinita, et honoribus insignia sanctorum capita numeraverit. Hoc est, quod per Isaiam dicit Deus: « Quo-

D

Οἴ μοι, ψυχὴ, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς, καὶ κατορθῶν ἐν ἀνθρώποις οὐκ ὑπάρχει. Πάντες εἰς αἵματα δικάζονται, ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐν θλιβῇ. Ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν. Ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησεν, κατὰ θύμιον ψυχῆς αὐτοῦ ἐστιν.

ΞΒ'. Ἔστιν ἀτρεκὴς, ὡς ἔοικεν ἡμῖν, ὁ λόγος. Ὀδύρεται γὰρ ὡς οὐκ ὄντος εὐλαβοῦς ἐν ὅλῃ τῇ γῇ, δῆλον δὲ ὅτι τῇ τῶν Ἰουδαίων, καίτοι κομιδῇ πάλαι πλείσταις τε ὅσαις ἁγίων κεφαλαῖς, καὶ διαφανῆ τὴν δόξαν ἐχούσαις. Τοῦτό τοί φησι διὰ φωνῆς Ἡσαΐου

Digitized by Google

Θεός· « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιὼν, πλήρης κρίσεως, ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονεῦται; » Τὸ γὰρ δὴ μάλιστα φορτικώτατον, καὶ εἰς ἄκρον αὐτοὺς φαυλότητος διέρχεσθαι παρασκευάσαν, τὸ ἐφ' αἵμασιν αὐτοὺς δικάζεσθαι, καὶ φονᾷν ἀγρίως, καὶ ὡς ἔωλον κομιδῇ τὸ ἀγαθουργεῖν ἀπορρίπτεσθαι, ὥστε καὶ ἀναγκαῖον ποιεῖσθαι σπούδασμα, τὸ ἐπὶ μόνον τοὺς κατοικοῦντας, τὰς χεῖρας ἐκείνους τρέπειν. Οὐδὲν γάρ ἐστιν τοῖς ὧδε ζῆν εἰωθόσιν ἀνεπιτήδευτον, κἂν ἐν νόμῳ κολάζοιτο, κἂν εἰ τοῖς τῆς ἐλευθερίας διαβέβληται τρόποις. Ἆρ' οὖν κατηρώτησε μὲν τὸ ἐν τούτοις εἶναι τὸ ὑπήκοον, ἔρρωται δὲ τὸ ἡγούμενον, καὶ ὑγιαίνει τὸ κρίνον; Οὐδαμῶς, φησίν· « Ὁ γὰρ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησε. » Πολλοὶ πολλάκις τῶν εἰς ἀρχὴν τεταγμένων γεγόνασι μὲν ἀνόσιοι καὶ φιλοκερδέστατοι, καὶ καταπωλοῦντες εὐκόλως τὰς ἑαυτῶν γνώμας τοῖς παραφθείρειν ἐθέλουσιν. Ἀλλ' εἰ καὶ νενεύκασιν εἰς τοῦτο, τὸ μὴ ἡττῆσθαι δοκεῖν ἐγκλημάτων, κἂν δωροδοκίας ἀποτρέπωνταί πως, καὶ δόξῃ χρηστῇ καταλλύνειν ἐπείγωνται τοὺς ἑαυτῶν τρόπους, τὸ δὲ δὴ προήκειν εἰς τοῦτο λοιπὸν ἀθλιότητος, οὐαὶ πρὸς τῶν αἰσχρῶν! ὡς μονονουχὶ καὶ χεῖρα προτείνειν, κἂν εἰ μὴ λάβοι δικάζων, τὸν τοῦ δικαίου καταφθείρειν λόγον, καὶ ἀναισχύντως ἀπειλῇ, πῶς οὐκ ἂν εἴη λοιπὸν ἁπάσης ἐπέκεινα βδελυρίας; Μετεμφάσεως δὴ οὖν ὁ λόγος, καὶ οἱονεὶ κατακεκραγότος τῆς πλεονεξίας· « Ὁ ἄρχων αἰτεῖ, καὶ ὁ κριτὴς εἰρηνικοὺς λόγους ἐλάλησεν. » Ἆρ' οὖν αἰτιάσεταί τις τὸν εἰς εἰρήνην συλλέγοντα τοὺς μεμερισμένους εἰς διαφθοράν; Εἶτα πῶς ἂν ἀληθὲς εἴη, ὅτι μακάριοι οἱ εἰρηνοποιοί, καὶ ποῖος αὐτῶν ὁ μισθός; Ἀλλὰ σώζεται μὲν τοῖς τῆς εἰρήνης βραβευταῖς τὰ ἐντεῦθεν αὐχήματα. Πλὴν ὁ κρίνων ὀρθῶς τὸ τῷ θείῳ δοκοῦν ἑρμηνεύει νόμῳ, καὶ τοὺς μὲν ἀδίκους ἐλέγξει, συναγορεύσει δὲ πάντως τοῖς ἠδικημένοις. Ὅταν δὲ τοῖς ἀδικοῦσι λέγωσι λόγους εἰρηνικούς, οὐκ ἐλέγχοντες ὡς ἡμαρτηκότας, τότε δή, τότε παραλύουσι ἐναργῶς τὸ τῷ νομοθέτῃ δοκοῦν. Ἔφη γάρ, ὅτι « Στόμα ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητοῦσιν ἐκ στόματος αὐτοῦ. » Παρέπεται δέ πως ἀεὶ τοῖς διωροδοκεῖν εἰωθόσι τὸ μήτε δύνασθαι κρίνειν ὀρθῶς, μήτε μὴν ἐκ παῤῥησίας ἐλέγχειν τοὺς ἡμαρτηκότας, συμβουλεύειν δὲ μᾶλλον τὰ πρὸς εἰρήνην, κἂν εἰ πλείστην ὅσην ἐπιφέρωσί τισι τὴν πλεονεξίαν. Καὶ τὴν τῆς νόσου αἰτίαν σαφῆ καθιστὰς ὁ προφήτης, φησί· « Καταθύμιον ψυχῆς αὐτοῦ ἐστιν· » ἀρέσκει γὰρ ἴσως αὐτῷ, φησὶ, καὶ τὸ ἐκτόπως γεγενημένον. Εἶτα πῶς ἐπιτιμήσει τοῖς ἠδικηκόσιν; Ὁ γὰρ ἐπαινέσας ἔχῃ, πῶς ἂν ἔτι καταμωμήσεται; Χρῆμα δὴ οὖν ἀνόσιόν τε καὶ ἐπιζήμιον ἀληθῶς πλεονεξία, καὶ τὸ καταβλίβειν ἑτέρους. Ἐπάρατον δὲ πρὸς τούτῳ καὶ τὸ αἰσχρῶν ἡττῆσθαι λημμάτων, ἥκειν δὲ εἰς τοῦτο δυσβουλίας, ὡς ἀλογῆσαι λοιπὸν καὶ τῶν εἰς ὀρθότητα τρόπων, καὶ τὸ κρίνειν ἀδεκάστως, μηδὲ ποιεῖσθαι περὶ πολλοῦ, προσκεῖσθαι δὲ μᾶλλον τοῖς ἀδικεῖν εἰωθόσι, καὶ

modo facta est meretrix civitas fidelis Sion, plena judicio, in qua justitia dormivit in ea, nunc autem homicidæ [56]? » Quod enim odiosissimum est et ad fastigium sceleris eos promovit, illud est, quod in sanguinem judicia exercebant, **455** et immaniter cædes perpetrabant, bonarumque actionum studia, ut quiddam putidissimum aspernabantur; adeo ut præ omnibus et maxime curandum ducerent, quo pacto civibus manus violentas inferrent. Nam ita vivere solitis nihil intentatum manet, quamvis lege puniatur, quantumvis moribus vitiosum et infame sit. An igitur in his subjectum esse, imbecillum est: valet autem quod præest, et sanum est quod judicat? Neutiquam, inquit: « Princeps enim postulat, et judex pacifica verba locutus est. » Sæpenumero multi qui locum et dignitatem principum tenuerunt, scelesti et lucri appetentissimi fuerunt, facileque sententias suas, iis qui vellent eas pretio corrumpere, vendiderunt. Sed si etiam huc se dederint, ne criminibus victi videantur, et munera aversentur, et bona opinione mores suos decorare nitantur, et interim procedant eo miseriæ, proh turpitudinem! ut quasi manum protendant, et nisi accipiat judex, justitiæ rationem corrumpant, et impudenter minentur, quomodo non quamvis, vel summam impudentiam superet? Habet igitur vim, et significans est oratio, et velut contra avaritiam exclamantis: « Princeps postulat, et judex pacifica verba locutus est. » Num igitur quispiam accusabit ad pacem colligentem, qui ad perniciem divisi erant? Quomodo ergo verum erit, « Beati pacifici [56]? » et quodnam eorum præmium? At enim pacis arbitris salva manet inde proficiscens gloria. Verumenimvero, qui sincere judicat, mentem divinæ legis interpretatur, et iniquos quidem corripit, læsis autem omnino patrocinatur. Quod si improbis dicunt verba pacifica, eorum peccata non redarguentes, tunc, tunc aperte, quod divina lege sancitum est, fit irritum. Ait enim Scriptura: « Os sacerdotis custodiet judicium, et legem requirent ex ore ejus [57]. » Semper autem nescio quo modo assuetis dona accipere amicum est, nec recte judicare, nec peccantes libere reprehendere, sed pacem suadent potius, etiamsi inde quidam plurimum alienæ fraudis et avaritiæ experiri debeant. Morbi hujus causam aperiens propheta inquit: « Desiderium animæ suæ est: » placet enim fortasse illi, inquit, etiam quod legitime non fit. Deinde quomodo eos qui fecerunt injuriam increpabit? Quem enim laudavit, quomodo adhuc vituperabit? Quamobrem avaritia, et oppressio aliorum res impia sane et damnosa est. Expecrabile item turpi quæstui succumbere, **456** et usque adeo mentem perdere, ut de cætero et mores probos et incorrupte judicandi officium contemnas, nec ullo loco numeres, sed cum iis facias magis, qui injurias irrogare, et partem impietatis sibi deposcere, atque ita peccatis alienis

[56] Isa. I, 21. [56] Matth. v, 9. [57] Malach. II, 7.

Digitized by Google

communicare consueverunt [58]. Hujusmodi hominem tam gravibus delictis implicitum, iræ et vindictæ divinæ subjectum omnimodis fore, quis prudens dubitare possit ?

A μερίζεσθαι πρὸς αὐτοὺς τὴν ἀσέβειαν, ἀλλοτρίαις τε οὕτω κοινωνεῖν ἁμαρτίαις. Ὑποκείσεται δὲ ὅτι πάντῃ τε καὶ πάντως ὀργαῖς τε καὶ δίκαις ὁ τοῖς ὧδε δεινοῖς πλημμελήμασιν ἑαυτὸν ἐνιείς, πῶς ἂν ἐνδοιάσειέ τις, εἴπερ ἔλοιτο φρονεῖν ὀρθῶς ;

Vers. 4. *Et auferam bona eorum quasi tinea comedens, et ambulans super regulam, ut in die speculæ.*

Καὶ ἐξελοῦμαι τὰ αὐτῶν ἀγαθὰ ὡς σὴς ἐκτρώγων, καὶ βαδίζων ἐπὶ κανόνος, ὡς ἐν ἡμέρᾳ σκοπιᾶς.

LXIII. Dupliciter eos puniturum minatus est. Inquit enim : « Ego incipiam percutere te, et perdam te propter peccata tua. Tu comedes, et non saturaberis, et ejiciam te in te, et apprehendes, et non salvaberis [59]. » Et adjungit : « Tu seminabis, et non metes. Tu exprimes oleum, et non ungeris oleo ; et vinum, et non bibetis [60]. » Perituram igitur ipsis frugum ubertatem in agris, ad sustentandam vitam requisita defectura, et inopia rerum summe necessariarum oppressum iri, decet dicens, se tanquam tineam ipsorum bona omnia consumpturum, hoc est, illa, in quibus eos non mediocriter oblectari felicitateque sua ample perfrui æquum erat. Percussum autem, perditum et expulsum iri velut in semetipsos, hoc est, inter se perituros, et a semetipsis domibus et urbibus miserabiliter ejiciendos, declarat, his verbis : « Et ambulans super regulam, ut in die speculæ. » Sententiola ista comprehensu perdifficilis est, quam non aliter a nobis arbitror posse intelligi, quam si historiæ huc spectantes prius commemorentur, quod facere aggrediar. Gaba vicus quidam, sive oppidulum est Judææ, in colle situm, sorte tribui Benjamiticæ assignatum, quod item collis, et specula vocatur. Et meminimus, quo pacto vir Levita, ut in libro Judicum legitur, indigne vexata concubina sua in eodem oppido, in partes duodenas diviso ejus cadavere, ad omnes tribus easdem miserit, atque hac ratione scelus Benjamitarum apud omnes divulgaverit. Hinc factum, ut reliquæ tribus in Benjamiticam arma expedirent, numerusque haud exiguus mortem oppeteret, cum principio **457** Benjamitæ cæteris tribubus superiores, postmodum ab iisdem universi delerentur. Historiam hanc propheta Oseas quoque tangit. Ait enim, insaniam in domo Dei defixisse, et corruptos esse « secundum dies collis [61]. » Quoniam enim idololatrias, et falsa vaticinia (hæc quippe insaniæ nomine significantur) in domo Domini defixerunt, idcirco corrupti ac perditi sunt, ut in diebus collis, hoc est Gabaa. Vocari autem Gabaam collem, sive speculam, perspicue ex libro tertio Regum discas. Asa enim regnavit super Jerusalem, Basaa super Samariam eodem tempore. Ast ubi dissidium inter eos incidit, et utrinque irati, bellum sibi fecerunt, « Ascendit, inquit, Basaa rex Israel in Judam, et ædificavit Rama, ut non esset egrédiens et ingrediens Asa regi Juda [62]. » Incursante autem Samariam filio Ader, Basaa desiit ædifi-

Εἴρηκε δὲ διττὸν ἐπηπείλησεν ἐπάγειν αὐτοῖς τῆς δίκης τὸν τρόπον. Ἔφη γάρ, ὅτι « Καὶ ἐγὼ ἄρξομαι τοῦ πατάξαι σε, καὶ ἀφανίσω σε ἐπὶ ταῖς ἁμαρτίαις σου. Σὺ φάγεσαι, καὶ οὐ μὴ ἐμπλησθῇς, καὶ ἐξώσω σε ἐν σοὶ, καὶ καταλήψῃ, καὶ οὐ μὴ διασωθῇς. » Προσεπίθει δὲ, ὅτι « Σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς. Σὺ πιέσεις ἔλαιον, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον· καὶ οἶνον, καὶ οὐ μὴ πίητε. » Ὅτι τοίνυν οἰχήσεται μὲν αὐτοῖς τῆς ἐξ ἀγρῶν ἀκαρπίας τὸ ἀμφιλαφὲς, ἐλλείψει δὲ καὶ τὰ ζωαρκῆ, καὶ τῇ τῶν χρειωδεστάτων ἐνδείᾳ κατεπιεσθήσονται, διδάσκει, λέγων, ὡς ἐν εἴδει μὲν σητὸς δαπανήσει πάντα αὐτῶν τὰ ἀγαθὰ, τουτέστι, τὰ οἷς ἦν εἰκὸς οὐ μετρίως ἐντρυφᾶν, καὶ τὸ τῆς εὐημερίας διακεκτῆσθαι πλάτος. Ὅτι δὲ ἔμελλον παταχθήσεσθαί τε καὶ ἀφανισθήσεσθαι, ἐξωσθῆναί τε, ὥσπερ καὶ ἐν σφισιν αὐτοῖς, τουτέστιν, ἀλλήλοις συνδιολεῖσθαι, καὶ ὑπό γε σφῶν αὐτῶν οἴκων τε καὶ πόλεων ἐλεεινῶς ἐκπέμπεσθαι, διατρανοῖ, λέγων· « Καὶ βαδίζων ἐπὶ κανόνος ἐν ἡμέρᾳ σκοπιᾶς. » Καὶ δυσέφικτον μὲν κομιδῇ τὸ ῥηγίδιον, οἶμαί τε ἔγωγε μὴ ἂν ἑτέρως αὐτὸ νοηθῆναι δύνασθαι πρὸς ἡμῶν, εἰ μὴ γέναιτο σαφὴς ἡ τῶν εἰς τοῦτο βλεπουσῶν ἱστοριῶν προαφήγησις, ὃ δὴ καὶ ποιεῖν πειράσομαι. Γαβὰ τοίνυν κώμη τίς ἐστιν, ἣν οὖν πολίχνη κατὰ τὴν Ἰουδαίαν, ἐπὶ γηλόφου κειμένη, ἐκνεμηθεῖσα δὲ καὶ εἰς κλῆρον τοῖς ἐκ φυλῆς Βενιαμὶν, ὠνόμασται δὲ καὶ βουνὸς καὶ σκοπιά. Μεμνήμεθα δὲ ὅτι Λευίτης ἀνὴρ, ὡς ἐν τῇ βίβλῳ γέγραπται τῶν Κριτῶν, ὑβρισθείσης αὐτῷ τῆς παλακίδος ὑπὸ τῶν ἐκ φυλῆς Βενιαμὶν ἐν αὐτῇ τῇ γῇ Γαβὰ, κατατεμὼν τὸ λείψανον εἰς δύο καὶ δέκα μέρη, ἀπάσαις ἔπεμψε ταῖς φυλαῖς, τῶν ἐκ φυλῆς Βενιαμὶν τὸ πλημμέλημα καταφανὲς ἅπασι καθιστάς. Εἶτα συμβέβηκεν ἐντεῦθεν κατεξαναστῆναι μὲν πολέμου νόμῳ τῶν ἐκ φυλῆς Βενιαμὶν τὰς ἑτέρας φυλὰς, πλῆθυν δὲ πεσεῖν οὐκ εὐαρίθμητον, ἐν ἀρχῇ μὲν νενικηκότων τῶν ἐκ φυλῆς Βενιαμὶν τὰς ἑτέρας φυλὰς, ὕστερον δὲ τῶν ἑτέρων φυλῶν κατεφθαρκυιῶν αὐτοὺς εἰσάπαν. Μέμνηται τῆς ἱστορίας καὶ ὁ προφήτης Ὡσηέ. Φησὶ γὰρ, ὅτι μανίαν ἐν οἴκῳ Θεοῦ κατέπηξαν, ἐφθάρησαν « κατὰ τὰς ἡμέρας τοῦ βουνοῦ. » Ἐπειδὴ γὰρ, φησὶ, εἰδωλολατρεῖαι καὶ ψευδομαντεῖαι· ταυτὶ γὰρ ἐν τούτοις ἡ μανία δηλοῖ· κατέπηξαν ἐν οἴκῳ Κυρίου, ταύτῃτοι καὶ κατεφθάρησαν ὡς ἐν ταῖς ἡμέραις τοῦ βουνοῦ, τουτέστι, τῆς Γαβά. Ὅτι δὲ ὁ βουνὸς ἦτοι Γαβὰ καλεῖται καὶ σκοπιὰ, μαθήσῃ σαφῶς ἐκ τῶν γεγραμμένων ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν. Ἀσὰ μὲν γὰρ βεβασίλευκε τῆς Ἱερουσαλὴμ, Βασὰ δὲ τῆς Σαμαρείας καθ' ἕνα καιρὸν

[58] I Tim. v, 22. [59] Mich. VI, 13, 14. [60] ibid. 15. [61] Judic. XIX, 20. [62] Osee IX, 8, 10. [63] III Reg. XV, 17; II Paral. XVI, 1.

Digitized by Google

ρόν. Ἐπειδὴ δὲ κατεμερίζοντο πρὸς διάνοιαν, καὶ ἀλλήλοις ἐπιμηνίσαντες τὸν τοῦ πολέμου νόμον ὡπλίζοντο, « Ἀνέβη, φησὶ, Βασαὰ βασιλεὺς Ἰσραὴλ ἐπὶ τὸν Ἰούδαν, καὶ ᾠκοδόμησε τὴν Ῥαμὰ, τοῦ μὴ εἶναι ἐκπορευόμενον καὶ εἰσπορευόμενον τῷ Ἀσὰ βασιλεῖ Ἰούδα. » Καταθέντος δὲ τὴν Σαμάρειαν τοῦ Ἄδερ, ὁ μὲν Βασαὰ τῆς Ῥαμὰ ἀπεσκευάζετο, τοῖς πολεμίοις ἀντανιστάμενος. Ἐκδεδράμηκε τῶν Ἱεροσολύμων ὁ Ἀσὰ, εἶτα γεγονὼς ἐν Ῥαμὰ, « Παρήγγειλε, φησὶ, παντὶ Ἰούδᾳ εἰς Ἐνακεὶμ, καὶ αἴρουσι τοὺς λίθους τῆς Ῥαμᾶ, καὶ τὰ ξύλα αὐτῆς, ἃ ᾠκοδόμησε Βασαὰ, καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς Ἀσὰ περὶ βουνὸν Βενιαμὶν, καὶ τὴν σκοπιάν· » διερμηνεύεται γὰρ οὕτως ἡ Γαβαὰ, διὰ τὸ ᾖρθαί τε ὑψοῦ, καὶ ἐν γηλόφῳ κεῖσθαι καὶ σκοπιᾷ. « Ἄρξομαι δὴ οὖν τοῦ πατάξαι σε, καὶ ἀφανιῶ σε ἐπὶ ταῖς ἁμαρτίαις σου, » καὶ οὐ καθ' ἕτερον τρόπον, ἢ κατ' ἐκεῖνον αὐτὸν τὸν ἐν ἡμέρᾳ σκοπιᾶς. Βαδιοῦμαι γὰρ ὥσπερ ἐπὶ κανόνος, οὐκ ἐκκλινῶ δὲ εἰς δεξιὸν, οὔτε μὴν εἰς εὐώνυμον, τῆς καταδίκης τὴν ὁδὸν ἐρχόμενος. Ἔοικε δὲ πάλιν τοιοῦτόν τι ὁ προφητικὸς ἡμῖν ὑπεμφαίνειν λόγος. Προφητεύει γὰρ ὁ Μιχαίας ἐν ἡμέραις Ἰωάθαμ, καὶ Ἀχὰζ, καὶ Ἐζεχία. Ἀλλ' ὁ μὲν Ἰωάθαμ ἀνὴρ γέγονεν εὐσεβὴς, ὁ δὲ δὴ Ἀχὰζ βδελυρὸς, καὶ ἀπηχθημένος, καὶ τῶν ὅτι μάλιστα διαβεβλημένων εἰς δυσσέβειαν. Οὗ καὶ βασιλεύοντος Φακεὲ ὁ τοῦ Ῥομελίου, βασιλεὺς τὸ τηνικάδε τῆς Σαμαρείας πεπολέμηκε τὸν Ἰούδαν, σύνοπλον ἔχων τὸν Ῥαασὼν τὸν τῆς Δαμασκοῦ βασιλέα, πλείστους τε ὅσους ἀπέκτεινεν ἐν ἡμέρᾳ μιᾷ. Γέγραπται γὰρ οὕτως ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων περὶ τοῦ Ἀχάζ· « Καὶ παρέδωκεν αὐτὸν Κύριος ὁ Θεὸς αὐτοῦ διὰ χειρὸς βασιλέως Συρίας. Καὶ ἐπάταξεν ἐν αὐτῷ, καὶ ᾐχμαλώτευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν πολλὴν, καὶ ἤγαγεν εἰς Δαμασκὸν, καὶ εἰς τὰς χεῖρας βασιλέως Ἰσραὴλ παρέδωκεν αὐτὸν, καὶ ἐπάταξεν ἐν αὐτῷ πληγὴν μεγάλην, καὶ ἀπέκτεινε Φακεὲ ὁ τοῦ Ῥομελίου βασιλεὺς Ἰσραὴλ ἐν Ἰούδᾳ, ἐν ἡμέρᾳ μιᾷ ἑκατὸν εἴκοσι χιλιάδας ἀνδρῶν δυνατῶν ἰσχύϊ, ἐν τῷ αὐτοὺς καταλιπεῖν Κύριον. »

Ἰστέον οὖν, ὅτι Θεῷ προσκρούοντες ἐν ἐνδείᾳ μὲν εὐθὺς ἐσόμεθα παντὸς ἀγαθοῦ, καὶ λιμὸς ἡμᾶς κατατήξει δεινὸς τῶν θείων καὶ πνευματικῶν ἀγαθῶν, ἀλλήλους δὲ ὥσπερ δάκνοντες δαπανήσομεν. Οὐ γὰρ βραβεύει Χριστὸς τὴν ἰδίαν εἰρήνην τοῖς οὐκ ἀγαπῶσιν αὐτὸν, ὃ δὴ μάλιστα συμβαίνειν ὁρᾶται τοῖς τῆς ἀληθείας ἐχθροῖς, παρ' οἷς οὐκ ἔστιν εὑρεῖν χρίσμα πνευματικὸν, ἀλληλοφαγίαν δὲ ὥσπερ, καὶ διαμάχην, ἔριν, καὶ φιλονεικίαν, καὶ σχίσματα. Καὶ περὶ αὐτῶν ἂν λέγοι Θεὸς, « Ὅτι ἀφέστηκά μου τὴν εἰρήνην ἀπὸ τοῦ λαοῦ τούτου, καὶ ἐν θανάτῳ νοσερῷ ἀποθανεῖται, » Θεοῦ καὶ ἰσχὺν, καὶ ὁμοψυχίαν οὐκ ἐκείνοις ποθὲν, ἀλλὰ τοῖς τοῦ αὐτοῦ σέβουσι διανέμοντος, καὶ οἷς ἂν εἰκότως τὸ τῆς εἰρήνης ἐνιζήσειεν ἀγαθὸν, τὴν τῆς ἀληθείας τιμῶσι δύναμιν, καὶ τὸ κατατέμνεσθαί ποι πρὸς ἐκτόπους εἰκαιοβουλίας οὐκ ἀνεχομένοις, καταθαυμάζειν δὲ μᾶλλον τῆς ἀληθείας τὸ κάλλος ἐσπουδακόσιν.

Οὐαὶ, ἐκδικήσεις σου ἥκασιν, νῦν ἔσονται κλαυθμοὶ αὐτῶν.

Ξδ'. Ἀκούεις ὅπως καὶ τὰς τῶν θρηνούντων ἀπομιμεῖται φωνὰς, οὐ προσδοκώντων ἔτι τὰς συμφορὰς,

care Rama, hostibus se opponens. Excursionem porro Jerosolymis faciens Asa, cum venisset Ramam, « Denuntiavit, inquit, universo Juda ad Enacim, ut tollerent lapides Rama, et ligna ejus, quæ ædificarat Basaa. Et ædificavit in eis Asa circa coltem Benjamin, et speculam [64] : » sic enim interpretantur vocem Gabaa, quoniam edita, et in colle, ac specula sita est. « Incipiam igitur te percutiendo, et perdam te propter peccata tua [65], » nec alio modo, quam illo ipso, qui in die speculæ fuit. Ambulabo enim velut super regulam : non declinabo ad dexteram, neque ad sinistram, per viam ultionis adveniens. Videtur rursum tale quid propheticus sermo nobis submonstrare. Prophetavit namque Michæas in diebus Joathan, et Achaz, et Ezechiæ. Verumtamen Joathan vir pius fuit, Achaz autem flagitiosus, et exosus, et ob impietatem summa laborans infamia. Quo etiam regnante, Phacee filius Romeliæ, tum temporis rex Samariæ, in Judam exercitum adduxit, socio Rasi rege Damasci, maximamque stragem uno die edidit. Sic enim in secundo Paralipomenon scriptum est de Achaz : « Et tradidit eum Dominus Deus ejus in manu regis Syriæ. Et percussit in eo, et cepit captivitatem multam ex ipsis, et adduxit in Damascum, et in manus regis Israel tradidit eum, 458 et percussit in eo plaga magna, et occidit Phacee filius Romeliæ rex Israel, in Juda, in una die centum viginti millia virorum potentium fortitudine, quoniam reliquerunt ipsi Dominum [66]. »

Sciendum ergo, si Deum offenderimus, nos continuo in egestate omnis boni futuros, divinorumque ac spiritualium bonorum dira nos fame confectum, et tanquam mutuis morsibus consumptum iri. Non enim Christus pacem suam ipsum non diligentibus donat : id quod imprimis evenire cernitur inimicis veritatis, apud quos non est invenire unctionem spiritualem; sed mutuam quasi devorationem, pugnam, litem, contentionem et schismata. Ac de his Deus dixerit : « Quia abstuli pacem meam a populo isto, et in morte morbosa morietur [67]. » Deo et vires, et concordiam nunquam illis, sed divina colentibus, et quibus bonum pacis jure insideat, veritatis virtutem suspicientibus, et ad consilia absurda ac vana distrahi non sustinentibus, sed veritatis pulchritudinem admirari potius studentibus, tribuente.

Væ, ultiones tuæ venerunt, nunc erunt fletus eorum.

LXIV. Audis quemadmodum et lamentantium voces imitetur, non adhuc exspectantium miserias,

[64] II Paral. XVI. 6. [65] Mich. VI, 13. [66] II Paral. XXVIII, 5, 6. [67] Jerem. XVI, 5, 6.

Digitized by Google

sed in iisdem velut jam versantium plorantiumque muliebriter. Ait enim : « Venerunt ultiones, » hoc est, cœptum est tempus pœnæ, in manibus est bellum, in foribus est ærumna. Addens enim : « Nunc erunt fletus eorum, » manifeste indicat quæ a prophetа dicuntur, non ita diu dilatum iri, sed prope ante oculos jacere. Joatham enim mox excepit in regno Achaz improbus et apostata, suorumque liberorum interfector, quos dæmonum aris consecrabat. Eodem regnante, die una de tribu Juda et Benjamin centum viginti millia occubuerunt. Nec ignorandum eodem tempore pœnas dedisse Israelem. Nam Phacee regnante, ascendit Teglatphalasar rex Assyriorum contra Samariam, et quam plurimas ejus urbes delevit. Occupavit porro Damascum, et ipsum Rhaason occidit, ut uno eodemque tempore et Judam et Benjamin a decem tribubus Samariæ consumi, ipsosque Samaritas quod fecerunt, **459** idem a Babyloniis perpeti contigerit [68]. Cernis itaque quomodo velut canonem, seu regulam iræ eorum, qui tempore collis, seu speculæ fuerunt, percurrens, in peccatores vindicaverit.

A ἀλλ' οἷον ἐν αὐτοῖς ἤδη γεγενημένων, καὶ κλαιόντων γυναικοπρεπῶς. « Ἧκασι γὰρ αἱ ἐκδικήσεις σου, » φησὶ, τουτέστιν, ἐνέστηκεν ὁ τῆς δίκης καιρὸς, ἐν χερσὶν ὁ πόλεμος, ἐπὶ θύραις ὁ πόνος. Ἐπιφέρων γὰρ, ὅτι « Νῦν ἔσονται κλαυθμοὶ αὐτῶν, » δέδειχεν ἐναργῶς, ὅτι μὴ εἰς μακρὰς ὑπερθέσεις τὰ τῆς προφητείας ἔρχεται, κεῖται δὲ ὥσπερ ἐν ὀφθαλμοῖς. Μετὰ γάρ τοι τὸν Ἰωάθαμ εὐθὺς γέγονεν Ἀχὰζ πονηρὸς καὶ ἀποστάτης, καὶ τῶν ἰδίων τέκνων σφαγεὺς, ἃ τοῖς τῶν δαιμονίων ἀνετίθει βωμοῖς. Ἐπ' αὐτοῦ πεπτώκασιν ἐν ἡμέρᾳ μιᾷ ἑκατὸν εἴκοσι χιλιάδες τῶν ἐκ φυλῆς Ἰούδα καὶ Βενιαμίν. Ἰστέον δὲ, ὅτι κατ' ἐκεῖνο τοῦ καιροῦ καὶ αὐτὸς ἐκτέτικε δίκας ὁ Ἰσραήλ. Φακεὲ γὰρ βασιλεύοντος, ἀνέβη Θεγλαφαλασὰρ βασιλεὺς Ἀσσυρίων κατὰ τῆς Σαμαρείας, καὶ πλείστας B μὲν ὅσας αὐτῆς ὠλόθρευσε πόλεις. Εἶλε δὲ τὴν Δαμασκὸν, καὶ αὐτὸν ἀπέκτεινε τὸν Ῥαασὼν, ὥστε καθ' ἕνα καιρὸν συμβέβηκε δαπανηθῆναι μὲν τὸν Ἰούδαν καὶ Βενιαμὶν ὑπὸ τῶν ἐν Σαμαρείᾳ δέκα φυλῶν, αὐτοὺς δὲ τοὺς ἐν Σαμαρείᾳ παθεῖν ὃ δεδράκασιν ὑπὸ τοῦ Βαβυλωνίου. Ὁρᾷς οὖν, ὅπως μονονουχὶ τὸν κανόνα τῆς ὀργῆς διατρέχων τῶν ἐν καιρῷ τοῦ βουνοῦ, ἤτοι τῆς σκοπιᾶς, τετιμώρηκε τοὺς ἁμαρτηκότας.

Verum illa quidem veteribus in figura evenerunt, scripta sunt autem ad correptionem nostram [69], ut in iisdem peccatis deprehendi fugientes, in beneficiis accipiendis perseveremus, Deum universorum benevolum, amicum, et defensorem retinentes. Quadrabunt hæc et perapposite recta pervertentibus, et simpliciorum fidem destruentibus, ut et nos dicere queamus, « Væ, ultiones tuæ venerunt, nunc erunt fletus eorum [70]. » Peccantes enim in fratres, « et infirmam eorum conscientiam percutientes, in Christum peccant [71]. » Omnimodis autem responsuros judici, et fructus impietatis suæ esuros, quid est quod dubitemus? « Quoniam enim injuriam fecerunt parvulis, occidentur, et inquisitio perdet impios, » ut scriptum est [72].

Ἀλλ' ἐκεῖνα μὲν τοῖς ἀρχαίοις συνέβη τυπικῶς, ἐγράφη δὲ εἰς νουθεσίαν ἡμῶν, ἵνα τοῖς ἴσοις ἐναλῶναι πλημμελήμασι ἀεὶ διεκνεύοντες, διατελῶμεν ἐν εὐπαθείᾳ, εὐμενῆ καὶ φίλον, καὶ προεστηκότα τὸν τῶν ὅλων ἔχοντες Θεόν. Ἁρμόσειε δ' ἂν καὶ μάλα εἰκότως τοῖς τὰ ὀρθὰ διαστρέφουσι, καὶ τὴν τῶν C ἁπλουστέρων διαλύουσι πίστιν, καὶ ἡμᾶς αὐτοὺς ὡς εἰπεῖν· « Οὐαὶ, αἱ ἐκδικήσεις σου ἦκασι, νῦν ἔσονται κλαυθμοὶ αὐτῶν. » Ἁμαρτάνοντες γὰρ εἰς τοὺς ἀδελφοὺς, « καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνουσι. » Καὶ ὅτι πάντη τε καὶ πάντως ἀπολογήσονται τῷ κριτῇ, καὶ τῆς ἑαυτῶν δυσσεβείας ἕδονται τοὺς καρποὺς, τίς ἐστιν ἀμφιβαλεῖν; « Ἀνθ' ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται, καὶ ἐξετασμὸς ἀσεβεῖς ὀλεῖ, » κατὰ τὸ γεγραμμένον.

Vers. 5, 6. *Ne credatis in amicis, neque speretis in ducibus, et ab ea quæ tecum cubat cave, ut non credas aliquid ei. Quia filius contumeliam facit patri, filia consurget adversus matrem suam, nurus contra socrum suam. Inimici omnes viri qui in domo ejus.*

Μὴ καταπιστεύετε ἐν φίλοις, μηδὲ ἐλπίζητε ἐπὶ ἡγουμένοις, καὶ ἀπὸ τῆς συγκοίτου σου φύλαξαι, τοῦ ἀναθέσθαι τι αὐτῇ. Διότι υἱὸς ἀτιμάζει πατέρα, θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς, νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς. Ἐχθροὶ πάντες οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ.

D

LXV. Multis modis peccantes, et adversum seipsos universorum Dominum irritantes Israelitæ, deinde per sanctos prophetas prædiscentes in miserias ineluctabiles sese deventuros, nisi bonis actionibus ad lenitatem inflectere Dominum voluerint, cum oporteret sapere, mutatisque in melius animis læsos placare, id infelices illi nunquam faciebant; quin eo stultitiæ aliquando labebantur, ut existimarent et crederent se divina ira superiores, et quovis bello victores futuros, si vicinarum gentium auxiliis, principumque conspirationibus, et promissis

ΞΕ'. Πλημμελοῦντες πολυτρόπως οἱ ἐξ Ἰσραὴλ, καὶ ἐπί γέ σφισιν αὐτοῖς καταθήγοντες εἰς ὀργὰς τῶν ὅλων Δεσπότην, εἶτα διὰ τῶν ἁγίων προαναμανθάνοντες προφητῶν, ὡς ἐν ἀφύκτοις ἔσονται κακοῖς, εἰ μὴ ταῖς ἐπιεικείαις ἐξημεροῦν ἕλοιντο τὸν Δεσπότην, δέον ἐλέσθαι φρονεῖν ὀρθῶς, καὶ ταῖς εἰς τὸ ἄμεινον ἀναδρομαῖς τιθασσεύειν λελυπημένους, τοῦτο μὲν οὐκ ἔδρων οἱ δείλαιοι ποτε, δυσβουλίας δὲ μᾶλλον εἰς τοῦτο κατώλισθον, ὡς οἴεσθαί τε καὶ πιστεύειν, ὅτι περιέσονται μὲν τῆς θείας ὀργῆς, κατευμεγεθήσουσι δὲ, καὶ λίαν εὐκόλως, πολέμου παντὸς, εἰ τὰς τῶν

[68] IV Reg. IV, 27-30. [69] I Cor. X, 11. [70] Mich. VII, 4. [71] I Cor. VIII, 12. [72] Prov. II, 32.

Digitized by Google

ὁμόρων ἐθνῶν ἔχοντες ἐπικουρίας, καὶ τὰς τῶν ἀρχόντων συμπνοίας καὶ ὑποσχέσεις. Ὅτι δὲ ψυχροῖς καὶ εἰκαίοις ἐπιτεθαρσήκασι φενακισμοῖς, καὶ ἀνόνητον ἔχουσι παντελῶς τὴν ἐλπίδα, διδάσκειν αὐτοὺς ὁ προφήτης πειρᾶται, λέγων· « Μὴ πιστεύετε ἐν φίλοις, μηδὲ ἐλπίζετε ἐπὶ ἡγουμένοις. » Σφαλερὸν γὰρ τὸ χρῆμα καὶ ἀνόνητον παντελῶς. Ἐπειδὴ γὰρ ἦκεν ὁ Βαβυλώνιος καταδηώσων τὴν Σαμάρειαν, τότε δὴ, τότε τῶν ὁμόρων ἐθνῶν οἱ ἡγούμενοι, καίτοι πλείστην δσην αὐτοῖς ὑπισχνούμενοι τὴν ἐπικουρίαν, τοὺς ὑπέρ γε σφῶν αὐτῶν ἀγῶνας ἔχοντες, οὐ μετρίως ἀσπαστὸν ἡγοῦντο τὸ σώζεσθαι μόνον, τὸ δὲ δὴ χρῆναι καὶ ἑτέρους ἐπικουρεῖν, οὐδ' ὅσον εἰς νοῦν ἐποιοῦντο τάχα. « Μὴ τοίνυν ἐν φίλοις καταπιστεύετε, μηδὲ ἐλπίζετε ἐπὶ τοῖς ἡγουμένοις. » Ἴστε δὲ, φησὶν, ὅτι Θεοῦ καθ' ἡμῶν κινοῦντος τὰ ἐξ ὀργῆς, οὐδὲ αὐτὸς ἡμῖν ὁ τῆς φύσεως νόμος, καὶ τῆς ἐκφύτου φιλοστοργίας ἡ δύναμις τὴν εὔνοιαν χαριεῖται, ἤγουν τῶν ἐξ αἵματος ἐγγὺς, καὶ οἰκείων κατὰ τὴν σάρκα, ἀλλ' ἐχθροὺς ἀπομιμήσονται καὶ αὐτοί. Καὶ γύναιον μὲν ἀνδρὸς ἀλογήσει τότε, υἱοὶ δὲ πατράσιν ἐπαναστήσονται, καὶ μὴν καὶ μητράσι θυγατέρες. Αὐτὸς γὰρ, φησὶ, ὁ τῆς φιλοστοργίας τοὺς νόμους ἐγχαράττων τῇ φύσει, μεταπείσειεν ἂν εὐκόλως καὶ μεταβαλεῖ πρὸς τὸ ῥᾴθυμον. Πλὴν ὅτι τῆς ἔν γε τούτοις ἡμῖν ῥᾳθυμίας ὁ τρόπος οὐχ εἷς ἂν νοοῖτο καὶ ὁ αὐτὸς, ἀλλὰ διττὸς καὶ διάφορος. Οἱ μὲν γὰρ τοῖς τῆς φιλοστοργίας προσκρούουσι νόμοις, ἀνοσίως τοῖς γεγεννηκόσι ἐπιφερόμενοι, οἱ δὲ τοῦτο δρῶσι καὶ Θεὸν εὐφραίνοντες, καὶ τὰς ἰδίας ψυχὰς ἀνασώζοντες. Καὶ γοῦν ἔφασκεν ὁ Σωτὴρ· « Δοκεῖτε ὅτι εἰρήνην παρεγενόμην δοῦναι ἐν τῇ γῇ; Οὐχὶ, λέγω ὑμῖν, ἀλλ' ἢ διαμερισμόν. Ἔσονται γὰρ ἀπὸ τοῦ νῦν πέντε ἐν οἴκῳ διαμεμερισμένοι, τρεῖς ἐπὶ δυσὶ, καὶ δύο ἐπὶ τρισί. Διαμερισθήσεται πατὴρ ἐφ' υἱῷ, καὶ υἱὸς ἐπὶ πατρὶ, καὶ μήτηρ ἐπὶ θυγατέρι, καὶ θυγάτηρ ἐπὶ τὴν μητέρα, πενθερὰ ἐπὶ τὴν νύμφην ἑαυτῆς, καὶ νύμφη ἐπὶ τὴν πενθεράν. » Ψήφῳ δὴ οὖν ὀρθῇ στεφανώσομεν τὴν οὕτω λαμπρὰν ἀφιλοστοργίαν (1). Προσοικεῖ γὰρ τῷ Θεῷ, κἂν εἰ τῆς κατὰ σάρκα συγγενείας ἀποτέμοι τινὰς, ὥστε καὶ ἀναμελῳδεῖν εὖ μάλα τὸ διὰ φωνῆς τοῦ Δαβὶδ· « Ὅτι ὁ πατήρ μου, καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, ὁ δὲ Κύριος προσελάβετό με. »

A adjuvarentur. Cæterum eos vanis illusionibus fidere, et spes inutiles prorsus alere, propheta docere conatur, his verbis: « Ne credatis in amicis, neque speretis in ducibus. » Res enim lubrica et incerta et infructuosa omnino est. Postquam enim Babylonius adveniet, Samariam depopulaturus, tum finitimorum populorum duces, quamvis firmissimas illi suppetias polliciti, necesse habentes pro se ipsis decertare, suæ saluti 460 imprimis dabant operam, de aliis tuendis conservandisque ne tantillum fortasse cogitantes. « Ne igitur credatis in amicis, neque speretis in ducibus. » Scitote autem, inquit, Deo irato vobis malum importante, nec ipsam naturæ legem, et insiti erga consanguineos et propinquos amoris vim benevolentiam navaturam: sed B ipsos quoque hostium feritatem imitaturos. Et mulier quidem tunc virum spernet, filii adversum patres, atque etiam adversum matres filiæ bellabunt. Ipse enim, inquit, qui amoris naturalis leges naturæ insculpsit, animos facile ad aliud consilium vocabit, et ad remissionem immutabit. Porro modus remissionis ac torporis, in his non idem, sed diversus, non unus, sed duplex a nobis intelligendus est. Alii enim in leges philostorgiæ offendunt, impie parentibus adversantes: alii hoc idem faciendo, et Deo gratum faciunt, et animas suas salvant. Proinde aiebat Salvator: « An putatis quia veni pacem mittere in terras? Non, dico vobis, sed separationem. Erunt enim ex hoc quinque in una domo divisi, tres C in duos, et duo in tres dividuntur. Pater in filium dividetur, et filius in patrem suum, mater in filiam, et filia in matrem, socrus in nurum suam, et nurus in socrum suam [73]. » Juste igitur suffragio tam insignem aphilostorgiam approbabimus. Deo siquidem conciliat, licet carnalis cognationis vinculum inter quosdam abrumpat, et verissime illud Davidicum cantare detur: « Quoniam pater meus et mater mea dereliquerunt me, Dominus autem assumpsit me [74]. »

Ἐγὼ δὲ ἐπὶ τὸν Κύριον ἐπιβλέψομαι· ὑπομενῶ ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου. Εἰσακούσεταί μου ὁ Θεός μου.

D Vers. 7. *Ego autem ad Dominum aspiciam: expectabo in Deo salutari meo. Exaudiet me Deus meus.*

Ξζ'. Ἁρμόσειε δ' ἂν τις, καὶ μάλα εἰκότως, μετανοούσῃ τε τῇ Σιὼν, καὶ τῶν τῆς αἰχμαλωσίας πόνων ὡς ἔσται κατὰ καιροὺς προαναθεωρούσῃ τὸ πέρας. Εἶλε μὲν γὰρ τὴν Βαβυλωνίων ὁ Κῦρος, ἀνῆκε δὲ μόλις ἐν λειψάνοις ὄντα τὸν Ἰσραὴλ, καὶ ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς, οἴκοι τε εἶναι προστέταχε, καὶ τὸν ἐν τοῖς Ἱεροσολύμοις ἀναδέμασθαι νεών. Τότε γὰρ οἷά περ ἐκ σκότους καὶ δεσμῶν ἀῤῥήκτων διαδιδράσκοντες, ἐν φωτὶ γεγόνασι, Θεοῦ κατοικτείροντος, καὶ εἰς τὴν ἄνωθεν αὐτοῖς πρεπωδεστάτην ἐλευ-

LXVI. Hæc verba commodissime quispiam tribuat Sion pœnitenti, futurumque miseræ captivitatis finem ante secum reputanti. Cepit enim Babyloniam Cyrus, et vix tandem reliquias Israelitis remisit, una cum vasis sacris, et in patrio solo deinceps degere, templumque Hierosolymitanum instaurare jussit [75]. Tunc enim veluti e tenebris et vinculis adamantinis fuga facta, Deo miserante, in lucem prodierunt, dimissique, cum lætitia in antiquam ac sibi maxime propriam libertatem quodam-

[73] Luc. xii, 51-53. [74] Psal. xxvi, 10. [75] I Esdr. i, 1 seqq.

(1) Sic correximus postulante sensu; Aubertus, φιλοστοργίαν. Edit.

Digitized by Google

modo emerserunt. Inquit igitur, « ego ad Dominum aspiciam. » Sero quidem valde, et post experientiam calamitatum, quarum adventum deprecari aversarique oportebat. **461** Verumtamen in Deo spem locaturam, et salutem ab ipso exspectaturam, convenienterque sentire affirmat, quoniam cum benignus sit, lamenta exauditurum, precibusque locum relicturum. Salutis autem principium licebit, opinor, intelligere, a deceptione et errore veteri animum in præsens revocare, et in posterum velle sapere, et ipsum totius universitatis arbitrum salutis auctorem ac dispensatorem arbitrari, et tam excellens bonum non vel humanis auxiliis ascribere, vel quod amentissimum atque imperitissimum foret, frequentiæ idolorum donum futurum confidere. Olim enim ad Ægyptios, ad Assyrios item descendebant eorum societates, et auxilia grandi pecunia mercantes. Adibant etiam idola inanima, sacrificia illis, et insuper preces pro se ipsis factitantes. Nunc autem respiciemus, inquiunt, ad Dominum, et exspectabimus, hoc est, salutem ab ipso et gratiam præstolabimur. Quin etiam se ab ipso exauditum iri, ipsi videlicet, et non aliis supplicantes. Atque hoc erat officium Sion, ut dixi, ad sanitatem redeuntis, et jam tum spectantis ad sententiam de rejiciendo errore illo veteri, et de consiliis melioribus capessendis, et factis salubrioribus eligendis.

VERS. 8, 9. *Ne gaudeas super me, inimica mea, quia cecidi, et resurgam. Quia si sedero in tenebris, Dominus illuminabit me. Iram Domini sustinebo, quia peccavi ei, donec justificet ipse causam meam. Et faciet judicium meum, et educet me in lucem, et videbo justitiam ejus.*

LXVII. Festivissime mihi nunc sermo Sion affectus videtur, adversus immitem, et insultatricem, et arrogantem civitatem, Babylonem scilicet, Judæorum regionem devastatam velut irrisione ludentem. Noli, inquit, insultare ut jacenti. Vicisti enim, non quia plus potueris : sed quia Deum offendi, ideo me infirmam jacentemque evertisti. Aderit tamen tempus, quando resurgam, tametsi redacta sum in tenebras, « Ligno dicens : Deus meus es tu; et lapidi : Tu me genuisti [76], » et super vitulis edidi verbum. Dixi enim, dixi amens : « Hi sunt dii tui, Israel, qui eduxerunt te de terra Ægypti [77]. » Verumtamen ero rursus in lucem, agnoscam Dominum **462** salvatorem, adjutorem, roboris suppeditatorem. Sustinebo autem casus meos, et mala sufferam, et neutiquam adversus Deum, ut injuste me affligentem, clamabo : imo enimvero ita sentiam, justam in me sententiam tulisse, quamvis abducta sim captiva. Peccavi enim, et pœnam ab irato impositam perfero, « donec justificet causam meam, » hoc est, donec æquale peccatis meis supplicium remensus, aliquando misereatur, et jam pridem erroris caligine obtenebratam,

θερίαν ἀνενήχοντό πως, ἀνιέμενοί τε καὶ χαίροντες. « Ἐγὼ τοίνυν, φησὶν, ἐπὶ τὸν Κύριον ἐπιβλέψομαι. » Ὀψὲ μὲν λίαν, καὶ μετὰ πεῖραν, ὧν ἔδει παραττεῖσθαι τὴν ἔφοδον. Πλὴν εἰς Θεὸν ἕξειν τὴν ἐλπίδα φησὶν, ὑπομένειν δὲ τὴν παρ' αὐτοῦ σωτηρίαν, διακεῖσθαί τε καὶ ἀραρότως, ὅτι φιλάνθρωπος ὤν, κατήκοος ἔσται τῶν ὀδυρμῶν, καὶ παραδέξεται τὰς λιτάς. Σωτηρίας δὲ, οἶμαι, νοοῖτ' ἂν ἀρχὴ τὸ ἀποστῆσαι μὲν τέως τὸν νοῦν τῆς ἀρχαίας ἀπάτης, ἀνθελέσθαι δὲ λοιπὸν τὸ φρονεῖν ὀρθῶς, καὶ τῆς σωτηρίας ἀρχηγὸν αὐτὸν καὶ πρύτανιν ὑπάρχειν οἴεσθαι τὸν τῶν ὅλων Δεσπότην, καὶ μὴ τὸ οὕτως ἐξαίρετον ἀγαθὸν ἢ ταῖς ἐξ ἀνθρώπων ἀπονέμειν ἐπικουρίαις, ἤγουν, τὸ ἀνούστατον, καὶ ἀμαθέστατον, δῶρον ἔσεσθαι προσδοκᾷν τῆς τῶν εἰδώλων πληθύος. Πάλαι μὲν γὰρ κατέβαινον μὲν πρὸς Αἰγυπτίους, ἀπῴκοντο δὲ καὶ εἰς Ἀσσυρίους, τὰς παρ' αὐτοῖς συμπωλίας τε καὶ ἐπικουρίας οὐκ εὐαριθμήτων χρημάτων ὠνούμενοι. Προσῆσαν δὲ καὶ εἰδώλοις ἀψύχοις, πληροῦντες θυσίας, καὶ πρός γε τούτῳ τὰς ὑπέρ γε σφῶν αὐτῶν προσάγοντες λιτάς. Νυνὶ δέ φασιν ὡς ἐπὶ τὸν Κύριον ἐπιβλέψονται, καὶ ὑπομενοῦσι δὲ αὐτὸν, τουτέστιν, ἐκδέξονται τὴν παρ' αὐτοῦ σωτηρίαν καὶ χάριν. Καὶ μὴν καὶ ὅτι καὶ εἰσακουσθήσονται παρ' αὐτοῦ, αὐτῷ δηλονότι, καὶ οὐχ ἑτέροις προσάγοντες ἱκετηρίας. Τοῦτο δὲ ἦν ἀνανηφούσης, ὡς ἔφην, τῆς Σιὼν, καὶ ὁρώσης ἤδη πρὸς τὸ δοκεῖν μὲν ἀποσείεσθαι τὴν ἀρχαίαν ἐκείνην πλάνησιν, μεταβουλεύεσθαι δὲ τὰ ἀμείνω, καὶ ὁρᾷν ἐλέσθαι δὲ τὰ χρήσιμα.

Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ὅτι πέπτωκα, καὶ ἀναστήσομαι. Διότι ἐὰν καθίσω ἐν τῷ σκότει, ὁ Κύριος φωτεῖ μοι. Ὀργὴν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου. Καὶ ποιήσει τὸ κρίμα μου, καὶ ἐξάξει εἰς τὸ φῶς, καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ.

ΞΖ'. Χαριέστατά μοι δοκεῖ διαπεπλάσθαι νῦν τῆς Σιὼν ὁ λόγος, πρὸς τὴν ἀπηνῆ, καὶ ὑβριστριαν, καὶ ἀλαζόνα πόλιν, ὅλον δὲ ὅτι τὴν Βαβυλωνίων, τὴν οἱονεί πως ἐπιτωθάζουσαν ὡς πεπορθημένῃ τῇ Ἰουδαίων χώρᾳ. Μὴ γὰρ ἐπαγάλλου, φησὶν, ὡς κειμένῃ. Νενίκηκας γὰρ, οὐκ αὐτὴ μᾶλλον ὑπερισχύουσα, καταβαλοῦσα δὲ ἀῤῥωστοῦσαν ἐμὲ τῷ προσκροῦσαι Θεῷ, καὶ διὰ τοῦτο κειμένην. Ἀλλ' ἥξει καιρὸς, ὅτε καὶ ἀναστήσομαι, κἂν εἰ γέγονα, φησὶν, ἐν σκότει, « τῷ ξύλῳ λέγουσα· Θεός μου εἶ σὺ, καὶ τῷ λίθῳ· Σὺ ἐγέννησάς με, » καὶ ἐπὶ ταῖς δαμάλεσιν ἀνιεῖσα λόγον. Ἔφην γὰρ, ἔφην ἐξ ἀποπληξίας· « Οὗτοί σοι θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνήγαγόν σε ἐκ τῆς Αἰγύπτου. » Ἀλλ' οὖν ἔσομαι καὶ εἰς φῶς, ἐπιγνώσομαι τὸν Δεσπότην τὸν σώζοντα, τὸν ἐπίκουρον, τῆς εὐσθενείας τὸν χορηγόν. Ἀνέξομαι δὲ τῶν συμβεβηκότων, καὶ ὑποστήσομαι τὰ δεινὰ, κατακεκράξομαι δὲ οὐδαμῶς, ὡς ἀδικοῦντος Θεοῦ, διακείσομαι δὲ μᾶλλον, ὡς ὀρθὴν ἐπ' ἐμοὶ τὴν ψῆφον ἐνέγκαντος, κἂν εἰ πέπομφεν εἰς αἰχμαλωσίαν. Πεπλημμέληκα γὰρ, καὶ φέρω τὰ ἐξ ὀργῆς, « ἕως ἂν δικαιώσῃ τὴν δίκην μου, » τουτέστιν, ἕως ἂν τὴν ἰσοπαλῆ τοῖς πλημμελήμασιν

[76] Jerem. II, 27. [77] Exod. XXXII, 4.

Digitized by Google

ἐπιμετρήσας κόλασιν, κατοικτείρῃ λοιπὸν, καὶ τὴν πάλαι κατεσκοτισμένην τῇ τῆς πλάνης ἀχλύϊ ἀποφήνῃ λαμπρὰν, διά γε τοῦ γνῶναι τὸν ἀληθῆ καὶ φύσει Θεὸν, οἱονεί πως ἐν φωτὶ καὶ αὐτὴν γενέσθαι παρασκευάσας. Καταθαυμάζοιτο δὲ, φησὶν, εἰκότως, καταδεικνὺς ἐπ' ἐμοὶ τῆς αὐτοῦ δικαιοσύνης τὸ εἰλικρινές. Ὥσπερ γὰρ οὐκ ἔξω δίκης πλημμελοῦσαν ἐκόλαζεν, οὕτως ἐν ἴσῳ ποιήσεται λόγος, τὸ παθοῦσαν ἤδη καὶ μεταγινώσκουσαν καὶ φροντίδος ἀξιοῦν, καὶ κατοικτείρειν κειμένην. Οὐκοῦν ἀγαθὸς ὁ τῶν πάντων Δεσπότης, καὶ τοῖς ἐπιστρέφουσιν εἰς αὐτὸν διανέμει μὲν ἀμελλητὶ τὸν ἔλεον, κατευφραίνει δὲ καὶ σφόδρα πλουσίως τοῖς ἐξημερότητος ἀγαθοῖς, ἀντεὶς ἀμνησικάκως τὰ πάλαι διεπταισμένα.

A lucidam reddat, per cognitionem veri et naturæ Dei, in luce quodammodo et ipsa me constituta. Erit autem admirationi merito, inquit, cum super me justitiæ suæ sinceritatem patefecerit. Quemadmodum enim peccantem non citra justitiam punivit, ita rationi consentaneum est, afflictam jam et resipiscentem cura dignari, prostratamque miserari. Bonus est igitur Dominus, et ad se conversis misericordiam sine dilatione impertit, abundantissimeque bonis mansuetudinis suæ exhilarat, olim commissa sic condonans, ut etiam memoriam eorum abjiciat.

Καὶ ὄψεται ἡ ἐχθρά μου, καὶ περιβαλεῖται αἰσχύνην, λέγουσα πρὸς μέ· Ποῦ Κύριος ὁ Θεός σου; Οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν. Νῦν ἔσται εἰς καταπάτημα, ὡς πηλὸς ἐν ταῖς ὁδοῖς. Ἡμέρα ἀλοιφῆς πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη.

B Vers. 10, 11. *Et videbit inimica mea, et operietur confusione, dicens ad me: Ubi Dominus Deus tuus? Oculi mei videbunt eam. Nunc erit in conculcationem ut lutum in viis. Dies lituræ lateris, deletio tua dies illa.*

ΞΗ'. Ἦλω μὲν, ἦλω τῶν Ἰουδαίων ἡ χώρα, καὶ δορύλητος εἰς Βαβυλῶνα καὶ Μήδους ἀπεκομίσθη κατὰ καιροὺς ὁ Ἰσραὴλ, οὐκ ἰδίαις δυνάμεσι κατευμεγεθοῦντος αὐτῶν τοῦ κεκρατηκότος, ἀποστρεφομένου δὲ μᾶλλον αὐτὸν ὡς ἡμαρτηκότα τοῦ διασώζοντος Θεοῦ, καὶ οἷον ὑπὸ χεῖρα φέροντος τῶν ἐχθρῶν, διὰ καὶ τὸ εἰδώλοις ἀψύχοις ἐλέσθαι προσκυνεῖν, ἀποσείεσθαι δὲ καὶ τὸν πάλαι διὰ Μωσέως ὁρισθέντα νόμον, καὶ ἁπαξαπλῶς ἀπονεῦσαι πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων, οὐδένα τε φαυλότητος τρόπον ἀνεπιτήδευτον ἐᾷν. Εἶτα λαβόντες οἱ Βαβυλώνιοι, καὶ ταῖς ἐκυτῶν δυνάμεσιν ἀνάπτοντες τὸ νικᾷν, καὶ αὐτῆς τῆς θείας κατεσοβαρεύοντο δόξης, ζῳοτό τε κρατήσειν τῆς Ἰουδαίας, κἂν εἰ ἔλοιτο σώζειν αὐτοὺς ὁ τῶν ὅλων Θεός. Καὶ λαβόντες ὑπὸ χεῖρα τοὺς ἡμαρτηκότας, δεινοῖς τε καὶ ἀφορήτοις κατηκίσαντο πόνοις, χαλεπὴν αὐτοῖς ἐπαρτήσαντες τὴν δουλείαν. Καὶ γοῦν ἔφη που Θεὸς διὰ Ἱερεμίου πρὸς τὴν τῶν Ἀσσυρίων ἀνοσίαν πληθὺν, ἤγουν πρὸς τὴν Βαβυλῶνα· « Ἰδοὺ ἐγὼ πρὸς σὲ τὴν ὑβρίστριαν. » Καὶ μέν τοι καὶ περὶ αὐτῶν τῶν ἐξ Ἰσραὴλ· « Ἐγὼ δέδωκα αὐτοὺς εἰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. Τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα, καὶ εἶπας· Εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. » Οὐ γὰρ ἦν ἔλεος παρ' ἐκείνοις, οὐδὲ φειδὼ ἡλικίας, οὐ γήρως αἰδὼς, οὐ σπλάγχνων οἰκτιρμοί. Δέδονται δὴ οὖν ταύτητοι δικαίως εἰς χεῖρας καὶ αὐτοὶ Περσῶν τε καὶ Μήδων, καταστρατηγοῦντος Κύρου, ὃς εἶλε τὴν Βαβυλῶνα. Καὶ περὶ αὐτοῦ που τάχα φησὶν ὁ προφήτης Ἱερεμίας· « Ἐπιθήσονταί σοι, καὶ ἁλώσῃ, Βαβυλὼν, καὶ οὐ γνώσῃ. Εὑρέθης, καὶ ἐλήφθης, ὅτι τῷ Κυρίῳ ἀντέστης. Ἤνοιξε Κύριος τὸν θησαυρὸν αὐτοῦ, καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ. » Σκεύη δέ φησι τῆς ὀργῆς τοὺς πεπορθηκότας αὐτήν. Συμβέβηκε τοίνυν ληφθῆναι μὲν ὑπὸ Κύρου τὴν Βαβυλωνίων, ἀνεθῆναι δὲ τῆς αἰχμαλωσίας τὸν Ἰσραήλ. Ταύτῃ τοι φασὶν οἱ λελυτρωμένοι· « Ὅτι ὄψεται ἡ ἐχθρά μου καὶ περιβα-

LXVIII. Capta est, capta Judæa, et Israel armis subactus, in Babylonem ac Medos olim ductus est, victore non sua ipsius virtute, et potentia superante, sed potius ut peccatis obligatum aversante Salvatore Deo, et quasi manibus hostium subjiciente, quod et idola inanima adorare non reformidasset, et legem olim per Mosen latam repulisset, simpliciterque ad omnia illicita declinasset, nullumque genus improbitatis inexpertum reliquisset. Deinde Babylonii, illis occupatis, suæ ipsorum facultati victoriam attribuebant, et contra Dei gloriam superbe se efferebant, et se Judæa quanquam Deo rerum universarum ipsam defensante potituros arbitrabantur. Acceptis autem in potestatem peccatoribus, dire et intolerandum in modum acerba servitute multatos vexabant. Proinde alicubi Deus per Jeremiam impiam Assyriorum multitudinem, sive **463** Babylonem, sic affatur: « Ecce ego ad te conviciatricem. » Quin et de ipsis Israelitis: « Ecce dedi eos in manus tuas, tu autem non dedisti eis misericordiam. Senioris jugum aggravasti vehementer, et dixisti: In æternum dominabor [78]. » Non enim erat misericordia apud eos, non parcebant juventuti, non reverebantur senectutem, non habebant viscera misericordiæ. Quare et ipsi in manus Persarum, et Medorum jure traditi sunt, ducente in eos Cyro, qui Babylonem occupavit. Ac de ipso fortasse propheta Jeremias loquitur: « Invadent te, et capieris, Babylon, et non cognosceris. Inventa es, et capta es, quia Domino restitisti. Aperuit Dominus thesaurum suum, et protulit vasa iræ suæ [79]. » Vasa iræ vocat devastatores ejus. Contigit ergo capi Babylonem a Cyro, ab eoque Israelitas captivos dimitti. Quocirca aiunt liberati: « Quia videbit inimica mea, et operietur confusione. » Quando enim videbit hunc jacere filios suos, miserabiliterque, et præter opinionem periisse, et quos aliquando subjectos

[78] Isa. XLVII, 6, 7. [79] Jerem. LX, 31.

Digitized by Google

habuit gaudentes et dimissos, et domum jam currentes, quomodo non summa operietur confusione, tametsi aliquando dixit : Ubi est Deus tuus? « Videbo enim eam ut lutum in viis » sub pedes inimicorum projectam, et conculcatam. Hinc ad ipsam Babylonem ait : « Deletio tua dies illa, » pro, tempus illud quo pedibus hostium subjicieris, inquit, Cyro videlicet arrogantem et maledicam haud secus quam lutum conculcante et premente. Quantum igitur ad historicam intelligentiam horum verborum attinet, sufficienter utique et commode disseruimus.

A λεῖται αἰσχύνην. » Ὅταν γὰρ ἴδῃ κείμενα μὲν εἰς τὴν γῆν τὰ ἴδια τέκνα, οἰκτρῶς τε καὶ ἀδακήτως ἀπολωλότα, τοὺς δὲ ὑπὸ χεῖρά ποτε χαίροντάς τε καὶ ἀνειμένους, οἵκοι τε λοιπὸν ἀποτρέχοντας, πῶς οὐ πάντη τε καὶ πάντως περιβαλεῖται αἰσχύνην, καίτοι λέγουσά ποτε· Ποῦ Κύριος ὁ Θεός σου; « Ἐπόψομαι γὰρ αὐτὴν ὡς πηλὸν ἐν ὁδοῖς, » ὑπὸ πόδας ἐχθρῶν ἐῤῥιμμένην, καὶ πεπατημένην. Εἶτα πρὸς αὐτὴν ὁ λόγος τὴν Βαβυλῶνά φησιν· « Ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη, » ἀντὶ τοῦ, ὁ καιρὸς καθ' ὃν ἂν γένοιτο, φησίν, ὑπὸ πόδας ἐχθρῶν, Κύρου δηλονότι συμπατοῦντός τε καὶ καταθλίβοντος ἐν ἴσῳ πηλῷ τὴν ἀλαζόνα τε καὶ ὑβρίστριαν. Ὅσον μὲν οὖν ἥκει εἰς γε τὸ χρῆναι νοεῖν τὰ τοιάδε πάλιν ἱστορικῶς, ἀποχρῶν ἡμῖν εὖ μάλα καὶ εὖ ἔχων ἐκπεποίηται λόγος.

Nihilominus hæc quispiam ad spiritualem quoque Sion, ad Ecclesiam puta, accommodaverit, hostium dominantem, et persecutores suos conculcantem, et oppugnatorum suorum imbecillitati illudentem, tametsi nonnunquam superiores et obtinere victoriam videantur. Frequentissimi quippe, qui dentibus in eam impie fremunt et iras acuunt, et omne genus insidiarum componunt : partim Græci inventis suis stolidis non medioeriter eam vellicantes, et pro impostura idolorum acriter dimicantes : partim sanctis maxime obloquentes hæretici : **464** et acerbius fortasse iis qui rectum sensum sequuntur, quam qui fidem non admiserunt. Nam cum Deus omnipotens aliquando sanctos exerceat et tentationibus eorum periculum faciat, verosque adoratores velut aurum in igne probet, supercilium superbum miseri contra eos tollunt, et labori propemodum succumbere videntes, illud, « Ubi est Deus tuus? » fatue occinunt. Verum sapiens et castissima et sancta virgo, maculam et rugam non habens [80], merito responderit : « Ego vero in Dominum respiciam. Exspectabo in Deo salutari meo, et exaudiet me Deus meus [81]. » Et insuper adversarios suos ut lutum viarum conculcaverit. Nec gavisuros ullo modo super ea, qui tentare consueverunt, quanquam aliquo modo minuta fuerit, quo pacto dubitandum est? Fundata est enim supra petram [82], et est ejus firmamentum Christus, basis immobilis, et perpetua securitas, Salvator et Redemptor.

B Ἐφαρμόσειε δ' ἂν οὐδὲν ἧττόν τις αὐτὰ καὶ τῇ νοητῇ Σιὼν, τουτέστι τῇ Ἐκκλησίᾳ κατευμεγεθούσῃ τῶν ἐχθρῶν, καὶ πατούσῃ τοὺς διώκοντας, καὶ τῶν πολεμεῖν εἰωθότων αὐτῇ κατακερτομούσῃ τὸ ἀδρανὲς, κἂν εἰ δοκεῖεν ἔσθ' ὅτε περιγίνεσθαι καὶ κρατεῖν. Πολλοὶ μὲν γὰρ λίαν οἱ καὶ ὀδόντας αὐτῇ δυσσεβῶς ἐπιτρίζοντες, καὶ ὀργὰς ἐπιθήγοντες, καὶ πᾶν εἶδος συνιστῶντες ἐπιβουλῆς, τοῦτο μὲν Ἑλλήνων παῖδες τοῖς σφῶν αὐτῶν ἀσυνέτοις εὑρέμασιν οὐ μετρίως ἐπαγωνιζόμενοι, καὶ τῆς τῶν εἰδώλων ἀπάτης ὑπεραθλοῦντες γενναίως, τοῦτο δὲ καὶ οἱ κατὰ τῶν ἁγίων μάλιστα φωνῶντες αἱρετικοί· καὶ ἀγριώτερόν που τάχα κατὰ τῶν ὀρθᾷ φρονεῖν ἠρημένων, ἢ ἐκεῖνοι μᾶλλον οἱ καὶ τὴν πίστιν οὐ προσηκάμενοι. Διαγυμνάζοντος γὰρ ἔσθ' ὅτε τοὺς ἁγίους τοῦ πάντα ἰσχύοντος Θεοῦ, καὶ πειρασμοῖς περιπίπτειν περιῶντος, καὶ οἷά περ ἐν πυρὶ δοκιμάζοντος τοὺς γνησίως προσκυνητὰς, ὀφρὺν οἱ δεῖλαιοι κατ' αὐτῶν αἴρουσι τὴν ἀγέρωχον, μονονουχὶ δὲ πονοῦντας ὁρῶντες τὸ, « Ποῦ Κύριος ὁ Θεός σου; » φληνάφως κατακεκράγασιν. Ἀλλ' ἡ γε σοφή τε καὶ πάναγνος, καὶ ἁγία παρθένος, ἡ σπίλον τε καὶ ῥυτίδα μὴ ἔχουσα, φήσει ἂν εἰκότως· « Ἐγὼ δὲ ἐπὶ τὸν Κύριον ἐπιβλέψομαι. Ὑπομενῶ ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου, καὶ εἰσακούσεταί μου ὁ Θεός μου. » Καταπατήσεις δὲ ἔτι τοὺς ἀνθεστηκότας ὡς πηλὸν ὁδῶν. Καὶ ὡς οὐκ ἂν ἐφησθείεν εἰσάπαν αὐτῇ, κἂν εἰ καταμειοῖτό πως, οἱ πειράζειν εἰωθότες, πῶς ἔστιν ἀμφιβάλλειν; Τεθεμελίωται γὰρ ἐπὶ τὴν πέτραν, καὶ ἔστιν αὐτῆς ἔρεισμα Χριστὸς, κρηπὶς ἀκράδαντος, καὶ διηνεκὴς ἀσφάλεια, Σωτήρ τε καὶ Λυτρωτής.

Dixerit porro et illud, opinor : « Ne lætare super me, inimica mea, quia cecidi, » et quæ sequuntur. Et anima hominis ubi peccavit, et reprehensa ad pœnitentiam transit, salutisque gratiam per Christum exspectat, ad peccatum, cujus tyrannidem pertulit, tanquam ad inimicum dicet : « Ne lætare super me, cecidi enim, » ab eo quod gratum est Deo, consensu ac voluntarie discedens, et mentem meam in studium mundanarum voluptatum demittens : Sed a spe resurgendi non longe absum. Et quamvis in caligine quadam ac tenebris fui, ipsa quoque lumen, Christum nempe, inveniam, et sol justitiæ in animo meo exortus, candidatam reddet. « Iram

D Φαίη δ' ἂν, οἶμαί που, τὸ, « Μὴ ἐπίχαιρέ μοι, ἡ ἐχθρά μου, ὅτι πέπτωκα, » καὶ ὅσα τούτοις συνήρμοσται, καὶ ἀνθρώπου ψυχὴ, πλημμελήσασα μὲν, καὶ κατεγνωσμένη, μεταχωροῦσα δέ πως ἐπὶ τὸ χρῆναι μετανοεῖν καὶ τῆς διὰ Χριστοῦ σωτηρίας ἐκδεχομένη τὴν χάριν. Ἐρεῖ γὰρ ὡς πρὸς ἐχθρὰν τὴν τυραννήσασαν ἁμαρτίαν; « Μὴ ἐπίχαιρέ μοι· πέπτωκα μὲν γὰρ, » ὁμολογουμένως τὸ τῷ Θεῷ δοκοῦν παραλύσασα, καὶ τὸν ἐμαυτῆς καθιεῖσα νοῦν εἰς φιληδονίας κοσμικὰς, ἀλλ' οὐ μακρὰν ἐλπίδος, ὅτι καὶ ἀναστήσομαι. Κἂν εἰ γέγονά πως ἐν ἀχλύϊ, καὶ σκότῳ, φῶς καὶ αὐτὴ εὑρήσω Χριστὸν, καὶ ὁ τῆς δικαιοσύνης ἥλιος εἰς νοῦν ἀνατείλας λελευκασμένην ἀποφανεῖ. « Ὀργὴν

[80] Ephes. v, 27. [81] Mich. vii, 7. [82] Matth. vii, 25 ; xvi, 18.

Digitized by Google

Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ. » Εἰ γὰρ καὶ γέγονα, φησὶν, ἐκ προσώπου βραχὺ, δέδομαι δὲ καὶ εἰς νοῦν ἀδόκιμον, ἀλλ' οὖν ἔσομαι σοφὴ, καὶ παθοῦσα δικαίως τὴν ἀποβολὴν, οἴσομαι τὸ κρίμα, καὶ δὴ καὶ ὀρθῶς γενέσθαι φημί· κεκόλασμαι γὰρ οὐ μάτην. Ἐπειδὴ δὲ τὴν πρεπωδεστάτην ἐκτέτικα δίκην, ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ. Δικαιοσύνη δὲ τοῦ Θεοῦ καὶ Πατρὸς, τίς ἂν εἴη λοιπὸν, πλὴν ὅτι Χριστός; Οὕτω γὰρ ἡμῖν αὐτὸν ὁ Θεὸς καὶ Πατὴρ ἀπεκάλει, λέγων· « Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου [παραγίνεσθαι], καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. » Εἶτα τῆς ἐν Χριστῷ δικαιοσύνης τὴν χάριν, καὶ τῆς ἁμαρτίας τὴν καταστροφὴν ἐννοήσασά που, κατὰ τὸ εἰκὸς, ἡ τοιάδε ψυχὴ σοφῶς καὶ ἀγχίνως ἀνακεκράξεται· « Ὄψεται ἡ ἐχθρά μου, καὶ περιβαλεῖται αἰσχύνην, ἡ λέγουσα πρὸς μέ· Ποῦ Κύριος ὁ Θεός σου; Οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν. Νῦν ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς. Ἡμέρα ἀλοιφῆς πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη. » Ἐπειδὴ γὰρ ἐπιδεδήμηκεν ὁ Χριστὸς, δικαιῶν τῇ πίστει τοὺς ἡμαρτηκότας, ἐμπέφρακται μὲν τῆς ἀνόμου τὸ στόμα, κατησχύνθη δὲ ὥσπερ καὶ ὁ ταύτης εὑρετής. Καὶ ὁ μὲν ἀπελήλαται, καὶ τῆς καθ' ἡμῶν ἀποπέπτωκεν ἀρχῆς, ἡ δὲ ὡς πηλὸς ἐν ὁδοῖς πεπάτηται λοιπὸν, τοῖς τῶν ἁγίων ποσὶν οἱονεί πως ὑπενηνεγμένη. Γέγονε δὲ καὶ αὐτῆς ἐξάλειψις ἡ ἡμέρα Χριστοῦ, καθ' ἣν ἕκαστον τῶν προσιόντων αὐτῷ καθαρὸν ἀποφανεῖ τῶν ἀρχαίων αἰτιαμάτων διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ κατασφραγίσει τῷ πνεύματι πρὸς ἁγιασμὸν, καὶ ἐν τέκνοις καταγράψει Θεῷ.

A Domini portabo, quoniam peccavi ei. » Quanquam enim ad breve tempus a facie illius rejecta, et in sensum reprobum data sum, inquit, attamen ero non stulta, et juste rejectionem passa, portabo judicium; quinimo ut decuit mihi factum autumo: non enim temere pœnas dedi. Et quia congruentissimam pœnam pertuli, videbo justitiam ejus. At enim quænam Dei et Patris justitia fuerit nisi Christus? Sic enim Deus Pater illum nobis appellavit, dicens: « Appropinquat enim justitia mea, ut veniat, et misericordia mea, ut reveletur [83]. » Postea gratiam justitiæ in Christo, et peccati exitium ubi secum perpendit, ut decuit, talis anima sapienter et solerter exclamabit: « Videbit inimica mea, et operietur confusione, quæ dicit mihi? **465** Ubi est B Dominus Deus tuus? Oculi mei aspicient ipsam. Nunc erit in conculcationem ut lutum in viis. Dies lituræ lateris, abolitio tua dies illa. » Postquam enim advenit Christus, fide justificans peccatores [84], obturatum est iniquo illi, peccato nimirum, os, et confusum est, sicut inventor ejus. Et is quidem depulsus est, dominatumque in nos amisit: illud vero ut lutum in viis conculcatum est de cætero, sanctorum pedibus quasi subjectum. Et facta est abolitio ejus dies Christi, secundum quam unumquemque ad se accedentem a veteribus criminibus per sacrum baptisma purum efficiet, et spiritu ad sanctificationem consignabit, et in filiorum Dei numerum ascribet.

C

Καὶ ἀπώσεται νόμιμα ἡ ἡμέρα ἐκείνη. Καὶ αἱ πόλεις σου ἥξουσιν εἰς ὁμαλισμὸν, καὶ εἰς διαμερισμὸν Ἀσσυρίων. Καὶ αἱ πόλεις σου αἱ ὀχυραὶ εἰς διαμερισμὸν, ἀπὸ Τύρου ἕως τοῦ ποταμοῦ, καὶ ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ὄρους ἕως τοῦ ὄρους. Καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν μετὰ τῶν κατοικούντων αὐτὴν, ἀπὸ καρπῶν ἐπιτηδευμάτων αὐτῶν.

VERS. 11, 13. *Et depellet legitima dies illa. Et urbes tuæ venient in æqualitatem, et in divisionem Assyriorum. Et civitates tuæ munitæ in divisionem a Tyro usque ad flumen, et a mari usque ad mare, et a monte usque ad montem. Et erit terra in dissipationem cum habitantibus eam, propter fructus adinventionum ipsorum.*

ΞΘ'. Διαμέσου τέθειται τὸ τῆς Σιὼν πρόσωπον, ἤτοι τῆς Ἱερουσαλὴμ τετραμμένης ἤδη πως πρὸς μετάγνωσιν, καὶ τὴν ἐλπίδα θεμένης ἐπὶ Θεῷ, διατεθειμένης τε ὅτι καὶ λυτρωθήσεται, καὶ πατουμένην ἐπόψεται τὴν Βαβυλῶνα, καὶ λέγουσαν ἐξ ὑπεροψίας αὐτῇ· « Ποῦ Κύριος ὁ Θεός σου; » Τὴν δέ γε τῶν προκειμένων διάνοιαν ἐφαρμόσαι τις ἂν οὐχὶ τοῖς διαμέσου μᾶλλον, ἀλλὰ τοῖς ἀνόπιν βραχύ· ποῖα δὲ ἦν ἄρα ταυτὶ, δι' ὀλίγων ὑπομνησόμεθα. Μὴ γὰρ δὴ χρῆναι πιστεύειν αὐτοὺς ἐν φίλοις, μήτε μὴν ἐλπίζειν ἐπὶ ἡγουμένοις προστέταχεν. Ἐδήλου δὲ, ὅτι καὶ γύναιον μὲν ὠλιγώρησε πρὸς ἄνδρα, καὶ πατρὸς ἀλογήσει τέκνον, καὶ τῆς εἰς μητέρας αἰδοῦς ἀφειδήσουσι θυγατέρες, καλούντων εἰς τοῦτο τῶν ἐκ τοῦ πολέμου δειμάτων. Ἔνθα γὰρ ὁ τοῦ παθεῖν φόβος κατὰ πάντων ἐν ἴσῳ φαίνοιτο τρέχων, ἐκεῖ δή που πάντως ἑκάστῳ φροντὶς ἡ προυργιαιτέρα τῆς οἰκείας ἔσται ζωῆς, τῆς ἑτέρου πάντως κατημελημένης. Κατ' ἐκεῖνο δὴ οὖν, φησὶ, τοῦ καιροῦ, ἤγουν κατ'

LXIX. Interjecta est persona Sionis, sive Hierosolymæ, jam ad pœnitentiam conversæ, et spem in Deo figentis, et libertatem sibi promittentis, et visuram se confidentis Babylonem conculcari, quæ superbe sibi dixerat: « Ubi est Dominus Deus tuus? » Verborum autem propositorum sensum quispiam D non interjectis potius quam paulo antegressis aptaverit, quæ summatim repetemus. Jussit enim ne crederent amicis, neque sperarent in ducibus. Dicebat etiam, ab uxore neglectum iri maritum, et a filio patrem, et filias pudoris erga matrem nullam rationem ducturas, bellicis terroribus huc omnes adigentibus. Ubi enim timor dura patiendi omnes ex æquo occupaverit, ibi plane unicuique salutis propriæ cura erit potior, aliorum salus, et commoda in postremis. Illo igitur tempore, inquit, sive illa die, qua filii in amore erga patrem, et similiter filiæ erga matrem refrixerint, « depellentur legitima, » hoc est ejus quod decet, sive officii rationes dein-

[83] Isa. LVI, 1. [84] Galat. III, 11 seqq. [85] Mich. VII, 10.

Digitized by Google

ceps infirmæ et invalidæ erunt. Non enim in schola pater filium, ut naturæ **466** leges violantem accusabit : neque mater offensa decenti multæ filiam subjiciet, alia cura, imo vero pernicie et extremis malis incumbentibus. Abibunt enim in solitudinem urbes et in divisionem et eversionem. Alii namque hanc, alii vicinam, alii confinem armis invadent, et universam regionem incursabunt a finibus ad finem, ex oriente ad occidentem, ab aquilone ad austrum, ut usque ad extimas terrarum oras omnia depopulentur, « a Tyro usque ad fluvium, et a monte ad montem. » Præterea non alienum est dicere, hic legitima appellari consuetos dies festos, idolorum fanis institutos, sive sacrificia. Urbibus enim eorum eversis domibusque, et omni earum instrumento spoliatis, quis jam lege sancita præstiturus, et idolorum delubris ac templis venerationem adhibiturus esset ? Ἀνηρημένων γὰρ αὐτῶν τῶν πόλεων, οἴκων τε καὶ τῶν ἐν αὐτοῖς ἁπάντων διηρπασμένων, τίς ὁ τηρώσων ἔτι τὰ νενομισμένα, καὶ τοῖς τῶν εἰδώλων ἔδεσι καὶ ναοῖς προσκομιῶν τὸ σέβας;

Ac si cui libuerit, hæc verba aptissime convertere ad eos quoque poterit, qui de religione secus sentiunt, et qui sunt sua opinione ac judicio sapientes, et recta Ecclesiæ dogmata pervertunt. Capta est enim urbs, et in divisionem hostibus facti sunt, utique principibus mundi sæculi hujus; et partes vulpium evaserunt, ut Scriptura habet [86], divisim habentes impietatem, et maledictionem veritatis. Eadem Judæorum populis acciderunt, quoniam Emmanuelem per impietatem indignissime vexatum e vinea, juxta Scripturam, ejecerunt, et in crucem sustulerunt, tametsi agnoscerent ac dicerent ipsum hæredem esse. Quocirca non alia de causa, nisi ex fructibus adinventionum ipsorum vastitatem pertulerunt, et cum ignominia disperierunt. Nam cum Opificem propter charitatem qua mundum est prosecutus, admirari oporteret, « quoniam Filium suum unigenitum dedit, ut omnis qui credit in eum non pereat, sed habeat vitam æternam [87], » nihilominus faciebant. Quin ex superbia Dominum occiderunt, mala illi pro bonis retribuentes, sicut scriptum est [88], et omne genus impietatis scelerate usurpantes. Audiant igitur : « Ambulate in lumine ignis vestri et in flamma quam succendistis [89]; » et illud quoque : « Fructum adinventionum suarum comedent [91]. »

Vers. 14, 15. *Pasce populum tuum, in virga tribus tuas, oves hæreditatis tuæ habitantes per semetipsos saltum in medio Carmeli. Pascentur Basanitin et Galaaditin, sicut dies sæculi, et secundum* **467** *dies egressionis tuæ ex Ægypto videbitis mirabilia.*

LXX. Rursum interpositis quadrat sermo, et ad benignitatem inclinat, spe bonorum quæ in Christo intelliguntur, ad meliora hortans, et ad vitæ pro-

A ἐκείνην τὴν ἡμέραν, καθ' ἣν ἂν ῥᾳθυμοι γένοιντο τῆς περὶ πατέρα φιλοστοργίας υἱοί, θυγατέρες δὲ αὖ τῆς περὶ μητέρας, « ἀπωσθήσεται τὰ νόμιμα, » τουτέστιν, ἀτονήσει λοιπὸν καὶ ὁ τοῦ πρέποντος. Οὐ γὰρ ἐν σχολῇ μὲν αἰτιάσεται πατὴρ τὸν υἱὸν ὡς ἠμεληκότα φύσει νόμων, οὔτε μὴν τοῖς ἐκ τοῦ καθήκοντος ἐπιτιμίοις ὑποθήσει θυγατέρα μήτηρ λελυπημένη, φροντίδος ἑτέρας ἐπηρτημένης, μᾶλλον δὲ ὁλέθρου καὶ τῶν εἰς ἄκρον κακῶν. Οἰχήσονται γὰρ εἰς ἐρήμωσιν αἱ πόλεις, καὶ εἰς διαμερισμὸν, καὶ καταστροφήν. Οἱ μὲν γὰρ ἐκείνης, οἱ δὲ τῆς γείτονος, ἕτεροι δὲ τῆς ὁμόρου καταστρατεύσονται, καὶ ἁπάσης καταδραμοῦνται τῆς γῆς ἐξ ὀρῶν εἰς ὄρος, ἐξ ἠῴων εἰς δύσιν, ἐκ βορέου πρὸς νότον, ὡς μέχρι τερμάτων ἅπασαν αὐτοὺς καταδῃοῦν τὴν γῆν, « ἀπὸ Τύρου ἕως
B ποταμοῦ, καὶ ἐξ ὄρους εἰς ὄρος. » Εἰκὸς δὲ δὴ πάλιν νόμιμον λέγειν ἐν τούτοις τὰς ἐν ἔθει τεθειμένας τοῖς τῶν εἰδώλων τεμένεσιν ἑορτὰς, ἤγουν τὰς θυσίας.

Ἴοι δ' ἂν ὁ λόγος, καὶ μάλα εἰκότως, καὶ ἐπ' αὐτοὺς εἴπερ ἕλοιτό τις τοὺς ἑτερόφρονας, καὶ δοκησισόφους, καὶ τὰ ὀρθὰ τῆς Ἐκκλησίας δόγματα διαστρέφοντας. Ἤλω γὰρ ἡ πόλις, καὶ εἰς διαμερισμὸν γεγόνασι τοῖς ἐχθροῖς, δῆλον δὲ ὅτι τῶν κοσμοκρατορσι τοῦ αἰῶνος τούτου, καὶ μερίδες γεγόνασιν ἀλωπέκων, κατὰ τὸ γεγραμμένον, μερισάμενοι δὲ τὴν ἀσέβειαν, καὶ τῆς ἀληθείας τὴν κατάῤῥησιν.
C Συμβέβηκε δὲ ταυτὶ καὶ τοῖς Ἰουδαίων δήμοις, ὅτι τὸν Ἐμμανουὴλ ἀνοσίως περιυβρίσαντες, ἐκβεβλήκασι μὲν ἔξω τοῦ ἀμπελῶνος, κατὰ τὸ γεγραμμένον, σταυρῷ δὲ παρέδοσαν, καίτοι λέγοντες καὶ ἐπεγνωκότες ὅτι αὐτός ἐστιν ὁ κληρονόμος. Τοιγάρτοι πεπόρθηνται, καὶ ἀκλεῶς διολώλασιν, οὐχ ἑτέρου τοι χάριν, ἢ ἐκ καρπῶν ἐπιτηδευμάτων αὐτῶν. Δέον γὰρ ἄγασθαι τὸν Δημιουργὸν, τῆς εἰς τὸν κόσμον ἀγάπης, « ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ δέδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον, » τοῦτο μὲν οὐκ ἔδρων. Οἱ δὲ πρὸς
D ἀλαζονείας ἀπεκτόνασι τὸν Δεσπότην, ἀνταποδιδόντες αὐτῷ πονηρὰ ἀντὶ ἀγαθῶν, κατὰ τὸ γεγραμμένον, καὶ πᾶν εἶδος δυσσεβείας ἀνοσίως ἐπιτηδεύοντες. Ἀκουέτωσαν δὴ οὖν· « Πορεύεσθε ἐν τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ ἐν τῇ φλογὶ ᾗ ἐξεκαύσατε. » Καὶ μὴν καὶ τὸ, « ἔδεσθαι τοὺς καρποὺς τῶν ἰδίων ἐπιτηδευμάτων. »

Ποίμανε λαόν σου, ἐν ῥάβδῳ φυλῆς σου, πρόβατα κληρονομίας σου κατασκηνοῦντας καθ' ἑαυτοὺς δρυμὸν ἐν μέσῳ τοῦ Καρμήλου. Νεμήσονται τὴν Βασανῖτιν καὶ τὴν Γαλααδῖτιν, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, καὶ κατὰ τὰς ἡμέρας ἐξοδίας σου ἐξ Αἰγύπτου ὄψεσθε θαυμαστά.

Ο'. Ἐφήρμοσται πάλιν τοῖς διὰ μέσου κειμένοις ὁ λόγος, καὶ μετανεύει πρὸς τὸ χρηστὸν, τῇ τῶν ἐν Χριστῷ νοουμένων ἀγαθῶν ἐλπίδι προτρέπων ἐπὶ

[86] Psal. LXII, 11. [87] Matth. XXI, 33-41. [88] Joan. III, 15, 16. [89] Psal. XXXIV, 12. [90] Isa. L, 11. [91] Isa. III, 10.

Digitized by Google

τὸ ἄμεινον, καὶ μετατιθεὶς εὖ μάλα πρὸς τὸ ἐλέσθαι βιοῦν ὀρθῶς. Τεθορύβηκε μὲν γὰρ οὐ μετρίως τῇ προαγορεύσει τῶν σκυθρωπῶν τοὺς εὐκόλως ἰόντας ἐπὶ τὸ ῥᾳθυμεῖν, ἀνακτᾶται δὲ αὖ, τὸ κατευφραίνειν εἰδὸς εὖ μάλα παρεντιθεὶς, ὡς ἂν μὴ ἀπογινώσκοντες οἱ πρὸς οὓς ὁ τῆς νουθεσίας πεποίηται λόγος, φέροιντο κατὰ πετρῶν, ἀμεταστρεπτί τε καὶ ἀχαλίνως. Γέγραπται γάρ· « Ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ. » Εἰσκεκόμισται τοίνυν τὸ αὐτοῦ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρὸς, λέγον τῷ Υἱῷ· « Ποίμαινε λαόν σου, ἐν ῥάβδῳ φυλάς σου, πρόβατα κληρονομίας σου, » ἤγουν πάλιν τὸ πρόσωπον ἡμῖν τὸ προφητικὸν αὐτῷ τρόπον τινὰ διακεκραγὸς τῷ Ἐμμανουὴλ, ὅτι χρὴ ποιμαίνειν ἐν ῥάβδῳ τὸν Ἰουδαϊκὸν λαὸν ἢ κλῆρον. Λαὸς δὲ Χριστοῦ, καὶ μέντοι καὶ πρόβατα νοηθεῖεν ἂν οἵ τε ἐκ περιτομῆς πιστεύσαντες, καὶ οἱ κεκλημένοι πρὸς τὸν ἁγιασμὸν ἐκ τῆς τῶν ἐθνῶν πληθύος. Ἔκτισε γὰρ τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην καὶ ἀποκατήλλαξεν ἀμφοτέρους διὰ τοῦ σώματος αὐτοῦ πρὸς ἕνωσιν τὴν πνευματικήν. Καὶ γοῦν ἔφασκεν αὐτὸς ὁ Χριστός· « Καὶ ἄλλα πρόβατα ἔχω, » πρὸς τοὺς ἐκ περιτομῆς δηλονότι, « ἀκείνα δεῖ με ἀγαγεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν. » Λαὸς οὖν ἄρα Χριστοῦ, φυλή τε καὶ πρόβατα, καὶ κληρονομία οἱ οὐκ ἐξ ἔργων νόμου, δεδικαιωμένοι δὲ μᾶλλον διὰ τῆς πίστεως. Οἱ μὲν γὰρ ὑπὸ κατάραν ἦσαν, κατὰ τὴν τοῦ μακαρίου Παύλου φωνήν· οἱ δὲ φαῖεν ἂν ἐφ' ἑαυτοῖς ἀληθεύοντες· « Εὐλογημένοι ἡμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. » Καταποιμαίνει δὲ τοὺς ἰδίους ἐν ῥάβδῳ Χριστὸς, οὐκ ἐν σιδηρᾷ καταπλήττων, « καὶ ὡς σκεῦος κεραμέως συντρίβων, » κατὰ τὴν τοῦ Ψαλμῳδοῦ φωνὴν, ἀλλ' ἐπιστρέφων ἐν ἡπιότητι, καὶ οἷον ποιμὴν ἀγαθὸς, μετρίοις ἀνακόπτων δείμασι τὰς ἐπὶ τὸ ῥᾴθυμον ὁρμὰς τῶν πεπιστευκότων· οὕτω γάρ πού φησιν ὁ τῶν ὅλων Δεσπότης, ὡς ἐν προσώπῳ Δαβὶδ τὸν ἐφ' Υἱῷ διαπλάττων λόγον· « Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτῶν τὸν νόμον μου, καὶ ἐν τοῖς κρίμασί μου μὴ πορευθῶσιν· ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν, τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν. » Οὐκοῦν συντρίβει μὲν, ὥσπερ ῥάβδῳ καταπαίων τῇ σιδηρᾷ, τὸν ἐξήνιον, ἀπειθῆ τε καὶ ἀλαζόνα, τὴν πίστιν οὐ προσιέμενον· παιδαγωγεῖ δὲ χρηστῶς τοὺς πεπιστευκότας, καὶ καταδόσκει μὲν ἐν κρίνοις, ἀποφέρει δὲ καὶ ἐν νομῇ ἀγαθῇ, καὶ ἐν τόπῳ πίονι, δῆλον δὲ ὅτι τῆς θεοπνεύστου Γραφῆς, καθιστὰς ἐναργῆ διὰ τοῦ πνεύματος τοῖς νουνεχεστέροις τὰ ἐν αὐτῇ κεκρυμμένα, ἵνα πρὸς ἄνδρα τέλειον ἀναβαίνωσι, καὶ εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, λιπαρὰν ἔχοντες καὶ εὐτροφουμένην τὴν φρένα, καὶ ταῖς νοηταῖς εὐσπαταλῶσαν τρυφαῖς. Κατασκηνοῦσι μὲν δὲ κατὰ μόνας οἱ ἀπόλεκτοι, καὶ ἐκ-

bitatem complectendam percommode traducens. Tristium namque prædictione, ad desidiam faciles mirifice turbavit: sed ad exhilarandum quiddam aptissimum interserens, rursum eos recreat, ut ne desperantes, qui sunt admoniti, citra conversionem, effrenate per prærupta ferantur. Scriptum est enim: « Peccator cum in profundum venerit, contemnit [92]. » Introducta est igitur persona ipsius Dei et Patris dicens Filio: « Pasce populum tuum, in virga tribus tuas, oves hæreditatis tuæ. » Aut certe persona prophetica ipsum Emmanuelem quodammodo compellat, pascendum in virga populum Judaicum, sive sortem. Populus autem Christi, atque etiam oves, intelligi queunt, tum qui ex circumcisione crediderunt; tum qui de ethnicorum multitudine ad sanctificationem vocati sunt. Nam hosce duos populos in unum hominem novum condidit, faciens pacem [93], et ambos per corpus suum ad unionem spiritualem reconcilians. Quare Christus ipse circumcisis aiebat: « Et alias oves habeo, quæ non sunt ex hoc ovili, et illas oportet me adducere, et fiet unus grex, et unus pastor [94]. » Populus itaque Christi, tribus, et oves, et hæreditas, non qui ex operibus legis, sed per fidem potius justificati [95]. Illi enim sub maledicto erant, juxta vocem beati Pauli: ast hi apud semetipsos vere dixerint: « Benedicti nos a Domino, qui fecit cœlum et terram. Deus Dominus, et illuxit nobis [97]. » Pascit autem suos et virga Christus, non ferrea virga eos percutiens, « et tanquam vas figuli confringens, » ut ait Psalmista [98]: sed convertens eos in mansuetudine, et velut pastor bonus mediocribus terroribus fidelium ad socordiam propensiones compescens: sic enim alicubi Dominus omnium, tanquam in persona David sermonem super Filio suo effingens. « Si dereliquerint filii ejus legem meam, et in judiciis meis non ambulaverint: si justitias meas profanaverint, et mandata mea non custodierint, visitabo in virga 468 iniquitates eorum, et in verberibus peccata eorum, misericordiam autem meam non dispergam ab eis [99]. » Conterit igitur, quasi ferrea virga percutiens [1], rebellem, incredulum et arrogantem, et fidem respuentem: instituit autem fideles benigne, et pascit in liliis, et abducit eos in pascua bona, et in locum pinguem, a Deo inspiratæ Scripturæ nimirum sine controversia, abscondita et occulta illius per spiritum prudentioribus manifesta faciens, ut in virum perfectum evadant, et in mensuram ætatis plenitudinis Christi [2], mentem opimam, et bene nutritam, et intellectualibus deliciis gaudentem habentes. Habitant autem separatim segregati, et electi, et digressi ab aliis, qui sola terrena sapiunt [3], et possessionem temporalium magnifaciunt, et carnis voluptatibus indulgentes ad quidvis infandum non mediocriter pro-

[92] Prov. XVIII, 3. [93] Ephes. II, 15. [94] Joan. X, 16. [95] Galat. II, 16. [96] Galat. III, 10. [97] Psal. CXIII, 15; CXVII, 27. [98] Psal. II, 9. [99] Psal. LXXXVIII, 31-34. [1] Apoc. II, 27. [2] Ephes. IV, 13. [3] Philipp. III, 19.

Digitized by Google

pendent. Quamobrem tranquillum possidentes animum, et turbis vanis atque abominandis eum liberantes, extra alios constituimus, venerandamque et admiratione dignam vitam agitamus, et seorsum sumus, sicut nimirum et propheta Jeremias. Ait enim : « Domine omnipotens, non sedi in concilio eorum ludentium, sed timui a facie manus tuæ : seorsum sedebam, quia amaritudine repletus sum[4]. » Habitamus autem nos solitarii, quasi in saltu, et monte. Ac saltum quidem abundantem ligno, et bene florentem, geminam institutionem, moralem, inquam, et dogmaticam intelliges; montem vero quodammodo, quod in eo excelsum et sublime est. Nihil enim eorum quæ nos philosophamur, et quibus in Ecclesia studetur, humile ac depressum est. Pinguia autem, pascendo pecori idonea esse hæc pascua, rursum exemplis rudioribus indicat, depasturos dicens in Christo eruditos Basanitin, et Galaaditin. Locorum nomina sunt, plurimam et latam pabuli copiam pecudibus subministrantium, et varietate herbarum undiquaque abundantium. A corporalibus igitur, et in sensus incurrentibus perspicue ad spiritualia insilientes, quod intus latet consideremus : nam in divinæ Scripturæ contemplationibus delicias habens sanctorum mens nitescit, et quasi pinguedine quadam repletur, in actione, et contemplatione positas virtutes, ut dixi, affluenter vicissim sortita, non ad breve quoddam et angustum tempus, sed ut propheta dicit, « sicut dies sæculi [5], » hoc est, **469** ad longum et infinitum. Nam quæ carni blandiuntur, cum tempore cadunt, et flaccescunt, et instar umbrarum prætereuntia, non multo post in arctum rediguntur; cœlestium autem et spiritualium bonorum participatio longis sæculis exæquatur, quorum possessio amitti nunquam potest. Addit : « Videbitis mirabilia secundum dies egressus tui de terra Ægypti. » Servitute Israelem liberans universorum Deus, diversis suppliciis eos opprimere volentes, et luto ac laterum operis vexantes exagitavit. Sic nos qui credidimus de manu diaboli liberavit, ut ipse ait, et ejecit principem mundi hujus [6]. Et quemadmodum Pharao cum copiis suis submersus est ac periit, ita rursum Satanas cum immundis suis spiritibus quasi submersus est, in foveas caliginis, hoc est in Tartarum, projectus. Et sicut Israelitæ in Mose quidem, sed in mari, et nube baptizabantur [7]; ita et nos in Christo baptizati sumus. Et hæc est nubes, sub intelligentiam cadens, quæ quasi quibusdam pluviis mundum universum evangelicis prædicationibus irrigat. Et quemadmodum illis copiam aquarum in solitudine demittit, ita et nobis seipsum præbet in alimoniam « panis vivus qui de cœlo descendit, et dat vitam mundo [8]. » Et illi quidem in terram aspectabilem introducebantur : nos autem supernam civitatem, cœlestem Jerusalem in hæreditatem ac-

κεχριμένοι, καὶ τῶν ἄλλων ἀποφοιτήσαντες, οἱ μόνα φρονοῦσι τὰ ἐπὶ τῆς γῆς, καὶ τὴν τῶν προσκαίρων ἐκτετιμήκασι κτῆσιν, καὶ ταῖς τῆς σαρκὸς ἡδοναῖς ἐνδούμενοι, πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων οὐ μετρίως ἀπονενεύκασιν. Οὐκοῦν ἠρεμαῖον ἔχοντες τὸν νοῦν, καὶ τύρβης αὐτὸν τῆς εἰκαίας καὶ βδελυρᾶς ἀπαλλάττοντες, ἔξω που τεθείμεθα, σεπτήν τε καὶ ἀξιάγαστον διαζῶμεν ζωὴν, καὶ καταμόνας ἐσμὲν, καθάπερ ἀμέλει καὶ ὁ προφήτης Ἱερεμίας. Ἔφη γὰρ ὅτι « Κύριε παντοκράτωρ, οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐτῶν παιζόντων, ἀλλ' εὐλαβούμην ἀπὸ προσώπου χειρός σου· καταμόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην. » Κατοικοῦμεν δὲ οἱ καταμόνας οἷά περ ἐν δρυμῷ, καὶ ἐν ὄρει. Καὶ δρυμὸν μὲν νοήσεις εὔξυλόν τε καὶ εὐανθῆ τὴν διαφυᾶ παίδευσιν, ἠθικήν τέ φημι καὶ δογματικήν, ὄρος δὲ τὸ οἷον ὑψοῦ τε καὶ ἀνηρμένον. Χθαμαλὸν γὰρ οὐδὲν τῶν παρ' ἡμῖν φιλοσοφουμένων καὶ σπουδῆς ἀξιουμένων ἐν Ἐκκλησίᾳ. Ὅτι δὲ πίων τε καὶ εὔβοτος ἡ τοιάδε νομὴ, καταση-μαίνει πάλιν ὡς ἐκ παχυτέρων παραδειγμάτων, νεμηθήσεσθαι λέγων τοὺς ὑπὸ Χριστῷ παιδαγωγουμένους τήν τε Βασανίτιν καὶ τὴν Γαλααδίτιν. Χωρία δὲ ταῦτα πλείστην ὅσην καὶ ἀμφιλαφῆ τοῖς θρέμμασιν ἀναβρύοντα νομὴν, καὶ ποικίλῃ πόᾳ πλουσίᾳ κατεστεμμένα. Ἀπὸ δὴ τῶν σωματικῶν, καὶ ὡς ἂν αἰσθήσει κειμένων ἀναθρώσκοντες σαφῶς ἐπὶ τὰ πνευματικὰ, καὶ τὴν ἔσω τε καὶ κεκρυμμένην θεωρίαν ἐννοῶμεν, ὅτι τοῖς τῆς θεοπνεύστου Γραφῆς ἐντρυφῶν θεωρήμασιν ἐναβρύνεται μὲν τῶν ἁγίων νοῦς, πιμελῆς δὲ ὥσπερ τινὸς ἀναπίμπλαται, πρακτικῆς, ὡς ἔφην, καὶ θεωρητικῆς ἀρετῆς ἀφθόνως μεταλαχὼν, οὐκ εἰς χρόνον τινὰ βραχὺν, καὶ συνεσταλμένον, ἀλλ' ὡς ὁ προφήτης φησὶ, « καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, » τουτέστιν, εἰς μακρὸν, καὶ ἀπέραντον. Τάτε γὰρ εὐφραίνουσα τὴν σάρκα σὺν αὐτοῖς πίπτει, καὶ μαραίνεται, καὶ ἰσῳ σκιᾶς παριππεύοντα, μετὰ βραχὺ συστέλλεται, τῶν δὲ ἄνωθεν καὶ πνευματικῶν ἀγαθῶν ἡ μέθεξις μακροῖς αἰῶσι συνεκτείνεται· ἀναπόβλητος γὰρ τῶν τοιούτων ἡ κτῆσις. Ἔφη δὲ, ὅτι « Ὄψεσθε θαυμαστὰ κατὰ τὰς ἡμέρας ἐξόδου σου ἐκ γῆς Αἰγύπτου. » Δουλείας ἀπαλλάττων τὸν Ἰσραὴλ ὁ τῶν ὅλων Θεὸς, διαφόροις κολάσεσι καταπιέζετο τοὺς ἐθέλοντας πλεονεκτεῖν, πηλῷ τε αὐτὸν καὶ πλινθείᾳ κατατρύχοντας. Οὕτω δὲ ὑμᾶς τοὺς πεπιστευκότας τῆς τοῦ διαβόλου χειρὸς, ὡς αὐτός φησι, καὶ ἐξέβαλεν ἔξω τὸν ἄρχοντα τοῦ αἰῶνος τούτου. Καὶ ὥσπερ ὁ Φαραὼ κατεποντίζετο, καὶ ἀπόλωλεν ὁμοῦ τοῖς ἰδίοις ὑπασπισταῖς· οὕτω πάλιν ὁ Σατανᾶς ὁμοῦ τοῖς ἀκαθάρτοις πνεύμασι μονονουχὶ γέγονεν ὑποβρύχιος, σιροῖς ζόφου τεταρταρωμένος. Καὶ ὥσπερ ὁ Ἰσραὴλ εἰς Μωσέα μὲν, πλὴν ἐν τῇ θαλάσσῃ, καὶ ἐν τῇ νεφέλῃ ἐβαπτίζοντο· οὕτω καὶ ἡμεῖς εἰς Χριστὸν βεβαπτίσμεθα. Οὗτός τέ ἐστιν ἡ νοητὴ νεφέλη, ἡ τὴν ὑφ' ἥλιον καταρδεύουσα, καθάπερ τισὶν ὑετοῖς, τοῖς εὐαγγελικοῖς κηρύγμασι. Καὶ ὥσπερ ἐκείνοις καθίει τὸ νᾶμα κατὰ τὴν ἔρημον· οὕτω καὶ ἡμῖν ἑαυτὸν δίδωσιν εἰς τροφήν « ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς, καὶ ζωὴν

[4] Jerem. xv, 17. [5] Malach. III, 4. [6] Joan. XII, 31. [7] I Cor. X, 1-5. [8] Joan. VI, 33.

Digitized by Google

διδοὺς τῷ κόσμῳ. » Καὶ εἰσεκομίζοντο μὲν εἰς γῆν ἐκεῖνοι τὴν αἰσθητήν· ἡμεῖς δὲ τὴν ἄνω κατακληρονομοῦμεν πόλιν, τὴν ἐπουράνιον Ἰερουσαλὴμ, τὴν πρωτοτόκων Ἐκκλησίαν, καὶ ταύτην εἶναι τὴν γῆν φησιν ὁ Σωτὴρ, ἣν καὶ τοῖς πατράσιν ἐπηγγείλατο. Οὐκοῦν ὡς ἐξ ὁμοιότητος τῶν πάλαι γεγενημένων ἐπὶ τῷ Ἰσραὴλ μαθήσῃ σαφῶς τῶν διὰ Χριστοῦ κατωρθωμένων ἐν ἡμῖν τὴν δύναμιν. Ἐπεὶ δὲ ἀκροωμένοις (1) τὸ τελοῦν εἰς ὕνησιν πάντοθεν ἡμᾶς ἐκπορίζειν ἀναγκαῖον, φέρε καὶ ἑτέραν ἰόντες ὁδὸν, ἀπὸ τῆς ὀνομάτων ἑρμηνείας ἀρχὴν ἐλόντες λέγωμεν. Κάρμηλος μὲν γὰρ *περιτομῆς ἐπίγνωσις* ἑρμηνεύεται, *αἰσχύνη* δὲ Βασανίτις, Γαλααδίτις γε μὴν *διαθήκης μετάθεσις*. Ἔχει δὲ λίαν ἓν γε δὴ τούτοις μάλιστα τὸ πιθανὸν ὁ λόγος. Ἐσόμεθα τοίνυν Χριστοῦ ποιμαίνοντος ἐν ἐπιγνώσει περιτομῆς, δηλονότι τῆς ἐν πνεύματι νοουμένης. Περιτετμήμεθα γὰρ ἡμεῖς ἀχειροποιήτῳ περιτομῇ, καὶ τὸν ἐν τῷ κρυπτῷ περιφέρομεν Ἰουδαῖον, τοῦ κατὰ σάρκα Ἰσραὴλ τὴν αἰσθητὴν ἔχοντος μόνην, καὶ τὴν ἐν γράμματι, καὶ οὐχὶ δὴ πάντως τὴν ἐν καρδίᾳ διὰ τοῦ πνεύματος. Αὕτη γὰρ ἡ ἀληθὴς περιτομὴ, καὶ Θεῷ γνωρίμους ἀποτελεῖ τοὺς δεχομένους αὐτήν. Τοιγάρτοι καὶ ἔφασκε προφητικῶς ἡμῖν ὁ λόγος· « Περιτμήθητε τῷ Θεῷ, καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, ἄνδρες Ἰούδα, καὶ οἱ κατοικοῦντες Ἰερουσαλήμ. » Ἐν Καρμήλῳ δὴ οὖν ἐσόμεθα, διαποιμαίνοντος τοῦ Χριστοῦ, τουτέστιν, ἐν ἐπιγνώσει περιτομῆς, ἐσόμεθα δὲ οὐδὲν ἧττον καὶ ἐν Βασανίτιδι, τουτέστιν, ἐν τροπῇ καὶ αἰσχύνῃ, οὐκ ἐλεγχόμενοι διὰ τὴν ἁμαρτίαν, ἀλλ' ὅτι πεπλημμελήκαμεν, ταύτῃ τοι μεταγνώσκοντες, καὶ ἐν αἰσθήσει λοιπὸν τῶν ἐξ ἀγνοίας ἡμαρτημένων ἐρχόμενοι. Σωτηρίας δὲ τὸ χρῆμα ὁδός. Ἀναισθησίας γὰρ τῆς ἐσχάτης ἀπόδειξις ἐναργὴς, τὸ οἷον σκληρᾷ τε καὶ ἀναισχύντῳ καρδίᾳ διαβιοῦν ἐλέσθαι τινὰς, καὶ ἥκιστα μὲν τοῖς ἰδίοις πταίσμασιν ἐπερυθριᾷν, κεῖσθαι δὲ τάχα που καὶ ἐν ἀγνοίᾳ τῶν ἡμαρτημένων. Οὐκοῦν οἱ ἐν ἐπιγνώσει περιτομῆς τῆς νοητῆς τε καὶ θείας ἐπερυθριάσουσι μὲν τοῖς ἰδίοις πταίσμασιν, ἐν αἰσθήσει δὲ τοῦ πεφυκότος ἀδικεῖν γενόμενοι, πάντως που μεταφοιτήσουσιν ἐπὶ τὸ σφίσιν αὐτοῖς ὅτι μάλιστα πρεπωδέστατον. Ἔσονται δὲ οἱ τοιοῦτοι καὶ ἐν τῇ Γαλααδίτιδι, τουτέστιν, ἐν μεταστάσει νομοθεσίας ἤγουν διαθήκης. Πολιτευσόμεθα γὰρ ὑπὸ Χριστῷ γεγονότες, νομικῶς μὲν οὐκέτι, ζήσομεν δὲ μᾶλλον εὐαγγελικῶς, καὶ τὴν ἐκ τοῦ γράμματος παχύτητα παρατρέποντες, τὴν πνευματικὴν λατρείαν ἐπιτελέσομεν τῷ Θεῷ, καὶ πρὸς τὸ ἀσυγκρίτως ἄμεινον μεθιστάμενοι, ἀλλαξόμεθα τῶν τύπων τὴν ἀλήθειαν.

cipimus, Ecclesiam primogenitorum [9], et hanc esse terram affirmat Salvator, quam et patribus promisit [10].» Quare tanquam ex similitudine olim gestorum in Israel, eorum quæ per Christum in nobis recte gesta sunt virtutem aperte disces. Quoniam autem quod ad utilitatem audientium faciat, undique nos suppeditare oportet, age, et alia via incedentes, a nominum interpretatione principium sumentes dicamus. Carmelus *circumcisionis agnitio* redditur. Basanitis, *confusio;* Galaaditis, *mutatio testamenti.* Habet sane summam probabilitatem oratio. Erimus igitur Christi pascentis in agnitione circumcisionis, quæ scilicet spiritu intelligitur. Circumcisi enim sumus nos circumcisione non manufacta, et qui in occulto est Judæum circumferimus, qui Israelis secundum carnem sensibilem duntaxat, et quæ littera continetur, neutiquam circumcisionem spiritus in corde habet. Hæc enim est vera circumcisio, quæ ipsam suscipientes Deo notos facit. Quocirca et propheticus sermo nobis dicebat : **470** « Circumcidamini Deo, et circumcidetis duritiam cordis vestri, viri Juda, et qui habitatis Jerusalem [11].» In Carmelo igitur erimus Christo pascente, hoc est, in agnitione circumcisionis ; erimus autem nihilominus in Basanitide, hoc est, in confusione et infamia, et non ex reprehensione propter peccatum : sed quia peccavimus, ideo pœnitentes, et de cætero ex ignorantia admissorum sensum habentes. Ea res ad salutem via est. Stuporis enim extremi manifestum argumentum tanquam indurato et impudenti corde quosdam statuisse vivere suisque lapsibus minime erubescere ; quin etiam forte in ignorantia peccatorum suorum jacere. Igitur qui circumcisionem spiritualem, ac divinam agnoscunt, super suis delictis erubescunt, et cognoscentes quid obesse soleat, omnino ad id quod sibi maxime convenit, transibunt. Erunt porro hi etiam in Galaaditide, hoc est, in translatione legislationis, sive testamenti. Vitam enim ducemus sub Christo, non quidem amplius ut ex lege, sed potius ut ex Evangelio, et crassitiem litteræ prætereuntes, spiritalem cultum Deo præstabimus, et ab infimis partibus ad meliora translati, typos cum veritate mutabimus.

Ὄψονται ἔθνη, καὶ καταισχυνθήσονται ἐκ πάσης τῆς ἰσχύος αὐτῶν. Ἐπιθήσουσι χεῖρας ἐπὶ τὸ στόμα αὐτῶν. Τὰ ὦτα αὐτῶν ἀποκωφωθήσεται. Λείξουσι χοῦν ὡς ὄφεις, σύροντες γῆν. Συγχυθήσονται ἐν συγκλεισμῷ αὐτῶν.

VERS. 16, 17. *Videbunt gentes et confundentur in omni fortitudine sua. Imponent manus super os suum. Aures eorum obsurdescent. Linguent pulverem sicut serpentes, trahentes terram. Turbabuntur in clausura sua.*

ΟΑ'. Ἔθνη φησὶν ἐν τούτοις τὰς βδελυρὰς τε καὶ ἀκαθάρτους τῶν δαιμόνων ἀγέλας, αἳ πάντη τε καὶ πάντως, ἐπὰν ἴδωσι τοὺς ἐν Χριστῷ καλουμένους εἰς

LXXI. Gentes in his abominandos et immundos dæmoniorum greges intelligit, qui cum viderint in Christo vocatos in justificationem, in sanctimo-

[9] Hebr. XII, 22. [10] Matth. V, 14. [11] Jer. IV, 4.

(1) Aubertus, ἀκροωμένους, et mox ἕνωσιν.

Digitized by Google

dabit, inquit, illis quæ promisit. Vocabuntur enim patres multarum gentium, non solis videlicet iis qui sunt de sanguine Israel, sed etiam qui sunt ex promissione filiis definitis. Hi autem sunt, qui ex fide, et ex præputio quod vocatur, et legali circumcisione, in unionem spiritualem velut commiscentur. Scriptum est enim : « Non omnes qui sunt ex Israel, hi sunt Israelitæ, sed filii promissionis æstimantur in semine [18]. » Quicunque enim sunt ex fide, benedicuntur cum fideli Abraham. Et modus benedictionis intelligi potest gratia in Christo, per quem, et in quo Deo et Patri gloria, cum sancto Spiritu in sæcula. Amen.

A μα καθάπερ τὰ ἄστρα τοῦ οὐρανοῦ, δώσει, φησὶ, αὐτοῖς τὰ ἐπηγγελμένα. Κληθήσονται γὰρ πατέρες πολλῶν ἐθνῶν, οὐκ ἐν μόνοις δηλονότι τοῖς ἐξ αἵματος Ἰσραὴλ μετρουμένων τέκνων, ἀλλὰ καὶ τοῖς ἐξ ἐπαγγελίας. Οὗτοι δέ εἰσιν οἱ ἐκ τῆς πίστεως, καὶ ἐκ τῆς καλουμένης ἀκροβυστίας, καὶ τῆς ἐκ νόμου περιτομῆς εἰς ἑνότητα τὴν πνευματικὴν οἱονεί πως ἀνακιρνάμενοι. Γέγραπται γὰρ, ὅτι « Οὐ πάντες οἱ ἐξ Ἰσραὴλ; οὗτοι Ἰσραὴλ· ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. » Ὅσοι γάρ εἰσιν ἐκ πίστεως, εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ. Καὶ ὁ τῆς εὐλογίας τρόπος νοοῖτ' ἂν ἡ χάρις ἡ ἐν Χριστῷ, δι' οὗ, καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ ἡ δόξα, σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας. Ἀμήν.

[18] Rom. IX, 8.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΝΑΟΥΜ.

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI,

IN NAHUM PROPHETAM COMMENTARIUS.

474 PROŒMIUM.

I. Quilibet sanctorum prophetarum, in re quapiam utili, ac præcipua, sive necessaria, suis temporibus assumebatur, ut, divinis nutibus se administrum præbens, voces de cœlo ad homines deportaret. Et alii quidem, Israelem peccantem exterrentes, futuras ei calamitates prænuntiarunt, ac nisi Deo grata amplexarentur, mala horribilia minime evasuros, palam comminati sunt. Alii quæ acciderant, ea ipsa in medium adducentes, et vicem illorum qui pertulerant dolentes opportune, ad vitam frugi et honestam impulerunt, quo sic iram cœlestem abs se averterent. Alii afflictum Israelem spe bona impleverunt, et in eam opinionem adduxerunt, propter peccata sua incommodis exagitatos, rebus

B

ΠΡΟΟΙΜΙΟΝ.

Α. Ἕκαστος τῶν ἁγίων προφητῶν ἐπί τινι χρησίμῳ καὶ ἀναγκαίῳ παρελαμβάνετο πράγματι κατὰ τοὺς καιροὺς τοῖς θείοις ὑπηρετήσων νεύμασι, καὶ τὰς ἄνωθεν εἰς ἀνθρώπους διαπορθμεύσων φωνάς. Καὶ οἱ μὲν ἐκδεδιττόμενοι πλημμελοῦντα τὸν Ἰσραὴλ, τὰς ἐσομένας αὐτῷ προαπήγγειλε συμφοράς, καὶ εἰ μὴ ἄρα ἂν ἔλοιντο τὰ θυμήρη Θεῷ, δεινοῖς καὶ ἀφύκτοις περιπεσεῖσθαι κακοῖς ἠπείλουν ἀναφανδόν, οἱ δὲ καὶ αὐτὰ τὰ συμβεβηκότα παραφέροντες εἰς μέσον, καὶ τοῖς πεπονθόσιν ἐπιστυγνάζοντες, ἀνέπειθον εὐφυῶς διαβιοῦν ἐθέλειν ἐπιεικέστερον, οὕτω τε λοιπὸν ἐκκρούεσθαι τὴν ὀργήν. Οἱ δὲ πεπονθότα τὸν Ἰσραὴλ εἰς ἐλπίδα βόσκουσιν ἀγαθὴν, καὶ διακεῖσθαι παρεσκεύαζον, ὅτι πεπραχότες ἀθλίως ἐπί γε τοῖς

Digitized by Google

σφῶν ἁμαρτίαις, εὐημερήσουσι πάλιν ἀνενεγκόντων αὐτῶν τῶν πραγμάτων εἰς τὸ ἀπ' ἀρχῆς, ἐλέῳ τε καὶ χάριτι, καὶ δυνάμει Θεοῦ τοῦ πάντα εὐκόλως πρὸς ὅπερ ἂν βούλοιτο μεταπλάττοντος. Τοιοῦτόν τινα καὶ νῦν τῆς προκειμένης ἡμῖν πραγματείας εὑρήσομεν τὸν σκοπόν. Ἐπειδὴ γὰρ ἥλω τῶν Ἰουδαίων ἡ χώρα, καὶ εἰς τὴν Περσῶν τε καὶ Μήδων ἐξεκομίσθησαν δορύληπτοι γεγονότες οἱ ταῖς ἐκτόποις ἀποστασίαις καταλυπήσαντες τὸν ἀεὶ προεστηκότα, καὶ ὑπεραθλοῦντα Θεὸν, καὶ ἀμείνους ἐμφαίνοντα τῶν ἀνθεστηκότων αὐτοὺς, οἳ μὲν ἤδη τοῦτο πεπονθότες, τοῖς τῆς αἰχμαλωσίας ἐνισχημένοι κακοῖς, καὶ δύσοιστον ἔχοντες ἀθλιότητα διετέλουν. Οἱ δὲ δὴ μόλις ἴσχυσαν τὸ ἔξω βρόχων γενέσθαι, καὶ τὴν Βαβυλωνίων διαφυγεῖν ἀγριότητα, ἐν ἀκαταλήκτοις ἦσαν δείμασι, καὶ ἐν ὑποψίᾳ πολλῇ, εἰ μὴ ἔτι πως καὶ αὐτοὶ τοῖς ἴσοις κακοῖς, ἢ τοῖς ἔτι χείροσι περιπέσωσιν, ἐπιμηνίσαντος αὐτοῖς τοῦ πάντα ἰσχύοντος Θεοῦ, ἀνέντος τε οὔπω τὴν ἀγανάκτησιν. Εἰς τοῦτο δὲ ἤδη δειμάτων ἦεσαν, ὡς ἐν ταῖς τῶν ὁμόρων ἐθνῶν κατασκίδνασθαι χώραις, μονυνουχί τε θητεύειν ἑτέροις, καὶ τοῦτο ἀλλογενέσι, καὶ εἰδωλολάτραις. Οὐκ ἀζήμιον δὲ ἦν τὸ χρῆμα αὐτοῖς. Ἐμάνθανον γὰρ τοῖς ἐκείνων ἔθεσι διαζῆν, καὶ παρ' οἷς ἂν εὑρεθεῖεν ἕκαστοι τὸ αὑτῶν σέβας, ἐν τάξει ποιεῖσθαι Θεοῦ. Διὰ τοῦτο καὶ αὐτὸς ὁ τῶν ὅλων Θεὸς ἐμπεπρησμένων τῶν Ἱεροσολύμων κατὰ καιροὺς διὰ χειρὸς τοῦ Ναβουχοδονόσορ, τοῖς διασεσωσμένοις ἐπέταττε μὴ καταβαίνειν εἰς Αἴγυπτον, ἱζήσαντας δὲ μᾶλλον οἴκοι τῆς πατρῴας ἔχεσθαι λατρείας, ἐπικουροῦντος αὐτοῦ. Ἵνα τοίνυν τὴν αὐτοῦ καὶ ἐπανήξειν κατὰ καιροὺς ἔχοντας ἐλπίδα, μὴ λίαν ῥᾴθυμοι διατελοῖεν οἱ ἐξ Ἰσραὴλ, παραιτοῖντο δὲ μᾶλλον τὴν κατάγνωσιν γεγονότες αἰχμάλωτοι, καὶ ἀεὶ συντείνοιντο πρὸς εὐχὰς, ἕλοιντό τε προσκυνεῖν τῷ καὶ ἀπαλλάττειν ἰσχύοντι, καὶ λυτρῶσαι δυναμένῳ· οἱ δέ γε τὴν Ἰουδαίαν ἐνοικοῦντες ἵνα οὐκέτι ταῖς τῶν ἐθνῶν ἐπιμίσγοιντο χώραις· δέχεται τὴν ὅρασιν ὁ προφήτης παρὰ Θεοῦ κατὰ Νινευὶ, πόλις δὲ αὕτη τῶν Ἀσσυρίων ἡ προοῦχουσα, καὶ ὅτι πεσεῖται προαπαγγέλλει, συγκαταδηωθείσης αὐτῇ καὶ ἁπάσης τῆς χώρας, ὃ δὴ καὶ τετέλεσται Κύρου τοῦ Καμβύσου, καὶ Μανδάνης υἱοῦ Πέρσας τε καὶ Μήδους, καὶ Ἐλαμίτας, καὶ ἕτερά τινα τούτοις συγκαθοπλίσαντος ἔθνη κατὰ τῆς Νηνευιτῶν. Εἶλε γὰρ αὐτὴν κατακράτος, καὶ τῆς αἰχμαλωσίας ἀνῆκε τὸν Ἰσραὴλ, οἴκαδέ τε ἰέναι προστέταχεν ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς. Οὗτος μὲν οὖν ἡμῖν ὁ σκοπὸς τῆς κειμένης πραγματείας. Τὰ δὲ ἑφεξῆς, ὡς ἕνι, καὶ ἀνὰ μέρος προσθήσομεν.

A in pristinum statum reversis, iterum felices ac beatos fore, misericordia, gratia et potentia Dei, omnia nullo negotio in quam faciem illi **475** placuerit commutantis. Hujusmodi quidam scopus etiam modo propositæ nobis tractationis cernitur. Postea quam enim occupata est Judæorum regio, qui improbis defectionibus offenderant perennem tutorem ac propugnatorem suum Deum, qui ipsos adversariis fortiores ostenderat, bello capti, ad Persas et Medos abducti sunt; quibus hoc jam evenerat, captivitatis circumdati miseriis ærumnam intolerandam exantlabant. Alii qui laqueum vitare potuerunt, Babyloniorumque feritatem ægre effugerant, assidua formidine et suspicione jactabantur, ne forte ipsi quoque vel paribus, vel tristioribus etiam B miseriis involverentur, omnipotente Deo in illos indignationem nondum deponente. Jamque in tantum pavorem adducti erant, ut per vicinarum gentium provincias spargerentur, et tantum non mercede servirent, idque alienigenis et idololatris. Nec ea res non damnosa illis fuit. Didicerunt quippe illarum moribus vivere, et quod apud quasque coli videbant, sibi Deum suum facere. Quam ob causam et ipse universorum Deus aliquando, Jerosolyma per manus Nabuchodonosoris incensa, superstitibus mandavit, ne in Ægyptum descenderent, potiusque domi sedentes, patriam religionem se adjutore retinerent [26]. Ut igitur et se aliquando in suas sedes reversuros spem foventes, Israelitæ torporem ac C segnitiem magnam excuterent, et in captivitate damnationem suam potius deprecarentur, et ad vota semper essent intenti, vellentque adorare, qui illos liberare et eruere posset: qui autem Judæam incolerent, ne amplius cum regionibus gentium commercium haberent, suscipit visionem a Deo propheta contra Niniven; erat hæc urbs Assyriorum primaria; et eversum iri prædicit, devastata simul tota regione, quod ita factum est, cum Cyrus, Cambysæ et Mandanes filius, Persas, et Medos, et Elamitas, et alias quasdam gentes contra Ninivitas ad arma incitavit [27]. Cepit enim eam vi et virtute, et Israelem, servitute solutum, una cum vasis sacris domum redire jussit. Hoc ergo tractationis nobis propositæ consilium est. Reliqua pro virili nostra D particulatim in medium afferemus.

ΚΕΦΑΛ. Α'.

Λῆμμα Νινευὴ, βιβλίον ὁράσεως Ναοὺμ τοῦ Ἐλκεσαίου.

Β'. Ὁρίζεται πρῶτον τοῦ προφήτου τὸν σκοπὸν, καὶ ἐφ' ὅ τί τε καὶ ὅποι βλέποι χρησίμως διατρανοῖ. Εἶτα τίς ὁ λέγων, καὶ πόθεν, καθίστησιν ἐναργές. Τὸ μὲν γὰρ *λῆμμά* φησιν, τουτέστιν, ἡ λειφθεῖσά τε καὶ προκειμένη ἐν χερσὶν προφητεία νοοῖτ' ἂν οὐκ ἐφ' ἑτέροις τισὶ μᾶλλον, ἢ κατὰ τῆς Νινευὴ, ἢ

476 CAP. I

VERS. 1. *Assumptio Ninive, liber visionis Nahum Elcesæi.*

II. Primum scopum prophetiæ statuit, et super quod, et quo respiciat, utiliter declarat. Tum quis sit qui loquatur, et cujas, manifestum reddit. Inquit enim, *assumptio*, hoc est, assumptum, et quod in manibus habemus vaticinium, non de aliis magis, quam de Ninive intelligi debet: sive prophetiæ

[26] Jerem. XLII, 9 seqq. [27] I Esdr. I, 1 seqq.

Digitized by Google

assumptio intelligatur de Ninive. Inscribitur autem, « Liber visionis Nahum » ab Elcese. Elcesa sine dubio Judææ vicus fuit. Nam illud *Elcesæi* potius a loco, sive patria, quam a patre deductum nomen intelligemus. Et hoc dicimus, quod eam ex iis qui legerunt traditionem habeamus.

VERS. 2-3. *Deus æmulator, et ulciscens Dominus, ulciscens Dominus cum furore, ulciscens Dominus adversarios suos; et, auferens inimicos suos. Dominus longanimis, et magna fortitudo ejus, et innocentem non innocentem faciet.*

III. Reconditus ac profundus est sermo, nec facilis intellectu, nisi iis tantum, qui eum perscrutari accuratissime voluerint. Ac si quidem tantum ad Judæos dicta hæc sumamus, cognoscemus moderatæ objurgationi consolationem benigne admistam esse. At si quis contra Niniven hæc fieri ac dici existimat, sensus theorematis ad aliud quiddam pertinebit, captivitatemque passis, rursum sese attollendi spem suggeret, atque confirmabit. Utrumque igitur sensum pro indubitato scopo constituamus. Judæi enim dilectione Dei repulsa, et pietate erga illum contempta, omnino ad colendos deos plures, et errores absurdos, vitamque a lege sua alienam prosiluerunt, aras construxerunt, delubra operibus manuum suarum posuerunt, cæremoniasque et sacrificia obtulerunt Astartæ, Chamos, Beelphegor, vitulis aureis, et, quod a ratione magis abhorret, carmina quibus gratias pro beneficiis agerent, iis dedicarunt. Præ amentia enim dicebant miseri : « Hi sunt dii tui, Israel, qui eduxerunt te de terra Ægypti [28]. » Cæterum tam infando et impio facinore se adversus semet protectorem et salvatorem suum Deum irritare non animadvertebant, cujus facti sunt inimici atque hostes, **477** iis qui natura dii non sunt, sese committentes, quanquam Mose de Deo clamante, zelotem et ignem consumentem esse [29], et non passurum fingentes sculptilia. Præmuntiavit enim : « Quia ipsi me provocaverunt in eo qui non est deus, irritarunt me in idolis suis, et ego provocabo eos in non gente, in gente stulta irritabo illos [30]. » Ergo quoniam multimodis offenderunt, merito etiam perierunt. Hoc et nunc propheta dicit, propemodum indignans ob ea quæ Judæorum populis acciderunt, simul autem reprehendens, et consolans. Etenim doletis, inquit, vastitatem nec opinato perpessi, domibusque vestris, regione, et urbibus expulsi, qui semper adversarios vincebatis. Sub pedes quoque inimicorum redacti estis. Et quomodo non oportebat ante experientiam cogitare, « Quia Deus æmulator est, et ulciscens Dominus cum furore, et ulciscens adversarios suos, et auferens inimicos suos? » Vide, inquit, nos quoque ablati, et e medio sublati, et manibus hostium traditi sumus. Sed statuit nos inter hostes. Oppugnavimus enim impie omnipotentem, et in omnia quæ illi displicerent, discessimus.

τὸ τῆς προφητείας λῆμμα νοείσθω Νινευή. Ἐπιγράφεται δὲ τὸ βιβλίον, « Ὅρασις Ναοὺμ, » τοῦ ἀπὸ τῆς Ἑλκεσέ. Κώμη δὲ αὕτη πάντως που τῆς Ἰουδαίων χώρας. Ἐκληψόμεθα γὰρ οὐχ ὡς ἐκ πατρὸς, ἀλλ' ὡς ἐκ τόπου μᾶλλον τοῦ *Ἑλκεσαίου*. Καὶ τοῦτό φαμεν ἐξ ἀναγινωσκόντων ἔχοντες τὴν παράδοσιν.

Θεὸς ζηλωτὴς, καὶ ἐκδικῶν Κύριος, ἐκδικῶν Κύριος μετὰ θυμοῦ, ἐκδικῶν Κύριος τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ. Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ ἀθῷον οὐκ ἀθῳώσει.

Γ'. Βαθὺς ὁ λόγος, καὶ οὐχ ἕτοιμος ἐλεῖν, πλὴν ὅτι μόνον τοῖς ἐθέλουσι περιαθρεῖν εὖ μάλα τὰ ἐν αὐτῷ. Καὶ εἰ μὲν νοοῖτο γεγονὼς ὡς πρὸς τοὺς Ἰουδαίους, ἐπιπλήξει μετρίᾳ κεκερασμένην ἐπιεικῶς εὑρήσομεν τὴν παράκλησιν. Εἰ δὲ δή τις οἴοιτο κατὰ τῆς Νινευὴ γενέσθαι, καὶ λέγεσθαι, πρὸς ἕτερόν τι τετράφεται τῶν θεωρημάτων ὁ νοῦς, καὶ τοῖς πεπονθόσι τὴν ἄλωσιν τοῦ καὶ αὖθις ἀνασφῆλαι δίδωσί τε καὶ ἐμπεδοῖ τὰς ἐλπίδας. Τὰς οὖν ἐπ' ἀμφοῖν ἐννοίας τὸν σκοπὸν ὡς ἂν ἐμφανῆ καταστήσωμεν. Ἀπολακτίσαντες γὰρ Ἰουδαῖοι τὴν εἰς Θεὸν ἀγάπησιν, καὶ τῆς εἰς αὐτὸν εὐσεβείας δι' οὐδενὸς ποιούμενοι λόγου, παντελῶς κατέθορον εἰς πολυθεΐαν, καὶ ἀλλόκοτον πλάνησιν, καὶ τὴν ἔξω νόμου ζωὴν, ἀνεδείμαντο βωμοὺς, ἔστησαν τεμένη, τοῖς ἔργοις τῶν ἰδίων χειρῶν τελετὰς καὶ θυσίας προσῆγον, τῇ Ἀστάρτῃ, τῷ Χαμῶς, τῷ Βεελφεγὼρ, ταῖς δαμάλεσι ταῖς χρυσαῖς, καὶ τὸ ἔτι τούτων ἀλογώτερον, αὐταῖς ἀνέθεσαν ᾠδὰς τὰς χαριστηρίους. Ἔφασκον γὰρ ἐξ ἀποπληξίας οἱ δείλαιοι· « Οὗτοι οἱ θεοί σου, Ἰσραὴλ, οἵτινες ἀνήγαγόν σε ἐκ γῆς Αἰγύπτου. » Ἀλλὰ τοῖς οὕτω δεινοῖς ἀνοσιουργήμασι διαλελῆθασι σφᾶς αὐτοὺς καταθήγοντες ἐφ' ἑαυτοὺς τὸν προεστηκότα, καὶ σώζοντα Θεὸν, οὗ γεγόνασιν ἐχθροὶ, καὶ ἐν τῇ τῶν πολεμίων τέθεινται μοίρᾳ, τοῖς οὐ κατὰ φύσιν θεοῖς προσνέμοντες καὶ αὐτοὺς, καίτοι πάλαι Μωσέως βοῶντος περὶ Θεοῦ, ὡς εἴη τε καὶ ζηλωτὴς, καὶ πῦρ ἀναλίσκον, καὶ ὡς οὐκ ἂν ἀνάσχοιτο ποιεῖν γλυπτὸν ᾐρημένων. Προανεφώνει γὰρ, ὅτι « Αὐτοὶ παρεζήλωσάν με ἐπ' οὐ θεῷ, πσρώργισάν με ἐν τοῖς εἰδώλοις αὐτῶν, κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἀσυνέτῳ ἔθνει παροργῶ αὐτούς. » Προσκεκρουκότες δὴ οὖν πολυτρόπως, εἰκότως καὶ διολώλασι. Τοῦτο καὶ νῦν ὁ προφήτης φησὶ, μονονουχὶ καὶ ἀσχάλλων ἐπὶ τοῖς συμβεβηκόσι τοῖς δήμοις τῶν Ἰουδαίων, ἐλέγχων τε ὁμοῦ, καὶ παραμυθούμενος. Καὶ γὰρ, φησὶ, καταλγύνεσθε πεπονθότες ἀδοκήτως τὴν ἐρήμωσιν, οἴκων τε καὶ χώρας, καὶ πόλεων ἐκσεσοβημένοι, καίτοι νικῶντες ἀεὶ τοὺς ἀνθεστηκότας. Πεπτώκατε δὲ καὶ ὑπὸ πόδας ἐχθρῶν. Εἶτα πῶς οὐκ ἔδει πρὸ πείρας ἐννοεῖν, « Ὅτι ὁ Θεὸς ζηλωτής ἐστι, καὶ ἐκδικῶν Κύριος μετὰ θυμοῦ, καὶ ἐκδικῶν τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων τοὺς ἐχθροὺς αὐτοῦ; » Ἰδὲ δὴ καὶ ἡμεῖς ἐξῃρήμεθα, φησὶ, καὶ γεγόναμεν ἐκ μέσου, καὶ ὑπὸ χεῖρα δυσμενῶν. Ἀλλ' ἔστη μὲν εἰς ἐχθρούς. Πεπολεμήκαμεν γὰρ ἀνοσίως

[28] Exod. xxxii, 4. [29] Exod. xxxiii 14; Deut. iv, 24. [30] Deut. xxxii, 21.

Digitized by Google

τῷ πάντα ἰσχύοντι, καὶ πρὸς πᾶν ὁτιοῦν ᾠχόμεθα τῶν ἀπαδόντων αὐτῷ. Ἀλλ' ἐρεῖς ὅτι « Μακρόθυμος ὁ Δεσπότης. » Ναὶ, σύμφημι καὶ αὐτὸς, καὶ γάρ ἐστι κατὰ φύσιν τοιοῦτος. « Πλὴν ἀθῷον οὐκ ἀθῳώσει, » τουτέστιν, οὐκ ἀπαλλάξει παντελῶς αἰτιαμάτων, καὶ δίκης τοὺς προσκεκρουκότας αὐτῷ, καὶ τοῦτο ἀκαταλήκτως, καὶ πέρα δὴ μέτρου. Ἀναβάλλεται μὲν γὰρ τὴν ὀργὴν ἐξ ἡμερότητος τῆς ἐμφύτου, καὶ ἀνέχεται πλημμελούντων τινῶν ἑσθ' ὅτε, περιμένων τὴν μετάγνωσιν. Μέλλοντας δὲ, καὶ ἀναδυομένους μακρὰν κολάζει λοιπὸν, καὶ ὑπάγει ποιναῖς κατεσκληκότας. Ὧδε μὲν οὖν ἔξει τε ὁ λόγος ἡμῖν, καὶ νοοῖτο γεγονὼς, εἰ βλέποι πρὸς Ἰουδαίους. Εἰ δὲ δὴ φέροιτο κατὰ τῆς Νινευὴ, νοήσομεν ἑτεροίως. Εἶλον μὲν γὰρ Ἀσσύριοι τὴν τῶν Ἰουδαίων χώραν, κατανεύοντος Θεοῦ τὸ νικᾷν αὐτοῖς, διὰ τοῦ πλείστοις ὅσοις ἐνέχεσθαι πλημμελήμασι τοὺς ἐξ Ἰσραὴλ. Οἱ δὲ ἦσαν ἀνήμεροί τε ἀλαζόνες, καὶ ἀγροίκην ἔχοντες παντελῶς τὴν φρένα, κατέληγον δὲ οὐδαμῶς, καὶ αὐτὴν τὴν τοῦ Θεοῦ δόξαν μονονουχὶ καταπαίοντες σκληραῖς τε καὶ ἐπαράτοις φωναῖς. Ἤοντο γὰρ ὅτι νενικήκασι καὶ οὐχ ἑκόντος αὐτοῦ, καὶ ὁμοῦ τοῖς Ἰουδαίοις τὴν ἐπαμύνουσαν αὐτοῖς πεπλεονεκτήκασι χεῖρα. Καὶ γοῦν ὁ Ῥαψάκης παλιμφήμοις ἐχρήσατο φωναῖς, τοῖς ἐν τῷ τείχει τῶν Ἱεροσολύμων ἐκεῖνα λέγων, ἃ μόναις πρέπει ταῖς τῶν οὐκ εἰδότων τὸν φύσει καὶ ἀληθῆ Θεὸν ἀνοσίαις ἀθυροστομίαις. Ἀλλ' ἐκτέτικεν εὐθὺς τῆς ἀλαζονείας τὰς δίκας. Πλὴν ἱρηκότες τὰς ἐν τῇ Σαμαρείᾳ πόλεις οἱ ἀμφὶ τὸν Σαλμανασὰρ, καὶ ἑτέρας δὲ ταύταις προσκαταπρήσαντες, κατηλαζονεύοντο τῶν ἁλωκότων, καὶ τῆς θείας δόξης κατεθρασύνοντο. Παραμυθεῖται δὴ οὖν ὁ προφήτης ἀλύοντας τοὺς δήμους τῶν Ἰουδαίων οὐ μετρίως, καὶ ὅτι πάντη τε καὶ πάντως τοῖς αὐτοὺς πεπολεμηκόσιν ἀπαρτίσει τὰς δίκας ὁ τῶν ὅλων Θεὸς διδάσκει, λέγων· « Θεὸς ζηλωτὴς, καὶ ἐκδικῶν Κύριος μετὰ θυμοῦ, ἐκδικῶν τοὺς ὑπεναντίους αὐτοῦ καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς αὐτοῦ. Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ. » Περιέσται γάρ πως, φησὶν, ἄμαχον ἔχων τὴν δύναμιν, καὶ κατακρατήσει τῶν λελυπηκότων. Εἰ γὰρ καὶ μακρόθυμός ἐστι, καὶ ὁρᾶται τέως ἀνεξικακῶν, ἀλλ' εἰς τέλος « οὐκ ἀθῳώσει· » ζηλωτὴς γάρ ἐστι. Εὑρήσομεν δὲ καὶ αὐτὸν τὸν Θεὸν τῶν ὅλων ἐφ' οἷς πεπόνθασιν οἱ ἐξ Ἰσραὴλ διὰ τῆς τῶν Βαβυλωνίων ὠμότητος οὐ μετρίως κεκινημένον. Ἔφη γὰρ διὰ φωνῆς Ἱερεμίου πρὸς τὴν Βαβυλωνίων πληθὺν, ἢ πόλιν· « Ἐγὼ δέδωκα αὐτοὺς εἰς τὰς χεῖράς σου, σὺ δὲ οὐκ ἔδωκας αὐτοῖς ἔλεος. » Καὶ μὴν καὶ διὰ φωνῆς Ζαχαρίου φησίν· « Ἐζήλωκα τὴν Ἱερουσαλὴμ, καὶ τὴν Σιὼν ζῆλον μέγαν, καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα. ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. »

A Sed objicies: « Longanimis est Dominus [31]. » Etiam, assentior et ego tibi, est siquidem natura talis. « Verumtamen innocentem non innocentem faciet, » hoc est, a quibus est offensus, idque sine fine ac modo, illos criminibus et pœna non penitus eximet. Iram enim ex insita mansuetudine differt, et nonnunquam peccantes tolerat, pœnitentiam eorum exspectans. Cunctantes autem, et detrectantes diu, tandem punit, et induratos multat. Sic igitur se verba habebunt, et hanc sententiam continere intelligentur, si ad Judæos referantur. Sin autem contra Niniven fiunt, alius erit sensus. Assyrii enim, annuente numine, Judæorum provinciam sibi adjunxerunt, propterea quod Israelitæ plurimis peccatis essent cooperti. Erant porro Assyrii sævi, B arrogantes et feroces animi, et Dei gloriam verborum asperitate et maledicentia tantum non omni ratione et perpetuo violare conabantur. Etenim se, ipso etiam nolente, vicisse et simul manum Judæos defendentem exsuperasse rebantur. Itaque Rabsaces male ominatis verbis usus est, stantibus pro muro ea petulanti ore dicens, quæ solos **478** verum et natura Deum ignorantes loqui deceat. At enim fastus sui pœnas statim suscepit. Cum cepisset porro urbes Samariæ exercitus Salmanasar, et cum illis alias quoque incendisset, adversum captivos insolenter gloriabatur, et gloriam Dei impudenter dictis lacerabat [32]. Delinit itaque propheta mœstos Judæorum populos non vulgarem in modum, et Deum hostibus illorum perfecte pretium C redditurum docet, his verbis: « Deus æmulator, et ulciscens Dominus cum furore, ulciscens adversarios suos, et auferens ipse inimicos suos. Dominus longanimis, et magna fortitudo ejus. » Vincet enim, inquit, invicta præditus virtute, et domabit, ac subiget, a quibus est læsus. Tametsi enim longanimis est, et in præsens videtur patienter ferre, certe ad extremum « non faciet innocentem, » est enim æmulator. Scimus autem Deum ipsum universorum super, iisquæ Israelitæ per Babyloniorum crudelitatem passi sunt, non leviter succensuisse. Nam per Jeremiam, Babyloniorum multitudinem, seu civitatem sic compellat: « Ego dedi eos in manus tuas, et tu non dedisti eis misericordiam [33]. » D Et per Zachariam: « Zelavi Jerusalem, et Sion zelo magno, et ira magna ego irascor super gentes quæ superimpositæ sunt, pro eo quod ego quidem iratus sum modicum, ipsi vero superpositi sunt in mala [34]. »

Τὸ δέ γε, « Θεὸς ζηλωτὴς, » καὶ τὰ ἑφεξῆς, ἁρμόσειεν ἂν εἰκότως καὶ τοῖς οὐκ ἐθέλουσι τὴν ἐπιτηκῆ, καὶ φιλόθεον ἶέναι τρίβον, ἀπονενευκότες δὴ μᾶλλον ἐπὶ τὸ βιοῦν ἐλέσθαι σαρκικῶς. Ὅτι γὰρ ἐκδικήσει, κολάσεσιν ὑποφέρων, καὶ ποιναῖς ὑποτιθεὶς

Cæterum illud, « Deus æmulator, » et quæ sequuntur, transtulerit quis non inepte ad eos qui viam æquam et bonam et amoris divini ambulare nolunt, sed magis ad vitam carnalem inclinant. Nam quod ulturus sit suppliciis subjiciens, et pœnis

[31] Psal. CII, 8. [32] IV Reg. XVIII, 17 seqq. [33] Thren. II, 21. [34] Zachar. I, 14, 15.

Digitized by Google

subdens effrenatos et flagitiosos, neutiquam dubitare licet, quando verum est : « Omnes nos manifestari oportere ante tribunal Christi, ut recipiat unusquisque prout gessit in corpore suo sive bonum sive malum [35]. » Nihilominus sermo hic etiam non male in Judæorum doctores, Scribas puta, et Pharisæos accommodetur, qui, repulsa fide in Christum, et seipsos et alios perdere convicti sunt. Fuerunt enim malevoli, et Unigeniti cum carne œconomiam oppugnarunt, acceptaruntque clavem scientiæ, sicut ipse ait [36], et neque intrarunt ipsi, neque alios intrare siverunt. Quare quanquam est longanimis, tamen innocentes non faciet eos, qui veræ fidei bellum intulerunt.

A τὸν ἐξήνιόν τε καὶ ἀλιτήριον, πῶς ἔστιν ἀμφιβαλεῖν, εἴπερ ἀληθές ἐστιν, ὅτι « Τοὺς πάντας ἡμᾶς δεῖ φανερωθῆναι ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε φαῦλον. » Οὐδὲν δὲ ἧττον ὁ λόγος πρέποι ἂν εἰκότως καὶ τοῖς Ἰουδαίων καθηγηταῖς, τοῖς Γραμματεῦσι λέγω καὶ Φαρισαίοις, οἳ τὴν εἰς Χριστὸν παρωθούμενοι πίστιν, σφᾶς τε αὐτοὺς, καὶ ἑτέρους διολλύντες ἡλίσκοντο. Πεφρονήκασι γὰρ ἐχθρὰ, καὶ πεπολεμήκασι τῇ μετὰ σαρκὸς οἰκονομίᾳ τοῦ Μονογενοῦς, ἔλαβόν τε τὴν κλεῖδα τῆς γνώσεως, καθά φησιν αὐτὸς, οὔτε εἰσῆλθον αὐτοὶ, οὔτε μὴν ἑτέρους συγκεχωρήκασιν εἰσελθεῖν. Οὐκοῦν εἰ καὶ ἔστι μακρόθυμος, ἀλλ' οὖν οὐκ ἀθῳώσει τοὺς τῇ ἀληθεῖ πίστει πεπολεμηκότας.

479 *Dominus, in consummatione et concussione via ejus, et nubes pulvis pedum ejus.*

IV. Propheta expugnationem Ninives ad solatium afflictorum prædicturus, et calamitatem passis destructionem ejus indicaturus, opportune prius divinæ naturæ potentissimum robur docet, et quidquid illa tandem rite confectum voluerit, vacare mutabilitate et inconstantia : quin omnia potius secutura maxime, et posse Deum, quod illi visum fuerit, etiamsi quod terrenorum negotiorum nobis nostrique similibus bene effici difficulter posse videatur. Putabant quippe Judæi, Babylonios nequire subigi, et adeo invictis esse viribus ut, etiam volente Deo, adversum hostes languere ac deficere non possent. Ad hujusmodi namque mœstitudinem, opinor, eos tota eorum regione crudeliter et immaniter ab illis perpetrata maleficia hortabantur. Ut igitur scirent, Deo in illos iram intendente, nullo labore facillimeque subactum iri, dicere necesse habuit, « Dominus in consummatione et concussione via ejus. » Est autem res insuperabilis, et magnopere vitatu difficilis concussio et consummatio, et insuper nubes pulveris, cœlum obtegentes, et ultionem insinuantes. Videtur autem propheta diluvium, quod sub Noe toti humano generi contigit, in memoriam eis reducere. Tum enim velut in consummatione et commotione contra omnes venit Deus, nubes excitans, ut ait divina Scriptura [37,38], aperiens catarractas cœli, et immensitate pluviarum universum orbem irrigans. Qui igitur non difficulter adversus totum orbem valuit, et uno decreto omnes mortales sustulit, quinam adversus unam gentem Babyloniam infirmus sit? Jam vero congruenter Deo, nubium agmen pulverem pedum ejus nominat. Quemadmodum enim facile est homini, terram et pulverem pedibus excitare, eodem modo, ut existimo, omnium rerum habenti potestatem Deo, procella et nubibus cœlum condensare facile est.

Quod si arcanum quoque verborum istorum sensum indagare placet, illud dicendum arbitrabor,

B *Κύριος, ἐν συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ, καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ.*

Δ'. Μέλλων ὁ προφήτης Νινευὴ τὴν ἄλωσιν εἰς παράκλησιν τῶν πεπονθότων προαναφωνεῖν, καὶ ὅτι κατασεισθήσεται παρὰ Θεοῦ καταδηλοῦν τοῖς ἠδικηκόσι, προαφηγεῖται χρησίμως τὸ τῆς θείας φύσεως παναλκὲς, καὶ ὅτι πᾶν ὁτιοῦν κατορθοῦν ἔλοιτο τὸ ἀστατοῦν οὐδὲν, πάντα δὲ μᾶλλον ἕψεται ῥᾳδίως, καὶ ἰσχύσει τὸ αὐτῇ δοκοῦν, κἂν εἴ τι τῶν ἐπιγείων πραγμάτων ἡμῖν τε καὶ τοῖς καθ' ἡμᾶς δυσκατόρθωτον εἶναι δοκῇ. Ὥοντο μὲν γὰρ οἱ Ἰουδαῖοι δυσαλώτους ἔσεσθαι τοὺς Βαβυλωνίους, καὶ ἄμαχον οὕτως χεῖρα λαχεῖν, ὡς μηδ' ἂν εἰ βούλοιτο Θεὸς, ἀτονῆσαι πρὸς ἐχθρούς. Ἐκάλει γὰρ, οἶμαι, δυσθυμίας εἰς τοῦτο αὐτοὺς τὰ πάσῃ αὐτῶν τῇ χώρᾳ ὠμῶς τε καὶ ἀνημέρως παρ' ἐκείνων τετολμημένα. Ἵνα τοίνυν εἰδεῖεν, ὡς κείσονται μὲν ἀκονιτὶ κατεξαναστάντος αὐτοῖς τὴν ὀργὴν τοῦ Θεοῦ, ἁλώσονται δὲ, καὶ μάλα ῥᾳδίως, ἀναγκαίως φησὶ, « Κύριος ἐν συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ. » Ἄμαχον δὲ χρῆμα, καὶ κομιδῇ δυσδιάφυκτον συσσεισμὸς, καὶ συντέλεια, καὶ νεφέλαι πρὸς τούτοις δίκην αἰνιττόμεναι (1) κονιορτοῦ, καὶ τὸν οὐρανὸν καταπυκάζουσαι. Ἔοικε δὲ ὁ προφήτης εἰς ἀνάμνησιν αὐτοὺς ἀναφέρειν τοῦ κατὰ παντὸς ἀνθρώπου γένους ἐπὶ Νῶε γεγονότος κατακλυσμοῦ. Ἐν συντελείᾳ γὰρ τότε καὶ ἐν συσσεισμῷ τῷ κατὰ πάντων οἱονεὶ πεπόρευται Θεὸς, νεφέλας ἐξαναστὰς, καθά φησι τὸ Γράμμα τὸ ἱερὸν, ἀνοίγων τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ, καὶ ὑετοῖς ἀσχέτοις ἐπικλύζων τὴν ὑπ' οὐρανόν. Ὁ τοίνυν, φησὶ, εὐκόλως πρὸς ὅλην ἰσχύσας τὴν γῆν, καὶ ψήφῳ μιᾷ ἐν αὐτῷ πάντας ἀνελὼν, πῶς ἂν ἀτονήσειε πρὸς ἕθνος ἓν τὸ Βαβυλώνιον; Θεοπρεπῶς δὲ σφόδρα φησὶ τὸ νεφελαῖον κονιορτὸν ποδῶν αὐτοῦ. Ὡς γὰρ εὔκολον ἀνθρώπῳ χοῦν τε καὶ κόνιν ἀνακινῆσαι ποδὶ, τὸν αὐτὸν, οἶμαι, τρόπον εὐχερὲς, καὶ τῷ πάντων κατεξουσιάζοντι Θεῷ, χειμῶνί τε καὶ νεφέλαις καταπυκάσαι τὸν οὐρανόν.

Εἰ δὲ δὴ προσήκει καὶ τὸν ἀπόῤῥητον νοῦν τῶν προκειμένων ἐκβασανίσαι, ἐκεῖνο εἰπεῖν οἶμαι

[35] II Cor. v, 10. [36] Luc. xi, 52. [37,38] Psal. cxxxiv, 7.

(1) Contextus sensus postulat ἀνιπτάμεναι vel ἀνιστάμεναι. Cutelerius, *Monum. Eccl. Gr.* II, 422.

Digitized by Google

δεῖν, ὅτι τῆς μετὰ σαρκὸς οἰκονομίας τὴν εἴσοδον, ἤγουν τὴν ἐκπλήρωσιν ἐν συντελείᾳ, καὶ ἐν συσσεισμῷ πεποιῆσθαί φαμεν τὸν μονογενῆ Λόγον τοῦ Θεοῦ. Ἐπειδὴ γὰρ γέγονε καθ' ἡμᾶς, συντετέλεκε, καὶ συνέσεισεν ἀρχάς τε καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ αἰῶνος τούτου, τῆς καθ' ἡμῶν ἐξελάσας πλεονεξίας, καὶ τῆς ἀρχαίας ἐκείνης ἰσχύος κατατροβήσας, καθελὼν δὲ καὶ αὐτὸν τὸν θάνατον, καὶ πρός γε τούτῳ τὴν ἁμαρτίαν. Γεγόνασι δὲ καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ. Ὥσπερ γὰρ τοῦ βαδίζοντος προανίσταται κόνις, οὕτω τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς προεβάδιζον αἱ νοηταὶ νεφέλαι, τουτέστιν, οἱ μακάριοι προφῆται, σκοτεινοτέρῳ μὲν, καὶ οὐ λίαν ἐμφανεστέρῳ χρώμενοι λόγῳ, πλὴν ζωοποιοῖς κηρύγμασι τῶν συνιέναι δυναμένων κατάρδοντα νοῦν.

A

B

Ἀπειλῶν θαλάσσῃ, καὶ ξηραίνων αὐτὴν, καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν.

Ε'. Ἐξ ὧν ᾔδεσάν τε καὶ πεπείραντο τὸν τῆς ἐπισφᾶς διηγήσεως λόγον διατεκταίνει, ἀποστήσας αὐτὸν τῶν ἄγαν ἀρχαιοτέρων. Ὅτε γὰρ τῆς Αἰγυπτίων ἀνοσιότητος, καὶ τῆς ἀφορήτου πλεονεξίας τὸν Ἰσραὴλ ἐξεκόμιζεν ὁ προασπίζων Θεὸς, διεβίβασε μὲν διὰ μέσης θαλάσσης αὐτοὺς, ἐκέλευσε δὲ βαδίζειν ὡς ἐπὶ ξηρᾶς. Ἐπάγη γὰρ ὡσεὶ τεῖχος τὰ ὕδατα, κατὰ τὸ γεγραμμένον. Οὐκοῦν ἠπείλησε τῇ θαλάσσῃ, καὶ βάσιμος ἦν οἷά τις ξηρά. Εἰ δὲ δή τις βούλοιτο ταῖς περὶ τούτων ἐννοίαις τὰ πρῶτα συνείρειν, φημὶ δὴ τὸ, « Κύριος ἐν συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ, » τὰ εἰκότα καὶ οὕτω φρονήσει. Μονονουχὶ γὰρ συντελέσας τε καὶ συσσείσας τὴν Αἰγυπτίων, ὁ τῶν ὅλων Κύριος διὰ τῶν ἐν αὐτῇ γεγονότων σημείων, καὶ τοῦ θανάτου πρωτοτόκων· διολώλασι γὰρ ἐν μιᾷ νυκτὶ, θρήνου τε καὶ οἰμωγῆς τὰ πάντα πεπλήρωτο, διὰ μέσης, ὡς ἔφην, θαλάσσης διεβίβασε τὸν Ἰσραὴλ, κατηρτισμένης αὐτῷ τῆς ἐξ οὐρανοῦ νεφέλης. Ἔφη τι τοιοῦτον καὶ ὁ μακάριος Δαβίδ. Ψάλλει γὰρ ὧδε· « Ὁ Θεὸς, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη, καὶ γὰρ οὐρανοὶ ἔσταξαν. » Γῆν δὲ σεσεισμένην, καθάπερ ἐγῷμαι, τὴν Αἰγυπτίαν φησὶ, ὅτι δὲ καὶ νεφέλη κατεκρέματο, προβαδίζουσα τῶν υἱῶν Ἰσραὴλ, ἀσυμφανὲς μὲν οὐδενί. Πιστώσεται δὲ καὶ ὁ θεσπέσιος Παῦλος, τοὺς τοῦ Ἰσραὴλ πατέρας « βεβαπτίσθαι λέγων ἅπαντας ἐν τῇ νεφέλῃ, καὶ ἐν τῇ θαλάσσῃ. » Προσεπήγαγε δὲ ὁ προφήτης τὸ ξηραίνεσθαι τὴν θάλασσαν, καὶ τὸ ἐρημοῦσθαι ποταμοὺς, εἰς ἀνάμνησιν φέρων ἑτέρου θαύματος. Ὅτε γὰρ εἰς τὴν γῆν τῆς ἐπαγγελίας εἰσεκομίζοντο, Ἰησοῦ μετὰ Μωσέα προεστηκότος, τότε κατὰ χώραν ἔστη πάλιν ὁ Ἰορδάνης, τὴν τῶν ναμάτων καταφορὰν ἀῤῥήτοις δεσμοῖς ἀνακόπτοντος τοῦ πάντα ἰσχύοντος Θεοῦ. Ἀξιοῖ δὲ ταῦτα τοῦ μεγίστου θαύματος καὶ ὁ μακάριος Δαβὶδ, οὕτως λέγων· « Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν, ἐν ποταμῷ διελεύσονται πεζῇ. » Ποδὶ γὰρ πάλιν τὸν Ἰορδάνην διέβησαν. Εἰ δὲ δὴ τοὺς ποταμοὺς λέγει

C

D

gressum, sive expletionem œconomiæ seu dispensationis in carne, in consummatione et commotione unigenitum Dei Verbum fecisse. Postquam enim nobis factus est similis, consummavit et commovit principes, et potestates, et principes mundi sæculi hujus, eosque prærogativa contra nos exuit, et antiqua illa potentia depulit, simul mortem ipsam **480** et peccatum destruxit. Porro nubes pulvis pedum ejus factæ sunt. Sicut enim ante ambulantem excitatur pulvis, ita ante œconomiam in carne Unigeniti præcesserunt nubes, hoc est, beati prophetæ, tenebricosiore et involutiore quodam sermonis genere utentes; verumtamen vivificis prædicationibus mentem intelligentia valentium irrigantes.

VERS. 4. *Comminans mari, et exsiccans illud et omnia flumina deserta faciens*

V. Ex iis quæ noverant, et experti erant, ex rebus, inquam, ipsis præstitis, narrationem ad eos texit, multo antiquioribus prætermissis. Quando enim protector eorum Deus ab impiis Ægyptiis, et intolerandis eorum imperiis Israelem eduxit, per medium mare traduxit, et quasi per aridam ambulare jussit. Nam instar muri, sicut scriptum est [39], aquæ in solidum astrictæ pependerunt. Comminatus est itaque mari, et meabile, haud secus quam terra, evasit. Ac si quis voluerit cum horum sententia prima illa connectere, nempe, « Dominus, in consummatione via ejus, » nihil inconveniens etiam sic sentiet. Propemodum enim consummata et commota Ægypto, universorum Dominus per signa ibidem edita, et mortem primogenitorum: interierunt quippe una nocte: lamentisque et gemitibus omnia completa sunt; per medium, ut dixi, mare Israeli viam aperuit, nube de cœlo illi concinne coagmentata [40]. Simile quiddam apud beatum Davidem exstat. Psallit namque sic: « Deus, cum egredereris in conspectu populi tui, cum pertransires in deserto, terra mota est: etenim cœli distillaverunt [41]. » Terram commotam, ut ego opinor, Ægyptiam dicit; cæterum nubes nihilominus in sublimi suspensa, quæ filios Israel antecederet, neminem latet. Habebitur etiam fides beato Paulo, affirmanti, patres Israelis « baptizatos esse in nube et in mari [42]. » Addit propheta, Deum siccare mare, et deserta reddere flumina, alterius miraculi commonefaciens. Quando enim in terram promissionis introducebantur, Jesu post Mosen gubernacula tenente, tum in ea regione rursum Jordanis constitit, Deo omnipotente cursum fluentorum vinculis irruptis cohibente [43]. Hæc porro et beatus David in miraculis maximis numerat, cum sic ait: « Qui convertit mare in aridam, in flumine pertransibunt pede [44]. » **481** Iterum enim pede Jordanem pertransierunt. Et quoniam dicit omnia flumina ab eo

[39] Exod. XIV, 29. [40] Exod. XIII, 1 seqq. [41] Psal LXVII, 8, 9. [42] I Cor. X, 1, 2. [43] Josue III, 1 seqq. [44] Psal LXV, 6.

Digitized by Google

exsiccari, quod in uno contigit, Deo annuente contingere posse in omnibus, cedere jubet. Putant autem nonnulli alio quodam modo vim ac sensum horum verborum tractandum. Si enim universorum Dominus, inquit, incursionem in Niniven facere voluerit, omnino in consummatione et commotione faciet : consummabit enim ipsam, et facile quamvis amplam commovebit : et instar maris alias gentes militaribus copiis inundantem, sine mora exsiccabit. Et si in eam gentes adversariæ instar torrentium irruperint, omnimodis desolabitur. Verumenimvero mare, et flumina proluentia et inundantia nihilominus dicimus esse malignas et adversarias potestates, imprimisque Satanam. Sed universam eorum potestatem exsiccavit Christus, et olim insuperabilem, cultorum suorum pedibus substravit.

VERS. 5. *Diminuta est Basanitis, et Carmelus, et efflorentia Libani defecerunt. Montes commoti sunt ab eo, et colles concussi sunt, et contracta est terra a facie ejus universa, et omnes habitantes in ea.*

VI. Mox et alias demonstrationes adhibet, divinæque naturæ cumulatissimi roboris inexpugnabilem potentiam testificatur. Regio enim Basanitis florentissima, et uberi gleba est. Carmelus et Libanus montes, ille Judææ, hic Phœniciæ, ambo arboribus frequentissimi, et silvis comantibus densi. Sed hæc omnia, Basanitin puta, et ipsam montibus adjacentem regionem, feræ et pugnacissimæ gentes, gigantumque filii habitabant, ut scriptum est[45]. Verumtamen a filiis Israel, Deo propugnante, arefacti et devicti sunt, qui et sortitione regionem illorum possederunt. Similiter ac si dicat iterum : Regiones, quæ quondam acribus et robustissimis viris scatebant, et in morem silvarum hominibus bellicosis non paucis comabant, perierunt, et devastatæ sunt, indigenarum passæ solitudinem. Hoc enim est, eredo, quod dicit, eas diminutas esse. Jam quomodo Deo annuente celebrata illa Ninive non occuparetur? Præter Basanitiden et Carmelum, etiam florentia Libani defecerunt. Libanus igitur, ut supra memini, mons Phœnices est, cujus nomine proximam illi et circumjectam regionem universam significat. **482** Florentia ergo Libani, Damasci et Phœniciæ vetustos reges nominat, qui etiam in manus filiorum Israel traditi sunt : nam et ipsi quondam, tametsi viribus summopere pollerent, et potentibus, et prope insuperabilibus auxiliis inflarentur, victi et subacti sunt. Ac si libros Regum percurramus, regnum Damascenorum olim per reges e tribu Juda vastatum inveniemus. Defecerunt igitur florentia Libani, hoc est, sublata sunt, et perierunt sæpius, quæ in Libano Phœnices erant præcipua, qui scilicet ibidem rerum potiebantur. Et quid ego ista commemoro, inquit, quando, et perquam facile quidem, Deo volente

[45] Deut. II, 20.

A πάντας ξηραίνεσθαι, τὸ ἐφ' ἑνὶ γεγονὸς ὅτι καὶ πᾶσι συμβήσεται Θεοῦ κατανεύοντος, διακεῖσθαι κελεύει. Δοκεῖ δέ τισι καὶ καθ' ἕτερόν τινα τρόπον τῷ τῶν προκειμένων προσφέρεσθαι νῷ. Εἰ γὰρ ἔλοιτο, φησὶ, ὁ τῶν ὅλων Δεσπότης τὴν κατὰ τῆς Νινευὴ ποιεῖσθαι καταδρομὴν, ποιήσεται δὲ πάντως ἐν συντελείᾳ, καὶ ἐν συσσεισμῷ· συντελέσει γὰρ αὐτὴν, καὶ ῥᾳδίως καταδονήσει πλατεῖαν οὖσαν, καὶ οἷον θαλάσσης δίκην τοῖς ἄλλοις ἔθνεσι τοὺς πολέμους ἐπικυμαίνουσαν, ἀμελλητὶ καταξηρανεῖ. Κἂν εἰσέρχοιτο, φησὶ, ὡς χείμαρροι τὰ κατ' αὐτῆς ἔθνη, πάντη τε καὶ πάντως ἐρημωθήσεται. Θάλασσαν δὲ, καὶ ποταμοὺς ἐπικλύζοντάς τε καὶ κατακλύζοντας, οὐδὲν ἧττόν φαμεν τὰς πονηρὰς εἶναι, καὶ ἀντικειμένας δυνάμεις, καὶ πρό γε τῶν ἄλλων τὸν Σατανᾶν. Ἀλλ' ὅλην αὐτῶν τὴν B δύναμιν κατεξήρανεν ὁ Χριστὸς, καὶ ἄμαχον οὖσαν πάλαι, τοῖς τῶν σεβομένων αὐτὸν ὑπέστρωσε ποσίν.

Ὠλιγώθη ἡ Βασανῖτις, καὶ ὁ Κάρμηλος, καὶ τὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε. Τὰ ὄρη ἐσείσθησαν ἀπ' αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν, καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ ἡ σύμπασα, καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ.

Γ'. Καὶ δι' ἑτέρων εὐθὺς καταδείξεων ὁ λόγος ἔρχεται, τῇ θείᾳ φύσει τὸ παναλκές τε καὶ ἄμαχον εἰς ἐξουσίαν ἐπιμαρτυρῶν. Χώρα μὲν γὰρ ἡ Βασανῖτις ἐστὶν εὐθαλὴς, καὶ πίειρα. Κάρμηλος δὲ, καὶ Λίβανος, τὸ μὲν, τῆς Ἰουδαίας, τὸ δὲ τῆς Φοινίκης ὄρος, εὐδενδρότατα δὲ ἄμφω, καὶ ἀμφιλαφέσι κομῶνται δρυμοῖς. Ἀλλὰ ταυτὶ δὴ πάντα, τήν τε Βασανῖτιν φημὶ, καὶ αὐτὴν δὴ τὴν τοῖς ὄρεσι παρακειμένην χώραν, C δεινά τε καὶ μαχιμώτατα κατενέμοντο γένη, καὶ υἱοὶ γιγάντων, κατὰ τὸ γεγραμμένον. Πλὴν ἐξήρανται, καὶ νενίκηνται παρὰ τῶν υἱῶν Ἰσραὴλ, Θεοῦ προασπίζοντος, καὶ κεκληρονομήκασι τὴν γῆν αὐτῶν. Ὅμοιον οὖν ὡς εἰ λέγει πάλιν· Αἱ πάλαι δεινῶς, καὶ ἀλκιμωτάτοις ἀνδράσι βρύουσαι χῶραι, καὶ οἷον δρυμοῖς τῶν ἐν αὐταῖς μαχίμων κομῶσαι πολλοῖς, ᾤχοντο, καὶ πεπόρθηνται τῶν ἐνοικούντων παθοῦσαι τὴν ἐρημίαν. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ ὠλιγῶσθαι λέγειν αὐτάς. Εἶτα, πῶς οὐκ ἂν ἁλοίη Θεοῦ κατανεύοντος ἡ διαβόητος Νινευή; Πρὸς δὲ δὴ τῇ Βασανίτιδι, καὶ τῷ Καρμήλῳ καὶ τὰ ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε. Λίβανος μὲν οὖν, ὡς ἔφην, ὄρος τῆς Φοινίκης ἐστὶν, ἀπ' αὐτοῦ δὲ σημαίνει τὴν ἐπ' αὐτῷ κειμένην καὶ D περὶ αὐτὸ σύμπασαν χώραν. Ἐξανθοῦντα δὴ οὖν τοῦ Λιβάνου τοὺς Δαμασκοῦ, καὶ Φοινίκης βεβασιλευκότας φησὶ κατὰ καιροὺς, οἳ καὶ ὑπὸ χεῖρας δέδονται τῶν υἱῶν Ἰσραήλ· νενίκηνται γὰρ καὶ αὐτοὶ κατὰ καιροὺς, καίτοι πλείστην ὅσην ἔχοντες χεῖρα, δεινάς τε καὶ δυσαντήτοις ἐπικουρίαις ἀναφυσώμενοι. Εὑρήσομεν δὲ τὰ τῶν Βασιλειῶν ἐπερχόμενοι βιβλίοις πεπορθημένην κατὰ καιροὺς τὴν Δαμασκηνῶν βασιλείαν, διὰ τῶν ἐκ φυλῆς Ἰούδα βεβασιλευκότων. Ἐξέλιπον δὴ οὖν τὰ ἐξανθοῦντα τοῦ Λιβάνου, τουτέστιν, ἐξῄρηνται, καὶ ἀπολώλασι πλειστάκις καὶ αὐτὰ, ἃ τῆς Φοινίκης ἦν τοῦ Λιβάνου τὰ ἐξαίρετα, τουτέστιν, οἱ τῶν ἐκεῖσε κρατοῦντες πραγμάτων. Καὶ τί ταῦτα

Digitized by Google

λέγω, φησὶ, ὅτε, καὶ μάλα ῥᾳδίως, Θεοῦ γε θέλοντος, κατασεισθεῖεν ἂν καὶ αὐτὰ τὰ ὄρη, καὶ οἱ βουνοὶ ἐπαναστήσονται, σύμπασα δὲ ἡ γῆ μετὰ τῶν ἐνοικούντων αὐτὴν ἀνασταλήσεται, τουτέστι, χωρήσει πρὸς τὸ μηδὲν, καὶ ἔσται πάλιν ὡς οὐχ ὑπάρχουσα ; Ὁ γὰρ ποιήσας ἐν ἀρχῇ, καὶ ἀφανιεῖ που πάντως εὐκόλως, καὶ οὐδὲν αὐτῷ τὰ μεγάλα παντελῶς. Ἔοικε δὲ καὶ ὁ μακάριος Δαβὶδ συνῳδὰ τοῖς προκειμένοις ἐννενοηκέναι τε καὶ λέγειν· « Τί γάρ ἔσται σοι, θάλασσα, ὅτι ἔφυγες, καὶ σὺ, Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω ; Τὰ ὄρη, ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ. » Ὡς γὰρ ἤδη προεῖπεν, « ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ. » Ὅτι δὲ οὐδὲν ἡ σύμπασα γῆ. καὶ ὀλίγου παντελῶς ἀξιωθεῖεν ἂν λόγου τὰ ἐν αὐτῇ. τὴν θείαν, καὶ ἀπόῤῥητον εἴ τις ἔλοιτο δόξαν ἀναμετρεῖν. ἐπιμαρτυρήσει λέγων ὁ προφήτης Ἡσαΐας· « Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθη, καὶ ὡς σίελος λογισθήσονται. Ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, καὶ πάντα τὰ ἔθνη ὡς οὐδέν εἰσι, καὶ ὡς οὐδὲν ἐλογίσθησαν. Τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι ὁμοίωματι ὡμοιώσατε αὐτόν; » Δοκεῖ δὲ πάλιν ἑτέροις εὖ ἔχειν, εἰ καὶ ἐπ' αὐτῆς ἐλογίσθη τῆς Νινευὴ τὰ τοιάδε πλαγίως. Βούλονται γὰρ αὐτὴν παρεικάζεσθαι τῇ τε Βασανίτιδι ὡς ἀρίστῃ τε καὶ διαβοήτῳ χώρᾳ, Καρμήλῳ δὲ, καὶ Λιβάνῳ πάλιν, ὡς ἐπισήμοις τε καὶ διαφανεστάτοις ὄρεσι. Θαυμαστὴ τε καὶ ἐπίσημος ἡ Νινευή. Καὶ ὠλιγῶσθαί φησι, ὡς ὄσον οὔπω διωθησομένης ὁμοῦ τοῖς ἐξανθοῦσιν ἐν αὐτῇ, τουτέστιν, ἡγουμένοις τε καὶ στρατηγοῖς, καὶ τοῖς τῶν ἄλλων ἐπιφανεστέροις. Ἐπειδὴ γὰρ ὀρῶν ἐποιήσατο μνήμην καὶ χώρας εὐδενδρότητος, φημὶ δὴ τῆς Βασανίτιδος, τετήρηκε τῷ λόγῳ μέχρι παντὸς τὴν τροπὴν, καὶ ἐξανθοῦντας ἔφη τοὺς ἢ πλούτῳ τυχὸν διαφανεστέρους· ἢ ταῖς τῶν σωμάτων ἀλκαῖς ἐμπρέποντας, ἢ καὶ καθ' ἕτερόν τινα τρόπον ὑπεροχῆς τῶν ἄλλων.

commovebuntur etiam ipsi montes et colles subsultabunt, et universa terra cum incolis suis retrocedet, hoc est, ad nihilum cadet, et rursum erit tanquam non sit? Qui enim illam a principio condidit, nulla penitus difficultate faciet evanescere, et quæ magna sunt, illi prorsus nihil sunt. Apparet autem beatum quoque Davidem propositis affinia cogitasse, et dixisse : « Quid est tibi, mare, quod fugisti, et tu, Jordanis, quia conversus es retrorsum? Montes, exsultastis sicut arietes, et colles sicut agni ovium. A facie Domini mota est terra[46]. » Ut enim jam dixit propheta, « in commotione via ejus. » Nihil autem esse universum terrarum orbem, et parvi omnino pendenda quæ in eo sunt, si quis divinam et ineffabilem gloriam æstimare voluerit, testimonium feret propheta Isaias, his verbis : « Si omnes gentes sicut stilla et situla, et sicut momentum stateræ reputatæ sunt, et quasi saliva reputabuntur? Libanus vero non sufficit ad comburendum, et omnia quadrupedia non sufficiunt ad holocaustum, et omnes gentes quasi nihil sunt, et quasi nihil reputatæ sunt. Cui assimilastis Dominum, et cui imagini assimilastis eum[47] ? » Rursum putant alii hæc non incommode de ipsa Ninive indirecte dicta intelligi. Volunt enim illam cum Basanitide, ut cum optima et decantata tellure comparari : præterea cum Carmelo et Libano, ut cum insignibus clarissimisque montibus. Admiranda sane, et illustris civitas Ninive. Et diminutam ait, ut jamjam dissipandam simul cum florentibus in illa, hoc est, præsidibus, ducibus, et honoratioribus. Quoniam enim montium meminit, et regionis arboribus bene consitæ, Basanitidis, inquam, in orationis immutatione, seu allegoria perseverat, **483** et florentes dicit aut opibus forsitan eminentiores, aut corporis robore præstantes, aut alio quopiam excellentiæ modo cæteris præcellentes.

Ἀνασκοπούμενος δέ τις τὰ τῶν Ἰουδαίων εἰς Χριστὸν τολμήματα, καὶ τὴν ἐπενεχθεῖσαν αὐτοῖς ἐρήμωσιν, καὶ ὁλοτελῆ συντριβὴν, καὶ ἀπώλειαν μετά γε τὸ ἀναδιῶναι αὐτὸν, καὶ ἀνελθεῖν εἰς τὸν οὐρανὸν, ἐφαρμόσειεν ἂν εἰκότως αὐτοῖς καὶ τάδε Βασανῖτις μὲν, καὶ Κάρμηλος, καὶ μέντοι καὶ Λίβανος νοοῖτ' ἂν εἰκότως ἡ Ἰουδαία. Καὶ Βασανῖτις μὲν, ἐπεί τοι καὶ ὠνόμασται γῇ ῥέουσα μέλι, καὶ γάλα, γῇ σίτου, καὶ ἐλαίου, καὶ ἀμπελώνων. Κάρμηλος δὲ, καὶ Λίβανος διά τοι τὸ ὑψοῦ τε ἦρθαι κατὰ τὴν δόξαν, γενέσθαι τε διαφανῆ, καὶ περίοπτον, καὶ οἷον ἀκαταλήκτοις δρυμοῖς τοῖς κατοικοῦσιν αὐτὴν ἐπιγάννυσθαι, ἀλλ' ὠλιγῶσθαί φησιν αὐτήν. Δεδαπάνηται γὰρ τῇ Ῥωμαίων χειρὶ καὶ δεινοῖς, καὶ ἀλκιμωτάτοις περιπεσόντες δρυμοτόμοις, φυτοῖς ἐν ἴσῳ περιπεπτώκασι. Καί τι τοιοῦτον Ζαχαρίας ὑπαινίττεται, λέγων ὡς πρός γε τὴν Ἱερουσαλήμ· « Διάνοιξον, ὁ Λίβανος, τὰς θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι

Jam qui secum perpendet, quæ Judæi in Christum ausi sint, et illatam ipsis solitudinem, ac vastitatem, perfectamque contritionem ac perniciem, illo in vitam reverso, et in cœlum profecto, convenienter illis etiam ista aptabit. Basanitis enim, et Carmelus, atque etiam Libanus recte intelligi queant Judæa. Et Basanitis quidem, quandoquidem et terra fluens lacte, et melle, terra frumenti, et olei, et vinetorum nominata est[48]. Carmelus autem, et Libanus propter celsitudinem et sublimitatem gloriæ, inquam, est evecta : evasisse porro celebrem, et notam passim, et tanquam innumeris silvis habitatoribus suis lætatam esse, sed diminutam ait. Romanorum enim exercitu consumpti, et cum in eos veluti in rigidos et robustissimos lignatores incidissent, ceu stirpes prostratæ sunt. Ac tale quiddam Zacharias insinuat, quas Jerusalem alloquens : « Aperi, Libane, portas tuas, et comedat ignis cedros tuas. Ululet pinus, quia

[46] Psal. cxiii, 5, 8. [47] Isa. xl, 17, 18. [48] Exod. iii, 8; Deut. viii, 8.

Digitized by Google

cecidit cedrus, quia miseri facti sunt optimates. Ululate, quercus Basanitidis, quia succisus est saltus consitus [49]. » Manifestius autem alibi : « Et erit planctus Jerusalem sicut planctus mali punici in campo succisorum [50]. » Quoniam enim cum Libano Jerusalem rursus confert, cedros cadentes, et pinus, et quercus Basanitidis vocat in ea homines cæteris aliqua celsitudine antestantes : et est oratio, ut dixi, metaphorica.

μεγάλοι μεγιστάνες ἐταλαιπώρησαν. Ὀλολύξατε, δρύες τῆς Βασανίτιδος, ὅτι κατεπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. » Σαφέστερον δὲ ἑτέρωθί πού φησι· « Καὶ ἔσται ὁ κοπετὸς τῆς Ἱερουσαλὴμ ὡς κοπετὸς ῥοῦν ἐν πεδίῳ ἐκκοπτομένου. » Ἐπειδὴ γὰρ πάλιν Λιβάνῳ τὴν Ἱερουσαλὴμ παρεικάζει, κέδρους καταπιπτούσας, καὶ πίτυς ἔφη τοὺς ἐν αὐτῇ ὑψηλούς, καὶ δρῦς δὲ ἀποκαλεῖ τῆς Βασανίτιδος· μεταφορικὸν δέ, ὡς ἔφην, τοῦ λόγου τὸ χρῆμα.

Vers. 6. *Ante faciem iræ ejus quis sustinebit? et quis resistet in ira furoris ejus? Furor ejus liquefacit principatus, et petræ contritæ sunt ab eo.*

Ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς ὑποστήσεται; καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ; Ὁ θυμὸς αὐτοῦ τήκει ἀρχάς, καὶ αἱ πέτραι διετρίβησαν ἀπ' αὐτοῦ.

VII. Verba sua ad confirmandam veritatem divinæ iræ experimentis obsignat, dicens, horribilem esse, et nullis ei machinis resisti posse. Nam instar ignis, opinor, invadens, facile et principatus, et potestates cum terrenas, tum quæ intelligentia sola cognoscuntur, liquefecerit; contriverit etiam nullo negotio petras, instar petrarum videlicet induratos et obfirmatos, quin etiam ipsum immundorum spirituum principem Satanam, de quo sacra Scriptura dicit, « Cor ejus induratum est ut lapis, stetit autem sicut incus indomita [51]. » Duros autem et præfractos fuisse, ac multo stupore 484 aperte laborasse Judæorum et doctores, et principes seu primores, sacerdotes, inquam, et impiorum Scribarum ac Pharisæorum cœtus profanos, quem fugit? qui et bello a Romanis illato, sicuti cera malis atrocissimis colliquefacti interierunt. Et cum essent admodum inflexiles, contriti cladibus contumeliarum in Christum expromptarum pœnas luerunt.

Ζ'. Κατασφραγίζει τοὺς λόγους εἰς ἀλήθειαν τοῖς ἐν πείρᾳ γεγονόσι τῆς θείας ὀργῆς, ὅτι πικρά τίς ἐστι, καὶ δυσάντητος λέγων. Δίκην γὰρ, οἶμαι, πυρὸς ἐμπίπτουσα, κατατήξειεν ἂν εὐκόλως ἀρχάς τε καὶ ἐξουσίας, ἐπιγείους τε καὶ νοητὰς, συνθραύσειε δ' ἂν ἀμογητὶ καὶ πέτρας, ἤγουν τοὺς ἐν ἴσῳ πέτραις κατεσκληκότας, καὶ μὴν καὶ αὐτὸν τῶν ἀκαθάρτων πνευμάτων ἡγούμενον Σατανᾶν, περὶ οὗ φησι τὸ Γράμμα τὸ ἱερόν· « Ἡ καρδία αὐτοῦ πέπηγεν ὥσπερ λίθος. » Ἔστηκε δὲ ὥσπερ ἄκμων ἀνήλατος. Ὅτι δὲ σκληροὶ, καὶ ἀτεράμονες, καὶ πλείστην ὅσην ἀναισθησίαν ἠρρωστηκότες ἁλοῖεν ἂν καὶ οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καὶ οἱ τεταγμένοι παρ' αὐτοῖς εἰς ἀρχὰς, ἱερέας δὴ λέγω, καὶ τῶν ἀνοσίων Γραμμάτων καὶ Φαρισαίων τὰ βέβηλα στίφη, πῶς οὐχ ἅπασιν ἐναργές; οἳ καὶ τῷ πολέμῳ δεδαπάνηνται, τῷ παρὰ Ῥωμαίων, καθάπερ τις κηρὸς ταῖς ἀνηκέστοις ἐκτηκόμενοι συμφοραῖς. Σκληροὶ δὲ ὄντες ἄγαν, συνεθραύοντο τοῖς κακοῖς, καὶ τῆς εἰς Χριστὸν παροινίας δίκας ἐκζήτηνται.

Contrivit autem propter nos alia etiam via Dominus noster Jesus Christus principatus, et potestates, et principes mundi tenebrarum sæculi hujus, spirituales nequitias [52], ut nos eriperet et salvaret. Hoc sciens beatus David, psallit : « Tu terribilis es, et quis resistet tibi ab ira tua? De cœlo auditum fecisti judicium, terra timuit et quievit, dum resurgeret in judicium Deus, ut salvos faceret omnes mansuetos terræ [53]. » Dedit autem nobis « calcare supra serpentes et scorpiones, et supra omnem virtutem inimici [54]. » Colliquefecit enim principatus, impiorum spirituum superbiam ut petras contrivit. Irascenti autem noxiis propter nos, et quantum ad nos attinet, illi licet inviti, cedere debuerunt.

Συνέτριψε δὲ δι' ἡμᾶς καὶ ἑτέρως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ἀρχάς τε καὶ ἐξουσίας, καὶ τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, τὰ πνευματικὰ τῆς πονηρίας, ἵνα ἡμᾶς ἐξέληται, καὶ διασώσῃ. Καὶ τοῦτο εἰδὼς ὁ μακάριος Δαβὶδ ψάλλει· « Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι ἀπὸ τῆς ὀργῆς σου; Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν, γῆ ἐφοβήθη, καὶ ἡσύχασεν ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεὸν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς. » Δέδωκε δὲ ἡμῖν « πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. » Κατέτηξε γὰρ ἀρχὰς, συνέθρυσεν ὡς πέτρας τὰς τῶν ἀνοσίων πνευμάτων ἀλαζονείας. Ὀργιζομένῳ δὲ δι' ἡμᾶς, καὶ πρὸς ἡμῶν τοῖς ἠδικηκόσι, παραχωρεῖν ἦν ἀνάγκη καὶ οὐχ ἑκοῦσιν αὐτοῖς.

Vers. 7, 8. *Bonus Dominus exspectantibus eum in die tribulationis, et cognoscens timentes se, et in diluvio transeunte consummationem faciet. Consurgentes, et inimicos ejus persequentur tenebræ.*

Χρηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν, ἐν ἡμέρᾳ θλίψεως, καὶ γινώσκων τοὺς εὐλαβουμένους αὐτὸν, καὶ ἐν κατακλυσμῷ πορείας συντέλειαν ποιήσεται. Τοὺς ἐπεγειρομένους, καὶ τοὺς ἐχθροὺς αὐτοῦ διώξεται σκότος.

VIII. Fructuose, et scite admodum admonet, neque felicitatis spe eos privans, cum dicit, bonum fore Dominum exspectantibus se; neque habenas

Η'. Νουθετεῖ χρησίμως, καὶ λίαν εὐτέχνως, οὐτε τῆς εὐημερίας ἀποκείρων τὴν ἐλπίδα, δι' ὧν ἔφη χρηστὸν ἔσεσθαι τοῖς ὑπομένουσι τὸν Κύριον· οὔτε

[49] Zach. xi, 1, 2 [50] Zach. xii, 11. [51] Job xli, 15. [52] Ephes. vi, 12. [53] Psal. lxxv, 8, 9.

Digitized by Google

μὴν ἀνιεὶς εἰς ἄφετόν τινα, καὶ ἐξιτήλην ζωὴν, μετατιθεὶς δὲ μᾶλλον εἰς εὐκοσμίαν, καὶ εἰς τὸ βιοῦν ἐλέσθαι ἐννόμως, διάτοι τοῦ φάναι πάλιν, ὅτι τὴν ὡς κατακλυσμῷ νοουμένην ὁδὸν εἰ δὴ ποιοῖτο κατά τινων, καθάπερ τινὰ σεισμὸν ποιήσεται, καὶ ὥσπερ ὑδάτων πολλῶν τε καὶ ἀφορήτων ὁρμὴ κατὰ πρανοῦς Ἰούδα χώρας. Χρῆμά τι δεινὸν, καὶ δυσδιάφυκτον παντελῶς. Οὕτως εἰ διάττοι κατά τινων τὰ ἐκ θείας ὀργῆς, ἄρδην ἅπαντας ἀπολέσει τοὺς καθ' ὧν ἂν ἴοι, καὶ φέροιτο. Σκότῳ μὲν τοὺς ἐχθροὺς αὐτοῦ καταδιωχθήσεσθαι καὶ καταληφθήσεσθαι λέγει, καὶ οὐχί που πάντως τῷ τῆς νυκτὸς, ἀλλ' ἑτέρας, οἶμαι, τῆς νοητῆς, καὶ ὡς ἐν τρόπῳ τῷ παθεῖν νοουμένης. Κατασκοτάζειν γὰρ οἶδε τὸν ἀνθρώπινον νοῦν, καὶ ἀμείλικτος συμφορὰ, καὶ πικρὸν, καὶ ἀδόκητον πάθος, ὃ δὴ τοῖς ἀρχαιοτέροις συμβέβηκεν, ἀπενηνεγμένοις εἰς αἰχμαλωσίαν, καὶ ἁλούσης αὐτοῖς τῆς χώρας. Τοιγάρτοι Θεὸς οἴνῳ καὶ μεθύσματι τὰ τοιάδε τῶν κακῶν παρεικάζων, εὖ μάλα πρὸς τὸν μακάριον ἔφασκεν Ἱερεμίαν· « Λαβὲ τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου τούτου ἐκ χειρός μου, καὶ ποτιεῖς πάντα τὰ ἔθνη, πρὸς ἃ ἐγὼ ἐξαποστελῶ σε πρὸς αὐτοὺς, καὶ πίονται, καὶ ἐξεμοῦνται, καὶ μανήσονται ἀπὸ προσώπου τῆς μαχαίρας, ἧς ἐγὼ ἀποστέλλω ἀνὰ μέσον αὐτῶν. » Καὶ διὰ φωνῆς Ἡσαΐου πρὸς αὐτήν· « Τὸ ποτήριον γὰρ τῆς πτώσεως τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες καὶ ἐξεκένωσας. » Μέθῃ δὴ οὖν, καὶ σκότῳ καταληφθήσεσθαί φησι τοὺς ἐχθρὰ φρονοῦντας Θεῷ, μετασοβῶν εὖ μάλα πρὸς τὸ ἐλέσθαι φρονεῖν, ὅπερ ἦν ἄμεινον εἰδέναι τε καὶ δρᾷν αὐτούς.

Κεχώρηκε δὲ καὶ κατὰ τῶν Ἰουδαίων ἐν κατακλυσμῷ πορείας ὁ τῶν ὅλων Θεὸς, καὶ συντετέλεκεν αὐτοὺς τὰς ἐπὶ Χριστῷ εἰσπραττόμενος δίκας. Γεγόνασι δὲ καὶ ἐν σκότῳ, καὶ τοῦ θείου φωτὸς ἀλοτρόπως ἡμιορηκότες, μωροὶ καὶ τυφλοὶ διατελοῦσιν οἱ τάλανες. Οὐ γὰρ ἤθελον ἀκολουθῆσαι ἐπιφωνοῦντι Χριστῷ· « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. » Ἐπειδὴ δὲ ἦσαν ἀπαθεῖς, καὶ ἐξήνιοι, ταύτῃτοι λοιπὸν, καθά φησιν ὁ προφήτης, « Ὑπομεινάντων αὐτῶν φῶς, ἐγένετο αὐτοῖς σκότος, μείναντες δὲ αὐγὴν, ἐν ἀωρίᾳ περιεπάτησαν. » Γεγόνασι γὰρ ἐχθροὶ τοῦ θείου φωτὸς, καὶ κατεξανέστησαν ἀνοσίως τῆς δόξης αὐτοῦ.

Τί λογίζεσθε ἐπὶ τὸν Κύριον, Συντέλειαν αὐτοὺς ποιήσεται, οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ αὐτὸ ἐν θλίψει.

Θ'. Ἔφην ἤδη, καὶ ἐν ἀρχαῖς, ὅτι τοῦ Σαλμανασὰρ βασιλέως Ἀσσυρίων τὴν Σαμάρειαν πεπορθηκότος, συγκαταδηώσαντος δὲ αὐτῇ καὶ ἑτέρας πόλεις, καὶ κώμας τοῖς Ἰούδα σκήπτροις ὑποκειμένας, εἶτα τῶν ἐκ τοῦ πολέμου περιλελειμμένων ἐν ἀφορήτοις ὄντων δείμασι, καὶ εἰς τὰς τῶν ὁμόρων ἐθνῶν ἀναφευγόντων χώρας, ᾤοντο γὰρ, κατὰ τὸ εἰκὸς, τοῖς ἴσοις κακοῖς περιπεσεῖσθαι καὶ δεύτερον ἐπ' αὐτοὺς τῶν Βαβυλωνίων ὑπονοστούντων, ἀναγκαίαν ἐποιεῖτο Θεὸς τὴν παράκλησιν διὰ τῆς τοῦ προφήτου φωνῆς, δύο ταῦτα

A illis laxans ad vitam quamdam solutam et temporariam : quin potius ad morum honestatem, et ad vitam ex legibus institutam eos invitans, cum rursum dicit, quod si via quam animo cernimus contra quosdam veniet, ut in diluvio, commotione quadam veniet, et ut aquarum multarum intolerandarumque impetus per prona regionis Juda. Res formidabilis et inevitabilis prorsus. Si ita in quosdam ab ira divina profectum supplicium ruat, feraturque, funditus eos perdet. Tenebras quidem inimicos ejus persecuturas et comprehensuras dicit, utique haud noctis hujus, sed alius, opinor, noctis intellectualis, et quæ ex modo quodam patiendi perspicitur. Solet enim mentem humanam tenebris obscurare dirior calamitas, acerbusque et

B improvisus casus, **485** ut antiquioribus contigit, in captivitatem abductis, et regione ipsorum ab hostibus occupata. Proinde Deus cum vino et ebrietate hujuscemodi mala conferens, rectissime ad beatum Jeremiam dicebat : « Sume calicem vini meri hujus de manu mea, et potabis omnes gentes ad quas mittam te ad eos, et bibent, et vomentet, et insanient a facie gladii, quem ego mitto inter eos [55]. » Et per os Isaiæ ad Sion : « Calicem enim ruinæ, calicem furoris ebibisti et evacuasti [56]. » Ebrietate igitur, et tenebris, erga Deum hostiliter animatos, comprehensum iri dicit, ita probe admodum ad recte sapiendum concitans, quod eos scire et facere melius erat.

C Ivit etiam contra Judæos in diluvio transeunte universorum Deus, et consummavit eos, propter Christum pœnas reposcens. Facti sunt etiam in tenebris, et divini luminis omnino expertes, fatui et cæci permanent infelices. Noluerunt enim sequi acclamantem Christum : « Dum lucem habetis, in luce ambulate, ut non tenebræ vos comprehendant [57]. » Et quoniam sine affectione et indomiti erant, idcirco postmodum, ut ait propheta : « Exspectantibus illis lucem, factæ sunt illis tenebræ ; præstolantes lucem, in tenebris ambularunt [58]. » Fuerunt enim inimici luminis divini, et impie adversus gloriam illius se erexerunt.

D Vers. 9. *Quid cogitatis contra Dominum ? Consummationem ipse faciet, non vindicabit bis in idipsum in tribulatione.*

IX. Dixi jam, et a principio, ubi Salmanasar Assyriorum rex Samariam vastavit, et alias quoque urbes vicosque Judæ sceptro subjectos simul depopulatus est, belli reliquiis, ingenti errore plenis, ad vicinarum gentium provincias confugientibus, quod putarent verisimiliter, parem calamitatem, Babyloniis denuo in ipsos redeuntibus, subituros, Deum per prophetam necessariam consolationem adhibere, duo hæc pollicentem, et bello captos, ac miseriis immensis obrutos aliquando miseraturum, vinculiv-

[55] Jerem. xxv, 15, 16. [56] Isa. li, 17. [57] Joan. xii, 35. [58] Isa. lix, 9.

Digitized by Google

quæ captivitatis absoluturum, et Niniven in desolationem et exitium traditurum. **486** Ne igitur et ipsi mala similia formidantes, inde occasionem ex Judæa ad alienigenas confugiendi arriperent, percontatur quasi his verbis, quidnam cogitandum et sentiendum de Domino sibi existiment : durum nempe, et vix placabiliter iratum universorum Deum arbitramini, sic ut eorumdem peccatorum duplices pœnas exigat : sed a vero judicio multum aberratis. Nam si nihil vos addidissetis eorum quæ extra legem sunt, et legis institutorem ad iram provocant, non ipse alteram plagam inflixisset. Tribulavit satis propterea, in quibus vestra impietas deprehensa est. Cohibete peccatum, et ille iram cohibebit. Castigavit sufficienter, de cætero miserebitur ad sanitatem redire volentium. Mista est igitur oratio, et admonitionem continet. Simul enim suadet legitime fungi iis quæ Deo placeant, et istue facere non abnuentibus fiduciam dat, ipsis clementem fore, non impotenter irascentem, quemadmodum apud se cogitabant. Considera porro, quomodo sermo tueatur Israel, reliquias, inquam. Nam Deum eos non consumpturum, manifeste prædixit, interrogatione inducta inquiens : « Quid cogitatis contra Dominum? Consummationem ipse faciet, neque ab ipsis fundamentis concussum Israelem in exitium perfectum dabit. Parcet autem propter patres, et aliquando post gentes per fidem in Christum ingredientes, ad sanctimoniam et amicitiam quæ est cum Deo per Filium in Spiritu aptos efficiet.

καθυπισχνούμενος, ὅτι καὶ τοὺς ἤδη κατειλημμένους τῷ πολέμῳ, καὶ ἐν ἀφορήτοις ὄντας συμφοραῖς ἐλεήσει κατὰ καιροὺς, καὶ τῶν τῆς αἰχμαλωσίας ἀπαλλάξει δεσμῶν, καὶ ὅτι παραδώσει τὴν Νινευὴ πρὸς ἐρήμωσιν καὶ ἀπώλειαν. Ἵνα τοίνυν μὴ καὶ αὐτοῖς τοῖς ἴσοις περιπεσεῖσθαι κακοῖς προσδοκήσαντες εὐάφορμον ἤδη ποιῶνται τὴν καταδρομὴν, τὴν ἐκ τῆς Ἰουδαίας εἰς ἀλλοφύλους, μονονουχὶ καὶ ἀναπυνθάνεται, λέγων, τί ἄρα λογίζονται, καὶ φρονεῖν ἐγνώκασι περὶ τοῦ Κυρίου, σκληρὸν ἄρα, φησὶ, καὶ βαρύμηνιν ὑπάρχειν οἴεσθε τὸν τῶν ὅλων Θεὸν, ὡς διττὰς ἐπὶ τοῖς αὐτοῖς πλημμελήμασι τὰς δίκας αἰτεῖν ἀλλὰ πολὺ τοῦ πρέποντος ἀποσφάλλεσθε. Προστιθεικότων γὰρ ὑμῶν οὐδὲν τῶν ὅσα ἐστὶν ἔξω νόμου, καὶ κατερεθίζουσι πρὸς ὀργὰς τοῦ νόμου τὸν ὁριστὴν, οὐδ' ἂν αὐτὸς δευτέραν ἐποίησε πληγήν. Ἐθλίψεν ἀρκούντως ἐφ' οἷς ἤδη δυσσεβοῦντες ἠλίσκεσθε. Στήσατε τὴν ἁμαρτίαν, καὶ τὴν ὀργὴν ἀνακόψει. Πεπαιδευκεν ἀποχρώντως, κατελεήσει λοιπὸν τοὺς σωφρονεῖν ἠρημένους. Μέμικται τοίνυν ὁ λόγος, καὶ συγκεκραμένην ἔχει τὴν παραίνεσιν. Ἐν ταυτῷ γὰρ ἀναπείθει καὶ τὰ ἀνδάνοντα τῷ Θεῷ κατορθοῦν ἐλέσθαι γνησίως, καὶ τοῦτο ὁρᾷν ἑλομένοις δίδωσι θαρρεῖν, ὅτι χρηστὸς ἔσται περὶ αὐτοὺς, οὐκ ἀχάλινον αὐτοῖς ἐφιεὶς τὴν ὀργὴν, καθάπερ ᾤοντο κατὰ σφᾶς. Ἄθρει δὲ ὅπως τετήρηκε πάλιν ὁ λόγος τὸν Ἰσραὴλ, τὸ κατάλειμμα. Ὅτι γὰρ οὐ συντελέσει Θεὸς αὐτοὺς προαναπεφώνηκεν ἐναργῶς, ὡς ἐν ἐρωτήσει λέγων· « Τί λογίζεσθε ἐπὶ τὸν Κύριον; Συντέλειαν αὐτὸς ποιήσεται, » φησὶ, οὐδ' ἂν ἐκ βάθρων αὐτῶν κατασείσας τὸν Ἰσραὴλ, εἰς ὄλεθρον παραδώσει παντελῆ. Φείσεται δὲ διὰ τοὺς πατέρας, καὶ συνθήσεται κατὰ καιροὺς κατόπιν ἐθνῶν εἰσβάλλοντας διὰ πίστεως τῆς εἰς Χριστὸν εἰς ἁγιασμὸν, καὶ οἰκειότητα τὴν ὡς πρὸς Θεὸν δι' Υἱοῦ ἐν Πνεύματι.

A

B

C

Vers. 10, 11. *Quia usque ad fundamentum ipsorum in solitudinem redigentur, et quasi smilax implicata comedentur, et quasi stipula aridilatis plena. Ex te exibit cogitatio contra Dominum mala cogitans contraria.*

X. Cum pluribus exemplis declarasset, universorum Deo inesse potestatem omnia probe et facile efficiendi, nec quidquam prorsus esse, quod ille præstare non queat, nunc orationem ad Niniven ipsam transfert, atque etiamsi eam claritatem adepta sit, ut montibus silvosissimis, Libano et Carmelo videlicet, similis videatur, multis et innumeris referta hominibus : tametsi nihil cedat Basanitidi, nihilominus venturum tempus, quando tota deseretur. Hoc enim, opinor, est, usque ad fundamenta in solitudinem redactum iri, **487** servante sermone mutationem ac tropum, ut a montibus, terra, lignis, et silva deductis vocabulis. Comesum porro iri ipsam, inquit, a Persis et Medis depastam quodammodo. Subegerunt enim hi Niniven, Cyro belli summam administrante. Similaci autem Assyriorum catervas assimilat, hi namque Niniven incolebant. Quænam hujus ratio afferri queat? Smilax est frutex, affinis hederæ, semperque in altum serpit, et emittit, et stirpes propinquas ap-

Ὅτι ἕως θεμελίων αὐτῶν χερσωθήσονται, καὶ ὡς σμίλαξ περιπλεκομένη βρωθήσονται, καὶ ὡς καλάμη ξηρασίας μεστή. Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ Κυρίου πονηρὰ βουλευόμενος ἐναντία.

Ι'. Ἀποφήνας διὰ πολλῶν, ὅτι καὶ τὸ πάντα δύνασθαι κατορθοῦν εὐκόλως τῷ τῶν ὅλων ἐνυπάρχει Θεῷ, ἀνήνυτον δὲ αὐτῷ παντελῶς οὐδὲν, μεταποιεῖται τὸν λόγον ἐπ' αὐτὴν ἤδη τὴν Νινευὴ, καί φησι, ὅτι κἂν εἰς τοῦτο προήκοι λαμπρότητος, ὡς ἐν ἴσῳ φαίνεσθαι τοῖς εὐδενδροτάτοις τῶν ὀρῶν, Λιβάνῳ τέ φημι, καὶ Καρμήλῳ, πολλοῖς καὶ ἀναριθμήτοις κεκομῶσα λαοῖς· κἂν εἰ μηδὲν ἀποδέοι τῆς Βασανίτιδος, ἀλλ' ἥξει καιρὸς, ὅτε καὶ εἰς ἅπαν ἐρημωθήσεται. Τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ, ἕως θεμελίων χερσωθήσεσθαι, τετηρηκότος τοῦ λόγου τὴν τροπὴν ὡς ἐπ' ὀρῶν τε καὶ γῆς, ξύλων τε καὶ ὕλης. Βρωθήσεσθαι δέ φησιν αὐτὴν, κατανεμηθέντων τρόπον τινὰ Περσῶν τε καὶ Μήδων. Εἶλον γὰρ οὗτοι τὴν Νινευὴ, πολεμαρχοῦντος τοῦ Κύρου. Σμίλακι δὲ παρεικάζει τὴν τῶν Ἀσσυρίων πληθύν· κατῴκουν γὰρ οὗτοι τὴν Νινευή. Καὶ τίς ἂν γένοιτο λόγος τοῦ τοιοῦδε πάλιν; Ἔστι μὲν ἡ σμίλαξ κιττοειδές τι φυτὸν. Ἕρπει δὲ ἀεὶ πρὸς τὸ ὑψοῦν, καὶ λεπτοὺς ἀνίησι κλῶνας, καὶ τῶν ἐγγὺς ἑστηκότων καταδράττεται φυτῶν, ὡς κατα-

D

Digitized by Google

πνίγεσθαι πολλάκις ὑπ' αὐτῆς καὶ τὰ εὐμηκέστατα A prehendit, ut frequenter ab ipsa vel procerissimæ
τῶν ξύλων. Ἑδρων δὲ τοῦτο καὶ Ἀσσύριοι, κατα- arbores suffocentur. Id quod Assyrii faciebant,
θρώσκοντες ἀεὶ χωρῶν, καὶ πόλεων, καὶ οἷον συμ- semper in regiones et urbes irrumpentes, et, quasi
πνίγοντές τε καὶ καταβρίθοντες ταῖς τῶν πολέμων oneris instar bellorum, conflictibus et intoleranda
συμπλοκαῖς, καὶ ταῖς ἀφορήτοις καταδυναστείαις. tyrannide incumbentes, et suffocantes. Ait autem
Ἔφη δὲ αὐτὴν καταπρησθήσεσθαι, καὶ ὡς καλάμην ipsam ambustum iri, et ut stipulam aridilatis ple-
ξηρασίας μεστήν. Ἑτοιμότατον δὲ τῆς καλάμης τὸ nam. Stipula ad ignem concipiendum, et ustionem
χρῆμα πρὸς τὸ καταδαπανᾶσθαι πυρί. Καταπιμπρα- aptissima est. Niniven autem ut incensam, et ira
μένη δὲ ὥσπερ τῇ Νινευῆ, καὶ πασχούσῃ τὰ ἐξ divina punitam, vastatamque propheta alloquitur,
ὀργῆς, καταδηουμένῃ τε λοιπὸν ὁ προφήτης ἐπι- et occasionem cur hæc dicat excusat, dicens : « Ex
φθέγγεται, καὶ τοῦ τὰ τοιάδε λέγειν τὴν πρόφασιν te exibit cogitatio contra Dominum mala cogitans
καταλευκαίνει, λέγων· « Ἐκ σοῦ ἐξελεύσεται λογι- contraria. » Exposita eris, inquit, ad desolationem,
σμὸς, κατὰ τοῦ Κυρίου πονηρὰ βουλευόμενος ἐναν- et eris ut terra inculta et deserta : quin etiam
τία. » Προκείσῃ, φησὶ, εἰς ἐρήμωσιν, ἔσῃ δὲ igni combureris ; cogitas enim contra Dominum
καὶ ὡς χέρσος· καὶ μὴν καὶ καταφλεχθήσῃ πυρὶ, iniqua et contemptoria. Universorum quippe Deus
λογίζῃ γὰρ κατὰ Θεοῦ δεινὰ καὶ ὑπέροπτα, καὶ B in peccantem Israelem animadvertens, fecit ut
τὰ ἐναντία. Ὁ μὲν γὰρ τῶν ὅλων Θεὸς πλημμελοῦντα levi negotio capi posset, et tuis eum pedibus sub-
τὸν Ἰσραὴλ κολάζων, εὐάλωτον ἀπετέλει, καὶ τοῖς stravit. Tu autem aliter senties, et Judæam te,
σοῖς αὐτὸν ὑπεκόμιζε ποσί. Διακείσῃ γε μὴν οὐχ ipso nolente, redegisse in potestatem existimabis.
οὕτως αὐτὴ, νομιεῖς δὲ μᾶλλον ἠρηκέναι τὴν Ἰου- Sic enim blaterasse Rabsacem inveniemus, quando
δαίαν, καὶ οὐχ ἑκόντος αὐτοῦ. Ἔχουσαν γὰρ οὕτως convitiis Dei gloriam insectabatur, in muro se-
εὑρήσομεν τὴν Ῥαψάκου περιττοέπειαν, ὅτε τὴν τοῦ dentibus dicens : « Ne decipiat vos verbis Ezechias,
Θεοῦ κατεκερτόμει δόξαν, λέγων τοῖς καθημένους ἐν quæ non poterunt liberare vos. Et ne dicat vobis
τῷ τείχει· « Μὴ ἀπατάτω ὑμᾶς λόγοις Ἐζεχίας, οἳ Ezechias, quia liberabit Deus Jerusalem de manu
οὐ μὴ δυνηθήσονται ῥύσασθαι ὑμᾶς. Καὶ μὴ λεγέτω mea. [88] » Huic stultissime et vere impie garrienti,
ὑμῖν Ἐζεχίας, ὅτι ῥύσεται ὁ Θεὸς τὴν Ἱερουσαλὴμ voce Isaiæ Deus respondet : « Numquid gloriabitur
ἐκ τῆς χειρός μου. » Ἡρὸς ὂν τὴν οὕτως ἀβουλότητα, securis sine incidente in ea, aut exaltabitur serra
καὶ ἀνίσιον ἀληθῶς ἀθυροστομοῦντα ἀπελογεῖτο Θεὸς sine trahente eam [89] ? » Sicut enim securis, licet
καὶ διὰ φωνῆς Ἡσαΐου, λέγων· « Μὴ δοξασθήσεται acutissima sit, et bene ferrea, in arboribus secandis
ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ, ἢ ὑψωθήσεται nihil efficiet, nisi quis ipsam viribus suis aliquo
πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν ; » Ὥσπερ γὰρ ἡ ἀξίνη, C impegerit : sic et serra nihil prorsus in materia sua
κἂν τομωτάτη τις εἴη, καὶ εὔχαλκος, οὐκ ἂν ἐνερ- operabitur, nisi quis eam duxerit : ad eumdem
γήσῃ περὶ τὰς τῶν δένδρων ἀποτομὰς, εἰ μή τις modum, Ninivitarum regni sive militiæ robur non
αὐτὴν ἰδίαις δυνάμεσι κατά τινος διαφέρῃ· ὡσαύτως subegisset Samariam, nisi divina ira in urbes
δὲ καὶ ὁ πρίων ἀπρακτήσει πάντως περὶ τὰ οἰκεῖα, **488** et vicos id adegisset tanquam instrumentum,
καθέλκοντός γε αὐτὸν, ἢ ἀνέλκοντος οὐδενός· οὕτω quod movetur quidem ab altero, et est utile ad mi-
καὶ ἡ τῆς τῶν Νινευϊτῶν βασιλείας, ἤγουν στρατιᾶς nisterium assumptum, ipsum tamen per se nihil
ἰσχὺς οὐκ ἂν ἐκράτησε τῆς Σαμαρείας, μὴ οὐχὶ faciet. Punitur ergo Ninive, ut mala contra Domi-
θείας ὀργῆς πόλεσί τε αὐτὴν ἐπιφερούσης, καὶ κώ- num cogitans potius, quam ut revera se rei natura
μαις, καὶ οἷον ἐργαλείῳ, ὃ κινεῖται μὲν παρ' ἑτέρου, habet. Tradidit enim universorum Deus Israelem
καὶ ἔστι χρήσιμον εἰς ὑπουργίαν παραληφθὲν, ἐνερ- post peccatum, nec ipsa potius eos subjugasset, si
γήσειε δ' ἂν οὐδὲν αὐτὸ, καθ' ἑαυτό. Κολάζεται τοίνυν Deus succurrere et servare filios voluisset.
ἡ Νινευὴ διά τοι τὸ πονηρὰ κατὰ Θεοῦ λογίζεσθαι, κατὰ τὰ ἐναντία μᾶλλον, εἰ ὡς ἔχει κατὰ τὸ ἀληθὲς
ἡ φύσις τοῦ πράγματος. Παραδέδωκε γὰρ ὁ τῶν ὅλων Θεὸς ἡμαρτηκότα τὸν Ἰσραὴλ, οὐκ αὐτὴ
μᾶλλον ἂν εἶλεν ἐπαμύνοντος Θεοῦ, καὶ σώζειν θέλοντος υἱόν.

Τάδε λέγει Κύριος, κατάρχων ὑδάτων πολλῶν, D Vers. 12. *Hæc dicit Dominus, regnans super*
καὶ οὕτως διασταλήσονται, καὶ ἡ ἀκοή σου οὐκ *aquas multas, et sic dividentur, et auditus tuus non*
ἐπακουσθήσεται ἔτι. *audietur amplius.*

ΙΑ'. Ἔστι μὲν οὖν ὁ λόγος πρὸς τὴν Νινευὴ τὴν XI. Est igitur sermo ad Niniven arrogantem, et
ἀλαζόνα, καὶ θεομάχον. Ὕδατα δὲ εἶναί φησι ἐν Deo repugnantem. In his porro verbis aquas ait
τούτοις τὰς ἀμετρήτους τῶν ἐθνῶν κατά τε χώρας immensas populorum multitudines per regiones,
καὶ πόλεις, καὶ ἔθνη, πληθύας, ποταμῶν ἢ θαλάσσης urbes et nationes, instar maris aut fluviorum, quæ
δίκην καταρχομένας εὐκόλως, ὅτ' ἂν ἕλοιτο Θεός. reguntur facile, si Deus voluerit. Ipse enim est
Αὐτὸς γάρ ἐστιν αὐτῶν ὁ κατάρχων, ὡς δημιουργὸς, ipsorum rector, ut opifex, ut universorum Dominus
ὡς τῶν ὅλων Κύριος, καὶ Θεὸς, ὡς ἰδίοις νεύμασι τὰ ac Deus, qui nutibus suis a se condita gubernat,
ὑπ' αὐτοῦ γεγονότα πηδαλιουχῶν, καὶ τῆς ἁπάντων et omnium cordium nutus ad suum beneplacitum
καρδίας τὸ νεῦμα μετατιθεὶς πρὸς τὸ ἑαυτῷ δοκοῦν, moderatur, quomodo ipse voluerit decernens et

[88] IV Reg. XVIII, 32. [89] Isa. X, 15

Digitized by Google

conformans. Idcirco, inquit, o Ninive, posthac terribilis, robustissima et decantata esse desines : « Auditus enim tuus non audietur amplius, » hoc est, non erit in posterum multus de te apud omnes sermo. Olim enim eras illustris, et magnificas de te narrationes ignorabat nemo. Ast nunc non amplius. Quin triste super te canticum cantabunt, et magnum, auditioneque dignum nihil apud te in posterum reperietur.

VERS. 13. *Et nunc conteram virgam ejus a te, et vincula tua dirumpam, et præcipiet de te Dominus.*

XII. Sermo propheticus iterum ad Israelem transit, quasi dicat : Deposita veterum illorum memoria, miserabor eum de cætero, ut qui pœnas jam expenderit. Ut sufficienter punitum, eorum dominatu te liberabo, subjacebisque neutiquam virgæ Assyriorum, hoc est, sceptro, sive regno : regni enim symbolum, sive nota sceptrum est. Eximam te quoque terroribus, et vinculis servitutis, et in beatum libertatis statum restituam. Illud, « Et præcipiet de te Dominus, » sic intelliges. Præcipiet autem bonis quibusdam spiritibus, et militiæ angelorum, qui a Deo **489** ad Israelem tuendum curandumque constituti sunt : aut mandabit etiam Cyro ipsi, Cambysæ filio, qui suo tempore captivos dimisit. Non autem plane mandat, quasi sanctum et prophetam alloquatur : sed animo ejus voluntatem suam suggerens, et placitorum suorum ministrum reddens, quantumvis profanum et idololatram. Sicut enim mandavit ceto, ut deglutiret Jonam, et postea cucurbitæ, ut enasceretur, et obumbraret ipsum, præterea vermi, ut percuteret hederam [61] : sic dicimus et Cyro mandasse. Et hæc quidem historice.

Compellaverit autem his Deus et Pater Domini sui interfectricem Jerusalem, sive Judæorum regionem, « Usque ad fundamenta sua desertum iri, et ut smilacem implicatum comesum iri, et ut stipulam ariditatis plenam. Ex te egredietur cogitatio contra Dominum mala, contraria cogitans [62]. » Exusta est enim, et in solitudinem redacta, et velut stipula arida consumpta. Ausi sunt enim cogitare mala contra Dominum, atque insuper petulanter loqui. Nunc enim Samaritanum, et potatorem vini, et ex fornicatione natum dicebant : nunc, seducere turbas [63] ; tametsi idcirco a Deo et Patre missus erat, ut seductos a seductione liberaret, et quod a Deo resiluerat, rursum apportaret ; et per fidem adduceret, quod multimodis ab eo desciverat ; et quod in tenebris erat, illuminaret ; et quod contritum erat, alligaret. Et quoniam non totum Israel funditus delevit, reliquias,

οὕτω καὶ διαστέλλων, καὶ διατυπῶν καθ' ὃν ἂν βούλοιτο τρόπον αὐτός. Ταύτῃ τοι φησίν· Ὦ Νινευή, λοιπὸν πεπαύσῃ τοῦ εἶναι δεινή, παναλκής τε καὶ διαβόητος· « Ἡ γὰρ ἀκοή σου οὐκ ἀνακουσθήσεται ἔτι, » τουτέστιν, οὐκ ἔσται λοιπὸν πολὺς περὶ σοῦ παρὰ πᾶσι λόγος. Πάλαι μὲν γὰρ ἦσθα λαμπρὰ, καὶ ἐν γνώσεσι ἦ τῶν ἁπάντων, μεγάλα περὶ σοῦ διηγήματα. Νυνὶ δὲ οὐκ ἔτι, στυγνὸν δὲ ἐπὶ σοὶ κατηχήσουσι μέλος. Ἔσται δὲ οὐδὲν ἔτι παρὰ σοὶ τὸ μέγα, καὶ ἀξιάκουστον.

Καὶ νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμούς σου διαῤῥήξω, καὶ ἐντελεῖται ὑπὲρ σοῦ Κύριος.

ΙΒ'. Πάλιν ὁ λόγος τῷ προφήτῃ μετακεχώρηκεν ἐπὶ τὸν Ἰσραὴλ, ὅμοιον δὲ ὡς εἰ λέγῃ· Τῶν ἀρχαιοτέρων ἐκείνων τὴν μνήμην ἀποπεμψάμενος κατελεήσω λοιπὸν, ὡς δίκας ἐκτετικότα. Ὡς ἀποχρώντως κεκολασμένον ἀπαλλάξω τῆς ἐκείνων πλεονεξίας, ὑποκείσῃ δὲ οὐδαμῶς τῇ ῥάβδῳ τῶν Ἀσσυρίων, τουτέστι, τῷ σκήπτρῳ, ἤτοι τῇ βασιλείᾳ· σύμβολον γὰρ βασιλείας τὸ σκῆπτρον. Ἀνήσω δὲ καὶ δειμάτων, καὶ δουλείας δεσμῶν, ἀνακομιῶ δὲ αὖθις εἰς ἐλευθερίας εὐήμερον. Τό γε μὴν, « Ἐντελεῖται περὶ σοῦ Κύριος, » τοιῶσδε νοήσεις. Ἐντελεῖται γάρ τισιν, ἢ πνεύμασιν ἀγαθοῖς, καὶ ἀγγέλων στρατιαῖς, αἳ τετάχαται παρὰ Θεοῦ πρὸς τὸ προεστάναι τὸν Ἰσραὴλ· ἤγουν ἐντελεῖται καὶ αὐτῷ που τῷ τῆς αἰχμαλωσίας ἀνέντι κατὰ καιροὺς, Κῦρος δὲ ἦν ὁ Καμβύσου. Ἐντέλλεται δὲ οὐχὶ πάντως ὡς ἁγίῳ καὶ προφήτῃ προσλαλῶν, ἀλλ' εἰς νοῦν ἐνιεὶς τὸ ἴδιον θέλημα, καὶ ὑπουργὸν ἀποφήνας τῶν δοκούντων αὐτῷ, καίτοι βέβηλον ὄντα, καὶ εἰδωλολάτρην. Ὥσπερ γὰρ ἐνετείλατο τῷ κήτει καταπίνειν τὸν Ἰωνᾶν, καὶ τῇ κολοκύντῃ πάλιν, ἀναφύναι, καὶ ἐπισκιάζειν αὐτὸν, καὶ μὴν καὶ τῇ σκώληκι πατάξαι τὴν κολοκύντην· οὕτω φαμὲν ἐντετάλθαι καὶ Κύρῳ. Καὶ ταυτὶ μὲν ἱστορικῶς.

Ἐπιφωνήσειε δ' ἂν ὁ Θεὸς καὶ Πατὴρ κυριοκτόνῳ γεγενημένῃ τῇ Ἱερουσαλὴμ, ἤτοι τῇ τῶν Ἰουδαίων χώρᾳ, ὅτι « Ἕως θεμελίων αὐτῶν χερσωθήσεται, καὶ ὡς σμίλαξ περιπλεκομένη βρωθήσεται, καὶ ὡς καλάμη ξηρασίας μεστή. Ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ Κυρίου πονηρὰ βουλευόμενος ἐναντία. » Καταπέπρηται γὰρ, καὶ κεχέρσωται, καὶ ὡς καλάμη ξηρὰ δεδαπάνηται. Τετολμήκασι γὰρ λογίσασθαι πονηρὰ κατὰ τοῦ Κυρίου, καὶ μὴν καὶ ἀθύρῳ γλώττῃ χρήσασθαι. Ποτὲ μὲν Σαμαρείτην, καὶ κάτοινον, καὶ ἐκ πορνείας γεγενημένον ὠνόμαζον· ποτὲ δὲ καὶ ἔφασκον, ὅτι πλανᾷ τὸν ὄχλον. Καίτοι ταύτης ἕνεκα τῆς αἰτίας ἀπεσταλμένου παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, ἵνα τοῦ πλανᾶσθαι τὸ πλανώμενον ἀπαλλάξῃ καὶ προσκομίσῃ Θεῷ τὸ ἀποσκιρτῆσαν αὐτοῦ, καὶ προσάγῃ διὰ τῆς πίστεως τὸ πολυτρόπως ὠλισθηκὸς εἰς ἀπόστασιν, καὶ καταφωτίσῃ μὲν τὸ ἐν σκότει, καταδήσῃ δὲ τὸ συντετριμμένον. Ἐπειδὴ δὲ οὐκ εἰσάπαν ὠλόθρευσε τὸν Ἰσραὴλ,

[61] Jon. I, 4. [62] Nahum I, 8-11. [63] Joan. VIII, 48, Matth. XI, 19; Joan. VII, 12.

Digitized by Google

τετήρηται, ὡς ἔφην ἤδη πλειστάκις, αὐτῷ τὸ κατάλειμμα. Πεπιστεύκασι γὰρ καὶ Ἰουδαίων οὐκ εὐαρίθμητοι, καὶ τοῖς ἔθνεσιν ἀναμὶξ δοξολογοῦσι Χριστόν.

Ἀκουέτωσαν μὲν οἱ ἐκ τῆς κατὰ σάρκα περιτομῆς, « Ὅτι τὴν ῥάβδον αὐτοῦ συντρίψω ἀπὸ σοῦ, καὶ τοὺς δεσμούς σου διαρρήξω, καὶ ἐντελεῖται ὑπὲρ σοῦ Κύριος. » Ποίαν δὲ ἄρα φησὶ τὴν ῥάβδον, ἢ τίνας ὅλως δεσμούς, πῶς οὐκ ἀναγκαῖον εἰπεῖν; Ὑπέκειντο μὲν γὰρ οἷά τινι σκήπτρῳ, κατηχθημένοι τῇ τῶν Γραμματέων τε καὶ Φαρισαίων ἀπονοίᾳ τε καὶ ἀγριότητι, καὶ μονονουχὶ δεσμοῖς συνεχόμενοι τοῖς ἐκείνων ἐντάλμασιν, οὐ παρεδέχοντο τὴν πίστιν. Ἀλλ' ἐξῄρηται μὲν ἡ ῥάβδος, τουτέστιν, ἡ ἀρχή, διερράγη δὲ τὰ δεσμά, καὶ λοιπὸν ἐλευθέρῳ φρονήματι προσδεδραμήκασι τῷ Χριστῷ, μονονουχὶ προτροπάδην ἐπιφωνοῦντες ἀλλήλοις, κἀκεῖνο λέγοντες τὸ διὰ τῆς τοῦ Ψάλλοντος λύρας· « Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. »

Ἀκουέτωσαν δὲ πρὸς ἐκείνοις οὐδὲν ἧττον οἱ ἐξ ἐθνῶν· « Καὶ νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ, καὶ τοὺς δεσμούς σου διαρρήξω, καὶ ἐντελεῖται περὶ σοῦ Κύριος. » Πάλαι μὲν γὰρ τοῖς τοῦ διαβόλου σκήπτροις ὑπεζευγμένοι, καὶ τοῖς τῶν κοσμικῶν ἡδονῶν κατεσφιγμένοι δεσμοῖς προσεκύνουν τῇ κτίσει παρὰ τὸν κτίσαντα, οὐκ ἤδεσαν τὸν φύσει, καὶ ἀληθῶς [Θεὸν], καὶ κτηνῶν ἀλόγων ὀλίγα διενεγκόντες ταῖς ἡδοναῖς ἐδούλευον τῇ σαρκὶ, οἰκτρόν τε καὶ ἀλογώτατον διέζων βίον. Ἀλλ' ἠλευθέρωνται καὶ αὐτοὶ, Χριστοῦ τὴν ἀρχαίαν ἐκείνην ῥάβδον συντρίψαντος, καὶ διαρρηγνύντος τὰ δεσμὰ, καὶ ἁμαρτίας ἐξέλκοντος, καὶ μετατιθέντος ἐκ πλάνης εἰς ἐπίγνωσιν Θεοῦ, καὶ δικαιοῦντος τῇ πίστει, καὶ ἐντελλομένου λοιπὸν περὶ αὐτῶν, δῆλον δὲ ὅτι τοῖς ἁγίοις ἀγγέλοις. Γέγραπται γάρ· « Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐντελεῖται γὰρ τοῖς ἁγίοις ἀγγέλοις διαφυλάσσειν ἡμᾶς ἐν πάσαις ταῖς ὁδοῖς, καὶ λαμβάνειν ἐπὶ χειρῶν, μήποτε προσκόψωμεν πρὸς λίθον τὸν πόδα. » Καὶ ἀτρεκὲς, ὅτι « Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. »

Οὐ σπαρήσεται ἔτι ἐξ ὀνόματός σου.

ΙΓ'. Ὅμοιον ὡς εἰ λέγοι πάλιν, Οὐκ ἔσῃ διεσπαρμένος; εἰς πάντα τὰ ἔθνη, δορύληπτος, καὶ ἀλήτης, καὶ τῆς ἐνεγκούσης ὡς ἀποτάτω, καὶ παγχάλεπον ὑπομένων θητείαν, ἐν πόλεσι δυσμενῶν οἰκτρῶς, καὶ ἐλεεινῶς, καὶ ἀθλίως κατεσκεδασμένος. Σημειωτέον δὲ, ὅτι καὶ μετὰ ταύτας τοῦ προφήτου τὰς φωνὰς, ἦλω καὶ πεπόρευται πρὸς αἰχμαλωσίαν ὁ Ἰούδας, καὶ ὑπεδούλευκεν Ἀσσυρίοις. Ἐζεχίου μὲν γὰρ τῆς Ἱερουσαλὴμ βασιλεύοντος, κατεστράτευσε τῆς Σαμαρείας ὁ Σεναχηρεὶμ, καὶ τὰς ἐν αὐτῷ πόλεις καταδηώσας, προσεμπρήσας δὲ καὶ ἑτέρας, ἀπέστειλεν ἐκ Λαχὶς τὸν Ῥαψάκην, ὃς καὶ ἄγροικον ἠφίει κατὰ Θεοῦ τὴν γλῶτταν. Εἶτα πεπτώκασιν ἀγγέλου χειρὶ τῆς τῶν Ἀσσυρίων στρατιᾶς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδες. Μετὰ δέ γε τὴν Ἐζεχίου βασιλείαν χρόνου μεταξὺ διαγεγονότος οὐ μικροῦ, Σεδεκίου βεβασιλευκότος, ὃς

A ut toties dixi, conservavit [64]. Crediderunt enim et de Judæis non pauci, et gentibus admisti, Christum laudibus prosequuntur.

Audiant enim qui sunt ex circumcisione secundum carnem : « Quia virgam ejus confringam a te, et vincula tua dirumpam, et mandabit super te Dominus. » Quam porro virgam, aut quæ tandem vincula dicat, quomodo taceamus ? Veluti sceptro cuidam subjacebant, Scribarum et Pharisæorum dementia et importunitate onerati, illorumque mandatis propemodum ut vinculis constricti, fidem non recipiebant. Verum ablata est virga, hoc est, imperium; dirupta sunt vincula, ac deinceps libera mente ac sensu ad Christum accurrerunt, tantum non celerrime fugientes, et inter se accinentes illud B Psallentis lyræ : 490 « Dirumpamus vincula eorum, et projiciamus a nobis jugum ipsorum [65]. »

Audiant præter illos nihilominus qui ex gentibus conversi sunt : « Et nunc conteram virgam ejus a te, et vincula tua dirumpam, et mandabit super te Dominus. » Olim enim diaboli sceptris subjugati, mundanarumque voluptatum laqueis irretiti, adorabant potius creaturam quam creatorem, Deum natura et verum nesciebant, parumque a brutis differentes, carnis voluptatibus serviebant, miseramque, et a ratione alienissimam vitam exigebant [66]. Cæterum ipsi quoque in libertatem vindicati sunt, postquam Christus antiquam illam C virgam contrivit, et vincula dirupit, et a peccato eos extraxit, et ab errore ad agnitionem Dei transtulit, et fide justificavit, et de reliquo super ipsis mandavit, sine controversia sanctis angelis. Scriptum est enim : « Qui habitat in adjutorio Altissimi, in protectione Dei cœli commorabitur. Mandabit enim sanctis angelis, ut custodiant nos in omnibus viis nostris, et manibus portent, ne forte offendamus ad lapidem pedes [67]. » Et certum est illud, « Immittet angelus Domini in circuitu timentium eum, et eripiet eos [68]. »

VERS. 14. *Non seminabitur amplius ex nomine tuo.*

XIII. Rursus idem pene est ac si dicat, Non eris dispersus in omnes gentes, captivus, et erro, et a patria quam semotissimus, et durissimam sustinens D servitutem, in urbes hostium misere, et miserabiliter, et infeliciter dissipatus. Sciendum porro etiam post hasce voces prophetæ captum esse Judam, et ivisse in captivitatem, et serviisse Assyriis. Ezechia enim Hierosolymis regnante, Senacherib in Samariam copias adduxit, depopulatusque urbes ejus, et quibusdam insuper incensis, misit ex Lachis Rabsacen, qui impudenter contra Deum linguam solvit. Deinde manu angeli de expeditione Assyriorum centum octoginta quinque millia ceciderunt. Post Ezechiæ regnum non modico intervallo temporis, Sedecia Josiæ filio regnante, Nabuchodonosor totam Judæam prius deprædatus, Hierosolymam

[64] Isa. x, 22; Rom. ix, 27. [65] Psal. II, 3. [66] Rom. I, 19 seqq. [67] Psal. xc, 1-11. [68] Psal. xxxiii, 8.

Digitized by Google

obsidione cinxit, vique et armis occupatam civitatem sanctam, et templo illo celebri exusto, Judam transtulit, Samaritanisque per Senacherib abductis addidit [666]. **491** Num igitur fallit promissa universorum Deus, per prophetam dicens his, qui sunt de sanguine Israel: « Non seminabitur ex nomine tuo amplius? » Quantæ tandem imperitiæ, imo vero summæ improbitatis foret, existimare Deum mentiri! multum enim abest, ut aliquando Deus falsum loquatur. Sic autem vera prolocutum intelligamus licet. Cum ante meminisset dimissionis quæ facta est temporibus Cyri, qui Babyloniorum imperium evertit, subdidit imposterum nullam amplius e domo Israel captivitatem futuram. Revocati enim in regionem suam, reversique in Judæam, tuto ibidem habitarunt. Et vexati sunt quidem armis ab Antiocho, cognomento Illustri [666a] et post illum a quibusdam aliis; verumtamen in captivitatem non abierunt, sed, ut dicebam, patriam suam secure incoluerunt. Hunc igitur in modum de Israele secundum carnem intelligi possit hoc, « Non seminabitur ex nomine tuo amplius. »

A ἦν υἱὸς Ἰωσίου, πεπολιόρκηκε τὴν Ἱερουσαλὴμ, προκαταδηώσας ὅλην τὴν Ἰουδαίαν ὁ Ναβουχοδονόσορ, εἶτα κατὰ κράτος ἑλὼν τὴν ἁγίαν πόλιν, κατεμπρήσας δὲ καὶ τὸν διαβόητον ἐκεῖνον ναὸν, ἀπῴκισε τὸν Ἰούδαν, καὶ προστέθεικε τοῖς ἐκ Σαμαρείας διὰ τοῦ Σενχηρεὶμ ἀπενηνεγμένοις. Ἆρ' οὖν διαψεύδεται τὴν ὑπόσχεσιν ὁ τῶν ὅλων Θεὸς, διὰ τοῦ προφήτου λέγων τοῖς ἐξ αἵματος Ἰσραήλ· « Οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι; » Εἶτα πῶς οὐκ ἀμαθὲς, μᾶλλον δὲ καὶ εἰς λῆξιν ἂν ἥκοι τοῦ παντὸς ἤδη κακοῦ, τὸ ψευδοπεῖν οἴεσθαι τὸν Θεόν; ἁμαρτοεπὲς γὰρ οὔτι που τὸ θεῖον, πολλοῦ γε καὶ δεῖ. Ἀληθεύσει δὲ οὕτως. Μνημονεύσας γὰρ πρότερον τῆς ἀφέσεως τῆς γεγενημένης κατὰ καιροὺς Κύρου τοῦ (1) ἀνῃρηκότος τὸ κράτος, τότε φησὶ, ὡς οὐκ ἂν ἄλλη τις αἰχμαλωσία γένοιτο μετὰ B τοῦτο ἔτι, καὶ ἐξ οἴκου Ἰσραήλ. Ἀνακεκλημένοι γὰρ εἰς τὴν ἑαυτῶν, καὶ ὑπονοστήσαντες εἰς τὴν Ἰουδαίαν, κατῳκήκασιν ἀσφαλῶς. Καὶ κεκίνηται μὲν πόλεμα κατ' αὐτῶν ὑπό τε Ἀντιόχου τοῦ ἐπίκλην Ἐπιφανοῦς, καὶ ἑτέρων δὲ μετ' ἐκεῖνόν τινων· πλὴν οὐκ ἀπῴχοντο πρὸς αἰχμαλωσίαν· ἀλλ' ὡς ἔφην, κατῳκήκασι τὴν ἐνεγκοῦσαν ἀσφαλῶς. Οὕτω μὲν οὖν ἐπὶ τοῦ κατὰ σάρκα Ἰσραὴλ νοηθείη ἂν τὸ, « Οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι. »

Audiet autem, et meritissimo etiam intellectualis Israel, id est, qui oculis animi vident Deum, et gloriam Unigeniti obstupescunt: « Non seminabitur ex nomine tuo amplius. » Ante fidem namque juris inimicorum fuerunt, cervicem cordis Satanæ, et una malignis ejus potestatibus subjugarunt, et C turpissimo carnis amore illigati vixerunt. Sed deinceps veterum dominorum prærogativa et auctoritas sublata est, et cecidit cum illis peccatum, turbulentarum motionum sublata vis. Solvit enim nos Christus, et quanquam in multa et vana pravarum affectionum genera, et in deorum innumerabilium cultus disseminatos, per fidem ad sanctimoniam revertit. Sed non amplius disseminabimur, omninoque in Christo manebimus, unam habentes fidem, unum baptisma, et unum Dominum Salvatorem ac Redemptorem, et per ipsum Deo et Patri ad unionem spiritualem copulati.

Ἀκούσεται δὲ, καὶ μάλα εἰκότως, ὁ νοητὸς Ἰσραὴλ, τουτέστιν, οἱ τῆς διανοίας ὄμμασιν ὁρῶντες Θεὸν, καὶ τὴν δόξαν τοῦ Μονογενοῦς κατατεθηπότες, « Οὐ σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι. » Γεγόνασι μὲν γὰρ πρὸ τῆς πίστεως ὑπὸ χεῖρας ἐχθρῶν, ὑποζύξαντες τὸν τῆς διανοίας αὐχένα τῷ Σατανᾷ, καὶ ταῖς σὺν αὐτῷ δυνάμεσι πονηραῖς, καὶ τῆς κακίστης φιλοσαρκίας ἐνδεδεμένοι. Ἀλλ' ἐξῄρηται λοιπὸν ἡ πλεονεξία τῶν πάλαι κεκρατηκότων, κατεσείσθη, καὶ πέπτωκε σὺν ἐκείνοις ἡ ἁμαρτία, ἐξῄρηται τῶν παθῶν ἡ δύναμις. Ἀνῆκε γὰρ ἡμᾶς ὁ Χριστὸς, ἀνεκόμισε διὰ τῆς πίστεως εἰς ἁγιασμὸν, καίτοι πολυτρόπως κατεσπαρμένους εἰς πολυειδῆ, καὶ ἐξίτηλα πάθη, καὶ εἰς ἀμέτρητον πολυθεΐαν. Ἀλλ' οὐκ ἔτι διασπαρησόμεθα, μενοῦμεν δὲ πάντως ἐν Χριστῷ, μίαν ἔχοντες πίστιν, ἓν βάπτισμα, καὶ ἕνα Κύριον Σωτῆρά τε καὶ Λυτρωτὴν, καὶ δι' αὐτοῦ τῷ Θεῷ καὶ Πατρὶ πρὸς ἑνότητα τὴν πνευματικὴν συνδούμενοι.

Ex domo Dei tui disperdam sculptilia, et conflatilia ponam sepulcrum tuum.

XIV. Cum Israel non mediocriter Deum offendisset, defectione ab eo facta, et impie deserto Deo Salvatore suo, idolorum cultibus se dedidisset, ideo captivus ad hostes abiit, et ita Niniven abductus est. Relicti autem Hierosolymis, nihilominus ad Deum amandum segnes erant, et ad religionem titubantes, et quæ Deo placerent, non curantes, **492** et servitutis ejus jugum excutientes, insuper Baal, et Astartæ, et militiæ cœli sacrificantes. Postquam autem per sanctos prophetas minatus est Deus, dilucideque dixit, Jerusalem perituram, et incolas ejus omnino captivos simul cum aliis in

Ἐξ οἴκου Θεοῦ σου ἐξολοθρεύσω τὰ γλυπτὰ, καὶ χωνευτὰ θήσομαι ταφὴν σου.

ΙΔ'. Προσκέκρουκε μὲν οὐ μετρίως ὁ Ἰσραὴλ, ἀπονενευκὼς εἰς ἀπόστασιν, καὶ ἀποφοιτήσας μὲν ἀνοσίως τοῦ σεσωκότος Θεοῦ, προσκείμενος δὲ ταῖς τῶν εἰδώλων λατρείαις, ταύτῃ τοι καὶ γεγονὼς αἰχμάλωτος πεπόρευται πρὸς ἐχθροὺς, ἀπεκομίσθη τε οὕτως εἰς τὴν Νινευή. Οἱ δὲ δὴ περιλειφθέντες ἐν τοῖς Ἱεροσολύμοις, οὐδὲν ἧττον ἦσαν ῥᾴθυμοι πρὸς φιλοθεΐαν, καὶ ἀνασφαλεῖς εἰς εὐλάβειαν, καὶ ἀποσπουδάζοντες μὲν τὸ ἀνδάνον Θεῷ, καὶ τῆς ὑπ' αὐτῷ δουλείας ἀποσειόμενοι τὸν ζυγόν· θύοντες δὲ τῷ Βάαλ ἔτι, καὶ τῇ Ἀστάρτῃ, καὶ τῇ στρατιᾷ τοῦ οὐρανοῦ. Ἐπειδὴ δὲ διὰ προφητῶν ἁγίων γέγονεν ἀπειλὴ Θεοῦ, λέγοντος

[666] IV Reg. XVIII, 1 seqq.; XIX, 1 seqq. [666a] I Mach. I, 11.

(1) Βαβυλωνίων, aut Ἀσσυρίων puto desiderari.

Digitized by Google

ἐναργῶς, ὡς διολεῖται μὲν Ἱερουσαλὴμ, βαδιοῦνται δὲ τοῖς ἄλλοις ὁμοῦ πάντη τε καὶ πάντως αἰχμάλωτοι, καὶ οἱ κατοικοῦντες αὐτὴν εἰς χώραν ἀλλοτρίαν, ἐξένηψαν κατὰ καιροὺς τῶν ἐν αὐτῇ βεβασιλευκότων τινές, καὶ καθεῖλον τεμένη, βωμοὺς ἀνέτρεψαν, καὶ πυρὶ διεδαπανήκασι τὰ γλυπτά. Μάλιστα δὲ τῶν ἄλλων διέπρεψεν ἐν τούτοις Ἰωσίας, περὶ οὗ λελάληκε καὶ ἄνθρωπος τοῦ Θεοῦ θύοντί ποτε τῷ Ἱεροβοὰμ τῷ τοῦ Ναβάτ, ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. Ὁ μὲν γὰρ εἱστήκει ταῖς δαμάλεσι ταῖς χρυσαῖς ἀνοσίας θυσίας. Ὁ δὲ πρὸς τὸ θυσιαστήριον ἐν λόγοις Κυρίου φησί· « Θυσιαστήριον, τάδε λέγει Κύριος· Ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαβὶδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν τοὺς ἐπιθύοντας ἐπὶ σὲ, καὶ ὀστᾶ ἀνθρώπων καύσει ἐπὶ σέ. » Ὅτι δὲ εἰς πέρας ἐκβέβηκε τὸ προηγγελμένον, μεμαρτύρηκεν οὕτως τὸ Γράμμα τὸ ἱερόν. Γέγραπται δὲ οὕτως ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν περὶ Ἰωσίου· « Καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκίᾳ τῷ ἱερεῖ τῷ μεγάλῳ, καὶ τοῖς ἱερεῦσι τῆς δευτερώσεως, καὶ τοῖς φυλάσσουσι τὸν σταθμὸν, τοῦ ἐξαγαγεῖν ἐκ τοῦ οἴκου Κυρίου πάντα τὰ σκεύη τὰ πεποιημένα τῷ Βάαλ, καὶ τῷ ἄλσει, καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ, καὶ κατέκαυσεν αὐτὰ ἔξω Ἱερουσαλὴμ ἐν Σαδημὼθ κέδρων, καὶ ἔλαβε τὸν χοῦν αὐτῶν εἰς Βαιθήλ, καὶ κατέκαυσε τοὺς χωμαρεὶμ, οὓς ἔδωκαν βασιλεῖς Ἰούδα, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς, καὶ ἐν ταῖς πόλεσιν Ἰούδα, καὶ ἐν τοῖς περικύκλῳ Ἱερουσαλὴμ, καὶ τοὺς θυμιῶντας τῷ Βάαλ, καὶ τῷ ἄλσει, καὶ τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ, καὶ τοῖς μαζουρὼθ, καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ. Καὶ ἐξήνεγκε τὸ ἄλσος ἐξ οἴκου Κυρίου ἔξωθεν Ἱερουσαλὴμ εἰς τὸν χειμάῤῥουν τῶν κέδρων, καὶ κατέκαυσεν αὐτὸ ἐν τῷ χειμάῤῥῳ κέδρων, καὶ ἐλέπτυνεν εἰς χοῦν, καὶ ἔῤῥιψε τὸν χοῦν αὐτοῦ εἰς τὸν τάφον τῶν υἱῶν τοῦ λαοῦ. » Συνίης οὖν, ὅπως τισὶ τέθεινται ταφή τις ὥσπερ τὰ χωνευτὰ, καὶ ἐξωλοθρεύθησαν ἐξ οἴκου Κυρίου τὰ γλυπτά. Πιστώσεται δὲ τὸν ἐπὶ τῷδε λόγον καὶ ἑτέρα γραφή. Ἔφη γὰρ οὕτως ἐν τῇ δευτέρᾳ τῶν Παραλειπομένων· « Ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ, » δῆλον δὲ ὅτι τῆς Ἰωσίου, « καὶ αὐτὸς ἔτι παιδάριον ἤρξατο τοῦ ζητῆσαι Κύριον τὸν Θεὸν τοῦ πατρὸς αὐτοῦ. Καὶ ἐν τῷ δωδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἤρξατο τοῦ καθαρίσαι τὸν Ἰούδαν, καὶ τὴν Ἱερουσαλὴμ ἀπὸ τῶν ὑψηλῶν, καὶ τῶν ἀλσέων, καὶ ἀπὸ τῶν γλυπτῶν, καὶ χωνευτῶν, καὶ κατέσκαψε κατὰ πρόσωπον αὐτοῦ τὰ θυσιαστήρια τοῦ Βάαλ, καὶ τὰ ὑψηλὰ τὰ ἐπ' αὐτῶν. Καὶ ἔκοψε τὰ ἄλση, καὶ τὰ γλυπτὰ, καὶ τὰ χωνευτὰ συνέτριψε, καὶ ἐλέπτυνε, καὶ ἔῤῥιψεν ἐπὶ πρόσωπον τῶν μνημάτων τῶν θυσιαζόντων αὐτοῖς. Καὶ ὀστᾶ ἱερέων κατέκαυσεν ἐπὶ τὸ θυσιαστήριον. Καὶ ἐκαθάρισε τὸν Ἰούδαν, καὶ τὴν Ἱερουσαλήμ. » Οὐκοῦν διολώλασιν ἐπ' αὐτοῖς τεμένεσιν, ὡς ἔφην, καὶ βωμοῖς, καὶ τοῖς χωνευτοῖς μονονουχὶ συνεθάπτοντο, κατὰ τὸν τῆς προφητείας λόγον. Ἰστέον δὲ, ὅτι κατά γε τοὺς χρόνους Ἐζεχίου προεφήτευσεν ὁ Ναούμ. Εἶτα γέγονεν ἐκ μὲν Ἐζεχίου Μανασσῆς, ὃς βεβασίλευκεν ἔτη πέντε καὶ πεντήκοντα. Μανασσῆ δὲ υἱὸς Ἀμών, ὃς ἔτη μόλις διεβίω δύο. Καὶ μετ' ἐκεῖνον Ἰωσίας, ἐφ' οὗ τὰ τῆς προφητείας πεπλήρωται, καθὰ δέδειχεν ἡμῖν ἀρτίως ὁ λόγος.

peregrinam regionem abituros, quidam in ea regnantes quodam tempore oculos aperuerunt, et delubra disturbarunt, aras everterunt, sculptilia igni consumpserunt. In his præcipue claruit Josias, de quo etiam homo Dei locutus est Jeroboam filio Nabat forte sacrificanti, qui peccare fecit Israel. Ille enim vitulis aureis scelerata sacrificia offerre instituit. Compellavit autem altare his vocibus in sermone Domini : « Altare, hæc dicit Dominus: Ecce filius nascitur domui David, Josias nomen ei, et immolabit super te sacerdotes excelsorum, sacrificantes super te et, ossa hominum incendet super te [67]. » Cui prædictioni eventum respondisse, sacræ Litteræ in hunc modum testantur. Sic namque in quarto Regum de Josia exstat : « Et præcepit rex Chelciæ sacerdoti magno, et sacerdotibus secundi ordinis, et custodientibus limen, ut educerent de templo Domini omnia vasa quæ fecerant Baal, et luco et universæ militiæ cœli, et combussit ea foris Jerusalem in Sademoth cedron et tulit pulverem eorum in Bethel, et combussit sacerdotes, quos posuerunt reges Juda, ut adolerent incensum in excelsis, et in civitatibus Juda, et in circuitu Jerusalem, et adolentes incensum Baal, et luco, soli et lunæ et planetis, et omni militiæ cœli. Et extulit lucum de domo Domini foras Jerusalem in torrentem Cedron, et combussit eum in torrente Cedron, et comminuit in pulverem, et projecit pulverem ejus in sepulchra filiorum populi [68]. » Perspicis ergo, quomodo quibusdam sepulchri instar posita fuerint conflatilia, et de domo Domini exterminata sculptilia. Fidem porro huic sermoni etiam alia Scriptura faciet. Sic enim ait in secundo Paralipomenon : « In octavo anno regni sui, » puta Josiæ, « et ipse adhuc puerulus incepit quærere Dominum Deum David patris sui. Et in duodecimo anno regni sui incepit mundare Judam, et Jerusalem ab excelsis, et lucis, et altaribus, et sculptilibus, et conflatilibus, et destruxit quæ ante faciem ejus altaria Baal, et excelsa **493** super ipsis. Et succidit lucos, et sculptilia et conflatilia contrivit, et comminuit, et projecit super faciem monimentorum eorum, qui immolabant eis. Et ossa sacerdotum combussit in altaribus eorum. Et mundavit Judam, et Jerusalem [69]. » Itaque perierunt in ipsis templis, ut dixi, et altaribus, et cum conflatilibus tantum non sepulti sunt, juxta verba prophetæ. Sciendum autem, temporibus Ezechiæ prophetasse Nahum. Deinde natus est ex Ezechia quidem Manasses, qui annis quinque et quinquaginta regno præfuit. Ex Manasse autem Amon, qui vix duos annos regnum tenuit [70]. Et post eum Josias, sub quo prophetiæ verba re perfecta sunt, ut modo docuimus.

[67] III Reg. XIII, 2. [68] IV Reg. XXIII, 4-6. [69] II Paral. XXXIV, 3-5. [70] IV Reg. XX, 21.

Digitized by Google

VERS. 13. *Quia veloces ecce super montes pedes evangelizantis et annuntiantis pacem.*

XV. Manebant quidem captivi in Babylone filii Israel, spe tamen sustentabantur, se aliquando reversuros, et in antiquam atque avitam nobilitatem non ita multo post redituros, cum id sancti prophetæ, ut Deo per illos loquente, spopondissent. Erat autem speratum tempus idem, quod regni Cyri, qui Niniven potentia et armis subacturus erat. Quod item Isaias prænuntiaverat, his verbis : « Sic dicit Dominus christo meo Cyro, cujus apprehendi dexteram, ut subjiciam ante eum gentes et fortitudinem regum dirumpam. Aperiam ante eum januas, et urbes non claudentur : ego ante te ibo, et montes complanabo. Portas æreas conteram, et vectes ferreos confringam [71]. » Et infra rursum : « Ilic ædificabit urbem Jerusalem, et captivitatem populi mei convertet, non cum pretio, neque cum muneribus, dixit Dominus Deus Sabaoth [72]. » Veniet igitur Israelitis nuntius pacis, inquit, Cyri expeditionem significans, quando et captivitatis jugum excusserunt, et dominantium virgam contriverunt, et inconsuetæ servitutis vincula diruperunt, et recepta patria salutem receperunt.

Quod si cui libuerit, etiam sancti Baptistæ concionibus propositorum verborum sententiam non male accommodaverit. Commoratus est enim in solitudine, et quasi in montibus clamans evangelizavit pacem, hoc est, Christum. **494** Speciosi igitur, et veloces pedes dicentis : « Præparate viam Domini, rectas facite semitas ejus [73]. »

Celebra, Juda, festivitates tuas, redde vota tua, quia non apponent ultra, ut pertranseant per te in vetustatem.

XVI. Cum mandasset lex, ne res divina conficeretur extra sacrum divinumque atrium, sed in loco, inquit, « quem elegerit Deus tuus, ut invocetur ibi nomen ejus [74], » in peregrino solo degentes Israelitæ, Persarumque et Medorum terras habitantes, legibus suis solemnia non exercebant, et otium in illis agitabant, non dies festos consuetos exigentes, non sacrificia offerentes, non primitias, non munera gratæ mentis indicia juxta præscriptum legis, non agnum cædentes mense novo : quin etiam ad solas fortasse laudes Deo dicendas pigritantes. Et hoc esse dicimus, quod divinus David, in persona populi apud Babylonem constituti, canit : « Super flumen Babylonis illic sedimus, et flevimus, dum recordaremur tui, Sion. In medio in salicibus ejus suspendimus organa nostra [75]. » Et insuper : « Quomodo cantabimus canticum Domini in terra aliena [76] ? » Cum enim a tellure patria, a templo, et tabernaculo procul distarent, ut dixi, sacrumque chorum non

Ὅτι ταχεῖς ἰδοὺ ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγγελιζομένου, καὶ ἀπαγγέλλοντος εἰρήνην.

ΙΕ'. Διέτριβον μὲν ἐν Βαβυλῶνι γεγονότες αἰχμάλωτοι οἱ υἱοὶ Ἰσραὴλ, ἦσάν γε μὴν ἐν ἐλπίσι τοῦ καὶ αὖθις ἀνακομισθήσεσθαι κατὰ καιρούς, καὶ εἰς τὴν ἄνωθεν αὐτῶν ἐκ πατέρων εὐγένειαν ἀναφοιτήσειν οὐκ εἰς μακράν, τοῦτο προφητῶν ἁγίων ὡς Θεοῦ λαλοῦντος ἐπηγγελμένων. Ἦν δὲ αὐτὸς ὁ τῆς ἐλπίδος καιρὸς ὁ τῆς Κύρου βασιλείας μέλλοντος αἱρήσειν καταχράτος τὴν Νινευή, καὶ τοῦτο πάλιν αὐτοῖς Ἡσαΐου προηγγελκότος. Ἔφη γὰρ οὕτως· « Λέγει Κύριος ὁ Θεὸς τῷ χριστῷ μου Κύρῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἐθνη, καὶ ἰσχὺν βασιλέων διαρρήξω. Ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται· ἐγὼ δὲ ἔμπροσθέν σου πορεύσομαι, καὶ ὄρη ὁμαλῶ. Θύρας χαλκοῦς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω. » Καὶ μεθ' ἕτερα πάλιν· « Οὗτος οἰκοδομήσει τὴν πόλιν Ἱερουσαλὴμ, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπε Κύριος Σαβαώθ. » Ἦξει τοίνυν, φησὶ, ἄγγελος τοῖς ἐξ Ἰσραὴλ εἰρήνης, τὴν Κύρου σημαίνων ἐκστρατείαν, ὅτε καὶ τὸν τῆς αἰχμαλωσίας ἀπεσείοντο ζυγὸν, καὶ τὴν τῶν κρατούντων ῥάβδον συνέτριψαν, καὶ τῆς ἀσυνήθους δουλείας ἀπέῤῥηξαν τὰ δεσμὰ, οἰκαδε πάλιν γεγονότες. ἐσώζοντο.

Εἰ δὲ δή τις ἕλοιτο, τὴν δύναμιν τῶν προκειμένων τοῖς τοῦ ἁγίου Βαπτιστοῦ κηρύγμασιν ἐφαρμόζειν, πάλιν δράσειεν ἂν ὀρθῶς. Ἐποιεῖτο γὰρ ἐν ἐρήμῳ τὰς διατριβὰς, καὶ οἷον ἐν ὄρεσι διακεκραγὼς εὐηγγελίζετο τὴν εἰρήνην, τουτέστι Χριστόν. Ὡραῖοι δὴ οὖν οἱ πόδες, καὶ ταχεῖς τοῦ λέγοντος· « Ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. »

Ἑόρταζε, Ἰούδα, τὰς ἑορτάς σου, ἀπόδος τὰς εὐχάς σου, διότι οὐ μὴ προσθήσωσιν ἔτι τοῦ διελθεῖν διὰ σοῦ εἰς παλαίωσιν

ΙϚ'. Προστεταχότος τοῦ νόμου, μὴ δεῖν ἔξω θύειν τῆς ἱερᾶς τε καὶ θείας αὐλῆς, ἀλλ' εἰς τὸν τόπον, « ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ, » ἐν ἀλλοδαπῇ γεγονότες οἱ ἐξ Ἰσραὴλ, καὶ τὴν Περσῶν τε καὶ Μήδων χώραν οἰκοῦντες, ἄπρακτοί που πάντως περὶ τὰ σφισι νενομισμένα, καὶ ἀνενέργητοι διετέλουν, οὐ τὰς ἐξ ἔθους πληροῦντες ἑορτὰς, οὐ θυσίας προσάγοντες, οὐκ ἀπαρχὰς, οὐ χαριστήρια κατὰ τὸν νόμον, οὐ τὸν ἀμνὸν σφάζοντες ἐν μηνὶ τῷ νέῳ· τάχα που καὶ πρὸς μόνας ὀκνοῦντες δοξολογίας. Καὶ τοῦτό φαμεν τοῦ θεσπεσίου Δαβὶδ ὡς ἐκ προσώπου λέγοντος τοῦ ἐν Βαβυλῶνι λαοῦ· « Ἐπὶ τὸν ποταμὸν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν, ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. » Καὶ πρὸς τούτοις ἔτι· « Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; » Ἔξω γὰρ, ὡς ἔφην, τῆς ἰδίας ἄντων γῆς γεγονόσιν αὐτοῖς, ἔξω ναοῦ, καὶ σκηνῆς, καὶ τὸν ἱερὸν οὐκ ἔχουσι χῶρον, ἀπρακτεῖν ἦν ἀνάγκη περὶ

[71] Isa. XLV, 1, 2. [72] Ibid. 13. [73] Isa LII, 7; XL, 3; Luc. III, 4; Joan. I, 23. [74] Deut. XII, 21. [75] Psal. CXXXVI, 1, 2. [76] ibid. 4

Digitized by Google

τὰ ἐκ νόμου. Ἐπειδὴ δὲ ἀνεδείχθη λοιπὸν ὁ τοῦ ἀνεῖσθαι καιρὸς, ἐπιφθέγγεταί τις εἰκότως αὐτοῖς ἢ ὁ τῆς εἰρήνης ἄγγελος, οὗ καὶ « ταχεῖς οἱ πόδες, » ἤγουν αὐτὸς ὁ προφήτης, ὅτι μέτεστιν αὐτοῖς πληροῦν ἑορτὰς, ἀνάπτειν χαριστηρίους ὠδὰς, καὶ περαίνειν εὖ μάλα τὰ ἐν εὐχῇ, ἤγουν ὑποσχέσει. Προσεπαγγέλλεται δὲ καὶ τὴν ὅσον οὔπω τῶν ἐχθρῶν ἐσομένην ἀπώλειαν. Οὐ γὰρ μὴ « προσθῶσι, φησὶ, τοῦ διελθεῖν εἰς παλαίωσιν, » τουτέστιν, οὐκ εἰς μακροὺς ἔτι χρόνους μενοῦσι, οὔτε μὴν παλαιουμένην, ἤγουν ἀτελεύτητον ἕξουσι τὴν εὐημερίαν. Πεπαύσεται γὰρ καὶ καταλήξει συστελλομένη.

Ἀκουέτω δὲ πρεπωδέστερον καὶ ὁ νοητὸς Ἰουδαῖος τῶν τοιῶνδε φωνῶν. « Οὐ γὰρ ὁ ἐν τῷ φανερῷ Ἰουδαῖός ἐστιν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, καὶ οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων, ἀλλ' ἐκ τοῦ Θεοῦ. » Ἑορτάσει μὲν οὖν ὁ τοιόσδε λαμπρῶς, ἐρηρεισμένην ἔχων τὴν πίστιν, δῆλον δὲ ὅτι τὴν εἰς Χριστὸν, ἡγιασμένος τῷ πνεύματι, τῇ τῆς υἱοθεσίας διαπρέπων χάριτι. Προσοίσει δὲ τῷ Θεῷ θυσίας πνευματικὰς, ἑαυτὸν ἀνατιθεὶς εἰς ὀσμὴν εὐωδίας, καὶ πᾶν εἶδος συνεπιτηδεύων ἀρετῆς, σωφροσύνην, ἐγκράτειαν, ἀνδρείαν, ὑπομονὴν, ἀγάπην, ἐλπίδα, φιλοπτωχείαν, χρηστότητα, καὶ μακροθυμίαν· « Τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται Θεός. » Ἴστω γε μὴν ὁ νοητὸς Ἰούδας περὶ παντὸς ἐχθροῦ καὶ τῶν πάλαι κεκρατηκότων, ὅτι « Οὐ μὴ προσθήσωσι ἔτι τοῦ διελθεῖν εἰς παλαίωσιν, » τουτέστιν, ἐκ μέσου γενήσονται, πεμπόμενοι δηλονότι πρὸς κόλασιν τὴν ἀμήρυτον. Ὃ δὴ καὶ πεπλήρωκεν ὁ Χριστὸς, ἐπιτάσσων τοῖς ἀκαθάρτοις πνεύμασιν εἰς τὴν ἄβυσσον ἀπελθεῖν, καὶ δοὺς τοῖς αὐτὸν ἀγαπῶσι τῶν ἐχθρῶν κατεξανίστασθαι, καὶ κατὰ παθῶν ἀνδρίζεσθαι καὶ ἁμαρτίας καθελεῖν, « καὶ ἐπάνω ὄφεων, καὶ σκορπίων πατεῖν, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. »

A haberent, necesse erat illos in iis quæ lege præcipiebantur feriari. Ubi autem postmodum tempus dimissionis advenit, merito quis illis succlamat, aut pacis nuntius, cujus et « veloces pedes [77]; » aut ipse propheta, licere illis celebrare festivitates, cantica gratiarum actionis offerre, et quæ in votis habeant, seu quæ promiserint, re præstare numeris omnibus. Ac mox etiam hostes perituros promittit. Non enim « apponent, inquit, ut pertranseant in vetustatem : » hoc est, non in longum tempus amplius manebunt, neque inveterascentem, seu nunquam desinentem felicitatem obtinebunt. Cessabit enim brevi, et contracta evanescet.

B Audiat autem, et convenientius Judæus, qui animo concipitur, voces hujuscemodi. « Non enim qui in manifesto Judæus est, nec quæ in manifesto est carnis circumcisio : sed qui in abscondito, Judæus, et circumcisio cordis in spiritu, et non in littera, cujus laus non ex hominibus, sed ex Deo [78]. » Celebrabit igitur talis festivitates præclare, stabilem fidem habens, in Christo utique sanctificatus in spiritu, gratia adoptionis filiorum excellens [79]. Offeret autem Deo hostias spirituales, **495** seipsum consecrans in odorem suavitatis, et omne genus virtutis simul excolens, frugalitatem, continentiam, fortitudinem, patientiam, charitatem, spem, amorem in pauperes, benignitatem et longanimitatem : « Talibus enim hostiis promeretur Deus [80]. » Intelligat insuper Judas spiritualis de omni inimico, et qui olim in ipsum dominati sunt : « Non apponent amplius, ut pertranseant in vetustatem [81]; » hoc est, de medio tollentur, missi videlicet in supplicium æternum. Quod etiam præstitit Christus, jubens spiritus immundos in abyssum discedere [82], et donans se diligentibus contra hostes insurgere, passionesque viriliter domare, et peccata destruere, « et supra serpentes ac scorpiones, et supra omnem virtutem inimici ambulare [83]. »

C

ΚΕΦΑΛ. Β'.

Συντετέλεσται, ἐξῆρται, ἀνέβη ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, ἐξαιρούμενος ἐκ θλίψεως.

ΙΖ'. Ὡς ἀραρότως ἤδη, καὶ πάντη τε καὶ πάντως συμβησομένου τοῦ δεῖν ἀπολέσθαι τὴν Νινευὴ, συντετελέσθαι φησὶν αὐτὴν, τὸ οἷον ἐλθεῖν εἰς συντέλειαν διὰ τούτου δηλῶν. Καὶ μὴν, καὶ ἐξῆρθαι, τουτέστιν, ἐκκεκόφθαι τε εἰσάπαν, καὶ ἀνῃρῆσθαι παντελῶς. Εὖ δὲ δὴ σφόδρα καὶ τὸ « ἀνέβη » φησὶ ἐπὶ Κύρου, μετ' ἐμφάσεως, οἶμαί που, τοιοῦτόν τι σημαίνων, ὁποῖον ἔφη περὶ αὐτοῦ καὶ ὁ προφήτης Ἱερεμίας, τὰ κατὰ καιροὺς ἐσόμενα τῇ Νινευὴ προαναφωνῶν· « Ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ, ἐξολοθρεύων ἔθνη, ἐξῆρε, καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ, τοῦ θεῖναι τὴν γῆν εἰς ἐρήμωσιν, καὶ αἱ πόλεις ἐρημωθήσονται, παρὰ τὸ μὴ κατοικίζεσθαι αὐτάς. » Θηρὸς γὰρ

CAP. II.

D Vers. 1. *Consummatum est, ablatum est, ascendit insufflans in faciem tuam, eruens de tribulatione.*

XVII. Tanquam congruenter, et omni ratione peritura Ninive, ipsam consummatam esse dicit, eo verbo quasi ad consummationem et interitum venisse significans. Quinetiam ablatam, hoc est, excisam totam et deletam penitus. Optime autem de Cyro dicit, « ascendit, » expressa significatione tale quid, opinor, indicans, quale et Jeremias, dum olim Ninive eventura vaticinatur : « Ascendit leo de cubili suo, et vastans gentes se levavit, et egressus est de loco suo, ut ponat terram in solitudinem, et civitates vastabuntur, quod non habitentur ipsæ [84]. » Instar enim feræ bestiæ insiliens in Niniven, incolas ejus devoravit. Verum illis quidem

[77] Isa. LII, 7. [78] Rom. II, 28, 29. [79] Rom. VIII, 15. [80] Hebr. XIII, 16. [81] Mich. I, 15. [82] Luc. VIII, 27 seqq. [83] Luc. X, 19. [84] Jerem. IV, 7.

Digitized by Google

tanquam hostis atrox, et præfractus, et ira implacabili : Israelitis vero « insufflans in faciem, et eruens de tribulatione, » hoc est, ab insolenti servitute liberans, vinculis captivos levans, illos mittendo domum, et jubendo templum divinum reædificare exhilarans. Jam illud, « insufflans in faciem, » ut ex traditione, et consuetudine Judaica dicit. Et certum est hujusmodi rerum mentionem aliquando in divinis **496** Scripturis inveniri; quale est quod Judæi in maledictis adversus Deum vestimenta discindenda arbitrabantur. Itaque et Caiphas, cum Christus se Filium Dei affirmasset, scidit vestem, exclamavitque, Blasphemavit [85]. Hoc idem divini discipuli fecerunt Paulus et Barnabas in Lycaonia versantes, ubi cum ægrotum quemdam curavissent, et qui videbant factum summopere admirarentur, propter cœleste miraculum, sacerdotes ipsis rem divinam facere instituebant. Aiebant enim : Dii similes facti hominibus ad nos descenderunt, vocabantque Barnabam Jovem, Paulum Mercurium : « Quoniam ipse, inquit, erat dux verbi [86]. » Quia tamen quod agebatur quædam blasphemia erat, discinderunt illi vestimenta sua, Judaicas traditiones et consuetudines non scriptas adhuc observantes. Reprehensus est autem mos, ut qui cum lege non consentiret, esset que inutilis prorsus. Inquit enim universorum Deus Judæis hæc in speciem facientibus, et a vera pietate interim alienissimis : « Convertimini ad me ex toto corde vestro, et scindite corda vestra, et non vestimenta vestra [87]. » Quemadmodum igitur usu receptum erat quibusdam vestes dirumpere cum blasphemasset quispiam, sic etiam insufflare in facies ægrotantium quocunque modo. Et hoc præsertim et insolentissime faciebant, qui adjurare consueverant, et curiosis incantationibus a spiritibus, et doloribus male habentes se liberare simulabant. Exemplo igitur e consuetudine ipsorum petito ait : « Ascendit, insufflans in faciem tuam, Cyrus nimirum, et exuens te de tribulatione. » Hoc enim, ut dixi, quidam alios affantes se feliciter posse fingebant.

ἀγρίου δίκην ἐπιθρώσκων τῇ Νινευή, τοὺς ἐν αὐτῇ κατεδήδοκεν. Ἀλλ' ἐκείνοις μὲν ὡς πολέμιος δεινός τε καὶ ἀτεράμων ἦν, καὶ ἄθραυστος εἰς ὀργὰς γέγονε, τοῖς δὲ ἐξ Ἰσραὴλ « ἐμφυσῶν εἰς πρόσωπον, καὶ ἐξαιρούμενος ἐκ θλίψεως, » τουτέστιν, ἀπαλλάττων αὐτοὺς τῆς ἀσυνήθους δουλείας, δεσμῶν ἀνιεὶς αἰχμαλώτους ὄντας, ἀνακτώμενος διὰ τοῦ πέμψαι μὲν οἴκαδε, προστάξαι δὲ καὶ τὸν θεῖον αὐτοῖς ἀναδείμασθαι νεών. Τὸ δὲ « ἐμφυσῶν εἰς πρόσωπον, » ὡς ἐκ παραδόσεώς τε καὶ συνηθείας φησὶν Ἰουδαϊκῆς. Εὑρήσομεν δὲ καὶ τῶν τοιούτων μνήμην ἔσθ' ὅτε κειμένην παρὰ ταῖς θεοπνεύστοις Γραφαῖς, ὁποῖόν ἐστι τὸ δεῖν οἴεσθαι τοὺς Ἰουδαίους ἐπὶ ταῖς κατὰ Θεοῦ δυσφημίαις περιρηγνύναι τὰ ἱμάτια. Καὶ μὴν Καϊάφας, Υἱὸν ἑαυτὸν τοῦ Σωτῆρος Χριστοῦ λέγοντος Θεοῦ, περιέρρηξε τὴν ἐσθῆτα, διακεκραγώς τε λέγων, Ἐδυσφήμησε. Δεδράκασι δὲ τοῦτο καὶ οἱ θεσπέσιοι μαθηταὶ Παῦλός τε καὶ Βαρνάβας. Γεγόνασι μὲν γὰρ ἐν Λυκαονίᾳ. Ἐπειδὴ δέ τινα τῶν ἠρρωστηκότων τοῦ πάθους ἀπήλλαττον, καὶ παράδοξον ἦν τοῖς ὁρῶσι τὸ χρῆμα, θύειν αὐτοῖς ἤθελον, τῆς θεοσημείας χάριν, οἱ ἱερεῖς. Ἔφασκον γάρ· Οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις ἦλθον πρὸς ἡμᾶς, ἐκάλουν δὲ τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν, « ὅτι αὐτὸς ἦν, φησὶ, ὁ ἡγούμενος τοῦ λόγου. » Ἐπειδὴ δὲ τὸ δρώμενον δυσφημία τις ἦν, διέρρηξαν τὰ ἱμάτια αὐτῶν, παραδόσεσιν Ἰουδαϊκαῖς, καὶ ἀγράφοις ἔθεσιν ἀκολουθοῦντες ἔτι. Διαβέβληται δὲ τὸ ἔθος, ὡς οὐκ ὂν ἐκ νόμου, καὶ ἀνόνητον παντελῶς. Καὶ γοῦν ἔφη πρὸς Ἰουδαίους ὁ τῶν ὅλων Θεὸς, πλαττομένους τὰ τοιάδε, καὶ τῆς ἀληθοῦς εὐσεβείας ἀποστατοῦντας μακράν· « Ἐπιστρέψατε πρός με ἐξ ὅλης καρδίας ὑμῶν, καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν. » Ὥσπερ οὖν ἔθος ἦν περιρηγνύναι τινὶ τὴν ἐσθῆτα, δεδυσφημηκότος τινός, οὕτω καὶ τὸ ἐμφυσᾶν εἰς τὸ πρόσωπον τῶν ἠρρωστηκότων καθ' ὁντινοῦν τρόπον. Ἕδρων δὲ τοῦτο μάλιστα, καὶ ἄγαν ἐκτόπως, οἱ ἐφορκίζειν εἰωθότες, καὶ περιέργοις ἐπῳδαῖς, πνευμάτων τε καὶ ἀλγημάτων τοὺς κάμνοντας ἀπαλλάττειν προσποιούμενοι. Δέχεται τοίνυν ἐκ τῆς παρ' αὐτοῖς συνηθείας τὸ παράδειγμα, καὶ φησι· « Ἀνέβη ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου, « Κῦρος δὲ δηλονότι· » καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως. » Τοῦτο γὰρ δύνασθαι κατορθοῦν, ὡς ἔφην, προσεποιοῦντό τινες, ἐμφυσῶντες ἑτέροις.

Sapienter autem et vere dicitur, diaboli et peccati, quod est tyrannus noster, imperium imminutum periisse, et quodammodo etiam mortem captam, et corruptionem omnino sublatam esse. Ascendit namque ab inferis, et revixit Christus, qui insufflavit in faciem sanctorum apostolorum, et dixit : « Accipite Spiritum sanctum [88]. » Ita enim omni malo expediti sumus, et participes facti sancti Spiritus in pristinum naturæ decus, quasi ab ipsis elementis reformamur, atque in imaginem primam spiritualiter denuo imprimimur. Formatur enim in nobis per Spiritum Dominus noster Jesus Christus.

Σοφὸν δὲ καὶ ἀληθὲς εἰπεῖν, ὅτι καὶ τὸ τοῦ διαβόλου, καὶ τὸ τῆς καθ' ἡμῶν τυράννου ἁμαρτίας συνέσταλται κράτος, καὶ ἦλω μὲν ὥσπερ ὁ Θάνατος, ἐξῆρται δὲ καὶ εἰς ἅπαν ἡ φθορά. Ἀναβέβηκε γὰρ ἐξ ᾅδου, καὶ ἀνεβίω Χριστὸς, ὁ ἐμφυσῶν εἰς πρόσωπον τῶν ἁγίων ἀποστόλων, καὶ λέγων· « Λάβετε Πνεῦμα ἅγιον. » Ἀπηλλάγμεθα γὰρ οὕτως παντὸς κακοῦ, καὶ μέτοχοι γεγονότες τοῦ ἁγίου Πνεύματος, εἰς τὸ ἀρχαῖον τῆς φύσεως ἀναστοιχειούμεθα κάλλος, καὶ εἰς εἰκόνα τὴν πρώτην νοητῶς μεταχαραττόμεθα. Μορφοῦται γὰρ ἐν ἡμῖν διὰ τοῦ Πνεύματος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός.

xxvi, 65-65. [86] Act. xiv, 9 seqq. [87] Joel ii, 13. [88] Joan. xx, 22.

Digitized by Google

Σκόπευσον ὁδὸν, κράτησον ὀσφύος, ἀνδριζε τῇ ἰσχύι σφόδρα, διότι ἀπέστρεψε Κύριος τὴν ὕβριν Ἰακὼβ, καθὼς ὕβριν τοῦ Ἰσραήλ.

ΙΗ'. Ὡς αὐτίκα δὴ βαδιουμένοις εἰς τὴν Ἰουδαίων, οἰκαδέ τε ἰέναι μέλλουσιν ἀναγκαίως ἐπιφωνεῖ, τὸ χρῆναι λοιπὸν καὶ τὴν ὁδὸν κατασκέπτεσθαι, καὶ κρατεῖν ὀσφύος, τουτέστιν, ἑτοίμως τε καὶ ἐπιτηδείως ἔχειν πρὸς τοὺς τῆς ὁδοιπορίας πόνους, καὶ παντὸς ὄκνου κατανδρίζεσθαι, καὶ μακρῶν διαστημάτων ἀμείνους ὁρᾶσθαι φιλεῖν, προθυμίαις ἀμάχοις εἰς τοῦτο χρωμένους. Ἑτοιμότατον δὲ σημεῖον τούτου, τὸ, οἷον εὐπρεπῆ (1), καὶ διεζωσμένην ἔχειν τὴν ὀσφύν. Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τοῖς ἁγίοις ἀποστόλοις, μᾶλλον δὲ καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτὸν ἔλεγεν· « Ἔστωσαν αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι. » Ὁδοιπορικὸν γὰρ τὸ χρῆμα, καὶ ὅτι μάλιστα πρεπωδέστατον τοῖς τὸ θεῖον ἀνακηρύττουσιν Εὐαγγέλιον, καὶ ἑτοιμοτάτους ἔχουσιν εἰς τοῦτο τοὺς πόδας. « Κράτησον δὴ οὖν ὀσφύος, » φησὶ, ἀντὶ τοῦ, παρεσκευασμένος ἔσο, καὶ οἷον εὐτρεπὴς εἰς ἀποδρομήν. « Ἀπέστρεψε γὰρ Κύριος τὴν ὕβριν, φησὶ, τοῦ Ἰακὼβ, καθὼς ὕβριν τοῦ Ἰσραήλ. » Ἐπιτήρει πάλιν ἐν τούτοις ἀναγκαίως εἰσκεκομισμένην τὴν διαστολήν. Ἰακὼβ μὲν γάρ φησι τοὺς ἐν τῇ Σαμαρείᾳ κατῳκηκότας, τουτέστι, τὰς δέκα φυλὰς, ὧν βεβασιλεύκασιν οἱ ἐκ φυλῆς Ἐφραὶμ καὶ Μανασσῆ, οἳ γεγόνασιν ἐξ Ἰωσὴφ, ὃς ἦν ἐξ Ἰακώβ. Ἰσραὴλ δὲ ὀνομάζει τοὺς ἐν τοῖς Ἱεροσολύμοις, Θεοῦ τὸ τηνικαῦτα προασπίζοντος, καὶ δαπανῶντος ἀγγέλου χειρὶ τὸν Ἀσσύριον. Ἀνῆκε δὲ Κύρος οὐχὶ μόνους τοὺς ἐκ Σαμαρείας αἰχμαλώτους, ἀπενηνεγμένους εἰς τὴν Νινευὴ, ἀλλὰ γὰρ καὶ τοὺς ἐκ τῶν Ἱεροσολύμων. Διὰ τοῦτο ἀναγκαίως φησὶ ὁ προφήτης, ὅτι « Ἀπέστρεψε Κύριος τὴν ὕβριν Ἰακὼβ, καθὼς ὕβριν τοῦ Ἰσραήλ. » Καὶ ὕβριν μέν φησι τὴν δουλείαν, ἤτοι τὴν θητείαν. Ὅτι δὲ ἅπαντας ἀνέσει Θεὸς, οὐ προασπίζων μέν τινων, ἐναφιεὶς δὲ τοῖς πόνοις ἐντρύχεσθαι, διδάσκει λέγων, οὕτως ἀπεστράφθαι τὴν ὕβριν Ἰακὼβ, καθὼς ἀποστρέφεται καὶ ἡ τοῦ Ἰσραήλ. Σύμπαντες γὰρ, ὡς ἔφην, ἀνέδραμον εἰς τὴν Ἰουδαίαν, ἐκ τῆς αἰχμαλωσίας διακρουσάμενοι βλάβην.

Χρῆναι δέ φημι ἔγωγε, καὶ μάλα εἰκότως, καὶ τοὺς ἐν Χριστῷ λελυτρωμένους ζῆν μὲν ἐθέλειν οὐκ ἀπερισκέπτως ἔτι· περιαθρεῖν δὲ μᾶλλον τῆς ἀρεσκούσης πολιτείας τὴν ὁδὸν, καὶ τρίβον ἰέναι τὴν ἀγαθὴν, καὶ κρατεῖν ὀσφύος, τουτέστιν, ἀμείνους ὁρᾶσθαι γαστρὸς καὶ φιληδονίας, « Καὶ τῆς σαρκὸς μὴ ποιεῖσθαι πρόνοιαν εἰς ἐπιθυμίαν, » κατανεαλιεύεσθαι δὲ καὶ παθῶν, καὶ ὄκνου παντός· ἥξουσι γὰρ οὕτως εἰς τὴν ἁγίαν πόλιν τὴν ἐπουράνιον Ἱερουσαλὴμ. Ἐκεῖ προσκομιοῦσι Θεῷ πνευματικὰς θυσίας, καὶ τῆς ἀρχαίας δουλείας τὸν ζυγὸν ἀποσεισάμενοι, τὸν εὐκλεᾶ, καὶ ἐλεύθερον, καὶ φαυλότητος ἀπάσης ἀπηλλαγμένον διαβιώσονται βίον.

Διότι ἐκτινάσσοντες ἐξετίναξαν αὐτοὺς, καὶ τὰ κλίματα αὐτῶν. Διέφθειραν ὅπλα δυναστείας

497 Vers. 2. *Contemplare viam, tene lumbum, viriliter age vehementer, quoniam avertit Dominus contumeliam Jacob, sicut contumeliam Israel.*

XVIII. Quasi brevi in Judæam ambulaturos, domumque reversuros, res postulabat ut moneret, oportere deinceps, et viam considerare, ac tenere lumbos, hoc est, paratos et comparatos esse ad labores itineris sufferendos, omnemque torporem viriliter spernere, et invicta alacritate suscepta, velle dilationibus diuturnis superiores videri. Maxime autem obvium hujus rei signum, quasi decorum, et præcinctum habere lumbum. Proinde et Dominus noster Jesus Christus sanctis apostolis, imo omnibus in ipsum credentibus dicebat : « Sint lumbi vestri præcincti [89]. » Est enim viatorium hoc negotium, et convenientissimum divinum prædicantibus Evangelium, et ad hoc pedes habentibus paratissimos. Inquit igitur : « Tene lumbum ; » pro, paratus esto, et velut instructus ad celerem abitum. « Avertit enim Dominus, inquit, contumeliam Jacob, sicut contumeliam Israel. » Rursum in his inductam distinctionem observes necesse est. Jacob enim nominat, qui Samariam incoluerunt, hoc est, decem tribus, quorum reges fuerunt ex tribu Ephraim, et Manasse, filiorum Joseph, qui patrem habuit Jacob. Israel nominat Hierosolymitanos, pro quibus tunc Deus pugnavit, et manu angeli Assyrium confecit [90]. Dimisit autem Cyrus non modo captivos ex Samaria Niniven abductos ; sed etiam Hierosolymis [91]. Quare jure inquit propheta : « Avertit Dominus contumeliam Jacob, sicut contumeliam Israel. » Et contumeliam quidem servitutem, sive famulatum mercenarium nominat. Omnes autem liberaturum Deum, non ut alios tueatur, alios ærumnis consumi patiatur, docet, inquiens, sic aversam esse contumeliam Jacob, sicut aversa sit contumelia Israel. Universi enim, captivitatis depulsis incommodis, in Judæam repedarunt.

Puto autem ego, et apposite admodum, in Christo redemptos, non amplius inconsiderate vivere oportere, sed modum conversationis Deo placentis potius circumspicere, et viam ambulare bonam, et tenere lumbos, hoc est, **498** cerni imperare ventri et contemnere voluptates : « Et non facere curam carnis in desideriis [92] : » Juvenili autem quodam spiritu passionibus, et cuivis inertiæ languorique resistere : sic enim venient in sanctam civitatem, cœlestem Jerusalem. Illic offerent Deo spirituales hostias, et excusso veteris servitutis jugo, vitam gloriosam et liberam, et omni nequitia vacantem vivent.

Vers. 3, 4. *Quia excutientes excusserunt eos, et propagines eorum. Demoliti sunt arma potentiæ ex*

[89] Luc. XII, 35. [90] IV Reg. 19, 35. [91] I Esdr. I, 1 seqq. [92] Rom. VIII, 14.

(1) Aubertus, ἀπρεπῆ, *indecorum*. Edit.

Digitized by Google

hominibus, viros fortes illudentes in igne. Habenæ curruum eorum in die præparationis eorum, et equites tumultuabuntur in viis, et confundentur currus, et collidentur in plateis. Aspectus eorum quasi lampades ignis, et quasi fulgura discurrentia.

A *αὐτῶν ἐξ ἀνθρώπων, ἄνδρας δυνατοὺς ἐμπαίζοντας ἐν πυρί. Αἱ ἡνίαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτῶν, καὶ οἱ ἱππεῖς θορυβηθήσονται ἐν ταῖς ὁδοῖς, καὶ συγχυθήσονται τὰ ἅρματα, καὶ συμπλακήσονται ἐν ταῖς πλατείαις. Ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες πυρὸς, καὶ ὡς ἀστραπαὶ διατρέχουσαι.*

XIX. Deo, cui nota sunt omnia, sanctis apostolis, sive prophetis temporibus definitis eventura suggerente, illi juxta ejus beneplacitum ea prædicere debuerunt. Sæpius porro res ipsas viderunt. Proinde obstupuerunt, et tantum non revera ante oculos eas geri cernentes, de ipsis verba fecerunt; quod et nunc prophetæ videtur accidisse super incolis Ninive, et Cyri militibus, quoniam excusserunt eos, et propagines eorum. Instituitur sermo velut ab eo B quod vitibus evenire consuevit. Excutitur siquidem botrus, et acinos exspuit, aut violentissimo irruente vento, aut æstu exurente, aut alio quocunque incommodo impellente, ut una cum fructu palmes etiam ipse viriditate nudatus appareat. Perinde igitur ut vites eos excusserunt. Disperdita sunt etiam arma eorum, hoc est, potentia : arma etenim nonnunquam potentiam significant. Equites autem peritos, et ex curribus pugnare gnaros incredibili terrori futuros ait, ut vertantur in fugam, ut implicentur mutuo, et inter se trudant, ac illidant, putentque hostium phalangas ita se perruptoros, ut nihil lampadibus cedant, aut etiam instar fulgurum celeri et effreni cursu eas adurant.

ΙΘ'. Ἐνηχοῦντος μὲν τοῖς ἁγίοις ἀποστόλοις, ἤγουν προφήταις, τὰ κατὰ καιροὺς ἐσόμενα τοῦ πάντα εἰδότος Θεοῦ, προαπήγγελλον ἀναγκαίως κατὰ τὸ αὐτῷ δοκοῦν. Ἐγίνοντο δὲ πλειστάκις καὶ ἐν αὐταῖς τῶν πραγμάτων ὁράσεσι. Τοιγάρτοι καταπεπλήγασι, καὶ μονονουχὶ πληρούμενα βλέποντες, τοὺς περὶ αὐτῶν ἐποιοῦντο λόγους· ὁποῖόν τι καὶ νῦν ὁ προφήτης δοκεῖ πεπονθέναι ἐπί γε τοῖς οἰκοῦσι τὴν Νινευὴ, καὶ τοῖς Κύρῳ συνησπικόσιν, ὅτι ἐξετίναξαν αὐτοὺς, καὶ κλήματα αὐτῶν. Περιΐσταται δὲ ὁ λόγος ὡς ἀπό γε τοῦ συμβαίνειν ταῖς ἀμπέλοις εἰωθότος. Ἐκτινάσσεται γὰρ ὁ βότρυς, καὶ τὰς ῥάγας ἀποπτύει, ἢ ῥαγδαιοτάτου προσβάλλοντος πνεύματος, ἢ καύσωνος καταφλέγοντος, ἢ καὶ ἑτέρας ἠστινοσοῦν συντεινούσης βλάβης, ὡς καὶ αὐτὸ τοῖς καρποῖς τὸ κλῆμα συναναφαίνεσθαι καὶ αὐτῆς τῆς ἄνθης ἀπογυμνούμενον. Οὕτω δὴ οὖν ἀπετίναξαν αὐτοὺς ὡς ἀμπέλους. Διέφθαρται δὲ καὶ τὰ ὅπλα αὐτῶν, τουτέστιν, ἡ δυναστεία· ὅπλα γὰρ ἔσθ' ὅτε σημαίνει τὴν δυναστείαν. Δεινοὺς δὲ ὄντας ἱππέας, καὶ τὰς ἐφ' ἁρμάτων εἰδότας μάχας ἐν ἀφορήτοις ἄγαν φησὶ γενέσθαι δείμασιν, ὡς τραπέσθαι μὲν εἰς φυγὴν, συμπλέκεσθαι δὲ ἀλλήλοις, καὶ συνθραύεσθαι προσρηγνυμένους, οἴεσθαι δὲ οὕτως καταθλᾶν αὐτοὺς τὰς τῶν πολέμων φάλαγγας, ὡς οὐδὲν λαμπάσι παραχωρεῖν, ἢ καὶ ἀστραπαῖς ἐν ἴσῳ καὶ φλέγειν αὐτοὺς ὀξεῖ καὶ ἀσχέτῳ δρόμῳ.

Vers. 5. *Et memorabuntur optimates eorum, et fugient in die, et infirmabuntur in* 499 *itinere suo, et festinabunt ad muros, et præparabunt propugnacula sua.*

C *Καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, καὶ φεύξονται ἡμέρας, καὶ ἀσθενήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν, καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν.*

XX. Ingravescente bello, ipsi quoque principes civitatis, præter alios, recordabuntur, inquit, quid capta Judæa fecerint, id est, quam insolenter voces maledicas jactaverint, et oris petulantia miseri Dei gloriam ceu funda appetiverint. Tum in hujus rei memoriam regressi, cognoscent se Deum inimicum habere, qui eos oppugnantium pedibus proterendos substernat, quamvis aliquando præpotentes, quorumvis arma levi negotio repulerint, in quos impressionem facere aggressi essent. Quod si etiam in fugam convertantur, reperta evadendi difficultate, et in itineribus suis infirmati, aliud occipient. D Curam enim gerent murorum, et super ipsis custodias collocabunt. Indicat per hæc propheta, ex omni parte anxios, et quid facto opus sit propter tenebras menti offusas penitus non dispicientes, et meris calamitatibus, propemodum tanquam vino ebrios, salutis suæ amissionem lugere, et vagari quovis levi momento volitantes, ex his in illa, ex illis in alia, et in omnibus his incassum laborare. Quod dicit, « Fugient in die, » illud, opinor, vult: Cum periti sint, ut dixi, expugnatu difficiles, et feroces, tandem eo timiditatis redigentur, ut manifeste cupiant

Κ'. Καταβρίθοντος τοῦ πολέμου καὶ αὐτοὺς τοῖς ἄλλοις ὁμοῦ τοὺς δυνατωτάτους, εἰς νοῦν δέξονται, φησὶν, ἃ δεδράκασιν ἑλόντες τὴν Ἰουδαίαν, ἤγουν ὧν ἐκτόπων εἰρήκασι, παλιμφήμους ἱέντες φωνὰς, καὶ οἷον τὴν τοῦ Θεοῦ δόξαν ταῖς παρὰ σφῶν ἀθυροστομίαις κατασφενδονῶντες οἱ δείλαιοι. Εἶτα τούτων ἐνηνεγμένοι πρὸς ἀνάμνησιν, εἴσονται λοιπὸν, ὅτι Θεὸν ἔχουσι δυσμενῆ, καὶ τοῖς τῶν πολεμούντων αὐτοὺς ὑποστρωννύντα ποσὶ, καίτοι πάλαι δεινοὺς ὄντας ἄγαν, καὶ κομιδῇ δυσάντητον καθ' ὧν ἂν ἴοιεν προσβολὴν ποιεῖσθαι μεμελετηκότας. Εἰ δὲ δὴ καὶ τράποιντο πρὸς φυγὴν, δυσεξίτητον εὑρόντες τὸ χρῆμα, καὶ ἀσθενήσαντες ἐν ταῖς πορείαις αὐτῶν, μετοιχήσονται πρὸς βουλὰς; ἑτέρας. Ἐπιμελήσονται γὰρ τειχῶν, καὶ τὰς ἐπ' αὐτῶν ποιήσονται φυλακάς. Δείκνυσι δὲ διὰ τούτων ἠπορηκότας πανταχοῦ, καὶ ὅ τι δράσαι προσήκει μὴ εἰδότας, ὅλως ἀπό γέ τοι τοῦ κατεσκοτίσθαι τὸν νοῦν, μονονουχὶ δὲ καὶ οἴνῳ μεμεθυσμένους ταῖς ἀκράτοις συμφοραῖς, τὴν τῆς σωτηρίας ἀπότευξιν ὀλοφύρεσθαι, καὶ διαῤῥίπτεσθαι, πανταχοῦ μεθισταμένους εὐκόλως, ἐκ τούτων μὲν εἰς ἐκεῖνα, ἐξ ἐκείνων δὲ πρὸς ἕτερα, καὶ τὸν ἐφ' ἅπασι τούτοις ἀνόνητον πόνον ἔχοντας. Εἰ δὲ δὴ λέγοι,

Digitized by Google

Καὶ φεύξονται ἡμέρας, » ἐκεῖνο, οἶμαί που, δηλοῖ· λεινοὶ γὰρ ὄντες, ὡς ἔφην, καὶ δυσκαταγώνιστοι, καὶ τραχεῖς, κατοιχήσονται λοιπὸν εἰς τοῦτο δειλίας, ὡς ἀναφανδὸν ἐλέσθαι φυγεῖν, καὶ ἀκρύπτως ἤδη τοῦτο δρᾷν, καίτοι πάλαι παραιτουμένους καὶ μό-

A fugere, nec fugam suam occultare, tametsi olim in solam hujus rei suspicionem vocari non tulissent.

Ἥττηνται δὲ καὶ αἱ πονηραὶ δυνάμεις τῆς μεγαλειότητος τοῦ Χριστοῦ, καὶ οὐκ ἔχουσι τοῖς αὐτοῦ θείοις νεύμασιν ἀντιπράττειν, τοῖς ὑπὲρ ἡμῶν δηλονότι. Κατεκλῶντο τοῖς δείμασι, καὶ πεφεύγασιν ἀληθῶς ὑπ' οὐδεμιᾶς ἀσφαλείας ἔτι σωζόμεναι. Θεοῦ γὰρ τὰς δίκας ἐπάγοντος, τίς ἂν διαφύγοι; ἢ τίς τοὺς προσκεκρουκότας ἐξονήσῃ τόπος (1);

Victæ sunt etiam malignæ potestates majestate Christi, nec possunt divinis ejus nutibus, pro nobis scilicet, obsistere. Fractæ sunt terroribus, et vere fugerunt, nulla amplius munitione tutæ. Deum enim ulciscentem quis effugiat? aut quod adjumentum inveniet, qui in Deum peccaverunt?

Πύλαι τῶν πόλεων διηνοίχθησαν, καὶ τὰ βασίλεια διέπεσεν, καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη, καὶ αὕτη ἀνέβαινε, καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο, καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐτῶν.

B

Vers. 6, 7. *Portæ civitatum apertæ sunt, et regalia ceciderunt, et substantia revelata est, et ista ascendit, et ancillæ ejus ducebantur, sicut columbæ loquentes in cordibus suis.*

ΚΑ'. Οἱ μὲν οὖν μεγιστᾶνες, φησὶν, ἄπορον εὑρόντες τὴν φυγὴν, ἐπὶ τὰ τείχη σπεύσουσι, καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐτῶν. Ἔσται δὲ ἀνόνητος ἡ σκέψις αὐτῶν, ἀνοιγνύντος Θεοῦ τοῖς δι' ἐναντίας τὰς τῶν πόλεων πύλας, καὶ τὰ βασίλεια παραδιδόντος, τουτέστι, τῶν βασιλέων οἶκους, ἐγκαλύπτοντός τε τὰ ἐν αὐτοῖς κεκρυμμένα, καὶ προστιθέντος αὐτοῖς τὴν ὑπόστασιν εἰς διαρπαγήν. Ὑπόστασιν δὲ τὸν πλοῦτον ἀποκαλεῖ, τὸν ἐκ διαρπαγῆς δηλονότι καὶ πλεονεξίας τῆς καθ' ἑτέρων συνειλεγμένον. Εἶτα πάλιν ὡς ἐν θεωρίᾳ γεγονὼς τοῦ συμβησομένου, ἑλκομένους δὴ πρὸς αἰχμαλωσίαν ὁρᾷ, τήν τε βασιλεύουσαν πόλιν, φημὶ δὲ τὴν Νινευὴ, καὶ τὰς ὑπ' αὐτῆς καὶ περὶ αὐτὴν, ἃς δούλας ὀνομάζει, διάτοι τὸ ὑπεζεῦχθαι, καὶ ὑποκεῖσθαι τάχα που, καὶ ὑπηρετεῖν αὐτῇ. Φθέγγεσθαι δέ φησιν αὐτὰς ὡς περιστερὰς ἐν καρδίαις αὐτῶν, τουτέστιν, οὐκ ἀναφανδὸν, ἀλλὰ λεληθότως. Ἔθος μὲν γὰρ τῷ πτηνῷ βαρύ τι καὶ δυσαχθὲς ἐνολολύζειν τῇ καρδίᾳ. Τοῖς γε μὴν πεσοῦσιν εἰς χεῖρας ἐχθρῶν, ἑλκομένοις τε λοιπὸν εἰς αἰχμαλωσίαν συμβαίνειν τι τοιοῦτον, ἀπεικὸς οὐδέν. Κατοιμώζουσι γὰρ τὴν ἑαυτῶν συμφορὰν, μονονουχὶ καταπνίγοντες ἐν γε δὴ σφισιν αὐτοῖς τοὺς θρήνους, ἐπεὶ μὴ ἐλεύθερον ἔσθ' ὅτε κἂν γοῦν αὐτὸ τὸ κλαίειν αὐτοῖς.

C

XXI. Optimates igitur, inquit, exclusi fuga, ad muros festinabunt et præparabunt propugnacula sua. Sed eorum consilium ad nihilum recidet, Deo adversariis portas urbium aperiente, 500 et regalia tradente, id est, domos regum, et revelante quæ ibidem occultantur, et substantiam ipsis in direptionem proponente. Substantiam divitias, ex rapina videlicet, et injuriis ac fraudibus in alias collectas appellat. Deinde rursum, quasi videret quod futurum erat, tractos nimirum in captivitatem, videt reginam civitatem, Niniven, inquam, et ei subjectas ac vicinas, quas ancillas nominat; quod fortasse subjugatæ ab illa, et subjectæ ipsi servirent. Quas loqui ceu columbas ait in cordibus ipsarum, id est, non aperte, sed tacite. Solet enim avis illa sono presso, et minus grato intra se gemere. Lapsis autem in manus hostium, et in captivitatem deinde raptis, tale quiddam evenire, non est supra fidem. Lamentantur quippe calamitatem suam, tantum non intra semetipsos lacrymas suffocantes. Siquidem aliquando nec flere saltem illis conceditur.

Καὶ Νινευὴ ὡς κολυμβήθρα ὑδάτων τὰ ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύγοντες οὐκ ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων. Διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς. Βεβάρυνται ὑπὲρ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτῆς.

D

Vers. 8, 9. *Et Ninive sicut piscina aquarum aquæ ejus, et ipsi fugientes non steterunt, et non erat qui respiceret. Diripiebant argentum, diripiebant aurum, et non erat finis ornamenti ejus. Aggravati sunt super omnia vasa concupiscibilia ejus.*

ΚΒ'. Κολυμβήθρᾳ τὴν Νινευὴ παρεικάζει πεπληρωμένῃ τε καὶ ἐκχεομένῃ, διά τοι τὸ πλείστην ὅσην ἔχειν τὴν ἐνοικοῦσαν αὐτῇ πληθὺν, καὶ τῶν ἐπιχεομένων ἐθνῶν εἰς ἐπικουρίαν τὰ ἀναρίθμητα ἔθνη. Κατατέθηπε ὥσπερ, ἦγουν ἄμεινον, ἐπιτωθάζει τοῖς φεύγουσιν, ὅτι πλεῖστοί τε ὄντες, καὶ ἀριθμοῦ κρείττονες κατήγοντο πρὸς δειλίαν, καίτοι πάλαι τῇ πολυάνδρῳ χειρὶ παντὸς πολέμου καταθαρσήσαντες, καὶ ὑψηλὴν ἐπαίροντες ἐπί γέ σφισιν αὐτοῖς τὴν ὀφρύν. Ἀλλ' ἦν ὁ τῶν ὅλων Θεὸς, ὁ καὶ δειλίαις αὐτῶν καταφορτίζων τὸν νοῦν, καὶ κατακομίζων εἰς κακαν-

XXII. Piscinæ Niniven comparat, plenæ et exundanti, propter incredibilem civium multitudinem quam continebat, et populorum auxiliariorum quæ se infuderat copiam innumerabilem. Obstupescit igitur, seu ut melius dicam, irridet fugientes, quod cum essent tam multi et infiniti, tamen timore impellebantur, etsi olim cuivis quanquam numeroso exercitui obviam ire non dubitassent, supercilliumque sibi placentes sustulissent. Sed erat universorum Deus, qui et timoribus eorum animos oneraret, et in ignaviam ageret, et spiritus bellicos debilita-

(1) Aubertus τρόπος. Edit.

Digitized by Google

ret. Verum est enim illud : « Non salvatur rex per multam virtutem, et gigas non salvabitur in multitudine fortitudinis suæ [93]. » Salvat autem universorum Dominus potius quos vult, idque nullo labore. Quid deinde ait propheta? « Diripiebant argentum, diripiebant aurum. » Hæc autem erant substantia : « Et non **501** erat finis ornamenti ejus. » Videtur hic lapillos Indicos significare, propter quos maxime ipsam gravatam dicit, quamvis et propter alia vasa contristata fuerit. Morem enim habebant Assyrii, seu Ninivitæ, multos pretiosos lapides perstudiose conquirere, et iis instar puellarum ornari, ut contenderent in ipsis quoque conflictibus ornamentorum splendore insignes apparere. Explicate autem et distincte in his loquitur propheta, idque admodum prudenti ratione. Et nunc quidem cadentes, nunc inter se implicitos, et fuga exclusos, et propugnacula frustra tenentes, nunc expugnatos oratione depingit, captivorum mœrorem leniens, et talium rerum prædictione dextre quasi incantans, narrationibusque jucundissimis ad hilaritatem eos traducens.

Etiam Satanas direptionem passus est, primum quidem per Christum Salvatorem; deinde post illum per sanctos apostolos, de quibus et alicubi propheta Habacuc : « Quia subito consurgent mordentes eum, et vigilabunt insidiatores tui, et eris in rapinam ipsis [94]. » Eamdem sententiam forma parabolæ in sermonibus suis evangelicis Christus induxit, cum ait : « Aut quomodo potest quis ingredi in domum fortis, et vasa ejus diripere, nisi prius fortem alliget, et tunc vasa ejus diripiet [95]? » Qui enim Satanam adorabant, electa apud ipsum et pretiosa vasa, ad fidem accurrerunt, omnium nostrum Salvatore Christo ad Dei cultum eos transferente, et sanctis apostolis ut eo se conferrent persuadentibus.

VERS. 10. *Excussio, et concussio, et ebullitio, et cordis confractio, et dissolutio genuum, et dolores super omnem lumbum, et facies omnium sicut adustio ollæ.*

XXIII. Omni genere contritionis contritum eos iri dicit. Nam excuti, et concuti, et ebulliri, quid nobis aliud quam istud subsignificent? Etenim quod excutitur et concutitur, quovis agitatur et projicitur. Secuturam autem dicit cordis confractionem, Deo nimirum ad timiditatem constringente. Et dissolutionem genuum, hoc est, imbecillitatem, et languorem corporum, et dolores insuper, articulorum videlicet. Qui enim talibus malis conflictaturi non erant, qui in omnia prorsus quæ Deo solerent displicere, præcipitaverant? Ad hæc, fore omnium vultus affirmat **502** ut adustionem ollæ. Semper enim nescio quo modo tristium vultus infuscantur, oculorumque fulgorem terrores invadentes vehementer hebetant.

A δρίαν, καὶ παραλύων τὸ μάχιμον. Ἀληθὲς γὰρ, ὅτι « Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. » Σώζει δὲ μᾶλλον οὓς ἂν ἕλοιτο, καὶ λίαν εὐκόλως, ὁ τῶν ὅλων Κύριος. Εἶτα τί φησιν ὁ προφήτης; « Διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ χρυσίον. » Ταῦτα δὲ ἦν ἡ ὑπόστασις, « Καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῶν. » Ἔοικε δὲ λίθους ἐν τούτοις ὀνομάζειν τὰς Ἰνδικὰς, ἐφ' αἷς μάλιστα βεβαρύνθαι φησὶν αὐτὴν, καίτοι καὶ ἐφ' ἑτέροις σκεύεσιν ἀθύμως διακειμένην. Ἀσσυρίοις γὰρ ἔθος, ἦγουν Νινευΐταις, πολλὴν καὶ ἐσπουδασμένην τῶν λίθων ποιεῖσθαι τὴν ἄθροισιν, καὶ κοσμεῖσθαι κορικῶς, ὡς καὶ ἐν αὐταῖς ἐπείγεσθαι ταῖς μάχαις τὴν τοῦ κόσμου λαμπρότητα περιηνθισμένην ὁρᾶσθαι. Ἰσχνολογεῖ δὲ λίαν ὁ προφήτης ἐν τούτοις οἰκονομικῶς, καὶ ποτὲ μὲν πίπτοντας, ποτὲ δὲ ἀλλήλοις B συμπλεκομένους, καὶ ἀποροῦντας τὴν φυγὴν, καὶ ἀνοήτως ἔχοντας τὰς προφυλακὰς, ποτὲ δὲ πορθουμένους τῷ λόγῳ ζωγραφεῖ, τὰς τῶν ὄντων ἐν αἰχμαλωσίᾳ περικόπτων λύπας, καὶ τῇ τῶν τοιούτων προαγορεύσει καταγοητεύων εὐφυῶς, καὶ ἡδίστους αὐτοὺς διηγήμασιν ἀποφέρων εἰς εὐθυμίαν.

Διήρπασται δὲ καὶ ὁ Σατανᾶς διὰ πρώτου μὲν τοῦ Σωτῆρος Χριστοῦ, εἶτα μετ' αὐτὸν διὰ τῶν ἁγίων ἀποστόλων, περὶ ὧν ἔφη που καὶ ὁ προφήτης Ἀβακούμ· « Ὅτι ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ εἰς διαρπαγὴν αὐτῶν. » Εἰσκεκόμικε δὲ καὶ ὡς ἐν εἴδει παραβολῆς τὸ διήγημα Χριστὸς εὐαγγελικοῖς κηρύγ- C μασιν· ἔφη γάρ· « Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ, καὶ τότε τὰ σκεύη αὐτοῦ διαρπάσει; » Οἱ γὰρ προσκυνοῦντες τῷ Σατανᾷ, τὰ ἀπόλεκτα σκεύη καὶ τίμια παρ' αὐτῷ, προσδεδραμήκασι τῇ πίστει, μετατιθέντος αὐτοὺς πρὸς θεοσέβειαν τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ, ἀναπειθόντων δὲ καὶ αὐτῶν βαδίζειν εἰς τοῦτο τῶν ἁγίων ἀποστόλων.

Ἐκτιναγμὸς, καὶ ἀνατιναγμὸς, καὶ ἐκβρασμὸς, καὶ καρδίας θορυσμὸς, καὶ ὑπόλυσις γονάτων, καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφὺν, καὶ τὸ πρόσωπον πάντων ὡς πρόσκαυμα χύτρας.

ΚΓ'. Πᾶν εἶδος συντριβῆς συντριβήσεσθαι λέγει. Τὸ γὰρ ἐκτινάσσεσθαί τε καὶ ἀνατινάσσεσθαι, καὶ μέν τοι καὶ ἐκβράττεσθαι, τί ἂν ἕτερον ἡμῖν ὑπεμφήνειεν, ἢ τοῦτο; Διαῤῥιπτεῖται γὰρ πανταχοῦ τὸ τινασσόμενον καὶ ἀνατινασσόμενον. Ἔψεσθαι δὲ λέγει καρδίας θορυσμὸν, Θεοῦ δηλονότι συνθραύοντος εἰς δειλίαν. Καὶ ὑπόλυσιν γονάτων, τουτέστιν, ἀσθένειαν, καὶ σωμάτων πάρεσιν, καὶ ὠδῖνας ἐπὶ τούτοις, ἐξ ἄρθρων δηλονότι. Πῶς γὰρ οὐκ ἔμελλον ἐν τοιούτοις ἔσεσθαι κακοῖς, οἱ πρὸς πᾶν ὁτιοῦν κατενηνεγμένοι τῶν εἰωθότων τὸν Θεὸν καταλυπεῖν; Γενήσεσθαι δὲ πρὸς τούτοις διισχυρίζεται καὶ τὸ πρόσωπον πάντων ὡς πρόσκαυμα χύτρας. Καταμελαίνεται γὰρ ἀεί πως τῶν ἐν ἀθυμίαις τὰ πρόσωπα, καὶ τῶν ὀμμάτων τὸ φαιδρὸν παραιρεῖται δεινῶς τῶν δειμάτων ἡ ἔφοδος.

[93] Psal. xxxii, 16. [94] Habac. ii, 7. [95] Matth. xii, 29.

Digitized by Google

Συμβῆναι δὲ τὰ τοιάδε φαμὲν ἀληθεύοντες αὐτῷ τε τῷ καθ' ἡμῶν τυραννήσαντι Σατανᾷ, καὶ ταῖς σὺν αὐτῷ δυνάμεσι πονηραῖς. Ἐπειδὴ γὰρ ἐξεπέμποντο τῆς ἀρχαίας ἐκείνης τιμῆς τε καὶ δόξης, πῶς ἦν εἰκὸς μὴ οὐχὶ πάντη τε καὶ πάντως τὰ τοιάδε παθεῖν αὐτούς;

Ποῦ ἐστι τὸ κατοικητήριον τῶν λεόντων, καὶ ἡ νομὴ, ἡ οὖσα τοῖς σκύμνοις; Ποῦ ἐπορεύθη λέων, τοῦ εἰσελθεῖν ἐκεῖ σκύμνον λέοντος, καὶ οὐκ ἦν ἐκφοβῶν; Λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ, καὶ ἐπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔπλησε θήρας νοσσιὰν αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς.

ΚΔ'. Κατοικητήριον μὲν ὀνομάζει λεόντων τὴν Νινευή. Κατῳκήκασι γὰρ ἐν αὐτῇ, καὶ λαμπρὸν ἐποιοῦντο, καὶ ἀξιάγαστον ἐνδιαίτημα, καὶ βασίλειον ἀσφαλὲς, οἱ κατὰ καιροὺς αὐτοὺς βεβασιλευκότες Φουὰ, καὶ Σαλμανασὰρ, καὶ Σεναχηρεὶμ, καὶ μέντοι καὶ Ναβουχοδονόσορ. Πεπολεμήκασι γὰρ οὗτοι τὴν Ἰουδαίαν. Τὸ δὲ, *ποῦ ἐστιν*, οὐ διερωτῶντος οἶμαί που. Δεῖν γὰρ οἶμαι παραιτεῖσθαι τὸ εὔηθες. Ἐπιτωθάζει δὲ μᾶλλον, καὶ ὅτι διόλωλεν ὁλοτρόπως διὰ τούτου δεικνὺς, ὡς μηδὲ ὅποι ποτὲ γέγονεν ὁρᾶσθαι λοιπόν. « Συντετέλεσται γὰρ, καὶ ἐξῆρται, » καθά φησιν αὐτός. « Ποῦ δὴ οὖν ἄρα, φησὶ, τὸ τῶν λεόντων κατοικητήριον; » τουτέστιν ἡ Νινευή· « ποῦ δὲ ἡ νομὴ τῶν σκύμνων; » Καὶ σκύμνους μὲν, ὥς γε οἶμαι, φησὶ τοὺς ὑπὸ τῷ μεγίστῳ βασιλεῖ πράττοντας καὶ κειμένους, καὶ τὸ τίμιον ἔχοντας παρ' αὐτοῦ ἐν δόξῃ, σατράπας δὴ λέγω καὶ στρατηγούς· νομὴν δὲ αὐτῶν ἐπικαλεῖ τοὺς ὑπὸ χεῖρα καὶ ὑπεζευγμένους, καὶ δασμοὺς εἰσφέροντας, καὶ χρημάτων ἄθροισιν ποιουμένους. « Νομαὶ γὰρ πλουσίων πτωχοὶ, » κατὰ τὸ γεγραμμένον. Ὡς ἐξῃρημένης δὴ οὖν εἰσάπαν τῆς Νινευὴ, καὶ ἁπάσης δὲ τῆς περιοίκου χώρας, Ποῦ δὴ ἄρα, φησὶ, τὸ τῶν λεόντων κατάλυμα; ποῦ δὲ τῶν σκύμνων ἡ νομή; Ὅτι δὲ ἀσφαλὲς οἱονεὶ γέγονέ πως ὁρμητήριον τῶν κατὰ καιροὺς βεβασιλευκότων ἡ Νινευὴ, δέδειχεν εἰπών· « Οὗ ἐπορεύθη λέων τοῦ εἰσελθεῖν ἐκεῖ, σκύμνοι λέοντος, καὶ οὐκ ἦν ὁ ἐκφοβῶν. » Ἀπόρθητον γὰρ τῇ πόλει τὸ τεῖχος ταῖς ὑπὲρ λόγον μεγαλουργίαις εὖ μάλα πεποιημένον. Ἐπειδὴ δὲ τὴν Σαμάρειαν ἅπασαν καταδῃώσας ὁ Ναβουχοδονόσορ, καὶ αὐτὴν δὲ τὴν Ἰουδαίαν, καὶ τὴν ἁγίαν πόλιν, φημὶ δὴ τὴν Ἱερουσαλὴμ, ἀπεκόμισε μὲν εἰς τὴν ἑαυτοῦ τοὺς ἐξ αἵματος Ἰσραὴλ. Διατέθεικε δὲ οὕτως ἐπ' ἐξουσίας τοὺς ἅπαξ ἐνειλημμένους, ὡς τοὺς μὲν ὑφ' ἑαυτὸν ποιῆσαι, καὶ δεδεμένους ἔχειν, τοὺς δὲ καὶ ἑτέροις χαρίζεσθαι, καὶ καταπωλεῖν, καὶ πλήρη τὴν ἑαυτοῦ χώραν τε καὶ πόλιν τῶν δορυκτήτων ἔχειν. Ταύτῃ φησί· « Ὁ λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ, καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ, καὶ ἔμπλησε θήρας νοσσιὰν αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἁρπαγῆς. » Πεποίηται δὲ πάλιν ὁ λόγος ὡς ἐκ τοῦ γίνεσθαι πεφυκότος. Ἁρπάσαντες γὰρ οἱ θῆρες τὸ παρεμπίπτον, εἶτα τὸ ἀρκοῦν κατεδηδοκότες, ἀποστρέφουσι τὸ λοιπὸν τοῖς σκύμνοις, τοὺς ἰδίους αὐτοῖς δανείζοντες πόνους.

Λέγοιντο δ' ἂν τὰ τοιάδε πάλιν καὶ ἐπ' αὐτοῦ τοῦ

Vere autem hæc accidisse, qui in nos tyrannidem occupaverat Satanæ, et simul ejus malignis potestatibus, ipsi quoque asserimus. Postquam enim veteri illo honore, et gloria ejecti sunt, ecs omnimodis talia perpeti qui tandem non decebat?

Vers. 11, 12. *Ubi est habitaculum leonum, et pascua exsistens catulis leonum? Quo abiit leo, ut ingrederetur illuc catulus leonis, et non est qui exterreat? Leo rapuit sufficientia catulis suis, et suffocavit leonibus suis, et implevit venatione nidum suum, et habitaculum suum rapina.*

XXIV. Habitaculum leonum appellat Niniven. Habitarunt enim in ea, feceruntque habitationem inclytam, et admirandam, et regiam tutam, qui suis temporibus ibidem regnaverunt Phua, et Salmanasar, et Senacherib, atque etiam Nabuchodonosor. Hi enim Judæam armis adorti sunt. Illud, *ubi est*, non puto esse interrogantis. Censeo enim cavendam ineptiam. Exprobrat autem potius, et omnimodis periisse, quod ejus ne vestigium quidem exstet, per hoc ostendit. « Consummata enim, et ablata est, » ut ait. « Ubi igitur est, inquit, leonum habitaculum? « id est, Ninive: « ubi vero pascua catulorum? » Et catulos quidem, ut ego sentio sub maximo rege degentes, et subditos et ab ipso honoratos, satrapas scilicet et duces: eorum autem pascua subjectos, et sub jugum missos, et tributa pendentes, et coactores appellat. « Pascua enim divitum sunt pauperes, » juxta Scripturas [96]. Ut ergo jam deleta tota Ninive, et omni regione finitima ad vastitudinem redacta, ubi igitur, inquit, est leonum diversorium? ubi catulorum pascua? Fuisse autem tutum quasi receptaculum Niniven eorum qui olim regnaverunt, declarat, dicens: « Ad quam ivit leo, ut ingrederetur illuc catulus leonis, et non est qui exterreat. » Murus enim quo urbs circumdatur, supra quam dici potest magnifice et commodissime constructus atque inexpugnabilis erat. Postquam autem Nabuchodonosor totam Samariam, ipsamque Judæam, et sanctam civitatem, Hierosolymam, inquam, depopulatus est, in suum **503** regnum Israelitas demigrare fecit. Sic autem semel vi subjugatos tractavit, ut alios quidem sub se, et vinctos retineret: alios aliis gratificaretur, et venderet, et suam regionem atque urbem captivis refertam haberet. Proinde ait: « Leo rapuit sufficienter catulis suis, et suffocavit leonibus suis, et implevit venatione nidum suum, et habitaculum suum rapina. » Rursum secundum id quod fieri solitum est loquitur. Nam feræ cum obvia rapuerunt, et quod sufficit comederunt, avertunt reliquum pascendis catulis, suos labores illis mutuantes.

Hæc rursum etiam de Satana dici queant, post-

[96] Eccli. XIII, 23.

Digitized by Google

quam Christus ipsum, et quæ sunt ejus, fundi- A tus perdidit, et prædam illi de terra abstulit. « Molas quippe leonum confregit, » juxta vocem Psallentis [97].

VERS. 13. *Ecce ego ad te, dicit Dominus omnipotens, et succendam in fumo multitudinem tuam, et leones tuos comedet gladius : et exterminabo de terra prædam tuam, et non audientur ultra opera tua.*

XXV. Seipsum Deus opponit, et per se adversatur, ad desperationem salutis eos impellens. Deo enim affligere volente, quis est qui salvet ? aut vastare instituentem Dominum exercituum quis coercebit ? « Manum enim ejus excelsam quis avertet ? » ut scriptum est [98]. Succensurum se ait in fumo multitudinem ejus, ut rursum tale quidpiam cogitemus. Apiarii, cum suo tempore favos ex alvearibus eximere volunt, ignem accendunt, et apes fumo prosequuntur, ne densatim circumvolantes pugnent, et aculeis suis ipsos convulnerent. Hujuscemodi quidpiam quos in discrimine suo Ninive acciverat, sociis evenit. Abscesserunt enim, et aufugerunt, bello, ut fumo eos impetente, et ad ignaviam consternante, metumque immensum illis incutiente. Leones autem nominat robustissimos et præfidentes, qui forsitan resistere ausi sunt. Nihilominus gladio Cyri ceciderunt. Et quia leonum mentionem induxit, necessario et prædam illorum exterminatum iri dicit, ut nihil amplius apud eos exstet cui fidere possis. Solebant enim adoriri, et in urbes ac regiones quas forte collibuisset, more belluarum irruere, et innumera maleficia importare, ut calamitate obruti, **504** cantilenæ et lamentationis argumentum vulgo fierent. Exterminatum porro iri eorum prædam ait. Quo pacto enim de cætero, aut quem caperent, cum plebs consternata esset, et tanquam fumum fugisset, bellicosissimi autem occubuissent, qui ceu leones se in adversarios incitabant ?

Excitatus est etiam adversus Judæos Domini sui mactatores universorum Deus, ut per omnem ventum vulgus Judaicum dissiparet [99], et instar ferarum crudelium cæteris clariores una interirent. Intolerandum quippe in modum in Christum omnium Salvatorem se impie gesserunt.

CAP. III.

VERS. 1. *O civitas sanguinum, tota mendax plena iniquitatis !*

XXVI. Civitatem sanguinum appellat : promptissimi namque ad cædes, et admodum sanguinarii fuerunt reges Ninives. Alii ex eorum numero belli cupidi, et in quos ducerent, eos semper implacabili feritate vexare connitentes. Mendax autem, inquit, quoniam idolorum plena, in quibus maxime per-

[97] Psal. LVII, 7. [98] Isa. XIV, 27. [99] Zachar. II, 6.

Σατανᾶ, Χριστοῦ κατωλοθρευκότος αὐτόν τε καὶ τὸ αὐτοῦ, καὶ ἐξηρηκότος αὐτοῦ τὴν θήραν ἐκ γῆς. « Συνέτριψε γὰρ τῶν λεόντων τὰς μύλας, » κατὰ τὴν φωνὴν τοῦ Ψάλλοντος.

Ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει Κύριος ὁ παντοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός σου, καὶ τοὺς λέοντάς σου καταφάγεται ῥομφαία, καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ οὐκέτι τὰ ἔργα σου.

ΚΕ'. Ἑαυτὸν ἀνθίστησι Θεὸς, καὶ αὐτουργὸς ἀνθίστατο, περιτρέπων εἰς ἀπόγνωσιν τῆς σωτηρίας αὐτούς. Θεοῦ γὰρ κακοῦν ἐθέλοντος, τίς ὁ σώζων ἔτι; ἢ τίς ἀποστήσει καταδῆσαι ἐθέλοντα τὸν τῶν δυνάμεων Κύριον; « Τὴν γὰρ χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » κατὰ τὸ γεγραμμένον. Ἐκκαύσειν γε μὴν ἐν καπνῷ τε πλῆθος αὐτῆς φησι, ἵνα τι τοιοῦτον ἐννοῶμεν πάλιν. Οἱ μελιττοκόμοι, κατὰ καιροὺς ὅτε τὰ κηρία τῶν σίμβλων ἐξορύττειν ἐθέλουσι, πῦρ ἐνάπτοντες καπνῷ τὰς μὲν μελίσσας διώκουσιν, ἵνα μὴ μάχοιντο, καὶ κατατιτρώσκωσι τοῖς κέντροις αὐτοὺς ἀθρόαι περιπετώμεναι. Συμβέβηκέ τι τοιοῦτον ἐν τοῖς κεκλημένοις ἐπικούροις κινδυνευούσῃ τῇ Νινευή. Ἀπῆρχοντο γὰρ, καὶ ἀπέδρασαν οἷα καπνοῦ τοῦ πολέμου προσβάλλοντος, καὶ καταπτοοῦντος εἰς κακανδρίαν, καὶ ἀφορήτοις αὐτοὺς ἐνιέντος δείμασι. Λέοντάς γε μὴν ὀνομάζει τοὺς ἀλκιμωτάτους καὶ θρασεῖς, οἳ καὶ τάχα που τεθαρσήκασι τὴν ἀντίστασιν. Πλὴν ἔργον γεγόνασι τῆς Κύρου ῥομφαίας. Ἐπειδὴ δὲ ὁ λόγος ἡμῖν τὴν τῶν λεόντων εἰσκεκόμικε μνήμην, ἀναγκαίως καὶ τὴν αὐτῶν θήραν φησὶ ἐξολοθρευθήσεσθαι, ὡς μηδὲν ἔτι γενέσθαι τῶν παρ' αὐτοῖς ἀξιόπιστον. Ἔθος γὰρ ἦν ἐπιφύεσθαι μὲν αὐτοὺς πόλεσί τε καὶ χώραις, ἐπιθρώσκειν τε θηριοπρεπῶς, οἷον ἂν ἔλοιντο τυχὸν, μυρία τε ὅσα δρᾷν, ὡς τῶν πεπονθότων τὰς συμφορὰς ᾠδὴν καὶ θρῆνον πολλοῖς γενέσθαι. Ἐξολοθρευθήσεσθαι δέ φησι αὐτῶν τὴν θήραν. Πῶς γὰρ ἔμελλον, ἢ τίνα λοιπὸν καταθηρεύσειεν ἔτι, κατεπτοημένων μὲν τῶν ἀγελαίων, καὶ πεφευγότων ὡς ἐκ καπνοῦ, πεπτωκότων δὲ τῶν μαχιμωτάτων, οἳ δίκην λεόντων τοῖς ἀνθεστηκόσιν ἐπεφύοντο;

Ἐπεγήγερται δὲ καὶ τοῖς κυριοκτονήσασιν Ἰουδαίοις ὁ τῶν ὅλων Θεὸς, ὡς εἰς πάντα μὲν ἄνεμον τὴν τῶν ἀγελαίων κατασκευασθῆναι πληθὺν, θῆρας δὲ ὥσπερ ὠμοὺς συνδιολέσθαι πολλοῖς τοὺς τῶν ὅλων ἐπιφανεστέρους. Οὐ φορητῶς γὰρ ἐξυβρίσθησαν εἰς τὸν τῶν ὅλων Σωτῆρα Χριστόν.

ΚΕΦΑΛ. Γ'

Ὦ πόλις αἱμάτων, ὅλη ψευδὴς, πλήρης ἀδικίας!

ΚΣ'. Αἱμάτων αὐτὴν πόλιν ὠνόμασεν· ἑτοιμότατοι γὰρ εἰς φόνους, καὶ φιλαίματοι λίαν οἱ τῆς Νινευὴ βεβασιλευκότες. Φιλοπόλεμοι δὲ καὶ ἕτεροι οἱ ἐν αὐτοῖς, καὶ ἀτιθάσσους ἀεὶ καθ' ὧν ἂν ἴοιεν τὰς ἐφόδους ποιεῖσθαι σπουδάζοντες. Ψευδὴς δὲ, φησὶν, ὅτι καὶ εἰδώλων μεστὴ, ἐφ' ὧν μάλιστα τὸ ψεῦδος, οὐκ ἀνα-

Digitized by Google

πόδεικτον δέ. Ψευδώνυμοι γὰρ, καὶ τὴν τῆς θεότητος δόξαν ὁποκλέπτοντες οἱ χειρόκμητοι θεοὶ, « Ἀργύριον καὶ χρυσίον, κατὰ τὸ γεγραμμένον, ἔργα χειρῶν ἀνθρώπων. » Γῆν δὲ αὐτὴν τῶν γλυπτῶν ἀπεκάλεσέ που καὶ ὁ σοφὸς Ἱερεμίας. Ψευδὴς δ' ἂν νοοῖτο καὶ καθ' ἕτερον, ὡς νοουμένου τοῦ ψεύδους εἰς πανουργίαν, καὶ δόλον, καὶ ἀπάτην τὴν θεομισῆ, δηλονότι συνθεούσης καὶ ἀδικίας. Οὗ γὰρ ἀπάτη καὶ δόλος, ἐκεῖ που πάντως ἕψεται τὸ ἀδικεῖν. Αἱμάτων δὲ πόλις, καὶ ψευδὴς ἀληθῶς ἡ κυριοκτόνος Ἱερουσαλήμ. Διαμεμνήμεθα γὰρ εἰπόντος τοῦ Χριστοῦ· « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν. » Ἔφη δέ που καὶ διὰ φωνῆς προφητῶν· « Οὐαὶ αὐτοῖς ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ. Ἐγὼ ἐλυτρωσάμην αὐτοὺς, αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. » Κατειρήκασι γὰρ τοῦ Χριστοῦ, ποτὲ μὲν λέγοντες, ἐν Βεελζεβοὺλ ἐκβάλλειν αὐτὸν τὰ δαιμόνια· ποτὲ δὲ κάτοινον ὀνομάζοντες, Σαμαρείτην τε πρὸς τούτῳ, καὶ τὰ πολὺ λίαν αἰσχίονα. Ταῖς γὰρ ἐκείνων ἀθυροστομίαις πρέποι ἂν καὶ μόναις ἐκεῖνα ληρεῖν, ἃ καὶ φάναι τετολμήκασιν.

A spicitur mendacium, idque demonstrari potest. Mentiuntur enim nomen, et divinitatis gloriam sufurantur dii manufacti : « Argentum et aurum, ut scriptum est, opera manuum hominum [1]. » Terram sculptilium alicubi etiam sapiens Jeremias nuncupavit [2]. Mendax autem secundum aliud quoque intelligi potest, ut si accipiatur mendacium ad calliditatem, dolum, fraudem Deo invisam, iniquitate videlicet concurrente. Ubi enim fraus et dolus, illic omnino etiam sequetur iniquitas in faciendа injuria. Sanguinum vero civitas, et mendax revera Domini interemptrix Jerusalem. Memini enim Christum dicere : « Jerusalem, Jerusalem, quæ occidit prophetas, et lapidavit qui ad ipsam missi fuerant [3]. » Cæterum quodam loco etiam voce prophetarum inquit : « Væ eis, quoniam recesserunt a me : miseri sunt, quoniam impie egerunt in me. Ego redemi eos, ipsi autem locuti sunt contra me mendacia [4]. » Calumniabuntur enim Christum, nunc quidem dicentes, in Beelzebul ipsum ejicere dæmonia [5], nunc vinolentum vocantes [6] : ad hæc Samaritanum [7], et multo inhonestioribus. Ipsorum namque linguæ incontinentiam et solam decuerit illa nugari, quæ et profari non dubitarunt.

Οὐ ψηλαφηθήσεται θήρα. Φωνὴ μαστίγων, καὶ φωνὴ σεισμοῦ τροχῶν, καὶ ἵππου διώκοντος, καὶ ἅρματος ἀναβράσσοντος, καὶ ἱππέως ἀναβαίνοντος, καὶ στιλβούσης ῥομφαίας, καὶ ἐξαστραπτόντων ὅπλων, καὶ πλήθους τραυματιῶν, καὶ βαρείας πτώσεως, καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς, καὶ ἀσθενήσουσιν ἐν τοῖς σώμασιν ἀπὸ πλήθους πορνείας.

505 VERS. 2, 3. *Non contrectabitur venatio. Vox flagellorum, et vox commotionis rotarum; et equi persequentis, et currus ferventis, et equitis ascendentis, et splendentis rhomphææ, et fulgurantium armorum, et multitudinis vulneratorum, et gravis ruinæ, et non est finis gentibus ejus, et infirmabuntur in corporibus a multitudine fornicationis.*

ΚΖ'. Ἐκ τοῦ πεφυκότος γίνεσθαι, πεποίηται πάλιν ὁ λόγος. Τοὺς γάρ τοι δασὺ κομῶντας τῶν θάμνων καταπυκάζοντες λίνοις οἱ ὀρνιθοθῆραι, καταδράττονται πολλάκις τῶν ὑπ' αὐτοῖς κεκρυμμένων χερσὶν ἐπαφώμενοι. Καὶ τέχνη τοῦτο αὐτοῖς. Οὐκ ἔτι δὴ οὖν « ψηλαφηθήσεται θήρα, » φησὶ, τουτέστιν, οὐκ ἂν θηρεύσειαν καθὼς καὶ πάλαι τινὲς, ἤγουν τὰ ἑτέρων εἰς αὐτοὺς διαρπάζοντες. Οὐδ' ἂν γένοιντο πάγη καὶ βρόχος τοῖς ἀσθενεστέροις, φροντίδος αὐτοῖς ἑτέρας ἐπεισπεσούσης, καὶ τοῦ περὶ ἰσχάτων ἀγῶνος ἐπηρτημένου. Ἔσται γὰρ ἐν αὐτῇ φωνὴ μαστίγων. Καί μοι πάλιν ὁ προφήτης δοκεῖ τὴν ἐκ τοῦ πολέμου τύρβην, οἷον ἐν ὄψει κειμένην, ἀφηγεῖσθαι σαφῶς. Ὁρᾷ γὰρ ὥσπερ ἱπποκροτουμένην μὲν τὴν πόλιν, καὶ τοῖς τροχοῖς τῶν ἁρμάτων κατακτυπουμένην, καὶ παντευχίαις λαμπραῖς καταστρέπτοντας τοὺς καταδηοῦντας αὐτὴν, καὶ ἀριθμοῦ κρείττονας τοὺς διολωλότας, οἴκους τοὺς ἐν αὐτῇ κατασεσεισμένους. Μέμνηται γὰρ καὶ βαρείας πτώσεως. Κατατέθηπε δὲ, ὅτι πλείστη μὲν ὅση τῶν ἐν αὐτῇ συναγηγερμένων ἐθνῶν ἡ πληθὺς, πάντες δὲ ἄνανδροι, καὶ νοσοῦντες τὸ ἄναλκι ἐκτόπως, καὶ πολὺ λίαν εὔκολοι πρὸς δειλίαν, καὶ τὴν αἰτίαν εὐθὺς ἀποδίδωσι, λέγων, « Ὅτι ἀσθενήσουσιν ἐν τοῖς σώ-

XXVII. Iterum secundum fieri solita loquitur. Dense enim comantes frutices retibus operientes aucupes, aves sæpe sub ipsis latentes manibus comprehendunt. Et in hoc artifices sunt. Non igitur in posterum « contrectabitur venatio, » inquit, hoc est, non venabuntur quidam ut olim, sive aliena sibi non rapient. Non fient tendiculæ, et laqueus tenuioribus, alia cura illos occupante, et de summa rerum ipsis jam laborantibus. Audietur enim in illa sonitus flagellorum. Ac mihi præterea videtur propheta tumultuationem prælii velut ante oculos positam perspicue commemorare. Videt enim quodammodo urbem equorum ungulis pulsatam, et curruum rotis perstrepentem, et omni armorum genere clarissime fulgentes vastatores, et innumeros eversores, ædes ejus conquatientes. Meminit enim et gravis ruinæ. Et miratur quod innumerabili gentium multitudine ibidem congregata, omnes imbelles, et viribus majorem in modum imbecilles, et ad timorem propensissimi fuerint, causamque continuo adjungit, « Quia infirmabuntur in corporibus suis a multitudine fornicationis. » Quoniam enim nequam fuerunt, et moribus improbi, insuper idololatræ, et ad errorem stolide inclinaverunt, ob eam

[1] Psal. CXIII, 4. [2] Jerem. L, 38. [3] Matth. XXIII, 37. [4] Osee, VII, 13. [5] Matth. XII, 24. [6] Matth. XI, 19. [7] Joan. VIII, 48.

Digitized by Google

causam juste infirmi et pertimidi erunt, et ne ad momentum quidem defectionem suam agnoscere sustinebunt.

μασιν αὐτῶν ἀπὸ πλήθους πορνείας. » Ἐπειδὴ γὰρ φαῦλοι γεγόνασι, καὶ πονηροὶ τοὺς τρόπους, καὶ προσέτι καὶ εἰδωλολάτραι, καὶ εἰς πλάνησιν ἐκτόπως ἀπονενευκότες, ταύτῃτοι δικαίως ἀσθενεῖς ἔσονται, καὶ περιδεεῖς, καὶ οὐδ' ὅσον εἰπεῖν κἂν γοῦν ἐννοῆσαι μόνον ἀνασχόμενοι τὴν ἀπόστασιν.

VERS. 4. *Meretrix speciosa et grata, dux veneficiorum, quæ vendit gentes in fornicatione sua: et tribus in veneficiis suis.*

XXVIII. Laus in turpibus crimina exaggerat, ut si quis, exempli gratia, dicat, fur artificiosus, et latro fortis, et præstigiator ingeniosus. Quamobrem etiamsi de Ninive dicat, « Meretrix speciosa et grata, » multum abest **506** ut hoc ipso magis laudetur : imo vero vehementius vituperantur. Mulierculæ enim meretriciam facientes tum præcipue multum se commendare, et gratas reddere videntur, cum garrulas et facetas sese præstiterint. Talis fuit et Ninive, non indocta ad male agendum, nec imbecillis ac insufficiens ad urbes et regiones capiendas, et ad suum sensum placitumque illis persuadendum, per præstigias scilicet, falsas prædictiones, profana mysteria, idolorumque ineptias. Eo enim nugacitatis pervenerat, ut adeo turpia et gravissime reprehensa pro gloriosis duceret. Solebant autem quidam Ninivitarum gentes et regiones vendere in veneficiis suis. Qua via et quanam ratione, ut possumus, explanabimus. Assyriis bellum gerere, et arma aliis movere volentibus mos fuit prius ex magorum artibus conari eventum discere : qui honoribus ab rege habendis irrepentes, bello quovis superiores, et sua opera industriaque hostes prius enervaturos mentiebantur. Quale quiddam Moabitarum rex Balac facere occepit. Balaam quippe sceleratum, pretio conducebat, et in montem adducto dicebat : Agedum exsecrare mihi Israelem. Credebant enim magorum detestationes res ipsas secuturas. Fornicationem vero hoc loco artem magicam appellat, per quam ejus gnari gentes et tribus vendebant, dum semper mercedes offerentibus voti compotes fore pollicerentur.

Πόρνη καλὴ, καὶ ἐπίχαρις, ἡγουμένη φαρμάκων, ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ φυλὰς ἐν τοῖς φαρμάκοις αὐτῆς.

ΚΗ'. Ἐπ' αἰσχροῖς ἔπαινος ἐπίτασιν ἔχει τῶν ἐγκλημάτων, οἷον ὡς εἴ τις ἔλοιτο λέγειν περὶ τοῦ τῶν ὄντων, ὅτι κλέπτης τεχνίτης, καὶ λῃστὴς ἀνδρεῖος, καὶ γόης εὐφυής. Οὐκοῦν κἂν εἰ λέγοι περὶ τῆς Νινευὴ, « Πόρνη καλὴ καὶ ἐπίχαρις, » οὐ πρὸς ἔπαινον μᾶλλον αὐτῇ τὸ χρῆμα ἔσται, πολλοῦ καὶ δεῖ, χαλεπωτέραν δὲ μᾶλλον τὴν κατάρρησιν ἀπεργάσεται. Γύναια γὰρ ἑταιριζόμενα τότε δὴ μάλιστα δοκοῦσι πολὺ τὸ ἐπίχαρι μελετᾷν, ὅτε φαίνοιντο στωμύλα καὶ κομψοεπῆ. Τοιαύτη καὶ ἡ Νινευὴ τεχνίτις εἰς κακουργίαν, καὶ οὐκ ἀνικάνως ἔχουσα πόλεις τε καὶ χώρας ἑλεῖν, καὶ ἀναπεῖσαι φρονεῖν τὰ αὐτῇ δοκοῦντα καὶ φίλα· ταῦτα δὲ ἦν γοητεῖαι, καὶ ψευδομαντεῖαι, καὶ βέβηλοι τελεταὶ, καὶ τὰ εἰδώλων παίγνια. Καθίκετο γὰρ εἰς τοῦτο ληρῳδίας, ὡς ἐν εὐκλείας λόγῳ ποιεῖσθαι τὰ οὕτως αἰσχρὰ, καὶ τὴν ἐσχάτην λαχόντα καταδοήν. Ἔθος δὲ ἦν τῶν ἐν αὐτῇ τισιν ἔθνη τε καὶ χώρας καταπωλεῖν ἐν τοῖς φαρμάκοις αὐτῶν. Πῶς δὲ ἢ τίνα τρόπον, ἐροῦμεν, ὡς ἔνι. Ἔθος ἦν Ἀσσυρίοις, πολεμεῖν ἐθέλουσι, καὶ ὅπλα κινοῦσι καθ' ἑτέρων, ταῖς τῶν μάγων τέχναις προαναμανθάνειν ἐπείγεσθαι τὰ ἐσόμενα. Οἱ τὰς ἐκ βασιλέως τιμὰς ὑποτρέχοντες, κατευμεγεθεῖν πολέμου παντὸς ἐκέλευον, καὶ τοῖς σφῶν ἐπιτηδεύμασι προαπονευροῦν ἐψεύδοντο τοὺς ἀνθεστηκότας. Ὁποῖόν τι πράττειν ἤθελεν ὁ Βαλὰκ, ὁ Μωαβιτῶν βασιλεύς. Κατεμισθοῦτο γὰρ δὴ τὸν ἀλιτήριον Βαλαὰμ, καὶ δὴ καὶ εἰς ὄρος ἀνεκόμιζε, λέγων· Δεῦρο κατάρασαί μοι τὸν Ἰσραήλ. Ἤοντο γὰρ, ὅτι ταῖς τῶν μάγων ἀραῖς ἀκολουθήσει τὰ πράγματα. Πορνείαν δὴ ἐν τούτοις ὀνομάζει τὴν γοητικὴν τέχνην, δι' ἧς κατεπώλουν καὶ φυλὰς οἱ ταῦτα σοφοὶ, ἀεὶ τὸ κρατήσειν ὑπισχνούμενοι τοῖς προσάγουσι μισθούς.

VERS. 5, 6. *Ecce ego ad te, dicit Dominus omnipotens. Et discooperiam posteriora tua super faciem tuam, et ostendam gentibus turpitudinem tuam, et regnis ignominiam tuam. Et projiciam super te abominationem secundum immunditias tuas, et ponam te in exemplum.*

XXIX. Rursum indicat, non illi rem, neque bellum esse cum homine : iratum vero ipsi Dominum exercituum contra eam Persas et Medos excitare. Omnium autem rerum potestatem, universorumque imperium habenti Deo quis est qui quasi adversa acie occurrere audeat, si quos oppugnare decreverit ? Subjicit, « Et discooperiam posteriora tua in faciem tuam. » Contigit ei insuper quod meretrici. Quæ qua de facie, et exteriore eaque fucata pulchritudine aspicientibus amabilis : vestibus autem exuta, nudo plane corpore muliebrium membrorum deformitatem palam exhibens fœda

Ἰδοὺ ἐγὼ ἐπὶ σὲ, λέγει Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, Καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου, καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σου, καὶ βασιλείαις τὴν ἀτιμίαν σου. Καὶ ἐπιρρίψω ἐπὶ σὲ βδελυγμὸν κατὰ τὰς ἀκαθαρσίας σου, καὶ θήσομαί σε εἰς παράδειγμα.

ΚΘ'. Ὅτι μὴ πρὸς ἄνθρωπον ὁ λόγος αὐτῇ, μήτε μὴν ὁ πόλεμος, ἐπεμήνισε δὲ μᾶλλον ὁ τῶν δυνάμεων Κύριος, καὶ κατεξανίστησιν αὐτῆς Πέρσας τε καὶ Μήδους, κατασημαίνει πάλιν. Τῷ δὲ δὴ πάντων ἐξουσιάζοντι Θεῷ, καὶ τῷ τῶν ὅλων ἔχοντι κράτος, τίς ὁ ἀντεξάγων, εἰ πολεμεῖν ἕλοιτό τισιν; Εἶτά φησι, ὅτι « Καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου. » Γέγονε δὲ πάλιν ὡς ἐπὶ γυναικὸς ἑταιριζομένης, ἥ, ὅσον μὲν ἧκει εἰς πρόσωπον καὶ τὸν ἔξωθεν ὡραϊσμὸν, ἀξιέραστος εἶναί τις τοῖς ὁρῶσι δοκεῖ· εἰ δὲ δὴ πάθῃ τὴν ἀπαμφίεσιν, γυμνῷ πάντως ἀσχημονήσει σώματι, τῶν μορίων τὸ ἀκαλ-

Digitized by Google

λὲς ἀκρύπτως ἐκφαίνουσα. « Ἀποκαλύψω δὴ οὖν, φησὶ, τὰ ὀπίσω σου · » τουτέστι, Πᾶν ὅσον ἐστὶν ἄσχημον ἐν σοὶ, καὶ πρό γε τῶν ἄλλων παραδείξω σοι. Τὸ γὰρ, εἰς πρόσωπον, τί ἕτερον ἡμῖν, ἢ τοῦτο πάντως ὑπεμφήνειεν ἄν; Ἀποκαλύψειν δὲ οὐδὲν ἧττον ἔθνεσί τε καὶ βασιλεῦσι τὴν ἀτιμίαν αὐτῆς διαῤῥήδην ἔφη. Ἐδόκει μὲν γὰρ ὡραία τις εἶναι καὶ ἀξιέραστος ἡ Νινευὴ, ταῖς τῶν μάγων τέχναις ὀφρυωμένη, καὶ τὴν κατὰ πάντων ἀρχὴν καὶ δυναστείαν ἁρπάζουσα, εὐσθενῶς τε καὶ ἄγαν ἀμαχεὶ κατὰ πάντων λαβοῦσα τὸ νικᾷν. Ἐπειδὴ δὲ ἥλω καὶ πέπτωκεν, ἀσχήμων καὶ ἀτερπὴς παρά γε τοῖς αὐτὴν εἰδόσι κατεφαίνετο, οἳ καὶ βδελυρὰν ἡγοῦντο λοιπὸν, κατεγνωκότες που πάντως, ὡς μεγαλαυχήσασαν μὲν ἐπὶ μηδενὶ, ἐπιθαρσήσασαν δὲ μᾶλλον ταῖς ἐκ μάγων ἐπικουρίαις, μᾶλλον δὲ φενακισμοῖς καὶ ἀπάταις. Διεβεβαιοῦτο δὲ ὅτι τεθήσεται καὶ παράδειγμα, ὡς ἐρούντων ἔσθ' ὅτε τινῶν, εἰ δὴ διόλοιτο πόλις, ἢ χώρα, πεπόρθηκέ τε καὶ πέπτωκε, « καθὰ καὶ ἡ ταλαίπωρος Νινευή. »

A apparet. Inquit igitur, « Discooperiam posteriora tua. » Hoc est totum, quantum in te turpe est, **507** ante alios tibi ostendam. Quid enim aliud omnino quam hoc, « in faciem, » sibi velit? Nihilominus et gentibus et regibus se ignominiam ejus revelaturum manifeste denuntiat. Videbatur enim Ninive pulchra et amabilis, magorum artibus supercilium tollens, et in omnes imperium dominatumque arripiens, potenterque et citra pugnam omnes devincens. Ast ubi subjugata et eversa est, deformem et indecoram judicarunt qui ante illam noverant, qui etiam deinceps eam abominati, ut super nihilo magnifice gloriantem, et auxiliis potius magicis, imo imposturis, et fallaciis confisam contempserunt. Confirmat item, in exemplum propositum iri ut B aliquando dicturis quibusdam super urbibus deletis, aut regionibus vastatis, « sicut et misera Ninive. »

Πεπολέμηκε δὲ, ὡς ἔφην, καὶ τῇ τῶν Ἰουδαίων Συναγωγῇ κατὰ καιροὺς ὁ τῶν ὅλων Θεὸς, καὶ τῆς εἰς Χριστὸν ἀσεβείας τὰς δίκας ἐπράττετο, γυμνὴν καὶ ἀσχήμονα ἀναδεικνύων, καὶ τῆς ἄνωθεν περιστολῆς ἀμοιροῦσαν παντελῶς· καὶ τοῦτο προανεφώνει διὰ φωνῆς Ὡσηὲ, λέγων· « Διὰ τοῦτο ἐπιστρέψω, καὶ κομιοῦμαι τὸν σῖτόν μου καθ' ὥραν αὐτοῦ, καὶ τὸν οἶνόν μου καὶ ἐν καιρῷ αὐτοῦ, καὶ ἀφελοῦμαι τὰ ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύπτειν τὴν αἰσχύνην αὐτῆς· καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐνώπιον τῶν ἐραστῶν αὐτῆς, καὶ οὐδεὶς οὐ μὴ ἀφέληται αὐτὴν χειρός μου. » Ἡ μὲν γὰρ ἐξ ἐθνῶν Ἐκκλησία δοξολογήσει, λέγουσα· « Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης · » ἡ δὲ, ὡς ἔφην, γυμνὴ, καὶ ἀσχήμων, καὶ ἀκαλλὴς ὁρᾶται λοιπὸν, καὶ τῶν θείων χαρισμάτων οὐκ ἔχουσα τὴν περιστολήν. Γέγονε δὲ καὶ εἰς παράδειγμα, καὶ βδελυρωτάτη, καὶ πᾶν εἶδος νοσοῦσα κοσμικῆς ἀκαθαρσίας.

Oppugnavit etiam' aliquando Judæorum Synagogam universorum Deus, sicut dixi, et impietatis in Christum admissæ pœnas exegit, nudam, et fœdam, et supernis indumentis prorsus carentem ostentans, id quod per Oseam prædixit: « Propterea revertar, et tollam triticum meum in tempore suo, et vinum meum in tempore suo, et auferam vestimenta mea, et linteamina mea, ne operiant ignominiam ejus; et nunc revelabo immunditiam ejus in conspectu amatorum illius, et nullus eruet eam de manu mea [8]. » Ecclesia siquidem ex gentibus congregata, laudans dicet: « Exsultet anima mea in Domino: induit enim me vestimento salutis, et tunica lætitiæ [9]: » hæc contra, ut dixi, jam nuda, et indecens, et deformis, et divinorum charismatum operimento carens cernitur. Facta est etiam in exemplum, et exsecratissima, et omni genere mundanæ immunditiæ ægrotans.

Καὶ ἔσται, πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ σοῦ, καὶ ἐρεῖ, Δειλαία Νινευὴ, τίς στενάξει αὐτήν; πόθεν ζητήσω παράκλησιν αὐτῇ;

VERS. 7. *Et erit omnis videns te, descendet a te, et dicet, Misera Ninive, quis gemet eam? Unde quæram consolationem illi?*

Λ'. Εἴ τις, φησὶ, τῶν πάλαι προεγνωκότων τὰς σὰς δυναστείας, πεσοῦσάν τε καὶ ἐρημωμένην καταθεάσαιτο, κατοιμώξει μέγα, καὶ ἀποφοιτήσει γοργῶς, ἐκεῖνο λέγων· « Τίς στενάξει αὐτήν; » Ὡς γὰρ ὄντος οὐδενὸς, ἤγουν ὑπολελειμμένου, τοῦ κἂν οἷόν τε ὄντος καταθρῆσαι μόνον, τὰ τοιάδε φησί. Σφόδρα δὲ σοφῶς προστέθεικε τούτῳ τὸ, « Πόθεν ζητήσω παράκλησιν αὐτῇ; » Καὶ ἔστι τῶν εἰρημένων τοιοῦτός τις ὁ νοῦς· Πολέμου καὶ μάχης συγκροτουμένων κατὰ πόλιν τυχὸν ἡ χώραν, ἀδικεῖται μὲν ἔσθ' ὅτε μέρος, σώζεται δέ τε καὶ τυχὸν τοὺς νενικηκότας διέδρα· καὶ τοῦτό ἐστι τοῖς ἐνοικοῦσι παράκλησις. Ἡ γὰρ οὐκ ἐμπέπρησται πᾶσα, καὶ μεμένηκεν ἀπόρθητος μοῖρα, ἢ πεπτώκασι μέν τινες, σέσωσται δὲ πληθὺς ἑτέρα. Ἐπὶ δέ γε τῆς Νινευὴ πόθεν ἄν τις ἔλοιτο τὴν

XXX. Si quis eorum, inquit, qui opes potentiamque tuam ante noverant, prostratam te ac desolatam viderit, altius ingemiscet, et e vestigio D abscedet, illud profatus: « Quis gemet eam? » Tanquam enim nemo ibi sit, hoc est, nemo relictus sit qui ea tantummodo aspicere queat, ita loquitur. Persapienter autem adjecit, « Unde quæram consolationem illi? » Quæ istiusmodi sententiam habent. **508** Bello et pugna per oppida, aut regiones interdum conflato, pars detrimenta accipit, pars forte victoribus elabitur: quæ res incolis solatio est. Aut enim non tota incensa est urbs, sicut regio, et pars non devastata remansit: aut ceciderunt quidem aliqui, multitudine altera salva et incolumi. Jam vero ad Ninivem consolandam,

[8] Osee, II, 9, 10. [9] Isa. LXI, 10.

Digitized by Google

unde quis consolationem hauriat? aut quis eam modus deliniet? Tota enim subacta, tota diruta est, et incolæ ejus ad unum perierunt. Jam illud, « Et quis gemet eam? » etiam illud significet, ut quasi dicat : Quis igitur tantus erit lamentationum et funebrium carminum artifex, ut tanto casu digna proloquatur, et istis malis, quod satis sit, illacrymet?

A παράκλησιν; ἢ ποῖος αὐτὴν παραμυθήσεται τρόπος; Πᾶσα γὰρ ἥλω, καὶ πᾶσα πεπόρθηται, καὶ διέλωλεν ἅπας ὁ ἐν αὐτῇ. Τὸ δὲ, « Τίς στενάξει αὐτήν; » καὶ ἕτερος ἂν νοοῖτο πάλιν· ὅμοιον εἰπεῖν· Ἆρα τίς ἔσται τεχνίτης οὕτως εἰς θρήνους, καὶ τὰς ἐπικηδείους ᾠδὰς, ὡς ἐπάξιόν τι τῶν συμβεβηκότων εἰπεῖν, καὶ τὸ ἀρκοῦν τοῖς πάθεσι καταστάξαι δάκρυον;

VERS. 8-10. *Præpara partem, apta chordam, præpara partem Animon quæ habitat in fluminibus. Aqua in circuitu ejus, cujus principium mare, et aqua muri ejus, et Æthiopia fortitudo ejus, et Ægyptus. Et non est finis fugæ tuæ. Et Libyes facti sunt auxiliatores ejus. Et ipsa in peregrinam regionem ibit captiva, et parvulos ejus allident in principiis omnium viarum ejus, et super omnia inclyta ejus mittent sortes, et omnes optimates ejus alligabuntur manicis.*

Ἑτοίμασαι μερίδα, ἄρμοσαι χορδὴν, ἑτοίμασαι μερίδα Ἀμμὼν, ἡ κατοικοῦσα ἐν ποταμοῖς. Ὕδωρ κύκλῳ αὐτῆς, ἧς ἡ ἀρχὴ θάλασσα, καὶ ὕδωρ τὰ τείχη αὐτῆς, καὶ Αἰθιοπία ἡ ἰσχὺς αὐτῆς, καὶ Αἴγυπτος. Καὶ οὐκ ἔστι πέρας τῆς φυγῆς σου. Καὶ Λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς. Καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσεται αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦσιν ἐπ' ἀρχὰς πασῶν τῶν ὁδῶν αὐτῆς, καὶ ἐπὶ πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσι κλήρους, καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται χειροπέδαις.

XXXI. Obscurus admodum est verborum propositorum sensus : nec aliter patebit quam si historia iis inclusa prius commemoretur. Sic autem habet. Postquam Israel defectionem molitus, idola colere cœpit, et mille impietatibus universorum Deum exasperavit, Nabuchodonosor, divina ira ipsum ad hoc exstimulante, adversus Judæam et Hierosolymam arma corripuit. Deinde cum Israelitæ quam tractabant impietatem omittere, et ab alienis diis adorandis abstinere velle, arasque evertere, et delubra inflammare, atque diruere et conflatilia conterere, et pœnitentiæ exercitiis Deum mitigare, et opem ejus implorare deberent, hoc miseri non faciebant. Rebantur autem se humanis adjutos viribus, et Babylonios domituros, et hostes in potestate habituros, quamvis Deus servare ipsos nollet. Qua de causa multas de finitimis gentibus præmiorum pactione alliciebant; etiam ad Ægyptios, et in Og dictam, sive Amon, quæ nunc est **509** Alexandria, mittebant, qui belli societatem coituros, et facile Babylonios repulsuros fidem dabant. Dabantque occasionem Israelitis existimandi quanquam non servaret Deus, se tamen nullius egentes, huic rei pares esse posse. Ubi vero Nabuchodonosor Deo ipsum adjuvante et adversarios illi subjiciente, Judæam occupavit, postmodum et Ægyptum, eodem duce et auspice invasit, totamque suæ ditionis fecit, una cum ipsa Og, sive Amon, hoc enim nomen, ut monui, Alexandria aliquando obtinuit, quæ supra alias Ægypti urbes plurimum excellebat, tuta a prædonibus, et securum perfugium, quod aquis undique ambiatur, et versus aquilonem mari alluatur, versus austrum vero latam et longam, et velut alterum mare, paludem, inquam, Mareotidem habeat : munita sit insuper aliis fluminibus, et lacubus cingatur [16]. Auxiliabantur etiam ipsi finitimæ Libyæ indigenæ, quæ usque ad Æthio-

ΛΑ'. Ἀσυμφανὴς μὲν λίαν τῶν προκειμένων ὁ νοῦς· νοηθείη δ' ἂν οὐχ ἑτέρως, εἰ μή τις γένοιτο προαφήγησις τῶν τῆς ἐν αὐτοῖς ἱστορίας. Ἔχει δὲ οὕτω· Τραπομένου πρὸς ἀπόστασιν τοῦ Ἰσραὴλ, καὶ εἰδώλοις λελατρευκότος, καὶ διὰ μυρίων ὅσων ἀσεβημάτων ἐφ' αὑτῷ καταθήγοντος τὸν τῶν ὅλων Θεὸν, ὡπλίζετο κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ τῶν Ἱεροσολύμων ὁ Ναβουχοδονόσορ, θείας αὐτὸν εἰς τοῦτο διανιστώσης ὀργῆς. Εἶτα δέον τοῖς ἐξ Ἰσραὴλ καταλῆξαι τῆς ἐν χερσὶν ἀσεβείας, καὶ ἀποσχέσθαι μὲν τοῦ προσκυνεῖν ἐθέλειν θεοῖς ἑτέροις, ἀναστρέψαι δὲ βωμοὺς, καὶ κατεμπρῆσαι τεμένη, καὶ συντρίψαι μὲν τὰ χωνευτὰ, καὶ ταῖς εἰς μετάγνωσιν σπουδαῖς ἐκμειλίσσεσθαι Θεὸν, καὶ καλεῖν εἰς ἐπικουρίαν, τοῦτο μὲν οὐκ ἔδρων οἱ τάλανες. Ἦν τοῦτο δὲ, ὅτι ταῖς ἐξ ἀνθρώπων ἐπικουρούμενοι συνδρομαῖς, καὶ ἀμείνους ἔσονται τῶν Βαβυλωνίων, καὶ κατευμεγεθήσουσι τῶν ἐχθρῶν, κἂν εἰ μὴ σώζειν αὐτοὺς ἔλοιτο Θεός. Τοιγάρτοι κατεμισθοῦντο πολλοὺς τῶν προσοίκων ἐθνῶν, ἐπρέσβευον δὲ καὶ πρὸς τοὺς Αἰγυπτίους, καὶ εἰς τὴν καλουμένην Ὦγ, ἤτοι Ἀμὼν, ἣ νῦν ἐστιν Ἀλεξάνδρεια· οἱ δὲ συνασπίζειν ἐπηγγέλλοντο, καὶ ἀποσοβεῖν εὐκόλως δύνασθαι τοὺς Βαβυλωνίους. Καὶ γεγόνασιν ἀφορμὴ τοῖς ἐξ Ἰσραὴλ τοῦ νομίζειν, ὅτι κἂν εἰ μὴ σώζει Θεὸς, αὐτοὶ πρὸς τοῦτο ἀρκέσουσι, δεηθέντες οὐδενός. Ἐπειδὴ δὲ τὴν Ἰουδαίαν ὁ Ναβουχοδονόσορ εἶλε, Θεοῦ προασπίζοντος καὶ ὑποστρωννύντος αὐτῷ τοὺς ἀνθεστηκότας, κεχώρηκε μετὰ τοῦτο καὶ κατὰ τῆς Αἰγύπτου, θείας αὐτὸν πεμπούσης ὀργῆς, εἷλέ τε πᾶσαν, καὶ αὐτὴν δὲ τὴν Ὦγ, ἤτοι Ἀμών· ὠνόμαστο γὰρ οὕτω κατὰ καιροὺς, ὡς ἔφην, ἡ Ἀλεξάνδρεια, ἣ δὴ καὶ μάλιστα παρὰ τὰς ἄλλας τῆς Αἰγύπτου πόλεις λαμπρά τε ἦν ἅγαν, ἀσυλόν τε καὶ ἀσφαλὲς ὁρμητήριον, διάτε τὸ ὕδασι πανταχοῦ διεζῶσθαι, καὶ ἐκ μὲν μοίρας τῆς βορειοτέρας ἔχειν τὴν θάλασσαν, ἐκ δὲ τῆς εἰς νότον εὐρύν τε καὶ μακρὰν, καὶ οἷον ἑτέραν θάλασσαν, λίμνην δὴ λέγω τὴν Μαρεώτιδα, πεπυργῶσθαι δὲ καὶ ἑτέροις

[16] IV Reg. XXIV, XXV, et I Paral. VI; II Paral. XXXVI.

Digitized by Google

ποταμοῖς, καὶ τελμάτων περιβολαῖς. Ἐπήμυνον δὲ αὐτῇ καὶ οἱ τῆς ὁμόρου Λιβύης οἰκήτορες, παρατεινούσης μέχρι τῆς Αἰθιόπων γῆς, τῆς πρὸς ἑσπέραν καὶ νότον, Γαράμαντες δὲ οὗτοι, κατόπιν τῆς Ἄφρων κείμενοι γῆς. Συνωπλίζοντο δὲ καὶ τῶν εἰς ἠὼ, καὶ νότον Αἰθιόπων τινὲς, οἱ Μερόην τε τὴν ἐσωτάτην πόλιν οἰκοῦνται, καὶ ἀγρίαν καὶ μέλαιναν κατανέμονται γῆν. Ἀλλ' ὧδε μὲν ἡμῖν ὁ τῆς ἱστορίας ἐχέτω λόγος· ἴωμεν δὲ ἤδη πρὸς διασάφησιν τῆς ἐννοίας τῶν ἐγκειμένων. « Ἑτοίμασαι δὲ, φησὶ, μερίδα· » ὅμοιον ὡσεὶ λέγοι· Ὦ ἀθλία Νινευὴ, ἐπίλεξαι μερίδα σαυτῇ (ἐπειδὴ γὰρ μεγάλα πεφρόνηκας, οἶσε τε ὅτι πάντη τε καὶ πάντως ἀπόρθητος ἔσῃ διάτοι τὸ τείχεσι μεγάλοις περιδεβλῆσθαι, καὶ ἀναριθμήτους ἔχειν τοὺς συνασπίζειν ἐθέλοντας), κατά τινα θέλεις τῶν χωρῶν, αἳ πεπόρθηνται περὶ σοῦ, καίτοι πλείστην ὅσην ἐπιτηδειότητα λαχοῦσα, φησὶ, πρός γε τὸ δύνασθαι δυσαλώτως ἔχειν τε καὶ ἀλήπτως. « Ἅρμοσαι χορδήν· » τουτέστιν, Ὠδὴ καὶ μέλος καὶ αὐτὴ γενοῦ πόλεσί τε καὶ χώραις, παθοῦσα τοιαῦτα παρὰ Περσῶν καὶ Μήδων, ὁποῖα δέδρακας εἰς ἑτέρους αὐτή. « Ἑτοίμασαι δὲ μερίδα Ἀμών· » ἔστω σοι, φησὶ, μερὶς, καὶ κλῆρος ἡ Ἀμών· ἃ δέδρακας ἐπ' ἐκείνῃ, τὰ αὐτὰ καὶ σὲ παθεῖν ἀναγκαῖον. Καὶ τί ἦν ἡ Ἀμὼν, ἤτοι κατοικοῦσα ἐν ποταμοῖς; Τουτέστιν, ἡ θαλάσσῃ καὶ ποταμοῖς εὖ μάλα τετειχισμένη, ταῖς Αἰγυπτίων ἐπικουρίαις καὶ τοῖς Αἰθιόπων τοξεύμασιν ἐπαυχήσασα, ἡ τὴν τῶν Λιβύων ἀλκιμωτάτην λαχοῦσα πληθύν. Ἀλλὰ καὶ οὕτως ἔχουσα θέσεώς τε καὶ ῥώμης καὶ τῆς ἔξωθεν ἐπικουρίας, εἰς μετοικεσίαν πεπόρευται, γέγονεν αἰχμάλωτος, Καὶ ἠδαφίσθη μὲν αὐτῆς τὰ νήπια· κληρωτοὶ δὲ γεγόνασιν οἱ διαφανεῖς, καὶ μερίδες τῶν νενικηκότων οἱ ἐνδοξότεροι, καὶ δέδενται χειροπέδαις. Ὥσπερ οὖν εἶλες τὴν Ἀμὼν ἀπόρθητον οὖσαν, ὅσον ἧκει εἰς ἐπικουρίαν καὶ θέσιν· Θεὸς γὰρ ἦν ὁ παραδιδοὺς αὐτὴν, καὶ αὐτὴ δοθήσῃ πάντως εἰς χεῖρας ἐχθρῶν, κἂν εἰ μεγάλην ἔχῃς ἐπὶ τε πληθύϊ τῶν μαχίμων καὶ τείχεσι τὴν ὀφρύν. Ἐγὼ γὰρ ἐπὶ σὲ, καὶ τὴν ἐμὴν οὐδεὶς ἀποστρέψει χεῖρα.

piam pertinet, et versus occasum et austrum, ubi Garamantes post Afros incolunt. Simul idem ad arma ibant Æthiopum nonnulli ad orientem et austrum, quique Meroen intimam urbem incolunt, et feram ac nigram tellurem tenent. Et de historia quidem hactenus : nunc ad sententiam declarandam accedamus. « Præpara partem, » inquit; ac si dicat : O infelix Ninive, elige partem tibi, pro arbitratu regionem aliquam ex finitimis quas subegisti, quandoquidem te extulisti, omninoque nulla vi expugnabilem te arbitraris, quod muris ingentibus cincta sis, et auxilia habeas innumera, tametsi opportunitatem longe maximam adepta es, inquit, ut subjugari atque capi difficiliter possis. « Apta chordam, » hoc est, cantus et carmen tu quoque urbibus et regionibus esto, talia a Persis et Medis perpessa, qualia aliis ipsa intulisti. « Præpara etiam partem Amon : » sit, inquit, tibi pars, et sors Amon; quæ illi fecisti, eadem te pati necesse est. Et quid est Amon, aut quid est habitans in fluminibus? Hoc est, quæ mari et fluminibus commodissime munita, Ægyptiorum auxiliis et Æthiopum arcubus gloriabatur, quæ Libycam multitudinem robustissimam sortita fuit. Sed quamvis ita haberet situ, et viribus externisque auxiliis, abiit nihilominus servitum in alienam regionem, et ad terram infantes ejus allisi sunt. **510** Sortem subierunt conspicui, et partes victorum evaserunt illustres, et vincti sunt manicis. Quemadmodum igitur cepisti Amon, inexpugnabilem quod ad situm et auxilia attinet, Deus enim erat qui tradebat ipsam, sic ipsa quoque omnino in manus hostium traderis, etsi propter multitudinem bellatorum, et mœnia, grande habes supercilium. Ego enim adversor tibi, et manum meam nemo avertet [11].

Καὶ σὺ μεθυσθήσῃ, καὶ ἔσῃ ὑπερεωραμένη, καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν.

ΛΒ'. Ὅντερ γὰρ τρόπον, φησὶν, ἡ Ἀμὼν τεταλαιπώρηκε, τὰ ἐκ τῆς σῆς ἀγριότητος βέλη ὑπενεγκοῦσα, καὶ τὰς ἐκ τῆς ἐφόδου συμφορὰς, οὕτω καὶ αὐτὴ σκοτοδινιάσεις, καὶ οἷον ἐν μέθῃ γενήσῃ, στάσιν οὐκ ἔχουσα, τουτέστι, κατασειομένη, καὶ πίπτουσα παρ' ἐχθρῶν, καὶ τῆς ἄνωθεν ἐποπτείας ἐστερημένη. Οὓς γὰρ ἂν ἐπισκέπτοιτο Θεὸς, ἐλεεῖ δὴ πάντως, καὶ ἐν τοῖς κατ' εὐχὴν ἑστάναι ποιεῖ.

Μεμέθυσται δὲ ὥσπερ καὶ ἡ θεομάχος Ἱερουσαλὴμ, τὸ νήφειν οὐκ ἔχουσα, διά τοι τὸ μὴ καταλάμπεσθαι θείῳ φωτὶ, μήτε μὴν ἐπαΐειν ἐθέλειν λέγοντος τοῦ Χριστοῦ· « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· » καὶ πάλιν, « Ἕως τὸ φῶς ἔχετε, περιπατεῖτε ἐν τῷ φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. » Μέθη δ' ἂν νοοῖτο, καὶ σκότος εἰς νοῦν, καὶ νὺξ εἰς καρδίαν ἡ τῆς συμφορᾶς ἀγνωσία, καὶ τὸ μηδαμόθεν δύνασθαι

Vers. 11. *Et tu inebriaberis, et eris despecta, et tu quæres tibi stationem ex inimicis.*

XXXII. Quo modo enim, inquit, Amon armis ferocitatis tuæ et invasione tua in ærumnam et calamitates conjecta est, sic et tu teneberis, et vertigine corripieris, et tu quasi in ebrietate versabere, nec habebis ubi consistas, hoc est, conquassabere, et superna inspectione, ac tutela privata, ab hostibus cades. Quos enim Deus inspexerit ac visitarit, eorum miseretur plane, et in iis quæ ipsis optata et chara sunt, stabilitatem largitur.

Inebriata est porro aliquo modo etiam Deum lacessens Jerusalem, sobrietate destituta, quia scilicet divino lumine illustrata non fuit, nec audire voluit Christum dicentem : « Ego sum lux mundi [12]; » et rursum : « Ambulate dum lucem habetis, ut non tenebræ vos comprehendant [13]. » Ebrietas autem, et tenebræ mentis, et nox cordis intelligi potest ignorantia calamitatis, et viam salutis perspicere

[11] Isa. xiv, 27. [12] Joan. viii, 12; ix, 5. [13] Joan. xii, 35.

Digitized by Google

neutiquam posse. Concussam vero esse, et ad opera justitiæ stabilimentum nullum habuisse, quo pacto, aut unde quispiam dubitaverit? Universorum quippe basi excidit, et fundamentum indiruptum, hoc est, Christum non habet. Despecta autem, et hostibus tradita est, seu Romanos accipias, seu eos qui ad omne genus vitiosarum motionum illam impellerent, immundis, inquam, spiritibus. Christus itaque, et fides in ipsum ab omni malo nos liberabit, et hostium perversitate superiores præstabit, et in conspectu Dei constituet. Neutiquam enim diligentes se despiciet.

A κατιδεῖν τὴν τῆς σωτηρίας ὁδόν. Ὅτι δὲ καὶ σεσάλευται, καὶ πρὸς τὰ τῆς δικαιοσύνης ἔργα τὸ ἐρηρεισμένον οὐκ ἔχει, πῶς ἄν, ἢ πόθεν ἐνδοιάσειέ τις; Ἐκπέπτωκε γὰρ τῆς τῶν ὅλων κρηπῖδος, καὶ τὸν ἀῤῥαγῆ θεμέλιον οὐκ ἔχει, τουτέστι, Χριστόν. Παρεώραται δὲ, καὶ τοῖς ἐχθροῖς δέδοται, ἢ Ῥωμαίοις τυχὸν, ἤγουν τοῖς εἰς πᾶν ὁτιοῦν κατακομιοῦσι τῶν παθῶν, φημὶ δὴ τοῖς ἀκαθάρτοις πνεύμασι. Χριστὸς οὖν ἄρα, καὶ πίστις ἡ εἰς αὐτὸν, παντὸς ἡμᾶς ἀπαλλάξει κακοῦ, καὶ τῆς τῶν ἐχθρῶν δυστροπίας ἀποτελέσει κρείττονας, καὶ ἐν ὀφθαλμοῖς ἵστησι τοῦ Θεοῦ. Περιόψεται γὰρ οὐδαμῶς τοὺς ἀγαπῶντας αὐτόν.

Vers. 12. *Omnes munitiones tuæ ficus, habentes speculatores. Si commotæ fuerint, cadent in os comedentis.*

Πάντα τὰ ὀχυρώτατά σου συκαῖ, σκοποὺς ἔχουσαι. Ἐὰν σαλευθῶσι, πεσοῦνται εἰς στόμα B *ἐσθίοντος.*

XXXIII. Maturæ ficus concussa arbore decidunt facile, et tantum non in concutientis manum desiliunt, et quærentibus comedere, sponte veniunt. Cum Cyrus igitur Niniven aggrederetur et obsideret, et ad mœnia illius **511** machinas expugnatorias, sive arietes applicaret, propugnacula defensores servabant: deinde jaculantes qui oppugnabant, parvo negotio ad terram eos dejiciebant. Quare similitudinem ab eo ducit quod in ficubus ad maturitatem perductis et excoctis fieri assolet, aitque: Omnes munitiones tuæ, hoc est, muri tui, ficus, speculatores habentes, qui facillime in manum comedere volentis ibunt, si quis tantummodo stirpem, sive arborem agitaverit.

ΛΓ'. Τὰ πέπειρα τῶν συκῶν ἀποπίπτει ῥᾳδίως, εἰ δὴ κραδαίνοιτο τὸ φυτὸν, μονονουχὶ δὲ πρὸς τὴν τοῦ κατασείοντος καταθρώσκει χεῖρα, καὶ τοῖς δεομένοις τοῦ φαγεῖν, αὐτομάτως ἐπιφοιτᾷ. Οὐκοῦν ἐπειδήπερ Κύρου προσβάλλοντος, καὶ πολιορκοῦντος ἤδη τὴν Νινευὴ, τοῖς τείχεσί τε αὐτῆς ἐφιστάντος τὰς ἐλεπόλεις, ἤτοι τοὺς κριοὺς, τὰς ἐπάλξεις ἐτήρουν οἱ ἐπαμύνοντες· εἶτα τοξεύοντες οἱ μαχόμενοι, κατεκόμιζον εἰς γῆν εὐκόλως αὐτούς. Δέχεται οὖν τὴν ὁμοίωσιν ἀπὸ τοῦ πεφυκότος γίνεσθαι περὶ τὰ πέπειρα τῶν συκῶν· ταύτῃ τοι φησὶν, ὅτι πάντα τὰ ὀχυρώματά σου, τουτέστι, τὰ τείχη, συκαῖ, σκοποὺς ἔχουσαι, οἱ πρὸς τὴν τοῦ φαγεῖν ἐθέλοντος ἰέναι χεῖρα, καὶ μάλα εὐκόλως, εἰ δή τις μόνον καταδονήσειε τὸ φυτόν.

Sic omnis anima supernis lapsa, et destituta præsidiis, facile in manus veniet, et capietur, citraque sudorem a Satana devorante auferetur. Scriptum est enim, « Cibus ejus electus [15]. »

Ἔσται δὲ οὕτω καὶ πᾶσα ψυχὴ, τῆς ἄνωθεν ἐπικουρίας ἐκπίπτουσα καὶ ἐστερημένη, εὐχερὴς καὶ εὐάλωτος, καὶ οὐ σὺν ἱδρῶτι ληπτὴ τῷ κατεσθίοντι Σατανᾷ. Γέγραπται γὰρ, ὅτι « Τὰ βρώματα αὐτοῦ ἐκλεκτά. »

Vers. 13. *Ecce populus tuus quasi mulieres in te, inimicis tuis apertæ aperientur portæ terræ tuæ, et comedet ignis vectes tuos.*

Ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν σοὶ, τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται πύλαι τῆς γῆς σου, καὶ καταφάγεται πῦρ τοὺς μοχλούς σου.

XXXIV. Eorum spem irritam declarat. Credebant enim nunquam se sub alienam ditionem concessuros, quandoquidem infinitam auxiliariorum multitudinem sibi aggregassent, et muris, qui dirui nequirent communitam urbem habitarent. Verum D hæc quoque inutilia eis futura palam prænuntiat, propugnatores eo ignaviæ deventuros dicens, ut a mulierculis invalidis nihil discrepent. Apertum etiam iri portas, violenter nimirum hostibus irrumpentibus. Certum est enim: « Nisi Dominus custodierit civitatem, frustra vigilat qui custodit eam [16]. »

ΛΔ'. Ματαίαν αὐτῶν ἀποφαίνει τὴν ἐλπίδα. Ἤοντο μὲν γὰρ, ὡς οὐκ ἂν ἀλοῖεν πώποτε, πληθὺν ἀμέτρητον τῶν αὐτοῖς συνασπιζόντων συναγηγερκότες, καὶ ἀῤῥήκτοις τείχεσι πεπυργωμένην οἰκοῦντες πόλιν. Ἀλλ' ὅτι καὶ ταῦτα παντελῶς ἀνόνητα αὐτοῖς, προαναπεφώνηκεν ἐναργῶς, κακανδρίας εἰς τοῦτο κατοιχήσεσθαι λέγων τοὺς ἐπαμύνοντας, ὡς γυναίων ἀσθενῶν διενεγκεῖν οὐδέν· διανοιχθήσεσθαι καὶ τὰς πύλας, εἰσβιαζομένων δηλονότι τῶν ἐχθρῶν. Ἀληθὲς γὰρ, ὅτι « Ἐὰν μὴ Κύριος φυλάσσῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων. »

Supernam igitur munitionem habeamus necesse est, et minime nobis ipsis fidamus, sed Deo potius qui salvat, et non de humanis auxiliis magnopere nos jactemus, nec statuamus iram Dei effugituros, si ipsum irritaverimus. Nemo enim a tumultu et malis liberabitur, cui universorum Deus iratus fuerit.

Χρὴ δὴ οὖν ἄρα τὴν ἄνωθεν ἔχειν ἀσφάλειαν, πεποιθέναι τε ἡμᾶς ἥκιστα μὲν ἐφ' ἑαυτοῖς, ἐπὶ Θεῷ δὲ μᾶλλον τῷ σώζοντι, καὶ μὴ ταῖς ἐξ ἀνθρώπων ἐπικουρίαις μεγαλαυχεῖν, μήτε μὴν οἴεσθαι διεκνεύειν δύνασθαι τὴν ὀργὴν, εἰ δὴ παροτρύνοιτο Θεός. Ἀπαλλάξει γὰρ οὐδεὶς θορύβων, καὶ κακῶν, τὸν ὑπὲρ ἂν ἐπιμηνίσῃ

[15] Habac. I, 16. [16] Psal. CXXVI, 1.

Digitized by Google

ὁ τῶν ὅλων Θεός. Καὶ σοφὸς ἦν λίαν ὁ θεσπέσιος Δαβὶδ ψάλλων τε καὶ λέγων· « Οὐκ ἐπὶ τῷ τόξῳ μου ἐλπιῶ, καὶ ὁ βραχίων μου οὐ σώσει με. — Ποιήσομαι γὰρ δύναμιν ἐν τῷ Θεῷ, » κατά γε τὴν αὐτοῦ πάλαι φωνήν.

A Et sapientissime psallit ac dicit divinus David : « Non in arcu meo sperabo, nec brachium meum salvabit me[16]. — Faciam autem in Deo virtutem, » ut idem alibi dicit[17].

Ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ.

VERS. 14. *Aquam obsidionis hauri tibi.*

ΛΕ'. Φασὶν ὅτι, Κύρου τε καὶ τῶν σὺν αὐτῷ τὰς περιοίκους τῆς Νινευὴ καταδηούντων χώρας, καὶ πάσας αὐτῶν προαποκειρόντων ἐπικουρίας, τὴν πόρθησιν ἤδη δεδιότες οἱ Νινευῖται λοιπὸν εἰς πολλὰς καὶ μακρὰς ἀνέτεμον τάφρους τὰ περὶ τὸ ἄστυ χωρία, καὶ δὴ καὶ δυσπόρευτον τοῖς ἐχθροῖς ἀπετέλουν, παροχετεύοντες ποταμοὺς, καὶ ὑδάτων ἐμπιπλῶντες, καὶ τελμάτων ἔμπλεω ποιοῦντες τὴν γῆν. Ἀλλ' ἦσαν καὶ τῶν τοιούτων ἐγχειρημάτων ἀμείνους οἱ μαχόμενοι, μᾶλλον δὲ ἡ θέλησις τοῦ περιδιδόντος Θεοῦ. Ὅτι τοίνυν οὐδὲν ἔσται καὶ τοῦτο αὐτοῖς τὸ σπούδασμα, δείκνυσι λέγων· « Ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ. » Δοκεῖ δέ τισιν ὕδωρ ἐνθάδε νοεῖν τὸ ἐπισπώμενον τὴν τῶν κεκλημένων ἐθνῶν εἰς ἐπικουρίαν ἄθροισιν ἢ πληθύν. Βαδιεῖται δὲ καὶ οὕτως ἡμῖν ὁ λόγος οὐκ ἀπὸ σκοποῦ· ὕδατα γὰρ πολλαχοῦ καὶ ἡ τῶν ἐθνῶν ὠνόμασται πληθύς.

B Et sapientissime psallit ac dicit divinus David : « Non in arcu meo sperabo, nec brachium meum salvabit me[16]. — Faciam autem in Deo virtutem, » ut idem alibi dicit[17].

XXXV. Fama est, Cyro cum exercitu vicinas Ninive regiones depopulante, et omnia iis auxilia intercludente, Ninivitas obsidionem metuentes spatia urbi circumjecta multis et longis fossis incidisse, et deductis eo **512** fluminibus, et fossis illis aqua repletis, et paludibus toto territorio inducto, hostibus viam inviam reddidisse. Verum hostes et istiusmodi molitiones, vel potius voluntas Dei donantis superarunt. Nec hos igitur conatus quidquam illis profuturos docet his verbis : « Aquam obsidionis hauri tibi. » Placet quibusdam hoc loco per aquam indicari contracta ex gentibus accitis auxilia magno numero et frequentia. Atqui etiam sic a meta non aberrabit oratio, sæpe enim gentium multitudo aquarum nomine exprimitur.

Καὶ κατακράτησον τῶν ὀχυρωμάτων σου. Ἔμβηθι εἰς πηλὸν, καὶ συμπάτει ἐν ἀχύροις· κατακράτησον ὑπὲρ πλίνθον.

Et obtine munitiones tuas. Ingredere in lutum, et conculca in paleis : obtine super laterem.

ΛϚ'. Οὐ προτρέπει δ' ἂν τὰ τοιάδε ὁ Θεός· ἐπειδὴ δὲ πάντως ἐσόμενα προηπίστατο, διαγελᾷ τὴν σκῆψιν, καὶ ὅτι, καθάπερ ἔφην ἀρτίως, μάταιον αὐτῶν ἔσται τὸ σπούδασμα, δείκνυσι διὰ τούτων. Ἐπειδὴ γὰρ συμβέβηκεν ἢ ἐπάλξεων, ἤγουν ἑτέρας τινὸς ἐπιμελείας δεῖσθαι τὰ τείχη (πλίνθους γὰρ εἰργάζοντο, τὰς ἐκ πηλοῦ δηλονότι, πλὴν ὀχυρωτάτας· ὀπτωμένη γὰρ ἡ πλίνθος ἀναγκαιοτάτη πρὸς ἔργα, καὶ οὐκ ἂν ἔχοιντο εὐδιάθρυπτον), « Συμπάτει δὴ οὖν, φησὶν, ἐν ἀχύροις, ἐργάζου καὶ πλίνθους. » Γενοῦ δὴ οὕτως ἰταμὸς καὶ ἀτεράμων εἰς μάχην, καθάπερ ἀμέλει καὶ ἡ πλίνθος αὐτή· ἔσῃ γὰρ οὕτως εὐάλωτος, καὶ ἄθραυστος μὲν οὐδαμῶς, εὔκολος δὲ λίαν τοῖς κατασείειν εἰδόσι, καὶ τῆς σῆς σκληρότητος ἀλκιμωτέραν ἔχουσι τὴν ὁρμήν.

C XXXVI. Non hortatur ista Deus : sed quia perfecte quod futurum est novit, impedimentum hujuscemodi irridet, et conatum eorum fore vanum, ut modo dixi, per hæc ostendit. Quoniam enim aut propugnaculis, aut alia procuratione mœnia indigebant, lateres e luto videlicet conficiebant, verumtamen firmissimos : later enim coctus ad opera valet plurimum, nec facile dissolvitur. « Conculca igitur, inquit, in paleis, confice etiam lateres. » Esto ita audax et præfractus ad pugnam, sicut videlicet later ipse, et sic tamen parvo negotio capieris, nec ullo modo infracta eris : imo perfacile subigeris ab iis qui te concutere noverint, et duritie tua impetus robustiores attulerint.

Ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει σε ῥομφαία, καταφάγεταί σε ὡς ἀκρὶς, καὶ βαρυνθήσῃ ὡς βροῦχος.

VERS. 15. *Ibi comedet te ignis, disperdet te gladius, comedet te quasi locusta, et aggravaberis quasi bruchus.*

ΛΖ'. Τὸ *ἐκεῖ* νοήσεις ἀντὶ τοῦ *τηνικάδε*· κατὰ χρόνον γὰρ, καὶ οὐ τοπικῶς, τὴν λέξιν ἀποδεχόμεθα. Εἰ γὰρ δὴ καὶ ταῦτα γένοιτο, φησὶ, καὶ πλίνθους ἐργάσῃ, δαπανηθήσῃ καὶ οὕτως ὡς ἀπόπυρος· κατανεμηθήσεταί δέ τε καὶ τὴν χώραν καὶ ἐν ἀκρίδος τάξει ὁ πόλεμος. Ἔσῃ δὲ καὶ δκνῳ πεπεδημένος, καὶ βραδὺς εἰς φυγὴν, ὡς βροῦχος ὁ βαρυνθείς. Φασὶ γὰρ ὅτι πιπτούσης χαλάζης, καὶ ὑετῶν καταρηγνυμένων, ἀδρανὴς εἰς πτῆσιν ὁ βροῦχος, καταδεδευμένων αὐτῷ τῶν πτερῶν· οὐκοῦν τὸ ἄπορον εἰς φυγὴν τῶν Νινευιτῶν ὑποσημαίνει πάλιν ὑπὸ τοῦ τοῖς βρούχοις συμβαίνοντος.

D XXXVII. *Ibi*, intellige positum pro *tunc*, ut tempus, non locum vox significet. Quamvis enim hæc facta fuerint, inquit, et lateres feceris, tamen sic etiam, ut ab igne consumeris; etiam regionem instar locustarum bellum depascet. Præpedieris autem metu, et tardus eris ad fugam, ut bruchus gravatus. Aiunt enim, cadente grandine, et pluviis cœlo erumpentibus, debilitari bruchum ad volatum, alis ei irrigatis videlicet. Ergo quam fugæ viam reperire Ninivitæ nullam potuerint, rursum sub integumento brucho accidentium insinuat.

Ἐπλήθυνας τὰς ἐμπορίας σου ὑπὲρ ἄστρα τοῦ

VERS. 16, 17. *Multiplicasti negotiationes*

[16] Psal. xliii, 7. [17] Psal. cvii, 14.

Digitized by Google

tuas super astra cœli. Bruchus impetum fecit, et expansus est. Exiluit ut locusta commistus tuus, ut locusta ascendens in sepem in die frigoris. Sol ortus est, et abstulit, et non cognovit locum ejus.

A οὐρανοῦ. Βροῦχος ὥρμησε, καὶ ἐξεπετάσθη. Ἐξήλατο ὡς ἀττέλαβος ὁ σύμμικτός σου, ὡς ἀκρὶς ἐπιδεδηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ πάγους. Ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ οὐκ ἔγνω τὸν τόπον αὐτῆς.

XXXVIII. Negotiationes hic videtur significare non quæ pecuniis propter quæstum et rem augendam exercentur, sed quæ potius ad gentes congregandas et conciendas suscipiuntur. Mercede etenim, ut dicebam, populos finitimos conducebant, tantum non mox morituros mercatorum more importantes, et ad pugnam colligentes brevi post tempore interituros : quorum erat multitudo longe maxima et innumerabilis. Quare etiam stellis comparantur. Sed quanquam congregati fuerint, inquit, et in una mœnia concurrerint, metu tamen hostium percellentur, et nihilominus ut bruchus et locusta peribunt. Est autem ἀττέλαβος parvæ locustæ species, quæ cum in sepes aut in hortorum macerias inciderit, frigore quidem, ut dixi, et pluvia ingruentibus, clausis oculis quiescit, vi humoris a volatu præpedita. At vero sole surgente, et radiorum calore illas profundente, mox abscedunt, et more suo avolant. Ita se gerent, inquit, commisti tui. Avolabunt enim et domum recurrent, spem tuam frustrantes. « Bonum est » igitur, juxta veram Prophetæ vocem, « confidere in Domino, quam confidere in homine[18]. »

Ἀ. Ἐμπορίας ἔοικε ἐνθάδε δηλοῦν οὐχὶ τὰς διὰ χρημάτων, καὶ τὰς ἐπὶ λήμμασι καὶ πλεονασμοῖς, τὰς γεγενημένας δὲ μᾶλλον ἐπὶ τῇ τῶν ἐθνῶν ἀθροίσει καὶ συγκομιδῇ. Κατεμισθοῦντο γὰρ, ὡς ἔφην, τὰ περίοικα τῶν ἐθνῶν, τοὺς τεθνηξομένους μονονουχὶ ἐμπορευόμενοι, καὶ συλλέγοντες εἰς μάχην τοὺς αὐτίκα δὴ μάλα ἀπολουμένους· ἦσαν δὲ οὗτοι πλεῖστοί τε ὅσοι καὶ ἀριθμοῦ κρείττονες. Τοιγάρτοι καὶ τῇ τῶν ἄστρων παρεικάζονται πληθύϊ. Ἀλλ' εἰ καὶ συνήχθησαν, φησὶ, καὶ συνεδραμήκασι, καταπτοηθήσονται τῷ πολέμῳ, καὶ ἀπολοῦνται πάλιν ὡς βροῦχος καὶ ἀττέλαβος. Εἶδος δὲ τουτὶ μικρᾶς ἀκρίδος, ἣ ἐπειδὰν ἐμπέσῃ φραγμοῖς, ἢ ταῖς τῶν κήπων αἱμασιαῖς, πάγου μὲν ὄντος, ὡς ἔφην, καὶ ὑετοῦ κατασκήπτοντος, καταμέμυκέ τε καὶ ἠρεμεῖ, τῇ τῆς ὑγρότητος βίᾳ τὴν πτῆσιν παρῃρημένη. Ἡλίου γε μὴν ἀνίσχοντος, καὶ θερμὴν αὐταῖς ἐνιέντος ἀκτῖνα, τάχα ποιοῦνται τὴν ἀποφοίτησιν, καὶ ἀφίστανται κατὰ τὸ εἰωθός. Οὕτως, φησὶν, ἔσονται οἱ σύμμικτοί σου. Ἀποπτήσονται γὰρ, καὶ οἴκαδε πάλιν ἀποδραμοῦνται, τὴν σὴν ἐλπίδα κενώσαντες. « Ἀγαθὸν » οὖν ἄρα, καὶ ἀτρεκὴς ὁ λόγος, τὸ, « πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἀνθρώπῳ, » κατὰ τὴν τοῦ Προφήτου φωνήν.

B

VERS. 18. *Væ illis. Dormitaverunt pastores tui, rex Assyrius consopivit fortes tuos, abiit populus tuus super montes, et non erat qui susciperet.*

XXXIX. Lamentatur multitudinem, tanquam eo ignaviæ et metus projectam, ut ad solum hostium adventum languescant, et in juga montium transfugiant : et loca invia velut contra periculum munimentum sibi faciant. Statim hujus tanti pavoris causam afferens, scitam ponit narrationem, ducum videlicet interitum; quasi urbane dicat, ob hoc expugnati sunt, et perierunt, et artium imperatoriarum nescii evaserunt : hoc ita significat, dum dicit dormitasse, et consopitos fuisse qui magistratibus et potestatibus præerant, **514** quique tribunatum plebis, et insigniores honores gerebant. Affecti sunt autem hoc somno a rege Assyriorum, hoc est, genus ab illis ducente. Indigena enim fuit Cyrus, et e sanguine Persico oriundus. Fingit autem propemodum propheticus sermo lamentationem, cum ad pavorem tam faciles potius irrideat. Inquit enim, « Abiit populus super montes, et non erat qui susciperet. » Hoc est, qui auderet, qui fugientium timiditatem cohiberet, et imbellem, et clypeum abjicientem retrahere posset de iis qui priores imponebant vulnera. Perierunt ante alios, qui hoc facere consueverunt, iidem præsides scientiæ militaris.

C

Οὐαὶ αὐτοῖς. Ἐνύσταξαν οἱ ποιμένες σου, βασιλεὺς Ἀσσύριος ἐκοίμισε τοὺς δυνάστας σου· ἀπῆρεν ὁ λαός σου ἐπὶ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος.

Λθ'. Ταλανίζει τοὺς ὄχλους, ὡς κακανδρίας εἰς τοῦτο καὶ δειμάτων ὠλισθηκότας, ὡς καὶ πρὸς μόνην αὐτοὺς ἀτονῆσαι τοῦ πολέμου τὴν προσβολὴν, καὶ ἐπὶ τὰς τῶν ὀρῶν ἀναθρώσκειν κορυφὰς, καὶ οἷον προτείχισμα τοῦ κινδύνου ποιεῖσθαι τὰς δυσχωρίας. Εἶτα τῆς ψοφοδείας τὴν αἰτίαν ἀποδιδοὺς, εὐφυᾶ ποιεῖται διήγησιν, τῶν καθηγεῖσθαι λαχόντων τὸν ὄλεθρον· ὡς ἐν ἤθει λέγων, ἀπὸ τούτου πεπόρθηνται, καὶ διολώλασιν, ἀπόρητοί τε γεγόνασιν εἰς τὰς τέχνας τὰς στρατηγικὰς, τὸ ἐνύσταξαν, τιθεὶς, καὶ ὅτι κατεκοιμήθησαν οἱ ἐν δυνάμεσί τε καὶ ἐξουσίαις, καὶ δημαγωγοὶ, καὶ τὰς ἄνω καὶ διαφανεῖς λαχόντες τιμάς. Πεπύνθασι δὲ τὸ νυστάζειν ὑπὸ βασιλέως Ἀσσυρίων, τουτέστι, τὸ γένος ἔχοντος ἐξ αὐτῶν. Αὐθιγενὴς γὰρ ὁ Κύρος, καὶ ἐξ αἵματος Περσικοῦ. Σκήπτεται δὲ ὁ προφητικὸς ἡμῖν λόγος μονονουχὶ τὸ θρηνεῖν, ἤγουν καταμειδιᾷ τῶν εὐκόλων εἰς πτοίαν. « Ἀπῆρε γὰρ, φησὶν, ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος, » τουτέστιν, ὁ ἀνέχων εἰς εὐτολμίαν, ὁ περικόπτων τὰς τῶν φευγόντων δειλίας, καὶ ἀνασειράζειν δυνάμενος τὸν ἀδρανῆ καὶ ῥιψάσπιδα τῶν προδεδωκότων πληγήν. Προαπολώλασι οἱ τοῦτο δρᾷν εἰωθότες, καὶ τῆς ἐν πολέμῳ εὐτεχνίας οἱ ἐπιστάται.

D

Potierit autem, et quidem aptissime, etiam de

Νοηθείη δ' ἂν, καὶ μάλα εἰκότως, καὶ περὶ γε τῆς

[18] Psal. CXVII, 8.

Digitized by Google

Ἰουδαίων ἀγέλης τό· « Οὐαὶ αὐτοῖς! Ἐνύσταξαν οἱ ποιμένες σου, βασιλεὺς Ἀσσύριος ἐκοίμισε τοὺς δυνάστας σου. » Οὐαὶ γὰρ ὄντως τοῖς καὶ αὐτὸν τὸν τῶν ὅλων ἀποκτονόσι Σωτῆρα καὶ Λυτρωτὴν, καὶ τοῖς τῶν ἁγίων αἵμασι προστεθεικόσι καὶ αὐτὸ τὸ δεσποτικόν! Συμβέβηκε δὲ τοῦτο παθεῖν αὐτοὺς, διά τοι τὸ λίαν κατανυστάξαι πρὸς δυσβουλίαν τὸ ἡγούμενον, καὶ τοὺς ἐν ποιμένων τάξει παρειλημμένους, Γραμματέας δὴ λέγω, καὶ Φαρισαίους, καὶ τοὺς τῆς ἱερουργίας κατεστεμμένους αὐχήμασι, οὓς κατεκοίμισεν ὄντως ὁ Ἀσσύριος βασιλεὺς, τουτέστιν, ὁ Σατανᾶς. Λαμβάνεται γὰρ εἰς τὸ ἐκείνου πολλάκις πρόσωπον ἡ τῶν Βαβυλωνίων ἀρχή. Ὅτι δὲ κατενύσταξαν οἱ ποιμένες καὶ οἱ δυναστεύοντες παρ' αὐτοῖς, πῶς ἔστιν ἀμφιβαλεῖν, ἄνω τε καὶ κάτω τῆς θεοπνεύστου Γραφῆς ἀνατιθείσης αὐτοῖς τῶν λαῶν τὴν ἀπώλειαν; Γέγραπται γὰρ, ὅτι « Ὦ ποιμένες, οἱ διασκορπίζοντες. καὶ ἀπολοῦντες τὰ πρόβατα τῆς νομῆς μου! » Καὶ πάλιν· « Οἱ ἱερεῖς οὐκ εἶπαν· Ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με, καὶ οἱ ποιμένες ἠσέβουν εἰς ἐμὲ, καὶ οἱ προφῆται προεφήτευον τῷ Βάαλ. » Ἡσαΐας δὲ πάλιν φησί· « Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ, νῦν δὲ φονευταί. Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθεῖς, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. »

A Judæorum grege intelligi illud : « Væ ipsis! Dormitaverunt pastores tui, rex Assyriorum consopivit fortes tuos. » Vere enim væ illis qui et ipsum universorum Salvatorem Liberatoremque occiderunt, et præter sanctorum sanguinem etiam ipsius Domini effuderunt. Id inde factum, quod propter improbum consilium nimiopere dormitarunt ipsi principes, et in ordinem pastorum asciti, Scribæ, inquam, et Pharisæi, et sacerdotii ornamentis condecorati, quos revera rex Assyrius, hoc est, Satanas consopivit. Sæpius enim Babyloniorum principatus pro ejus persona sumitur. Dormitasse autem pastores et auctoritate potentiores apud eos, quo pacto dubitandum est, cum ubique divina Scriptura populorum perniciem ipsis ascribat? Scriptum est B enim : « O pastores, dispergentes et disperdentes oves pascuæ meæ [19]! » Et iterum : « Sacerdotes non dixerunt : Ubi est Dominus? et professentes legem non cognoverunt me : et pastores impie agebant in me, et prophetæ prophetabant Baal [20]. » Isaias quoque : « Quomodo facta est meretrix civitas fidelis Sion? in qua justitia dormivit in ea, nunc autem homicidæ. Argentum vestrum reprobum, caupones tui miscent vinum aqua, principes tui non obediunt, participes furum, diligentes munera, sequentes retributionem, pupillis non judicantes, et judicium viduarum non attendentes [21]. »

Οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σου. Ἐφλέγμανεν ἡ πληγή σου. C

VERS. 19. *Non est sanatio contritioni tuæ. Inflammavit plaga tua.*

Μ'. Πάντα συμβαίνῃ τῶν ἀπευκτῶν παθεῖν, εἰ μὲν ἔοι τοῦτο μεμετρημένως, καὶ οὐχὶ δὴ πάντως πέρα τοῦ καθήκοντος. Ἐλπὶς ὑπεστιν ἀγαθὴ τοῖς τῷ παθεῖν ὑπενηνεγμένοις, ὅτι καὶ ἀνασφῆλαι δυνήσονται, καθάπερ ἐξ ἀῤῥωστίας ἐπὶ τὸ δύνασθαι διαβιοῦν εὐσθενῶς, καὶ ὅτι μετοιχήσονται πρὸς εὐημερίαν, ἀνενεγκόντων αὐτοῖς τῶν πραγμάτων ἐπὶ τὸ ἄμεινον. Ἐπειδὰν δὲ εἰς λῆξιν αὐτοῖς ἀθλιοτάτην προήκοι τὰ πράγματα, τότε δὴ πάντως δυσδιάφυκτος ἡ συμφορὰ, μᾶλλον δὲ καὶ παντελῶς ἀνεξίτητος. Τοῦτο παθούσης τῆς Νινευὴ, φησὶν ὅτι καὶ συντρίβη, καὶ ὅτι ἀπόλωλε, καὶ τῆς τοῦ δύνασθαι θεραπείας τυχεῖν συνανῃρημένης ἐλπίδος, καὶ οἱονείπως ἀθλίως καταφλεγμαίνοντος τοῦ κακοῦ, καὶ τὴν ἐσχάτην ἐφ' ἑαυτῇ ζητοῦντος τομήν.

515 XL. Omnia dira et aversanda tolerarentur, si ea intra, et non penitus extra modum venirent. Conciperent enim spem bonam subjecti afflictionibus, se rursum erigi recrearique posse, quemadmodum si e morbo ad vitam deinceps cum validis viribus vivendam convalescerent, et ad statum prospērum, rebus in melius relatis, transituros. Ubi autem res conditione misērrima fuerint, tunc plane calamitas vix est evitabilis, imo prorsus exitum nullum habet. Hoc quia passa est Ninive, contritam essĕ dicit et periisse simul, ablata spĕ curationis adipiscendæ, et malo misēre quodammodo intumescente, et extremum ei excidium machinante. D

Ὅτι δὲ καὶ ἐν τούτοις γέγονεν ἡ κυριοκτόνος Ἱερουσαλὴμ, ἀτρεκὲς εἰπεῖν. Πολλάκις μὲν ἐπλήττετο, καταθεόντων αὐτὴν τῶν ἐχθρῶν, ἀλλ' ἠκολούθουν αἱ θεραπεῖαι, καθοικτείροντος Θεοῦ καὶ οἷον καταμαλάσσοντος τὴν συμβᾶσαν αὐτῇ πληγήν. Ἐπειδὴ δὲ πεπαῤῥῃνήκασιν εἰς τὸν τῶν ὅλων Δεσπότην, συντρίβη καὶ πέπτωκε, καὶ οὐκ ἦν ἴασις κατὰ τὴν τοῦ προφήτου φωνὴν, ἀμάλθακτος δὲ καὶ ἡ τῶν συμβεβηκότων αὐτοῖς ἀπομεμένηκε φλεγμονή. Τοιγάρτοι καὶ ἔφασκον οἱ μακάριοι προφῆται, τῇ Βαβυλωνίων αὐτὴν παρεικάζοντες· « Ἰατρεύσαμεν τὴν Βαβυλῶνα, καὶ

Fuisse autem in his etiam Domini interfectricem Jerusalem, haud falso dici potest. Sæpius percussa est, hostibus eam incursantibus; sed, Deo miserante et acceptam plagam velut fovente, curationes consequebantur. Postquam autem ita in universorum Dominum injuriose debacchata est, contrita est et cecidit, nec erat sanatio, juxta prophetæ vocem, et rumor casuum ejus non mollitus ac mitigatus mansit. Proinde beati prophetæ, Babyloniæ ipsam comparantes, dicebant : « Curavimus Babylonem, et non est sanata. Derelinquamus eam, et eamus unus-

[19] Jerem. XXIII, 1. [20] Ibid. 11-13. [21] Isa. I, 21-23.

Digitized by Google

quisque in viam suam, quia appropinquavit ad cœlum judicium ejus : elevavit usque ad astra [22].» In cœlum autem judicium, et in sublime peccatum est. Non enim in unum sanctorum simpliciter, sed in sanctorum Dominum, ut dixi, sceleratos sese præbuerunt

Omnes qui audiverunt nuntium tuum, lætabuntur, et complodent manus super te : quia super quem non intravit malitia tua semper?

XLI. Justam sententiam tulisse Deum de imperio Babylonio evertendo, claro erit argumento, quod nemo ejus causa ingemiscet, quin plaudet et gaudebit potius, jacentique insultabit, propterea quod alios intolerandis calamitatibus inferendis et tributis exigendis vexavit, et quæ maxime dolere consueverunt, ea in ipsos exprompserit. Etenim omnibus odiosa et intoleranda erat, etiam cum longe remotos perversitatem suam sentire cogeret.

516 Dixerim porro, peccati quoque inventorem, nempe Satanam, suæ malignitatis rete ubique expandisse, et orbem terrarum erroris ac deceptionis sagena inclusisse, perditionisque laqueis illigasse, ac proinde a Christo eversum, et tyrannide in nos depulsum merito audire posse: « Omnes qui audiverunt nuntium tuum, lætabuntur et plaudent manibus super te : quia super quem non intravit malitia tua semper ? »

[22] Jerem. LI, 9.

οὐκ ἰάθη. Ἐγκαταλίπωμεν ἕκαστος αὐτὴν, καὶ ἀπέλθωμεν εἰς τὴν ὁδὸν αὐτοῦ, ὅτι ἤγγικεν εἰς οὐρανὸν τὸ κρῖμα αὐτῆς, ἐξῆρεν ἕως τῶν ἄστρων.» Εἰς οὐρανὸν δὲ τὸ κρῖμα, καὶ ὕψος τὸ πλημμέλημα. Πεπαρφησίακασι γὰρ, ὡς ἔφην, οὐκ εἰς ἕνα τῶν ἁγίων ἁπλῶς, ἀλλ' εἰς τὸν τῶν ἁγίων Δεσπότην.

Πάντες οἱ ἀκούσαντες τὴν ἀγγελίαν σου χαρήσονται, καὶ προτήσουσι χεῖρας ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κακία σου διὰ παντός;

ΜΑ'. Ψῆφος ὅτι δικαία γέγονε παρὰ Θεοῦ, τὴν Βαβυλωνίων ἀρχὴν καταστρέφουσα, καταμαρτυρήσει λαμπρῶς τὸ ἐπιστυγνάζειν αὐτῇ παντελῶς οὐδένα, κροτεῖν δὲ μᾶλλον, καὶ ἐπιγάννυσθαι, καὶ καταμειδιᾷν κειμένῃ· διά τοι τὸ ἀφορήτους συμφορὰς ὑπενεγκεῖν καὶ πλεονεξίας, καὶ τῶν ὅτι μάλιστα καταλυπεῖν εἰωθότων εἰς παῖφαν ἐλθεῖν. Καὶ γὰρ ἦν ἅπασι φορτικὸς καὶ δύσοιστος πέμπουσα καὶ τοῖς εἰς μακρὰν τῆς ἐνούσης αὐτῇ δυστροπίας τὴν αἴσθησιν.

Φαίην δ' ἄν, ὅτι καὶ ὁ τῆς ἁμαρτίας εὑρετὴς, τουτέστιν, ὁ Σατανᾶς, ὁ τῆς ἑαυτοῦ δυστροπίας τε λίνον κατευρύνων πανταχοῦ, καὶ σαγηνεύσας εἰς πλάνησιν τὴν ὑπ' οὐρανὸν, καὶ τοῖς ἀπωλείας ἐγκαθέδρας βρόχοις, ἀκούσειεν ἂν εἰκότως, καθηρημένος ὑπὸ Χριστοῦ, καὶ τῆς καθ' ἡμῶν τυραννίδος ἀπολελαμένος· « Πάντες οἱ ἀκούσαντες τὴν ἀγγελίαν σου χαρήσονται, καὶ κροτήσουσι χεῖρας ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἦλθεν ἡ κακία σου διαπαντός; »

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΑΜΒΑΚΟΥΜ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN HABACUC PROPHETAM COMMENTARIUS.

—

517 PROŒMIUM.

I. Etiam hujus, quam in manibus habemus, prophetiæ ratio persapienter, nec minus perite instituta

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Διεσκεύασται μὲν ἡμῖν εὖ μάλα σοφῶς καὶ εὐτέχνως καὶ τῆς προκειμένης προφητείας ὁ τρόπος,

Digitized by Google

ἐμπλεώ γε μὴν αὐτὸν οἰκονόμον ἁγιοπρεπῶς εὑρήσομεν. Πρέπει γὰρ αὐτοῖς τοῖς ἁγίοις ἐπιφωνεῖν τε καὶ λέγειν· « Οὐχ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. » Δεῖ δὲ τοῖς ἐθέλουσι νοεῖν ἀγχινοίας οὐ μικρᾶς· ἐπεί τοι τῆς προφητείας τὸν σκοπὸν διττὴν ἐν ἑαυτῷ τὴν θεωρίαν ὠδίνοντα κατίδοι τις ἂν, πνευματικήν τε ἅμα καὶ ἱστορικήν. Προαφηγήσομαι δὲ χρησίμως, καὶ ὡς ἐν βραχεῖ συνενεγκεῖν, τῆς προφητείας τὰ μέρη, καὶ ἐφ' ὅτῳ γέγονεν ἐρῶ. Εἴη γὰρ ἂν οὕτω τοῖς ἐντευξομένοις δι' εὐμαρείας ὁ νοῦς, καὶ οὐδὲν εὑρήσει τὸ ἄναντες. Ἀσχάλλοντος τοίνυν τοῦ Ἰσραὴλ οὐ μετρίως ἐπὶ τοῖς διὰ τῶν προφητῶν προαπηγγελμένοις· ᾔδει γὰρ, ᾔδει, ὡς ἔσται κατὰ καιροὺς αἰχμάλωτος, καὶ πεσεῖται εἰς χεῖρας ἐχθρῶν, καὶ ὑπὸ ζυγὰ κείσεται τῆς ἀσυνήθους δουλείας· πειρᾶται διδάσκειν ὁ μακάριος Ἀμβακοὺμ ὅτι, ψήφῳ δικαίᾳ τοῦ πάντων κρατοῦντος Θεοῦ, κατὰ καιροὺς αὐτοῖς τὰ τοιάδε συμβήσεται, καὶ ἐπ' αἰτίαις εὐλόγοις. Ἐκτετιμηκότες γὰρ αὐτοὶ τὴν ἔξω νόμου καὶ ἐκτοπωτάτην ζωὴν, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν κατεψεγμένων ἀπονενευκότες, οὐ διαλελοίπασιν ἐφ' ἑαυτοῖς παραθήγοντες τὸν ἀκήρατον νοῦν, μέχρις ἂν αὐτοῖς εἰς τοῦτο λοιπὸν ἀθλιότητος κατέβη τὰ πράγματα. Καὶ τοῦτο καθίστησιν ἐναργὲς, τῶν ἀνοσίως βιοῦν ᾑρημένων ποιούμενος τὴν κατάῤῥησιν, καὶ τῆς ὅλης προφητείας προεισβολὴν ὥσπερ τινὰ καὶ ὑπόθεσιν τὸ χρῆμα τιθεὶς, εἶτα Θεὸν εἰσηκομικῶς ἀπειλοῦντα τοῖς καταφρονηταῖς τῶν Βαβυλωνίων τὴν ἔφοδον. Ἐπειδὴ δὲ ἐχρῆν αὐτὸν οὐχὶ μόνον τῶν σκυθρωπῶν καὶ τῶν ὅτι μάλιστα καταλυπεῖν εἰωθότων προαγορευτὴν ἀναφαίνεσθαι, καὶ εἰς μέσον ἥκειν, καὶ τὰ πάντων αἴσχιστα τῶν κακῶν ὡς ἔσται κατὰ καιροὺς αὐτοῖς προαναφωνεῖν, ἀλλά τι καὶ τῶν τελούντων εἰς ἄκεσιν προαφηγεῖσθαι χρησίμως, καὶ τὰ δι' ὧν εἰκὸς ἦν ἀναπνεύσειν τοὺς πεπονθότας προαναφθέγγεσθαι· κατακεκράγει καὶ αὐτῆς τῆς τῶν Βαβυλωνίων ὠμότητος, καὶ καταφρονητὰς ὀνομάζει τοὺς καὶ αὐτὸν τὸν θεῖον ναὸν κατεμπρήσαντας, καὶ τὴν ἁγίαν πόλιν πεπορθηκότας, καὶ σκευῶν τῶν ἱερῶν ἀφειδήσαντας. « Εἰς τί γὰρ, φησὶν, ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ καταπίνειν ἀσεβῆ τὸν δίκαιον; » Εἶτα προστέθεικε καὶ αὐτῆς Βαβυλῶνος τὴν ἅλωσιν, καὶ τῶν πεπονθότων τὴν ἀσυνήθη δουλείαν, τὴν διὰ Κύρου κατὰ καιροὺς ἐκλύτρωσιν. Ἀπὸ δέ γε τῆς μερικῆς λυτρώσεως μέτεισιν ὁ λόγος ἐπὶ τὴν καθόλου καὶ γενικωτάτην, τουτέστι, τὴν διὰ Χριστοῦ γεγενημένην ἅπασι τοῖς διὰ πίστεως ἐκλελυτρωμένοις, καὶ τὸν τῆς ἁμαρτίας ζυγὸν ἀποτιθεμένοις, καὶ πικρὸν καὶ ἀνήμερον ἀποφυγοῦσι δεσπότην, τὸν Σατανᾶν. Ἔχεις ἐν τούτοις τῆς ὅλης ἡμῖν προφητείας ὡς ἐν βραχέσι συνειλεγμένον τὸν σκοπόν. Ἐροῦμεν δὲ, ἀνὰ μέρος ἕκαστα διαλαμβάνοντες ὡς ἔνι.

est, et œconomiæ quæ decet sanctos, plena. Convenit enim sanctis acclamare ac dicere : « Non estis vos qui loquimini, sed Spiritus Patris vestri, qui loquitur in vobis [23]. » Ad eam autem percipiendam solertia opus est non mediocri ; quandoquidem perspicere licet, scopum ac finem ejus considerationem parere duplicem, spiritualem et historicam simul. Sed conducet ante narrare et breviter colligere partes hujus prophetiæ, et quorsum illa spectet exponere. Sic enim lectores sententiam facilius assequentur, nihilque arduum ac difficile invenient. Indignante igitur Israele mirum in modum, propter ea quæ a prophetis prædicta fuissent : norat enim, norat se aliquando captivum fore, venturumque in manus hostium, et insuetæ servitutis jugum subiturum: 518 conatur docere beatus Habacuc, justo judicio Dei omnipotentis, et ex causis consentaneis, aliquando hæc passuros. Cum enim vitam a lege alienam et rationi etiam atque etiam adversantem amplexati, in omnia reprehensioni obnoxia declinavissent, in seipsos exacuere mentem illam intemeratam non desinebant, donec huc miseriæ res eorum deciderunt. Et hoc liquido declarat, dum scelerosum vitæ genus sectantes insimulat, et istud velut totius prophetiæ metam quo collineet, argumentumque sibi præfigit, et postea Deum Babyloniorum irruptionem contemptoribus comminantem introducit. Quoniam vero illum non mœsta tantummodo et maximopere contristare solita prædicere videri oportebat, prodireque in medium, et quo pacto malorum omnium fœdissima illis subeunda forent, prænuntiare, sed aliquid item, quod ad medicinam pertineret ante commemorare conveniebat, et nonnulla, per quæ ærumnosis respirare liceret vaticinari : adversus ipsam Babyloniorum crudelitatem exclamat, et contemptores appellat, qui et ipsum templum divinum incenderint, sanctam civitatem pervastaverint, nec vasis sacris pepercerint. « Quare enim respicis super contemptores ? inquit ; tacebis cum devoraverit impius justum [24] ? » Ipsius item Babylonis captivitatem, et eorum, qui insuetam servitutem pertulerunt, per Cyrum futuram liberationem subjicit. A singulari autem liberatione ad universam maximeque communem, qua Christus omnes per idem redemptos, jugo peccati levatos, acerboque et immiti domino, Satanæ, inquam, elapsos, asseruit, sermonem transfert. Habes in his totius vaticinii paucis verbis a nobis comprehensum scopum. Nunc seorsum de singulis pro facultate disseremus.

ΚΕΦΑΛ. Α'.

Τὸ λῆμμα, ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης.

Β'. Λῆμμά φησι ἐν τούτοις τὴν τῆς ὁράσεως, ἤτοι τὴν τῆς προγνώσεως λῆψιν, ἣν ἄν τις ἕλοι, διδόντος Θεοῦ. Αὐτὸς γὰρ « ὁράσεις, » κατὰ τὸ γεγραμμένον,

CAP. I.

Vers. 1. *Assumptio, quam vidit Habacuc propheta.*

II. Assumptionem hic vocat visionis, sive præscientiæ sumptionem, quam quis, Deo dante, acquisierit. Ipse enim « visiones multiplicavit, » ut scri-

[23] Matth. x, 20. [24] Habac. I, 13.

Digitized by Google

ptum est [25], et ipse locutus est ad prophetas, per **519** Spiritum sanctum futura illis prænionstrans, et quasi jam præsentia tantum non in conspectu ponens. Nolle vero de corde suo loqui, sed apportare ad nos Dei verba, prius dilucide nobis persuadet, prophetam seipsum appellans, et gratia ad istud plenum se ostendens.

A « ἐπλήθυνε, » καὶ αὐτὸς λελάληκε πρὸς προφήτας, προαναφαίνων αὐτοῖς διὰ τοῦ ἁγίου Πνεύματος τὰ ἐσόμενα, καὶ ὡς ἤδη παρόντα μονονουχὶ καὶ ἐν ὄψει τιθείς. Ὅτι δὲ οὐ τὰ ἀπὸ τῆς καρδίας αὐτοῦ λαλεῖν ἔγνωκε, διαπορθμεύσει δὲ μᾶλλον εἰς ἡμᾶς τοὺς παρὰ Θεοῦ λόγους, προαναπείθει σαφῶς, προφήτην ἑαυτὸν ὀνομάσας καὶ τῆς εἰς τοῦτο χάριτος ἀποφαίνων ἔμπλεων.

Vers. 2. *Usquequo, Domine, clamabo, et non exaudies? vociferabor ad te vim patiens, et non salvabis?*

Ἕως τίνος, Κύριε, κεκράξομαι, καὶ οὐ μὴ εἰσακούσῃ; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις;

III. Considerat propheta personam oppressi, et intolerabilem injuriam contumeliamque sustinentis ab his, quibus incommodare mos solemnis est. Et scite admodum inexplicabilem Dei benignitatem testificatur. Demonstrat enim malorum perquam B tolerantem, quamvis improbos odisse soleat. Peccantibus autem non protinus solere pœnam infligere, clare ostendit, dum eo silentii et longanimitatis venisse ait, ut jam etiam expostulatione opus sit : quandoquidem non ferenda amplius in alios maleficia quidam committant, et in infirmiores effrenate quodammodo injuriosi reperiantur. Qua enim oratione Deum ut immodice patientem incusat, eadem illi immensæ benignitatis testimonium præbet. « Quousque enim, inquit, clamabo, et non exaudies? clamabo ad te vim patiens, et non salvabis? » quamvis longe plurimas et atroces pœnas peccare volentibus miniteris.

Γ'. Σκέπτεται μὲν ὁ προφήτης τὸ τοῦ πλεονεκτουμένου πρόσωπον, καὶ ὑπομένοντος δύσοιστον τὴν ἐκ τῶν ἀδικεῖν εἰωθότων ὕβριν καὶ παροινίαν. Εὐτέχνως δὲ λίαν ἐπιμαρτυρεῖ τῷ Θεῷ τὴν ἐπέκεινα λόγου φιλανθρωπίαν. Ἀποφαίνει γὰρ ἀνεξικακοῦντα λίαν, καίτοι μισεῖν εἰωθότα τοὺς πονηρούς. Ὅτι δὲ οὐκ εὐθὺς τοῖς πταίουσιν ἐπάγει τὰς δίκας, δέδειχεν ἐναργῶς, εἰς τοῦτο σιωπῆς καὶ μακροθυμίας ἀφικέσθαι λέγων, ὡς δεῖσθαι λοιπὸν καὶ καταβοῆς, οἱστὴν μὲν οὐκέτι ποιουμένων τινῶν τὴν καθ' ἑτέρων πλεονεξίαν, ἀχάλινον δὲ ὥσπερ ἐπαφιέντων τοῖς ἀσθενεστέρας τὴν ὕβριν. Δι' ὧν γὰρ καταβοᾷ ἀνεξικακοῦντος θεοῦ, διὰ τούτων αὐτῶν ἐπιμαρτυρεῖ τῷ Θεῷ τὸ πέρα μέτρον φιλάνθρωπον. « Μέχρι γὰρ τίνος, φησὶ, κεκράξομαι, καὶ οὐκ εἰσακούσῃ; βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; » καίτοι πλείστας τε ὅσας καὶ πικρὰς τοῖς ἐθέλουσι παρανομεῖν ἀπειλῶν τὰς δίκας.

Vers. 3. *Quare ostendisti mihi labores et dolores, videre miseriam et impietatem?*

Ἵνα τί μοι ἔδειξας κόπους καὶ πόνους, ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν;

IV. Odium quo sancti tenentur adversus improbitatem, etiam hinc discas; aliorum enim dolores suos vocant. Quare et sapientissimus Paulus ait : « Quis infirmatur, et non infirmor? quis scandalizatur, et ego non uror [26]? » Præcepit etiam nos ipsos flere cum flentibus, commiserationem et dilectionem mutuam, quæ sanctos decet, liquidissime ostendens [27]. Deum autem sibi ostendisse affirmat labores et dolores, utique legis violatorum, et impietatem injurias irrogare solitorum; non quasi Deus ipsi mala patiendi auctor fuerit, sed quod malefacientes leniter tolerarit, seu cum ipsum e medio tollere potuerit, ne indignissimarum rerum etiam D spectator fieret. Fuit quippe mos sanctis, in tantis animi fracti doloribus dissolvi cupere, sicut nimirum et beatus Jonas : « Et nunc, Domine, inquit, tolle animam meam a me, quoniam melius est mihi mori quam vivere [28]. » **520** Scribit et sapientissimus Paulus, melius sibi fore dissolvi, et cum Christo esse [29]. Labores enim deponere vitæ sanctimoniam consectantibus, est rebus mundi hujus et negotiis absolvi, et tanquam istis curarum molestiis eximi.

Δ'. Τῶν ἁγίων τὸ μισοπόνηρον κἀντεῦθεν ἂν μάθοις· ἰδίους γὰρ τοὺς ἑτέρων πόνους ὀνομάζουσι. Ταύτητοί φησι καὶ Παῦλος ὁ σοφώτατος· « Τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; » Προστέταχε δὲ καὶ ἡμῖν αὐτοὺς κλαίειν μετὰ κλαιόντων, τὸ συμπαθὲς καὶ φιλάλληλον ἁγιοπρεπὲς ὅτι μάλιστα δεικνύς. Θεὸν δέ φησιν αὐτῷ δεῖξαι κόπους τε καὶ πόνους, δῆλον δὲ ὅτι τῶν παρανομουμένων, ἀσέβειαν δὲ τῶν ἀδικεῖν εἰωθότων, οὐχ ὡς αὐτὸν κατεσκευακότα αὐτῷ τὸ παθεῖν, ἀλλ' ὡς τοῖς δεδρακόσι μακροθυμήσαντα, ἤγουν ὡς ἀπαλλάξαι μὲν τοῦ βίου δυνάμενον, ἵνα μὴ γένηται τῶν ὄντως ἐκτοπωτάτων καὶ θεατής. Ἔθος δὲ τοῖς ἁγίοις ἐν ταῖς οὕτω πικραῖς ὀλιγοψυχίαις τὸ ἀναλῦσαι ζητεῖν, καθάπερ ἀμέλει καὶ ὁ μακάριος Ἰωνᾶς· « Καὶ νῦν, Κύριε, φησὶ, λαβὲ τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με, ἢ ζῆν. » Γράφει δὲ καὶ ὁ σοφώτατος Παῦλος, ὅτι « Κρεῖττον τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι. » Πόνων γὰρ ἀπόθεσις τοῖς ἁγίως ἐθέλουσι ζῆν, τὸ ἀπαλλάττεσθαι λοιπὸν τῶν ἐν τῷδε τῷ κόσμῳ πραγμάτων, καὶ οἷον δεινῆς ἀνεῖσθαι τῆς ἐνθάδε φροντίδος.

Vers. 4. *Ex adverso mei factum est judicium, et judex accipit. Propterea dissipata est lex, et non deducitur in finem judicium. Quia impius prævalet*

Ἐξεναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει. Διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ διεξάγεται εἰς τέλος κρῖμα, ὅτι ἀσεβὴς κατα-

[25] Osee XII, 10. [26] II Cor. XI, 29. [27] Rom. XII, 15. [28] Jon. IV, 3. [29] Philipp. I, 23.

Digitized by Google

δυναστεύει τὸν δίκαιον· ἕνεκεν τούτου ἐξελεύσεται τὸ κρῖμα διεστραμμένον.

Ε'. Ὅτι μηδὲν ἴδιον αὐτῷ τὸ μικροψυχεῖν ἀναπείθον, ἀλύει δὲ μᾶλλον ὡς ἁγιός τε καὶ φιλοδίκαιός τε, τῆς θείας ἐντολῆς ἀλογοῦντας βλέπων, οὐχὶ τοὺς τυχόντας ἁπλῶς, ἀλλὰ τοὺς ταῖς ἀνωτάταις τιμαῖς ἐκλελαμπρυσμένους, καὶ λαῶν προεστηκότας, καὶ εἰς τὸ τῶν δοκιμαζόντων ἀξίωμα τεταγμένους, δείκνυσι σαφῶς, τὰς εἰς ὀρθότητα ψήφους παραλελύσθαι λέγων, καίτοι τοῦ νόμου σαφῶς διηγορευκότος· « Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστι. » Μέγα δὴ οὖν τὸ κρίνειν ἐστὶ, καὶ τῆς θείας ὑπεροχῆς τε καὶ δόξης μιμητὴς ἂν γένοιτο σοφὸς ὁ ἀδέκαστος δικαστὴς, καὶ τὴν ψῆφον τοῦ δικαίου παρευθύνειν οὐκ ἀνεχόμενος. Ὑβριστὴς δὲ λίαν καὶ κατ' αὐτῶν ἔρχεται τῶν θείων ἀξιωμάτων ὁ δωροδόκος, ἅτε δὴ τὸ κάλλος τῆς ἀληθείας παρασημαίνων, καὶ διαστρέφειν μὲν τὰ ὀρθὰ μεμελετηκὼς, « λέγων δὲ τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρὸν, καὶ τὸ μὲν σκότος εἰς φῶς, τὸ δὲ φῶς εἰς σκότος » ἀνοσίως καταλογιζόμενος. Ἀποφαίνει δὴ οὖν ὁ προφήτης, ὡς ἐν μιᾷ δὴ ταύτῃ τῇ παναρίστῃ καὶ λίαν εὐκλεεστάτῃ ἐντολῇ ὅλον πεπατημένον τὸν νόμον εὐθύς. Ὁ γάρ τοι περὶ τὸ κράτιστον τοῦ πρέποντος διημαρτηκὼς, πῶς ἂν γένοιτο περὶ τὸ μεῖον ἀσφαλής; Ἑαυτὸν δὲ τῆς πλεονεξίας ὁ προφήτης εἰσκεκόμικε μάρτυρά τε καὶ θεατήν. Ἐπειδὴ δὲ τὸ κρίνειν, φησὶν, ὀρθῶς παρεώραται, ταύτητοι καὶ νόμος ἀσθενεῖ, καὶ ἡ τῶν κριμάτων ὀρθότης οὐ διεξάγεται κατὰ τὸ σοὶ δοκοῦν τῷ Δεσπότῃ, καταδυναστεύει δὲ καὶ ὁ ἀσεβὴς τὸν δίκαιον. Ἔγκλημα δὲ τοῦτο τῇ τῶν Ἰουδαίων Συναγωγῇ καὶ διὰ φωνῆς ἑτέρων προφητῶν ἐπενήνεκται παρὰ τοῦ Θεοῦ. Ἔφη γάρ, ὅτι « Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔκρινον. » Καὶ πρὸς αὐτὴν δὲ πάλιν διὰ φωνῆς Ἡσαΐου· « Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες, καὶ κρίσει χήρας οὐ προσέχοντες. » Ἔοικε δὲ καὶ νῦν ὁ προφήτης Ἀμβακοὺμ ἐκεῖνο βούλεσθαι πληροῦν, τὸ ἐν βιβλίῳ Παροιμιῶν· « Ἃ εἶδον οἱ ὀφθαλμοί σου, λέγε. » Προσαποδείκνυσι λοιπὸν, καὶ ἀλογωτάτης ἐνούσης Θεῷ γαληνότητος ἐποιήσατο τὴν καταβολὴν (1), ἀνεξικακοῦντος μὲν οὕτως ὡς ἂν αὐτῷ πρέποι, Θεὸς γάρ ἐστιν ἀγαθὸς, πλὴν ὅσον ἥκει εἰς νοῦν τὸν ἀνθρώπινον, καὶ πέρα μέτρου παντὸς ποιουμένου τὸ ἀνεξίκακον.

A *adversus justum, propter hoc egredietur judicium perversum.*

V. Nihil esse quod privatim animum ejus dejiciat, sed mœrere se magis, ut sanctum et justitiæ amantem, cum videat divina mandata contemni, non a plebeiis duntaxat, sed a supremis honoribus illustratis, populique rectoribus, et in judicum ordinem cooptatis, perspicue docet, calculos sive suffragia vera corrupta esse affirmans, tametsi lex aperte prohibuerit : « Non accipies personam in judicio, quia judicium Dei est [30]. » Eximium igitur quiddam est judicare, divinæque præstantiæ et gloriæ sapiens imitator est judex sincerus et incorruptus, et se a suffragatione justitiæ detorqueri non sustinens. Injuriosus autem vehementer et divinæ auctoritati refractarius censendus est, qui munera accipit, utpote veritatis elegantiam adulterans, et recta pervertere laborans, et « dicens malum bonum, et bonum malum, et tenebras lucem, et lucem tenebras [31] » scelerate reputans. Demonstrat igitur propheta, ut in uno hoc longe optimo et gloriosissimo mandato statim totam legem conculcatam esse. Qui enim in officium maximum offendit, quo pacto is a culpa sese tutum in minore præstabit? Jam vero seipsum propheta oppressionis testem spectatoremque introduxit : Quoniam, inquit, recte judicare nihili fit, ideo et lex labefactatur, et judiciorum rectitudo ad beneplacitum tuum, Domine, non deducitur, et impius justo dominatur. Hoc crimen Synagogæ Judæorum etiam per alios prophetas a Deo objicitur. Ait enim : « Principes ejus in muneribus judicabant [32]. » Et ad eamdem denuo voce Isaiæ : « Argentum vestrum reprobum, caupones tui miscent vinum aqua, principes tui inobedientes, socii furum, diligentes munera, **521** sequentes retributionem, pupillis non judicantes, et judicium viduæ non attendentes [33]. » Apparet autem et nunc prophetam Habacuc illud præstare velle quod in libro Proverbiorum exstat : « Quæ viderunt oculi tui, dic [34]. » Ostendit insuper accusabundus lenitatem et tranquillitatem illam Dei rationi adversari permultum, ut qui patienter quidem mala toleret, quemadmodum illum deceat (Deus enim bonus est), verumtamen pro humano sensu supra omnem modum.

B

C

D

Ἐκδέδηκε δὲ καὶ ἐπὶ Χριστῷ τὸ κρῖμα διεστραμμένον, καὶ διεσκέδασται νόμος. Ὃν γὰρ ἦν ἁμεινον καταγεραίρειν ὡς Θεὸν, καὶ διὰ τοῦτο θαυματουργὸν, συκοφαντοῦντες οὐ διαλελοίπασιν οἱ τῶν Ἰουδαίων καθηγηταὶ, καὶ ταῖς σφῶν αὐτῶν ἀθυροστομίαις πάντα σείοντες κάλων, οὐδὲν τῶν ἀτόπων ἐστὶν, ὃ μὴ κατειπεῖν τετολμήκασιν· ὡς ποτὲ μὲν ἐν Βεελζεβοὺλ

Egressum est porro etiam super Christo perversum judicium, et dissipata lex. Quem enim conveniebat venerari ut Deum, et idcirco mirabilium patratorem, primores Judæorum calumniari non destiterunt, linguarumque suarum incontinentia omnem moventes rudentem, omni eum infamia aspergere non erubuerunt ; ut nunc in Beelzebub

[30] Deut. I, 17. [31] Isa. V, 20. [32] Mich. III, 11. [33] Isa. I, 22, 23. [34] Prov. XXV, 8.

(1) Καταβοὴν legit Cotelerius *Monum. Eccl. Gr.*, II, 524, et paulo ante, εὐλογωτάτης pro ἀλογ. Edit.

Digitized by Google

ipsum ejicere dæmonia opinarentur [35], nunc potatorem vini [36], et a dæmone obsessum dicerent [37]. Deinde cum Salvatorem ac Liberatorem omnium appellare oporteret, miseri perverse condemnatum occiderunt, quanquam id lege evidenter vetante : « Innocentem et justum non interficies [38]. » Accusat autem eos etiam alia ratione Christus, ut qui recta et justa cogitare nollent, sed tacerent, mentisque oculum veluti clauderent super iis quæ a Mose dicta essent. Quanquam cum legem Sabbati non servasset, et illi eum acrius invasissent, pro eo quod divinum quiddam in Sabbato egisset, sic eis respondit : « Unum opus feci, et omnes miramini. Propterea Moses dedit vobis circumcisionem, non quia ex Mose est, sed quia ex patribus. Et in Sabbato circumciditis hominem. Si circumcisionem accipit homo in Sabbato, ut non solvatur lex Mosis, mihi indignamini, quia totum hominem sanum feci in Sabbato? Nolite judicare secundum faciem, sed justum judicium judicate [39]. »

A αὐτὸν ἐκβάλλειν οἴεσθαι τὰ δαιμόνια, ποτὲ δὲ καὶ φιλοπότην καὶ δαιμονιῶντα καλεῖν. Εἶτα δέον Σωτῆρά τε καὶ Λυτρωτὴν τῶν ὅλων αὐτὸν ὀνομάζειν, ἀπεκτόνασιν ἀνοσίως, διάστροφον τὴν ψῆφον ἐπ' αὐτῷ ἐξενεγκόντες οἱ δεῖλαιοι, καίτοι τοῦ νόμου διηγορευκότος σαφῶς· « Ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς. » Ἐπητιᾶτο δὲ καὶ ἑτέρως αὐτοὺς ὁ Χριστὸς, ὡς ὀρθὰ καὶ δίκαια φρονεῖν οὐκ ἀνεχομένους, ἀλλὰ σιωπῶντας μὲν, καὶ τὸν τῆς διανοίας ὀφθαλμὸν οἱονεὶ καταμύοντας ἐφ' οἷς ἂν λέγοι Μωσῆς· καίτοι τὸν ἐπὶ Σαββάτῳ παραλύων νόμον, ἐπιθρωσκόντων δὲ, καὶ μάλα πικρῶς, ἐφ' οἷς ἂν αὐτὸς ἐργάσαιτό τι τῶν θεοπρεπῶν ἐν Σαββάτῳ· ἔφη γὰρ οὕτως· « Ἓν ἔργον ἐποίησα, καὶ πάντες θαυμάζετε. Διὰ τοῦτο Μωσῆς δέδωκεν ὑμῖν τὴν περιτομὴν, οὐχ ὅτι ἐκ τοῦ B Μωσέως ἐστὶν, ἀλλ' ὅτι ἐκ τῶν πατέρων. Καὶ ἐν Σαββάτῳ περιτέμνετε ἄνθρωπον. Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν Σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος Μωσέως, ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄνθρωπον ὑγιῆ ἐποίησα ἐν Σαββάτῳ; Μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνετε. »

Vers. 5. *Videte, contemptores, et videte et admiramini mirabilia, et disperdamini. Quia opus ego operor in diebus vestris, quod non credetis, si quis narraverit.*

VI. Cum propheta, de improborum prosperitate conquestus, diuturnam super ipsis Dei tolerantiam pene reprehendisset : infensa enim improbitati est anima justa et probitatis amans : princeps rerum Deus contemptores **522** alloquitur, videreque et respicere jubet, et in admirandis numerare, quæ admirationem merebuntur. Hæc erant velut cervicibus impendentia, et jamjam eventura, et accessu aversanda, et adventu odiosa, quæ ut prius perpendant opportune præcipit, quæ ad disperdendos, quibus supervenerint, satis valitura sint : admiranda quoque, et improvisa, et insperata, et intolerabilia, et quæ ob atrocitatis magnitudinem obstupefacere queant, ac fortassis etiam incredibilia. Conjunctissima enim semper solet esse magnis malis incredulitas, præsertim si cernantur iis contingere, qui se talia passuros neutiquam sperarunt. Quis enim putasset unquam dilectum Israelem, primogenitum in filiis, cujus causa Ægypto invecta pernicies, et sexcentæ gentes, Chananæorum, Esæorum, Amorræorum, Pherezæorum, Jebusæorum deletæ, in tantas ærumnas delapsurum, ut tota eorum regio everteretur, et ipsi ingloriam ac durissimam servitutem in peregrino solo oberrantes paterentur post calamitates hellicas, quibus sigillatim omnibus declarandis nulla sufficit oratio? Illata sunt enim incendia, factitatæ virorum cædes, raptatæ mulieres, infantes ad terram allisi, et, ut dicit Jeremias : « Manus mulierum misericordium coxerunt filios suos [40]. » Destructa sunt

Ἴδετε, οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε, καὶ θαυμάζετε θαυμάσια, καὶ ἀφανίσθητε. Διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται.

Κατακεκραγότος τοῦ προφήτου τῆς τῶν παρανόμων πλεονεξίας, καὶ τῆς ἐπ' αὐτοῖς ἀνεξικακίας μονονουχὶ καὶ αἰτιωμένου τὴν μέλλησιν· μισοπόνηρον γάρ τι χρῆμα ψυχὴ δικαία καὶ φιλάρετος· τοῖς C καταφρονεῖν εἰωθόσιν ὁ τῶν ὅλων Θεὸς ἐπιφθέγγεται λοιπὸν ἰδεῖν τε καὶ ἐπιβλέψαι, καὶ θαύματος ἀξίων, ὅσαπερ ἂν θαυμάζεσθαι πρέποι. Ταῦτα δὲ ἦν τὰ οἱονεί πως ἐπηρτημένα, καὶ ὅσον οὐδέπω μέλλοντα συμβήσεσθαι, καὶ ἀπευκτὴν ἔχοντα τὴν προσβολὴν, καὶ κατεστυγημένην τὴν ἔφοδον, ἃ δὴ καὶ προσανατρεῖν αὐτοῖς χρησίμως προστέταχεν, οὐκ ἀνικάνως ἔχοντα πρός γε τὸ ἀφανίσαι δύνασθαι τοὺς ἐφ' οἷς ἀνιόντα φαίνοιτο· θαυμαστὰ δὲ, ὅτι καὶ ἀδόκητα, καὶ παρ' ἐλπίδα, καὶ δύσοιστα, καὶ δι' ὑπερβολὴν δεινότητος καταπλήττειν οἷά τε, τάχα δέ που καὶ ἀπιστούμενα. Φιλεῖ γάρ πως ἀεὶ ἐν τῷ πολλῷ μεγέθει τῶν κακῶν ἐγγὺς εἶναι λίαν τὸ καὶ ἀπιστεῖσθαι δεῖν, εἰ δὴ μάλιστα τοῖς οὐδαμόθεν παθεῖν ἠλπικόσιν ὁρῶτε D συμβαίνοντα. Τίς γὰρ ἂν ᾠήθη πώποτε τὸν ἠγαπημένον Ἰσραὴλ, τὸν πρωτότοκον ἐν τέκνοις, δι' ὃν ἀπώλωλεν Αἴγυπτος, ἔθνη τε μυρία πεπτώκασι, Χαναναίων, καὶ Ἐσαίων, καὶ Ἀμορραίων, καὶ Φερεζαίων, καὶ Ἰουβεσαίων, καθικέσθαι πρὸς τοῦτο ταλαιπωρίας, ὡς ἅπασαν μὲν αὐτῶν ἐξαναστῆναι τὴν χώραν, ἀκλεᾶ δὲ αὐτοὺς καὶ δύσοιστον ἀνατλῆναι δουλείαν, ἐπ' ἀλλοδαπῆς ἀλητεύοντας μετὰ τὰς ἐκ πολέμου συμφορὰς, αἷς οὐκ ἀπόχρη πᾶς λόγος, εἰ δὴ βούλοιτό τις ἕκαστα διατρανοῦν; Ἐμπρησμοί τε γὰρ γεγόνασι, καὶ ἀνδροκτασίαι· καὶ γὰρ γυναικῶν ἕλξεις, καὶ νηπίων εἰς γῆν προστρείγματα, καὶ ἧ

[35] Matth. xii, 24. [36] Matth. xi, 19. [37] Joan. viii, 48. [38] Exod. xxiii, 7. [39] Joan. vii, 21-24. [40] Thren. iv, 10.

Digitized by Google

φησιν ὁ προφήτης Ἱερεμίας· « Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία αὐτῶν. » Πεπόρθηνται δὲ καὶ αὐτὰ τὰ ἅγια, καὶ τῶν εἰς λῆξιν ἡκόντων κακῶν τοῖς ἑλοῦσιν ἀνεπιτήδευτον ἦν οὐδέν. Ἄπιστα δὴ οὖν, καὶ οἷον ἀπίθανα πρὸς ἐξήγησιν δι' ὑπερβολὴν ὠμότητος τῆς τῶν δεδρακότων. Ταύτητοι φησὶν, ἐν ταῖς ἡμέραις αὐτῶν ἔργον ἐργάσασθαι, ὃ οὐ μὴ πιστεύσωσιν, εἰ δή τις αὐτοῖς ἐκδιηγεῖται τυχόν. Εἰπὼν δὲ τὸ, « ἐν ταῖς ἡμέραις ὑμῶν, » ἐφῆκε νοεῖν, ὡς οὐ μακρὸς μεταξὺ διιππεύσει χρόνος· ἀλλ' οἷον ἀγχίθυρος, καὶ εὐθὺς καὶ γείτων ὁ πόλεμος, καὶ οὐκ εἰς μακρὰν ἡ δίκη.

Διότι ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς Χαλδαίους, τὸ ἔθνος τὸ πικρὸν, καὶ τὸ ταχινὸν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς, τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ.

Ζ'. Τί τὸ ἀπιστούμενον, εἰ δὴ, λαλῶν τὸ διήγημα, δέδειχεν εὐθύς; Ἠπείλησε γὰρ ἐπαφήσειν αὐτοῖς τοὺς Βαβυλωνίους, τὸ μάχιμόν τε καὶ ἀγριώτατον γένος, καὶ τοῖς τῶν θηρίων ἀνημέροις κατ' οὐδένα τρόπον εἰς ὠμότητα παραχωροῦν, καὶ ἐπ' ἀκράτοις ἀεὶ μανίαις κατεγνωσμένον. *Ταχινὸν* δὲ ὠνόμασεν· ἱππόται γὰρ ὡς ἐπίπαν· πικρὸν δὲ, καὶ δριμὺ, καὶ παγχάλεπον, καὶ οὐκ ἀπάνουργον εἰς τὸ τακτικὸν, στρατηγεῖν δὲ ἄριστα μεμελετηκός. Ῥώμη δὲ φρονήσει συνθέουσα πρὸς τὰς τοῦ πολέμου χρείας, ῥᾷστα ἂν, οἶμαι, κατορθώσειε τὸ τοῖς πολεμοῦσι δοκοῦν, καὶ περιέσται ῥᾳδίως τῶν ἀντανίστασθαι προτεθυμημένων. Ἐπειδὴ δὲ ἐν ἕδει ἦν τοῖς Βαβυλωνίοις οὔτε οἴκοι μένειν ἀεὶ, οὔτε μὴν σφισιν αὐτοῖς ἐπαμύνοντας τῶν ἐπιόντων αὐτοῖς ἀνακόπτειν ἐφέδους, κατευρύνεσθαι δὲ ὥσπερ τῆς γῆς ἁπάσης, καὶ καταδηοῦν τὰς ἑτέρων, καὶ κλῆρον ἀεὶ ποιεῖσθαι φιλεῖν τὰ κατ' οὐδένα τρόπον αὐτοῖς ἁρμόττοντα, φησὶν ἀναγκαίως τό· « Ἔθνος τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς τοῦ κατακληρονομῆσαι σκηνώματα οὐκ αὐτοῦ. » Φιλεῖ γὰρ, ὡς ἔφην, τῶν ἄλλων χώρας ἐπικρῖσθαι, ἀεί τε τὴν ἑαυτοῦ κατευρύνειν ἀρχήν.

Πεπόνθασι δέ τι τοιοῦτον κυριοκτονήσαντες Ἰουδαῖοι. Καίτοι γὰρ ἐξὸν νέμεσθαι τὴν ἑαυτῶν ἀνειμένως, καταθλίβοντος οὐδενὸς, δέδονται τοῖς κεκρατηκόσι, καὶ ὑπὸ δασμοὺς καὶ τέλη γεγόνασι, καὶ ὑπὸ σκῆπτρα τέθεινται τῶν ἀεὶ κατευρυνομένων, καὶ νενικηκότων ἅπασαν τὴν ὑπ' οὐρανόν. Ἀποσειόμενοι γὰρ αὐτοὶ τὸ ὑπὸ Χριστῷ βασιλεύεσθαι, διαῤῥήδην ἔφασαν· « Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. » Ἰστέον δὲ ὅτι καὶ ἀνθρώπου ψυχὴ, παρ' οὐδὲν τοὺς θείους εἰ τιθεῖτο νόμους, ὑπὸ τυράννοις πικροῖς ἔσται, τοῖς ἀκαθάρτοις δαίμοσι, καὶ δουλεύσει δυνάμεσι πονηραῖς, ἀεὶ διψώσαις κληρονομεῖν τὰ οὐκ αὐτῶν σκηνώματα. Θεοῦ γὰρ ὁ ἄνθρωπος. Κατοικεῖ γοῦν ἐν ἁγίοις, καὶ ταῖς τῶν ὁσίων ψυχαῖς ἐναυλίζεται.

Φοβερὸς καὶ ἐπιφανὴς ἐστιν, ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται.

Η'. Μέτεισιν ὁ λόγος ἐπὶ τὸν τοῦ ἔθνους ἡγού-

A etiam sancta ipsa, et quidquid demum est malorum, nihil a victoribus in victos est præteritum. Sunt autem improbabilia, et fidem ægre invenit narratio, propter summam crudelitatem eorum qui perpetrarunt. Quocirca dicit, in diebus illorum se opus facturum, quod non sint credituri, si quis id fortasse ipsis narraverit. Illis porro verbis, « in diebus vestris, » vult intelligi, non multum temporis intercessurum, sed quasi in foribus esse, et instare bellum, et ultionem non procul abesse.

B

Vers. 6. *Quia ecce ego suscito Chaldæos, gentem amaram et velocem, ambulantem super latitudines terræ, ut possideat tabernacula non sua.*

VII. Quid habet incredibile, si, quod futurum est narrans, id statim comprobat? Minatur enim Babylonios in eos missurum, genus hominum pugnax, et ferox in primis, et immitibus belluis sævitia nihil omnino inferius, ac propter immoderatum **523** furorem semper male audiens. Vocat autem *velox:* equo enim utuntur pene omnes: acre, vehemens, valde iracundum, callidum, belli studiis exercitatissimum. Vires porro cum prudentia ad usus bellicos conjunctæ facillime, opinor, rite conficiant belligerantibus omnia, quæ cupiant, parvoque negotio contra pugnare audentes debellent. Quoniam vero Babyloniis more receptum erat, neque domi sedere semper, neque sibimetipsis opem ferendo hostiles ab se irruptiones arcere, sed quodammodo toto orbe diffundi, dilatari, et aliorum sedes depopulari, et quæ ipsis nullo modo debebantur, eniti propria semper facere, recte ait: « Gentem ambulantem super latitudines terræ, ut possideat tabernacula non sua. » Amabant enim, ut dixi, ad aliorum regiones aucupandas perpetuo incumbere, suumque imperium magis ac magis propagare.

C

Simile Judæis Domini interfectoribus accidit. Nam cum provinciam suam citra curam ac libere habitare possent, nemine illos premente, dediti sunt victoribus, et sub tributa ac vectigalia concesserunt, eorumque sceptris subjecti, qui imperium suum totum orbem cum victoriis peragrando dilataverant. Nam regnum Christi aversantes, propalam aiebant: « Non habemus regem nisi Cæsarem [41]. » Ad hæc sciendum animam quoque hominis divinas leges pro nihilo putantem, subjectam fore rigidis tyrannis, immundis videlicet dæmonibus, et servituram potestatibus malignis, semper tabernacula non sua sitientibus. Dei enim est homo. Habitat igitur in sanctis, et in animabus justorum sedem figit.

D

Vers. 7. *Formidabilis et illustris est, ex ipso judicium ejus erit, et assumptio ejus ex ipso egredietur.*

VIII. Transit oratio ad principem gentis, hoc est,

[41] Joan. xix, 15.

Digitized by Google

ad Babyloniorum tyrannum, ut puto, Nabuchodonosorem, qui Judæam subegit, divinoque templo cremato, in suum regnum Judam captivum abduxit. Ipsum igitur *terribilem* propter crudelitatem esse dicit, et propter iræ impotentiam, animumque intractabilem, et in pœnis immanitatem. Præterea *illustrem*, ut ambitiosum et jactabundum, gloriæque consectatorem inexplebilem. Semper enim Babyloniæ reges arrogantes et gloriæ longe cupidissimi fuerunt. Quia vero in omni negotio, consilio et aggressione, judicio suo plurimum tribuebant, **524** jubentes subjectos decreta citra recusationem approbare et exsequi, idcirco subjungit : « Ex ipso judicium ejus erit : » hoc est, suapte sponte incitatur ac movetur, et propter ingens supercilium aliorum sententiam non audit, tametsi quidpiam mandaverit quod fieri non possit. Superba enim sunt Persarum consilia. Et quoniam de pugna divinare solebant, et arte magica explorare, quo evasura essent, quæ præ manibus haberent, ait deinceps : « Assumptio ejus ex ipso egredietur. » Assumptionem nominat vaticinium. Non enim ex aliis gentibus aut regionibus vaticinandi peritos accerset, inquit : cum habeat apud se degentes semper mentientes, et nihil veri scientes, sed incitantes semper victoriamque prænuntiare solitos. In hoc porro Babyloniorum principatus sibi magnopere applaudebat. Itaque Balac, Moabitarum rex, Israelitas maledicere volens et futurorum notitiam quærens, e Mesopotamia Balaam accersebat [49]. Statuebat enim peritos et accuratos esse Babyloniorum magos, et ad quidvis magico artificio probe efficiendum potentissimos. Admittemus, si placet, hujus loci et aliam considerationem. Nam cum Babylonium tyrannum esse asseruisset, terribilemque et illustrem nominasset, illico addidit : « Judicium ejus ex seipso erit, et assumptio ejus ex ipso egredietur. » Quin etiam sic interpretari licebit : Decrevit Deus universitatis Dominus turpiter ac nequiter vivere ingressum Israelem suppliciis afficere. Hoc igitur super ipso Judicium ab ipso Babylonio futurum ait, ut si dicat, Vas seu instrumentum erit iræ meæ, et per ipsum te puniam; et assumptio super te, hoc est, quam assumpsero visitationem et voluntatem, ex ipso rursum egredietur, id est, operi, seu effectui mandabitur; decreta enim et meditata mea ad finem perducet.

μενον, τουτέστι, τὸν Βαβυλωνίων τύραννον, τάχα τὸν Ναβουχοδονόσορ, ὃς εἶλε τὴν Ἰουδαίαν, καὶ αὐτὸν δὲ τὸν θεῖον νεὼν κατεμπρήσας, αἰχμάλωτον ἀπεκόμισεν εἰς τὴν ἑαυτοῦ τὸν Ἰούδαν. Αὐτὸν δὴ οὖν ἄρα φοβερὸν μὲν εἶναι δι' ὠμότητα, καὶ τὸ ἀκρατὲς εἰς ὀργὰς, καὶ τὸ ἀτίθασσον εἰς φρένα, καὶ τὸ ἀπηχὲς εἰς δίκας. Ἐπιφανῆ δὲ δὴ πάλιν, ὡς φιλότιμον, καὶ δόξης ἄπληστον ἐραστήν. Ἀλαζόνες γὰρ ἀεὶ καὶ φιλοδοξότατοι λίαν οἱ τῆς Βαβυλῶνος βεβασιλευκότες. Ἐπειδὴ δὲ τῆς εἰς πᾶν ὁτιοῦν βουλῆς, καὶ μὴν καὶ ἐγχει ῥημάτων ἦρχον αὐτοὶ τὸ δοκοῦν εὖ ἔχειν, ἁπλῶς τοὺς ὑπὸ χεῖρα ἀποπεραίνεσθαι δεῖν προτάσσοντες, διὰ τοῦτό φησι· « Ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ ἔσται, » τουτέστιν, αὐτοκελεύστοις ὁρμαῖς ἕσται πρὸς τὸ κινοῦν, καὶ ἐκ πολλῆς ἄγαν ὀφρύος οὐκ ἂν τῆς ἑτέρων γνώμης ἀνάσχοιτο, κἂν εἰ μή τι τῶν ἐνδεχομένων γενέσθαι προστάξειεν. Ὑπέροπτα γὰρ τὰ Περσῶν βουλεύματα. Ἐπειδὴ δὲ ἔθος ἦν αὐτοῖς προπαραντεύεσθαι τὰς μάχας, καὶ μάγῳ τέχνῃ προαναμανθάνειν πειρᾶσθαι τὸ ὅποι ποτ' ἂν ἐκτελευτήσῃ τὸ ἐν χερσὶν, ἔφη πάλιν, ὅτι « Τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. » Λῆμμα δὲ ὀνομάζει τὸ μάντευμα. Οὐ γὰρ ἐξ ἑτέρων, φησὶν, ἐθνῶν ἢ χωρῶν μεταπέμψεται τοὺς εἰδότας τὴν μαντείαν· ἔξει δὲ μᾶλλον συμβιοτεύοντας ψευδομένους μὲν ἀεὶ, καὶ τῶν ἀληθῶν εἰδότας οὐδὲν, πλὴν ἀεί πως κατερεθίζοντας, καὶ ὅτι νικήσει προαναφωνεῖν εἰωθότας. Ἐσεμνύνετο δὲ καὶ λίαν ἐπὶ τούτῳ ἡ Βαβυλωνίων ἀρχή. Καὶ γοῦν ὁ Βαλὰκ, ὁ Μωαβιτῶν βασιλεὺς, ὅτε τοὺς ἐξ Ἰσραὴλ καταρᾶσθαι ἐβουλεύετο, καὶ τῶν ἐσομένων τὴν γνῶσιν ἐζήτει, ἐκ τῆς Μεσοποταμίας μετάπεμπτον ἐποιεῖτο τὸν Βαλαάμ. Ἤθετο γὰρ ὅτι δεινοί τε καὶ ἀκριβεῖς τῶν Βαβυλωνίων οἱ μάγοι, καὶ πρὸς τὸ κεῖ ὁτιοῦν δύνασθαι κατορθοῦν ἀλκιμώτατοι διά γε τῆς μάγου τέχνης. Ἐκδεξόμεθα δὲ καὶ ἑτέρως, εἰ δοκεῖ, τοῦ προκειμένου τὴν θεωρίαν. Ὁρισάμενος γὰρ τὸν Βαβυλωνίων τύραννον, εἰρηκώς τε ὅτι φοβερὸς καὶ ἐπιφανὴς ἐστιν, ἐπήνεγκεν εὐθύς· « Ἐξ αὐτοῦ τὸ κρῖμα αὐτοῦ ἔσται, καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται. » Καὶ δήτοι τοιοῦτον ἔσται νοεῖν· Ἐβουλεύσατο μὲν γὰρ ὁ τῶν ὅλων Δεσπότης Θεὸς αἰσχρῶς τε καὶ φαύλως βιοῦν ἠρημένον κολάσαι τὸν Ἰσραήλ. Τοῦτο δὴ οὖν τὸ ἐπ' αὐτοῦ κρῖμα παρ' αὐτοῦ φησι γενήσεσθαι τοῦ Βαβυλωνίου, δμοιονῶς εἰ λέγοι. Σκεῦός τῆς ὀργῆς ἔσται τῆς ἐμῆς, καὶ δι' αὐτοῦ σε τιμωρήσομαι, καὶ τὸ λῆμμα δὲ τὸ ἐπὶ σοὶ, τουτέστιν, ἣν ἀναλάβοιμι σκέψιν καὶ βούλησιν, ἐξ αὐτοῦ πάλιν ἐξελεύσεται, τουτέστι, πραχθήσεται· πρὸς πέρας γὰρ εἶσει τὰ ἐξ ἐμῆς βουλῆς καὶ σκέψεως.

Vers. 8. *Et exsilient super pardales equi ejus, et velociores super lupos Arabiæ. Et equitabunt equites ejus, et impetu venient de longinquo, et volabunt quasi aquila prompta ad comedendum.*

Καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι αὐτοῦ, καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας. Καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ, καὶ ὁρμήσουσι μακρόθεν, καὶ πετασθήσονται ὡς ἀετὸς, πρόθυμος εἰς τὸ φαγεῖν.

IX. Iterum eos terriculamentorum magnitudine percellit, hostiumque sævam et invictam fore multitudinem docere nititur. Compellit autem ad pœ-

Θ'. Καταπλήττει πάλιν αὐτοὺς ταῖς τῶν δειμάτων ὑπερβολαῖς, καὶ ὅτι δεινή τε καὶ ἄθραυστος ἡ τῶν πολεμίων πληθὺς, πειρᾶται διδάσκειν. Συντελεύνει δὲ

[49] Num. XXII, 2 seqq.

πρὸς μετάγνωσιν, καὶ εἰς τὸ χρῆναι μαθεῖν, ἅπερ ἦν ἄμεινον ὁρᾶσθαι κατωρθωκότας. Ὅτι τοίνυν κουφότατοι μὲν εἰς δρόμους οἱ Βαβυλώνιοι, πάντολμοι δὲ καὶ θρασεῖς, καὶ θηρῶν ἀγρίων διενεγκόντες οὐδέν, καὶ τῶν ἁλίσκεσθαι δυναμένων οἱονεὶ καθιπτάμενοι, παρεγγυᾷ πάλιν, παρδάλεσι μὲν παρεικάζων τοὺς ἵππους. Πηδητικὴ δὲ λίαν ἡ πάρδαλις, καὶ πολὺ λίαν εὐπετὴς εἰς τὸ καταθρώσκειν δύνασθαι τῶν διωκομένων. Λύκοις γε μὴν τοῖς ἐξ Ἀραβίας αὐτοὺς, οὓς δὴ μάλιστά φασι τῶν ἄλλων ἀγριωτέρους, καὶ ὀξεῖ δρόμῳ διάττειν τὴν καθ' ὧν ἂν ἕλοιντο ποιουμένους ὁρμήν. Καὶ οὐχὶ μόνοις τοῖς λύκοις, φησὶ, προσεοίκασιν, ἀλλὰ γὰρ καὶ ἀετοῖς τοῖς νεκρῶν τῶν σωμάτων ἀμελλητὶ καταθέουσι καὶ καθιπταμένοις, ὡς ἔφην.

Εὐάλωτος δὲ καὶ ὁ τῶν Ἰουδαίων γέγονε νοῦς, καὶ οἷον ἱππόκροτος, ἤγουν εὐκατάτροχος ἡ καρδία καὶ τοῖς πάθεσι τῆς σαρκὸς, καὶ αὐτοῖς δὲ τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ πρός γε δὴ τούτοις ταῖς ἀλκιμωτάταις τῶν Ῥωμαίων προσβολαῖς. Προσκεκρούκασι τῷ λέγοντι· « Καὶ ἐγὼ ἔσομαι αὐτοῖς, λέγει Κύριος, τεῖχος πυρὸς κυκλόθεν, καὶ εἰς δόξαν ἔσομαι ἐν μέσῳ αὐτῆς. » Εὐάλωτος δὲ, οἶμαι, πᾶς νοῦς, καὶ εὐκατάτρεπτος κομιδῇ τῆς ἄνωθεν εὐσθενείας ἡττώμενος. Πᾶσα γὰρ ἡμῶν ἰσχὺς καὶ ἀσφάλεια παρὰ Θεοῦ· « Ποιήσομεν γὰρ ἐν αὐτῷ δύναμιν, καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς, » κατὰ τὸ γεγραμμένον.

Συντέλεια εἰς ἀσεβεῖς ἥξει, ἀνθεστηκότας προσώποις αὐτῶν ἐξεναντίας.

Ι'. Τοῦτο δὴ τῶν προηγγελμένων πέρας, καὶ κορωνὶς τῶν κακῶν. Ἥξουσι γὰρ, φησὶν, οἱ Χαλδαῖοι, ἔσονται δὲ καὶ τοιοίδε, καὶ τόδε τι δράσουσι, προσθήσουσι δὲ κἀκεῖνο, καὶ τὸ συναγόμενον ἐκ τούτων, ἄρδην τε καὶ πανοικὶ, καὶ αὐταῖς ὁμοῦ πόλεσί τε καὶ κώμαις ἀπολέσθαι τοὺς ἠσεβηκότας, κατ' οὐδένα τρόπον Θεοῦ κατοικτείροντος, ἀνέντος δὲ ὥσπερ εἰς ἐρήμωσιν τοὺς τοῖς αὐτοῦ νεύμασιν ἀνοσίως ἀνθεστηκότας, καὶ οἷον προσώποις ὑπαντιάζοντας, καὶ ἀναφανδὸν ἀνταναστησαμένους, καὶ ἀντεξάγοντας ἐναργῶς οἷς ἂν βούλοιτο Θεὸς τὸ ἴδιον θέλημα.

Συντετέλεσται δὲ ὥσπερ ἡ τῶν Ἰουδαίων Συναγωγὴ, Χριστῷ φρονοῦσα τὰ ἐναντία καὶ μαχομένη δόγμασι Δεσποτικοῖς, καὶ τοῦτο ἀκρύπτως, καὶ ἀναιδῶς αὐτῷ πρόσωπον ἀνατείνουσα, καὶ τὰ πάντων, ὡς ἔπος εἰπεῖν, τῶν κακῶν ἐκτοπώτατα δρῶσά τε καὶ λέγουσα, καὶ μὴν καὶ αὐτὸν προσηλοῦσα τῷ ξύλῳ, καὶ συκοφαντοῦσα τὴν ἀνάστασιν. Οὐ γὰρ μόνον ἀπεκτόνασι τὸν τῶν ὅλων Σωτῆρα καὶ Λυτρωτὴν, ἀλλὰ καὶ τοῖς Πιλάτου στρατιώταις χρήματα δεδώκασιν, ἐγηγερμένου Χριστοῦ, ἵνα δὴ λέγοιεν, ὡς ἀνεβίω μὲν οὐδαμῶς, κεκλόφασι δὲ μᾶλλον αὐτὸν λαθόντες οἱ μαθηταί.

Καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν, καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει, καὶ τύραννοι παίγνιον αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα, καὶ κρατήσει αὐτοῦ.

nitentiam, et ad discendum, **525** quæ præstabat jam legitime rebus ipsis exsecutos videri. Babylonios igitur ad cursum levissimos, mire audaces et confidentes, et ab agrestibus feris nihil distantes, et qui capiendis quasi involent, rursum ipsis denuntiat, equos pardalibus comparans. Subsultans admodum animal est pardalis, et levitate mira præditum ad insiliendum in eos quos persequitur. Item lupis Arabicis, quos ferunt aliis sævitia multis partibus antecellere, celeriterque facto impetu in quos voluerint incurrere. Nec solis lupis, sed etiam aquilis affirmat esse similes, in cadavera confestim incurrentibus et involantibus, ut dixi.

Jam vero Judæorum animus expugnatu facilis fuit, et cor velut equo incitato perstrepens, seu instar rotæ volubile et ipsis affectionibus carnis, et immundis spiritibus, et insuper validissimis Romanorum impressionibus. Offenderunt dicentem: « Et ego ero ipsis, dicit Dominus, murus ignis in circuitu, et in gloriam ero in medio ejus [49]. » Parvo item negotio capietur, opinor, quælibet mens, citraque ullum laborem evertetur, superno robori succumbens. Omne enim robur et securitas nostra a Deo est: « In eo siquidem faciemus virtutem, et ipse ad nihilum rediget tribulantes nos, » ut scriptum est [50].

Vers. 9. *Consummatio in impios veniet, resistentes faciebus eorum ex adverso.*

X. Hoc prænuntiatorum extremum, et coronis malorum est. Inquit enim: Venient Chaldæi, et tales erunt, et hoc facient, et illud apponent, et quod ex his omnibus conflabitur, erit funditus et tota cum familia, et cum ipsis urbibus atque vicis perdi impios, Deo nulla ratione miserante, sed in solitudinem ac vastitatem quasi redigi permittente, qui ejus nutibus impie refragrati sunt et veluti vultibus ipsis repugnarunt, manifesteque restiterunt, et Dei placitis aperte voluntatem suam opposuerunt.

Consummata autem est quodammodo Judæorum Synagoga, Christo contraria sentiens, et Dominica dogmata oppugnans, idque haud clandestine, et impudenter contra oculos tollens, malorumque omnium absurdissima, ut verbo comprehendam, et dicens et faciens, quin etiam ligno ipsum affigens, resurrectionemque calumnians. Non solum enim universorum **526** Salvatorem Redemptoremque interfecerunt, sed insuper, Christo a mortuis excitato, militibus pecuniam numerarunt, ut nequaquam revixisse, sed discipulos eum clam furatos dicerent [51].

Vers. 10. *Et congregabit quasi arenam captivitatem, et ipse in regibus deliciabitur, et tyranni ludibria ejus, et ipse in omnem munitionem illudet et mittet aggerem, et obtinebit eum.*

[49] Zachar. II, 5. [50] Psal. LIX, 13. [51] Matth. XXVIII, 12, 13.

Digitized by Google

XI. Cum sancti prophetæ sursum ac deorsum Judæorum populis adversa ipsis eventura præcinuissent, et hujuscemodi quodammodo eos incantassent, nihilominus eo inscitiæ et commentationum impiarum lapsi sunt, ut audacia accenderentur, et supercilium altius erigerent, interdumque arbitrarentur sua ipsorum multitudine facillime hostes debellaturos : interdum e regnis finitimis auxilia colligerent, adversariosque citra conflictum victoriam sibi forte cessuros confiderent. Neglectis autem per socordiam avitis moribus, et modo in Ægyptiorum, modo in Syrorum, imo et Tyriorum opibus, ut in solido et inconcusso, felicitatis suæ spem defixam habentes, vitam mollem atque hilarem degere pergebant. Quoniam igitur hujusmodi consilium eorum vanissimum erat, nec ita res processura, narrat iterum, et inquit : Ubi venerit Babylonius, etiamsi Israelitas arenis numero pares invenerit, tamen cum captivis Judææ incolis domum redibit [48]. Et quamvis multa millia fortissimorum defensorum habuerint, nihilominus et hos facile domabit. « Deliciabitur autem in regibus, et tyranni ludibrium ejus. » Vinctum quippe Babyloniam deduxit Jechoniam, aliosque toparcharum non paucos qui etiam victoribus ludibrium fuerunt. Tantopere vero urbibus etiam longe fortunatissimis prævalebit, ut unamquamque in potestatem redigere pro ludicro habiturus sit. Excitabit etiam aggeres. Sic item Tyrum Alexander, quanquam multum a continente in mare, instar insulæ, recedentem occupavit.

Cepit item Satanas Israelem captivum, Christo non credentem ; deliciæ illius facti sunt omnes principes ejus, et qui dignitate sacerdotii gloriabantur, quos et tyrannos nominare non indecorum opinor, quod præerant populo, multaque gloria et potentia 527 sua florebant. Verum nunquam diabolicæ perversitati ludus fuissent, si mandatis Salvatoris paruissent, fidemque et sanctificationem per Spiritum custodissent. Sane enim et ipsis omnium Salvator, qui omnem inimicum sub pedes subjicit, dixisset : « Ecce dedi vobis potestatem calcandi supra serpentes et scorpiones et supra omnem virtutem inimici [49]. »

Vers. 11. *Tunc mutabit spiritum, et pertransibit, et propitiabitur.*

XII. Non periturum universe genus Israel, nec in æternum neglectum iri, sed felicia tempora oritura, calamitatemque adeo gravem desituram, ubi distracto servitutis jugo domum redierint, significat, dum dicit universorum Dominum quasi spiritum consiliumque mutaturum. Non quod suum quoad præterita in illos decretum damnaturus sit, quasi quæ facta sint, recte facta non sint, sed potius, quod pœna sufficienti exacta, et supplicio proportione delictorum illato, ad misericordiam transitu-

[48] Isa. x, 22 ; Jerem. xxiv, 5, 7. [49] Luc. x, 19.

ΙΑ'. Τῶν ἁγίων προφητῶν ἄνω τε καὶ κάτω τοῖς Ἰουδαίων δήμοις τὰ κατ' αὐτῶν ἐσόμενα προαπηγγελκότων, μονονουχὶ δὲ καὶ κατεπᾴδόντων αὐτοῖς τὰ τοιάδε τῶν κακῶν, εἰς τοῦτο κατώλισθον ἀμαθίας αὐτοὶ καὶ ἀνοσίων σκεμμάτων, ὡς ἀναλαίεσθαι μὲν εἰς θράσος, καὶ ὀφρὺν ἐπαίροντας ὑψηλὴν ποτὲ μὲν οἴεσθαι, καὶ μάλα ῥᾳδίως τῇ σφῶν αὐτῶν πληθὺϊ περιγενέσθαι τῶν ἐχθρῶν· ποτὲ δὲ καὶ τὰς κύκλῳ βασιλείας συλλέγοντες εἰς ἐπικουρίας, τάχα που καὶ ἀμαχεὶ παραχωρήσειν αὐτοῖς τὸ νικᾷν τοὺς ἐπιόντας ἐτεθαρσήκεσαν. Καταῤῥᾳθυμήσαντες δὲ τῶν πατρῴων ἐθῶν, καὶ ποτὲ μὲν τὰς Αἰγυπτίων, ποτὲ δὲ τὰς Σύρων, καὶ μὴν καὶ τὰς Τυρίων ὡς ἐπ' ἀκλόνῳ τῆς εὐημερίας ἐρείσαντες τὴν ἐλπίδα, ἁβροὶ καὶ εὔθυμοι διετέλουν. Εἰ τοίνυν εἰκαιωτάτη μὲν ἡ τοιάδε σκέψις αὐτοῖς, βαδιεῖται δὲ οὐχ οὕτω τῶν πραγμάτων ἡ ἔκβασις, ἐξηγεῖται πάλιν. Ἀφικόμενος γάρ, φησὶν, ὁ Βαβυλώνιος, κἂν ταῖς ψάμμοις ἰσάριθμον τὸ ἐξ Ἰσραὴλ γένος εὕροι, ἀλλ' οὖν οἴκαδε πάλιν ἀνακομισθήσεται, δορυκτήτους ἔχων τοὺς κατοικοῦντας τὴν Ἰουδαίαν· κἂν εἰ μυρίους τε ὅσους καὶ ἀλκιμωτάτους ἔχοι τοὺς ἐπαμύνοντας, ἀλλ' οὖν καὶ τούτων περιέσται ῥᾳδίως. « Ἐντρυφήσει δὲ καὶ βασιλεῦσι, καὶ τύραννοι παίγνιον αὐτοῦ. » Δεδεμένον γὰρ ἐπῴκισεν εἰς Βαβυλῶνα τὸν Ἰεχονίαν, καὶ ἑτέρους δὲ τῶν τοπαρχῶν οὐκ ὀλίγους, οἳ καὶ εἰς γέλωτα τέθεινται τοῖς ἑλοῦσιν αὐτούς. Κατευμεγεθήσει δὲ οὕτω τῶν πόλεων, καὶ τῶν ἄγαν εὐτυχεστάτων, ὡς ἐν ἀθύρματος τάξει τὴν ἅλωσιν ἑκάστης λελογίσθαι παρ' αὐτοῦ. Ποιήσεται δὲ καὶ χωμάτων ἐγέρσεις. Εἶλε δὲ οὕτω καὶ Ἀλέξανδρος Τύρον, καίτοι πολὺ τῆς ἠπείρου πρὸς θάλασσαν, νήσου δίκην, ἐκτεθειμένην.

Εἶλε δὲ καὶ ὁ Σατανᾶς τὸν Ἰσραὴλ αἰχμάλωτον ἀπειθήσαντα τῷ Χριστῷ, καὶ τρυφῇ γεγόνασιν αὐτῷ πάντες οἱ ἡγούμενοι, καὶ τῇ τῆς ἱερωσύνης ἐκεκαυχῶντο δόξῃ, οὓς καὶ τυράννους εἰπεῖν οὐκ ἀκαλλὲς οἶμαί που, διά τοι τὸ πρωτεστάναι λαῶν, καὶ ἐν πολλῇ κεῖσθαι δόξῃ, καὶ δυναστείᾳ τῇ κατ' αὐτούς. Ἀλλ' οὐκ ἂν ἐγένοντο παίγνια δυστροπίας διαβολικῆς, εἰ ταῖς τοῦ Σωτῆρος ἐντολαῖς ἠκολούθουν, καὶ τὴν πίστιν τετηρήκασι, καὶ τὸν διὰ Πνεύματος ἁγιασμόν. Ἦ γὰρ ἂν ἔφη καὶ αὐτοῖς ὁ τῶν ὅλων Σωτὴρ, ὁ πάντα τιθεὶς ὑπὸ πόδας ἐχθρόν· « Ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. »

Τότε μεταβαλεῖ τὸ πνεῦμα, καὶ διελεύσεται, καὶ ἐξιλάσεται.

ΙΒ'. Ὅτι μὴ εἰς ἅπαν ἀπολεῖται τὸ γένος τὸ ἐξ Ἰσραὴλ, μήτε μὴν εἰς αἰῶνα περιοφθήσεται, ἀλλ' ἔνστασις αὐτοῖς καιρὸς εὐημερίας, καὶ λύσις τῆς ἀνηκέστου συμφορᾶς οἰκαδέ τε ἀναχεκομισμένοις, καὶ τοῦ τῆς δουλείας ἀπορῥαγέντος ζυγοῦ, δίδωσι νοεῖν, ὡς ἐν πνεύματος μεταβολῇ, τουτέστιν, ἐν μετασκέψει τε καὶ ἑτεροβουλίᾳ γενήσεσθαι λέγων τὸν τῶν ὅλων Δεσπότην. Καὶ οὔτι που φαμὲν ὅτι τῆς ἤδη γεγενημένης ἐπ' αὐτοῖς καταψηφιεῖται βουλῆς, ὡς οὐκ ἐχούσης ἐφ' ἑαυτῇ τὸ εὖ γεγενῆσθαι, τὸ

ἐκεῖνο δὲ μᾶλλον, ὅτι τὴν ἀποχρῶσαν δίκην αἰτήσας, καὶ ἀναλόγως τοῖς πταίσμασι τὴν κόλασιν ἐπενεγκών, μεταχωρήσει πρὸς ἔλεον, καὶ διελεύσεται τὴν ὀργήν, ἔσται δὲ καὶ ἵλεως τοῖς πεπονηκόσι. Δηλοῖ γὰρ, οἶμαι, τοῦτι τὸ *ἐξιλάσεται.*

Αὕτη ἡ ἰσχύς τῷ Θεῷ μου. Οὐχὶ σὺ ἀπ' ἀρχῆς, Κύριε ὁ Θεός, ὁ ἅγιός μου; καὶ οὐ μὴ ἀποθάνωμεν.

ΙΓ'. Ἀπαγγειλαμένου Θεοῦ τὸ κατοικτείρειν αὐτοὺς, καὶ τῶν σκυθρωπῶν τὴν ἐπί γε τὰ ἀμείνω μετάστασιν προηγγελκότος, ἐκ περιχαρείας ὁ προφήτης μονονουχὶ καὶ ἀνασκιρτᾷ λέγων, ὡς οὐκ ἂν ἑτέρῳ τῳ πρέποι τὸ ἀνακομίσαι τὸν Ἰσραὴλ, καὶ ἀπαλλάξαι δεσμῶν καὶ δουλείας, καὶ κατελεῆσαι συντετριμμένον, πλὴν ὅτι μόνῳ τῷ Θεῷ, τῷ πάντα εὐκόλως ἰσχύοντι κατορθοῦν, καὶ καταλεαίνοντι μὲν τὸ τραχὺ, καταστρωννύντι δὲ ὥσπερ τὸ ὑψοῦ τε καὶ ἄναντες· ὅπερ ἂν λέγοιτο παρὰ παντὸς ἁγίου πάντα δύναται, καὶ οὐδέν τοι ἀδυνατεῖ. Εἶτά φησιν ὁ προφήτης· « Οὐχὶ σὺ ἀπ' ἀρχῆς Κύριος ὁ ἁγιός μου; καὶ οὐ μὴ ἀποθάνωμεν. » Εἰ γὰρ καὶ ὁ Ἰσραὴλ, φησὶ, ἠπάτηται, καὶ πρὸς πλάνησιν παρεκομίσθη καὶ ψευδολατρίας ἀλλοκότους, ἀλλ' ἦσθα σὺ πάλιν ὁ τῶν ὅλων Θεὸς, ὁ καὶ πάλαι πταίοντας κατοικτείρων ὡς ἅγιος, καὶ ἀνωλέθρους διατηρῶν, καὶ οὐκ ἐφιεὶς εἰσάπαν ἀπολέσθαι τὸν Ἰσραήλ. Οὐκοῦν οὐ μακρὰν ἐλπίδος, ὅτι καὶ σωθήσεται, καὶ τὰ σκυθρωπὰ παραδραμεῖται, κατοικτείροντός γέ σου, καὶ τὰ πέρα λόγου κατανεύοντος. Ἔχαιρον δὲ καὶ οἱ ἅγιοι, τὴν ἐν ἐσχάτοις καιροῖς τοῦ Ἰσραὴλ σωτηρίαν ἀναμανθάνοντες, προσῆγον δὲ καὶ λιτὰς, καὶ φωνὰς ἀνῆπτον χαριστηρίους καὶ ᾠδάς. Καὶ γοῦν ὁ μακάριος Δαβὶδ τὴν ἐπ' αὐτοῖς ἐσομένην ἡμερότητα προεγνωκὼς διὰ τοῦ πνεύματος, καὶ μονονουχὶ τῶν τῆς αἰχμαλωσίας δεσμῶν ἀνειμένους ὁρῶν, ᾄδει καί φησι· « Εὐδόκησας, Κύριε, τὴν γῆν σου, » καὶ τὰ ἑξῆς.

Κύριε, εἰς κρίμα τέταχας αὐτὸν, καὶ ἔπλασέ με, τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ. Καθαρὸς ὁ ὀφθαλμὸς τοῦ μὴ ὁρᾷν πονηρὰ, καὶ ἐπιβλέψαι ἐπὶ πόνους ὀδύνης.

ΙΔ'. Ἔστι μὲν ὁ λόγος τοῦ προφήτου πάλιν· περὶ ὅτου δὲ ἄρα φησὶ, ὡς εἴη τεταγμένος εἰς κρῖμα παρὰ Θεοῦ, πολὺ λίαν ἀσυμφανές ἐστι. Φέρε δὴ οὖν ἀναγκαίως πολυπραγμονοῦντες τὸν νοῦν ὧν εἰρημένων, ἐκεῖνα διασκεπτώμεθα. Εἰ γὰρ λέγοιτο μὲν περὶ τοῦ βασιλέως τῶν Βαβυλωνίων, ὡς εἰς κρῖμα τέτακται παρὰ Θεοῦ, φαμὲν, ὅτι τέτακται πληρώσων τὸ κατά γε τῶν ἐξ Ἰσραὴλ ἐκβεβηκὸς ἄνωθεν κρῖμα, τουτέστι τὴν πόρθησιν, τὴν αἰχμαλωσίαν, τὸν τῶν πόλεων ἐμπρησμὸν, καὶ ἁπαξαπλῶς, τῆς Ἰουδαίας τὴν δῄωσιν. Εἰ δὲ τοῦτο μὲν οὐχὶ, περιτρέψομεν δὲ τὴν δύναμιν τοῦ νοήματος εἰς τὸ τοῦ Ἰσραὴλ πρόσωπον, πάλιν ἐκεῖνό φαμεν, ὅτι καὶ αὐτὸς τέτακται εἰς κρῖμα παρὰ Θεοῦ. Τὸ δὲ εἰς κρῖμά φαμεν, ὅτι εἰς κατάκριμα. Καὶ γοῦν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἔφη που περὶ τῶν Ἰουδαίων· « Εἰς κρῖμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέ-

rus, et ab ira recessurus, et afflictis propitius futurus sit. Tale quid enim, opinor, sibi vult illud, *propitiabitur.*

Vers. 12. *Hæc fortitudo Deo meo. Nonne tu a principio, Domine, Deus sanctus meus? et non morieniur.*

XIII. Cum nuntiasset Deus se ipsorum misereri, tristiumque in meliora mutationem prædixisset, præ incredibili gaudio propheta propemodum exsilit, dicens nullum alium decere Israelem reducere, vinculisque et servitute expedire, et contritum miserari, nisi solum Deum, qui omnia nullo labore recte administrare potest, quique aspera lenit, et excelsa atque ardua sternit quodammodo, et quæ quilibet sanctus dixerit, omnia potest, et cui nihil est impossibile. Subjungit : « Nonne tu ab initio Dominus, et Deus, et sanctus meus ? et non moriemur. » Quamvis enim Israel seductus, et in errorem et in peregrinos deorum falsorum cultus inductus est, inquit, tamen tu rursum Deus es universorum, qui pridem lapsorum misereris ut sanctus, et ab interitu tutos conservas, nec sinis penitus perire Israel. Quare in promptu est spes, salvatum iri, et miserante te, et plusquam dici potest annuente, tristia præterituræ. Lætabantur **528** etiam sancti, extremis temporibus obventuram Israeli salutem cognoscentes, precesque, et voces gratiarum actione plenas et cantica dicabant. Illinc beatus David qua usuri essent Dei mansuetudine ac pietate per spiritum præsciens, et vinculis captivitatis quasi laxatos intuens, psallit, et ait : « Benedixisti, Domine, terram tuam, avertisti captivitatem Jacob [47]. »

Vers. 13. *Domine, in judicium posuisti ipsum, et plasmavit me, ut demonstrem disciplinam ejus. Mundus oculus ne videat mala, et aspiciat super labores doloris.*

XIV. Rursum verba prophetæ. De quo autem dicat, positum esse a Deo in judicium, valde obscurum est. Age igitur, verborum sententiam diligenter inquiramus, et dicta consideremus. Si enim dictum est de rege Babyloniorum, positum esse in judicium a Deo, autumamus positum esse, ut impleret quod e superis contra Israelitas egressum fuerat judicium, hoc est, expugnationem, captivitatem, urbium inflammationem, et, ut simul ac semel dicam, Judææ vastitatem. Si non ita est, malumusque sensum ad personam Israel referre, iterum dicimus etiam ipsum in judicium a Deo positum esse. In judicium autem ita, ut in condemnationem intelligamus. Itaque Dominus noster Jesus Christus alicubi de Judæis ait : « Ego ad hoc in mundum veni, ut qui non vident, videant, et qui vident, cæci fiant [48]. » Damnatus est igitur Israel ut iniquus, ut

[47] Psal. LXXXIV, 2. [48] Joan. IX, 39.

Digitized by Google

qui ex desidia legem servare omiserit, ut qui universorum Dominum haud mediocriter offenderit. « Me autem, » inquit, hoc est, prophetam, « plasmavit, » id est, fecit et paravit, « ut ostendam disciplinam, » quam contra eos constituit. Nam ceu disciplina et flagellum Israeli bellum illatum est, eratque modus ultionis, quod accidit, non simpliciter Babyloniorum facinus. Quod si quis interroget, inquit, et dicat: Quamobrem punitor, sive in judicium Babylonius, et ad patiendum Israel constitutus est? qui hoc dicit, vicissim audiet: Quia mundus est oculus Domini, nec unquam pravarum impiarumque rerum spectator fieri sustinebit: nec super labores imbecillioribus ex scelere et gravamine ab aliis contingentes respiciet. Semper quippe ab his, qui agere talia consueverunt, oculum **529** avertit. Quo facto omnimodis sors dura sequetur, et hujusmodi aversione percussus in extrema miseria versabitur. Quod cum non ignoraret divinus David, impense rogabat: « Ne avertas faciem tuam a me, et ne declines in ira a servo tuo [46]. » Sine dubio enim divinam aversionem ex ira profecta animadversio comitabitur.

πωσι, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. » Κστακέκριται τοίνυν ὁ Ἰσραὴλ ὡς ἠδικηκὼς, ὡς καταῤῥᾳθυμήσας τῶν νόμων, ὡς οὐ μετρίως λελυπηκὼς τὸν τῶν ὅλων Δεσπότην. « Ἐμὲ δὲ, » φησὶ, τουτέστι, τὸν προφήτην, « ἔπλασεν, » ἤγουν ἐποίησέ τε καὶ παρεσκεύασεν « εἰς τὸ δεῖν ἐλέγξαι τὴν παιδείαν, » ἣν ὡρίσατο κατ' αὐτῶν. Ὡς γὰρ παιδεία καὶ μάστιξ τῷ Ἰσραὴλ ἐπενήνεκται ὁ πόλεμος, καὶ τρόπος ἦν τιμωρίας τὸ συμβεβηκὸς, οὐ Βαβυλωνίων ἁπλῶς ἐγχείρημα. Εἰ δὲ δή τις ἔροιτο καὶ λέγοι, φησὶ, Ἀνθ' ὅτου κολαστὴς τέθειται ὁ Βαβυλώνιος, ἤτοι εἰς κατάκριμα, καὶ εἰς τὸ παθεῖν ὁ Ἰσραήλ; ἐκεῖνο λέγων ἀντακούσεται, ὡς ἔστιν ὁ τοῦ Δεσπότου καθαρὸς ὀφθαλμὸς, καὶ οὐκ ἂν ἀνάσχοιτό ποτε πονηρῶν καὶ ἀνοσίων πραγμάτων γενέσθαι θεατὴς, οὐδ' ἂν ἐπιβλέψειεν ἐπὶ πόνους τοὺς ἐξ ἀδικιῶν καὶ πλεονεξίας τοῖς ἀσθενεστέροις συμβαίνοντας. Ἀποφέρει γὰρ ἀεὶ τῶν τοιάδε δρᾷν εἰωθότων τὸν ὀφθαλμόν. Οὗ δὴ γεγονότος, πάντη τε καὶ πάντως τὰ δεινὰ συμβήσεται, καὶ ἐν τοῖς ἰσχάτοις ἔσται κακοῖς ὁ πεπονθὼς τὴν ἀποστροφήν. Καὶ τοῦτο εἰδὼς ὁ θεσπέσιος Δαβὶδ ἐλιπάρει· « Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. » Ἕψεται γὰρ πάντως ταῖς θείαις ἀποστροφαῖς τὰ ἐξ ὀργῆς συμβαίνοντα.

Vers. 14. *Quare aspicis super contemptores? tacebis cum impius devoraverit justum? Et facies hominum quasi pisces maris, et quasi reptilia non habentia ducem?*

XV. Postquam propheta prædixit, Divinitatis oculum esse mundum, nec eos aspicere qui iniquitatem operantur, nec benevole intueri quosdam, qui alios circumvenire et opprimere nituntur, et infirmioribus dolores struunt, mox in hujusmodi cogitationes abripitur. Innumerabilibus detrimentis et malis acerbissimis Judæos Babyloniorum crudelissimus exercitus multavit; qui etiam immanitatis suæ exsuperantiam ita intenderunt ultraque modum provexerunt, ut neque ipsis locis sacrosanctis temperaverint, et una cum Hierosolymis celebratum quoque illud templum incenderint, et cum plebeiis ipsos item sacrorum altarium sacerdotes abripuerint, et sancta, ut scriptum est, profanarint [47]. Domum reversi, vitam solutam continenter egerunt, cum divitiis rapto acquisitis, nullam propter scelerate commissa sustinentes pœnam, non timentes hostes, non bellum expavescentes, quinimo in omnes soli insurgentes, et quos liberet, nullo sudore ac pulvere subigentes, et rebus secundissimis utentes, perditorumque calamitatibus insultantes, et iræ impotentiam, effrenatam dominandi licentiam, ac primas partes in omnibus sibi gloriæ ducentes. Obstupescit igitur propheta, extra ullum tristiorem animi motum eos gaudio diffusos cernens, et divina deinceps judicia tangit, et inscrutabilia omnibus nec menti cuipiam contingenda curiosius indagare

Ἵνα τί ἐπιβλέπεις ἐπὶ καταῤῥονοῦντας; καρασιωπήσῃ ἐν τῷ κατακίνειν ἀσεβῆ τὸν δίκαιον, Καὶ ποιήσεις ἀνθρώπους ὡς τοὺς ἰχθύας τῆς θαλάσσης, καὶ ὡς τὰ ἑρπετὰ τὰ οὐκ ἔχοντα ἡγούμενον;

ΙΕ'. Προαπαγγέλλας ὅτι καθαρός ἐστιν ὁ τῆς θειότητος ὀφθαλμὸς, καὶ οὐκ ἂν ἐπίδοι ποτὲ τοὺς πονηροὺς ἐργάτας, οὐδ' ἂν εὐμενῶς ἐπιβλέψειέ τισιν ἠρτιμένοις πλεονεκτεῖν, καὶ ὀδύνας πλέκουσι τοῖς ἀσθενεστέροις, εἰς ἔννοίας ὁ προφήτης εὐθὺς τοιαυτασὶ πως ἁρπάζεται. Μυρία μὲν γὰρ ὅσα δεινὰ καὶ παγχάλεπα τοῖς τῶν Ἰουδαίων δήμοις εἰργάσαντο κακὰ τῶν Βαβυλωνίων ἡ ὠμοτάτη πληθὺς, οἳ καὶ τῆς ἑαυτῶν ἀγριότητος τὴν ὑπερβολὴν εἰς τοῦτο δεινότητος καὶ μέτρων πέρα ἐκόμισαν, ὡς μηδὲ αὐτῶν ἀποσχέσθαι τῶν θείων χώρων, προσεμπρῆσαι δὲ τοῖς Ἱεροσολύμοις καὶ τὸν διαβόητον νεὼν, καὶ ὁμοῦ τοῖς ἀγελαίοις τοὺς τῶν θείων θυσιαστηρίων ἱερεῖς ἁρπάσαι, καὶ βεβηλῶσαι τὰ ἅγια, κατὰ τὸ γεγραμμένον. Ἐπεὶ δὲ οἶκοι γεγόνασιν, εὔθυμοί τε διετέλουν, καὶ πλοῦτον τὸν ἐξ ἁρπαγῆς ἔχοντες, οὐ τῶν ἀνοσίως αὐτοῖς πεπλημμελημένων αἰτούμενοι δίκας, οὐ δεδιότες ἐχθροὺς, οὐ πολέμου πτοίας, κατεξανιστάμενοι δὲ μᾶλλον ἁπάντων αὐτοὶ, καὶ ὧν ἂν ἔλοιντο κατακρατοῦντες εὐκόλως, καὶ εὐημεροῦντες ἄγαν, καὶ ταῖς τῶν ἀπολωλότων ἐναβρυνόμενοι συμφοραῖς. καὶ ἐν αὐχημάτων ποιούμενοι τάξει τὸ εἰς ὀργὰς ἀκρατὲς, τὸ εἰς πλεονεξίας ἀχάλινον, τὴν κατὰ πάντων ὑπεροχήν. Κατατέθηπε δὴ οὖν ὁ προφήτης, κατευρυνομένους αὐτοὺς ὁρῶν ἐν ἀπαθείᾳ, καὶ θείων ἤδη κριμάτων ἅπτεται, καὶ τὰ πᾶσιν ἀζήτητα καὶ ἀνέπαφα νῷ παντὶ πολυπραγμονεῖν ἐπιχειρεῖ, καὶ

[46] Psal. xxvi, 9. [47] Jerem. lxii, 12 seqq.

Digitized by Google

ἀναμανθάνειν εὔχεται, τίς λοιπὸν ἂν εἴη ὁ λόγος τῆς οὕτω μακρᾶς ἀνεξικακίας τοῦ πάντα ἰσχύοντος Θεοῦ, ὡς καὶ τοῖς οὕτω καταφρονεῖν εἰωθόσι, καὶ ἀνοσίως ζῆν ἠρημένοις, πρᾶον ἔσθ' ὅτε καὶ ἥμερον τὸν ὀφθαλμὸν ἐνιέναι, καὶ παρασιωπᾷν, καὶ ἀνέχεσθαι κατεδηδοκότος ἀνδρὸς ἀσεβοῦς μονονουχὶ τὸν ἐπιεικῆ καὶ δίκαιον. Ἀπὸ δὴ τούτου φησὶ, ὅτι μὴ κατὰ πόδας εὐθὺς τοῖς πλημμελοῦσι τὸ κολάζεσθαι δεῖν ἀκολουθεῖ, κεχωρήκασι δὲ μᾶλλον εἰς ἀνάκλησιν οἱ θυμοὶ, ταύτηγτοι κατώλισθον οἱ ἐπὶ τῆς γῆς εἰς τὸ προσβαλέσθαι λοιπὸν, καὶ δὴ καὶ ἐπιχειρεῖν κατὰ τὸν ἴσον ἰχθύσι τρόπον τοὺς ἀσθενεστέρους κατανέμεσθαι, καὶ οἷον ἀλλήλους καταῤῥοφεῖν ἀθύρῳ τε καὶ ἀπλήστῳ στόματι, σκληρὰν δὲ οὕτω καὶ ἄμικτον ζωὴν ἐπιτηδεύειν, ὡς ἑρπετῶν τῶν ἐν ὄρεσι καὶ χεῖ... (1) ὀλίγα διενεγκεῖν, ἃ διὰ πολλὴν ἀγριότητα καὶ ὑπερβολὴν πικρίας ἀτίθασσά τέ ἐστι, καὶ τὰς τῶν ἑτέρων ζώων οὐκ ἀπομιμεῖται φύσεις, ἃ καὶ ἀγεληδὸν ἔσθ' ὅτε, καὶ ὑφ' ἑνὶ τῷ προὔχοντι καὶ τῆς ἀγέλης προβεβλημένῳ, ποιεῖται τὰς νομὰς, ὁρᾶται δὲ ὥσπερ καὶ στρατηγούμενα. Ἄμικτοι δὲ καὶ οἱ Βαβυλώνιοι, καὶ τοῖς ἄλλοις ἀπρόσιτοι, πικροί τε καὶ ἰοβόλοι, καὶ ὀλέθρου μεστοὶ, καὶ χανδὸν καταπίνοντες τοὺς ἀσθενεστέρους.

Οὐκ ἀπίθανον δὲ τὴν φωνὴν τοῦ προφήτου κατά τε τοῦ διαβόλου καὶ τῶν σὺν αὐτῷ δυνάμεων πονηρῶν γενέσθαι δοκεῖν. Καταφρονηταὶ γὰρ ὄντως ἐκεῖνοι, τὸν μὲν θεῖον φόβον ὁλοτρώπως ἀποσειόμενοι, φαυλότατοι δὲ, ἀπάσης καὶ μέντοι καὶ σκαιότητος ἥκοντες μέτρον, καίτοι πολὺ λίαν ἀνεξικακοῦντος Θεοῦ. Ἐπειδὴ δὲ ἅπαξ γεγόναμεν ὑπ' ἐκείνοις, ἀλλήλους οἱ δείλαιοι κατεδηδόκαμεν. Οὐ γὰρ ἦν τῆς εἰρήνης ὁ βραβευτὴς, ἡγούμενος ἐφ' ἡμᾶς, τουτέστι, Χριστὸς, ὁ γῆς τε καὶ οὐρανοῦ καὶ ἁπάντων Δεσπότης. Ταύτηγτοι γεγόναμεν ὡς ἰχθύες, ἀλογώτατοι μὲν καὶ ἄφωνοι παντελῶς. Οὐ γὰρ ἦν ἡμῖν εὐσεβείας λόγος, οὐ φωνὴ δοξολογίας τῆς εἰς Θεὸν, ἀλληλοκτονοῦντες δὲ μᾶλλον καὶ ζωὴν ἔχοντες ἀλογωτάτην, ἰχθύσιν ἐν ἴσῳ διετελοῦμεν ἐν κόσμῳ· πικρός τε ἦν οὕτως ἐν ἑκάστῳ νοῦς, ὡς ἤδη δοκεῖν ἐκτεθηριῶσθαι παντελῶς, καὶ τοῖς ἰοβόλοις, ὅσον ἦκεν εἰς θυμοὺς καὶ πικρίας, ἢ λοιπὸν παρισῶσθαι, ἢ ἔτι τὰ ἐκείνων ἐπείγεσθαι νικᾶν.

Συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασε, καὶ ἕλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ, καὶ συνήγαγεν αὐτὸν ἐν ταῖς σαγήναις αὐτοῦ. Ἕνεκεν τούτου εὐφρανθήσεται, καὶ χαρήσεται ἡ καρδία αὐτοῦ. Ἕνεκεν τούτου θύσει τῇ σαγήνῃ αὐτοῦ, καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ, ὅτι ἐν αὐτοῖς ἐλίπανε μερίδα αὐτοῦ, καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά. Διὰ τοῦτο ἀμφιβαλεῖ τὸ ἀμφίβληστρον αὐτοῦ, καὶ διαπαντὸς ἀποκτείνειν ἔθνη οὐ φείσεται.

ΙϚ'. Ἰχθῦς ὀνομάσας ἐμφιλοχωρεῖ τῇ τροπῇ, καὶ ὡς περί τινος τῶν θαλασσουργῶν ἢ τῶν ἁλιέων ποιεῖται τοὺς λόγους. Ἰχθυοθῆραι μὲν γὰρ τῶν ἰδίων ἐπιτηδευμάτων κατὰ πολλοὺς ἅπτονται τρόπους. Ἢ

A aggreditur, discere optans, quam tandem rationem habeat tam longa Dei omnipotentis lenitas, ut etiam adeo contemnere suetos, et impie vitam instituentes placido et mansueto oculo dignetur, et taceat, et sustineat, cum homo impius bonum et justum tantum non devoraverit. Hinc, inquit, quia non confestim per vestigia peccantes pœna insequitur, **530** sed ira potius revocatur, ideo mortales eo devenerunt, ut jam invadant, et infirmioribus tanquam piscibus frui, et ore patulo ac insatiabili inter se velut deglutire conentur, tam inhumanam porro et a commercio alienam vitam persequantur, ut a reptilibus quæ in montibus et cavernis versantur, parum differant, quæ ob multam feritatem præcipuamque sævitiam indomita sunt, et reliquorum B animalium naturas minime imitantur, quæ gregatim, sub uno magistro, nonnunquam gregis præfecto, pabula carpunt, et quodammodo exercitus uni ductori parentis speciem præbent. Abhorrebant autem a consuetudine congressuque aliorum Babylonii, acerbi, pleni veneno et pestilentia, et apertis faucibus tenuiores deglutientes.

Nec est improbabile, prophetam adversus diabolum et virtutes ejus malignas locutum videri. Vere enim illi contemptores sunt, divinum timorem penitus repellentes, improbissimi, atque etiam omnem modum absurditatis, Deo licet patientissimo, C tentantes. Semel autem sub illos redacti, invicem miseri devoravimus. Non enim erat pacis arbiter, a quo regeremur, hoc est, Christus, cœli, terræ, omniumque rerum Dominus. Quocirca instar pisciam, rationis egentissimi et muti omnino fuimus. Haud enim pietatis cura nos sollicitabat : non laudabamus vocibus Deum : quin potius nos invicem occidentes, et vitam rationi prorsus contrariam ducentes, piscium more in mundo degebamus, et tam immitis cuique inerat animus, ut in belluarum naturam immigrasse prorsus, quodque ad iram et feritatem attinet, venenatas bestias aut superasse jam, aut superare velle videremur.

VERS. 15-17. *Consummationem in hamo sublevavit,* D *et attraxit eum in reti, et congregavit eum in sagenis suis. Propter hoc lætabitur, et gaudebit cor ejus. Propter hoc sacrificabit sagenæ suæ, et incensum dabit reti suo, quia in ipsis incrassavit partem suam, et escæ ejus electæ. Propterea jaciet rete suum, et semper interficere gentes non parcet.*

XVI. Cum pisces nominasset, persistit in metaphora, et tanquam de nauta vel piscatore loquitur. Piscatores namque pluribus modis artem suam exercent. Aut enim hamis pisces captant, et salien-

(1) Χειραμοῖς conjecit Cotelerius *Monum. Eccl. Gr.* II, 563, et ad ejus conjecturam interpretationem Latinam restituimus. EDIT.

Digitized by Google

tes funiculo tenui **531** ex undis extrahunt, aut sagenis circumclusos frequentes una trahunt, aut allio quodam retis genere dolos meditantur. Re transacta feliciter, collecta multitudine, gaudent arte sua, et per quæ ipsis portio opulentissima parta est retibus tantum non sacrificant, ut quæ prædam ipsis eximiam conciliaverint. Tale quiddam a Nabuchodonosore designatum propheta dicit, qui ceu hamo, et sagenis, atque etiam reti Israelem ipsum et cum eo alias gentes adortus, in suum regnum transportavit, et, quasi cœna suis satellitibus apposita, delicias habere, semelque captos victorum proprios, et partem seu prædam maxime opimam esse jussit. Ideo inquit fortasse : « Et sacrificabit sagenæ suæ, et thura incendet reti suo, » copiis suis videlicet, per quas gentes, et insuper Israelem, sagena comprehendit, gratias referens. Et quoniam ipsi res processit optatissima, non desinet, inquit, gentes interficere, et tribus abducere, et regiones sibi subjicere, et misericordia dignari omnino neminem.

Hoc idem adversus totum genus humanum, præsertimque adversus Israelem Satanas egit. Uno enim tanquam reti et sagena una, peccati, inquam, omnes circumdedit, quanquam ob impietatem in Christum proprie Israelem : « Escæ enim ejus electæ, » inquit. Fuerunt etiam secundum vitæ instituta probati et commendati Judæi supra omnes. « Quando dividebat Altissimus gentes, quando disseminavit filios Edom, constituit termines gentium juxta numerum angelorum Dei, et fuit pars Domini populus ejus Jacob, funiculus hæreditatis ejus Israel [81]. » Electus est itaque præteritis aliis Israel, ut in filiis primogenitus, ut germen radicis sanctæ, patrum videlicet, et legem habens pro pædagogo [82], et ad natura et unius et veri Dei agnitionem vocatus. Nihilominus, quanquam tali gloria et gratia pollens, instar aliorum subjugatus est. Et alii quidem, quia erraverunt et seducti sunt, pars diabolica evaserunt : alii, quia cum eum qui est natura Deus cognovissent, ex eo genitum secundum naturam Filium, et forma humana figuraque nostra indutum, scelestæ occiderunt, in ejus sagenam traditi sunt, cui omnium mortalium extrema pestis et exitium est propositum.

532 CAP. II.

VERS. 1. *Super custodia mea stabo, et ascendam super petram, et contemplabor, ut videam quid loquatur in me, et quid respondeam ad correctionem meam.*

XVII. Propheticum nobis mysterium in his enarratur. Sanctis quippe solemne fuit, si oracula a Deo percipere, futurorumque notitias, eo menti et cordi insonante suscipere vellent, distractiones, curas et sollicitudines vitæ hujus ab animo removere quam longissime, atque eo ita vacuo, et quieto, et custo-

[81] Deut. XXXII, 8, 9. [82] Galat. III, 24.

A γὰρ ἀγκίστροις ἁρπάζουσι τοὺς ἰχθῦς, καὶ σκαίροντας ἐκ κυμάτων ἀνιμῶνται ταῖς ὁρμιαῖς, ἢ σαγήναις περιφρίττοντες ἕλκουσι κατὰ πληθύν, ἤγουν ἑτέροις τισὶ κατασκευάζουσι λίνοις. Ἐπειδὰν δὲ πράττωσι δεξιῶς, πολλῶν συναγηγερμένων, χαίρουσι τῇ τέχνῃ, καὶ τοῖς λίνοις μονονουχὶ καταθύουσιν, ὡς λιπαρωτάτην αὐτοῖς μερίδα προεξενεγκόσι. Τοιοῦτόν τί φησιν ὁ προφήτης πεπράχθαι παρὰ τοῦ Ναβουχοδονόσορ, ὃς οἷον ἀγκίστρῳ τε καὶ σαγήναις, καὶ μέντοι καὶ ἀμφιβλήστρῳ τόν τε Ἰσραὴλ αὐτὸν καὶ ἕτερα δὲ σὺν αὐτῷ παραβαλὼν ἔθνη, συνεκόμισεν εἰς τὴν ἑαυτοῦ, καὶ ὡσπερεὶ θοίνην τοῖς ἰδίοις ὑπασπισταῖς τεθεὶς, ἐντρυφᾷν ἐκέλευσε, καὶ τῶν ἅπαξ ἡρηκότων τοὺς ἁλόντας γενέσθαι κλῆρον καὶ μερίδα λιπαρωτάτην. Ταύτητοί φησι τάχα που· « Καὶ θύσει τῇ σαγήνῃ αὐτοῦ, καὶ θυμιάσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ, » ταῖς ἰδίαις δυνάμεσι, δι' ὧν τὰ ἔθνη ἐσαγήνευσε, καὶ προσέτι τὸν Ἰσραὴλ, ἀνάψας τὸ χαριστήριον. Ἐπειδὴ δὲ λίαν αὐτῷ τὸ χρῆμα ἐκβέβηκεν ἐπιτευκτικῶς, οὐκ ἂν ἀπόσχοιτο, φησὶ, ἀποκτείνων ἔθνη, καὶ φυλὰς ἁρπάζων, καὶ χώρας ὑφ' ἑαυτῷ ποιούμενος, καὶ φειδοῦς οὐδένα παντελῶς ἀξιῶν.

B Πέπραχε δὲ τοῦτο καὶ κατὰ παντὸς μὲν ἀνθρώπων γένους ὁ Σατανᾶς, ἰδικῶς δὲ καὶ κατὰ τοῦ Ἰσραήλ. Ἑνὶ μὲν γὰρ ὥσπερ λίνῳ καὶ σαγήνῃ μιᾷ, τῇ τῆς ἁμαρτίας φημὶ, περιβέβληκεν ἅπαντας, τῆς τε μὴ εἰς Χριστὸν ἕνεκα δυσσεβείας καὶ ἰδικῶς τὸν Ἰσραήλ· « Τὰ γὰρ βρώματα αὐτοῦ, φησὶ, ἐκλεκτά. » Ἀποδεκτοὶ δὲ καὶ κατὰ τὸν βίον παρὰ τοὺς ἄλλους ἅπαντας Ἰουδαῖοι. « Ὅτε γὰρ, φησὶ, διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἐδὼμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ, καὶ ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτῷ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Ἐξελεγμένος οὖν ἄρα παρὰ τοὺς ἄλλους ὁ Ἰσραὴλ, ὡς καὶ ἐν τέκνοις πρωτότοκος, ὡς ἐκ ῥίζης ἁγίας, τῆς τῶν πατέρων φημὶ, καὶ ὡς νόμον ἔχων τὸν παιδαγωγὸν, καὶ κεκλημένος εἰς ἐπίγνωσιν τοῦ φύσει καὶ ἑνὸς καὶ ἀληθῶς ὄντος Θεοῦ. Ἀλλὰ καὶ οὕτως ἔχων εὐκλείας τε καὶ χάριτος, ἦλω καὶ αὐτὸς τοῖς ἄλλοις ὁμοῦ. Καὶ οἱ μὲν ὅτι πεπλάνηνται, μερὶς γεγόνασι διαβολική· οἱ δὲ ὅτι τὸν φύσει Θεὸν ἐγνωκότες, τὸν ἐξ αὐτοῦ γεννηθέντα κατὰ φύσιν Υἱὸν, καὶ ἐν ἀνθρωπείᾳ γεγονότα μορφῇ καὶ ἐν σχήματι τῷ καθ' ἡμᾶς ἀπεκτόνασιν ἀνοσίως, C ἐνδέδονται ταῖς σαγήναις αὐτοῦ, καὶ σκοπὸς ἐκείνῳ πάντας ἀρδὴν ἀπολέσαι ἐπὶ τῆς γῆς.

ΚΕΦΑΛ. Β'.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, καὶ ἐπιβήσομαι ἐπὶ πέτραν, καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ, καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου.

ΙΖ'. Προφητικὸν μὲν ἡμῖν ἐν τούτοις τὸ μυστήριον ἐξηγεῖται. Ἔθος γὰρ τοῖς ἁγίοις, εἰ ἀναμανθάνειν βούλοιντο τὰ παρὰ Θεοῦ, καὶ τὰς τῶν ἐσομένων εἰσδέχεσθαι γνώσεις, εἰς νοῦν καὶ καρδίαν ἐνηχοῦντος αὐτοῦ, περισπασμῶν καὶ φροντίδων καὶ μερίμνης ἁπάσης βιωτικῆς ἀπωτάτω ποιεῖσθαι τὸν νοῦν,

Digitized by Google

σχολαῖον δὲ οὕτω, καὶ ἠρεμαῖον ἔχοντα, καὶ τετηρηκότα καθάπερ εἰς τινα κολωνὸν, καὶ περιωπὴν, καὶ πέτραν ἀναθρώσκειν τότε πρὸς θεωρίαν ὧν ἂν ἔλοιτο διατρανοῦν αὐτοῖς ὁ τῶν γνώσεων Κύριος. Τὸ γάρτοι τῆς διανοίας χθαμαλόν τε καὶ καταβεβλημένον ἀπηχθημένον αὐτῷ, ζητεῖ δὲ καρδίας ὑψοῦ πετᾶσθαι δυναμένας, καὶ τῶν ἐπιγείων πραγμάτων καὶ προσκαίρων ἐπιθυμιῶν ὑπερῃρμένας. Γέγραπται γὰρ, ὅτι « Τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. » Καὶ πάλιν· « Νεοττοὶ δὲ γυπὸς τὰ ὑψηλὰ πέτονται. » Ἄνω γὰρ τῶν ἐπιγείων καὶ πραγμάτων τῶν γεωδεστέρων ἀπῴκισται πολὺ τῶν ἁγίων ὁ νοῦς. « Στήσομαι δὴ οὖν, φησὶν, ἐπὶ τῆς φυλακῆς μου, » τουτέστιν, ἐν τριβῇ καὶ συνηθείᾳ νῆψιν ἐμαυτῷ ποιήσομαι, πάλιν καθαριῶ τὸν νοῦν, ἀπαλλάξω φροντίδος κοσμικῆς, ἀναπτήσομαι δὲ ὥσπερ εἰς πέτραν, τουτέστιν, εἰς ἑδραιότητά τινα καὶ οἷον ὑψοῦ κειμένην ἐννοιῶν ἀσφάλειαν. Ἐκεῖ γεγονὼς, καθάπερ ἐξ ἀκρωρείας κατασκέψομαι νοητῶς, οἵπερ ἂν πρός με γένοιντο λόγοι παρὰ Θεοῦ, καὶ τί ἂν μέλλοιμι λέγειν αὐτὸς, εἰ ἐλέγχειν βούλοιτο βλέπεις ἐπὶ καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ

A dito velut in collem, et speculam, et petram ad eorum considerationem emicare, quæ illis scientiarum Dominus [55] aperire ac declarare vellet. Depressam enim et dejectam mentem odit: corda vero terrenis negotiis et temporaneis cupiditatibus altiora, et in sublime volantia quærit. Scriptum est enim : « Dii fortes terræ vehementer elevati sunt [54]. » Et rursum : « Pulli vulturis in altum volabunt [55]. » Longe namque ultra caduca et terrena sanctorum mens habitat. Inquit ergo : « Stabo super custodiam meam, » hoc est, in exercitatione et consuetudine mea excubabo, animum rursus purgabo, curis mundanis exsolvam, sursum quodammodo volabo ut in petram, hoc est, in stabilitatem quamdam et velut in sublimi sitam securitatem cogitationum. Illic, ceu B ex jugo montis speculabor secundum intellectum, quæ Deus mihi locutus fuerit, et quid dicturus sim, si me arguere voluerit, ut qui inconsideratius dixerim : « Quare aspicis super contemptores? tacebis cum impius devoraverit justum [56] ? »

Θεὸς, ὡς οὐκ ἀσφαλῶς εἰρηκότα τὸ, « Εἰς τί ἐπι καταπίνειν ἀσεβῆ τὸν δίκαιον; »

Καὶ ἀπεκρίθη πρός με Κύριος, καὶ εἶπε· Γράψον ὅρασιν, καὶ σαφῶς εἰς πυξίον, ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά. Διότι ἔτι ὅρασις εἰς καιρὸν, καὶ ἀνατελεῖ εἰς πέρας, καὶ οὐκ εἰς κενόν.

ΙΗ'. Γραφῇ κελεύει παραδοῦναι τὴν ὅρασιν, ἤτοι τῶν ἐσομένων τὴν ἀποκάλυψιν· ἀξιάκουστον γὰρ τὸ χρῆμά ἐστι, καὶ τῶν ὅτι μάλιστα τεθαυμασμένων. Φιλεῖ δέ πως ἀεὶ τοῖς γράμμασιν ἠρμένον πρὸς τὸ C ἐξαίρετον μακραῖς καὶ ἀτελευτήτοις μνήμαις τιμᾶσθαι. Γράφε δὴ οὖν, ὦ προφήτης, φησὶ, τὴν ὅρασιν, ὡς ἂν οἱ κατὰ καιροὺς εἰδεῖεν τὰ προηγγελμένα, καὶ τοῖς σοῖς περιτυγχάνοντες λόγοις διώκωσιν αὐτὰ, τουτέστιν, ἐπιθυμῶσι νοεῖν τῶν ἐν αὐτοῖς τὴν δύναμιν, οὕτω τε πιστεύσειαν, ὅτι καὶ ἔσται που πάντως ἀληθὴς ἡ προάγγελσις. « Ἡ μὲν γὰρ ὅρασις εἰς καιροὺς, τουτέστιν, εἰς ἀνάβλησιν, » καὶ ἀνοχὴν, καὶ βραχὺς μεταξὺ διιππεύσει χρόνος. Ἐκτελέσει γε μὴν εἰς ἀλήθειαν, καὶ οὐκ εἰς κενόν. Ψευδοεπήσει γὰρ οὐδαμῶς ἡ ἀλήθεια, κενὸν δὲ καὶ μάταιον οὐκ ἂν γένοιτό τι τῶν παρ' αὐτοῖς λαλουμένων.

Vers. 2, 3. *Et respondit ad me Dominus, et dixit : Scribe visionem, et manifeste in tabella buxea, ut sequatur, qui legit ea. Quia adhuc visio in tempus, et orietur in finem, et non in vacuum.*

XVIII. Scriptura visionem sive futurorum revelationem comprehendi jubet; res enim auditione digna est, et una de maxime mirabilibus. Solet autem fere semper, quod litteris præcipue extollitur, longa et perenni memoria **533** honorari. Scribe igitur visionem, o propheta, inquit, ut olim quoque nasciturі prænuntiata noriнt, et qui in sermones tuos inciderint, ea sequantur, hoc est, quam vim habeant, intelligere concupiscant, et ita omnino veram fore prædictionem credant. « Visio enim in tempus, hoc est, in dilationem, » et inducias, et breve intercedet tempus. Desinet autem in veritatem, et non in vacuum. Nullo enim modo veritas mentitur : nec potest esse quidquam vanum et inane eorum quæ ipsa locuta fuerit.

Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτὸν, ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ. Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

Vers. 4. *Si morabitur, sustine eum, quia veniens veniet, et non tardabit. Si retraxerit se, non complacebit anima mea in eo. Justus autem in fide vivet.*

ΙΘ'. Οὐδένα σαφῶς ὀνομάσας, Ὑπόμεινον, φησὶ, αὐτὸν, τουτέστι, προσδόκα καὶ μέλλοντα, καὶ μὴ σκάζουσαν ἐπ' αὐτῷ δέχου τὴν ἐλπίδα, βεβαίαν δὲ μᾶλλον καὶ ἐρηρεισμένην, κἂν εἰ γένοιτό τις μεταξὺ χρόνου παράτασις. Ἔοικε τοίνυν ὁ τῶν ὅλων Θεὸς ἐνηχῆσαι μὲν τῷ προφήτῃ κατὰ τὸν νοῦν, καὶ ἀποκαλύψαι μυστικῶς, ὡς ἥξει δὴ πάντως ὁ προηγγελμένος· προστάξαι γε μὴν ὑπομένειν αὐτὸν, διά τοι τὸν μεταξὺ τῆς μελλήσεως χρόνον, καθάπερ ἔφην ἀρτίως. Εἰ γὰρ δή γένοιτό τις ὑποστολή τε καὶ ὄκνος τοῦ πεπιστευκότος, οὐκ ἂν εὐδοκήσαιμι, φησὶ, ἐν αὐτῷ, τοῖς

XIX. Nemine expresse nominato, Sustine ipsum, inquit, hoc est, cunctantem licet exspecta, nec spes tua in illum vacillet; sed constanter et firmiter confide potius, quantumvis tempus aliquod intercesserit. Videtur itaque rerum omnium potens Deus insonare animo prophetæ, et arcano revelare, planc venturum, qui prænuntiatus sit propter moram autem intercedentem jubere ipsum præstolari, ut modo dixi. Nam si, qui credidit, animi contractione torpuerit, non is mihi placere poterit, inquit, ut quem animæ vitiis implicitum videam : nec possim

[55] I Reg. II, 3. [54] Psal. XLVI, 10. [55] Habac. I, 8. [56] Habac. I, 13.

Digitized by Google

tali ignoscere, quem incredulum et exosum potius reputabo. Qui autem verborum meorum veritatem testificabitur, is plane etiam consequetur, ut vitæ sit particeps, quod præmium Deum honorantibus constitutum, et egregium benevolentiæ divinæ stipendium est. Qua de historia Cyrus, Cambysæ filius erat, de quo ait : « Si morabitur, sustine ipsum. » Cepit enim, cepit Babylonem, et alias insuper urbes expugnavit.

Quod ad interpretationem mysticam et narrationem spiritualem attinet, ad omnium nostrum Salvatorem Christum merito verborum propositorum intelligentiam referendam dixerim. Ipse siquidem est « qui est, et qui erat, et qui venturus est [57]; » et adfuturum quidem suo tempore, sanctorum prophetarum vocibus prædictum est. Ubi autem venerit, diaboli imperium eversurum, impiamque et impuram dæmonum multitudinem potestate in nos expulsurum, **534** non obscure sacræ Scripturæ oracula cecinerunt, ipseque gestorum eventus sibi testis erit. Verumtamen « in tempus prædictio [58]. » Novissimis enim diebus sæculi hujus Unigenitus effulsit, et qui se retraxit ac fidem in ipsum inconsultissime rejecit, Deum offendit, cœlestiumque bonorum expers mansit, et a sanctorum sacro cœtu exclusus est, juxta prophetiam : « Ut myrica silvestris, quæ in deserto, quæ non videbit cum venerint bona [59]. » Qui autem ignavia et animi contractione superior charitatem et fidem in mentem et in cor introduxit, hujusmodi voluntatis suæ compensationem et præmium præclarum, vitam senio carentem, et peccatorum depositionem, et per Spiritum sanctificationem habet. Justificati enim sumus « non ex operibus legis », ut scriptum est, sed « per fidem in Christum [60] » potius. Et « lex quidem iram operatur [61], » ad pœnam quippe transgressores vocat : gratia autem peccatis solvens iram avertit.

At arrogans, et contemptor, vir superbus nihil perducet ad finem.

XX. Vaticinatus prænuntiatum suo tempore adfuturum, ac tristia discussurum, et contritos omni miseria absoluturum, nunc meminit vastatoris, et ejus qui plane omni genere inhumanitatis et immanitatis in morem belluarum grassatus est. His autem verbis historice quidem profanus et inimicus Dei Nabuchodonosor, spiritualiter Satanas indicatur. Arrogantem autem, et contemptorem, et superbum jure optimo nominat. Sic enim rei natura se habet, sive Satanam, sive virum Babylonium in his accipiamus. Arrogantem porro, seu arroganter de seipso sentientem intelligit, aut confidentem, aut inaniter se jactantem, contemptorem præterea, et superbum, ut ex fastu et inani tumore nec ad momentum quidem incomparabilem Dei omnia potentis

τῆς ψυχῆς ἐγκλήματα ἐνισχημένον ὁρῶν, οὐδ' ἂν γενοίμην τῷ τοιῷδε συγγνώμων· καταλογιοῦμαι δὲ μᾶλλον ἄπιστον καὶ ἀπηχθημένον. Ἕψεται δὲ πάντως τῷ τὴν ἀλήθειαν τοῖς ἐμοῖς ἐπιμαρτυροῦντι λόγοις τὸ καὶ ἐν μεθέξει ζωῆς γενέσθαι, καὶ τοῦτο γέρας τοῖς τιμῶσι Θεὸν, καὶ καλὸν εὐνοίας ὀφώνιον. Ὅσον μὲν οὖν ἧκει εἰς γε τὸν τῆς ἱστορίας λόγον, Κύρος ἦν ὁ Καμβύσου, περὶ οὗ φησιν· « Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν. » Εἶλε γὰρ, εἶλε τὴν Βαβυλῶνα, συγκαταδηώσας αὐτῇ καὶ τὰς ἑτέρας πόλεις.

Ὅσον δὲ αὖ πρὸς λόγους τοὺς μυστικοὺς καὶ εἰς ἀφήγησιν τὴν πνευματικὴν, φαίην ἂν ὅτι περὶ τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ νοοῖτ' ἂν εἰκότως τῶν προκειμένων ἡ δύναμις. Αὐτὸς γάρ ἐστιν « ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, » καὶ ὅτι μὲν παρέσται κατὰ καιροὺς, ὁ τῶν ἁγίων προφητῶν προαναπεφώνηκε λόγος. Ὅτι δὲ ἀφιγμένος ἀναστρέψειν ἔμελλε τοῦ διαβόλου τὸ κράτος, καὶ τὴν ἀνοσίαν καὶ βέβηλον τῶν δαιμόνων πληθὺν τῆς καθ' ἡμῶν ἐξελάσαι πλεονεξίας, προκεχρησμῴδηκε μὲν ἐναργῶς τὸ Γράμμα τὸ ἱερὸν, αὐτὴ δὲ λοιπὸν τῶν πεπραγμένων ἡ ἔκβασις μάρτυς εἰσβήσεται. Πλὴν « εἰς καιρὸν ἡ προάγγελσις. » Ἐν γὰρ ἡμέραις ἐσχάταις τοῦ παρόντος αἰῶνος ἐξέλαμψεν ὁ Μονογενὴς, καὶ ὁ μὲν ὑποστειλάμενος, καὶ τὴν εἰς αὐτὸν πίστιν ἀβουλοτάτως παρωθούμενος, προσκέκρουκε τῷ Θεῷ, καὶ τῶν οὐρανίων ἄγευστος ἀπέμεινεν ἀγαθῶν, ἔξω τε τῆς ἱερᾶς τῶν ἁγίων πληθύος ἀπεληλαμένος γέγονε, κατὰ τὸν προφητείας λόγον· « Ὡς ἀγρία μυρίκη ἡ ἐν τῇ ἐρήμῳ, ἣ οὐκ ὄψεται ὅταν ἔλθῃ τὰ ἀγαθά. » Ὁ δὲ κρείττων ὄγκου καὶ ὑποστολῆς, καὶ τὴν εἰς αὐτὸν ἀγάπην καὶ πίστιν εἰς νοῦν καὶ καρδίαν εἰσοικισάμενος, ἐντέκτισιν ἔχει τῆς τοιᾶσδε γνώμης, καὶ γέρας ἐξαίρετον τὴν ἀμήρυτον ζωὴν, καὶ τὴν τῶν πλημμεληθέντων ἀπόθεσιν, καὶ τὸν διὰ Πνεύματος ἁγιασμόν. Δεδικαιώμεθα γὰρ « οὐκ ἐξ ἔργων νόμου, κατὰ τὸ γεγραμμένον, διὰ πίστεως δὲ μᾶλλον τῆς εἰς Χριστόν. » Καὶ « ὁ μὲν νόμος ὀργὴν κατεργάζεται, » καλεῖ γὰρ εἰς δίκας τοὺς παραβαίνοντας, ἐξίστησι δὲ τὴν ὀργὴν ἡ χάρις, λύουσα τὰ ἐγκλήματα.

Ὁ δὲ κατοιόμενος, καὶ καταφρονητὴς, ἀνὴρ ἀλαζὼν οὐδὲν μὴ περάνῃ.

Κ'. Προκαταμηνύσας, ὅτι ὁ προηγγελμένος κατὰ καιροὺς παρέσται, καταλύσων τὰ σκυθρωπὰ, καὶ ταλαιπωρίας ἁπάσης ἀπαλλάξων τοὺς συντετριμμένους, λοιπὸν διαμέμνηται τοῦ πεπορθηκότος, καὶ πᾶν εἶδος ἀπανθρωπίας καὶ ὠμότητος θηριοπρεποῦς εἰσάπαν ἐκπεπληρωκότος. Σημαίνεται δὲ διὰ τούτων ἱστορικῶς μὲν ὁ βέβηλος καὶ θεομάχος Ναβουχοδονόσορ, νοητῶς δὲ πάλιν ὁ Σατανᾶς. Κατοιόμενον δὲ καὶ καταφρονητὴν, καὶ ἀλαζόνα καλεῖ, καὶ σφόδρα εἰκότως. Ἔχει γὰρ ὧδε τῇ φύσει, κἂν εἰ ἐπ' αὐτῷ νοοῖτο τοῦ Σατανᾶ τῶν λόγων ἡ δύναμις, κἂν εἴτε τις λέγοι τὸν ἄνδρα τὸν Βαβυλώνιον. Κατοιόμενον δέ φησι τὸν περὶ αὐτὸν ἢ ληματίαν, ἢ βλάκα, καταφρονητὴν δὲ πάλιν καὶ ἀλαζόνα ὡς ἐκ πολλῆς ἄγαν ὀφρύος, καὶ διακένου φυσήματος οὐδ' ὅσον εἰπεῖν εἰ

[57] Apoc. I, 8. [58] Habac. II, 3. [59] Jerem. XVII, 6. [60] Galat. II, 16. [61] Rom. IV, 15.

Digitized by Google

νοῦν ἔχειν ἐθέλοντα τὴν ἀσύγκριτον ὑπεροχὴν τοῦ πάντα ἰσχύοντος Θεοῦ. Ὁ δὴ τοιοῦτος οὐδὲν περάνῃ, φησί· οὐ γὰρ πάντως αὐτῷ κατὰ νοῦν ἐκβήσεται τῶν πραγμάτων τὸ πέρας. Οὐ μέχρι παντὸς ἐντρυφήσει, καὶ κατευρυνθήσεται, καὶ ἐν εὐκλείαις ἔσται λαμπραῖς. Καὶ ἔστιν ἀληθὲς, ὅπερ ἔφη ψάλλων καὶ ὁ μακάριος Δαβίδ· « Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτουν αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. » Ἔρπει γὰρ πάντως πρὸς ταπείνωσιν ἡ ὑπερηφία· φρόνημα δὲ τὸ μετρηθὲν ταῖς ἀνωτάταις στεφανοῦται τιμαῖς. Πιστοῦται δὲ πρὸς τοῦτῳ τοῦ Σωτῆρος ὁ μαθητὴς, γεγραφὼς τε καὶ λέγων· « Καυχάσθω δὲ ὁ ἀδελφὸς ὁ ταπεινὸς ἐν τῷ ὕψει αὐτοῦ, ὁ δὲ πλούσιος ἐν τῇ ταπεινώσει αὐτοῦ· ὡς ἄνθος γὰρ χόρτου παρελεύσεται. » B

A majestatem in animum admittere sustinentem. Quocirca talis, inquit, nihil perficiet; quod neutiquam illi rerum finis et exitus ad voluntatem procedet. Non semper in deliciis versabitur, et fines suos dilatabit, et illustri gloria circumfluet. Et verum est, quod canens beatus David ait: « Vidi impium superexaltatum, et elevatum sicut cedros Libani, et transivi, et ecce non erat, et quæsivi eum, et non est inventus locus ejus [62]. » **535** Tendit enim prorsus ad humiliationem superbia: contra animus modestus supremis honoribus decoratur. Facit ad hæc fidem Salvatoris discipulus, dum scribit ac dicit: « Glorietur autem frater humilis in exaltatione sua, dives autem in humilitate sua, quoniam sicut flos feni transibit [63]. »

Ὃς ἐπλάτυνε καθὼς ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ οὗτος ὡς θάνατος οὐκ ἐμπιπλάμενος, καὶ ἐπισυνάξει ἐπ' αὐτὸν πάντα τὰ ἔθνη, καὶ εἰσδέξεται πρὸς αὐτὸν πάντας τοὺς λαούς.

Vers. 5. *Qui dilatavit sicut infernus animam suam, et iste quasi mors non adimpletur, et aggregabit ad se omnes gentes, et accipiet ad se omnes populos.*

ΚΑ'. Συνᾴδει τῷ προφήτῃ Θεὸς, καὶ δέδειχεν ἀληθεύοντα, τοῖς παρ' ἑαυτοῦ λόγοις κατασφραγίζων εἰς ἀλήθειαν τά τε τοῦ διαβόλου καὶ τὰ τοῦ Ναβουχοδονόσορ ἐγκλήματα. Ὁ μὲν γὰρ προφήτης ἔφασκε· Συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασε, καὶ εἵλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ, » καὶ τὰ ἑξῆς. Ὁ δέ γε τῶν ὅλων Θεὸς ἐπὶ τὸ ἔτι μεῖζον καὶ ἀληθέστερον ἀναφέρων τὰς αἰτίας, ᾅδῃ καὶ θανάτῳ παρεικάζει λοιπόν. Χρῆμα γὰρ ἀκόρεστον θάνατός τε καὶ ᾅδης. Ἀληθὲς δὲ ὅτι, κατά γε τὸ τῷ Βαβυλωνίῳ δοκοῦν, πάντα ἂν ὑπ' αὐτῷ τὰ ἔθνη συνήχθη, καὶ νοοῖτ' ἂν εἰκότως Περσικῆς φιλοτιμίας ἐγκλήματα τὰ τοιάδε τῶν κακῶν. Μικρὰ γὰρ αὐτοῖς ἡ ὑπ' οὐρανὸν, καὶ οὐκ ἂν ἀρκέσειεν εἰς τὸ δουλεύειν αὐτοῖς πάντα τὰ ἀνθρώπων γένη. C

XXI. Consentit cum propheta Deus, et vera dicere demonstrat, sermonum ejus veritatem diaboli et Nabuchodonosoris criminibus obsignans. Propheta namque dicebat: « Consummationem in hamo sublevavit, et attraxit eum in rete, » et quæ sequuntur. Ast universorum Deus, causas ad majus quiddam et verius referens, inferno adhuc et morti comparat. Vere enim mors et infernus nunquam satiantur [64]. Et verum est, pro voluntate Babylonii omnes gentes ad ejus imperium aggregatas, possintque hujuscemodi mala haud immerito Assyriæ ambitionis crimina reputari. Parvus enim erat illis terrarum orbis, nec omnium nationum servitute contenti fuissent.

Ἀλοίη δ' ἂν καὶ αὐτὸς ὁ τῆς ἁμαρτίας εὑρετὴς, τουτέστιν, ὁ Σατανᾶς, πᾶσαν, ὡς ἔπος εἰπεῖν, ὑφ' ἑαυτῷ τὴν γῆν ποιεῖσθαι σπουδάζων, καὶ οἷον ᾅδης καταρροφῶν τοὺς ταῖς παρ' αὐτῷ δυστροπίαις ἀπολλυμένους. Ἔφη δέ που καὶ αὐτὸς, ὅτι « Τὴν οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρί μου, ὡς νοσσιὰν καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ. Καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι. » Ἄπληστον γὰρ, καὶ ἀτίθασσον τὸ θηρίον, καὶ ἀλαζονείας μεστὸν, μιαρὸν ἀληθῶς καὶ μισάνθρωπον.

Cerni autem potest et ipse peccati inventor, hoc est, Satanas, totam terram, ut verbo complectar, sub se redigere anniti, et ceu infernus devorare eos, qui ejus pervérsis molitionibus intereunt. Quia ipsemet alicubi ait: « Et orbem habitatum totum comprehendam manu ut nidum, et sicut derelicta ova tollam. Et non est qui effugiat me, aut resistat mihi [65]. » Est enim bellua inexplebilis, et indomita, et superbiæ plena, detestanda revera, et imbuta odio hominum.

Οὐχὶ ταῦτα πάντα κατ' αὐτοῦ παραβολὴν λήψονται, καὶ πρόβλημα εἰς διήγησιν αὐτοῦ; Καὶ ἐροῦσιν· Οὐαὶ ὁ πληθύων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτοῦ, (ἕως τίνος;) καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς! D

Vers. 6. *Nonne hæc universa parabolam adversus eum sument, et propositionem ad narrationem ejus? Et dicent: Væ qui multiplicat sibi quæ non sunt sua (usquequo?) et aggravans densum lutum contra se!*

ΚΒ'. Ὅτι μήτε ἀκράδαντον αὐτῷ τὸ κρατεῖν, μήτε μὴν τὸ δεῖν ἐντρυφᾷν ἐπὶ πληθύϊ τῶν συνεγηγερμένων, ἀπολισθήσει δὲ πάντως ἀρχῆς τε καὶ δόξης, καὶ ᾠδὴ πολλοῖς ἔσται πεσὼν, καταμεμήνυκεν ἐναργῶς. Λήψεσθαι γὰρ ἔφη παραβολὴν ἐν αὐτῷ οἷον πρόβλημα, καὶ δημώδη λόγον, καὶ ἐν γλώτταις πολλῶν. Καὶ τίς δὴ οὗτός ἐστιν; « Οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα

XXII. Nec firmum illi imperium fore, nec gaudia in multitudine eorum quæ congregavit, amissurumque funditus et principatum, et gloriam, et fabulam fore vulgo casum ejus, planum facit. Sumptum enim iri super eo parabolam, seu propositionem dicit, hoc est, materiam sermonum passim fore. Quis porro hic sermo?

[62] Psal. xxxvi, 35, 36. [63] Jac. i, 9, 10. [64] Prov. xxx, 16. [65] Isa. x, 14.

Digitized by Google

536 « Væ qui multiplicat sibi non sua, et aggravat lutum suum dense. » Hoc est, semper impietatis suæ pœnam cumulatiorem, seu graviorem sibi efficiens, dum gentes perdit, et regiones totas ad se rapit, et in aliena semper irruit, et sub sceptra sua vi compellit, et populis innumerabilibus dominatur. Intexuit autem in medio, *usquequo?* ostendens illum nec aviditati, nec crudelitati modum ponere, et iniquitatis finem aversari. Insaturabiles igitur Babyloniorum tyranni, et sævitia formidandi, et omnium probrosissima audere soliti.

Idem facit Satanas, semper colligens quæ sua non sunt, et pœnam sibi graviorem accersens. Cui quodam loco dicitur : « Sicut vestimentum in sanguine mistum non erit mundum ; sic neque tu eris mundus, quia terram meam perdidisti, et populum meum occidisti [66], » Non manebis in æternum tempus. Quos enim populos non perdidit ? aut quibus gentibus pepercit ? Quid vero tam odiosum, et invisum, quod illum molitum non constet ? Sequitur itaque illum haud injuria Væ, et imperio ejus everso, in omnes dominatione spoliatus, parabola fiet. Atque hoc rursum sapiens Jeremias nobis, quanquam obscurius, ita de ipso loquens testatur : « Clamavit perdix, congregavit quæ non peperit, faciens divitias suas non cum judicio : in dimidio dierum suorum relinquent eum, et in novissimis suis erit insipiens [67]. » Illud *erit*, secundum historiam vere accidit. Cepit enim Judæam Babylonius, et Samariam insuper, et alia item loca devastans, prædam inde in sedes suas avexit. Ast ubi Cyrus Babyloniam cum Persis et Medis est aggressus, aggregati rursus abierunt, ac tantum non domum avolarunt quos captivitatis vincula detinuerant. Abscesserunt præterea ab idolorum cultu propter magistrum suum quidam ex gentibus, et eo qui olim clamarat, et ad se vocarat deserto, ad Christum recurrerant. Congregavit enim ille sibi quæ non erant ejus. Suscepit autem Christus quæ erant ejus [68]. Nam quia Deus, ideo Dominus est omnium.

Vers. 7. *Quia subito consurgent mordentes eum, et vigilabunt insidiatores tui, et eris in rapinam ipsis.*

537 XXIII. Improviso in eum facturos impetum dicit, qui mordeant, et bellicis impressionibus regnum ejus depopulentur, nempe Cyrum cum suis, Persis ac Medis et Elamitis ; qui tantum non etiam somnum oculis excutientes, et tanquam ex ebrietate vigilantes, et ægre pristinis terroribus vacantes, suscepto in illum bello incursiones generose facturi sint. Deinde multis modis insidiantes, facile vincent, Chaldæorum facultates agentes ferentesque, et Babylonios diripientes.

Hoc expertum quoque Satanam exitiabilem cer-

A αὐτοῦ, καὶ βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς ! » Τουτέστι, φορτικωτέραν ἀεὶ καθιστὰς ἐφ' ἑαυτῷ τὴν ἐφ' οἷς ἠσέβησε δίκην, ἀπολέσας ἔθνη, καὶ χώρας ὅλας συνενεγκών, καὶ τοῖς κατ' οὐδὲν αὐτῷ προσήκουσιν ἐπιῤῥώσκων ἀεὶ, καὶ τοῖς ἰδίοις σκήπτροις ἐξ ἀνάγκης ὑποτιθεὶς, καὶ ἀναριθμήτους ἔχων τοὺς ὑπὸ χεῖρα λαούς. Ἐπιπεφώνηκε δὲ διαμέσου τὸ, ἕως τίνος ; ἀκόρεστον ὄντα δεικνὺς εἰς πλεονεξίαν, ἀχάλινον εἰς ὠμότητα, καὶ τὸ τῆς ἀδικίας μισοῦντα πέρας. Ἄπληστοι μὲν οὖν οἱ Βαβυλωνίων τύραννοι, καὶ δειναὶ πρὸς ὠμότητα καὶ τὰ πάντων αἴσχιστα τολμᾷν εἰωθότες.

Τοιοῦτον δὲ καὶ ὁ Σατανᾶς, συλλέγων ἀεὶ τὰ μὴ ἑαυτοῦ, καὶ δυσαχθεστέραν ἑαυτῷ τὴν κόλασιν ἐπι[τι]θείς. Εἴρηται δέ που καὶ πρὸς αὐτόν· « Ὃν τρόπον B ἱμάτιον ἐν αἵματι πεφορμένον οὐκ ἔσται καθαρόν· οὕτως οὐδὲ σὺ ἔσῃ καθαρὸς· διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας. » Οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον. Ποίους γὰρ οὐκ ἀπολώλεκε λαούς ; ἢ τίνων ἐθνῶν ἐφείσατο ; Τί δὲ τῶν ἄγαν ἀπηχεστάτων οὐκ ἂν ἀλοίη τετολμηκώς ; Ἕψεται δὴ οὖν αὐτῷ δικαίως τὸ Οὐαὶ, καὶ γενήσεται παραβολὴ, τῆς ἀρχῆς αὐτοῦ καθῃρημένης, καὶ τῆς κατὰ πάντων πλεονεξίας ἐξῳκισμένης. Καὶ τοῦτο πάλιν ὁ σοφὸς ἡμῖν Ἱερεμίας ὑπαινίττεται, λέγων περὶ αὐτοῦ· « Ἐφώναξε πέρδιξ, συνήγαγεν ἃ οὐκ ἔτεκε, ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως, ἐν ἡμίσει ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν αὐτὸν, καὶ ἐπ' ἐσχάτων αὐτοῦ ἔσται ἄφρων. » Πέπρακται δὲ τοῦτο ἱστορικῶς τὸ, ἔσται. Εἶλε μὲν γὰρ τὴν Ἰουδαίαν ὁ Βαβυλώνιος, C καὶ μέντοι καὶ τὴν Σαμάρειαν, καὶ ἑτέρας δὲ σὺν αὐτῇ χώρας ἐξαναστήσας, ἀπεκόμισεν εἰς τὴν ἑαυτοῦ. Κύρου δὲ Βαβυλωνίων κατεστρατευκότος Πέρσας τε καὶ Μήδους, ἀπῴχοντο πάλιν οἱ συναγηγερμένοι, μονονουχὶ δὲ καὶ ἀποπτάντες, οἵκαδε πάλιν ἦεσαν, οἱ τοῖς τῆς αἰχμαλωσίας ἐνειλημμένοι δεσμοῖς. Ἀποπεφοιτήκασι δὲ καὶ τῆς ἐπὶ τῷ διδασκάλῳ λατρείας οἱ ἐξ ἐθνῶν, καὶ τὸν πάλαι φωνήσαντα, καὶ πρὸς αὐτὸν κεκληκότα, ἀφέντες ἔρημον, προσδεδραμήκασι τῷ Χριστῷ. Συνήγαγε γὰρ ἐκεῖνος τὰ οὐκ ὄντα αὐτοῦ. προσεδέξατο δὲ Χριστὸς τὰ ὄντα αὐτοῦ. Κύριος γάρ ἐστι τῶν ὅλων ὡς Θεός.

Ὅτι ἐξαίφνης ἀναστήσονται οἱ δάκνοντες αὐτὸν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ ἔσῃ D *εἰς διαρπαγὴν αὐτοῖς.*

ΚΓ'. Ἀδοκήτως αὐτοῦ λέγει κατεξαναστήσεσθαι τοὺς δάκνοντας, καὶ ταῖς τοῦ πολέμου προσβολαῖς δαπανῶντας τὴν ὑπ' αὐτοῦ· οὗτοι δὲ ἦσαν Κῦρός τε καὶ οἱ ἀμφ' αὐτὸν Πέρσαι τε καὶ Μῆδοι, καὶ Ἐλαμῖται· οἱ μονονουχὶ καὶ ὕπνον ὀμμάτων ἀποτιναξάμενοι, καὶ καθάπερ ἐκ μέθης ἀνανήφοντες, μόλις τῶν ἀρχαίων ἔσονται δειμάτων κρείττους, καὶ τὴν πρὸς αὐτὸν αἱρόμενοι μάχην, καταδραμοῦνται γεννικῶς. Εἶτα πολυτρόπως ἐπιβουλεύοντες καταθλήσουσιν εὐκόλως, ἄγοντές τε καὶ φέροντες τὰ Χαλδαίων πράγματα, καὶ διαρπάζοντες τὴν Βαβυλωνίων.

Τοῦτο πεπονθότα καὶ αὐτὸν εὑρήσομεν τὸν ἀλιτή-

[66] Isa. xiv, 19, 20. [67] Jerem. xvii, 11. [68] II. Tim. ii, 19.

Digitized by Google

ριον Σατανᾶν. Συνεκόμισε γὰρ εἰς ἑαυτὸν πάντα τὰ ἔθνη, τὸ τῆς πολυθέου πλάνης ἁπλῶν λίνον, καὶ τοῖς βρόχοις τῆς ἁμαρτίας πυκάζων. Πλὴν οἱ δάκνοντες αὐτὸν ἐξανέστησαν, τουτέστι, τῶν εὐαγγελικῶν θεσπισμάτων οἱ κήρυκες, οἷον ὀδοῦσι σπαράττοντες τὸ σῶμα αὐτοῦ, τοὺς τὰ αὐτοῦ δηλονότι φρονεῖν ἠρημένους. Ὥσπερ γὰρ « ὁ κολλώμενος τῷ Κυρίῳ ἓν πνεῦμά ἐστιν, » οὕτως ὁ τῷ διαβόλῳ κολλώμενος, ἓν πρὸς αὐτόν ἐστι σῶμα. « Ἐκνήψουσι δὴ οὖν οἱ ἐπιβουλεύοντες αὐτῷ. » Συνέντες γὰρ ὅτι τέθειται λοιπὸν ὑπὸ πόδας ἁγίων, Χριστοῦ λέγοντος ἐναργῶς· « Ἰδοὺ δέδωκα ὑμῖν πατεῖν ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· » τοὺς τὰ αὐτοῦ φρονοῦντας ἁρπάσουσι, καὶ εἰς τὴν τῆς ἀληθείας ἐπίγνωσιν μετακομιοῦσιν εὐκόλως, τίς ὁ φύσει τε καὶ ἀληθὴς ἐστι Θεὸς ἐκδιδάσκοντες, καὶ τὸ Χριστοῦ μυστήριον ἐξηγούμενοι, ὃς δὴ καὶ πρῶτος ὁρᾶται διηρπακὼς αὐτόν. Ἔστιν οὖν ἀκοῦσαι λέγοντος· « Ἢ πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον τὸν ἰσχυρὸν δήσῃ; καὶ τότε διαρπάσει τὰ σκεύη αὐτοῦ. » Εὐθὺς δὲ τεχθεὶς ἐκ τῆς ἁγίας Παρθένου, διαρπάζειν ἤρξατο τὰ σκεύη αὐτοῦ. Ἀφίκοντο γὰρ ἐξ ἀνατολῆς οἱ μάγοι, λέγοντες· « Ποῦ ἔστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. » Καὶ δὴ καὶ προσκεκυνήκασι, καὶ δώροις τετιμήκασι, καὶ ἀπαρχὴ γεγόνασι τῆς τῶν ἐθνῶν κληρονομίας. Σκεύη δὲ ὄντες διαβολικά, καὶ τῶν ἐκείνου μελῶν τῶν ἄλλων ἁπάντων ὅτι μάλιστα τιμιώτατα, προσδεδραμήκασι τῷ Χριστῷ. Ὅτι δὲ διαρπάζειν ἔμελλε τὰ σκεύη τοῦ ἰσχυροῦ, προαναπεφώνηκεν αἰνιγματωδῶς καὶ ὁ προφήτης Ἡσαΐας. Ἔφη γὰρ ὧδε πάλιν περὶ αὐτοῦ· « Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα, ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἀπέναντι τοῦ βασιλέως Ἀσσυρίων. » Δοκεῖ μὲν οὖν ἡ τοῦ λόγου δύναμις ὑπαινίττεσθαί τι τῶν ἱστορικῶς πεπραγμένων. Πεπόρθηται γὰρ ἡ Σαμάρεια παρά τε τοῦ βασιλέως, καὶ τοῦ τῶν Ἀσσυρίων ἐξάρχοντος. Πλὴν νοητὸν ὑπεκφαίνει μυστήριον. Ὅτι γὰρ τοῦ Σωτῆρος ἡ δύναμις τοὺς τὸν αὐτοῦ λαὸν πεπορθηκότας σκυλεύσει ῥᾳδίως, ὁ προφητικὸς ἡμῖν ὑπέφαινε λόγος.

tum est. Ad se quippe gentes omnes, multorum deorum falso cultu ceu reti expanso, et laqueis peccati confertim positis, congregarat. Verumtamen mordentes eum insurrexerunt, scilicet evangelicorum oraculorum præcones, quasi dentibus dilaniantes corpus ejus, puta, qui quæ ejus sunt sapere voluerunt. Quemadmodum enim « qui adhæret Deo, unus spiritus est cum eo [69] : » sic qui adhæret diabolo, unum corpus est cum eo. « Evigilabunt igitur insidiatores ejus. » Nam cum intelligant de cætero pedibus sanctorum substratum esse, quod Christus aperte dicat : « Ecce dedi vobis potestatem calcandi supra serpentes et scorpiones, et supra omnem virtutem inimici [70], » eidem assentientes rapient, et ad veritatis agnitionem nullo negotio transferent, quis natura et verus Deus sit, edocentes, et mysterium Christi enarrantes, quem primum ejus depopulatorem fuisse liquet. Licet igitur audire dicentem : « Aut quomodo potest quis ingredi in domum fortis, et vasa ejus diripere, nisi prius fortem alligaverit? et tunc vasa ejus diripiet [71]. » Simul atque de sancta Virgine natus est, vasa ejus diripere cœpit. Venerunt enim magi ab oriente dicentes : « Ubi est qui natus est rex Judæorum? Vidimus enim stellam ejus in oriente, et venimus adorare eum [72]. » Et adorarunt, ac muneribus honorarunt, hæreditatisque gentium primitiæ facti sunt. Cumque vasa essent diabolica, et membrorum illius omnium longe honoratissima, ad Christum approperarunt. Direptarum autem vasa fortis, sub ambage etiam Isaias propheta prænuntiavit. Sic enim denuo de eodem ait : « Quia antequam sciat puerulus vocare patrem, aut matrem, **538** feret fortitudinem Damasci, et spolia Samariæ coram rege Assyriorum [73]. » Videtur ergo sermo quiddam historicum tacite innuere. Vastata est enim Samaria a rege et principe Assyriorum. Cæterum mysterium sub intelligentiam cadens subindicat. Nam virtutem Salvatoris populi sui populatores facile spoliaturam, prophetæ verba nos admonent.

Διότι σὺ ἐσκύλευσας ἔθνη πολλά, σκυλεύσουσί σε πάντες ὑπολελειμμένοι λαοί, δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς, καὶ πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν.

VERS. 8. *Quia tu spoliasti gentes multas, spoliabunt te omnes reliqui populi, propter sanguines hominum, et impietates terræ, et civitatis, et omnium habitantium eam.*

ΚΔ'. Ἀληθὴς ὁ λόγος, κἂν εἰ ἐπ' ἀμφοῖν νοοῖτο πάλιν. Ἐπόρθησε μὲν γὰρ ὁ Βαβυλώνιος ἔθνη πολλά· πέπραχε δὲ τοῦτο καὶ Σατανᾶς. Τοιγάρτοι πεπόνθασι τὸ ἐναλῶναι τοῖς ἴσοις. Καὶ ὑπὸ Κύρου μὲν πεπόρθηται τὰ Χαλδαίων πράγματα· ὑπὸ δὲ τῶν ἁγίων, ὁ Σατανᾶς. Ἴσα δὲ ἀμφοῖν τὰ ἐγκλήματα, καὶ ἀδελφὰ τὰ πλημμελήματα, συγγενὴς δὲ ὥσπερ ἡ ἀγριότης, καὶ ἡ κατὰ πάντων ὠμότης. Ἀπεκτόνασι γὰρ χώρας τε καὶ πόλεις, ὁ μὲν σαρκικῶς, ὁ δὲ νοητῶς, ὀξείᾳ βαλίδι τῇ ἁμαρτίᾳ χρώμενος. Εὖ δὲ δὴ σφόδρα φησὶ σκυλεύσειν αὐτὸν τοὺς ὑπολελειμμένους. Ὡς γὰρ ἅπαντας

XXIV. Vere dictum, etiamsi rursus de utroque dictum accipiatur. Devastavit enim Babylonius gentes multas : idem fecit Satanas. Quare paribus eos pœnis damnari contigit. Et a Cyro quidem Chaldæi : a sanctis autem Satanas subactus est. Paria autem utriusque commissa, et germana peccata, et cognata quodammodo immanitas, et in omnes crudelitas. Regiones enim et urbes interemerunt : illi quidem secundum corpus, hic secundum animam, acuto jaculo, peccato videlicet usus. Perbene autem dicit eum a reliquis spoliatum iri. Nam quasi omnibus a

[69] I Cor. VI, 17. [70] Luc. X, 19. [71] Matth. XII, 29. [72] Matth. II, 2. [73] Isa. VIII, 4.

Digitized by Google

Babylonio deletis, qui fuga evaserint, ipsi inimicissimos fore affirmat; et quamvis paucos, Deo tamen victoriam tribuente, ipsisque ad omnia optato peragenda annuente, citra difficultatem prævalituros. Nec falso ad communem omnium inimicum, puta Satanam, res pertineat. Omnes quippe mortales cepit, et vastavit, peccatique jugo universos illigavit. Direptus est autem ipse quoque a relictis populis, id est, a justificatis in fide a Christo, et sanctificatis in spiritu. « Salvatæ sunt enim reliquiæ Israel [74]. » Ex quibus divini discipuli primitiæ fuerunt eorum, qui pestiferum Satanam diripuerunt. Deinde post illos adhuc hodie populorum duces ac rectores, et verbum veritatis recte tractantes diripiunt, subjugatosque in semitam pietatis reducunt [75].

A ἀνῃρηκότος τοῦ Βαβυλωνίου, τοὺς διαφυγεῖν ἰσχύσαντας πολεμιωτάτους αὐτῷ γενήσεσθαι λέγει, καὶ ὀλίγους ὄντας κατακρατήσειν εὐκόλως, Θεοῦ τὸ νικᾷν ἀπονέμοντος, καὶ τὸ πάντα δύνασθαι κατορθοῦν αὐτοῖς ἐπινεύοντος. Ἀληθὲς δ' ἂν νοοῖτο τὸ χρῆμα, κἂν εἰ ἐπ' αὐτοῦ φέροιτο τοῦ πάντων ἐχθροῦ, φημὶ δὴ τοῦ Σατανᾶ. Πάντας μὲν γὰρ τοὺς ἐπὶ τῆς γῆς εἷλέ τε καὶ πεπόρθηκε, καὶ τοῖς τῆς ἁμαρτίας ἐγκατέδησε ζυγοῖς. Διηρπάσθη δὲ καὶ αὐτὸς ὑπὸ τῶν καταλελειμμένων λαῶν, τουτέστιν, ὑπὸ τῶν ἐν πίστει δεδικαιωμένων ὑπὸ Χριστοῦ, καὶ ἡγιασμένων ἐν πνεύματι. « Σέσωσται μὲν γὰρ τὸ κατάλειμμα τοῦ Ἰσραήλ. » Ἐξ αὐτῶν δὲ ὄντες οἱ θεσπέσιοι μαθηταί, γεγόνασιν ἀπαρχὴ τῶν διηρπακότων τὸν ἀλιτήριον. Εἶτα μετ' ἐκείνους εἰσέτι νῦν διαρπάζουσιν οἱ λαῶν ἡγούμενοι, καὶ τὸν τῆς ἀληθείας ὀρθοτομοῦντες λόγον, καὶ εἰς τὴν εὐσεβείας τρίβον ἀποκομίζοντες τοὺς ὑπεζευγμένους. B

Vers. 9, 10. *Væ qui multiplicat avaritiam malam domui suæ, ut ponat in excelsum nidum suum, ut eruatur de manu malorum. Cogitasti confusionem domui tuæ. Confecisti* **539** *populos multos, et peccavit anima tua*

XXV. Adhuc Babylonius objurgatur, principatum seu imperium suum ex omnium expilationibus constituere volens, et domum suam in sublime educens, et ultra modum eximie inaurans atque communiens, ut fortasse citra laborem propulsare ab se injuriam, hoc est, contingentia incommoda declinare semper possit. Institutum quippe Babyloniorum solemne fuit, magnas alere custodias, et acierum disponendarum peritos disciplinæque bellicæ deditos habere innumeros, quo vim et maleficia invadentium ab se prohibere facile quirent. Sed eum ex apparatu dedecus et pudorem relaturum, spe in contrarium cadente, docet dicens: « Cogitasti confusionem domui tuæ, fecisti, sive consummasti populos multos, » allato illis extremo exitio. Quoniam igitur « peccavit anima tua » diras persolves pœnas, dum, qui aliquando fuisti splendidus, et « posuisti in alto nidum tuum, » miser eris et abjectus, et repente sub pedibus inimicorum invenieris.

Quadrabunt hæc verba quam maxime in ipsum quoque Satanam; et inventores hæresum, qui amore dominandi subacti, et ut præesse videantur multis, confecerunt populos multos, et profecto malam avaritiam domibus suis importarunt, in alto item posuerunt nidos suos, fastuosa vanitatis verba profundentes, et adversus gloriam divinam eructantes, quæ solas ipsorum linguas et ingenia deceant. Peccarunt itaque animæ eorum: in ipsum siquidem communem Salvatorem Christum atroces exstiterunt, peccantes in fratres: « Et eorum infirmam conscientiam percutientes, » sicut scriptum est [76].

Vers. 11. *Propter quod lapis ex pariete clamabit, et scarabæus ex ligno loquetur ea.*

Κῶ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ, τοῦ τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ, τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν! Ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου. Συνεπέρανας πολλοὺς λαούς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου.

ΚΕ'. Ἐπιπλήττει ὁ λόγος τῷ Βαβυλωνίῳ πάλιν, ἐθέλοντι συγκροτεῖν τὴν ἰδίαν ἀρχὴν ἐκ τῆς κατὰ πάντων πλεονεξίας, αἱροντί τε τὸν ἴδιον οἶκον ὑψοῦ, καὶ μὴν καὶ ὑπεροχαῖς ταῖς ἐπέκεινα μέτρου κατακρυσοῦν εἰωθότι, καὶ ὀχυροῦν λίαν, ὥστε καὶ ἀτρίμως δύνασθαι τυχὸν ἐκ χειρὸς ἐκσπᾶσθαι κακῶν, τουτέστι, διεκνεύειν ἀεὶ τὰ συμβαίνοντα κακά. Σκοπὸς γὰρ ἀεὶ τοῖς Βαβυλωνίοις, πολλοὺς τῶν ἐπαμυνόντων πλῆθει παραφυλάττεσθαι, καὶ ἀναριθμήτους ἔχειν τοὺς εἰδότας τὰ τακτικὰ, καὶ τῶν πολέμου νόμων ἐπῃρτημένους, ὡς ἀμογητὶ δύνασθαι τὰ ἐκ τῶν ἐπιόντων αὐτοῖς ἀποκρούσασθαι βλάβη. Ἀλλ' ὅτι πρὸς αἰσχύνης ἔστι καὶ ἐντροπῆς τὸ σχῆμα αὐτῷ, διαπιπτούσης αὐτῷ τῆς ἐλπίδος εἰς τοὐναντίον, ἐδίδαξεν, εἰπών· « Ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου. Συνεπέρανας γὰρ, ἤτοι συντετέλεκας, λαοὺς πολλοὺς, » πανωλεθρίᾳ διαφθορικῶς. Ἐπειδὴ δὲ « ἐξήμαρτεν ἡ ψυχή σου, » πικρὰς ἀποτίσεις δίκας· ὁ πάλαι λαμπρὸς, καὶ στάττων εἰς ὕψος τὴν νοσσιὰν αὐτοῦ, » οἰκτρὸς, κατερρῳμμένος, καὶ ὑπὸ πόδας ἐχθρῶν ἀδοκήτως εὑρεθείς.

Πρέποι δ' ἂν ὁ λόγος ὅτι μάλιστά γε καὶ αὐτῷ τῷ Σατανᾷ, καὶ τοῖς τῶν αἱρέσεων εὑρεταῖς, οἱ φιλαρχίας ἡσσώμενοι, καὶ τοῦ δοκεῖν ἡγεῖσθαι πολλῶν, συνεπέραναν λαοὺς πολλοὺς, καὶ κακὴν ὄντως πλεονεξίαν τοῖς ἰδίοις προεξένησαν οἴκοις, ὑψοῦ τε τετάχασι τὰς ἑαυτῶν νοσσιὰς, ὑπέρογκα ματαιότητος λαλοῦντες ῥήματα, καὶ κατὰ τῆς θείας δόξης ἐρευγόμενοι, ἃ πρέποι ἂν μόναις ταῖς αὐτῶν γλώσσαις τε καὶ διανοίαις. Ἐξήμαρτον δὴ οὖν αἱ ψυχαὶ αὐτῶν· πεπαρῳνήκασι γὰρ εἰς αὐτὸν τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν, ἁμαρτάνοντες εἰς τοὺς ἀδελφοὺς, « καὶ τύπτοντες αὐτῶν ἀσθενοῦσαν τὴν διάνοιαν, » κατὰ τὸ γεγραμμένον.

Διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά.

[74] Isa. x, 22; Rom. 9, 27. [75] II Tim. II, 15 seqq. [76] I Cor. VIII, 12.

Digitized by Google

ΚϚ'. Ἀπονέμει πολλάκις ἡ θεία Γραφὴ καὶ τοῖς ἀψύχοις τε καὶ ἀναισθήτοις φωνὰς, οὐχ ὡς φάναι τυχὸν δυναμένοις, ἀλλ' οἷον αὐτοῖς πράγμασι μονονουχὶ διακεκραγόσι. Καὶ γοῦν ὁ μακάριος Ἡσαΐας, « Αἰσχύνθητι, Σιδών, εἶπεν ἡ θάλασσα, » φησί. Καὶ μέντοι καὶ Δαβίδ· « Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. » Αὐτὴ γὰρ ἡ κτίσις, δι' ὧν εὖ πεποιημένη θαυμάζεται, διὰ τούτων αὐτῶν τοῦ πεποιηκότος ἀνακηρύττει τὴν δόξαν. Οὐκοῦν ἐν πράγμασιν αἱ φωναὶ, κἂν εἰ μὴ γίνοιντο λόγοι. Τοιοῦτόν τι κἀνθάδε συνήσεις πάλιν. Λίθον γὰρ ἐκ τοίχου φησὶ, καὶ κάνθαρον ἐκ ξύλου καταφθέγξεσθαι τοῦ Βαβυλωνίου. Τίνα δὲ τρόπον, ἐροῦμεν· Ταῖς τῆς Ἰουδαίας πόλεσιν ἢ καὶ ταῖς ἑτέραις εἰσβαλὼν ὁ Βαβυλώνιος, πάσας κατενέπρησε τὰς ἐν αὐταῖς οἰκίας. Εἶτα συμβέβηκεν ἀναγκαίως καὶ λίθους συνθραύεσθαι, καὶ κατασείεσθαι τοίχους, συμπίπτειν δὲ αὐτοῖς καὶ ξύλα, καὶ ὀροφὴν ἐκ τῆς ἄγαν παλαιότητος, κανθάρους μικροὺς, ἤτοι σῆτας, ἔχουσαν. Ταύτητοί φησι καταδοήσειν αὐτοῦ τῆς ὠμότητος τὰ κατεστραμμένα, ταῦτα δὲ, ὡς ἔφην, ἦν λίθοι τε διερριμμένοι, καὶ ἐν μέσῳ πλατειῶν κείμενοι, καὶ ξύλα πάντως ἡμίφλεκτα, καὶ ἀπό γε τοῦ σεσῆφθαι λοιπὸν μαρτυροῦντα ταῖς πόλεσι τὸ ἀρχαῖον. Ἔγκλημα δὴ οὖν τῷ Βαβυλωνίῳ, καὶ παλαιὰς οὕτω καὶ ἀρχαιοτάτας κατεμπρῆσαι πόλεις. Καθελεῖ δὲ καὶ οἴκους, ἀνῃρημένων δηλονότι τῶν ἐν αὐτοῖς. Ἰστέον δὲ, ὅτι ἀντὶ τοῦ, *κάνθαρος ἐκ ξύλου*, εἰπεῖν, ἕτεροι τῶν ἑρμηνευτῶν ἐκδεδώκασιν, *ἔνδεσμος ξύλου*. Ὅθεν ἔστιν ἐννοεῖν, ὅτι τάχα που τὰς τῶν οἰκιῶν μίτρας καὶ τὴν ἐν αὐταῖς ἀναπλοκὴν τῶν ξύλων, ἤτοι σύνδεσμον, κανθάρους ὠνόμαζον κατ' ἐκεῖνο καιροῦ, διὰ τὸ οἷον πολλοῖς ἀντέχειν ποσὶ τὴν ἐπικειμένην αὐτοῖς ὀροφήν.

Οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι, καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις! Οὐ ταῦτά ἐστι παρὰ Κυρίου παντοκράτορος. Καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ ἐν πυρὶ, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν.

ΚΖ'. Ταλανίζει τὸν Βαβυλώνιον πάλιν, ὡς ὑψοῦ μὲν τὴν ἰδίαν αἴροντα δόξαν, καὶ τῆς ἀρχῆς τὸ περιφανὲς, οὐκ ἐξ ὧν ἔδει μᾶλλον, ἀλλ' ὧν ἥκιστα ἐχρῆν, ποιεῖσθαι σπουδάζοντα. Οὐ γὰρ ὅτι πολλοὺς ὠλόθρευσε λαοὺς, διαβόητον εἶναι χρὴ, ἑτέρῳ δὲ μᾶλλον κατασεμνύνεσθαι κόσμῳ, καὶ τοῖς εἰς δίκαιον αὐχήμασιν ὁρᾶσθαι λελαμπρυσμένον. Ἀλλ' ὡς ἀχρεῖον τοῦτο μαθεῖς, ᾠκοδόμησεν αὐτὴν ἐν αἵμασι καὶ ἀδικίαις. Ὅτι γὰρ ὠμοτάτη γέγονεν ἡ Χαλδαίων ἀρχὴ, καὶ ἁπάσαις ἁπλῶς πόλεσί τε καὶ χώραις ἐπιθρώσκουσα θηριοπρεπῶς τὰ πέρα λόγου εἴργασται κακὰ, πᾶσιν ἂν γένοιτο καταφανὲς τοῖς τὴν θείαν ἀνεγνωκόσι Γραφήν. Ἀλλ' οὐ ταῦτά ἐστι παρὰ Κυρίου παντοκράτορος. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὰ τοιάδε τῶν κακῶν ἄνωθεν γεγενῆσθαι λέγειν· ἀλλ' οὐδ' ἂν νοοῖτο θεόσδοτον, τὸ ἔν γε δὴ τούτοις κατασεμνύνεσθαι δεῖν. Ἔσται δὴ οὖν οὐκ ἐρηρεισμένα, μᾶλλον δὲ οὐκ ἔξω δίκης. Ἃ γὰρ οὐκ οἶδεν ἐπαινεῖν ὁ θεῖός τε καὶ ἀκήρατος νοῦς, κολάζει πάντως, ὡς οὐκ ἔχοντα τὸ εἰκός. Πῶς γὰρ οὐκ ἀπιχὲς καὶ ἀνόσιον παντελῶς, τὸ

A XXVI. Sæpius divina Scriptura anima etiam sensuque carentibus voces affingit; non quasi forte loqui queant, sed quod res ipsæ propemodum clament. Proinde beatus Isaias inquit: « Erubesce, Sidon, ait mare [77]. » Præterea David: « Cœli enarrant gloriam Dei, et opera manuum ejus annuntiat firmamentum [78]. » Ipsa enim creatura, per quæ beneficiis ab illo ornata mirabilis est, per eadem ipsa benefacientis gloriam prædicat. Quare in rebus quoque voces sunt, **540** quamvis verba non formentur. Simile quid et hic denuo intellige. Lapidem enim ex pariete, et scarabæum e ligno contra Babylonium loqui ait. Quonam autem modo, exponemus. Babylonius Judææ et alias urbes hostiliter adortus, omnes illarum domos succendit. Inde et B lapides dissilire oportebat, et muros labefactari, et cum ipsis ligna, et contignationes propter vetustatem nimiam, parvos scarabæos, seu tineas habentes procumbere. Idcirco futurum narrat, ut crudelitatem ejus clamoribus ipsæ ruinæ insectentur. Hæc autem, ut dixi, erant lapides disjecti, et in medio platearum jacentes, et ligna plane semiusta, et ex ipsa quoque putrefactione urbium antiquitatem testantia. Crimini igitur fuit Babylonio, tam antiquas et vetustissimas urbes incendio delevisse. Destruet etiam domos, earum incolis e medio sublatis. Sciendum porro pro vocabulis κάνθαρος ἐκ ξύλου, *scarabæus e ligno*, ab aliis interpretibus editum esse, ἔνδεσμος ξύλου, *junctura ligni*. Unde cogitare fas, fortasse ædium cinctus et nexus, sive C contrabeationes, ætate illa cantharos fuisse appellatos, quod impositum ipsis tectum quasi multis pedibus sustinerent.

Vers. 12, 13. *Væ qui ædificat civitatem in sanguinibus, et præparat urbem in iniquitatibus! Non sunt hæc a Domino omnipotente. Et defecerunt populi multi in igne, et gentes multæ coangustatæ sunt.*

XXVII. Adhuc Babylonii miseriam et calamitatem prodit, ut qui gloriam suam extollat, et imperium illustrari contendat, non unde conveniebat, sed unde minime oportebat. Non enim ex pernicie multis importata, fama quærenda; sed aliis potius ornamentis gloriandum, et ex justitia clari nominis petendum decus. Verum ille, hoc ut inutili neglecto, D ædificavit ipsam Babylonem in sanguinibus et iniquitatibus. Chaldæorum namque imperium fuisse immitissimum, omnibusque urbibus et regionibus belluarum in morem irrumpendo quantum verbis loqui nequeas cladium dedisse, nosse possunt omnes, qui divinam Scripturam legerunt. Cæterum hæc non sunt a Domino omnipotente. Non enim fas, non est, inquam, fas, affirmare mala istiusmodi superne contigisse: nec intelligi potest, in hujuscemodi rebus jactantiam a Deo proficisci. Non ergo stabunt, sed corruent. Quæ enim illa **541** divina, et incorrupta mens approbare nescit, ut non consentanea omnino ulciscitur.

[77] Isa. XXIII, 4. [78] Psal. XVIII, 2.

Digitized by Google

Quomodo enim non absurdum et impium plane est, populos multos defecisse in igne, et multas gentes sæpe coangustatas esse, puta inclytas urbes simul cum incolis periisse flammis, et totas gentes cum rectoribus defecisse in malis?

Idem quispiam ipsis quoque Judæorum principibus apposite occinuerit, qui omnes sanctos prophetas necaverunt [79], et Hierosolymæ multum se commodaturos existimarunt, si eam in sanguinibus et violentia in omnes exercenda ædificarent. Alios siquidem injuriose tractarunt, alios lapidarunt, ac tandem ad illa scelera Filii quoque necem, amentiæ suæ legem prætextentes, adjecerunt. Mandatis enim Mosaicis per Christum abrogatis, dolore se cruciari fingebant. Sed eorum zelum Deo displicuisse, nec, ut divinus Paulus ait, « secundum scientiam fuisse [80], » propheta his verbis liquido demonstrat: « Non sunt hæc a Domino omnipotente. » Proinde etiam defecerunt in argento, coangustati sunt, bello ipsos consumente. Evenerunt enim talia Judæorum populis, quia debacchati sunt in Filium, et, ut dicebam, ante ipsum prophetas occiderunt.

ἐκλεῖψαι μὲν ἐν πυρὶ λαοὺς ἱκανοὺς, ἔθνη δὲ ὀλιγοψυχῆσαι πολλάκις, τουτέστι, τὸ λαμπρὰς μὲν καταπρησθῆναι πόλεις ὁμοῦ τοῖς οἰκοῦσιν αὐτὰς, ἔθνη δὲ ὅλα καὶ κεφαλὰς ἀπειπεῖν ἐν κακοῖς;

Τοῦτο δ' ἂν τις εἰκότως καὶ αὐτοῖς ἐπιφωνήσειε τοῖς Ἰουδαίων καθηγηταῖς, οἳ πάντας μὲν ἀπεκτόνασι τοὺς ἁγίους προφήτας· ᾤοντό γε μὴν οὐ μετρίως ὀνήσειν τὴν Ἱερουσαλὴμ, καὶ οἰκοδομεῖν αὐτὴν ἐν αἵμασι καὶ τῇ κατὰ πάντων πλεονεξίᾳ. Οὓς μὲν γὰρ ὕβρισαν, οὓς δὲ ἀπέκτειναν, οὓς δὲ ἐλίθασαν, καὶ τελευτῶντες τοῖς ἄλλοις προσέθεσαν τὸν Υἱὸν, καὶ πρόφασις αὐτοῖς τῆς ἀπονοίας ὁ νόμος ἦν. Ὑπετιλάττοντο γὰρ τὸ ἐπαλγύνεσθαι δοκεῖν ἀθετουμένῃ παρὰ Χριστοῦ τῇ διὰ Μωσέως ἐντολῇ. Ἀλλ' ὅτι μὲν θεστυγὴς ὁ ζῆλος αὐτῶν, καὶ « οὐ κατ' ἐπίγνωσιν, » ὡς γοῦν καὶ ὁ θεσπέσιος γράφει Παῦλος, ἀποφήνειεν ἂν εὐκόλως ὁ προφήτης λέγων· « Οὐ ταῦτά ἐστι παρὰ Κυρίου παντοκράτορος. » Τοιγάρτοι καὶ ἐκλελοίπασιν ἐν ἀργυρίῳ, ὠλιγοψύχησαν, δαπανῶντος αὐτοὺς τοῦ πολέμου. Συμβέβηκε γὰρ τὰ τοιάδε τοῖς Ἰουδαίων δήμοις πεπαρῳνηκόσιν εἰς τὸν Υἱὸν, καὶ ἀπεκτονόσιν, ὡς ἔφην, πρὸ αὐτοῦ τοὺς προφήτας.

VERS. 14. *Quia repleta est universa terra, ut cognoscat gloriam Domini. Quasi aquâ multa operiet eos.*

XXVIII. Discrimen temporum non raro divina Scriptura confundit, et futura ut jam transacta commemorat, id quod etiam hic perspicere datur. Nam cum dicendum fuisset, *implebitur*, dixit, *impleta est*. Quando igitur Babylonem ira cœlestis obruerit, et prædicta hæc omnia in ea per Cyrum et copias ejus patrabuntur, et illa aliquando formidabilis et infracta, et quæ ita in alios semper immanitatem suam exserebat, ut ei vi nulla occurri posset, de cætero miseranda, et sine viribus, et omnimodis deserta, hostiumque scabellum apparuerit, tunc, tunc, inquam, qui sub cœlo est orbis divinam gloriam, qualis et quanta sit intelliget, ejusque cognitione replebitur. Validum quippe, et adeo illustre et terribile et invictum erat Chaldæorum imperium, Deo tolerante, et ipsis largiente, ut Judæa quoque potirentur, et innumera oppida everterent. Postquam autem Deus malis promeritis id involvere constituit, concussum corruit, et in **542** solitudinem datum est. Tale quid de eo Jeremias propheta: « Quomodo confractus et contritus est malleus universæ terræ? Quomodo facta est in perditionem Babylon in gentibus? Invadent te, et capieris, Babylon, et non cognosceris. Inventa es, et capta es, quia Domino restitisti. Aperuit Dominus thesaurum suum, et protulit vasa iræ suæ, quia opus Domino Deo in terra Chaldæorum, quoniam venerunt tempora ejus [81]. » Sciendum, capta Hierosolyma, Christum ad gentes transiisse: unde deinceps totus mundus Dei et Patris gloriam cognovit, hoc est, ipsum, velut torrente terras

Ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὴν δόξαν Κυρίου. Ὡς ὕδωρ πολὺ κατακαλύψει αὐτούς.

ΚΗ'. Ἀδιαφορεῖ πολλάκις περὶ τοὺς χρόνους ἡ θεία Γραφὴ, καὶ τὰ ἐσόμενα τίθησιν, ὡς ἤδη πεπραγμένα. Τοῦτο δὴ οὖν κἀνθάδε γεγονὸς εὑρήσομεν. Δέον γὰρ εἰπεῖν, τὸ *ἐμπλησθήσεται*, τὸ *ἐνεπλήσθη* φησίν. Ὅταν τοίνυν, ἐπιβριφείσης τῇ Βαβυλῶνι τῆς θείας ὀργῆς, ταῦτα ἐν αὐτῇ πάντα γένηται διά τε Κύρου καὶ τῶν σὺν αὐτῷ, καὶ ἡ πάλαι δεινὴ καὶ ἄθραυστος, καὶ δυσάντητον τοῖς ἄλλοις ἀεὶ κατεξανιστῶσα τὴν ἑαυτῆς ὠμότητα, φαίνηται λοιπὸν οἰκτρά τε καὶ ἄναλκις, καὶ ὁλοτρόπως ἠρημωμένη, καὶ ὑποπόδιον ἐχθρῶν, τότε δὴ, τότε πᾶσα λοιπὸν ἡ ὑπ' οὐρανὸν τὴν θείαν συνήσει δόξαν ὅση τέ ἐστι καὶ ἡλίκη, κατεμπλησθήσεται δὲ τῆς εἰς τοῦτο γνώσεως. Ἐκράτει μὲν γὰρ ἡ Χαλδαίων ἀρχὴ, καὶ ἦν οὕτω περίοπτος, δεινή τε καὶ ἄμαχος ἀνεξικακοῦντος Θεοῦ, καὶ δόντος αὐτῇ τὸ καὶ αὐτῆς κρατῆσαι τῆς Ἰουδαίας, μυρίας τε ὅσας ἐξαναστῆσαι πόλεις. Ἐπειδὴ δὲ τοῖς αὐτῇ πρέπουσι κακοῖς περιβαλεῖν ἐσκέψατο, κατεσείσθη, καὶ πέπτωκε, καὶ δέδοται πρὸς ἐρήμωσιν. Τοιοῦτόν τί φησι Ἱερεμίας περὶ αὐτῆς· « Πῶς ἐκλάσθη καὶ συνετρίβη ἡ σφῦρα πάσης τῆς γῆς; Πῶς ἐγενήθη εἰς ἀφανισμὸν Βαβυλὼν ἐν ἔθνεσιν; Ἐπιθήσονταί σοι, καὶ ἁλώσῃ, Βαβυλὼν, καὶ οὐ γνώσῃ. Εὑρέθης, καὶ ἐλήφθης, ὅτι τῷ Κυρίῳ ἀντέστης. Ἤνοιξε Κύριος τὸν ὀφθαλμὸν αὐτοῦ, καὶ ἐξήνεγκε τὰ σκεύη τῆς ὀργῆς αὐτοῦ, ὅτι ἔργον τῷ Κυρίῳ Θεῷ ἐν τῇ Χαλδαίων, ὅτι ἐληλύθασιν οἱ καιροὶ αὐτῆς. » Ἰστέον, ὅτι μετὰ τὴν τῶν Ἱεροσολύμων πόρθησιν, μεταπεφοίτηκε μὲν ἐπὶ τὰ ἔθνη Χριστὸς, ἔγνω δὲ πᾶσα λοιπὸν ἡ ὑπ' οὐρανὸν τὴν τοῦ Θεοῦ καὶ Πατρὸς δόξαν, τουτέστιν αὐτοῦ ὡσανεὶ χειμάρρου τὴν γῆν

[79] Matth. xxiii, 31-36. [80] Rom. x, 2. [81] Jerem. l, 23-25.

Digitized by Google

καταχλύζοντος. Ποταμοῦ γὰρ δίκην ἐξένευσεν ἐπ' αὐτὴν ὁ Χριστὸς, ὃ καὶ πάλαι ὑπέσχετο, λέγων διὰ προφήτου φωνῆς· « Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν. » Μεμοσχοποιηκότος δὲ κατὰ τὴν ἔρημον τοῦ Ἰσραὴλ, καὶ προσκεκρουκότος ταύτητοι Θεῷ, τὴν διὰ τοῦ Σωτῆρος ἀνάδειξιν, καὶ τῆς δι' αὐτοῦ χάριτος τὸ ἀμφιλαφὲς κατεπηγγέλ[λ]ετο λέγων· « Ἀλλὰ ζῶ ἐγὼ, καὶ ζῶν τὸ ὄνομά μου, καὶ ἐμπλήσει ἡ δόξα Κυρίου πᾶσαν τὴν γῆν. » Μετὰ γὰρ τὰ πάντα Χριστοῦ, ὃς ἐστι δόξα τοῦ Πατρός. Τοιγάρτοι καὶ ἔφασκεν· « Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς, τὸ ἔργον ἐτελείωσα, ὃ δέδωκάς μοι, ἵνα ποιήσω αὐτό. » A

Οὐ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ, καὶ μεθύσκων, ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν! πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε. B

ΚΘ'. Ἐπιφθέγγεται πάλιν τὸ, Οὐ τοῖς Ναβουχοδονόσορ ἀνοσίοις τολμήμασι! προφωνῶν ἃ πείσεται· καὶ ὅτι πικρᾶς ὀδύνης ἔμπλεως ἡ πληγὴ, καὶ διὰ τούτου σημαίνειν ἔοικε, τὴν θολερὰν ὀνομάζων ἀνατροπὴν τὴν ἄκρατον λύπην, ἣγουν αἰκίαν, ἣν καὶ μονονουχὶ ποτίζων τοὺς ἁλισκομένους, ὁρᾶσθαι παρεσκεύαζε διενεγκόντας ὀλίγῳ τῶν ἐν οἴνῳ καὶ μέθαις. Καὶ τί τὸ ἐντεῦθεν; Καθάπερ τι σπήλαιον ἀνοιγνὺς, τὸν ἑκάστου νοῦν τοῖς ἄλλοις ἅπασι καθίστησι διαφανῆ. Πικρὰς γὰρ, ὡς ἔφην, ἐπάγων αἰκίας, τοῖς τῶν εἰλημμένων περιφανεστέροις, ἢ τάχα που καὶ βασιλεῦσιν αὐτοῖς, ὀλοφύρεσθαι παρεσκεύαζε, καὶ τὴν κεκρυμμένην ἔσθ' ὅτε μικροψυχίαν, ἣγουν δειλίαν, ὡς ἐξ ἀφορήτου λοιπὸν ἀνάγκης ἀπογυμνοῦν. Οὐ δὲ ἦν οὕτω δεινός τε καὶ ἀτεράμων, ὡς ἐπαλγύνεσθαι δέον τε καὶ κατοικτείρειν αὐτοὺς, ἐντρυφᾷν ἐπ[ο]ιμώζουσιν, αὖχημά τε τῆς ἰδίας ἀρχῆς ποιεῖσθαι. Τοῦτο, οἶμαι, ἐστὶ τὸ ποτίζειν τὸν πλησίον ἀνατροπὴν θολερὰν, ὅπως ἂν ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν, τουτέστι, τὰ κεκρυμμένα καὶ λεληθότως ἐνόντα τισίν. Ἐπειδὴ τοίνυν ἀκράτοις ἐχρῆτο θυμοῖς, καὶ φειδοῦς ἁπάσης ἐξῃρημένης, μικροὺς καὶ μεγάλους, καὶ λαμπροὺς καὶ ἀσήμους ταῖς ἀνηκέστοις περιέβλεπε συμφοραῖς, ταύτῃ φησὶν ὁ τῶν ὅλων Δεσπότης· « Πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε· » τουτέστιν, ἦσθα μὲν γὰρ διαβόητός τε καὶ εὐκλεὴς, καὶ περίοπτος τοῖς ἁπανταχοῦ, καὶ ἐξ ὠμότητος γνωριμώτατος· ἀλλ' ἔσῃ λοιπὸν ἠτιμωμένος, καὶ τῇ τῆς εὐκλείας ὑπεροχῇ τὴν ἰδίαν ἀναπλήσεις δίκην. C

Πρέποι δ' ἂν τοῦτο καὶ ἐπ' αὐτῶν, εἴπερ ἔλοιτό τις, τῶν ἀνοσίων Φαρισαίων ἀληθὲς εἶναι λέγειν. Πεποτίκασι γὰρ τὸν πλησίον ἀνατροπὴν θολερὰν, ταύτην δὲ εἶναί φαμεν τὴν αὐτῶν διδασκαλίαν, τὰ τῶν ἀνθρώπων ἐντάλματα, πρός γε δὴ τούτοις τὴν κατὰ Χριστοῦ μανίαν, καὶ τὰ τῆς ἀθυροστομίας ἐγκλήματα. Ὁ μὲν γὰρ ἐκάλει πρὸς ζωὴν, οἱ δὲ εἰς τοῦτο κατώλισθον ἀπονοίας, ὥστε καὶ φάναι τοῖς ἀκροωμένοις· « Δαιμόνιον ἔχει, καὶ μαίνεται, τί ἀκούετε αὐτοῦ; » Ἔδρων δὲ τοῦτο, ἵνα τὸν τῆς σω- D

inundante. Instar fluminis enim Christus eum pervasit, quod et olim promisit per prophetam his verbis : « Ecce ego declinabo ad eos quasi fluvius pacis, et quasi torrens inundans gloriam gentium [84]. » Item postquam Israel in deserto vitulo fabricato Deum offendit [85], Salvatorem adfuturum, et gratiæ copiam per ipsum communicandam promisit dicens : « Verumtamen vivo ego, et vivit nomen meum, et implebit gloria Domini omnem terram [86]. » Cum Christo enim omnia, qui est gloria Patris. Quare etiam dicebat : « Ego te glorificavi super terram, opus consummavi quod dedisti mihi ut facerem illud [87]. »

Vers. 15. *Væ qui potat proximum suum subversione turbida, et inebriat, ut aspiciat in speluncas ipsorum : saturitatem ignominiæ de gloria bibe.*

XXIX. Acclamat rursum, Væ impiis Nabuchodonosoris facinoribus! prænuntians quæ passurus sit ; et acerbo dolore plenam fore plagam, etiam hinc videtur monere, quod turbidam subversionem nominat immodicam ægritudinem, sive injuriam qua tantum non potans captivos, paulum a vinolentis et ebriis, ut differre viderentur effecit. Et quid inde? Sicut speluncam aliquam aperiens, uniuscujusque mentem cæteris omnibus pandit. Diras enim, sicut dixi, injurias insignioribus captivorum, aut fortasse etiam regibus ipsis inferens, ad lamenta, et ad occultam aliquando pusillanimitatem, sive timiditatem, ex intolerabili necessitate nudandam, ac patefaciendam commovit. Adeo autem atrox, et immitis erat, ut cum eorum vicem miserans dolere deberet, voluptatem ex gemitu et lamentis ipsorum caperet, idque suo imperio laudi et gloriæ duceret. Hoc, opinor, est proximum potare subversione turbida, ut aspiciat in speluncas ipsorum : **543** hoc est, abscondita, et in quorumdam animi recessibus latentia. Quoniam igitur intemperanti furore, sine ulla moderatione parvos et magnos, claros et obscuros, calamitatibus indignissimis implicuit, ideo inquit universorum Dominus : « Saturitatem ignominiæ de gloria bibe : » hoc est, eras tu quidem celebratus et gloriosus et inclytus apud omnes ubique, et ex feritate notissimus : sed eris in posterum despicabilis, et exsuperans ignominia quam debet pœnam implebit.

Conveniet hoc etiam, si quis de impiis Pharisæis verum esse dicere voluerit. Potaverunt enim proximum subversione turbida, quam ipsorum doctrinam et mandata hominum [88], et insuper contra Christum insaniam, et linguæ eorum petulantiam esse autumamus. Ille namque ad vitam vocabat : hi eo vecordiæ venerant, ut etiam ipsum audientibus dicerent : « Dæmonium habet, et insanit, quid enm auditis [89] ? » Quod faciebant, ut salutarem sermonem, qui mentem illuminat, aspernati,

[84] Isa. LXVI, 12. [85] Exod. XXXII, 1 seqq. [86] Num. XIV, 21. [87] Joan. XVII, 4. [88] Matth. XV, 9. [89] Joan. X, 20.

Digitized by Google

ipsorum speluncas aspicerent, id est, tenebrosa, luce carentia, et mortua dogmata. Proinde in saturitatem ignominiæ, quanquam olim illustres, et non vulgari gloria cumulati, ceciderunt. Præibant enim pastoribus, erantque et sacerdotes et judices.

Eadem in dogmatum impiorum inventores quadrabunt, qui revera proximum subversione turbida potant, venenum fallaciæ et deceptionis simplicium animis infundentes, ut speluncas ipsorum aspiciant. Tenebrosa enim est eorum mens, plena doli, vere caligine diabolica referta, et, ut arbitror, nihil a speluncis, mortuorum cadaveribus et omni fetore immunditiaque repletis discrepans.

Ad accuratiorem autem verborum propositorum declarationem et illud dicendum opinor. Narrant Hebræi, per manus quasi traditum esse, Nabuchodonosorem, Judæa et cæteris omnibus regionibus sub jugum redactis, et in regnum suum gentium principibus abductis, aliquando potiones confecisse, deinde captivos introduxisse, et curiose illo potu inebriatos, ad saltationem impulisse. Qui cum corporum illa agitatione lassati caderent, partesque secretiores interdum nudatas ostenderent, arrisisse, et inde sibi ludum, jocumque fecisse. **544** Hæc inquiunt scite speluncas vocatas esse. Nec probabilitate caret quod affertur. Nam alii interpretes pro speluncis ediderunt γύμνωσιν, *nudationem*, ut hæc subsit sententia : « Væ qui potat proximum suum subversione turbida, et inebriat ut aspiciat nuditatem ejus [88]. »

VERS. 16, 17. *Et tu, cor, commovere, et concutere. Circumdedit te calix dexteræ Domini, et congregata est ignominia super gloriam tuam. Quia impietas Libani operiet te, et miseria bestiarum terrebit te, propter sanguines hominum, et impietates terræ, et civitatis, et omnium habitantium eam.*

XXX. Superborum animis semper nescio quomodo inest, et mire innatus cernitur stupor maximus. Ac præterquam quod felicitatem partam sibi perennem fore opinantur, exspectationem mutationis rerum in deterius admodum generose quodammodo, et penitus profligant. Quale est, quod per os Davidis tanquam ex persona vitam voluptuariam et deliciosam viventium profertur: « Ego autem dixi in abundantia mea, non movebor in æternum [89]. » Superbia igitur maxima ægrotum Babylonium, et propemodum nihil dolentem, et immobilem increpat his verbis : « Et tu, cor, concutere : » hoc est, ne te in prosperitatibus inconcussis firmatum putes; de cætero cogitationes tristes suscipe : quæ futura sunt intellige, et experientiæ cede, tametsi antequam experirere, ne pauxillum saltem

[88] Habac. II, 15, sec. Vulg. [89] Psal. XXIX, 7.

τηρίας ἀποσειόμενοι λόγον, τὸν καταλαμπρύνοντα νοῦν, εἰς τὰ αὐτῶν ἐπιβλέπωσι σπήλαια, τουτέστιν, εἰς τὰ σκοτεινὰ, καὶ ἀφεγγῆ, καὶ τεθνηκότα διδάγματα. Τοιγάρτοι πεπτώκασιν εἰς πληαμονὴν ἀτιμίας, καίτοι πάλαι λαμπροί τε ὄντες καὶ δόξης εἴσω βεβηκότες οὐ μικρᾶς. Καθηγοῦντο γὰρ ποιμένων, ἦσαν δὲ καὶ ἱερεῖς καὶ κριταί.

Ἁρμόσαι δ' ἂν ὁ τοιόσδε λόγος καὶ τοῖς τῶν ἀνοσίων δογμάτων εὑρεταῖς, οἳ ποτίζουσι κατὰ τὸ ἀληθὲς τὸν πλησίον ἀνατροπῇ θολερᾷ, τὸν τῆς ἀπάτης ἰὸν ταῖς τῶν ἁπλουστέρων ψυχαῖς ἐπιχέοντες, ἵνα δὴ καὶ ἐπιβλέπωσιν ἐπὶ τὰ σπήλαια αὐτῶν. Σκοτεινὸς γὰρ ὁ ἐκείνων νοῦς, ἀπάτης ἔμπλεως, ἀχλύος διαβολικῆς ἐπίμεστος ἀληθῶς, καὶ σπηλαίων, οἶμαι, διενεγκὼν κατ' οὐδὲν, ἃ νεκρῶν ἐστι σωμάτων ἔμπλεα, καὶ δυσωδίας ἁπάσης καὶ ἀκαθαρσίας.

Χρῆναι δὲ, οἶμαι, πρὸς διασάφησιν τῶν προκειμένων ἀκριβεστέραν κακεῖνο εἰπεῖν· Ἑβραῖοί φασιν (ὡς ἐκ παραδόσεως δὲ πάλιν ὁ λόγος), ὅτι νικήσας τήν τε Ἰουδαίαν καὶ ἁπάσας δὲ τὰς ἄλλας χώρας ὁ Ναβουχοδονόσορ, καὶ ἀποκομίσας εἰς τὴν ἑαυτοῦ τοὺς τῶν ἐθνῶν ἡγουμένους, ἐποιεῖτο πότους κατὰ καιρούς. Εἶτα τοὺς ἁλόντας εἰσφέρων, καὶ περιέργως τόμασι καταμεθύσκων αὐτοὺς, ὀρχεῖσθαι παρεσκεύαζε. Σειομένοις δὲ, καὶ διαπίπτουσι, καὶ ἀπογυμνουμένοις ἔσθ' ὅτε τὰ κεκρυμμένα τοῦ σώματος μέρη δεικνύουσιν, ἐπιμειδῶν τρυφὴν ἐποιεῖτο τὸ χρῆμα, καὶ πρόφασιν εὐθυμίας. Ταῦτά φασιν ὠνομάσθαι εὐφυῶς σπήλαια. Ἔχει δέ πως καὶ τὸ εἰκὸς ὁ λόγος. Ἐκδεδώκασι γὰρ οἱ ἕτεροι τῶν ἑρμηνευτῶν ἀντὶ τῶν σπηλαίων, τὴν *γύμνωσιν*, ἵν' ᾖ τοιοῦτο τὸ λεγόμενον· Οὐαὶ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ ἀνατροπῇ θολερᾷ, καὶ μεθύσκων, ὅπως ἐπιβλέψῃ ἐπὶ τὴν γύμνωσιν αὐτοῦ!

Καὶ σὺ, καρδία, σαλεύθητι καὶ σείσθητι. Ἐκύκλωσέν ἐπὶ σὲ ποτήριον δεξιᾶς Κυρίου, καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου. Διότι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε, καὶ ταλαιπωρία θηρίων πτοήσει σε, δι' αἵματα ἀνθρώπων, καὶ ἀσεβείας γῆς, καὶ πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν

Λ'. Ἔνεστί πως ἀεὶ καὶ προσπεφυκὸς ὁρᾶται δεινῶς ταῖς ἀλαζόνων ψυχαῖς, καὶ τὸ πλείστην ὅσην εἰς νοῦν ἔχειν ἀναισθησίαν. Καὶ μέντοι πρὸς τῷδε τὸ οἴεσθαι κατὰ σφᾶς ἀκράδαντον ἕξειν τῆς εὐημερίας τὴν μέθεξιν, ἀποσείονταί τε ὥσπερ, καὶ σφόδρα γενικῶς, τὸ προσδοκᾶν ὅλως ἔσεσθαί ποτε τὴν ἐπὶ τὰ χείρω τῶν πραγμάτων μεταδρομήν. Ὁποῖόν ἐστι τὸ διὰ φωνῆς τοῦ Δαβὶδ ὡς ἐκ προσώπου λεγόμενον τῶν ἐν εὐπαθείαις ὄντων καὶ τρυφαῖς· « Ἐγὼ δὲ εἶπα ἐν τῇ εὐθηνείᾳ μου· Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. » Ἠρρωστηκότι δὴ οὖν ἐκ πολλῆς ἄγαν ὑπερηφίας τῷ Βαβυλωνίῳ, καὶ ἀναλγήτῳ μονονουχί, καὶ ἐπιπλήττει λοιπὸν ὡς ἀτέγκτῳ, λέγων· « Καὶ σὺ, καρδία, σείσθητι· » τουτέστι, μὴ ἐν ἀκλονήτοις εὐημερίαις ἐρηρεῖσθαι νομίσῃς, εἰσδέχου λοιπὸν τὰς περὶ τῶν λυπούντων, ἐν αἰσθήσει τῶν συμβησομένων γενοῦ, καὶ παραχώρει

Digitized by Google

τῇ πείρᾳ, καίτοι πρὸ[ς] αὐτῆς οὐδ' ὅσον εἰπεῖν κἂν γοῦν ἐν ψιλαῖς ἐπινοίαις ἀξιώσας ἐλεῖν, ὅτι γενήσῃ ποτὲ καὶ αὐτὸς ἐν σκυθρωποῖς, καὶ τοῖς ἀνιῶν οὐ μετρίως πεφυκόσιν ἡ σὴ περιπεσεῖται καρδία. Τί δὴ οὖν ἆρα τὸ σαλεῦον αὐτὴν, καὶ καταδονοῦν εἰς λύπας; « Ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον δεξιᾶς Κυρίου, καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου. » Ὥσπερ γὰρ αὐτὸς ἐπότιζες τὸν πλησίον ἀνατροπῇ θολερᾷ, τὸν αὐτὸν τρόπον τὰ ἐκ θείας ὀργῆς ἐπενεχθησόμενα πεπωκὼς, βδελυρὸς ἔσῃ παρὰ πᾶσι καὶ ἠτιμωμένος, οἰκτρός τε καὶ κατερριμμένος, καὶ τῆς ἀρχαίας ἐκείνης εὐκλείας ὁλοτρόπως ἠττώμενος. Δεξιὰν δὲ Κυρίου τὸ ποτήριον εἶναι λέγων ὁ μακάριος προφήτης, οἷαν ἀναπεῖθει φρονεῖν, ὡς οὐκ ἐνδέχοιτο μὴ πιεῖν αὐτὴ, Θεοῦ προσκομίζοντος. Ἔδει γὰρ πάντως ἀνατλῆναι τὰ ἐξ ὀργῆς. « Ἐὰν γὰρ κλείσῃ κατὰ ἀνθρώπου, τίς ἀνοίξει; » κατὰ τὸ γεγραμμένον· καὶ ᾗ φησιν ὁ προφήτης, « Τὴν χεῖρα τὴν ὑψηλὴν τίς ἀποστρέψει; » Ἀνθ' ὅτου δὲ δὴ τὰ τοιάδε συμβήσεται, διατρανοῖ, λέγων· « Ὅτι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε, καὶ ταλαιπωρία θηρίων πτοήσει σε. » Καὶ Λίβανος μὲν ὄρος ἐστὶ τῆς Φοινίκης, τῶν ὄτι μάλιστα διαφανεστάτων, εὐξυλόν τε καὶ εὐῶδες ὡς λιβανοφόρον, παρεικάζει δὲ αὐτὸν τὸν Ἰσραὴλ ἔσθ' ὅτε τὸ Γράμμα τὸ ἱερὸν, διά τοι τὸ πολλαῖς ἁγίαις ἐπισεμνύνεσθαι κεφαλαῖς, ὑψοῦ τε ἠρμέναις, καὶ φρονούσαις τὰ ἐν οὐρανοῖς, καὶ τῷ τῆς εὐσεβείας κάλλει περιβυθισμέναις. Τούτων διαμέμνηται καὶ ὁ μακάριος Δαβὶδ, οὕτω λέγων πρὸς Θεόν· « Αἱ κέδροι τοῦ Λιβάνου ἃς ἐφύτευσας, ἐκεῖ στρουθία ἐννοσσεύσουσι. » Κέδρου γὰρ δίκην τῶν ἁγίων ἕκαστος, καθάπερ ἔφην ἀρτίως, αἴρεται ὑψοῦ, τῷ μὴ φρονεῖν ἀνέχεσθαι τὰ κατερριμμένα, τουτέστι, τὰ ἐπὶ γῆς, καὶ οἷον σκέπη γίνεται τοῖς ἑτέροις, στρουθίων δίκην δεχόμενος τοὺς ὑπ' αὐτῷ μαθητεύεσθαι βουλομένους. Οὐκοῦν ἐπειδήπερ ἐκπεπόρθηκε μὲν ὁ Χαλδαῖος τὴν Ἱερουσαλὴμ, ἠσέβησε δὲ καὶ προσκέκρουκε τῷ Θεῷ, προσεμπρήσας τῇ πόλει τὸν θεῖον ναὸν, ἦλω δὲ καὶ αὐτὰ τὰ περίπυστα ἅγια, ταύτητοί φησι καλύψειν αὐτὸν τὴν ἀσέβειαν τὴν κατὰ Λιβάνου γεγενημένην. Λίβανον δὲ, ὡς ἔφη[ν], ἢ τὴν Ἰουδαίαν ἤγουν τὰ Ἱεροσόλυμα καλεῖ· οἰηθείη δ' ἄν τις καὶ αὐτὸν ἴσως τὸν νεὼν πολὺ τὸ εὔῶδες ἔχοντα, καὶ ταῖς τῶν ἱερέων καθάπερ τισὶ κέδροις κομῶντα κεφαλαῖς. Τίνα δὲ τρόπον αὐτὸν ἡ τοῦ Λιβάνου καλύψειν ἔμελλεν ἀσέβεια, παρέδειξε, προστιθείς· « Ὅτι ταλαιπωρία θηρίων πτοήσει σε. » Ἔοικε δὲ πάλιν ἀποκαλεῖν θῆρας τοὺς Κύρῳ συνωπλισμένους Πέρσας τε καὶ Μήδους, ὡς πολὺ τὸ ἀτίθασσον ἔχοντας, καὶ εἰς ὠμότητα τεθηγμένους. Ὅτι δὲ κολάζει Θεὸς οὐ μάτην, ἀλλ' οἷς ἂν τις δράσειε τὰς ἰσορρόπους ἐπάγει ποινὰς, ἀσεβείας τῆς πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν.

Ἀκούσεται δὲ καὶ τῶν Φαρισαίων ἕκαστος, οἳ καὶ τῆς τοῦ Χριστοῦ μιαιφονίας γεγόνασιν εὑρεταὶ, καὶ συνθέται· « Καὶ σὺ, καρδία, σαλεύθητι καὶ σείσθητι. Ἐκύκλωσε αὐτοὺς ποτήριον δεξιᾶς Κυρίου, συνήχθη δὲ καὶ ἀτιμία ἐπὶ τὴν δόξαν αὐτῶν. » Καταπεπώκασι

A cogitare tantummodo voluisti, te quoque aliquando conditione mœsta futurum, et cor tuum molestiis non mediocribus conflictaturum. Quid ergo est, quod illud agitat, et tristitia concutit? « Circumdedit te calix dexteræ Domini, et congregata est ignominia super gloriam tuam. » Sicut enim tu potasti proximum eversione turbida, eodem modo cum ab irato Deo: tibi infligenda biberis, exsecrationi et dispicatui eris apud omnes, miserabilisque et abjectus, et veteris illius gloriæ omnino exsors. Dexteræ autem Domini calicem esse dicens, beatus propheta vere cogitandum subjicit, non posse non bibi, cum ipsum Deus ingerat. Prorsus enim ab ira Dei irrogata perpeti necesse est. « Si enim clauserit contra hominem, quis aperiet? » ut

B scriptum est [90]: **545** et ut ait propheta: « Manum excelsam quis avertet [91]? » Quamobrem autem talia eventura sint, exponit: « Quia, inquit, impietas Libani operiet te, et miseria bestiarum terrebit te. » Ac Libanus quidem mons est Phœnices maxime conspicuus, arboribus frequens, et suavem odorem spirans, utpote thurifer, quem nonnunquam sacræ Litteræ Israeli comparant, quod multis sanctis capitibus in sublime tendentibus, et cœlestia cogitantibus, et pietatis pulchritudine undique coopertis gloriaretur. Horum et beatus David meminit, sic Deum alloquens: « Cedri Libani quas plantasti, illic passeres nidificabunt [92]. » Instar cedri namque sanctorum quilibet, ut modo

C dixi, sublime assurgit, dum humilia, hoc est, terrena sapere dedignatur, et velut tegumentum fit aliis, tanquam passeres suscipiens, qui ab eo eruditi desiderant. Quare postquam Chaldæus Hierosolymam vastavit, impie egit, et cum urbe templo quoque incenso, Deum offendit, et sancta ipsa celebrata diripuit [93], hac de causa impietatem in Libanum commissam ipsum operturam dicit. Libanum porro, uti monui, aut Judæam, aut Hierosolymam appellat; quin etiam, ut quis putaverit, ipsum templum suaveolentiæ plenum, et sacerdotum capitibus quasi quibusdam cedris comans ac refertum. Quonam autem modo impietas Libani ipsum opertura sit, enucleat, dum addit: « Miseria bestiarum

D terrebit te. » Videtur hic rursum nominare feras, Cyri exercitum, Persas et Medos, ut indomitos admodum, et ad sævitiam incitatos. Deum autem non temere punire, sed quæ quis commiserit, iis pares pœnas imponere ostendit, subjiciens: « Propter sanguines hominum, et impietates terræ, et urbis, et omnium habitantium eam. »

ἐδίδαξεν ἐπειπών· « Διὰ αἷματος ἀνθρώπων, καὶ ἀσεβείας τῆς πόλεως, καὶ πάντων τῶν κατοικούντων αὐτήν. »

Etiam quilibet Pharisæorum, qui necis Christi auctores et architecti fuerunt, audiet: « Et tu, cor, commovere et concutere. Circumdedit eos calix dexteræ Domini, et congregata est ignominia super gloriam eorum. » Iram siquidem Dei, quam

[90] Job XII, 14; Isa. XXII, 22. [91] Isa. XIV, 27. [92] Psal. CIII, 17. [93] Jerem. LII, 13 seqq.

Digitized by Google

senserunt, ut exitiabile poculum hauserunt, contemptique et ab omni gloria quam remotissimi evaserunt. Nam et hi adversus Libanum sese impios præstiterunt; quo nomine Ecclesiam revera fragrantem intelligas censeo, montem in conspectu omnium, et omnibus ubique gentium notissimum. Persecuti sunt autem Ecclesiam **546** post crucem Salvatoris. Proinde etiam territi sunt velut a bestiis, a quibus vastitatem pertulerunt; cumque multorum sanguinum essent rei, sanctorum prophetarum puta, illis nihilominus credentium in Christum sanguines adjecerunt, quorum primus fuit beatus Stephanus [94], qui se ut præclaras primitias exhibuit.

A γὰρ ὡς ὀλέθρου ποτήριον τὴν ἐπισυμβᾶσαν αὐτοῖς ὀργὴν, ἄτιμοί τε γεγόνασι, καὶ ἀπάσης εὐκλείας ὡς ἀπωτάτω. Ἠσέβησαν γὰρ καὶ οὗτοι κατὰ τοῦ Λιβάνου· Λίβανον δὲ νοήσεις τὴν Ἐκκλησίαν, τὴν ἀληθῶς εὐώδη, τὸ ὄρος τὸ διαφανὲς, καὶ τοῖς ἁπανταχοῦ γνωριμώτατον. Ἐδίωξαν δὲ τὴν Ἐκκλησίαν μετὰ τοῦ Σωτῆρος σταυρόν. Τοιγάρτοι καὶ κατεπτόηνται καθάπερ ὑπὸ θηρίων τῶν πεπορθηκότων αὐτοὺς, καὶ πολλοῖς αἵμασι γεγονότες ἔνοχοι τοῖς τῶν ἁγίων προφητῶν, προσέθηκαν τούτοις καὶ τὰ τῶν πεπιστευκότων εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὧν ἀπαρχὴ γέγονεν ὁ μακάριος Στέφανος, πρωτόλειον κόσμιον ὥσπερ τι καὶ ἀπαρχὴ δεδειγμένος.

VERS. 18. *Quid prodest sculptile, quod sculpserunt illud? Formavit illud conflatile, imaginationem falsam, quia confidit fictor in figmento suo, ut faciat idola muta.*

B *Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; Ἔπλασεν αὐτὸ χώνευμα, φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ, ποιῆσαι εἴδωλα κωφά.*

XXXI. Ordo verborum hic erit: « Quid enim prodest, inquit, sculptile, quia sculpserunt illud? » Quid vero juvat fictorem figmentum suum, quia confidit in eo? Quid sibi in his velit propheta, exponemus, quantum in nobis est. Ubi Cyrus et Medi Babylonium invaserunt, et bellum circumquaque fama divulgavit, magi deos commentitios auxilium urbi in periculum adductæ poscebant, sacrificiaque, et libamina sensus expertibus, tota salutis spe in ipsis collocata, offerebant. Sed erant nugæ illa, et ludibrium, deceptio, consilium futile, et præterea nihil. Capta enim et excisa est, quod C nunquam fore putaverat. Itaque universorum Deus perperam factorum commentationem, et spem in rebus inanimis repositam irridet. Quid enim prodest, inquit, sculptile, cum aliud nihil sit, nisi imago falsa, veritatis nihil habens? Divina enim virtus quomodo tandem, aut unde, humana manu fictis inesse credi possit? Vanum est igitur in ipsis confidere, et sine dubio res ridicula apud eos, qui virili et vigilanti sunt judicio. Existimat autem quispiam, aliter hæc verba posse declarari. Captis urbibus, et, ut breviter dicam, regionibus vastitudine deformatis, Babylonius impotenter, perfractis omnibus repagulis, spiritus sublimes concipit, induens superbiam, et Dei gloria miser caput suum D cingens, decernit statuam auream, id quod divinus Daniel propheta scriptum reliquit, quam a tribubus et linguis adorari jussit, recusantibus supplicio mortis proposito [95]. Quæ ergo hinc utilitas? dic, inquit. Qui enim si etiam Deum rebatur, nunc miseriis omnibus circumseptus, et in calamitates inexplicabiles devolutus est.

ΛΑ'. Ἡ μὲν οὖν θέσις τοῦ ῥητοῦ διὰ τοῦτον ἔσται τὸν τρόπον. « Τί γὰρ ὠφελεῖ, φησὶ, τὸ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτό; » Τί δὲ ὠφελεῖ ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ, ὅτι πέποιθεν ἐπ' αὐτῷ; Τίς δὲ δὴ πάλιν ὁ τοῦ προφήτου σκοπὸς, ἐροῦμεν ὡς ἔνι. Κύρου καὶ Μήδων κατὰ τῆς Βαβυλῶνος ἐμβεβληκότων, καὶ τοῦ πολέμου λοιπὸν περιηγγελμένου, οἱ μάγοι τοὺς ψευδωνύμους ἐκάλουν θεοὺς εἰς ἐπικουρίαν κινδυνευούσῃ τῇ πόλει, θυσίας τε καὶ σπονδὰς τοῖς ἀναισθήτοις προσῆγον, ὅλην ἐπ' αὐτοῖς τοῦ σώζεσθαι θέμενοι τὴν ἐλπίδα. Ἀλλ' ἦν ὕθλος ἐκεῖνα, καὶ φενακισμὸς, ἀπάτη, καὶ κενοβουλία, καὶ ἕτερον οὐδέν. Ἦλω γὰρ, καὶ πεπόρθηται, καὶ τοῦτο παθεῖν οὐκ οἰηθεῖσά ποτε. Διαγελᾷ τοιγαροῦν ὁ τῶν ὅλων θεὸς τῶν πεπλημμεληκότων τὴν σκέψιν, καὶ τὴν ἐπὶ τοῖς ἀψύχοις ἐλπίδα. Τί γὰρ ὠφελεῖ, φησὶ, τὸ γλυπτὸν, ἕτερον οὐδὲν ὑπάρχον ἢ φαντασία ψευδὴς, οὐδὲν ἔχουσα τὸ ἀληθές; Θεία γὰρ ὅλως δύναμις πῶς ἂν ἢ πόθεν εἶναι πιστεύοιτο τοῖς ἐξ ἀνθρωπίνων χειρῶν πεπλαστουργημένοις; Εἰκαῖον οὖν ἄρα τὸ ἐπ' αὐτοῖς πεποιθέναι, καὶ καταγέλαστον ἀληθῶς τὸ χρῆμά ἐστι παρά γε τοῖς ἐρρωμένην ἔχουσι τὴν φρένα καὶ διεγηγερμένην. Δοκεῖ δέ τις καὶ καθ' ἕτερον τὴν αὐτῶν προκειμένων δύναμιν ἀναπτύξαι. Ἁρπακὼς γὰρ τὰς πόλεις ὁ Βαβυλώνιος, καὶ πάσας, ὡς ἔπος εἰπεῖν, ἀναστήσας τὰς χώρας, ἀπανένευκεν ἀσχέτως εἰς τὸ ὑψοῦ καὶ ἀχάλινον· ἐνόσει λοιπὸν τὴν ὑπεροψίαν, καὶ τὴν τοῦ Θεοῦ δόξαν ὁ δείλαιος τῇ οἰκείᾳ περιτιθεὶς κεφαλῇ, γράφει μὲν εἰκόνα χρυσῆν, καθὰ καὶ ὁ θεσπέσιος προφήτης γέγραφε Δανιήλ· Εἶτα προσκυνεῖν ἐκέλευσεν αὐτῇ φυλάς τε καὶ γλώττας, καὶ τοῖς τοῦτο δρᾷν οὐκ ἀνεχομένοις θάνατος ἦν ἡ δίκη. Τί τοίνυν τὸ ἐντεῦθεν ὄφελος; εἰπὲ, φησί. Ὁ γὰρ οἰηθεὶς εἶναι καὶ Θεὸς, εἰς λῆξιν ἤδη ἐλήλακε τοῦ παντὸς κακοῦ, καὶ ταῖς ἐπέκεινα λόγου πέπτωκε συμφοραῖς.

547 VERS. 19, 20. *Væ qui dicit ligno: Evigila, surge; et lapidi: Elevare: et ipsum est imaginatio. Et hoc est productio auri et argenti, et omnis spiri-*

Οὐαὶ ὁ λέγων τῷ ξύλῳ· Ἔκνηψον, ἐξεγέρθητι καὶ τῷ λίθῳ· Ὑψώθητι! καὶ αὐτό ἐστι φαντασία. Τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου, καὶ

[94] Act. VI, VII. [95] Dan. III, 4 seqq.

Digitized by Google

ἀργυρίον, καὶ πᾶν πνεῦμα οὐκ ἔστιν ἐν αὐτῷ. Ὁ δὲ Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ. Εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

tus non est in eo. Dominus autem in templo sancto suo. Revereatur a facie ejus omnis terra.

ΛΒ'. Ἕπεται πάλιν, ὡς ἔφην ἀρτίως, τῶν προκειμένων ἡ δύναμις. Ταλανίζει γὰρ εἰκότως τοὺς πεπλανημένους, οἳ τὸν ἕνα τε καὶ φύσει ἀληθῶς καταλελοιπότες Θεὸν, καὶ τῆς εἰς αὐτὸν εὐλαβείας παρεκθέοντες τὴν ὁδὸν, ἔενται πρὸς ἀπώλειαν, ξύλῳ μὲν ἐπιφωνοῦντες· « Ἔκνηψον, ἐγέρθητι· » λίθῳ δὲ ἀβούλως· « Ὕψώθητι. » Ἔθος γὰρ τοῖς πεπλανημένοις, εἴ δή τις αὐτοὺς καταπτοήσειε φόβος, ἀνάπτειν βωμοὺς, ἀνοιγνύναι τεμένη, καὶ τοῖς ἀψύχοις εἰδώλοις ἐπιφωνεῖν· Ἐλεήσατε, σώσατε· ὑψώθητι καὶ σὺ, λίθε, προασπίζων, ὡς θεὸς, τῶν τὰ σὰ σεβόντων κράτη, καὶ σὲ προσκυνεῖν ἠρημένων. Οὐαὶ δὴ οὖν τοῖς τοιούτοις εἰκότως, τοῖς ἐκ χρυσοῦ καὶ ἀργύρου πεποιημένοις, τοῖς οὐκ ἔχουσι πνεῦμα προσκειμένοις, καὶ τὰς τοιαύτας λέγουσι φωνὰς, ἃς ἦν δήπου Θεῷ λέγειν ἄμεινον, τῷ κατοικοῦντι τὸν οὐρανὸν, καὶ ναὸν ἴδιον ἔχοντι τὴν ἄνω πόλιν. Ἅγιος γὰρ ἐν ἁγίοις κατοικεῖ, καὶ τοῖς σεβομένοις αὐτὸν ἐναυλίζεται. Χρήσιμον δέ τι καὶ ἀναγκαῖον ὁ προφήτης ἡμῖν ἐπιφθέγγεται τὸ, « Εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. » Προσκυνητέον γὰρ τοῖς γε ἀληθῶς ἀρτιφρονοῦσιν ἕνα τὸν φύσει καὶ ἀληθῆ Θεὸν, καὶ αὐτῷ τὸ σέβας ἀνάψει πᾶς σοφὸς, αὐτῷ προσοίσει τὰς ἱκετείας, παρ' αὐτῷ ζητήσει τὸ σώζεσθαι, αὐτὸν ὁμολογήσει δημιουργὸν, Δεσπότην τῶν ὅλων, Σωτῆρα καὶ Λυτρωτὴν, πανσθενῆ, πάναγνον, καὶ τὰς τῶν πραγμάτων μετασκευάζοντα φύσεις, ἐφ' ὅπερ ἂν ἕλοιτο κατὰ καιροὺς καὶ ἰδίοις νεύμασι τὸ πᾶν διιθύνοντα.

XXXII. Consequentem superiori explicationi sensum hæc verba continent. Errore enim circumventos merito deplorat, qui uno, et vere, et natura Deo relicto, atque a via cultus ac timoris ejus digressi, in perditionem præcipitent, ligno quidem acclamantes : « Expergiscere, exsurge ; » lapidi autem stulte : « Elevare. » Solent enim seducti, si quis eos timor consternaverit, tangere aras, aperire delubra, et idola anima carentia compellare : Miseremini, salvate : elevare et tu, lapis, tanquam deus, tuam potentiam venerantes, et adorare non detrectantes protege. Væ igitur jure talibus, qui ex auro et argento factis, spiritum non habentibus advoluti, ejusmodi voces promunt, quas utique præstaret Deo habitanti cœlum, et templum suum supernam civitatem habenti, promere. Sanctus enim in sanctis habitat, et a quibus colitur, eos incolit. Utile porro et necessarium quiddam propheta nobis occinit, videlicet, « Revereatur a facie ejus omnis terra. » Quibus enim sana mens, illi unum, natura et vere Deum adorandum censent, cui quivis sapiens cultum adhibebit, ei supplex erit, apud eum salutem quæret : ipsum opificem, omnium Dominum, Salvatorem et Redemptorem, fortissimum, purissimum, naturas rerum ut voluerit interdum immutantem, et nutibus suis universitatem hanc gubernantem confitebitur.

ΚΕΦΑΛ. Γ'.

Εἰς τὴν ᾠδὴν, ἐξήγησις τοῦ αὐτοῦ.

ΛΓ'. Διαπεράνας εὖ μάλα τὸν ἐν τῇ Βαβυλῶνι λόγον, καὶ ὅτι πικρὰς ἀποτίσουσι δίκας οἱ καταδηώσαντες μὲν τὴν ἁγίαν πόλιν, ἀποκομίσαντες δὲ τὸν Ἰσραὴλ αἰχμάλωτον διαρκέστατα προανεπεφωνηκὼς, εὐαφόρμως ἔρχεται πρὸς τὸ Χριστοῦ μυστήριον, καὶ ὡς ἐκ λυτρώσεως τῆς γεγενημένης ἐφ' ἑνὸς ἔθνους, καὶ μερικῶς, παρακομίζει τὸν λόγον εἰς τὴν κατὰ πάντων καὶ γενικωτάτην, ὑφ' ἧς σέσωσται μὲν τὸ κατάλειμμα τοῦ Ἰσραὴλ, σέσωσται δὲ οὐδὲν ἧττον ἡ σύμπασα γῆ. Κῦρος μὲν γὰρ ὁ Καμβύσου, τῆς αἰχμαλωσίας ἀνῆκε τὸν Ἰσραὴλ, τὴν ἀλαζόνα καὶ θεομισῆ βασιλείαν καθελὼν, φημὶ δὲ δὴ τὴν Χαλδαίων. Ἐξεικονισμὸς δὲ ἄρα καὶ ὑποτύπωσις ἦν τὸ δρώμενον τῶν διὰ Χριστοῦ κατωρθωμένων. Ὃς πᾶσαν ἀνθρωπότητα δορίληπτον ὥσπερ εὑρὼν, καὶ ὑπὸ χεῖρα πάμπονον τὴν τυραννικὴν (βεβασίλευκε γὰρ ἡμῶν διὰ τῆς ἁμαρτίας Σατανᾶς), ἀπέφηνε μὲν ἐλευθέρους δεσμῶν τε καὶ πόνων, καὶ αὐτῆς δὲ τῆς ἐκτόπου δουλείας ἀνεὶς, ἀνεκόμισεν ὥσπερ εἰς τὴν ἁγίαν πόλιν, τὴν ἐπουράνιον Ἱερουσαλήμ. Γεγόναμεν γὰρ, κατὰ τὸ γεγραμμένον, συμπολῖται τῶν ἀγγέλων, καὶ οἰκεῖοι τοῦ Θεοῦ, καὶ πατριάδην λοιπὸν ἀπεγραψά-

CAP. III.

Ejusdem, in canticum Habacuc.

XXXIII. Absoluta commodissime oratione de Babylone, et pœnas daturos sanctæ civitatis eversores, qui et Israelem captivum abduxerunt, sufficientissima prædictione demonstrato, opportune ad Christi mysterium transit, et ex liberatione in una gente, ac separatim facta, sermonem ad communissimam omnium liberationem accommodat, per quam salvatæ sunt reliquiæ Israel : salvatus nihilominus universus orbis. **548** Cyrus quippe, Cambysæ filius, arroganti, Deoque exoso Chaldæorum regno everso, Israelem manu misit. Adumbratio igitur et descriptio quædam erat, quod tum agebatur, eorum quæ per Christum eximie confecta sunt ; qui totum genus humanum quasi armis captum et sub imperio tyrannico vexatum (a Satana enim per peccatum oppressi tenebamur), cum invenisset, vinculis et ærumnis absolvit, et ipsa servitute indigna exemptos, velut in sanctam civitatem Jerusalem cœlestem reduxit. Evasimus enim, ut scriptum est [96], cives angelorum, et domestici Dei, et cœlum nobis jam patriam esse professi sumus. Obstupefactus itaque propheta mysterii virtute,

[96] Ephes. II, 19.

Digitized by Google

et ineffabile, ac divinam Unigeniti œconomiam adventus cum carne vehementer admirans, preces concipit, in forma cantus, omnino secundum illud a Davide dictum : « Lingua mea meditabitur justitiam tuam, tota die laudem tuam [97]. »

μεθα τὸν οὐρανόν. Κατατεθηπὼς δὴ οὖν ὁ προφήτης τοῦ μυστηρίου τὴν δύναμιν, καὶ τὴν ἄφραστόν τε καὶ θεοπρεπῆ τῆς μετὰ σαρκὸς ἐπιδημίας τοῦ Μονογενοῦς οἰκονομίαν ὑπεραγάμενος, ποιεῖται τὴν προσευχήν, καὶ ἐν ᾠδῆς τρόπῳ, κατ' ἐκεῖνό που πάντως τὸ διὰ φωνῆς τοῦ Δαβίδ· « Ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου. »

VERS. 1. *Domine, audivi auditionem tuam, et timui ; consideravi opera tua, et obstupui.*

XXXIV. Intelligi potest sermo, si placuerit, vel ad ipsum universorum Patrem et Deum converti, ut qui revelet Filium, et auditionem de ipso per Spiritum manifestet : vel etiam, et jure, ad ipsum Verbum incarnatum. Quod si quis dicat ad Patrem verba fieri, fortasse talem quemdam sensum complectentur. O universorum Domine, inquit, imperitam revelationem, sive auditionem de progenie tua, obstupui : est enim tremenda, et supra quam explicari queat præclara narratio, et modus œconomiæ extra omnem legem. Quod si cordis oculo tuorum operum virtutem subtiliter intuear, res nisi merus stupor et admiratio est. Sin autem verba ad Filium spectent, nihilominus eodem ad hunc fere modum accedemus. O Domine, qui regis omnia, tametsi caro factus es [98], ut suscepi auditionem, sive auditum et revelationem de te, in timorem incidi ; et rei magnitudine mirifice ac merito, obstupefactus sum. Intelligo enim, quod cum forma, et omnibus Patri per omnia æqualis sis, te ipsum sponte ac volens ad exinanitionem demittes [99], nostrique similis homo fies ex muliere [1], et formam servi accipere non dedignabere [2], et qui est Deus nobiscum, tuum tibi Patrem vindicabis. Eris item « obediens **549** usque ad mortem, mortem autem crucis [3]. » — « Audivi igitur auditionem tuam et timui : consideravi opera tua, et expavi. » Evangelizasti cæcis apertionem visus, prædicasti captivis remissionem [4], sanasti contritos corde, convertisti quod aberraverat, alligasti quod contritum erat [5], lux factus es his qui sedebant in tenebris [6], janua et via ad vitam, et sanctificationem [7] ; factus es pax, conjungens per fidem in unum populum eos qui ex circumcisione, et eos qui ex gentibus [8] ; factus es lapis angularis electus, pretiosus [9]. Recuperasti mundum Deo Patri, expiasti a peccatis, quique ex infirmitate capti fuerant, de manu diabolica eruisti [10] ; gratia adoptionis filiorum illustrati sunt servi [11], homo de terra natus, cœlesti civitate donatus est [12]. Inprimis autem et hoc auditu dignum reor : Qui omnes vivificas, nobiscum carnis mortem sustinuisti. Verumtamen factus es primogenitus ex mortuis, et primitiæ dormientium, et primitiæ humanæ naturæ, in incorruptionem restitutæ [13]. Revixisti enim, ut Deus, et sæva atque inexpugnabili bellua, hoc est, morte, conculcata,

Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα ἔργα σου, καὶ ἐξέστην.

ΛΔ'. Νοοῖτ' ἂν ὁ λόγος καὶ πρὸς αὐτὸν, εἴπερ ἕλοιτό τις, τὸν τῶν ὅλων Πατέρα καὶ Θεὸν, ὡς ἀποκαλύπτοντα τὸν Υἱὸν, ἀκοήν τε τὴν περὶ αὐτοῦ διατρανοῦντα διὰ τοῦ Πνεύματος· ἢ καὶ πρὸς αὐτὸν εἰκότως τὸν ἐνανθρωπήσαντα Λόγον. Καὶ εἰ μέν τις λέγοι πρὸς τὸν Πατέρα γενέσθαι, τυχὸν τοιόνδε τι συνήσομεν. Ὦ τῶν ὅλων Δέσποτα, φησὶ, τὴν ἀθρόαν ἀποκάλυψιν, ἤγουν ἀκοὴν, τὴν περὶ τοῦ σοῦ γεννήματος κατατέθηπά τοι· φρικτὰ γάρ ἐστι καὶ πέρα λόγου τὰ διηγήματα, καὶ τῆς οἰκονομίας ὁ τρόπος παντὸς ἂν εἴη λοιπὸν ἐπέκεινα νόμου. Εἰ δὲ δεῖ, λεπτὸν ἐνιεὶς τῆς καρδίας τὸν ὀφθαλμὸν, τὴν τῶν σῶν ἔργων καταθρήσαιμι δύναμιν, ἔκστασις ἔσται τὸ χρῆμα, καὶ ἕτερον οὐδέν. Βλέποντος δὲ τοῦ λόγου πρὸς τὸν Υἱὸν, οὐδὲν ἧττον προσβαλοῦμεν κατὰ τοιόνδε τινὰ τρόπον. Ὦ Κύριε, καὶ κατάρχων τῶν ὅλων, κἂν εἰ γέγονας σὰρξ, ὡς τὴν περὶ σοῦ δεξάμενος ἀκοὴν, ἤγουν ἄκουσμα, καὶ ἀποκάλυψιν, εἰς δέος ἐμπέπτωκα, καταπέπληγμαι δὲ, καὶ σφόδρα εἰκότως, τὴν τοῦ πράγματος ὑπερβολήν. Μανθάνω γὰρ, ὅτι ἐν μορφῇ καὶ ἰσότητι τῇ κατὰ πᾶν ὁτιοῦν ὑπάρχων τῷ γεγεννηκότι, σαυτὸν μὲν καθήσεις εἰς ἑκούσιον κένωσιν, γενήσῃ καθ' ἡμᾶς ἄνθρωπος ἐκ γυναικὸς, καὶ τὴν τῆς δουλείας ἀνατλήσεις μορφὴν, καὶ Θεὸν μεθ' ἡμῶν, ἐπιγράψῃ τὸν σεαυτοῦ Πατέρα. « Ὑπήκοος » δὲ γενήσῃ, « καὶ μέχρι θανάτου, θανάτου δὲ σταυροῦ. — Εἰσακήκοα τοίνυν τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. » Εὐηγγελίσω γὰρ τυφλοῖς ἀνάβλεψιν, ἐκήρυξας αἰχμαλώτοις ἄφεσιν, ἰάσω τοὺς συντετριμμένους τὴν καρδίαν, ἐπέστρεψας τὸ πλανώμενον, κατέδησας τὸ συντετριμμένον, φῶς γέγονας τοῖς ἐν σκότει, θύρα καὶ ὁδὸς εἰς ζωὴν καὶ ἁγιασμὸν, γέγονας εἰρήνη, συνείρων διὰ τῆς πίστεως εἰς ἕνα λαὸν τούς τε ἐκ περιτομῆς, καὶ μέντοι τοὺς ἐξ ἐθνῶν· γέγονας λίθος ἀκρογωνιαῖος, ἐκλεκτὸς, ἔντιμος. Κατεκτήσω τὴν οἰκουμένην τῷ Θεῷ καὶ Πατρὶ, ἠλευθέρωσας ἁμαρτιῶν τοὺς ἐξ ἀσθενείας ἐαλωκότας, ἐξεῖλου χειρὸς διαβολικῆς, τῇ τῆς υἱοθεσίας χάριτι κατελαμπρύνθη τὸ δοῦλον, οὐρανοῦ πολίτης ὁ ἐκ γῆς γέγονεν ἄνθρωπος. Ἀξιάκουστον δὲ πρὸς τούτοις κἀκεῖνο, οἶμαί που. Ὁ γὰρ πάντας ζωογονῶν, ὑπομεμένηκας μεθ' ἡμῶν τὸν τῆς σαρκὸς θάνατον. Πλὴν γέγονας πρωτότοκος ἐκ νεκρῶν, καὶ ἀπαρχὴ τῶν κεκοιμημένων, καὶ πρωτόλειον ἀνθρωπότητος, ἀνακομισθεῖσης εἰς ἀφθαρσίαν. Ἀνεβίως γὰρ ὡς Θεὸς, τὸ σκληρὸν καὶ

[97] Psal. XXXIV, 28. [98] Joan. I, 14. [99] Philip. II, 6-9. [1] Galat. IV, 4. [2] Philip. II, 7. [3] Philip. II, 8. [4] Isa. LXI, 1, 2; Luc IV, 18, 19. [5] Psal. CXLVI, 3. [6] Isa. IX, 2; Luc. I, 79. [7] Isa. XLV, 1. [8] Ephes. II, 14 18. [9] Isa. XXVIII, 16; Matth. XXI, 42. [10] I Joan. III, 8. [11] Ephes. I, 5; Coloss. I, 13. [12] I Cor XV, 47-49. [13] Ibid. passim.

Digitized by Google

δυσάντητον πατήσας θηρίον, τουτέστι, τὸν θάνατον, παρέλυσας τῆς ἀρχαίας ἀρᾶς ἐκείνης τὴν δύναμιν. Πέπαυται δὲ ἐν σοί τε καὶ διὰ σοῦ τὸ, « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ, » καθ' ἡμῶν εἰρημένον.

Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ.

ΛΕ'. Κατὰ διαφόρους τρόπους ἑρμηνεύεται τοῦτό τισι. Καὶ ὁ μὲν ἔφη, δύο κεκλῆσθαι ζῶα, τὸ Πνεῦμα καὶ τὸν Υἱόν, ὧν καὶ ἐν μέσῳ γινώσκεσθαι τὸν Θεὸν καὶ Πατέρα. Ἀμαθὲς δὲ, οἶμαι, τὸ τῇδε νοεῖν, καὶ πολὺ τὸ εὔηθες ἔχει. Τίς γὰρ ὁ φάναι τολμῶν, ὅτι *ζῶόν* ἐστιν ἡ ζωὴ, τουτέστι, τὸν Υἱόν, ἢ τὸ Πνεῦμα τὸ ἅγιον; Ζωὴ γὰρ μᾶλλον τὸ ζωοποιοῦν, ζῶον δὲ δὴ τὸ παρ' ἑτέρου μετέχον ζωῆς. Ἄτοπον δὲ καὶ ἑτέρως μέσον ὥσπερ ἀμφοῖν νοεῖσθαι τὸν Πατέρα, ὃς καὶ πρῶτος ὀνομάζεται, κατά γε τὴν σύνταξιν τῆς ὁμολογίας τῆς ἁγίας τε καὶ ὁμοουσίου Τριάδος. Καὶ οὐ δή ποτέ φαμεν, ὡς προτεταγμένος κατὰ τὴν κλίσιν τοῦ τε Υἱοῦ καὶ τοῦ Πνεύματος, προϋφέστηκεν αὐτῶν. Λῆρος γὰρ τοῦτο καὶ ψευδοέπεια. Διακείμεθα δὲ μᾶλλον καὶ πεπιστεύκαμεν, ὅτι συναΐδιον ἔχει τὸν Λόγον, καὶ ἦν, ὅ ἐστιν, οὐ δίχα τοῦ ἰδίου Πνεύματος. Ἀλλ' ἅμα τε Θεὸς νοεῖται ὁ Πατὴρ, καὶ συνεισέβηκεν εὐθὺς ἡ ὕπαρξις τοῦ δι' ὃν ἐστι Πατὴρ, καὶ αὐτὸ δὲ τὸ θεῖον αὐτοῦ καὶ ἅγιον Πνεῦμα. Ἐπειδὴ δὲ πηγή τίς ἐστιν ὥσπερ ἰδίου γεννήματος, οἰκονομικῶς προωνόμασται. Πῶς οὖν ἔσται μέσος Υἱοῦ καὶ Πνεύματος, ἐννοεῖν οὐκ ἔχω. Ἀλλ' ἴσως ἐροῦσι, κατὰ τὸ εἰκὸς, ὡς ἐν τόπῳ χρῆναι νοεῖσθαι τὸ μέσον. Ἀλλὰ καὶ τοῦτο ἄτοπον. Οὐ γὰρ ἐν τόπῳ τὸ Θεῖον, ὅτι μήτε ἐν ποσῷ, μήτε μὴν κατὰ σῶμά ἐστιν. Ἕτεροι δὲ αὖ δύο ζωὰς εἰρήκασι, τήν τε Νέαν καὶ τὴν Παλαιὰν Διαθήκην, ὧν ἐν μέσῳ γινώσκεται Χριστός. Ἐν δὲ τοῖς τοιούτοις θεωρήμασιν ὁδὸν ἴτω τις, ἣν ἂν βούλοιτο καθ' ἑαυτόν. Ἡμεῖς δὲ ἅπαξ τὸν λόγον εἰς τὸ Χριστοῦ πρόσωπον περιτρέποντες, νομικὴν ποιησόμεθα τὴν τῶν νοημάτων ἀφήγησιν. Γέγονε τοίνυν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἱλαστήριον διὰ τῆς πίστεως· ἐδόκει γὰρ ὧδε φρονεῖν τε καὶ λέγειν καὶ τῷ θεσπεσίῳ Παύλῳ. Ἀπηλλάγμεθα γὰρ δι' αὐτοῦ παντὸς ἐγκλήματος, ἱλεώ τε καὶ εὐάντητον ἐσχήκαμεν τὸν Πατέρα. Καὶ μαρτυρήσει λέγων ὁ σοφὸς Ἰωάννης· « Τεκνία, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε. Καὶ ἐάν τις δὲ ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς τὸν Πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Οὐ περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. » Ἐπειδὴ δὲ ἦσαν τύποι τῶν ἐσομένων κατὰ ἀλήθειαν τὰ πάλαι δι' αἰνιγμάτων τυπούμενα, ῥέρε τι λέγωμεν τῶν ἐν τῇ ἁγίᾳ σκηνῇ γεγονότων, παρὰ τοῦ Πατρὸς ἱλαστήριον δεικνύοντες τὸν Υἱόν. Προστέταχε τοίνυν ὁ τῶν ὅλων Θεὸς κιβωτὸν γενέσθαι, καὶ λυχνίαν, καὶ μέντοι καὶ τράπεζαν ἐν τῇ ἁγίᾳ σκηνῇ. Εἶτα πρὸς τούτοις ἱλαστήριον ἐκ χρυσοῦ, καὶ πορφύρας, ἢ βύσσου κεκλωσμένης καὶ κοκκίνου διανενησμένου, καὶ τοῦτο ἐπὶ τεσσάρων αἰρόμενον στύλων, ἐπεκρέματο τῇ ἁγίᾳ κιβωτῷ. Εἶτα δύο Χε-

A veteris illius maledicti efficientiam dissolvisti [14]. Et in te, ac per te illud contra nos prolatum, cessavit : « Terra es, et in terram reverteris [15]. »

Vers. 2. *In medio duorum animalium cognosceris.*

XXXV. Diversa ratione quidam hæc interpretantur. Et alius quidem dixit, duo animalia vocari Spiritum et Filium, et in medio eorum cognosci Deum et Patrem. Quam ego interpretationem imperitam et deliram statuo. Quis enim dicere audeat ζῶον *animal* esse ζωὴν *vitam*, hoc est, Filium aut Spiritum sanctum? Potius etenim vita est, quod vivificat : animal autem quod ab alio vitam accipit. Aliter quoque absurdum est Patrem velut medium B amborum intelligere, qui juxta ordinem confessionis sanctæ et consubstantialis Trinitatis primus nominatur. Nec ullo modo dicimus, Filio et Spiritui secundum appellationem præponi propterea, quod ante eos exstiterit. Hoc enim esset nugari, et mentiri. Quin potius sentimus, et credimus, eum habere Verbum cœternum, et esse, quod est, non sine Spiritu proprio. Sed simul Deus intelligitur Pater, simul statim subit animum subsistentia illius, per quem est Pater, et ipse divinus ac sanctus ejus Spiritus. Quoniam autem quasi fons quidam est ejus, quod genuit, prudenti ratione prius nominatur. **550** Quomodo igitur inter Filium, et Spiritum medius sit, dispicere nequeo. Sed fortasse, ut verisimile est, respondebunt, medium ut C in loco intelligendum. Sed hoc quoque ineptum est. Divinitas enim loco non continetur, nec enim quanta, aut corporata est. Rursum alii duas vitas esse dixerunt Novum et Vetus Testamentum, in quarum medio Christus cognoscitur. In hujusmodi sententiis, quam quisque viam sibi elegerit, jam ambulet. Nos semel sermonem ad Christi personam convertentes, sensum juxta legem enarrabimus. Factus est igitur Dominus noster Jesus Christus propitiatio per fidem : ita enim sentire et dicere divino Paulo visum est [16]. Per ipsum enim liberati ab omni peccato, propitium et accessu facilem nacti sumus Patrem. Testatur istud sapiens Joannes, dicens : « Filioli, hæc scribo vobis, ut non peccetis. Sed et D si quis peccaverit, advocatum habemus apud Patrem Jesum Christum justum, et ipse est propitiatio pro peccatis nostris. Non pro nostris autem tantum, sed et totius mundi [17]. » Quoniam autem vetera illa typi revera, et figura futurorum, in ænigmatis expressa exstiterunt : age dicamus quædam quæ fiebant in sancto tabernaculo a Patre, et ex propitiatorio Filium Dei significatum demonstremus. Jussit igitur universorum Dominus arcam fieri, et candelabrum, et mensam in sancto tabernaculo. Ad hæc propitiatorium ex auro, et purpura, et bysso retorta, et cocco perneto, quod sublatum super columnas quatuor, ante sacram arcam pen-

[14] Galat. III, 13. [15] Gen. III, 19. [16] Hebr. II, 17; III, 14. [17] I Joan. II, 1, 2.

Digitized by Google

debat. Postea duos cherubim ad dexteram et sinistram aureos, facies sibi obvertentes super propitiatorio constituit [18]. Res involuta est, et mysterium rei in Christo perpetratum continet. Verbum enim caro factum est [19], quamvis sit Deus, et Dominus omnium, ut ex Deo, et Patre omnium exsistens, ut ex Deo et Patre naturaliter apparens. Sed quamvis factum sit caro, et constitutum a Patre propitiatorium, non abjecit tamen quod erat, hoc est, deitatem, sed etiam sic potestatem, et gloriam Deo convenientem habet, et nihilominus eum supernæ virtutes circumstant, præscripta sibi officia peragentes. Idcirco cherubim propitiatorium tegunt, et ipsum assiduissime intuentur. Solent enim supernæ virtutes, ut sanctæ et purissimæ, divina sine intermissione contemplari, et Deum intueri, et quæ ipsi placita acceptaque sunt, ad ea se commodare semper. **551** Cognosceris igitur, inquit, o Domine, quis eris, nostrum similis factus : nempe propitiatorium, ut ex paradigmate seu exemplari in sancto tabernaculo perspicue cognosceris. Stas enim in medio duorum animalium, hoc est, cherubim, et nomen tibi, propitiatorium, et verus est sermo. Nam, ut ipse Christus ait, « Non misit Pater Filium in mundum, ut judicet mundum, sed ut salvetur mundus per ipsum [20]. »

ρουβὶμ εἰς δέξιόν τε καὶ εὐώνυμον ἐκ χρυσοῦ πεποιημένα περιεστήκει τὸ ἱλαστήριον, τὰ πρόσωπα πρὸς αὐτὸ συντείνοντα. Αἴνιγμα δὲ τὸ χρῆμα πᾶν, μυστήριον τοῦ κατὰ Χριστόν. Γέγονε μὲν γὰρ ὁ Λόγος σὰρξ, καίτοι Θεὸς καὶ Κύριος τῶν ὅλων ὑπάρχων, ὡς ἐκ Θεοῦ καὶ Πατρὸς πεφηνὼς κατὰ φύσιν. Ἀλλ' εἰ καὶ γέγονε σὰρξ, καὶ τέθειται παρὰ τοῦ Πατρὸς ἱλαστήριον, οὐκ ἀποβέβληκεν ὅπερ ἦν, τουτέστι, τὸ εἶναι Θεός· ἀλλ' ἔστι καὶ οὕτως ἐν ἐξουσίᾳ καὶ δόξῃ τῇ θεοπρεπεῖ, καὶ πάλιν αὐτὸν περιεστᾶσιν αἱ ἄνω δυνάμεις, τὰς αὐταῖς συντεταγμένας ἀποπεραίνουσαι λειτουργίας. Ταύτῃ τὰ Χερουβὶμ περιεστᾶσι τὸ ἱλαστήριον, καὶ πρὸς αὐτὸ βλέπουσι διαπαντός. Ἔθος γὰρ ταῖς ἄνω δυνάμεσιν, ἁγίαις οὔσαις καὶ πανάγνοις, ἀεὶ κατασκέπτεσθαι τὰ τοῦ Θεοῦ, καὶ εἰς αὐτὸν βλέπειν, καὶ εἰς τὰ αὐτῷ δοκοῦντα καὶ φίλα τετράφθαι διαπαντός. Γνωσθήσῃ δὴ οὖν, φησὶν, ὦ Δέσποτα, τίς ἔσῃ, καθ' ἡμᾶς γεγονώς· ὅτι γὰρ ἱλαστήριον, ὡς ἐκ παραδείγματος τῶν ἐν τῇ ἁγίᾳ σκηνῇ γνωσθήσῃ σαφῶς. Ἔστηκας γὰρ ἐν μέσῳ δύο ζώων, τουτέστι, τῶν Χερουβὶμ, καὶ ὄνομά σοι, τὸ Ἱλαστήριον, καὶ ἀληθὴς ὁ λόγος. Ὡς γὰρ αὐτός φησιν ὁ Χριστὸς, « Οὐκ ἀπέστειλεν ὁ Πατὴρ τὸν Υἱὸν εἰς τὸν κόσμον, ἵνα κρίνῃ τὸν κόσμον· ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. »

Cum appropinquaverint anni, cognosceris. Cum aderit tempus, demonstraberis.

Ἐν τῷ ἐγγίζειν τὰ ἔτη, ἐπιγνωσθήσῃ. Ἐν τῷ παρεῖναι τὸν καιρὸν, ἀναδειχθήσῃ.

XXXVI. Mysterium Christi lex vaticinata est : quin etiam sanctorum prophetarum chorus ante promulgavit. Sacri autem doctores, quæ tempore adventus, seu præsentiæ ejus acciderunt, et rite gesta sunt, cum olim de ipso prædictis fructuose conferentes, multis modis nos in fide in ipsum corroborant : et videmus sæpenumero eosdem inde sensus et cogitationes suas confirmare. Quale est illud apud evangelistas : « Ejecit Dominus noster Jesus Christus e templo vendentes oves et boves, et mensas nummulariorum evertit. Et cum fecisset quasi flagellum de funiculis, » omnes exturbavit, dicens : « Nolite facere domum Patris mei domum negotiationis. » Quid postea? « Recordati sunt, inquit, discipuli ejus, quia scriptum esset de eo : Zelus domus tuæ comedit me [21]. » Cum Joseph aliquando suspicaretur desponsam sibi virginem imminutam esse, velletque clam dimittere, « Apparuit ei angelus Domini in somnis, dicens : Joseph, fili David, noli timere accipere Mariam conjugem tuam. Quod enim in ea natum est, de Spiritu sancto est. Pariet autem filium, et vocabis nomen ejus Jesum : ipse enim salvum faciet populum suum a peccatis eorum [22]. » Mox oraculum sanctum huic rei certissimam fidem conciliat. Sequitur enim in hæc verba : « Hoc autem totum factum est, ut impleretur quod dictum est per Isaiam prophetam dicentem : Ecce virgo concipiet, et pariet filium, et vocabitur nomen

ΛϚ'. Κεχρησμῴδηκε μὲν ὁ νόμος τὸ Χριστοῦ μυστήριον· καὶ μὴν καὶ ὁ τῶν ἁγίων προφητῶν προανεκεκράγει χορός. Συμβάλλοντες δὲ χρησίμως τοῖς πάλαι περὶ αὐτοῦ γεγραμμένοις τὰ ἐν καιρῷ τῆς ἐπιδημίας συμβεβηκότα τε καὶ κεκατορθωμένα, ποικίλως βεβαιοτέρους ἡμᾶς εἰς τὴν ἐπ' αὐτῷ πίστιν καθιστᾶσιν οἱ μυσταγωγοὶ, καὶ αὐτοὺς δὲ πλειστάκις εὑρήσομεν τὸν οἰκεῖον ἐντεῦθεν ἐμποδοῦντας νοῦν. Ὁποῖόν ἐστιν ἐκεῖνο τὸ διὰ φωνῆς εὐαγγελιστῶν· Ἐκβέβληκε μὲν γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς « ἐκ τοῦ ἱεροῦ τοὺς πωλοῦντας πρόβατα καὶ τοὺς βόας, καὶ τὰς τραπέζας ἀνέτρεψε τῶν κολ[λ]υβιστῶν. Καὶ ποιήσας ὡσεὶ φραγγέλιον ἐκ σχοινίων, « πάντας ἐξέβαλε, λέγων· Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. » Καὶ τί τὸ ἐντεῦθεν; « Ἐμνήσθησαν, φησὶν, οἱ μαθηταὶ αὐτοῦ, ὅτι ἦν γεγραμμένον· Ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με. » Οἰηθέντι δέ ποτε τῷ Ἰωσὴφ τὴν μνηστευθεῖσαν αὐτῷ διεφθάρθαι παρθένον, ἐθέλοντί τε λάθρα ἀπολῦσαι αὐτὴν, « Ὤφθη, φησὶν, ἄγγελος Κυρίου κατ' ὄναρ, λέγων· Ἰωσὴφ, υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν, ἐκ Πνεύματός ἐστιν ἁγίου. Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτοῦ. » Εἶτα λόγιον ἱερὸν παρεκόμιζε πρὸς πληροφορίαν. Ἔφη γὰρ πάλιν ὠδί· « Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγον-

[18] Exod. xxv, 10 seqq. [19] Joan. I, 14. [20] Joan. III, 17. [21] Joan. II, 14-17. [22] Matth. I, 20, 21.

Digitized by Google

τος· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. » Εὑρήσομεν δὲ καὶ αὐτὸν Ἐμμανουὴλ ἐκ τῶν τοῖς προφήταις προηγγελμένων τὴν ἐφ' ἑαυτῷ κρατύνοντα πίστιν, ἀξιοῦντά τε δι' αὐτῶν ἤδη τῶν πραγμάτων ἐπιγινώσκεσθαι, καὶ τοῖς ἤδη προειρημένοις τὴν τῶν ἀποτελεσμάτων συμφέροντας ἔκβασιν, ἐνδοιάζειν οὐδαμῶς ὡς αὐτὸς εἴη λοιπὸν, ὁ διὰ νόμου καὶ προφητῶν προκεκηρυγμένος. Ἦκον μὲν γὰρ πρὸς αὐτόν τινες τῶν Ἰωάννου μαθητῶν, φιλοπευστοῦντες, καὶ λέγοντες· « Ἰωάννης ὁ Βαπτιστὴς ἀπέστειλεν ἡμᾶς, λέγων· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; » Ὁ δὲ, καίτοι λέγειν ἐξόν· Ἐγὼ, οὐχ ἕτερος· ἐπὶ τὴν ἀρχαίαν αὐτοὺς ἀναπείθει προάγγελσιν ἀναφοιτῆσαι, λέγων· « Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε, καὶ βλέπετε. Τυφλοὶ ἀναβλέπουσι, χωλοὶ περιπατοῦσι, λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, καὶ νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται, καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. » Ἀληθὲς οὖν ὅτι, καθά φησι ὁ προφήτης, « Ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, » καὶ ὅτι κατὰ καιροὺς, τοὺς πάλαι προωρισμένους ὡς ἐν θελήσει τε καὶ βουλῇ τοῦ Θεοῦ καὶ Πατρὸς, ἀνεδείχθη Χριστός. Ἐν ἐσχάτοις γὰρ τοῦ αἰῶνος καιροῖς ἐπέφανεν ἡμῖν, ἐπεγνώσθη τε καὶ ὡμολόγηται, καθάπερ ἀμέλει καὶ πρό γε τῶν ἄλλων ὁ Ναθαναὴλ ἀνέκραγε λέγων· « Ῥαββὶ, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. » Ἐπεγνώσθη οὖν ἐν τῷ ἐγγίζειν τὰ ἔτη, τουτέστιν, ὡς ἐν καιρῷ τῆς ἐνσάρκου οἰκονομίας. Ἐπεγνώσθη παρά τε ἁγίων καὶ γὰρ τὸ ἐν μέσῳ δύο ζώων ἱλαστήριον, ὡς ἐν Χριστόν.

A ejus Emmanuel [23]. » Inveniemus quoque ipsum Emmanuelem ex prophetarum prædictionibus fidem in se constabilire, et postulantem, jam rebus ipsis cognosci, et cum prænuntiatis rerum gestarum eventum conferendo, dubitationem omnem tolli de cætero, quin ipse sit, quem lex et prophetæ prænuntiaverint. Veniebant enim **552** ad eum quidam Joannis discipuli, sciscitantes curiosius in hunc modum : « Joannes Baptista misit nos, dicens : Tu es qui venturus es, an alium exspectamus? » Ille vero tametsi liceret respondere : Ego sum, et non alius, veterem eos prædictionem hortatur audire, dicens : « Euntes renuntiate Joanni quæ auditis et videtis. Cæci vident, claudi ambulant, leprosi mundantur, surdi audiunt, et mortui resurgunt, et pauperes evan-
B gelizantur, et beatus qui non fuerit scandalizatus in me [24]. » Verum est igitur quod ait propheta : « Cum appropinquaverint anni, cognosceris, » et secundum tempora olim voluntate et consilio Dei et Patris definita manifestatum esse Christum. Ultimis enim sæculi temporibus apparuit nobis, et cognitus et multorum confessione indicatus est : quemadmodum scilicet et ante alios Nathanael exclamavit his verbis : « Rabbi, tu es Filius Dei, tu es rex Israel [25]. » Cognitus est igitur cum appropinquarent anni, hoc est, tempore œconomiæ in carne. Cognitus est a sanctis, et jam nunc a toto orbe. Cognovimus in medio duorum animalium propitiatorium, ut in legalibus ænigmatis præfiguratum, hoc est, Christum. ἁπάσης ἤδη λοιπὸν τῆς ὑπ' οὐρανόν. Ἐγνώκαμεν αἰνίγμασι νομικοῖς προανατυπούμενον, τουτέστι,

Ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου, ἐν ὀργῇ C *ἐλέους μνησθήσῃ.*

Cum conturbata fuerit anima mea, in ira misericordiæ recordaberis.

ΛΖ'. Προσκέκρουκεν ἡ ἀνθρώπου φύσις τῷ Δημιουργῷ διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, ὃς ὀλίγου παντελῶς ἠξίωσε λόγου τὴν δοθεῖσαν ἐντολήν. Τοιγάρτοι καὶ τεταράγμεθα, καὶ διολώλαμεν, ἁρᾷ καὶ δίκῃ περιπεσόντες οἱ δείλαιοι· καὶ θανάτῳ κεκρατήμεθα, παρωργισθέντος Θεοῦ. Ἦκουε γὰρ ὁ πρωπάτωρ Ἀδὰμ, ὡς ῥίζα τοῦ γένους· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· » Πλὴν οὐ μέχρι παντὸς περιεῖδεν ἡμᾶς ὁ Δημιουργὸς, ἀλλὰ κατηλέησεν ὡς Θεός. Εἰ γὰρ καὶ κατέπιεν ὁ θάνατος ἰσχύσας κατὰ τὴν τοῦ προφήτου φωνὴν, ἀλλὰ « πάλιν ἀφεῖλεν ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου. » Τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς. Κατήργηται μὲν γὰρ ἐν Χριστῷ τοῦ θανάτου τὸ κράτος, ἀνῃρημένης τῆς
D ἁμαρτίας, ἐφ' ᾗ καὶ ὠνειδίσμεθα. « Κύριος γὰρ ἐμνήσθη ἡμῶν, καὶ ἠλέησεν ἡμᾶς, » καθὰ καὶ ὁ θεσπέσιος ἀναμέλπει Δαβίδ. Ἀνεκόμισε γὰρ ἡμᾶς εἰς ἀφθαρσίαν καὶ ζωὴν, καίτοι τεταραγμένους, καθάπερ ἔφην ἀρτίως, ἀπό γε τῆς θείας ὀργῆς, ὡς ἐν ἐκλείψει γενέσθαι τοῦ πνεύματος, τουτέστιν, ἐν ἀποθέσει τε καὶ ἀποβολῇ τῆς ψυχῆς· πράττεται γὰρ οὕτως ἐν ἡμῖν ὁ θάνατος. Ὅτι δὲ καταδεδικάσμεθα μὲν τῷ θανάτῳ προσκεκρουκότες Θεῷ, σεσώσμεθα

XXXVII. Natura humana propter transgressionem Adami, qui datum sibi mandatum minimi duxit, opificem læsit. Proinde irascente Deo et conturbati sumus, et periimus, et in maledictum ac pœnas incidimus miseri, et subjugati a morte fuimus. Audivit enim primus parens Adam, tanquam radix generis nostri : « Terra es, et in terram redibis [26]. » Verumtamen non in perpetuum despexit nos conditor : sed ut Deus, nostri misericordia captus est. Quanquam enim mors potentia sua, juxta vocem prophetæ, nos absorbuit, tamen « abstulit rursum Deus omnem lacrymam ab omni facie [27]. » Probrum populi sui abstulit de tota terra. Evacuatum est enim in Christo mortis imperium, sublato peccato, cujus causa in opprobrio eramus. « Dominus enim memor fuit nostri, et misertus est nostri : » sicut et divinus David canit [28]. In incorruptionem siquidem, et in vitam nos restituit, quamvis conturbatos, ut dixi modo, ab ira divina, ut defeceremus spiritu, hoc est, ut animam deponeremus, et abjiceremus ; sic enim mors in nobis efficitur. Damnatos autem ad mortem postquam **553** Deum offendimus, et iterum misericordiam et salutem consecutos, fidem facit beatus

[23] Matth. I, 22, 23. [24] Luc. VII, 20-23. [25] Joan. I, 49. [26] Gen. III, 19. [27] Isa. XXV, 8. [28] Psal. CXIII, 12.

Digitized by Google

David, cum universorum Deum sic affatur : « Avertente te faciem tuam turbabuntur, et in pulverem suum revertentur. Emittes spiritum tuum, et creabuntur, et renovabis faciem terræ [29]. » Aversionem enim propter Adami transgressionem perpessi, in pulverem, unde et facti eramus, reversi sumus [30]. Ast ubi rursus in Christo, et per Christum Spiritum divinum abunde possedimus, naturæ ejus consortes facti, secundum Scripturas [31], denuo ad id quod erat in principio reformati et innovati, et salvati sumus : quod et Paulus scribit : « Omnia in Christo nova creatura, » et, « Vetera præterierunt, facta sunt autem omnia nova [32]. » Ergo conturbati sumus, ab initio divinæ iræ animadversionem sustinentes. Postquam autem appropinquantibus annis cognitus, et juxta tempora olim statuta manifestatus est Christus, de cætero misericordiæ recordatus est. Justificati sumus « non ex operibus legis, secundum Scripturas : neque ex operibus justitiæ quæ fecimus nos : sed secundum magnam misericordiam ipsius [33]. »

VERS. 3. *Deus a Thæman veniet, et sanctus de monte Pharan umbroso condenso.*

XXXVIII. Dupliciter hæc verba intelliguntur, de quibus pro modulo nostro dicemus. Thæman redditur auster. Vergit autem ad austrum penitus solitudo, in qua et mons Choreb fertur esse, ubi Moses Deo Israelitis certas agendorum leges præscribenti astitit [34]. Quare alteram verbis propositis sententiam aptantes, illud dicimus : « Veniet, inquit, Deus ex Thæman, ex monte Pharan, sive Choreb : » Hoc est, qui quondam in solitudine maxime australi, in monte Choreb patribus in specie ignis visus est, ipse qui olim locutus est legem, veniet et in carne apparebit nostrum similis, et ut propheta, ac mediator : sicut nimirum divinus quoque Moses, qui audivit a Deo : « Prophetam suscitabo de fratribus ipsorum sicut te, et ponam verba mea in ore ejus, et loquar ipsis secundum omnia, quæcunque mandavero ei [35]. » Sin quis hæc verba aliter enodare voluerit, is erit hic modus. Thæman, ut dixi, intimam solitudinem australem appellabant. Aiunt igitur in oris Judææ australibus plane interioribus sitam esse Bethlehem. Itaque « Deus ex Thæman veniet, » hoc **554** est, ex Bethlehem, quæ austrum respicit. Naturalis enim, et verus Deus, unigenitum Dei Patris Verbum, nostra natura assumpta, ex muliere in Bethlehem primogenitus est. Quia vero divina Scriptura interdum insignioribus montibus Judæorum Synagogam, sive populum, comparare consuevit, quod plurimis longeque celeberrimis viris quasi arboribus densa videatur, idcirco et nunc cum monte Pharan illam componit, dicens, e monte umbroso et condenso venturum. Umbrosum autem et condensum montem nominat propter patres, e quibus

δὲ πάλιν ἠλεημένοι, πιστώσεται λέγων ὁ μακάριος Δαβὶδ πρὸς τὸν τῶν ὅλων Θεόν· « Ἀποστρέψαντός σου τὸ πρόσωπον, ταραχθήσονται, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Πεπονθότες μὲν γὰρ τὴν ἀποστροφὴν, διὰ τὴν ἐν Ἀδὰμ παράβασιν, ὑπεστρέψαμεν εἰς τὸν χοῦν, ἐξ οὗ καὶ γεγόναμεν. Ἐπειδὴ δὲ πάλιν ἐν Χριστῷ καὶ διὰ Χριστοῦ τὸ θεῖον πεπλουτήκαμεν Πνεῦμα, τῆς αὐτοῦ φύσεως γεγονότες μέτοχοι, κατὰ τὰς Γραφὰς, ἀνεστοιχειώμεθα πρὸς τὸ ἐν ἀρχῇ, κεκαινουργήμεθα, καὶ σεσώσμεθα· καὶ γάρ ἐστιν ἀληθὲς, ὃ καὶ αὐτὸς ἡμῖν ὁ θεῖος γέγραφε Παῦλος, ὅτι « Πάντα τὰ ἐν Χριστῷ καινὴ κτίσις· » καὶ, « Τὰ ἀρχαῖα παρῆλθε, γέγονε δὲ τὰ πάντα καινά. » Οὐκοῦν τεταράγμεθα μὲν, ἐξ ἀρχῆς τὰ ἐκ τῆς θείας ἀνατλάντες ὀργῆς. Ἐπειδὴ δὲ ἐγγιζόντων τῶν ἐτῶν ἐπεγνώσθη Χριστὸς, ἀνεδείχθη δὲ κατὰ τοὺς πάλαι προωρισμένους καιροὺς, ἐμνήσθη λοιπὸν ἐλέους. Δεδικαιώμεθα γὰρ « οὐκ ἐξ ἔργων νόμου, κατὰ τὰς Γραφὰς, ἀλλ' οὐδὲ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος. »

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους [ς] Φαρὰν κατασκίου δασέως.

ΛΗ'. Διττὴν ἔχει θεωρίαν τῶν προλεγομένων ὁ νοῦς, καὶ δὴ ἐροῦμεν τὰ ἐπ' αὐτοῖς ὡς ἔνι. Ἑρμηνεύεται δὲ Θαιμὰν ὁ νότος. Ἔστι δὲ νοτιωτάτη λίαν ἡ ἔρημος, οὗ καὶ ὁ Χωρὴβ ὄρος εἶναι λέγεται, ἔνθα παρέστησεν ὁ Μωσῆς τῷ Θεῷ τοῖς ἐξ Ἰσραὴλ τῶν πρακτέων τοὺς ὁριστὰς ὁρίζοντι νόμους. Οὐκοῦν μὲν τοῖς προκειμένοις ἐφαρμόζοντες ἔννοιαν, ἐκεῖνό φαμεν· « Ἥξει, φησὶν, ὁ Θεὸς ἐκ Θαιμὰν, ἐξ ὄρους Φαρὰν, ἤτοι Χωρήβ, » τουτέστιν, ὁ πάλαι κατὰ τὴν νοτιωτάτην ἔρημον ἐν τῷ ὄρει Χωρὴβ ὀφθεὶς τοῖς πατράσιν ἐν εἴδει πυρὸς, αὐτὸς ὁ πάλαι λαλήσας τὸν νόμον, ἥξει, καὶ μετὰ σαρκὸς ὀφθήσεται καθ' ἡμᾶς, ἐν τάξει προφήτου, καὶ μεσίτου ὄντος· καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Μωσῆς, πρὸς ὃν εἴρηται παρὰ Θεοῦ· « Προφήτην ἀναστήσω ἐκ τῶν ἀδελφῶν αὐτῶν ὥσπερ σὲ, καὶ θήσω τοὺς λόγους μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς κατὰ πάντα ὅσα ἂν ἐντείλωμαι αὐτῷ. » Εἰ δὲ δὴ βούλοιτό τις τοῖς γεγραμμένοις προσβαλεῖν καθ' ἕτερον τρόπον, ἔστι δ' οὗτος· Θαιμὰν, ὡς ἔφην, τὴν νοτιωτάτην ἔρημον ἀπεκάλουν. Φασὶ τοιγαροῦν ἐν τοῖς ὅτι μάλιστα νοτιωτάτοις τῆς Ἰουδαίας μέρεσι κεῖσθαι τὴν Βηθλεέμ. Οὐκοῦν, « Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει, » τουτέστιν, ἐκ Βηθλεὲμ τῆς πρὸς νότον. Ὁ γὰρ φύσει τε καὶ ἀληθῶς Θεὸς ὁ μονογενὴς τοῦ Πατρὸς Λόγος καθ' ἡμᾶς γεγονὼς, γεγένηται διὰ γυναικὸς ἐκ Βηθλεέμ. Ἐπειδὴ δὲ ἔθος τῇ θείᾳ Γραφῇ, τοῖς τῶν ὀρέων περιφανεστέροις ἔσθ' ὅτε τὴν τῶν Ἰουδαίων παρεικάζειν συναγωγὴν, διά τοι τὸ πλείστοις τε καὶ ὅσοι, εὐκλεεστάτοις ἀνδράσιν ὁρᾶσθαι κατάκομον, ταύτῃ τε καὶ νῦν τῷ ὄρει Φαρὰν ἐξομοιοῖ, λέγων, ὡς ἐξ ὄρους κατασκίου δασέος. Κατάσκιον δὲ καὶ δασὺ τὸ ὄρος

[29] Psal. CIII, 29, 30. [30] Gen. III, 19. [31] II Petr. I, 4. [32] II Cor. V, 17. [33] Rom. III, 20; Tit. III, 5. [34] Exod. 24, 1 seqq. [35] Deut. XVIII, 18.

Digitized by Google

φησὶ διὰ τοὺς πατέρας, ἐξ ὧν γεγενῆσθαι λέγεται κατὰ σάρκα Χριστός. Ἔσται γοῦν ἀκοῦσαι σαφῶς τοῦ μὲν μακαρίου Λουκᾶ τὸν τῆς γενεαλογίας ἐκλογισμὸν ἀναφέροντος ἐξ Ἰωσὴφ ἐπὶ τὸν Ἀδάμ· Ματθαίου γε μὴν ἐκ Δαβὶδ τε καὶ Ἀβραὰμ κατακομίζοντος πάλιν στοιχηδὸν, ὡς ἔφην, ἐπὶ τὸν Ἰωσήφ. Ὄρος οὖν δασὺ καὶ κατάσκιον ἡ Συναγωγὴ, πολλοὺς ἐνεγκοῦσα κατὰ καιροὺς τοὺς ἐξ ὧν ἀνέφυ Χριστός. Ὅτι γάρ ἐστιν ἐξ Ἰουδαίων, πῶς ἔστιν ἀμφιβαλεῖν; Γεγένηται γὰρ ἐξ αἵματος Ἀβραὰμ καὶ Δαβὶδ, κατά γε τὴν σάρκα, φημὶ, καὶ αὐτὸς δέ πού φησι περὶ αὐτοῦ· « Ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. »

A Christus secundum carnem prognatus dicitur. Licebit igitur audire beatum Lucam, genealogiam ejus percensendo a Joseph ad Adam perspicue referentem [36] : Matthæum vero a Davide et Abraham ordine, ut dixi, ad Joseph usque deducentem [37]. Mons ergo condensus et umbrosus Synagoga est, quæ diversis temporibus multos tulit, ex quibus propagatus est Christus. Ex Judæis enim natum quis dubitet? Genitus est enim ex sanguine Abraham et David, secundum carnem, inquam; quin ipse quodam loco de semet affirmat : « Quia salus ex Judæis est [38]. »

Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

Operuit cœlos virtus ejus, et laudis ejus plena est terra.

ΛΘ'. Γέγονε μὲν ἱλαστήριον διὰ πίστεως τοῖς ἐπὶ γῆς ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ὅτε πέφυκε καθ' ἡμᾶς, καὶ ἐν δούλου μορφῇ, τουτέστιν, ἄνθρωπος. Ἔδοξέ πως ταύτης ἕνεκα τῆς αἰτίας καὶ αὐτῶν μειονεκτεῖσθαι τῶν ἁγίων ἀγγέλων, καὶ τῆς ἐκείνων εὐκλείας ἴέναι κατόπιν. Ἀλλ' ἦν ἀνωτάτω πάλιν ὡς Θεός. Καὶ πιστώσεται λέγων ὁ σοφώτατος Παῦλος· « Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. » Ἐπειδὴ γὰρ « γέγονεν ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ, » ταύτῃ, καθὼς γέγραφε πάλιν ὁ αὐτὸς, « ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. » Ἀληθεύσει δὴ οὖν ὁ προφήτης λέγων· « Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. » Οἱ μὲν γὰρ τὴν ἁγίαν οἰκοῦντες πόλιν, καὶ ταῖς ἄνω μοναῖς διαιτώμενοι, « πάντες εἰσὶ πνεύματα λειτουργικὰ, εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν. » Ὁ δὲ τοῖς τῆς θεότητος ἐνίδρυται θώκοις. Καὶ οὐδενὶ μὲν ἐκείνων εἴρηται παρὰ Θεοῦ καὶ Πατρός· « Υἱός μου εἶ σύ· » τὸν δὲ καὶ Υἱὸν ὁμολογεῖ καὶ ἀγαπητὸν ὀνομάζει, καὶ σύνεδρον ἔχει συννυμνούμενόν τε καὶ συμπροσκυνούμενον. Ἔφη γὰρ πάλιν ὁ θεσπέσιος Παῦλος περὶ αὐτοῦ· « Ὅταν δὲ εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. » Οὐκοῦν κἂν εἰ γέγονε ἱλαστήριον κατηγμένος εἰς ἀνθρωπότητα δι' ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν, οὐδὲν ἧττόν ἐστι Θεὸς, καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν, ὁρατὴν δὲ λέγω καὶ ἀόρατον. « Καλύπτει γὰρ οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ· ἔσται δὲ πλήρης καὶ ἡ γῆ τῆς αἰνέσεως αὐτοῦ. » Τοῦτο καὶ αὐτὰ διακέχραγεν ἐναργῶς τὰ Σεραφὶμ τὰ ἅγια, τὸν θεῖον αὐτοῦ περιεστῶτα θρόνον, καὶ ταῖς εὐφημίαις ὡς Κύριον Σαβαὼθ, καὶ τῶν ὅλων Θεὸν εὖ μάλα καταγεραίροντα. Πλήρη γὰρ ἔφασκον τόν τε οὐρανὸν καὶ τὴν γῆν τῆς αἰνέσεως αὐτοῦ. Εἰ δὲ δή βούλοιτό τις ἐκεῖνο λέγειν,

B XXXIX. Unigenitus Dei Verbum factum est quidem propitiatorium per fidem in terra degentibus [39], quando nostrum simile, et in forma servi [40], hoc est, homo natum est. Quam ob causam etiam sanctis angelis quodammodo inferius [41], et iis gloria posterius visum est. Sed rursum, quatenus Deus, erat sublimissimum. Fidem astruet Paulus sapientissimus : « Eum autem, inquit, qui modico quam angeli minoratus est, videmus Jesum propter passionem mortis gloria et honore coronatum [42]. » Quoniam vero « factus est obediens usque ad mortem, mortem autem crucis, » sicut idem alicubi scripsit, « Deus ipsum exaltavit et donavit ei nomen quod est super omne nomen, ut in nomine Jesu omne genu flectatur, cœlestium, terrestrium et infernorum, et omnis lingua confiteatur, quia Dominus Jesus Christus C est in gloria Dei Patris [43]. » Verus igitur erit propheta dum dicit : « Operuit cœlos virtus ejus, et laudis ejus plena est terra. » Qui enim sanctam civitatem habitant, et in supernis mansionibus degunt, « Omnes sunt administratorii spiritus, missi in ministerium propter eos qui hæreditatem capient salutis [44]. » Ille vero in solio deitatis collocatus est. **555** Et nulli eorum a Deo et Patre dictum est : « Filius meus es tu [45], » cum hunc et Filium confiteatur, et dilectum vocet [46], et assessorem habeat, qui cum eo collaudatur et adoratur. Et rursum de eodem divinus Paulus : « Cum autem introducit primogenitum in orbem terrarum, dicit : Et adorent eum omnes angeli D ejus [47]. » Quocirca, etsi factus est propitiatorium, cum ad humanam naturam propter nos et pro nobis induendam descendit, nihilominus est Deus, et omni creaturæ quæque videtur, inquam, quæque non videtur, imperat. « Operuit enim cœlos virtus ejus, et plena est terra laudis ejus. » Hoc quoque et ipsa sancta seraphim divinum ejus thronum circumstantia, et honorificis acclamationibus, ut Dominum Sabaoth et universorum Deum, merito ac jure venerantia manifeste proclamarunt. Ipsius enim laudibus plenos esse cœlos et terram dicebant. Quod si cui placuerit illud dicere, magnam et supereminen-

[36] Luc. III, 23-38. [37] Matth. I, 1-16. [38] Joan. IV, 22. [39] I Joan. II, 2. [40] Philipp. II, 7. [41] Hebr. II, 9 ; Psal. VIII, 7. [42] ibid. [43] Philipp. II, 8, 9. [44] Hebr. I, 14. [45] Psal. II, 7 ; Hebr. I, 5. [46] Matth. XVII, 5. [47] Hebr. I, 6 ; Psal. XCVI, 8.

Digitized by Google

tem esse virtutem Christi, ut etiam ipsos cœlos operiat, si in magnitudine definita concipiatur, probabiliter sentiet. Ait siquidem alicubi beatus David : « Domine, misericordia tua in cœlo, et veritas tua usque ad nubes [48] : » quibus verbis bonitatis celsitudinem et veritatis excellentiam, ut in magnitudine corporis et loci, demonstravit.

VERS. 4. *Et splendor ejus ut lux erit.*

XL. Propitiatorium per fidem, hoc est Christum, affuturum ut illuminet sedentes in tenebris, etiam a sanctis prophetis clarere queat. Quorum unus dicebat : « Regio Zabulon, terra Nephthalim, et reliqui, maritimam habitantes, Galilæa gentium, populus sedens in tenebris vidit lucem magnam [49]. » Alius : « Illuminare, illuminare, Jerusalem, quia venit lumen tuum, et gloria Domini super te orta est [50]. » Testatus est ipse Deus Pater his verbis : « Propter Sion non tacebo, et propter Jerusalem non quiescam, donec egrediatur sicut lumen justitia mea, et salutare meum ut lampas accendetur [51]. » Justitia enim Dei, et salutare Christus, « Qui factus est nobis sapientia a Deo, justitiaque et sanctificatio, et redemptio, » secundum Scripturas [52]. Quamobrem, velut in tenebris ambulantibus, lampas nobis manifestus est Christus, per institutionem evangelicam ab illa veteri caligine nos liberans, quam in mentibus nostris diffundens omnium inimicus, neque natura et verum Deum intueri, neque pietatis et vitæ semitam considerare patiebatur. **556** Splendor igitur, a Christo nobis ostensus, ut lux erit, hoc est, non obscurus neque exilis, sicuti nimirum per Mosen. In ænigmatis quippe et umbris lex tota versabatur, sed ut lux pura, nullique caligini permista, atque in mentem et cor ingrediens, et intellectuali fulgore in nos coruscans, et præcognitionis radium in nos introducens.

Cornua in manibus ejus.

XLI. Cornua in Scripturis a Deo inspiratis semper aut regni et potentiæ, aut superbiæ notionem habent, quod ipse beatus David docet : « Dixi iniquis : Nolite inique agere, et delinquentibus : Nolite exaltare cornu. Nolite extollere in altum cornu vestrum, et nolite loqui adversus Deum iniquitatem [53]. » Quidam enim superbas vanitates loquentes, juxta Scripturam [54], iniquitatem contra Deum loquuntur, dogmatum de ipso sinceritatem adulterantes, aut alio quocunque modo gravi contumelia afficientes. Significat autem virtutem, seu potentiam, vocabulum cornu, cum dicitur de Deo et Patre, qui nobis Filium exhibuit : « Erexit cornu salutis nobis [55] : » et rursum : « Cornu ejus exaltabitur in gloria [56]. » Gloriosa sunt enim omnia quæ in virtute et potestate Christi admirabiliter et insigniter patrata sunt. Venit itaque Unigenitus, nostri gerens similitudinem [57] : et quod ad carnem naturamque humanam attinet,

A ὅτι μεγάλη καὶ ὑπερτελὴς ἡ ἀρετὴ τοῦ Χριστοῦ, ὡς καὶ αὐτοὺς καλύψαι τοὺς οὐρανούς, εἰ ἐν μεγέθει νοοῖτο τῷ μετρητῷ, πιθανὸν εἰσδέξεται νοῦν. Ἔφη γάρ που ὁ μακάριος Δαβίδ· « Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν, » τὸ τῆς χρηστότητος ἐπηρμένον, καὶ τῆς ἀληθείας τὴν ὑπεροχὴν ὡς ἐν ποσότητι τῇ κατὰ σῶμα καὶ κατὰ τόπους σημαίνων.

Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται.

Μ'. Ὅτι φωτιῶν ἀφίκηται τοὺς ἐν σκότει τὸ διὰ πίστεως ἱλαστήριον, τουτέστι, Χριστός, σαφὲς ἂν γένοιτο καὶ διὰ φωνῆς τῶν ἁγίων προφητῶν. Ὁ μὲν γὰρ ἔφασκε· « Χώρα Ζαβουλὼν, καὶ γῆ Νεφθαλείμ, καὶ οἱ λοιποὶ, οἱ τὴν παραλίαν κατοικοῦντες Γαλιλαίαν τῶν ἐθνῶν, ὁ λαὸς ὁ καθήμενος ἐν σκότει, εἶδε φῶς μέγα. » Ὁ δέ· « Φωτίζου, Ἱερουσαλήμ· ἦκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. » Μεμαρτύρηκε δὲ καὶ αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ, οὕτω λέγων· « Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, τὸ δὲ σωτήριόν μου ὡς λαμπὰς καυθήσεται. » Δικαιοσύνη γὰρ καὶ σωτήριον αὐτοῦ, ὁ Χριστὸς, « Ὃς ἐγενήθη μὲν ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις, » κατὰ τὰς Γραφάς. Οὐκοῦν οἵπερ ἐν σκότει βαδίζουσι, λαμπὰς ἡμῖν ἀνεδείχθη ὁ Χριστὸς, διὰ παιδεύσεως εὐαγγελικῆς, τῆς ἀρχαίας ἐκείνης ἀπαλλάττων ἀχλύος, ἣν ταῖς ἡμετέραις διανοίαις ἐνιεὶς ὁ πάντων ἐχθρὸς, καταθρεῖν οὐκ ἠφίει τὸν φύσει τε καὶ ἀληθῶς ὄντα Θεὸν, οὔτε μὴν τὴν τῆς εὐσεβείας καὶ ζωῆς κατασκέπτεσθαι τρίβον. Τὸ τοίνυν φέγγος, ὅπερ ἡμῖν ἔδειξεν ὁ Χριστὸς, ὡς φῶς ἔσται, τουτέστιν, οὐκ ἀμυδρὸν, οὐδὲ οἷον ἀσθενὲς, καθάπερ ἀμέλει διὰ Μωσέως (ἐν αἰνίγμασι γὰρ καὶ σκιαῖς ὁ νόμος), ἀλλ' ὡς φῶς καθαρὸν, καὶ ἀμιγὲς ἀχλύῃ, καὶ εἰς νοῦν καὶ καρδίαν εἰσδυόμενον, καὶ τὴν νοητὴν ἡμῖν ἐναστράπτον αὐγὴν, καὶ τὴν τῆς ἀκιβδήλου γνώσεως ἐνοικίζον ἀκτῖνα.

Κέρατα ἐν χερσὶν αὐτοῦ.

ΜΑ'. Τὸ κέρας ἀεὶ λαμβάνεται παρὰ ταῖς θεοπνεύστοις Γραφαῖς ἢ εἰς βασιλείαν καὶ δύναμιν, ἤγουν ὑπεροψίαν, καὶ διδάσκει αὐτὸς ὁ μακάριος Δαβίδ, λέγων· « Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε· καὶ τοῖς ἁμαρτάνουσι· Μὴ ὑψοῦτε κέρας. Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, καὶ μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν. » Ὑπέρογκα γὰρ ματαιότητος φθεγγόμενοί τινες, κατὰ τὸ γεγραμμένον, ἀδικίαν κατὰ Θεοῦ λαλοῦσι, τῶν περὶ αὐτοῦ δογμάτων παρασημαίνοντες τὴν ὀρθότητα, ἢ καθ' ἕτερον ὁντινοῦν περιυβρίζοντες τρόπον. Δυνάμεως δὲ σημαντικὸν τὸ κέρας, ὅταν λέγηται περὶ τοῦ Θεοῦ καὶ Πατρὸς, προσαναδείξαντος ἡμῖν τὸν Υἱόν· « Ἤγειρε κέρας σωτηρίας ἡμῖν. » Καὶ πάλιν· « Τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. » Ἐν εὐκλείᾳ γὰρ πάντα τὰ ἐν δυνάμει Χριστοῦ παραδόξως κατωρθωμένα. Ἀφῖκται δὴ οὖν ὁ Μονογενὴς ἐν εἴδει μὲν τῷ καθ' ἡμᾶς, καὶ ὅσον εἰς σάρκα καὶ ἀνθρωπότητα, τῆς ἐν ἡμῖν ἀσθενείας ὑπομένων

[48] Psal. XXXV, 6. [49] Isa. IX, 1, 2. [50] Isa. LX, 1. [51] Isa. LXII, 1. [52] I Cor. I, 30. [53] Psal. LXXIV, 5, 6. [54] Psal. CXLIII, 8. [55] Luc. I, 69. [56] Psal. CXI, 9. [57] Philipp. II, 7.

Digitized by Google

τὴν δόκησιν, πλὴν ἐν χερσὶν ὡς Θεὸς ἔχων πάντα τὰ κέρατα, τουτέστι, πάσας τὰς βασιλείας, κατὰ πᾶσαν δύναμιν τῶν ἀντικειμένων ἐνεργειῶν. Τὸ δὲ, ἐν χερσὶν, ὅταν λέγωμεν, τὸ ἐν ἐξουσίᾳ λέγομεν. Καὶ γοῦν πρὸς Θεὸν δεδιδάγμεθα λέγειν ἐν προσευχαῖς· « Ἐν ταῖς χερσί σου οἱ κλῆροί μου. » Ὅτι δὲ ὑπενήνεκται τῷ Χριστῷ πᾶσα δύναμις διαβολικὴ, καὶ τὰ καλούμενα κέρατα, τουτέστιν, αἱ κατὰ πόλεις τε καὶ χώρας τῶν ἀκαθάρτων πνευμάτων τυραννίδες (διεμοιρήσαντο γὰρ τὴν σύμπασαν γῆν), πῶς ἂν ἐνδοιάσειέ τις; Τὰ μὲν γὰρ ἐπ' ἐξουσίας τῶν ἀνθρώπων ἐξήλαυνε, τὰ δὲ προσῄεσαν, καὶ παρεκάλουν αὐτὸν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Γέγραπται γὰρ οὕτως παρὰ τοῖς ἁγίοις εὐαγγελισταῖς. Ὅτι δὲ τῆς καθ' ἡμῶν τυραννίδος καὶ αὐτὸν ἀπεσόβησε τὸν τῶν ἀκαθάρτων πνευμάτων ἐπιστάτην, τουτέστι τὸν Σατανᾶν, ἀκονιτὶ καταθρήσομεν, αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου· καὶ ὁ ἄρχων ἐκβληθήσεται ἔξω. Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντα ἑλκύσω πρὸς ἐμαυτόν. » Οὐκοῦν καὶ εἰ γέγονεν ἄνθρωπος, ἀλλ' οὖν ἐν χερσὶ, τουτέστιν, ἐν ἐξουσίᾳ τὰς τῶν ἀντικειμένων δυνάμεων ἔχει τυραννίδας, ἤτοι βασιλείας, ἤγουν καὶ δυνάμεις. Εἰ δὲ δὴ βούλοιτό τις ἐκεῖνο νοεῖν ἀπεριεργώτερον, ὡς ἐν χερσὶν ἔχει κέρατα Χριστὸς, τουτέστιν, ἄμαχόν τε καὶ ἀκαταγώνιστον τὴν ἰσχὺν, καὶ οὓς ἂν ἕλοιτο τῶν ἐχθρῶν κερατίζουσαν εὐκόλως, καὶ καταδῃοῦσαν εὐχερῶς, καὶ οἷον μόχθου δίκην ἀφορήτως ἐπιθρώσκουσαν, συνήσει πάλιν ὀρθῶς.

A infirmitatis nostræ opinionem habens, verum ut Deus, habens in manu omnia cornua, hoc est, universa regna, secundum omnem virtutem operationum adversariarum. Cum autem dicimus, in manibus, in potestate dicemus. Quare in precibus docti sumus Deo dicere : « In manibus tuis sortes meæ [60]. » Subjectam autem Christo omnem virtutem diabolicam, et quæ vocantur cornua, puta, per urbes et regiones immundorum spirituum tyrannides (totam enim terram diviserant), dubitandum est nemini. Alios enim cum potestate ex hominibus expulit : alii accedentes eum orabant ne juberet eos in abyssum abire [61]. Sic enim apud sacros evangelistas legimus. Quod autem tyrannide quæ nos opprimebat ipsum quoque immundorum spirituum præsidem, nempe B Satanam, depulerit, clare perspicere licet ex verbis Christi : « Nunc judicium est mundi hujus : princeps mundi ejicietur foras. Et ego si exaltatus fuero a terra, omnia traham ad me ipsum [62]. » Quapropter, etsi homo factus est, tamen in manibus, **557** hoc est, in potestate habet contrariarum virtutum tyrannides, sive regna, sive vires etiam. Qui porro simplicius ita locum vult intelligere, Christum habere in manibus cornua, hoc est, inexpugnabili et invicto robore præditum esse, et quos libuerit inimicos eo facile tanquam cornu petere ac ferire, levique momento labefactare, et instar tauri intolerabili impetu irruere, etiam recte intelliget.

Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. C

Vers. 5. *Et posuit dilectionem robustam fortitudinis suæ.*

ΜΒ'. Δύο ταῦτα κατορθώσων ἀφίκετο Χριστὸς, καθελεῖν μὲν τοὺς δι' ἐναντίας, οἳ πᾶσαν ἐπλάνησαν τὴν ὑπ' οὐρανὸν, ἀπεκόμισάν τε τοῦ κτίσαντος Θεοῦ τὴν αὐτῷ καὶ μόνῳ πρεπωδεστάτην κλέπτοντες δόξαν, καὶ ταῖς σφῶν ἀνάπτοντες κεφαλαῖς· ἀνασώζειν δὲ τοὺς ἠπατημένους, καὶ δυσδιάφυκτον ἀληθῶς ὑπομείναντας πλεονεξίαν. Ἀλλ' ὅτι μὲν δὴ τὰ ἐκείνων οἴχεται, καὶ κατηφάνισται παντελῶς, ἐδίδαξεν, εἰπών· « Κέρατα ἐν χερσὶν αὐτοῦ· » τὰ καταστρέφοντα δηλονότι τὰ ἐκείνων κράτη, καὶ οἷον ἐκκεραΐζοντα τὴν ὑπεροψίαν. Ὅτι δὲ ἔμελλεν ἀνασώσειν ἡμᾶς, προαποδείκνυσι, λέγων· « Ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. » Σεσώσμεθα « οὐκ ἐξ ἔργων δικαιοσύνης, ἃ ἐποιήσαμεν ἡμεῖς, » οὐκ ἐξ αὐχημάτων (« Τετελείωκε γὰρ ὁ νόμος οὐδὲν, ») ἀλλ' ἐξ ἡμερότητος τοῦ Θεοῦ καὶ Πατρὸς, κραταιὰν, τουτέστιν, ἰσχυρὰν καὶ μεγάλην θέντος τὴν ὑπὲρ ἡμῶν ἀγάπησιν τοῦ Υἱοῦ. « Οὕτω γὰρ ἠγάπησε τὸν κόσμον, ὥστε τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. » Σεσώσμεθα δὴ οὖν ἐξ ἀγάπης τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ αὐτοῦ τοῦ Υἱοῦ, τὸν ὑπὲρ ἡμῶν ἀνατλάντος θάνατον, εἰ καὶ ἀνεβίω πάλιν, καταργήσας μὲν τὸ τῆς φθορᾶς κράτος, ἀποστήσας δὲ ἡμῶν τὴν ἁμαρτίαν. Τοιγάρτοι καὶ ἔφασκε· « Μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, XLII. Duo hæc præclara præstiturus Christus advenit : evertere adversarios, qui totum mundum seduxerant, et soli ac maxime Deo creatori debitam gloriam furto abstulerant, sibique eam arrogaverant : et deceptis ac dominatum profecto ineluctabilem perferentibus salutem restituere. Ac illorum quidem tyrannidem desiisse evanuisseque penitus docet, cum ait : « Cornua in manibus ejus [63] : » quibus videlicet eorum vis et potentia subverteretur, et superbia quasi ventilaretur. Salutem autem nobis redditurum præostendit, « Posuit dilectionem robustam fortitudinis suæ. » Salvati sumus « non ex operibus justitiæ quæ fecimus nos [64] ; » non ex factis D gloriosis : « Nihil enim ad perfectum adduxit lex [65] : » sed ex benignitate Dei et Patris, qui validam, hoc est, fortem et magnam dilectionem Filii pro nobis posuit. « Sic enim dilexit mundum, ut Filium suum unigenitum daret, ut omnis qui credit in illum non pereat, sed habeat vitam æternam [66]. » Salvati sumus igitur ex dilectione Dei et Patris, atque etiam ipsius Filii, qui nostri causa mortem subiit : etsi revixit destructo mortis imperio [67], et peccato a nobis profligato. Unde etiam dicebat : « Majorem hac charitatem nemo habet, ut ponat quis animam suam pro amicis suis [68]. » Valida igitur dilectio Patris,

[60] Psal. xxx, 16. [61] Luc. viii, 27-34. [62] Joan. xii, 31, 32. [63] Habac. iii, 4. [64] Tit. iii, 5. [65] Hebr. vii, 19. [66] Joan. iii, 16. [67] Hebr. ii, 14. [68] Joan. xv, 13.

Digitized by Google

per quam et a morte, et a peccato, et a diaboli dominatione eruti sumus.

Ante faciem ejus ibit verbum.

XLIII. Antecedet illum, inquit, prænuntius, et antevolabit rumor, et multus de eo sermo erit. Simul enim Virgo Christum peperit, venerunt confestim ex Oriente Magi, stella in cœlo inopinato conspecta partum hunc illis velut annuntiante [67]. Postquam autem **558** procedente tempore solus in deserto mansit, et miranda efficere opera instituit, « exivit fama ejus, ut ait evangelista, per totam Syriam [68]. » Insuper revera toto mundo nomen ejus celebratum est. Quis enim fuit qui ignoraret gloriam Christi? quæ gens, quæ regio fortitudinem ejus, aut experientia non sensit, aut auditione non accepit? Nam, ut ipse rursum confirmat, prædicatum est Evangelium per omnes gentes [69], et factorum ejus claritas instar solis totum orbem illustravit.

Egredientur in campos pedes ejus.

XLIV. Ac si dicat, nihil ipsi arduum factuque impossibile. Ambulabit autem in unaquaque re velut nuda et plana via. Nam campi nudi facile pertranseuntur : qui vero in tumulos assurgunt, difficiles ambulatu sunt, et equitationi haud idonei. Omnia igitur Christo facilia sunt, et quam viam in unoquoque factorum suorum percurrere voluerit, eadem quoque omnino omni difficultate caret. Quid enim non pro arbitratu, citraque omne negotium efficiat, qui est natura Deus et virtutum Dominus? Ex similitudine igitur per campos ingredientium, quid nobis de ipsius factis cogitandum sit, monet. Qui autem camporum vocabulo voluerit intelligere humiles corde, qui et terra voluntaria, et agricultura Dei vocantur [70], quasi cœleste semen desuper accipientes et fructum afferentes, alii centesimum, alii sexagesimum, alii tricesimum [71], non male intelliget. Exit enim quodammodo in campos istos ad opus rusticum Filius, plane juxta illud quod ab ipso ut in parabola dictum est : « Exiit qui seminat seminare semen suum [72]. » Psallit item alicubi David : « Et campi tui replebuntur ubertate [73]. » Addit etiam ibidem, « et valles. » Hanc intelligentiam nobis subjicit, cum protinus adjungit : « Clamabunt, etenim hymnum dicent [74]. » Neque enim vallium sensus expertium est hymnum dicere, sive clamare. In his autem instar cedri divinum ac supernum verbum se extulerit.

VERS. 6. *Stetit, et commota est terra.*

XLV. Verbum, « stetit, » sæpenumero in Scriptura divinitus inspirata etiam de re aliqua finem adepta ac-

ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Κραταιὰ τοιγαροῦν ἡ ἀγάπησις τοῦ Πατρὸς, δι' ἧς καὶ θανάτου, καὶ ἁμαρτίας, καὶ τῆς τοῦ διαβόλου πλεονεξίας ἐξῃρήμεθα.

Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος.

ΜΓ'. Προβαδιεῖται, φησὶν, αὐτοῦ προάγγελσις, καὶ προαναπτήσεται θρύλλος, καὶ πολὺς ἔσται λόγος περὶ αὐτοῦ. Ἅμα τε γὰρ ἐκ τῆς ἁγίας Παρθένου γεγένηται Χριστὸς, καὶ ἦκον εὐθὺς ἐξ Ἀνατολῶν οἱ Μάγοι, μονονουχὶ καταγγέλλοντος αὐτοῖς τὴν γέννησιν οἰκονομικῶς τοῦ παραδόξως ὀφθέντος κατὰ τὸν οὐρανὸν ἀστέρος. Ἐπειδὴ δὲ, προβαίνοντος τοῦ καιροῦ, καταμόνας μένων ἤρξατο καὶ τῶν παραδόξων ἔργων ἐργάτης εἶναι, « ἐξῆλθεν ἡ ἀκοὴ αὐτοῦ, καθὼς φησιν ὁ εὐαγγελιστὴς, εἰς ὅλην τὴν Συρίαν. » Ἄλλως τε καὶ διαβόητος γέγονεν ἐν πάσῃ ἀληθῶς τῇ ὑπ' οὐρανόν. Τίς γὰρ ἠγνόηκε τὴν δόξαν Χριστοῦ; ποῖον ἔθνος, ἢ χώρα, τῆς ἐνούσης ἰσχύος αὐτῷ μεμένηκεν ἀπείρατος ἢ ἀνήκοος; Ὡς γὰρ αὐτὸς ἔφη πάλιν, κεκήρυκται τὸ Εὐαγγέλιον εἰς πάντα τὰ ἔθνη, καὶ πεφώτικεν ἡλίου δίκην τὴν σύμπασαν γῆν ἡ τῶν παρ' αὐτοῦ γεγονότων λαμπρότης.

Ἐξελεύσονται εἰς πεδία οἱ πόδες αὐτοῦ.

ΜΔ'. Ὅμοιον ὡς εἰ λέγοι πάλιν, οὐδὲν ἄναντες αὐτῷ καὶ ἀνήνυτον. Βαδιεῖται δὲ ὥσπερ ἐν ἑκάστῳ πράγματι διὰ φιλῆς τε καὶ λείας ὁδοῦ. Βάσιμα μὲν γὰρ καὶ εὐπόρευτα τῶν πεδίων τὰ ἐψιλωμένα· δυσχερῆ δὲ, καὶ οὐχ ἱππήλατα, τὰ εἰς γηλόφους ἀνεστηκότα. Εὔκολα δὴ οὖν τὰ πάντα τῷ Χριστῷ, καὶ ἣν ἐν βούλοιτο διάττειν ὁδὸν, τὴν ἐφ' ἑκάστῳ φημὶ τῶν δρωμένων, αὕτη που πάντως ἐστὶ καὶ δυσχερείας ἀπηλλαγμένη. Τί γὰρ οὐκ ἂν κατορθώσειε, καὶ μὴν ἀμογητὶ, Θεὸς ὢν φύσει καὶ τῶν δυνάμεων Κύριος; Οὐκοῦν, ὡς ἐξ ὁμοιότητος τῶν ἐν τοῖς πεδίοις ἰόντων, τῆς ἐν πράγμασι θεωρίας ποιεῖται τὴν δήλωσιν. Εἰ δὲ βούλοιτό τις πεδία νοεῖν τοὺς ταπεινοὺς τὴν καρδίαν, οἳ καὶ γῇ θελητῇ χρηματίζουσι, καὶ Θεοῦ γεώργιον, ἅτε δὴ τὸν ἄνωθεν ἐξ οὐρανοῦ δεχόμενοι σπόρον, καὶ ποιοῦντες καρπὸν, οἱ μὲν ἑκατὸν, οἱ δὲ ἑξήκοντα, οἱ δὲ τριάκοντα· νοήσει πάλιν ὀρθῶς. Ἔξεισι γὰρ ὥσπερ εἰς τὰ τοιαῦτα πεδία γεωργήσων ὁ Υἱὸς, κατ' ἐκεῖνό που πάντως τὸ παρ' αὐτῷ λεγόμενον ὡς ἐν εἴδει παραβολῆς· « Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ. » Ψάλλει δέ που καὶ ὁ Δαβίδ· « Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. » Προστίθει δὲ, ὅτι « καὶ αἱ κοιλάδες. » Ἐφῆκε δὲ νοεῖν προσεπενεγκὼν εὐθύς· « Κεκράξονται· καὶ γὰρ ὑμνήσουσιν. » Οὐ γὰρ τῶν ἀναισθήτων κοιλάδων τὸ ὑμνεῖν ἐστιν, ἤτοι δὴ κεκραγέναι. Τούτοις δ' ἂν κέδρου δίκην ὁ θεῖός τε καὶ ἄνωθεν ζήσειε (1) λόγος.

Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ.

ΜΕ'. Τὸ, *ἔστη*, πλειστάκις νοηθείη ἄν, παρά γε τῇ θεοπνεύστῳ Γραφῇ, καὶ ὡς ἐπί τινος πράγματος εἰς

[67] Matth. II, 1 seqq. [68] Matth. IV, 24. [69] Matth. XXIV, 14. [70] Joan. XV, 1. [71] Matth. XIII, 3 seqq. [72] Ibid. [73] Psal. LXIV, 12. [74] Ibid. 13, 14.

(1) Hanc vocem depravatam notat librarius Græcus.

Digitized by Google

πέρας ἐκβεβηκότος. Οἷον ὡς εἴ τις λέγοι τυχόν· Ἔστη τόδε τὸ πρᾶγμα, οἷον ὁ τοῦδε λόγος, τουτέστιν, ὡρίσθη, καὶ πέπρακται. Οὕτω καὶ ἡ Σεπφώρα τοῦ Μωσέως, τῇ ψήφῳ περιτεμοῦσα παιδίον, πρὸς τὸν ἄγγελον ἔφασκε τὸν ὀλοθρευτήν· « Ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου. » Οὐ γὰρ ὅτι πέπαυται τοῦ αἵματος ἡ ῥύσις κατασημαίνειν ἤθελεν, ἀλλ' ὅτι πέπρακται τῆς περιτομῆς τὸ χρῆμα, καὶ τετέλεσται τὸ ζητούμενον. Δυσωπεῖ γὰρ θάνατον ὁ τῇ νοητῇ ψήφῳ περιτεμνόμενος· αὕτη δέ ἐστι τὸ πνεῦμα Χριστοῦ, καθάπερ ἀμέλει καὶ Ἰησοῦς, ὁ μετὰ Μωσέα, διαβεβηκότας τὸν Ἰορδάνην τοὺς υἱοὺς Ἰσραὴλ μαχαίραις πετρίναις προστέταχε περιτέμνεσθαι, τῆς ἐν πνεύματι περιτομῆς ἀποπληρῶν τὸν τύπον. Ὥσπερ γὰρ ὀνόμασται πέτρα Χριστὸς, οὕτω καὶ ψῆφος, ἤγουν μάχαιρα πετρίνη, τὸ πνεῦμα αὐτοῦ. Οὐκοῦν τὸ, *ἔστη*, κατασημαίνει πολλάκις καὶ πράγματος πλήρωσιν. Ἔστη τοίνυν ὁ Χριστός, τουτέστιν, εἰς πέρας ἐκβέβηκε τὰ περὶ αὐτοῦ, καὶ ὤφθη τοῖς ἐπὶ γῆς. « Καὶ ἐσαλεύθη ἡ γῆ. » Γῆν δέ φησι τοὺς κατοικοῦντας τὴν γῆν, οἳ καὶ ἐσαλεύθησαν. Καὶ τίνα δὴ τρόπον, φέρε λέγωμεν ὡς ἔνι. Οἱ γὰρ πάλαι τὸν νοῦν οἷον ἀκράδαντοι εἰς τὸ θέλειν ἐργάζεσθαι τὰ πονηρὰ, οἱ ἑδραῖοι πρὸς ἀσέβειαν, οἱ πεπηγότες εἰς φιλοσαρκίαν, οἱ ἐρηρεισμένοι πρὸς πλάνησιν, σεσάλευνται, καὶ κεκίνηνται, μετατεθειμένοι πρὸς θεογνωσίαν, πρὸς ἕφεσιν ἀρετῆς. Κεκίνηνται δὲ ὁμοίως καὶ τῆς κατὰ νόμον λατρείας οἱ ἐξ αἵματος Ἰσραὴλ, τὴν εἰς αὐτὸν πίστιν παραδεξάμενοι. Μετακεχωρήκασι γὰρ εἰς γε τὸ ἐλέσθαι βιοῦν εὐαγγελικῶς, καὶ τοῖς τοῦ Σωτῆρος πολιτεύεσθαι νόμοις. Ὅτι δὲ τὸ σαλεύεσθαι τὴν ἀπό τινος εἰς ἕτερόν τι μετάθεσιν ἔσθ' ὅτε δηλοῖ, σαφὲς ἂν γένοιτο, τοῦ μακαρίου Δαβὶδ ψάλλοντός τε καὶ λέγοντος· « Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σαλευθήτω ἡ γῆ. » Οὐ γάρ που φαμεν καταδονεῖσθαι τὴν γῆν, ταύτην δέ φημι τὴν ὑπὸ πόδας ἀνθρώπων καὶ αἰσθητὴν, παρακαλεῖν αὐτόν. Ἐξήτει δὲ μᾶλλον τὴν ἐκ τῶν χειρόνων ἐπὶ τὰ ἀμείνω γενέσθαι μετάστασιν. Καὶ εἷς μὲν οὗτος τῶν προκειμένων ὁ νοῦς. Εἰσδέξεται δέ τις καὶ ἕτερον ἐπ' αὐτοῖς κατὰ τοιόνδε τινὰ τρόπον· « Ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ. » Δύο δὴ ταῦτα πέπονθεν ἡ γῆ, ἕστη τε γὰρ καὶ σεσάλευται. Καὶ τίς ἂν εἴη πάλιν ὁ ἐπ' ἀμφοῖν λόγος, διατρανοῦν ἀναγκαῖον. Ἔστη τοίνυν. Μεθύουσα γὰρ ὥσπερ, καὶ κατασειομένη ῥᾳδίως πρὸς πᾶν ὁτιοῦν τῶν ἐκτόπων, καὶ οἷον παντὶ πνεύματι περιφερομένη, βεβαίαν ἔχει λοιπὸν καὶ ἐρηρεισμένην τὴν στάσιν, ἐμπεδοῦντος αὐτὴν τοῦ Χριστοῦ, κατ' ἐκεῖνό που πάντως τὸ διὰ φωνῆς Ἡσαΐου πρὸς τὴν τῶν Ἰουδαίων Συναγωγήν· « Στῆσον σεαυτήν. » Σεσάλευται δὲ πάλιν, καθάπερ ἤδη προεῖπον, τῆς ἀρχαίας ἀπάτης ἀποχωρήσασα, καὶ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀρεσκόντων τῷ Θεῷ τιμῶσα μετάθεσιν. Παράδοξον οὖν ἀληθῶς, τὸ καθένα καιρὸν στῆναί τε καὶ σαλευθῆναι τὴν γῆν. Χριστὸς γὰρ ὁ καὶ ἱδρυμένην αὐτὴν ἀποτελῶν εἰς πᾶν ἔργον ἀγαθὸν, καὶ μελετᾷν ἀναπείθων τὸν ἐκ τῶν χειρόνων ἐπὶ τὰ ἀμείνονα κλόνον.

cipi potest. Ut si quis, exempli causa, dicat : Stetit hæc res, hujus sermo : hoc est, finitus et transactus est. Sic etiam Sephora, Mosis uxor, ubi filiolum petra circumcidit, **559** angelo exterminatori dixit : « Stetit sanguis circumcisionis filioli mei [75]. » Non enim sanguinis fluxum desisse, sed negotium circumcisionis peractum, et quod desiderabatur, ad finem perductum significare voluit. Flectit enim mortem, qui spirituali petra circumciditur, qui est spiritus Christi; quemadmodum videlicet etiam Jesus post Mosen filios Israel Jordanem transgressos cultris petrinis, seu lapideis, circumcidi jussit [76], circumcisionis spiritualis typum et figuram præferens. Sicut enim Christus appellatus est petra [77], ita et calculus, sive culter lapideus, spiritus ejus. Quare illud, « stetit, » frequenter rei quoque seu negotii absolutionem declarat. Stetit igitur Christus, hoc est, res ejus ad finem et terminum devenerunt et conspectæ sunt hominibus. « Et commota est terra. » Terram nuncupat habitantes terram, qui etiam commoti sunt. Quonam autem modo, age, pro facultate explicemus. Qui olim animo erant velut inconcussi ad scelera designanda, qui erant constantes ad impietatem, qui fixi ad res carnales, qui firmati ad errorem, concussi et commoti, et ad cognitionem Dei, ad amorem virtutis translati sunt. Moti sunt etiam a cultu secundum legem Israelitæ, fidem in ipsum complexi. Ad voluntatem enim vitæ evangelicæ, et ad mores ex legibus Salvatoris transierunt. Moveri porro translationem alicunde ad aliud interdum significare, perspicue ostenderit illud Davidis, cum ita psallit : « Qui sedes super cherubim, moveatur terra [78]. » Non enim dicimus illum hortari ipsam terram ut moveatur, hanc, inquam, oculorum sensui expositam, et hominum pedibus subjectam. Potius a deterioribus ad meliora conversionem quærebat. Et unus quidem hic verborum recitatorum sensus est. Poterit et alius afferri, hunc in modum : « Stetit et commota est terra. » Duo hæc passa est terra; stetit namque et commota est. Quænam intelligentia utrobique, declarandum est. Stetit igitur. Nam quasi ebria, et ad quidvis inconcessum parvo momento commota, et quasi ab omni vento circumlata [79], stabilem de cætero et firmam stationem nacta est, Christo ipsam firmante, juxta illud utique quod per Isaiam ad Judæorum Synagogam dicitur : « Statue te ipsam. » Mota est deinde, ut jam dixi, cum a deceptione veteri digredi, et ad omnia **560** Deo grata transire maluit. Vere igitur mirabile est, tempore eodem stetisse et commotam esse terram. Christus enim est qui ipsam et ad omne opus bonum corroborat, pejoribusque posthabitis, ad saluberiora cogitanda et capessenda impellit.

Ἐπέβλεψε, καὶ διετάκη ἔθνη. Διετρίβη τὰ ὄρη βίᾳ.

Respexit, et liquefactæ sunt gentes. Contriti sunt montes violentia.

[75] Exod. IV, 25. [76] Josue V, 2. [77] I Cor. X, 4. [78] Psal. XCVIII, 1. [79] Ephes. IV, 14.

Digitized by Google

XLVI. Respicere Deum, aliquando in mansuetudine et charitate, aliquando in furore et minis inspectionem significat. Ait igitur, « Super quem respiciam, nisi super mitem, et quietum, et trementem sermones meos [80]? » Flagitabat etiam divinus David : « Respice, inquit, in me, et miserere mei [81]. » Voce autem Ezechielis de quodam dixit : « Et obfirmabo faciem meam super hominem illum, et ponam illum in desertum et in exterminium, et auferam illum de medio populi mei, et cognoscetis quia ego Dominus [82]. » Hoc vero erat minantis iram, et perniciem, et pœnam irritantibus convenientem. Simul igitur respexit Christus, hoc est, in ira oculos in quibusdam defixit, subito ceræ instar colliquefacti, et quasi igne exurente contriti sunt montes violentia. Gentes et montes immundos spiritus vocat, et in seipsis sublimes atque elatos, et instar montium super alios insurgentes. Omnino autem eminentia maligna est : et ubi fortunæ majores, ibi superbia. Aut etiam forte, quam robusta sit ipsorum immanitas ostendit. Viribus enim plurimum possunt dæmones, idcirco Deo se opponere, illiusque propriam gloriam ad se trahere enituntur. Verumtamen « contriti sunt violentia. » Confringuntur enim virtute Christi, et in nihilum redacti, et credentium scabellum pedum facti sunt. Alia item notione mons appellatus est Satanas, cui dixit alicubi Deus voce prophetæ, ut in persona Nabuchodonosor : « Ecce ego ad te, mons corrupte, corrumpens omnem terram [83]. »

Tabuerunt colles æterni.

XLVII. Facta mentione, quamvis involutius, perversarum et contrariarum nobis potestatum, quæ et gloriæ Dei adversantur, mortales ad peccatum revocantes, etiam Synagogæ Judæorum præsides introducere debuit, quos colles nominat, quod sublimes et aliis eminere videantur, pro ordine videlicet **561** sacerdotii et honore quo inde potiuntur. Æternos autem, propter rei perpetuitatem : nulla enim occasione aut tempore desinit. Quamvis enim cultus ratio ut in umbris et typis forte defecit, nihilominus natura rei ad meliorem statum migravit. Sanctarum quippe Ecclesiarum præpositi æque Deo ministrant, et incruentum ei sacrificium peragunt. Æterni igitur colles, propter sacrificii usum perpetuum et nunquam desinentem. Verumtamen cum montibus qui intelligentia sola cernuntur simul contriti, et cum gentibus colliquefacti sunt. Postquam enim dæmonibus placentia sapuerunt, et diabolo collibita egerunt, auctore vitæ in crucem acto [84], et multimodis contumeliose illuso, idcirco eadem cum illis pœna plexi, ceciderunt et pessumdati sunt, et, ut ait propheta : « Domus Israel cecidit, et non est qui ipsam erigat [85]. »

ΜΖ'. Τὸ ἐπιβλέψαι Θεὸν, δηλοῖ μὲν ἐσθ' ὅτε τὴν ἐν πραότητι καὶ ἀγάπῃ κατάσκεψιν, ποτὲ δὲ ἐν θυμῷ τε καὶ ἀπειλῇ. Καὶ γοῦν « Ἐπὶ τίνα, φησὶ, ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον, καὶ ἡσυχον, καὶ τρέμοντά μου τοὺς λόγους; » Ἐλιπάρει δέ που καὶ ὁ θεσπέσιος Δαβὶδ, οὕτω λέγων· « Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με. » Διὰ δέ γε φωνῆς Ἰεζεχιὴλ ἔφασκε περί τινος, ὅτι « Καὶ στηριῶ τὸ πρόσωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον, καὶ θήσομαι αὐτὸν εἰς ἔρημον καὶ εἰς ἀφανισμὸν, καὶ ἐξαρῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου, καὶ ἐπιγνώσεσθε ὅτι ἐγὼ Κύριος. » Τοῦτο δὲ ἦν ἀπειλοῦντος ὀργὴν, καὶ ὄλεθρον, καὶ τὴν τοῖς παροτρύνουσι πρέπουσαν δίκην. Ἅμα τε τοίνυν ἐπέβλεψεν ὁ Χριστὸς, τουτέστιν, ἐν ὀργῇ τὸ ὄμμα τισὶν ἐπήνεγκε, καὶ παραχρῆμα κηροῦ δίκην ἐτάκησαν, καὶ οἷον πυρὸς καταφλέγοντος διετρίβη τὰ ὄρη βίᾳ. Ἔθνη δὲ καὶ ὄρη φησὶ τὰ ἀκάθαρτα πνεύματα, καὶ τοὺς ἐν ἑαυτοῖς ὑψηλούς τε καὶ ἐπηρμένους, καὶ ὀρῶν δίκην τῶν ἄλλων ἀνεστηκότας. Ἐν φαυλότητι δὲ πάντως ἡ ὑπεροχὴ, καὶ ἐν ὑπεροψίαις τὸ πλεονέκτημα. Ἢ τάχα που καὶ κατ' ἰσχὺν τὸ τῆς ἐνούσης αὐτοῖς ἀγριότητος μέτρον. Ὑπέροπλα γὰρ τὰ δαιμόνια, καὶ γοῦν ἀντεξάγειν Θεῷ, καὶ τὴν αὐτῷ πρέπουσαν δόξαν ἑαυτοῖς ἀνάπτειν ἐπείγονται. Πλὴν « διετρίβησαν βίᾳ. » Συνθραύονται γὰρ ἐν δυνάμει Χριστοῦ, καὶ κεχωρήκασιν εἰς τὸ μηδὲν, καὶ ὑποπόδιον τέθεινται τῶν πεπιστευκότων. Ὄρος δέ που καὶ ἑτέρωθι κατωνόμαστται πάλιν ὁ Σατανᾶς, πρὸς ὃν ἔφη που Θεὸς διὰ προφήτου φωνῆς, ὡς ἐν προσώπῳ τοῦ Ναβουχοδονόσορ· « Ἰδοὺ ἐγὼ πρὸς σὲ, τὸ ὄρος τὸ διεφθαρμένον, τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν. »

Ἐτάκησαν βουνοὶ αἰώνιοι.

ΜΖ'. Μνημονεύσας αἰνιγματωδῶς τῶν πονηρῶν καὶ ἀντικειμένων δυνάμεων, αἳ καὶ ἀντιπράττουσι τῇ δόξῃ Χριστοῦ, καταστρέφουσαι πρὸς ἁμαρτίαν τοὺς ἐπὶ τῆς γῆς, εἰσκεκόμικεν ἀναγκαίως καὶ τῆς Ἰουδαίων Συναγωγῆς τοὺς προεστηκότας, οὓς καὶ βουνοὺς ὀνομάζει, διά τοι τὸ ἦρθαι δοκεῖν ὑψοῦ, καὶ ὑπερκεῖσθαι τῶν ἄλλων, κατά γε τὴν τάξιν τῆς ἱερουργίας καὶ τῆς ἐντεῦθεν τιμῆς. Αἰωνίους δέ φησι αὐτοὺς, διὰ τὸ τοῦ πράγματος διηνεκές· ἀκατάληκτος γὰρ ἐν παντὶ καιρῷ τε καὶ χρόνῳ. Εἰ γὰρ καὶ πέπτωται τυχὸν τῆς ὡς ἐν σκιαῖς καὶ τύποις λατρείας ἡ δύναμις, ἀλλ' οὖν ἡ τοῦ πράγματος φύσις μετακεχώρηκεν ἐπὶ τὸ ἄμεινον. Λειτουργοῦσι γὰρ οὐδὲν ἧττον Θεῷ τῶν ἁγίων Ἐκκλησιῶν οἱ προεστηκότες, καὶ τὴν ἀναίμακτον αὐτῷ τελοῦσι θυσίαν. Αἰώνιοι τοιγαροῦν οἱ βουνοὶ διὰ τὸ τῆς λειτουργίας διηνεκές τε καὶ ἀκατάληκτον. Πλὴν τοῖς ὄρεσι τοῖς νοητοῖς ὁμοῦ συνεθραύσθησαν, καὶ τοῖς ἔθνεσι συνετάκησαν. Ἐπειδὴ γὰρ πεφρονήκασι τὰ δαιμονίοις ἀνδάνοντα, καὶ τὸ τῷ διαβόλῳ δοκοῦν πεπληρώκασι, σταυρῷ παραδόντες τὸν ἀρχηγὸν τῆς ζωῆς, καὶ κατὰ πολλοὺς αὐτῷ τρόπους ἐμπαροινήσαντες, ταύτητοι δικαίως τὴν αὐτὴν ἐκείνοις ἀνατλάντες δίκην καθήρηνται καὶ πεπτώκασι, καὶ ἦ ἔτι

[80] Isa. LXVI, 2. [81] Psal. LXXXV, 16. [82] Ezech. XIV, 8. [83] Jerem. LI, 25. [84] Act. III, 13. [85] Amos V, 2.

προφήτης· « Οἶκος Ἰσραὴλ ἔπεσεν, καὶ οὐκ ἔστιν ὁ ἀναστήσων αὐτόν. »

Digitized by Google

Πορείας αἰωνίους ἀντὶ κόπων εἶδον.

ΜΗ'. Πορείας ἔσθ' ὅτε, καὶ ὁδοὺς, καὶ τρίβους, καὶ θείας ἡμῖν ἐντολὰς ὀνομάζειν ἔθος τοῖς ἱεροῖς Γράμμασιν. Ὁποῖόν ἐστι τὸ διὰ φωνῆς Ἱερεμίου· « Στῆτε ἐπὶ ταῖς ὁδοῖς, καὶ ἐρωτήσατε τρίβους Κυρίου αἰωνίους, καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν. » Καὶ μὴν καὶ διὰ φωνῆς τοῦ μακαρίου Δαβὶδ· « Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. » Ἐτάκησαν δὴ οὖν βουνοὶ, φησὶ, τουτέστιν, οἱ παρὰ τοῖς Ἰουδαίοις τὴν τοῦ καθηγεῖσθαι λαχόντες δόξαν, καὶ τὰ τῆς κατὰ νόμον ἱερουργίας ἀνημμένοι καυχήματα. Τὰς γάρ τοι πορείας, ἤτοι τὰς ἐντολὰς τοῦ Ἐμμανουὴλ, δῆλον δὲ ὅτι τὰ εὐαγγελικὰ θεσπίσματα, καὶ τῶν ἀρχαίων χρησμῳδημάτων τὴν ἀσυγκρίτως ἀμείνω τε καὶ φανοτέραν παίδευσιν ἀντὶ κόπων εἶδον, τουτέστιν, ἡγήσαντο φορτικὴν, καὶ ἱδρῶτος ἔμπλεων, καίτοι γε λέγοντος ἐναργῶς τοῦ πάντων ἡμῶν Σωτῆρος Χριστοῦ· « Δεῦτε πρός με, οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. » Δύσποτον δὲ ἑτέρως ἐποιοῦντό τινες τὰς πορείας αὐτῶν, δι' ὧν ἦν δύνασθαι εὐκόλως διάττειν εἰς ζωὴν αἰώνιον. Ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς τῆς μυστικῆς εὐλογίας τὴν δύναμιν, ἥτις ποτέ ἐστι, διεσάφει λέγων· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, καὶ πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. » Οἱ δὲ, τῶν οὕτω σεπτῶν ἀκροώμενοι λόγων, παραληροῦντες ἔφασκον· « Σκληρός ἐστιν ὁ λόγος οὗτος, τίς δύναται αὐτοῦ ἀκούειν; Πῶς δύναται ἡμῖν οὗτος δοῦναι τὴν σάρκα αὐτοῦ φαγεῖν; » Ἐπεμαρτύρατο δὲ λέγων ὁ εὐαγγελιστὴς, ὅτι ἐκ τούτου πολλοὶ τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον εἰς τὰ ὀπίσω, καὶ οὐκέτι μετ' αὐτοῦ περιεπάτουν, ὅτε καὶ αὐτοῖς τοῖς μαθηταῖς προσετίθει Χριστὸς τὸ, εἴπερ ἔλοιντο καὶ αὐτοὶ ἀποφοιτᾷν αὐτοῦ, λέγων· « Μὴ καὶ ὑμεῖς θέλετε ὑπάγειν; » Προσηπίηντα γε μὴν ὁ θεσπέσιος Πέτρος διακεκραγώς· « Κύριε, πρὸς τίνα ἀπελευσόμεθα; ῥήματα ζωῆς αἰωνίου ἔχεις. » Οὐ γὰρ τεθέανται τὰς πορείας ἀντὶ κόπων αὐτοὶ, ἀλλ' ἦν ἡδύς τε αὐτοῖς καὶ ἀξιάκουστος ἀληθῶς ὁ λόγος. Αἰωνίους δὲ τὰς πορείας φησὶν εἶναι· πεπαύσεται γὰρ οὐδαμῶς, παρατενεῖ δὲ μᾶλλον εἰς αἰῶνα τὸν ἐνεστηκότα, καὶ μέχρι παντὸς στήσεται τὸ εὐαγγελικὸν καὶ σωτήριον κήρυγμα, καίτοι τῆς ἀρχαιοτέρας καὶ νομικῆς παλαιωθείσης ἐντολῆς, καὶ τὸ ἄμεμπτον οὐκ ἐχούσης, καθώς φησι Παῦλος, καὶ διὰ τοῦτο τῆς δευτέρας εἰσκεκομισμένης, ἥτις ἐπὶ κρείττοσιν ἐπαγγελίαις νενομοθετεῖσθαι λέγεται. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ ἐν Πνεύματι προανεκεκράγει λέγων πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· « Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. » Οὐ μεμένηκε γὰρ, ὡς ἔφην, τὰ ἐν σκιαῖς, ἀλλὰ κατέληξαν μὲν οἱ τύποι, διαπέπηγε δὲ τὰ Χριστοῦ, καὶ μέχρι παντὸς τὸ ἀκράδαντον ἔχει.

Itinera sempiterna pro laboribus vidi.

XLVIII. Etiam divina mandata nonnunquam itinera, vias, semitas nominare sacræ Scripturæ usitatum est. Cujusmodi illud Jeremiæ : « State super vias, et videte, et interrogate semitas Domini æternas, et videte quæ sit via bona, et ambulate in ea, et invenietis purificationem animabus vestris [86]. » Similiter per os beati David : « Viam mandatorum tuorum cucurri, cum dilatasti cor meum [87]. » Liquefacti sunt igitur colles, inquit, hoc est, qui apud Judæos primos honores et legalis sacerdotii honorificum munus obtinebant. Itinera siquidem, sive mandata Emmanuelis, evangelica utique oracula, et olim divinitus responsis influitis partibus meliorem et splendidiorem doctrinam pro laboribus viderunt, hoc est, onerosam et sudoris plenam censuerunt, cum omnium nostrum Salvator Christus aperte dicat : « Venite ad me, qui laboratis et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos, et discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris. Jugum enim meum suave est, et onus meum leve [88]. » Aliter onerosa fecerunt quidam itinera sua, quibus facile in vitam æternam velut transilire potuissent. Dominus enim noster Jesus Christus mysticæ benedictionis vim declarans aiebat : « Amen dico vobis, nisi **562** manducaveritis carnem Filii hominis, et biberitis ejus sanguinem, non habebitis vitam in vobis [89]. » Illi vero adeo venerandis sermonibus auditis, insipienter dicebant : « Durus est hic sermo, et quis potest audire illum? Quomodo potest hic nobis dare carnem suam ad manducandum [90]? » Testatus est insuper evangelista, ex hoc multos de discipulis ejus retro abiisse, et non amplius cum eo ambulasse, cum Christus etiam reliquos ultro his verbis compellavit, quæsivitque num et ipsi vellent discedere : « Num et vos, inquit, vultis abire [91]? » Respondens divinus Petrus et clamans dixit : « Domine, ad quem ibimus? verba vitæ æternæ habes [92]. » Non enim videbant ipsi itinera pro laboribus : sed erat ipsis oratio illa dulcis et auditu gratissima. Æterna autem itinera vocat : neutiquam enim quiescet, quin potius in sempiternum semel cœptum sermonem producet, et prædicationem Evangelii salutarem in perpetuum confirmabit, antiquiore et legali mandato veterascente, et culpa non vacante, juxta verbum Pauli [93], et ideo secundo introducto, quod in « melioribus promissionibus sanctum [94] » dicitur. Itaque divinus David in Spiritu ante exclamavit ad Dominum nostrum Jesum Christum : « Justitia tua justitia in æternum, et lex tua veritas [95]. » Non enim manserunt, ut dixi, umbratica illa, sed cessarunt typi, et fixa ac stabilita sunt quæ erant Christi, et in omne ævum immobilitatem habent.

[86] Jerem. VI, 16. [87] Psal. CXVIII, 32. [88] Matth. XI, 28-30. [89] Joan. VI, 54. [90] ibid. 61. [91] ibid. 68. [92] ibid. 69. [93] Hebr. VIII, 13. [94] ibid. 6. [95] Psal. CXVIII, 142.

Digitized by Google

VERS. 7. *Tabernacula Æthiopum turbabuntur, et tabernacula terræ Madiam.*

XLIX. Narrationes bonæ semper aliquid auditione dignum et denuntiationem citra satietatem habent, quamvis iisdem verbis iterentur. Cum itaque prius narrasset potestatum adversariarum in imbecillitatem delapsum, ipsasque in similitudinem gentium colliquefactas, atque etiam instar montium contritas docuisset, denuo alienigenis eas comparat, qui Judæam armis infestabant. Erant autem Æthiopes, qui aliquando Indicum mare ad orientem et austrum, seu meridiem, accoluerunt; item Madianitæ, et ipsi vicinam solitudinem habitantes. Turbabuntur igitur, inquit, qui sanctam civitatem oppugnant. Ut spiritualem intelligamus Sion, quæ est Ecclesia Dei, quam habitant sancti, et genus electum [96], ut olim in typo Israel: sicut etiam vox Israel sonat si interpreteris, *Mens videns Deum*. Admirationi **563** etiam fuit Nathanael, « ut verus Israelita, in quo dolus non esset [97]. » Tanquam igitur in imagine et typis in Æthiopibus et Madianitis, quia electum genus affligere semper studuerunt, dæmonum globos, sanctis semper adversarios et inimicos intelligemus. Dixerit porro quispiam et aliter, Æthiopas nominari idololatras, quibus vita est carnalis, terrena, immunditiarum plena. Tales sunt Æthiopes. Animum enim divino lumine collustratum non habent, sed propemodum nigris sunt cordibus, et animos tenebris oppletos gerunt, quibus et draco in escam datus dicitur. Psallit enim alicubi David, et universorum Deo dicit: « Tu contrivisti capita draconis, dedisti eum escam populis Æthiopum [98]. » Quemadmodum enim nos vivificum Dei verbum spiritualem et sanctam alimoniam nobis facimus, ita libenter peccantes, et qui est natura Deus non cognoscentes, tantum non Satana pascuntur, ipsum animis tenentes, ac secundum illum et sentientes et loquentes. Madianitæ porro omnino fuerint, ut aiebam, in sanctos malevoli. Cujus nominis vim et significatum si quis curiosius indagare voluerit, reddet *occultatus*. Qualis appellatio in Satanam et potestates ejus malignas quadrat, quibus caligo tenebrarum in omnia sæcula reservata est.

VERS. 8, 9. *Numquid in fluminibus iratus es, Domine, aut in fluminibus furor tuus, aut in mari impetus tuus? Quia ascendes super equos tuos, et equitatio tua salus. Intendens intendes arcum tuum super sceptra, dicit Dominus.*

L. Consilium prophetæ est œconomia veteri secundam, sive novam meliorem, illustriorem, et in bonis absque comparatione majoribus factam ostendere. Olim quippe transformatis in sanguinem Ægyptiorum fluminibus, signisque et portentis editis, mari Rubro diviso, et Ægyptiorum bellicosissimis aqua præfocatis Israelem Deus e servitute carnali liberavit, ac per medium eduxit [99]. Post-

A *Σκηνώματα Αἰθιόπων πτοηθήσονται, καὶ σκηναὶ γῆς Μαδιάμ.*

ΜΘ'. Τὰ χρηστότερα τῶν διηγημάτων ἀεί πως ἔχει τὸ ἀξιάκουστον, καὶ ἀπροσκορῆ τὴν ἐπαγγελίαν, κἂν εἰ διὰ τῶν αὐτῶν τις ἴοι ῥημάτων. Προαφηγησάμενος τοίνυν τῶν ἀντικειμένων δυνάμεων τὴν εἰς τὸ ἄναλκι φορὰν, καὶ παραδείξας αὐτὰς ὡς ἐν ὁμοιώματι τῶν ἐθνῶν τηκομένας, καὶ μὴν καὶ ὡς ὄρη συντριβομένας, παρεικάζει πάλιν αὐτὰς τοῖς ἀλλοφύλοις, οἱ τῆς Ἰουδαίων κατεστρατεύοντο γῆς. Οὗτοι δὲ ἦσαν οἱ ποτὲ πρὸς ἠὼ καὶ νότον Αἰθίοπες τὴν Ἰνδικὴν προσοικοῦντες θάλασσαν, καὶ μέντοι Μαδιηναῖοι, καὶ αὐτοὶ τὴν ὅμορον οἰκοῦντες ἔρημον. Πτοηθήσονται τοίνυν, φησὶ, οἱ τῇ ἁγίᾳ μαχόμενοι πόλει, ἵνα νοῶμεν τὴν νοητὴν Σιὼν, ἥτις ἐστὶν Ἐκκλησία Χριστοῦ, ἣν οἰκοῦσιν οἱ ἅγιοι, καὶ τὸ ἀπόλεκτον γένος, ὡς ἐν τύπῳ πάλαι ὁ Ἰσραὴλ, καθὼς καὶ ἑρμηνεύεται, *Νοῦς ὁρῶν Θεὸν Ἰσραήλ*. Τεθαύμασται δὲ καὶ ὁ Ναθαναὴλ, ὡς « ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστιν. » Οὐκοῦν ὡς ἐν εἰκόνι καὶ τύποις τοῖς Αἰθίοψι καὶ Μαδιηναίοις, ὅτι τὸ ἀπόλεκτον ἀεὶ κακοῦν ἠθελον γένος, τουτέστι τὸν Ἰσραὴλ, τὰ τῶν δαιμόνων συνήσομεν στίφη, τὰ τοῖς ἁγίοις ἀνθεστηκότα. Φαίη δ' ἄν τις, καὶ ἑτέρως Αἰθίοπας ὀνομάζεσθαι τοὺς εἰδωλολάτρας, οἷς ὁ βίος ἐστὶ σαρκικὸς, γεώδης τε καὶ ἐν ἀκαθαρσίαις. Αἰθίοπες δὲ τοιοῦτοι. Τὸ γάρ τοι θεῖον εἰς νοῦν οὐκ ἔχουσι φῶς, ἀλλ' εἰσὶ μονονουχὶ μέλανες τὴν καρδίαν, καὶ κατεσκοτισμένοι τὰς φρένας, οἷς καὶ ὁ δράκων εἰς κατάβρωμα δεδόσθαι λέγεται. Ψάλλει γάρ που καὶ φησιν ὁ Δαβὶδ πρὸς τὸν τῶν ὅλων Θεόν· « Σὺ συνέτριψας τὰς κεφαλὰς τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν. » Ὥσπερ γὰρ ἡμεῖς τὸν ζωοποιὸν τοῦ Θεοῦ λόγον πνευματικὴν καὶ ἁγίαν ἀποτιθέμεθα τροφήν· οὕτω καὶ οἱ φιλαμαρτήμονες, καὶ τὸν φύσει Θεὸν οὐκ ἐπεγνωκότες, μονονουχὶ σιτοῦνται τὸν Σατανᾶν, αὐτὸν ἔχοντες εἰς νοῦν, καὶ τὰ αὐτοῦ φρονοῦντες καὶ λέγοντες. Μαδιηναῖοι δὲ πάντως εἶεν ἄν, ὡς ἔφην, οἱ τοῖς ἁγίοις δυσμενεῖς. Εἰ δὲ δή τις ἔλοιτο τὴν τοῦ ὀνόματος πολυπραγμονῆσαι δύναμιν, ἑρμηνεύεται Μαδιηναῖος *κατακεκρυμμένος*. Πρέποι δ' ἂν ἡ τοιάδε κλῆσις αὐτῷ τε τῷ Σατανᾷ καὶ ταῖς σὺν αὐτῷ δυνάμεσι πονηραῖς, οἷς ὁ ζόφος τοῦ σκότους εἰς τοὺς αἰῶνας τετήρηται.

D *Μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε, ἢ ἐν ποταμοῖς θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὁρμημά σου; Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ἐντείνων ἐντενεῖς τὸ τόξον ἐπὶ σκῆπτρα, λέγει Κύριος.*

Ν'. Σκοπὸς τῷ προφήτῃ τῆς ἀρχαίας οἰκονομίας ἀμείνω τε καὶ φανοτέραν, καὶ ἐπὶ μείζοσιν ἀσυγκρίτως γεγενημένην ἀγαθοῖς, ἀποφῆναι τὴν δευτέραν. Πάλαι μὲν γὰρ διὰ Μωσέως σαρκικῆς δουλείας ἐξεκόμιζε τὸν Ἰσραὴλ, μεταστοιχειώσας μὲν εἰς αἷμα τοὺς τῶν Αἰγυπτίων ποταμοὺς, σημεῖά τε καὶ τέρατα πεποιηκὼς· εἶτα διαστήσας τὴν θάλασσαν τὴν Ἐρυθρὰν, καὶ διαβιβάσας μὲν τοὺς λελυτρωμένους, ἐν-

[96] I Petr. II, 9. [97] Joan. I, 48. [98] Psal. LXXIII, 14. [99] Exod. IV, 7.

Digitized by Google

ασπονίξας γε μὴν τοῖς ὕδασι τοὺς τῶν Αἰγυπτίων μαχιμωτάτους. Ἐπεὶ δὲ γέγονεν ἄνθρωπος ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος, ταῖς τοῦ διαβόλου πλεονεξίαις ὑπεζευγμένην ὅλην ἐξείλετο τὴν ὑπ' οὐρανὸν, οὐ ποταμοὺς εἰς αἷμα μεταβαλὼν, οὐχ ὕδασι τὴν ἰδίαν ἐπιχέων ὀργὴν, οὐ θαλάσσης κύματα διελὼν, οὐκ ἀνθρώποις ὅλεθρον ἐπιφέρων· ἀποκτείνας δὲ μᾶλλον αὐτὸν τὸν μιαιφόνον δράκοντα, καὶ τὴν παρ' αὐτοῦ τε καὶ δι' αὐτὸν ἱδρυμένην καθελὼν ἁμαρτίαν, καὶ τὸ δυσάντητον τοῦ θανάτου καταλύσας κράτος, καὶ καλέσας ἅπαντας εἰς θεογνωσίαν διὰ τῶν ἁγίων ἀποστόλων, οἳ πᾶσαν ἐκπεριθέοντες τὴν ὑπ' οὐρανὸν, καὶ τὸ Χριστοῦ περιφέροντες ὄνομα, καὶ μάλα δικαίως κατεθαυμάζοντο. Ὦ τοίνυν Δέσποτα, φησὶ, ἀξιάκουστα λίαν τὰ ὧν αὐτὸς γέγονας αὐτουργός, καὶ πολὺ τὸ ἄμεινον ἔχοντα τῶν διὰ Μωσέως παρὰ σοῦ πάλιν κατωρθωμένων. Οὐ γὰρ ποταμοῖς ἐποίσεις ὀργὴν, οὐχ ὁρμήσεις κατὰ θαλάσσης. Οὐκ ἐν ἐκείνοις ποθὲν τῆς σῆς θεοπρεποῦς ἐξουσίας διαλάμψει τὸ θαῦμα· « Ἀλλ' ἐπιβήσῃ μᾶλλον ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. » Τίνες δ' ἂν εἶεν οἱ ἵπποι πάλιν; Οἱ μακάριοι μαθηταὶ ἀπόστολοί τε καὶ εὐαγγελισταὶ, οἱ τοῖς θείοις αὐτοῦ θελήμασιν ὁλοτρόπως ὑπεζευγμένοι, οἱ τρυφεροὶ, καὶ εὐήνιοι, καὶ πρὸς πᾶν ὁτιοῦν ἑτοίμως ἔχοντες τῶν δοκούντων αὐτῷ, οἱ Χριστὸν ἔποχόν τε ἔχοντες, ὧν εἷς ἐστι καὶ ὁ μακάριος Παῦλος, περὶ οὗ φησιν αὐτὸς, ὅτι « Σκεῦος ἐκλογῆς ἐστί μοι οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον τῶν ἐθνῶν. » Ὀξεῖς δὴ λίαν οἱ ἵπποι, περινοστοῦντες ἅπασαν τὴν ὑπ' οὐρανόν. Οὕτω καὶ τὸ ἅρμα « μυριοπλάσιον » εἶναι λέγεται, χιλιάδας ἔχον εὐθυνο[ύ]ντων. Πλεῖστοι γὰρ ὅσοι κατὰ καιροὺς, καὶ μετ' ἐκείνους, γεγόνασι λαῶν ἡγούμενοι, καὶ τῆς διανοίας τὸν αὐχένα ταῖς τοῦ Σωτῆρος ὑπέχοντες ζεύγλαις, καὶ γῆς ἅπαντα χοῦ τὴν δόξαν αὐτοῦ περιφέροντες, καὶ τὸν τῆς ἀληθείας ὀρθοτομοῦντες λόγον, καὶ οἷον ἅπασαν ἱπποκρατοῦντες τὴν γῆν. « Σωτηρία δὲ τῶν ἵππων, ἡ ἱππασίας. » Ἔτρεχον γὰρ οὐ μάτην, ἀλλ' ἵνα σώσειαν πόλεις, χώρας τε καὶ ἔθνη, ὁμοῦ καταστρέφοντος Χριστοῦ τὰς τῶν δαιμόνων ἀρχὰς, οἳ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τὴν γῆν διενείμαντο, τοῖς ἰδίοις θελήμασιν ὑποφέροντες τοὺς κατοικοῦντας αὐτήν. Ἐπειδὴ δὲ ἔμελλον διαπίπτειν αἱ πάλαι τῶν δαιμόνων ἀρχαὶ, ταύτῃ φησὶν εἰκότως· « Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρον. » Ὁρμήσει γὰρ, καθάπερ ἔφην ἀρτίως, οὐκ ἐν ποταμοῖς, ἢ θαλάσσαις, ἀνατρέψει δὲ μᾶλλον τῶν δαιμονίων τὰ σκῆπτρα.

Ποταμῶν ῥαγήσεται γῆ. Ὄψονταί σε, καὶ ὠδινήσουσι λαοί. Σκορπίζων ὕδατα πορείας αὐτοῦ.

ΝΑ'. Μέμνηται πάλιν τῶν τοῦ Σωτῆρος κατορθωμάτων, καὶ τοῖς ἄλλοις ἔθνεσι, καθ' ὧν τὸ τόξον ἐντείνεται, ἤγουν ἐνταθήσεται, φησὶ προστεθήσεσθαι καὶ τὴν τῶν ποταμῶν γῆν, τάχα που τὴν Βαβυλωνίων ὑποδηλῶν (αὐτὴ γὰρ τὸ τηνικάδε καὶ ἡ μέση τῶν ποταμῶν), ἵνα διὰ τούτου πάλιν ὡς ἐξ εἰκόνος ἐχθρῶν αἰσθητῶν, νοητῶν καὶ ἀοράτων πληθὺς σημαίνηται, πρὸς ἣν τοῖς ἁγίοις ἡ πάλη. Κέκρυπται δέ πως ἀεὶ

A quam autem unigenitum Dei Verbum humanam naturam induit, totum qui sub cœlo est orbem diabolico juri subjugatum eripuit : non quidem fluviis in sanguinem conversis, non in aquas ira sua effusa, non maris fluctibus divisis, non hominibus pernicie illata, **564** sed occiso potius dracone cruento, et peccato, quod ab ipso ac propter ipsum convaluerat, exciso, et invicto mortis imperio destructo, et per sanctos apostolos ad Dei cognitionem vocatis omnibus, qui, totum orbem percursantes Christique nomen circumferentes, jure optimo admirationem habuerunt. Ait ergo : O Domine, auditione dignissima sunt quæ tu ipse operatus es, et præstantiora multo quam quæ nihilominus abs te per Mosen bene gesta sunt. Non
B enim fluminibus iram inferes : non facies impetum in mare. Non in illis alicunde divinæ potestatis tuæ miracula fulgebunt : « Sed ascendes potius super equos tuos, et equitatio tua salus. » Rursum, quinam vero sint isti equi? Beati discipuli, apostolique, et evangelistæ ; illi divinæ ejus voluntati penitus subjecti ; illi faciles, et obsequentes, et ad omnia ei placita parati, Christum sessorem portantes, quorum unus est beatus Paulus, de quo ipse dicit : « Vas electionis est mihi iste, ut portet nomen meum coram gentibus[1]. » Celerrimi sane equi isti, totum orbem peragrantes. Sic etiam currus Dei « decem millibus multiplex[2] » dicitur, chiliadas habens aurigantium. Innumeri enim suis
C quique temporibus, et post illos populorum duces fuerunt, et qui cervices mentium Salvatoris jugo subjicerent, et ubique terrarum gloriam ejus circumferrent, et verbum veritatis recte tractarent[3], ac velut totam terram equestri virtute subigerent. « Salus autem equorum, sive equitationis. » Non enim frustra cucurrerunt, sed ut salvarentur urbes, regiones et gentes, simul Christo dæmonum imperia evertente, qui pro libidine sua totum terrarum orbem, ut verbo comprehendam, distribuerunt, et incolas ejus sibi subdiderunt. Quoniam autem veteres dæmonum principatus casuri erant, ideo jure ait : « Intendens intendes arcum tuum supra sceptra. » Impetum enim facies, ut modo dixi, non in fluminibus, aut mari : sed dæmonum
D potius sceptra subvertes.

VERS. 10. *Fluviorum findetur terra. Videbunt te, et parturient populi. Dispergens aquas itineris ejus.*

LI. Iterum Salvatoris præclarorum operum meminit, et aliis gentibus, contra quas arcus intenditur, sive intendetur, etiam terram fluviorum appositum iri dicit, Babyloniorum fortassis terram **565** insinuans : ipsa enim tunc erant fluviorum media, ut per hoc rursum, tanquam ex imagine, hostium sub sensum et sub intelligentiam venientium atque inaspectabilium multitudo significetur,

[1] Act. IX, 15. [2] Psal. LXVII, 18. [3] II Tim. II, 15.

Digitized by Google

contra quam sanctis lucta [4]. Tectus est autem quodammodo semper prophetarum sermo. Itaque ut ex media fluviorum, Babyloniorum terra significatur, et per ipsam ænigmate quodam dæmoniorum grex. Aut forsitan aliud quidpiam propheticus sermo sibi vult. Fluviorum enim terram Judæorum regionem videtur appellare, quod in ea plurimi prophetæ exstiterint, qui fluviorum instar gentem irrigarent, et quasi divinis fluentis inundarent. De quibus et beatum Davidem dixisse arbitror : « Flumina plaudent manu simul [5]. » Et ore Isaiæ Deus : « Benedicent mihi bestiæ agri, sirenes et filiæ struthionum, quia dedi in deserto aquam, et flumina in terra inaquosa, ut bibere faciam genus meum electum, populum meum quem acquisivi, virtutes meas ut narret [6]. » Dominus enim noster Jesus Christus torrens deliciarum [7] vocatus est, et est revera. Quinimo fluvius : alicubi enim per voces sanctorum de eo dicit : « Ecce ego declino super eos ut fluvius pacis, et ut torrens inundans gloriam gentium [8]. » Item voce Davidis : « Fluminis impetus lætificant civitatem Dei [9]. » Nihil autem absonum, ex quadam similitudine illius etiam ipsos sanctos fluvios appellari, velut conformes ipsi factos, quod intelligi potest. Sicut enim ipse lux vera est [10], » dixit tamen sanctis apostolis : « Vos estis lux mundi [11] ; » ita, cum sit ipse fluvius et aqua viva, donat tamen iisdem sanctos quoque gloriari. Terra ergo fluviorum spiritualium, Judæa nempe, non sustinens bibere aquam vivam, et neque sanctorum prophetarum verba, neque Mosis etiam admittens, « Si enim credidissent Mosi, credidissent etiam Christo, de ipso enim ille scripsit [12], » findetur, hoc est, sitiet; finditur enim terra sitiens. Miratur itaque propheta, et quasi morate dicit : Quæ terra olim multos habebat fluvios, divinorumque fluentorum copiam uberrimam sitiens, hæc minime irrigua erit. Ubi autem te, Domine, mente et animo viderunt advenisse populi, inquit, hoc est, qui de gentibus intellexerunt mysterium tuum, mox in partitudine arripuerunt bonum, et fructiferi facti sunt. Quibus dicere etiam licuit : « Propter timorem tuum, Domine, in utero accepimus, et parturivimus, et peperimus. **566** Spiritum salutis tuæ fecimus super terram [13]. » Qui enim Emmanuelem pro Salvatore et Liberatore suo vindicare cœperunt, divinum timorem parturiunt, et omnis partus mentis erit ipsis fructus virtutis, studiumque in spiritum salutis desinit. Itaque videbunt te, et parturient populi, ubi fluentum tuum biberint, et evangelicis laticibus inebriati fuerint. Accesserunt enim certatim ad dicentem : « Si quis sitit, veniat ad me, et bibat [14]. « Tam enim erat in donis eximiis liberalis et bonus, ut etiam in ipsis itineribus aquas, hoc est, evangelicæ doctrinæ sermonem vivificum dispergeret. Nam ut est apud Matthæum :

A τῶν προφητῶν ὁ λόγος. Οὐκοῦν ὡς ἐκ τῆς μέσης τῶν ποταμῶν, ἡ Βαβυλωνίων σημαίνεται γῆ, καὶ δι' αὐτῆς αἰνιγματωδῶς ἡ τῶν δαιμονίων ἀγέλη. Ἢ τάχα τι καὶ ἕτερον ἡμῖν ὁ προφητικὸς ὑπεμφαίνει λόγος. Ποταμῶν γὰρ ἔοικε γῆν τὴν Ἰουδαίαν καλεῖν, διά τοι τὸ πλείστους ἐν αὐτῇ γενέσθαι προφήτας, ποταμῶν δίκην τὸ ἔθνος κατάρδοντας, καὶ οἷον θείοις νάμασιν ἐπικλύζοντας. Περὶ ὧν, οἶμαί πως, φησὶ καὶ ὁ μακάριος Δαβίδ· « Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. » Καὶ μὴν διὰ φωνῆς Ἡσαΐου Θεός· « Εὐλογήσει με τὰ θηρία τοῦ ἀγροῦ, σειρῆνες, καὶ θυγατέρες στρουθῶν, ὅτι ἔδωκα ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν γῇ ἀνύδρῳ ποτίσαι τὸ γένος μου, τὸν ἐκλεκτὸν λαόν μου, ὃν περιεποιησάμην τὰς ἀρετάς μου διηγεῖσθαι. » Ὁ μὲν γὰρ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς χειμάρρους B τρυφῆς ὠνόμασται, καὶ ἔστιν ἀληθῶς, καὶ μέντοι καὶ ποταμός· ἔφη γάρ που περὶ ἑαυτοῦ διὰ φωνῆς ἁγίων· « Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν. » Εἴρηται δὲ καὶ διὰ φωνῆς τοῦ Δαβίδ· « Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. » Αὖπερ δὲ οὐδὲν καθ' ὁμοιότητα τὴν πρὸς αὐτὸν, καὶ αὐτοὺς τοὺς ἁγίους ὀνομάζεσθαι ποταμούς, ἅτε δὴ συμμόρφους γεγονότας αὐτῷ νοητῶς. Ὥσπερ γάρ ἐστι τὸ φῶς μὲν αὐτὸς τὸ ἀληθινὸν, ἔφη δὲ τοῖς ἁγίοις ἀποστόλοις· « Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου· » οὕτω καὶ ποταμὸς ὑπάρχων αὐτὸς, καὶ μέντοι καὶ ὕδωρ ζῶν, χαρίζεται τὸ τοῖς ἴσοις ἐπισεμνύνεσθαι καὶ τοῖς ἁγίοις. Ἡ τοίνυν γῆ τῶν νοητῶν ποταμῶν, τουτέστιν ἡ Ἰουδαία, πιεῖν οὐκ ἀνεχομένη τὸ ὕδωρ τὸ C ζῶν, καὶ τὸν τῶν ἁγίων προφητῶν οὐκ εἰσδεξαμένη λόγον, οὔτε μὴν τὸν Μωσέως (« Εἰ γὰρ ἐπίστευσαν Μωσεῖ, ἐπίστευσαν ἂν καὶ Χριστῷ· περὶ γὰρ αὐτοῦ ἐκεῖνος γέγραφε. »), ῥαγήσεται, τουτέστι διψήσεται· ῥήγνυται γὰρ ἡ διψῶσα γῆ. Καταθαυμάζει δὴ οὖν ὁ προφήτης, καὶ οἷον ἐν ἤθει φησί· Ἡ πάλαι πολλοὺς ἔχουσα ποταμοὺς, καὶ τῶν θείων ναμάτων δαψιλεστάτην τὴν χορηγίαν, διψᾷς καὶ ἀνάρδευτος ἔσται γῆ. Ἐπειδὴ δέ σε, φησὶ, Δέσποτα, τεθέανται νοητῶς ἐπιφανέντα λαοὶ, τουτέστιν, οἱ ἐξ ἐθνῶν συνέντες τὸ ἐπὶ σοὶ μυστήριον, ἔλαβον εὐθὺς ἐν ὠδῖσι τὸ ἀγαθὸν, ἔγκαρποί τε γεγόνασιν. Ἁρμόσειε δ' ἂν αὐτοῖς καὶ λέγειν· « Διὰ τὸν φόβον σου, Κύριε, ἐν γαστρὶ ἐλάβομεν, καὶ ὠδινήσαμεν καὶ ἐτέκομεν. Πνεῦμα σωτη- D ρίας σου ἐποιήσαμεν ἐπὶ τῆς γῆς. » Οἱ γὰρ Σωτῆρα καὶ Λυτρωτὴν ἐπιγραψάμενοι τὸν Ἐμμανουὴλ, τὸν θεῖον ὠδίνουσι φόβον, καὶ πᾶν αὐτοῖς ἔσται κύημα νοῦ, καρπὸς ἀρετῆς, καὶ εἰς πνεῦμα σωτηρίας ἐκτελευτήσει τὸ σπούδασμα. Οὐκοῦν ὄψονται σε, καὶ ὠδινήσουσι λαοὶ τὸ σὸν ἐκπιόντες νᾶμα, καὶ τοῖς εὐαγγελικοῖς νάμασιν ἐκμεμεθυσμένοι. Προσῆσαν γὰρ φιλοτίμως λέγοντι· « Εἴ τις διψᾷ, ἐρχέσθω πρός με. » Ἦν γὰρ οὕτω πλουσιόδωρός τε καὶ ἀγαθὸς, ὡς καὶ ἐν αὐταῖς ταῖς πορείαις σκορπίζειν ὕδατα, τουτέστι, τὸν ζωοποιὸν τῆς εὐαγγελικῆς παιδεύσεως λόγον. Ὡς γάρ φησιν ὁ Ματθαῖος, « Περιῆγεν ὁ Ἰησοῦς πᾶσας

[4] Ephes. VI, 12 seqq. [5] Psal. XCVII, 8. [6] Isa. XLIII, 20, 21. [7] Psal. XXXV, 9. [8] Isa. LXVI, 12. [9] Psal. XLV, 5. [10] Joan. I, 9. [11] Matth. V, 14. [12] Joan. V, 46. [13] Isa. XXVI, 18. [14] Joan. VII, 37.

Digitized by Google

τὰς πόλεις καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ. » Τοῦτο, οἶμαι, ἐστὶ τὸ, « Σκορπίζων ὕδατα πορείας αὐτοῦ. » Ὅτι δὲ τῆς θεοπνεύστου διδασκαλίας ὁ λόγος ὕδωρ ὠνόμασται πανταχοῦ παρά γε τοῖς ἱεροῖς Γράμμασι, πῶς ἔστιν ἀμφιβάλλειν;

Ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας αὐτοῦ. Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς εἰς φῶς.

NB'. Τοὺς ὠδινήσαντας λαοὺς, καὶ ἀναριθμήτους ὄντας ἀποφαίνει· τοιαύτη γὰρ ἡ ἄβυσσος, ὀνόματι δὲ τῷ τοιῷδε καὶ ἡ τῶν ἁγίων ἀγγέλων κέκληται πληθὺς διὰ φωνῆς Ἰεζεχιήλ. Καὶ γοῦν ἔφη που Θεὸς ὡς ἐκ προσώπου τοῦ ἄρχοντος Τύρου περὶ τοῦ Σατανᾶ, ὅτε ἐξέπεμπεν αὐτὸν εἰς τὸν ᾅδην· « Ἐθρήνησεν ἡ ἄβυσσος ἐπ' αὐτῷ. » Κατενηνεγμένου γὰρ καὶ πεπτωκότος τοῦ πάντων ἐπέκεινα καὶ ἐν δόξῃ προὔχοντος, ὃς καὶ μετ' αὐτῶν ἐτέθειτο τῶν Χερουβὶμ, κατὰ τὴν αὐτοῦ τοῦ προφήτου φωνὴν, τὸ ἀπεικὸς οὐδὲν, σφόδρα λελυπῆσθαι τὴν νοητὴν ἄβυσσον, τουτέστι, τὰς τῶν ἄνω πνευμάτων ἀγέλας, μονονουχὶ δὲ καὶ ἐπιστυγνάσαι πεπονθότι καὶ τῷ τῶν ὅλων προσκεκρουκότι Θεῷ. Οὐκοῦν ἡ ἄβυσσος, φησὶ, τουτέστιν ἡ ἀμέτρητός τε καὶ ἀκατάληπτος τῶν πεπιστευκότων πληθὺς, καὶ μέντοι τὸ ὕψος τῆς ἐν αὐτῇ φαντασίας, τουτέστι, πᾶν ὅσον ἐστὶν ἐν αὐτῇ λαμπρόν τε καὶ ἐπηρμένον, καὶ ταῖς ἐν τῷδε τῷ κόσμῳ φαντασίαις, ἤτοι δόξαις κεναῖς, κατηγλαϊσμένον, ἔδωκε φωνὴν αὐτῆς. Δοξολογεῖται γὰρ ὁ Χριστὸς παρὰ παντὸς ἀνθρώπων ἔθνους, καὶ τοῦτο δρῶντας προθύμως κατίδοι τις ἂν μικροὺς καὶ μεγάλους, λαμπροὺς καὶ ἀσήμους, καὶ τοὺς τῶν ἄλλων περιφανεστέρους, καὶ ὑπεροχὴν ἔχοντας ἢ τὴν ἐν δόξῃ τυχὸν, ἢ τὴν ἐν πλούτῳ καὶ λαμπρότητι τῇ κατὰ τὸν βίον. Ἁλίαν ὀρθῶς ὠνόμασε φαντασίας· οὐδὲν γὰρ ἕτερον αὐτοῖς ἢ δόκησις· « Ὅτι πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος. » Ὅτι δὲ ἔδωκεν ἡ ἄβυσσος τὴν φωνὴν αὐτῆς, καὶ ταῖς εὐφημίαις καταγεραίρουσι τὸν Κύριον Ἰησοῦν τὸν Χριστὸν μικροὶ καὶ μεγάλοι, σαφηνίζει λέγων καὶ ὁ μακάριος Δαβίδ· « Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς, δράκοντες, καὶ πᾶσαι ἄβυσσοι. » Προσθεὶς δὲ δὴ τούτοις, « Ὄρη καὶ βουνοὺς, ξύλα τε καρποφόρα, καὶ πάσας κέδρους, θηρία τε καὶ κτήνη, ἑρπετὰ καὶ πετηνὰ πτερωτὰ, » προσεπάγει πάλιν· « Ἄρχοντες, καὶ πάντες κριταὶ γῆς, νεανίσκοι καὶ παρθένοι, πρεσβύτεροι μετὰ νεωτέρων αἰνεσάτωσαν τὸ ὄνομα Κυρίου. » Ἔφη δὲ καὶ ὁ μέγας ἡμῖν Ἡσαΐας περὶ αὐτοῦ· « Βασιλεῖς ὄψονται αὐτὸν καὶ φοβηθήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ. » Ἀποδίδωσι δὲ ὥσπερ τὴν αἰτίαν, τοῦ τὴν ἄβυσσον, καὶ μέν τοι τὸ ὕψος τῆς φαντασίας αὐτῆς δοῦναι τὴν φωνὴν, ἐπάγων εὐθύς· « Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς εἰς φῶς. » Ὅσπερ τὴν ἄβυσσον νενοήκαμεν, οὐ κατά γε τὸν ἐν αἰσθήσει λόγον

A « Circumibat Jesus omnes civitates et castella, docens in synagogis eorum, et prædicans Evangelium regni, et sanans omnem morbum, et omnem languorem in populo [15]. » Hoc, opinor, est, « Spargens aquas itineris sui. » Divinitus autem inspiratæ doctrinæ sermonem ubique per sacram Scripturam appellari aquam, qui potest dubitari? »

B

C

D

VERS. 11. *Dedit abyssus vocem suam, altitudo phantasiæ ipsius. Elevatus est sol, et luna stetit in ordine suo ad lucem.*

LII. Populos qui parturiverunt etiam innumerabiles esse ostendit : talis est enim abyssus, fundo scilicet carens ; qua voce et sanctorum angelorum multitudo per Ezechielem nominata est. Ait igitur apud eum Deus de Satana sub persona principis Tyri, quando eum ejecit in infernum : « Lamentata est abyssus super eo [16]. » Deturbato enim et delapso, qui eminebat omnibus et gloria præcellebat, qui inter cherubim ipsos numerabatur, ut idem propheta testatur, nihil est incredibile abyssum quæ intelligentia cernitur, hoc est, supernorum spirituum agmina, non mediocriter doluisse, et tantum non super misero, qui Deum universorum offenderat, etiam ingemuisse. Quare abyssus, inquit, id est, immensa atque incomprehensa credentium multitudo, atque etiam omne quod in ea splendidum et excelsum est, et phantasiis sive gloria inani hujus mundi illustratum, dedit vocem suam. Glorificatur enim Christus ab omni gente humana, et id alacriter facere videas licet parvos et magnos, claros et obscuros, et aliis insigniores, et superiores seu honore puta, seu divitiis, et splendore hujus vitæ. **567** Quæ aptissime phantasias nominavit, quando præter opinionem nihil sunt : « Quia omnis caro fenum, et omnis gloria hominis tanquam flos [17]. » Dedisse autem abyssum vocem suam, et laudibus venerari Dominum nostrum Jesum Christum parvos et magnos, demonstrat item beatus David : « Laudate Dominum de terra, dracones et omnes abyssi [18]. » Ubi autem his addidit : « Montes et colles, ligna fructifera, et omnes cedros, bestias et pecora, serpentia et volatilia pennata, » rursum adjungit, « Principes et omnes judices terræ, juvenes et virgines, seniores cum junioribus laudent nomen Domini [19]. » Etiam magnus Isaias de eo : « Reges videbunt eum, et consurgent principes, et adorabunt eum [20]. » Affert autem quodammodo rationem cur abyssus, atque etiam altitudo phantasiæ ipsius vocem det, mox subjungens : « Elevatus est sol, et luna stetit in ordine suo ad lucem. » Sicut abyssum intelleximus non secundum rationem sensus (est enim nimis crassus), sed spiritualiter potius et secundum intellectum, ita nunc non in elementis, sole, inquam, et luna mentis oculum defigemus, verum ex similitudine ab illis ducta ad potiora transilientes, quid valeat sententia intuebimur. Itaque

[15] Matth. IX, 35. [16] Ezech. XXXI, 14. [17] Isa. XL, 6; I Petr. I, 24. [18] Psal. CXLVIII, 7. [19] Ibid. 9-13. [20] Isa. XLIX, 7.

Digitized by Google

solem quidem velut lucidam et fulgentem evangelicorum oraculorum arcanam disciplinam, lunam vero minorem et tenuiorem legis lucem ut in nocte et tenebris, ante adventum Christi lucentis accipimus. Vocata est enim dies qua Christus illuxit, sol justitiæ [21], intellectualis lucifer in cordibus credentium exoriens [22]. Quamobrem divinus David, « Hæc est, inquit, dies quam fecit Dominus, exsultemus et lætemur in ea [23]. » Quemadmodum vero depressus, et vix adhuc supra terram se sustollens hic sol sub aspectum veniens, nondum late fusum et clarum, sed quasi contractum in se lumen suum habet; ubi autem altius ascenderit, radios circumquaque lucidissimos projicit: ita et doctrina per Christum, evangelica nempe, principio quidem angusta et contracta erat, et a multis ignorabatur, verum propemodum solis instar et exoriens, et in altum paulatim procedens, et quaquaversum divinæ cognitionis lucem diffundens, obstupefecit abyssum, hoc est, omne genus hominum; proinde et vocem dedit. Celebrat enim laudibus, ut dixi, **568** Emmanuelem, et Deum, et omnium Dominum ac Redemptorem nominat. Elevatus est igitur sol, nihilominus et luna, hoc est, lex stetit in ordine suo in lucem. Evangelicæ enim institutioni Mosaica cedit, et hic illi ordo est, quoniam et umbra et typus est [24]. Postquam autem plenitudo legis et prophetarum Christus resplenduit, etiam lex fulsit. Nam olim per ipsam prænuntiatis quæ contigerunt comparantes, ipsam quoque legis lucem Christi mysterium multis modis et pulchre nobis tanto ante informantis jam admiramur. Stetit ergo in lucem. Beatos porro et ipse Christus prædicat, qui legalem simul et evangelicam doctrinam animis complexi sunt. Sic enim ait: « Ideo dico vobis quia omnis scriba doctus, hoc est legislator, in regno cœlorum, similis est homini diviti qui profert de thesauro suo nova et vetera [25]. » Sed aliam horum verborum explanationem ne aspernemur, haud improbabilem, ut mihi videtur, quin potius ad verisimilitudinem accedentem propius. Solem, et scitissime quidem, Emmanuelem dictitamus: sic enim nominatus est (a Malachia), et vere sol est [26]. Ast lunam ut ex similitudine elementi dici existimandum est Ecclesiam Dei, apparentem his qui in tenebris sunt, et in nocte collucentem. Quando igitur juxta vocem prophetæ elevatus est sol: crucem enim pretiosam Christus propter nos ascendit: tunc etiam Ecclesia ex gentibus lumen dedit, et stetit in ordine suo ad lucem, hoc est, plena lumine, ut luna quædam, et ordinem orbis sui servans, lux facta est iis qui versabantur in tenebris, ut modo dicebam. Christo autem exaltato, et crucem pro omnium vita perpesso, deinceps Ecclesiam stetisse ipsemet docet, cum ait: « Amen, amen dico vobis, nisi granum frumenti cadens in terram mortuum fuerit, ipsum solum manet; si

A (παχὺς γὰρ λίαν), πνευματικῶς δὲ μᾶλλον καὶ νοητῶς· οὕτω καὶ νῦν οὐχὶ τοῖς στοιχείοις, ἡλίῳ τε, φημὶ, καὶ σελήνῃ, τὸν τῆς διανοίας ἐνήσομεν ὀφθαλμόν· ἀλλ' ἐξ ὁμοιότητος τῆς ἀπ' αὐτῶν ἐπὶ τὰ ἀμείνω διάττοντες, τὴν τῶν νοημάτων δύναμιν κατοψόμεθα. Οὐκοῦν ἥλιον μὲν τὴν φωτοειδῆ τε καὶ ἔκλαμπρον τῶν εὐαγγελικῶν θεσπισμάτων μυσταγωγίαν, σελήνην τε αὖ τὸ μεῖόν τε καὶ ἀμυδρότερον τοῦ νόμου φῶς, φαίνοντος ὡς ἐν νυκτὶ καὶ σκότει τοῦ πρὸ τῆς ἐπιδημίας καιροῦ. Κέκληται γὰρ ἡμέρα, καθ' ἣν ἀνέλαμψεν ὁ Χριστὸς, ὁ τῆς δικαιοσύνης ἥλιος, ὁ νοητὸς ἑωσφόρος, ἐν καρδίαις ἀνατέλλων τῶν πεπιστευκότων. Καὶ γοῦν ὁ θεσπέσιος Δαβὶδ, « Αὕτη ἡ ἡμέρα, φησὶν, ἣν ἐποίησεν ὁ Κύριος· ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. » Ὥσπερ δὲ χθαμαλὸς ὢν ἔτι, καὶ μόλις ἀν-
B ίσχων τῆς γῆς ὁ αἰσθητὸς ἥλιος, οὕπω μὲν εὐρὺ καὶ λαμπρὸν, συνεσταλμένον δὲ ὥσπερ ἐν ἑαυτῷ τὸ ἴδιον ἔχει φῶς, ἀνατέλλων γε μὴν ὑψοῦ, φαιδρότατα τῆς ἀπανταχοῦ τῆς ἀκτῖνος ποιεῖται τὴν ἐκβολήν· οὕτω καὶ ἡ διὰ Χριστοῦ παίδευσις, τουτέστιν, ἡ εὐαγγελικὴ, συνεστέλλετο μὲν ἐν ἀρχῇ, καὶ ἠγνοεῖτο πολλοῖς. Ἡλίου δὲ δίκην μονονουχὶ καὶ ἀνίσχουσα, καὶ εἰς ὕψος ἰοῦσα κατὰ βραχὺ, καὶ τὴν τῆς θεογνωσίας αὐγὴν ἱεῖσα πανταχῇ καταπλήττει τὴν ἄβυσσον, τουτέστι, πᾶν ἀνθρώπων ἔθνος· τοιγάρτοι καὶ δέδωκε τὴν φωνήν. Δοξολογεῖ γὰρ, ὡς ἔφην, καὶ Θεὸν ὀνομάζει, καὶ τῶν ὅλων Κύριον, καὶ Λυτρωτὴν τὸν Ἐμμανουήλ. Ἐπήρθη οὖν ὁ ἥλιος, οὐδὲν ἧττον καὶ ἡ σελήνη, τουτέστιν, ὁ νόμος, ἔστη ἐν τῇ τάξει αὐτῆς εἰς φῶς. Κατόπιν μὲν γὰρ τῆς εὐαγγελικῆς παιδεύσεώς ἐστιν ἡ
C διὰ Μωσέως, καὶ αὕτη τάξις αὐτῇ, ὅτι καὶ σκιὰ καὶ τύπος. Ἐπειδὴ δὲ πλήρωμα νόμου καὶ προφητῶν ὁ Χριστὸς ἐξέλαμψε, ἐξέλαμψε καὶ ὁ νόμος. Τοῖς γὰρ πάλαι δι' αὐτοῦ προαπηγγελμένοις τὰ ἐκβεβηκότα συμβάλλοντες τεθαυμάκαμεν, ἤδη δὲ καὶ αὐτοῦ τοῦ νόμου τὸ φῶς προανατυποῦντος ἀστείως κατὰ πολλοὺς ἡμῖν τρόπους τὸ Χριστοῦ μυστήριον. Ἔστη δὴ οὖν εἰς φῶς. Μακαρίζει δὲ καὶ αὐτὸς ὁ Χριστὸς τοὺς συνενεγκόντας ἐν ἑαυτοῖς νομικήν τε ἅρα παίδευσιν καὶ εὐαγγελικήν. Ἔφη γὰρ οὕτω· « Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶς γραμματεὺς, τουτέστιν, ὁ τὸν νόμον εἰδὼς, μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὁμοιός ἐστιν ἀνθρώπῳ πλουσίῳ, ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ νέα καὶ παλαιά. » Παραδεξώμεθα
D δὲ ἕτερον ἐπὶ τῷδε νοῦν, οὐκ ἀπίθανον, ὡς γέ μοι φαίνεται, βαίνοντες δὲ μᾶλλον τοῦ εἰκότος ἐγγύς. Ἥλιον μὲν γάρ φαμεν, καὶ μάλα ὀρθῶς, τὸν Ἐμμανουήλ· ὠνόμασται γὰρ οὕτω, καὶ ἔστιν ἀληθές. Σελήνην δὲ λέγεσθαι νομιστέον, ὡς ἐξ ὁμοιότητος τοῦ στοιχείου, τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, φαίνουσαν τοῖς ἐν σκότει, καὶ ἐν νυκτὶ διαλάμπουσαν. Ὅτε τοίνυν ἐπήρθη ὁ ἥλιος κατὰ τὴν τοῦ προφήτου φωνὴν (ἀναβέβηκε γὰρ ὑπὲρ ἡμῶν ὁ Χριστὸς ἐπὶ τὸν τίμιον σταυρὸν), τότε καὶ ἀνέλαμψεν ἡ ἐξ ἐθνῶν Ἐκκλησία, καὶ ἔστη ἐν τῇ τάξει αὐτῶν εἰς φῶς, τουτέστι, πλησιφαὴς οἷά τις σελήνη· καὶ τὴν τάξιν τοῦ ἰδίου σώ-

[21] Malach. IV, 2. [22] II Petr. I, 19. [23] Psal. CXVII, 24. [24] Hebr. X, 1. [25] Matth. XIII, 52. [26] Malach. IV, 2.

Digitized by Google

ζουσα κύκλου, φῶς γέγονε τοῖς ἐν σκότει, καθάπερ ἔφην ἀρτίως. Ὅτι δὲ, ὑψουμένου καὶ τὸν ὑπὲρ τῆς τῶν πάντων ζωῆς ἀνατλάντος σταυρὸν, συνέστη λοιπὸν ἡ Ἐκκλησία, διδάξει λέγων αὐτός· « Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν ἀποθάνῃ, αὐτὸς μόνος μενεῖ· ἐὰν δὲ ἀποθάνῃ, καρπὸν πλείονα φέρει. » Καὶ πάλιν· « Κἀγὼ ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Οὐκοῦν τὸ ὑψῶσαι τὸν ἥλιον, σημαίνει που πάντως τὸ ἐπὶ τοῦ σταυροῦ πάθος, ἤγουν τὴν εἰς οὐρανοὺς ἀναφοίτησιν· ὑψῶσαι γὰρ δὴ καὶ ὧδέ φαμεν.

A autem mortuum fuerit, multum fructum affert [27]. » Et rursum : « Et ego si exaltatus fuero e terra, omnes traham ad me ipsum [28]. » Quocirca solis exaltatio passionem in cruce certo, sive reditum in cœlum significat : nam et ita exaltatum dicimus.

Βολίδες σου πορεύσονται εἰς φέγγος ἀστραπῆς ὅπλων σου.

ΝΓ'. Βολίδας ἐνταῦθά φησιν τὰς ἀνὰ πᾶσαν ἰούσας τὴν γῆν, καὶ ὡς ἀπὸ τόξου πεμπομένας, ἤγουν χειρὸς εὐμενοῦς, τοὺς ἁγίους ἀποστόλους καὶ εὐαγγελιστὰς, περὶ ὧν ἔφη που καὶ ὁ μακάριος Δαβίδ· « Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ τῶν ἐκτετιναγμένων. » Ἐξετινάχθη γὰρ καὶ ἐκβέβληται τὸ τῶν Ἰουδαίων ἔθνος, διά τοι τὸ ἐμπαροινῆσαι Χριστῷ, καλοῦντι πρὸς ζωήν. Οἵ γε μὴν ἐκείνων υἱοὶ, καὶ ἐξ αἵματος ὄντες τοῦ Ἰσραὴλ, οἱ ἀπόλεκτοι μαθηταὶ, βολίδες τε καὶ βέλη γεγόνασιν, οἷον ἐκ χειρὸς τρέχοντες τῆς ἀλκιμωτάτης, καὶ παντὸς εὐκόλως διικνούμεναι τοῦ πληττομένου πρὸς θάνατον. Αἱ βολίδες τοιαῦται ἀποστίλδονται μὲν, ὡς ἀπὸ χειρὸς τοῦ Χριστοῦ, ἐμπήγνυνται δὲ τοῖς τοῦ διαβόλου σπλάγχνοις, καὶ ἀναιροῦσι τὸν δράκοντα. Καὶ γοῦν ὁ μακάριος Δαβὶδ ἀναμέλψει που, λέγων πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστόν· « Τὰ βέλη σου ἠκονημένα, δυνατά (λαοὶ ὑποκάτω σου πεσοῦνται) ἐν καρδίαις τῶν ἐχθρῶν τοῦ βασιλέως. » Οὐκοῦν δαπανῶνται μὲν τοῖς τοιοῖσδε βέλεσι τὰ τῶν δαιμόνων στίφη, καὶ πρὸς ὀλέθρου γίνονται τοῖς ἐχθροῖς. Τοῖς γε μὴν ἐπεγνωκόσι τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τετιμηκόσι διὰ τῆς πίστεως, ἑτέραν ἀποπληροῦσι χάριν. Τετρωμένους γὰρ ἀγάπῃ ἐργάζονται, κατά γε τὴν λέγουσαν νύμφην ἐν τῷ Ἄσματι τῶν ἀσμάτων· « Ὅτι τετρωμένη ἀγάπῃ ἐγώ εἰμι. » Εὑρίσκονται δὲ καὶ ἑτέρως φέγγος ἀστραπῆς τῶν ὅπλων αὐτοῦ· ὅπλα δὲ αὐτοῦ νοηθεῖεν ἄν, οἷς καὶ ἡμᾶς αὐτοὺς ἐναρμόσασθαι δεῖν ὁ μακάριος Παῦλος ἐπιτάττει λέγων· « Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ· αὕτη δέ ἐστιν ὁ θώραξ τῆς δικαιοσύνης, ἡ περικεφαλαία τοῦ σωτηρίου, ὁ θυρεὸς τῆς πίστεως, τὸ ὑποδεδέσθαι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, ἡ μάχαιρα τοῦ πνεύματος. » Οὐκοῦν ὅπλα μὲν τὰ τοιάδε Χριστοῦ, οὐκ αὐτὸν περιβάλλοντα, παρ' αὐτοῦ δὲ μᾶλλον τοῖς ἀξίοις δωρούμενα. Λαμπρὰ δὲ τὰ ὅπλα, καὶ οἷον ἀστραπῆς ἔμπλεα. Φανότατον γὰρ ἡ ἀρετή. Αἱ τοίνυν βολίδες εἰς φῶς ἔσονται τῆς ἀστραπῆς τῶν ὅπλων σου. Ὅτι γὰρ ἀστράψουσι τὰ ὅπλα, φωτιοῦσιν αὐτοὶ διδάσκοντες τοὺς ἡγνοηκότας. Παρὰ μὲν γὰρ τοῖς φιλαμαρτήμοσιν ἀκαλλή[ς] τίς ἐστιν ἡ ἀρετὴ, καὶ οὔπω λαμπρὰ παρὰ δέ γε τοῖς εἰδόσιν αὐτὴν, οὐδὲν ἀστραπῆς ἧττον, λαμπρὸν καὶ διαφανῆ, καὶ τοῖς πανταχοῦ γνωριμώτατον ἀπυτελοῦσα τὸν ἄνθρωπον. Πρῶτοι δὴ οὖν οἱ θεσπέσιοι μαθηταὶ, τὴν τῶν σῶν ὅπλων ἔχοντες ἀστραπὴν, ἔσονται καὶ ἑτέροις εἰς φέγγος αὐτῆς. Ὅνπερ

Jacula tua ibunt in splendore coruscationis armorum tuorum.

LIII. Jacula hic totum mundum pervadentia, et tanquam ex arcu, seu manu benevola emissa, sanctos apostolos et evangelistas nuncupat, de quibus est etiam apud beatum Davidem : **569** « Sicut sagittæ in manu potentis, ita filii excussorum [29]. » Excussa enim et ejecta est Judæorum natio, quoniam in Christum ad vitam invitantem perbacchata est. Eorum autem filii, et de sanguine Israelis oriundi, electi discipuli jacula et sagittæ fuerunt volantes veluti e manu robustissima, et quemvis ad mortem percussum facile penetrantes. Jacula hujusmodi, ut a manu Christi, fulgent illa quidem, diaboli autem visceribus infiguntur draconemque interficiunt. Quare et beatus David rursum quodam loco canit, Dominum nostrum Jesum Christum alloquens : « Sagittæ tuæ acutæ, et potentes (populi sub te cadent) in cordibus inimicorum regis [30]. » Consummuntur itaque istiusmodi jaculis dæmonum catervæ, et inimicis exitialia fiunt. Eos autem qui adventum ejus cognoverunt, eumque per fidem honorarunt, alia implet gratia. Charitate quippe vulneratos efficiunt, juxta verbum sponsæ in Canticis canticorum : « Quoniam vulnerata charitate ego sum [31]. » Inveniuntur item aliter splendor coruscationis armorum ejus : si arma ipsius intelligantur, quibus et nos armari beatus Paulus serio jubet, his verbis : « Induite vos armaturam Dei, quæ sunt lorica justitiæ, galea salutis, scutum fidei, calceari pedes in præparationem Evangelii pacis, gladius spiritus [32]. » Christi igitur arma talia sunt, non quidem ipsum circumdantia, sed ab ipso potius dignis donata. Sunt autem arma splendida et quasi fulgurantia. Virtus siquidem lucidissima est. Jacula ergo in lumen erunt coruscationis armorum tuorum. Quia enim arma fulgebunt, ipsi illuminabunt, docentes ignorantes. Apud peccatores enim virtus deformis est et obscura adhuc : illustris autem iis qui cognoverunt, non minus quam fulgur clarum atque illustrem, et omnibus mortalibus notissimum reddens hominem. Primum igitur divini discipuli tuorum armorum coruscationem habentes, erunt aliis quoque in splendorem ejus. Sicut namque medici ex oculis laborantes, et lumen radiorum solarium fugientes cum sanant, persuadent illis ut de cætero luminis accessum perferant, et quasi quoddam lumen illis facti non injuria sane videntur : **570** ita quoque divini di-

[27] Joan. XII, 24, 25. [28] ibid. 32. [29] Psal. CXXVI, 4. [30] Psal. XLIV, 6. [31] Cant. IV, 9. [32] Ephes. VI, 16, 17.

Digitized by Google

scipuli virtutes admirantes et meditantes, quæ et in arma Christi constitutæ sunt, veluti splendor quidam coruscationis earum, sive illuminatores aliorum inveniuntur.

γὰρ τρόπον οἱ τῆς ἰατρικῆς ἐμπειρίας ἐπιστήμονες, τοὺς ταῖς ὁμμάτων ἀῤῥωστίαις ἐμπεπτωκότας, καὶ τὸ τῆς ἡλιακῆς ἀκτῖνος φεύγοντας φῶς, ἀπαλλάττοντες τοῦ πάθους, τῆς τοῦ φωτὸς προσβολῆς ἀνέχεσθαι

λοιπὸν ἀναπείθουσι, καὶ φέγγος ὥσπερ τι γεγονότες αὐτοῖς ἁλοῖεν ἂν, καὶ μάλα εἰκότως· οὕτω καὶ οἱ θεσπέσιοι μαθηταὶ, θαυμάζοντές τε καὶ ἐπινοοῦντες τὰς ἀρετὰς, αἳ καὶ εἰς ὅπλα τετάχαται τοῦ Χριστοῦ, φέγγος ὥσπερ τι τῆς ἐνούσης αὐταῖς ἀστραπῆς, ἤγουν ἐκλάμψαντες τοῖς ἄλλοις εὑρίσκονται.

VERS. 12. *In comminatione imminues terram, et in furore detrahes gentes.*

Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν, καὶ ἐν θυμῷ καθάξεις ἔθνη.

LIV. Vastitatem Judææ, et incolentium eam populorum exitium a Deo immissum propheta nobis subindicat. Quia enim fidem in Christum repudiarunt, et in eum insurrexerunt, auctoremque vitæ occiderunt [33], idcirco in desolationem dati sunt. Id quod ipsis Isaias prædixit : « Væ iniquo, mala secundum opera manuum ejus accident ei [34]. »

ΝΔ'. Ἀπεσταλμένης ἡμῖν ὁ προφήτης τῆς Ἰουδαίας χώρας τὴν δῄωσιν, καὶ τῶν ἐν αὐτῇ κατοικούντων ἐθνῶν τὴν ἀπώλειαν, διὰ τούτων ὑποδηλοῖ. Ἐπειδὴ γὰρ τὴν εἰς Χριστὸν πίστιν οὐ προσιέμενοι, κατεξανέστησάν τε αὐτοῦ, καὶ ἀπεκτόνασι τὸν ἀρχηγὸν τῆς ζωῆς, ταύτῃτοι δέδονται πρὸς ἐρήμωσιν, καὶ τοῦτο αὐτοῖς προαναπεφώνηκεν Ἡσαΐας, λέγων· « Οὐαὶ τῷ ἀνόμῳ! πονηρὰ τὰ ἔργα αὐτοῦ συμβήσεται αὐτῷ. »

VERS. 13. *Egressus es in salutem populi tui, ut salvares christos tuos. Misisti in caput impiorum mortem, suscitasti vincula usque ad collum.*

Ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου. Ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως τραχήλου.

LV. Incarnationis Unigeniti totam quodammodo œconomiam denuo nobis enarrat. Salvavit enim per fidem justificatos, et Spiritu sancto unctos, et divinæ naturæ suæ consortes redditos [35]. Permisit autem suis ipsorum peccatis incredulos contabescere, quibus etiam palam dixit : « Amen dico vobis, nisi crediderilis quia ego sum, in peccatis vestris moriemini [36]. » Exivit igitur, inquit, ut si quis rex adversus hostium globos militari more armatus egrediatur. Scopus autem hujus exitus salutem reddere christis tuis, sine dubio Spiritu sancto unctis, de quibus olim quoque per prophetas mandavit : « Nolite tangere christos meos, et in prophetis meis nolite malignari [37] ; » impiis contra mortem afferre, quam ipsi suis capitibus accersisse convinci possint, cum justificantem fidem repudiaverunt. Proinde etiam insolubilibus vinculis traditi, delictorumque suorum catenis constricti sunt ; nec id in parte aliqua, sed quasi per totum corpus, et usque ad collum. Quod si hæc vincula Christi dicantur, nemo turbetur. Semper enim quæ permissu Dei nonnullis eveniunt, eidem tribuuntur. Exempli causa, « Si est malum in civitate, quod non fecit Dominus [38] ? » Non enim ipse malum facit, sed civitatibus peccantibus sæpenumero malum contingere permittit. Quod si forte laudabilia **571** vincula ista intelligantur, rursum illud dicimus, missam esse in capita impiorum mortem, tanquam vinculis autem charitatis Deum universorum ad se accedentes, et justificatos, et in spiritu sanctificatos sibi astringere, juxta illud utique, quod per prophetam de Israelitis dicitur : « Et ego colligavi Ephraim, suscepi eum super brachium meum, extendi eos in vinculis charitatis meæ [39]. » Vincula porro usque ad collum hic est facilitas obediendi eorum qui cervicem mentis ei supposuerunt,

ΝΕ'. Τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς ὅλην ὥσπερ ἡμῖν τὴν οἰκονομίαν ἐξηγεῖται πάλιν. Σέσωκε μὲν γὰρ τοὺς διὰ πίστεως δεδικαιωμένους, καὶ τῷ ἁγίῳ Πνεύματι κατακεχρισμένους, καὶ τῆς θείας αὐτοῦ φύσεως κοινωνοὺς ἀναδεδειγμένους. Συγχεχώρηκε δὲ ταῖς αὐτῶν ἁμαρτίαις ἐκτήκεσθαι τοὺς ἀπειθεῖν ἠρημένους, οἷς καὶ ἔφασκεν ἐναργῶς· « Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἐν ταῖς ἁμαρτίαις ὑμῶν ἀποθανεῖσθε. » Ἐξῆλθε τοίνυν, φησὶν, οἷον εἴ τις βασιλεὺς ἐπὶ τὰ τῶν δυσμενῶν ἐρχόμενος στίφη, καὶ τὸν πολέμου νόμον ἐξωπλισμένος. Καὶ ἡ τῆς ἐξόδου σκοπὸς, ἀνασῶσαι τοὺς χριστοὺς τοὺς σούς· δῆλον δὲ ὅτι τοὺς τῷ ἁγίῳ κεχρισμένους Πνεύματι, περὶ ὧν καὶ πάλαι διὰ προφητῶν ἐνετείλατο λέγων· « Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε· » τῶν γε μὴν ἀνόμων καταρτίσαι θάνατον, ὃν αὐτοὶ ταῖς σφῶν αὐτῶν ἐπαρτήσαντες κεφαλαῖς ἁλοῖεν ἄν, τὴν δικαιοῦσαν πίστιν οὐ προσιέμενοι. Τοιγάρτοι καὶ ἀῤῥήκτοις ἐνδέδονται δεσμοῖς, καὶ ταῖς τῶν ἰδίων πλημμελημάτων σειραῖς κατασφίγγονται, καὶ οὐ μερικῶς· ἀλλ' οἷον δι' ὅλου σώματος, καὶ μέχρι τραχήλου. Εἰ δὲ δὴ λέγοιντο Χριστοῦ τὰ δεσμὰ, θορυβείσθω μηδείς. Ἀεὶ γὰρ κατὰ Θεοῦ συγχώρησιν συμβαίνοντά τισιν αὐτοῦ λέγονται. Ὁποῖόν ἐστι τὸ, « Εἰ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε; » Οὐ γὰρ αὐτὸς ποιεῖ τὴν κακίαν, συμβῆναι δὲ μᾶλλον ταῖς τῶν πόλεων πλημμελούσαις ἐπιτρέπει πολλάκις. Εἰ δὲ δὴ νοοῖντο τυχὸν τῶν ἐπαινουμένων, οἱ ἐνθάδε λεγόμενοι δεσμοὶ, πάλιν ἐκεῖνό φαμεν, ὅτι βέβληται μὲν εἰς κεφαλὰς ἀνόμων θάνατος. Συντείνει δὲ ὥσπερ δεσμοῖς ἀγάπης ὁ τῶν ὅλων Θεὸς τοὺς προσιόντας αὐτῷ, καὶ τῇ πίστει δεδικαιωμένους, καὶ ἡγιασμένους ἐν πνεύματι, κατ' ἐκεῖνό που πάντως τὸ διὰ τῆς τοῦ προφήτου φωνῆς περὶ τῶν ἐξ αἵματος Ἰσραὴλ· « Καὶ ἐγὼ συνεπόδισα

[33] Act. III, 15. [34] Isa. III, 11. [35] Galat. II, 16. ; II Petr. I, 4. [36] Joan. VIII, 24. [37] I Paral. XVI, 22; Psal. CIV, 15. [38] Amos III, 6. [39] Osee XI, 3.

Digitized by Google

τὸν Ἐφραΐμ, ἔλαβον ἐπὶ τὸν βραχίονά μου αὐτὸν, A et suave utique jugum Salvatoris nostri subierunt. ἐξέτεινα αὐτοὺς ἐν δεσμοῖς ἀγαπήσεώς μου. » Ὁ δέ γε δεσμὸς, εἰς τραχήλους ἐνθάδε νοεῖται καὶ τὸ εὐήνιον τῶν ὑποτεθεικότων αὐτῷ τὸν τῆς διανοίας αὐχένα, καὶ τὸν χρηστὸν ἀληθῶς τοῦ Σωτῆρος ἡμῶν ὑποδεδυκότα ζυγόν.

Διέκοψας ἐν ἐκστάσει κεφαλὰς τῶν δυναστῶν, σεισθήσονται ἐν αὐτῇ.

ΝΖ'. Τὸ τῆς ἐκστάσεως ὄνομα κατὰ διαφόρους νοεῖται τρόπους παρά γε τῇ θεοπνεύστῳ Γραφῇ. Σημαίνει γὰρ ἔσθ' ὅτε τὴν κατάπληξιν, ὡς ἂν εἰ λέγοιτο τυχὸν περὶ τῶν ἡμαρτημένων τοῖς ἐξ Ἰσραὴλ· « Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ· » καὶ πάλιν, « Ἔκστασις, καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς· » ποτὲ δὲ δὴ αὖ τὴν ἀπὸ τοῦ γηΐνου φρονήματος εἰς θείαν τινὰ καὶ πνευματικὴν ἠθῶν τε καὶ βίου κατάστασιν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος ἐπιστέλλει τισὶ, καί φη- B σιν· « Εἴ τε γὰρ ἐξέστημεν, Θεῷ· εἴτε σωφρονοῦμεν, ὑμῖν. » Ὥσπερ δὲ τὴν ἀπό γε τῶν αἰσχιόνων ἐπὶ τὰ ἀμείνω μετάκλησιν, ἔκστασιν εἶναί φαμεν Θεῷ φιλουμένην· οὕτω καὶ τὴν ἐκ τῶν χρησίμων ἐπὶ τὰ αἰσχίω μεταβολὴν, ἔκστασιν εἶναι διισχυριζόμεθα φαύλην τε καὶ διαβεβλημένην. Ἐν ἐκστάσει τοίνυν τῇ τοιᾷδε γενομένας τὰς τῶν δυναστῶν κεφαλὰς διέκοψας· δηλοῖ δὲ τὰς τῶν ἡγουμένων τοῦ Ἰσραὴλ, Γραμματέων που πάντως, καὶ Φαρισαίων, καὶ τῶν κατὰ νόμον ἱερουργῶν. Ἐξέστησαν γὰρ ἀληθῶς καὶ ὀρθοῦ φρονήματος, καὶ φρενὸς ἀγαθῆς, καὶ τῆς εἰς Θεὸν ἀγάπης, οὐ προσηκάμενοι τὸν Υἱὸν, μᾶλλον δὲ καὶ ἀπεκτονότες, καίπερ εἰδότες τε καὶ λέγοντες, ὅτι « Οὗτός ἐστιν ὁ κληρονόμος. » Τίς δὲ δὴ ἄρα τῆς C διακοπῆς ὁ τρόπος νοοῖτ' ἄν, εἰκότως σαφηνίζει λέγων ὁ θεσπέσιος Δαβὶδ πρὸς τὸν τῶν ὅλων Σωτῆρα Θεόν· « Διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. » Ἦν μὲν γὰρ « καὶ μερὶς Θεοῦ, καὶ σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. » Ἐπειδὴ δὲ πεπαρῳνήκασιν ἀνοσίως εἰς τὸν Υἱὸν, ἀπόπεμπτος γέγονεν ὁ ἠγαπημένος, καὶ μεμέρισται, καὶ τῶν πεπιστευκότων ἀπῴλισθε τῆς ἐλπίδος, ἀπόκληρος, καὶ ἀπερρίμμενος, καὶ ἐκ προσώπου τέθειται, καὶ ἐν μοίρᾳ δευτέρᾳ, καὶ κατόπιν ἐθνῶν, οἳ δὴ καὶ ἐφ' ἑαυτοῖς ἐκεῖνό φασιν· « Εὐλογημένοι ἡμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. » Διεκόπη τοίνυν ὁ Ἰσραὴλ, καὶ τῆς εὐλογίας ἐκπεπτωκὼς, μερὶς γέγονε Θεοῦ μὲν οὐκέτι, διαβολικὴ δὲ μᾶλλον, καὶ ἀτιμοτάτη, καὶ βέβηλος. Εἶτα περὶ D τῆς ἐκστάσεώς φησι, ὅτι « Σεισθήσονται ἐν αὐτῇ, » τουτέστι, πεσοῦνται. Τὸ γὰρ ἐν δονήσει καὶ κλόνῳ, τοῦ πίπτειν ἐγγύς. Ἐποιμώζει δὲ ὥσπερ αὐτοῖς πολυτρόπως διολωλόσι καὶ ὁ προφήτης, λέγων· « Οἶκος Ἰσραὴλ ἔπεσεν, οὐκ ἔστιν ὁ ἀναστήσων αὐτόν. »

Διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα.

ΝΖ'. Πλείστη μὲν ὅση τῆς τε συνθήκης αὐτῆς καὶ τῆς λέξεως ἡ δυσχέρεια. Πλὴν ἐροῦμεν ὡς ἐνι, διαστέλλοντες εὖ μάλα τῶν ἐννοιῶν τὴν δύναμιν. Ἀφηγησάμενος τοίνυν τὴν κατάστασιν, ἐν ᾗ πάντως ἔδει τὰς τῶν δυναστῶν γενέσθαι κεφαλὰς, τουτέστι, τὰς καθηγεῖσθαι λαχόντας τῆς τῶν Ἰουδαίων Συναγωγῆς, μέτεισιν εὐθὺς ἐπὶ τοὺς ἁγίους ἀποστόλους, οἳ πολὺ

VERS. 14. *Divisisti in stupore capita potentium, commovebuntur in ea.*

LVI. Vocabulo ἔκστασις diversæ in Scriptura divina subjectæ sunt notiones. Nonnunquam enim stuporem significat, ut si forte dicatur de peccatis Israelitarum : « Obstupuit cœlum super hoc [40], » et rursum : « Stupor et horribilia facta sunt in terra [41], » aliquando vero ex terreno sive sæculari sensu constitutionem vitæ morumque spiritualem. Ita divinus Paulus scribit ac dicit : « Sive enim mente excedimus, Deo ; sive sobrii sumus, vobis [42]. » Sicut autem a turpioribus ad meliora declinationem ἔκστασιν discessionem, seu mutationem dicimus, Deo gratam : ita et bonorum ad deteriora mutationem ἔκστασιν esse affirmamus, malam et ignominiosam. In tali igitur ἐκστάσει potentium capita versantia divisisti, principum videlicet Israel, Scribarum nimirum et Pharisæorum, et sacerdotum secundum legem. Vere enim a recto sensu, et bona mente, et charitate in Deum dimoti sunt, Filium non admittentes : imo vero occidentes, quanquam scissent ac dixissent, « Hic est hæres [43]. » Quis autem modus divisionis apposite intelligendus sit, sanctus David declarat : « Divide eos in vita eorum [44]. » Erat enim Israel « et pars Dei et funiculus hæreditatis ejus [45]. » Ast ubi scelerate in Filium debacchati sunt, rejectus est dilectus, et divisus est, et credentium spe excidit exhæres, et abjectus, et a facie exclusus, et in sortem alteram, post gentes redactus est, quæ illud secum loquuntur : « Benedicti nos a Domino, qui fecit cœlum et **572** terram. Deus Dominus, et illuxit nobis [46]. » Divisus est igitur Israel, amissaque benedictione pars factus est, non amplius Dei, sed diaboli potius, et contemptissima ac profana. Deinde de exstasi ait : « Commovebuntur in ea, » hoc est, cadent. Quod enim agitatur et concutitur, prôclive est ad casum. Multiplex autem eorum exitium prophetæ quasi deplorat, cum dicit : « Domus Israel cecidit, et non est qui suscitet eam [47]. »

Aperient frenos suos sicut comedens pauper in abscondito.

LVII. Longe maxima est in contextu et verbis difficultas. Dicemus tamen pro virili, cogitandi vim quam maxime contendentes. Ubi igitur commemoravit statum in quo oporteret esse omnino capita potentium, hoc est, principatum Judaicæ Synagogæ sortitos, recta ad sanctos apostolos convertitur, qui principio persecutores multum timebant. Flagella-

[40] Jerem. II, 12. [41] Jerem. V, 30. [42] II Cor. V, 13. [43] Matth. XXI, 38. [44] Psal. XVI, 14. [45] Deut. XXXII, 9. [46] Psal. CXVII, 27. [47] Amos V, 2.

Digitized by Google

bantur enim in conciliis, jubebanturque nemini loqui in nomine Christi [48]. Clam autem conventus agentes, Deo preces factitabant et dicebant : « Convenerunt enim vere in civitate ista adversus sanctum puerum tuum Jesum, quem unxisti, Herodes et Pontius Pilatus, cum gentibus et populis Israel. Et nunc, Domine, respice in minas eorum, Judæorum nempe, et da servis tuis cum omni fiducia loqui verbum tuum [49]. » Timore igitur propemodum ut freno cohibiti, et tacere compulsi et compressi, occulte et vix quibusdam loquentes, et quasi pauperi comedenti assimilati aperient frenos suos. Perinde ac si dicat, Dilatabuntur plane in gratissimam ipsis convenientissimamque fiduciam. Neutiquam enim curabunt Judæorum Synagogam. Contemnentes autem minas, et injecta sibi frena tantum non dirumpentes, velut equi quidam feroces, strenui ac superbi, frement de cætero, increpante nemine, et voce sua totum orbem terrarum implebunt [50]. » Tale quiddam et Isaias sacro munere evangelicæ prædicationis fungentibus : « Super montem excelsum ascende, tu qui evangelizas Sion ; exalta in fortitudine vocem tuam, qui evangelizas Jerusalem : exalta, noli timere. Ecce Deus vester. Ecce Dominus cum virtute venit, et brachium cum dominatione [51]. » Quare qui aliquando, inquit, erant ut pauper in abscondito comedens, hoc est, qui libertatem non habebant, seu qui non audebant, 573 qui clandestine et vix credentium fide alebantur, cum lætitia aperient frenos suos, juxta modum quem supra diximus. Esse autem Deo et sanctis velut alimentum quoddam eorum qui salvantur, fidem confirmat Christus ipse, de Samaritanorum conversione loquens, « Ego cibum habeo manducare quem vos nescitis. » Et iterum : « Meus cibus est ut faciam voluntatem ejus qui misit me, et perficiam opus ejus [52]. »

A μὲν εἶχον ἐν ἀρχῇ τῶν διωκόντων τὸ δέος. Ἐμαστίζοντο γὰρ ἐν συνεδρίοις, καὶ παρηγγέλλοντο μηδενὶ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Χριστοῦ. Συνιόντες δὲ λεληθότως, τὰς πρὸς Θεὸν ἱκετείας ἐποιοῦντο, λέγοντες· « Ἐπ' ἀληθείᾳ γὰρ συνήχθησαν ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας. Ἡρῴδης τε καὶ Πόντιος Πιλάτος, σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραήλ. Καὶ τανῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν, » δῆλον δὲ ὅτι τὰς τῶν Ἰουδαίων, « καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας λαλεῖν τὸν λόγον σου. » Οὐκοῦν οἱ μονονουχὶ χαλινῷ τῷ δέει κατεσφραγισμένοι, καὶ σιωπᾷν ἀναγκαζόμενοί τε τε καὶ θλιμμένοι, λάθρα τε καὶ μόλις προσλαλοῦντές τισι, καὶ οἷον ἐσθίοντι πτωχῷ προσεοικότες, διανοίξουσι χαλινοὺς αὐτῶν. Ὅμοιον ὡς εἰ λέγοι, κατευρυνθήσονται πάντως εἰς τὴν αὐτοῖς ὅτι μάλιστα φιλαιτάτην καὶ πρέπουσαν παῤῥησίαν. Φροντιοῦσι μὲν γὰρ οὐδαμῶς τῆς Ἰουδαίων Συναγωγῆς. Διαπτύσαντες δὲ τὰς ἀπειλὰς, καὶ μονονουχὶ διαῤῥήξαντες τὸν ἐπιῤῥιφέντα αὐτοῖς χαλινὸν, οἷον ἵπποι τινὲς γαῦροι, ἀγαθοὶ, καὶ ἀγέρωχοι καταχρεμετιοῦσι λοιπὸν, ἐπιπλήττοντος οὐδενὸς, καὶ τῇς ἑαυτῶν φωνῆς κατεμπλήσουσι τὴν ὑπ' οὐρανόν. Τοιοῦτόν τί φησι καὶ θεσπέσιος Ἡσαΐας τοῖς τὸ εὐαγγελικὸν ἱερουργοῦσι κήρυγμα· « Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι, ὁ εὐαγγελιζόμενος Σιών· ὕψωσον τῇ ἰσχύϊ τῆς φωνῆς σου, ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ· ὑψώσατε, μὴ φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἰδοὺ Κύριος μετὰ ἰσχύος ἔρχεται, καὶ ὁ βραχίων μετὰ κυρείας. » Οὐκοῦν οἱ πάλαι, φησὶ, ὄντες ὡς ἐσθίων πτωχὸς λάθρα, τουτέστιν, οἱ παῤῥησίαν οὐκ ἔχοντες, οἱ λεληθότως καὶ μόλις τῇ τῶν πιστευόντων τρεφόμενοι πίστει, πρὸς εὐθυμίαν διανοίξουσι χαλινοὺς αὐτῶν, κατὰ τὸν ἤδη προειρημένον τρόπον. Ὅτι δὲ τροφή τις ὥσπερ ἐστὶ τῶν σωζομένων ἡ πίστις, καὶ Θεῷ, καὶ ἁγίοις, ἐμπέδοι λέγων αὐτὸς ὁ Χριστὸς περὶ τῆς τῶν Σαμαρειτῶν ἐπιστροφῆς· « Ἐγὼ βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. » Καὶ πάλιν· « Ἐμὸν βρῶμά ἐστιν ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον. »

B

C

Vers. 15. *Et superduxisti in mare equos tuos, conturbantes aquas multas.*

Καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου, ταράσσοντας ὕδατα πολλά.

D

LVIII. Servatur iterum schema immutationis, seu metaphoræ. Frenos cum dixisset, sanctos apostolos equos vocat, quibus Christus ipse vehitur, mentibus et cordibus eorum quasi insidens. Instituturos igitur non Israelitas tantum, sed ipsam quoque aliarum gentium longe amplissimam, infinitamque multitudinem, docere nititur. Mari enim comparat mundum, pro eo quod in Psalmis canitur : « Hoc est mare magnum et spatiosum [53], » et quæ sequuntur : aquis autem multis agmina gentium totius orbis : equis vero, ut dixi, sanctos apostolos, qui universum obeuntes mundum, tantum non stertentes, desidentes in errore suo idololatras turbaverunt terrueruntque, ad timorem vocantes, ut in supplicium ituros, et arsuros, si pœnitentiam agere, et natura ac verum Deum agno-

ΝΗ'. Τετήρηκε πάλιν ὁ λόγος τῆς τροπῆς τὸ σχῆμα. Χαλινοὺς ὀνομάσας, ἵππους ἐκάλεσε τοὺς ἁγίους ἀποστόλους, οἷς αὐτὸς ἐποχεῖται Χριστὸς, ἐνιζήσας ὥσπερ εἰς νοῦν καὶ καρδίαν. Ὅτι τοίνυν ἔμελλον παιδαγωγῆσαι οὐχ ὅτι μόνους τοὺς ἐξ Ἰσραὴλ, ἀλλὰ καὶ αὐτὴν τὴν τῶν ἑτέρων ἐθνῶν πλείστην τε ὄντα καὶ ἀμέτρητον πληθὺν, πειρᾶται διδάσκειν. Θαλάσσῃ μὲν γὰρ παρεικάζει τὸν κόσμον, κατά γε τὸ ἐν Ψαλμοῖς ὑμνούμενον· « Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, » καὶ τὰ ἑξῆς· ὕδασι δὲ πολλοῖς τὰς τῶν ἐθνῶν ἀγέλας, τὰς ἀνὰ πᾶσαν τὴν γῆν· ἵππους γε μὴν, ὡς ἔφην, τοὺς ἁγίους ἀποστόλους, οἳ πᾶσαν περινοστοῦντες τὴν ὑπ' οὐρανὸν, μονονουχὶ ῥέγχοντας καὶ ἐνηρεμοῦντας τῇ πλάνῃ τοὺς εἰδωλολάτρας ἐτάραττον, τεθορυβήκασι δὲ, καλοῦντες εἰς δέος ὡς εἰς κόλασιν βαδιουμένους, καὶ τὴν διὰ πυρὸς δίκην

[48] Act. v, 40-42. [49] Act. iv, 27-31. [50] Psal. xviii, 5. [51] Isa. xl, 9, 10. [52] Joan. iv, 32, 34. [53] Psal. cm, 25.

Digitized by Google

ὑποστησομένους, εἰ μὴ ἔλοιντο μετανοεῖν, καὶ τὸν φύσει τε καὶ ἀληθῆ ἐπιγνῶναι Θεόν. Καὶ γοῦν ὁ θεσπέσιος Παῦλος τοῖς Ἀθηναίοις προσλαλῶν, εἶτα τῶν ἄλλων ἁπάντων δεισιδαιμονεστέρους εἰπών, τεθορύβηκεν οὐ μετρίως, ἐκεῖνο προστιθείς· « Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τανῦν παραγγέλλει τοῖς ἀνθρώποις πάντας πανταχοῦ μετανοεῖν, καθότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε, πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. » Οὐκοῦν τὸ ταραττόμενον ὕδωρ ἡ πληθύς ἐστιν, ἡ κατὰ τὸν κόσμον· ὕδασι γὰρ ἔσθ' ὅτε παρεικάζεται, καὶ μάλα εἰκότως· εἴπερ ἐστὶ θαλάσσῃ προσεοικὼς ὁ τῶν ἀνθρώπων βίος, ὅτι πολλὴ τῶν ἐν αὐτῷ πραγμάτων ἡ τύρβη, καὶ ἡ πρὸς τὸ ἄνω τε καὶ κάτω, καὶ εἰς πᾶν ὁτιοῦν ἀνάχυσίς τε καὶ κίνησις. Πολὺ δὲ ὕδωρ τὸ ταραττόμενον, ὡς πρός γε τὸν Ἰσραήλ· οἱ μὲν γὰρ ἔθνος ἦσαν ἕν· τὰ δέ ἐστι παντὸς ἀριθμοῦ κρείττονα.

A scere nolint. Itaque divinus Paulus apud Athenienses disserens, et eos præ reliquis omnibus superstitiosos appellans, non mediocriter eos turbavit, adjectis illis : « Et tempora quidem hujus ignorantiæ despiciens Deus, nunc annuntiat hominibus, ut omnes ubique pœnitentiam agant, eo quod statuit diem in quo judicaturus est orbem in æquitate, in viro, in quo statuit, fidem præbens omnibus, suscitans eum a mortuis [54]. » Igitur aqua turbata est mundana multitudo ; cum aquis enim interdum, et rectissime quidem, confertur : siquidem vita humana mari non est absimilis, quoniam ingens in ea rerum perturbatio ac tumultus, sursumque ac deorsum, et in omnem partem confunduntur ac miscentur omnia. Multa porro aqua turbata, quod B ad Israel attinet : illi enim unam gentem conficiunt; aliæ vero aquæ sunt innumeræ.

Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου. Ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναι πρὸς τὸν λαὸν τῆς παροικίας μου.

Vers. 16. *Custodivi, et terrefactum est cor meum a voce orationis labiorum meorum, et* 574 *ingressus est tremor in ossa mea, et subter me conturbata est affectio mea. Requiescam in die tribulationis meæ, ut ascendam ad populum peregrinationis meæ.*

Νθ'. Ἔθος τοῖς ἁγίοις προφήταις τὴν εἰς καρδίαν καὶ νοῦν ἐπιτήρησιν, ἣν ἂν ποιοῖντο τυχὸν, προενηχοῦντος αὐτοῖς τοῦ ἁγίου Πνεύματος τῶν ἐσομένων τὴν γνῶσιν, φυλακὴν ἀποκαλεῖν, ἤγουν ἀκοήν. Τοιγάρτοι φησὶν αὐτὸς μὲν ὁ Ἀβακούμ· « Ἐπὶ τῆς φυλακῆς μου στήσομαι, » καὶ τὰ ἑξῆς· ἕτερος δέ· « Ἀκοὴν ἤκουσα παρὰ Κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλε. » Καὶ μέντοι πρὸς τῷδε καὶ ὁ θεσπέσιος Δαβὶδ· « Ἀκούσομαι, φησὶ, τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός. » Τοιοῦτόν τι καὶ νῦν ὁ προφήτης ὑποφαίνει λέγων τὸ, « Ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου. » Τετήρηκα, φησὶ, τῶν εἰρημένων τὴν δύναμιν· εἶτα κατεπτόημαι δεινῶς « ἀπὸ φωνῆς προσευχῆς χειλέων μου. » Ἐποιεῖτο μὲν γὰρ μετ' ᾠδῆς τὴν πρὸς Θεὸν ἱκετείαν, καὶ μέλος ἦν αὐτῷ τῆς προφητείας ὁ τρόπος· ἀλλ' ἦν ὁ σκοπὸς αὐτῷ καὶ ὁ νοῦς οὐκ εἰς τὴν εὔρυθμον ἀναφώνησιν, κατεπικραίνετο δὲ μᾶλλον εἰς λύπας, καὶ περιδεὴς ἦν ἄγαν, τὰ ἐν ἐσχάτοις καιροῖς συμβησόμενα τοῖς ἐξ Ἰσραὴλ διαθροῦντος ἐν αὐτῷ τοῦ πνεύματος. Τὸ δὲ δὴ μάλιστα θορυβοῦν αὐτὸν, καὶ ὀρρωδεῖν ἀναπεῖθον, κατά γε τὸ εἰκὸς, ἐκεῖνό που τάχα, καὶ μόνον ἦν, μὴ ἄρα πως ἐναπολειφθείη τοῖς κακοῖς, καὶ τὴν τοῦ λαοῦ συντριβὴν ἐπαθρήσειε, καὶ ἴδοι βαλλόμενον μὲν εἰς κεφαλὰς ἀνόμων θάνατον, διακοπτομένας δὲ αὐτὰς ἐν ἐκστάσει, καὶ σειομένας ἐν αὐτῇ, κατά γε τὸν προαποδοθέντα νοῦν. Εἶτα μανθάνων ὡς ἔσται μὲν εἰς καιροὺς ἡ ὅρασις, εἰς ἀνάβλησιν δὲ μακρὰν τὰ προηγγελμένα, μονονουχὶ καὶ ἀνενεγκὼν ἐξ ἀκράτου λοιπὸν δυσθυμίας, « Ἀναπαύσομαι, φησὶ, ἐν ἡμέρᾳ θλίψεως, τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου. » Οὐ γὰρ ἐναχθήσομαι, φησὶ, τοῖς τοιοῖσδε κακοῖς, οὐδ' ἂν

LIX. Consueverunt sancti prophetæ observationem in corde et animo, quam forte adhibuerint, Spiritu sancto futurorum illis notitiam revelante, custodiam nominare, vel auditionem. Proinde ipse Habacuc ait : « Super custodiam meam stabo [55], » et cætera ; C et alius : « Auditionem audivi a Domino, et munitiones emisit in gentes [56]. » Præterea divinus David : « Audiam quid loquetur in me Dominus Deus [57]. » Tale quid etiam nunc propheta subindicat his verbis : « Custodivi, et terrefactum est cor meum. » Observavi, inquit, dictorum vim : deinde exterritus sum vehementer « a voce orationis labiorum meorum. » Cum cantu enim Deo supplicabat, et cantando prophetabat : verum scopus ejus et sententia non ad concinnum clamorem respiciebant, cum potius dolore acerbo cruciaretur, metueretque magnopere extremis temporibus Israeli eventura spiritu in ipso contemplante. Quod autem præcipue ipsum turbabat, timoremque non D immerito incutiebat, illud fortasse, et solum erat, ne forte relinqueretur in calamitatibus illis, et summam populi afflictionem intueri cogeretur, videretque missam in capita impiorum mortem, ipsaque divisa, in dimotione, et commota in ea, juxta sensum supra expositum. Deinde cognoscens visionem fore in tempora, et quæ prænuntiarentur diu dilatum iri, propemodum jam ex ingenti tristitia recreatus, « Requiescam, inquit, in die tribulationis, ut ascendam ad populum peregrinationis meæ. » Non enim talium malorum pondere premar : nec ubi tempus illud aderit, cum hæc mala ineluctabilia Israelitis evenient, ego in hac vita reperiar.

[54] Act. xvii, 30, 31. [55] Habac. ii, 1. [56] Abd. 1. [57] Psal. xxxiv, 9.

Digitized by Google

Ascendam enim hinc, et emigrabo ad alium, qui in hac vita sic peregrinus fuit, quemadmodum ego. Peregrini enim et advenæ in hoc mundo omnes sancti [58.59]. Proinde Paulus inquit : « Non habemus hic manentem civitatem, sed futuram requirimus [60]. » Psallit et quodam loco David universorum Deo : « Remitte mihi, quia peregrinus ego in terra et advena, sicut omnes patres mei [61]. » Dignum igitur admiratione sanctorum consilium, qui **575** nec minima videre sustinent, quibus Deus ad iram provocari possit ; qui proinde ex hoc mundo discedere ipsa vita jucundius sibi duxerunt, nisi Dei gloria sarta tecta a nobis servaretur. Quare divinus Paulus dixit sibi « melius esse dissolvi et esse cum Christo [62] ; » quæ verba illum hoc sentire declarant, vitam in corpore peregrinationem esse.

A εὑρεθείην ἐν τῷδε τῷ βίῳ, ἐνεστηκότος καιροῦ, καθ' ὃν ἔσται πάντως τὰ τοιάδε τῶν κακῶν τοῖς ἐξ Ἰσραήλ. Βαδιοῦμαι γὰρ ἐντεῦθεν, καὶ ἀνοιχήσομαι πρὸς ἄλλον τὸν οὕτω πάροικον ἐν τῷδε τῷ βίῳ γεγενημένον, καθάπερ καὶ αὐτὸς ἐγώ. Πάροικοι γὰρ καὶ παρεπίδημοι πάντες οἱ ἅγιοι κατὰ τόνδε τὸν κόσμον. Τοιγάρτοι φασίν· « Οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μένουσαν ἐπιζητοῦμεν. » Ψάλλει δέ που καὶ ὁ Δαβὶδ πρὸς τῶν ὅλων Θεόν· « Ἄνες μοι, ὅτι πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. » Ἀξιάγαστος τοιγαροῦν τῶν ἁγίων ὁ σκοπὸς, οὐδ' ὅσον εἰπεῖν ἀνεχομένων ἰδεῖν τὰ ἐφ' οἷς ἂν συμβαίνῃ παροτρύνεσθαι Θεόν· ἡδίονα δὲ οὖν αὐτοῦ τοῦ ζῆν ποιεῖσθαι μεμελετηκότων τὴν ἀπὸ τοῦ κόσμου τούτου μετάστασιν, εἰ μὴ B σώζοιτο πρὸς ἡμῶν τὰ πρὸς δόξαν Θεοῦ. Καὶ γοῦν ὁ θεσπέσιος ἔφη Παῦλος, ὅτι « τὸ ἀναλῦσαι κρεῖττον, καὶ αὐτῷ συνεῖναι Χριστῷ, » τοῖς εἰς τοῦτο ἥκουσι γνώμης, ὡς ἡγεῖσθαι παροικίαν τὴν ἐν τῷ σώματι ζωήν.

Vers. 17. *Quoniam ficus afferet fructum, et in vineis non erunt germina. Mentietur opus olivæ, et campi non facient escas. Defecerunt oves eo quod non comederunt, et non erunt boves in præsepibus ex sanatione eorum.*

Διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννήματα ἐν ταῖς ἀμπέλοις. Ψεύσεται ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν. Ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις ἐξ ἰάσεως αὐτῶν.

LX. Quasi quopiam interrogante, et cognoscere volente cur tantopere expetat ex hac vita discedere, vel potius ad populum peregrinationis suæ ascendere, cum cautione multa invectionem in Judæorum Synagogam tegit, et futuram fructuum illius penuriam propemodum lamentari, eademque multis modis significare nobis videtur, instar ficus fore dicens, quæ nihil fructus attulerit. Sic enim eam et ipse Salvator appellabat, dum paradigmatis loco diceret : « Arborem fici plantatam habebat C quidam in vinea sua [63]. » Quæ cum sterilis esset, exscindendam deinceps dixit, ne terram frustra occuparet. Alibi ficui ante Hierosolymam maledixit, quod in ea fructum non invenisset : « Non amplius ex te fructus nascatur, inquit, in æternum [64] ! » Assimilat item illam vineæ botris destitutæ. Est enim etiam, ut dicit Isaias propheta, « Vinea Domini Sabaoth homini Juda recens plantata, dilecta, quam vallavit, et maceriam circumposuit, et ædificavit turrim in ea, torcular fodit in ea, et exspectavit ut faceret uvas, fecit autem spinas [65]. » Idcirco « exterminavit eam aper de silva, » ut est apud Davidem, « et asinus agrestis depastus est eam [66]. » Destruxit maceriam ejus, et vindemiant eam omnes qui prætergrediuntur viam [67]. Mentitum est etiam opus olivæ, Synagogæ videlicet iterum : hoc enim verbo Jeremias propheta eam significat : « Olivam pulchram specie, et umbrosam vocavit Dominus nomen tuum in vocem circumcisionis ejus. Incensus est ignis in eam (magna tribulatio super te) ; inutiles facti sunt rami ejus. Et Dominus exercituum, qui plantavit te, locutus est super te mala [67]. » Quoniam igitur,

Σ'. Ὥσπερ τινὸς ἐρομένου, καὶ ἀναμανθάνειν ἐθέλοντος, ἀνθ' ὅτου ποιοῖτο περὶ πολλοῦ τὸ ἀποδημῆσαι, μᾶλλον δὲ εἰς λαὸν ἀναβῆναι παροικίας αὐτοῦ, κατασκιάζει μὲν ἀσφαλείᾳ πολλῇ τῆς Ἰουδαίων συναγωγῆς τὴν κατάῤῥησιν, μονονουχὶ δὲ καὶ κατολοφύρεσθαι δοκεῖ τὴν συμβησομένην ἀκαρπίαν αὐτῇ, καὶ τρόπῳ ἡμῖν αὐτὴν κατασημαίνει πολλοῖς, ὡς συκῆν ἔσεσθαι λέγων, ἧς ἂν οὐδεὶς γένοιτο καρπός. Οὕτω γὰρ αὐτὴν καὶ αὐτὸς ὠνόμαζεν ὁ Σωτὴρ, ὡς ἐν παραδείγματος τρόπῳ λέγων· « Συκῆν εἶχέ τις πεφυτευμένην ἐν τῷ ἀμπελῶνι αὐτοῦ. » Ἦν καὶ ἄκαρπον οὖσαν λοιπὸν ἀποτέμνεσθαι, ἵνα μὴ τὴν γῆν καταργῇ. Ἐπάρατον δέ που καὶ τὴν πρὸ τῶν Ἱεροσολύμων ἐποιοῦτο συκῆν· οὐ γὰρ εὑρὼν ἐν αὐτῇ καρπὸν, « Μηκέτι, φησὶν, ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα. » Ἀπεικάζει δὲ αὐτὴν καὶ ἀμπελῶνι βοτρύων ἐρήμῳ. Καὶ γάρ ἐστι πάλιν, καθώς φησι ὁ προφήτης Ἡσαΐας, « Ὁ ἀμπελὼν Κυρίου Σαβαὼθ ἄνθρωπος τοῦ Ἰούδα, νεόφυτος, ἠγαπημένος· ἀλλ' ἐχαράκωσε μὲν αὐτὸν, καὶ φραγμὸν περιέθηκε, καὶ ἀνεδείματο πυργίον ἐν αὐτῷ, καὶ ὤρυξε τὸ προλήνιον, καὶ ἐπέμεινε τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας. » Ταύτῃ δὴ « ἐλυμήνατο μὲν αὐτὴν, καθώς φησι ὁ Δαβὶδ, ὗς ἐκδρυμῶσα, καὶ ὄνος ἄγριος κατενεμήσατο αὐτήν. » Καθεῖλε δὲ τὸν φραγμὸν αὐτῆς, καὶ τετρυγήκασι πάντες αὐτὴν οἱ παραπορευόμενοι τὴν ὁδόν. » Ἐψεύσατο δὲ καὶ τῆς ἐλαίας τὸ ἔργον, τουτέστι, πάλιν τῆς Ἰουδαίων Συναγωγῆς· οὕτω γὰρ αὐτὴν κατασημαίνει λέγων καὶ ὁ προφήτης Ἱερεμίας· « Ἐλαίαν ὡραίαν, εὐσκιον τῷ εἴδει ἐκάλεσε Κύριος τὸ ὄνομά σου, εἰς φωνὴν περιτομῆς αὐτῆς. Ἀνήφθη πῦρ ἐπ' αὐτὴν (μεγάλη ἡ θλῖψις ἐπὶ σὲ) ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς. Καὶ Κύριος τῶν δυνά-

[58.59] I. Petr. II, 11. [60] Hebr. XIII, 14. [61] Psal. XXXVIII, 13. [62] Philipp. I, 23. [63] Luc. XIII, 6. [64] Marc. XI, 14. [65] Isa. V, 1, 2. [66] Psal. LXXIX, 14. [66] ibid. 13. [67] Jerem. XI, 16, 17.

Digitized by Google

μεων ὁ καταφυτεύσας σε ἐλάλησεν ἐπὶ σὲ κακά. » Ἐπειδὴ δὲ, καθὼς φησι ὁ προφήτης, τὸ ἔργον αὐτοῦ ἐψεύσατο· παιδαγωγούμενοι γὰρ εἰς Χριστὸν διὰ νόμου καὶ προφητῶν, οὐ προσήκαντο τὴν πίστιν· ταύτηγοι καὶ ἐξεκόπη, καὶ πεπτώκασι μὲν οἱ κλάδοι αὐτῆς, ἐνεκεντρίσθησαν δὲ λοιπὸν οἱ ἐκ τῆς ἀγριελαίας, τουτέστιν, οἱ ἐξ ἐθνῶν, καὶ κοινωνικοὶ τῆς ῥίζης καὶ τῆς πιότητος τοῦ καλλιελαίου γεγόνασιν. Εἶτά φησι, ὅτι « Τὰ πεδία οὐ ποιήσει βρῶσιν. » Παρεικάζει πάλιν τὸν Ἰσραὴλ λῃστοις, οἶμαι, κατεφθαρμένοις, ἐξ ὧν οὐδ' ἂν αὐτῷ που τὸ ἀπογρῶν εἰς βρῶσιν ἀθρήσειεν ὁ γηπόνος· ἀκαρπίας δὲ τοῦτο γένοιτ' ἂν τῆς ἐσχάτης ἀπόδειξις ἐναργής. Ὅτι δὲ ἔμελλον τὸν τῶν θείων μαθητῶν ἀνατλάντες λιμὸν ἐν τοῖς ἀπάντων ἰσχάτοις πεσεῖσθαι κακοῖς, διεσάφει, προστιθεὶς, ἐκλελοιπέναι μὲν ἀπὸ βρώσεως πρόβατα, τουτέστιν, ἀπὸ τοῦ βρῶσιν οὐκ ἔχειν· οὐχ ὑπάρχειν δὲ βοῦν ἐπὶ φάτνης. Δι' οὗ σημαίνεται τὸ εἰσάπαν ἐκλελοιπέναι τὸ παρ' αὐτοῖς ἱερὸν καὶ ἀπόλεκτον γένος, τουτέστι, τοὺς ἀπὸ φυλῆς Λευΐ, οἳ βουσὶν ἐν ἴσῳ τὴν νοητὴν ἄλω καταλεπτύνοντες, καὶ τῶν ἐκτὸς ἀσαφείας περιβλημάτων τὸν διὰ τοῦ πανσόφου Μωσέως ἀπογυμνοῦντες λόγον, οἷά τινα σίτου κόκκον προὐτίθεσαν μὲν τοῖς ἄλλοις εἰς νόησιν, καὶ οἷον βρῶσιν πνευματικήν. Αὐτοὶ δὲ ἦσαν ἐν φάτναις καταβοσκόμενοι τὰς ἐκ τοῦ λαοῦ δωροφορίας δεκάτας, ἀπαρχὰς εὐχαριστηρίους. Οὐκοῦν ἐκλελοίπασι μὲν ἀπὸ βρώσεως πρόβατα· « Βόες δὲ οὐκ ἦσαν ἐπὶ φάτναις ἔτι, » τουτέστιν, οἱ καθηγηταὶ τῶν ἄλλων καὶ διδάσκαλοι. Τοιγάρτοι καὶ ὁ θεσπέσιος Παῦλος τὸ, « Οὐ φιμώσεις βοῦν ἀλοῶντα, » ταῖς τῶν διδασκάλων προσάπτει κεφαλαῖς, διερμηνεύων ἡμῖν σαφῶς τὰ ἐν νόμῳ. Ἐκλελοιπέναι γε μὴν τὰς βοῦς, ἐξ ἰάσεως αὐτῶν, φησὶ, καὶ ἔστι μὲν ἀσαφὴς ὁ λόγος. Δηλοῖ δὲ τόδε, καθάπερ ἐγῷμαι πάλιν. Ἐπειδὴ γὰρ ἀπερισπούδαστον ἀμαθῶς τὸ ἰᾶσθαι παρὰ Χριστοῦ, καίτοι ῥωννύντος τὸν ἀσθενῆ, καὶ δικαιοῦντος τὸν ἀσεβῆ, ταύτηγοι καὶ ἐκλελοίπασι, τουτέστιν, εἰσάπαν ἠσθένησαν, καὶ κεχωρήκασιν εἰς τὸ μηδέν. Δεινὸν οὖν ἄρα τι προσκρούειν Θεῷ, καὶ ἀκαρπίας ἔσται πρόξενον τῆς ἐσχάτης. Ἀπορήσομεν δὲ καὶ τροφῆς τῆς πνευματικῆς, καὶ παντὸς ἐπέκεινα κακοῦ τοὐντεῦθεν ἐσόμεθα.

A ut ait **576** propheta, opus ejus mentitum est (per legem enim et prophetas ad Christum instituti, fidem non receperunt); idcirco etiam excisa est, et ceciderunt rami ejus, et inserti sunt de cætero qui erant ex oleastro [68], hoc est, ex gentibus, et socii radicis et pinguedinis bonæ olivæ evaserunt. Deinde ait: « Campi non facient escas. » Comparat rursum Israelem, ut opinor, segetibus corruptis e quibus agricola sufficientem sibi annonam colligere nequeat; quod extremæ sterilitatis est evidens argumentum. Famem autem divinorum discipulorum expertos, in mala omnium gravissima deventuros, declarat, addens defecisse oves quod non comederent, hoc est, quia pabulum non haberent, et non esse bovem ad præsepe. Ex B quo significatur penitus interiisse apud eos sacrum et electum genus [69], nempe de tribu Levi, qui tanquam boves spiritualem sulcum proscindentes, et sine obscuritate quæstionum a sapientissimo Mose dicta aperientes, ceu frumenti grana aliis ad intelligentiam escam spiritualem proponebant. Et ipsi erant qui ad præsepia pascebantur, donis a populo oblatis, et primitiis quæ grati animi testes offerebantur. Itaque defecerunt ab escis oves: « Boves autem non amplius stant ad præsepia, » hoc est, aliorum duces et magistri. Quocirca et divinus Paulus illud: « Non obturabis os bovi triturranti [70], » magistris accommodat, perspicue legem nobis interpretans. Defecisse autem boves ex sanatione eorum dicit, quod obscurius est. Vult autem C sibi hoc rursum, ut arbitror. Quoniam enim illis, idque stulte, nullum studium fuit ut a Christo sanarentur, quanquam ille et imbecillo vires repararet, et impium justificaret, ideo etiam defecerunt, hoc est, omnes ægrotarunt, et in nihilum abierunt. Est igitur grave, sterilitatemque summam inducit, in Deum committere. Egebimus hinc etiam spirituali nutrimento, et in malo majore malis omnibus versabimur.

Ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· Κύριος ὁ Θεός μου, δύναμίς μου, καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν. Ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με, τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.

D VERS. 18, 19. *Ego autem in Domino exsultabo, gaudebo super Deo Salvatore meo: Dominus Deus meus, robur meum, et ponet pedes meos in consummationem. Et super excelsa facit me ascendere, ut vincam in cantico ejus.*

ΞΑ'. Ἐνταῦθα λοιπὸν αὐτὸ τὸ τοῦ προφήτου πρόσωπον εἰσεκόμισται σαφῶς, τὰ τοιάδε λέγον. Ἦγουν τῶν ἐν πίστει δεδικαιωμένων φαίη τις εἶναι τοὺς λόγους, οἳ θυμηδίαν ποιοῦνται Χριστὸν, καὶ χαίρουσι μὲν ἐπ' αὐτῷ, καὶ τῆς ἐνούσης αὐτοῖς εὐσθενείας χορηγὸν ἀναγράφουσιν, ἐν αὐτῷ τε πάντα δύνασθαι φασι. Καθάπερ ἀμέλει καὶ ὁ θεσπέσιος Παῦλος, « Πάντα ἰσχύω, φησὶ, ἐν τῷ δυναμοῦντί με Χριστῷ. » Ψάλλει δέ που καὶ ὁ μακάριος Δαβὶδ· « Ὅτι τὸ καύχημα τῆς δυνάμεως αὐτῶν εἶ σύ. » Προσδοκῶσι δὲ καὶ τὸ βεβηκὸς εἰς εὐσέβειαν παρ' αὐτοῦ δὴ μόνου

LXI. Hoc loco jam ipsa prophetæ persona aperte inducitur, cujus hæc sunt verba. **577** Aut certe in fide justificatorum dixerit quispiam hæc esse, qui Christum sibi oblectamentum faciunt, et in eo lætantur, et qua valent fortitudinem, ipsi ut largitori ascribunt, et in eo omnia posse profitentur. Ut etiam divinus Paulus, « Omnia possum, inquit, in Christo qui me confortat [71]. » Psallit quoque alicubi beatus David: « Quoniam gloria virtutis eorum tu es [72]. » Ab eo solo etiam constantia pietatis egregie cumulari exspectant. Nam,

[68] Rom. xi, 17. [69] I Petr. ii, 9. [70] I Tim. v, 18. [71] Philipp. iv, 13. [72] Psal. lxxxviii, 18.

Digitized by Google

« Ponet pedes meos in consummationem, » aliud utique quam hoc non significat. Itaque Hebræorum editio pro *consummationem* posuit *securitatem*. Positi ergo pedes in securitatem, quid aliud quam constantiam, ut dixi, in pietate, et immobilitatem in virtute, et firmitudinem in fide, et charitatem in Christum significent ? Vitam porro in Christo justificatorum non esse humilem et in terram abjectam, sed omni terreno et carnali negotio superiorem et cœlestem, ostendit cum dicit: « Super excelsa facit me ascendere. » Vere enim excelsum quiddam apud Deum evangelicæ conversationis honestamenta. Devicturos autem adversarios, hostibusque prævalituros, glorificantes ipsum, pro certo affirmat, « Ut vincam in cantico ejus. »

A καταπλουτῆσαι καλῶς. Τὸ γὰρ, « Τάξει τοὺς πόδας μου εἰς συντέλειαν, » δηλοῖ που πάντως ἕτερον οὐδὲν ἢ τοῦτο. Καὶ γοῦν Ἑβραίων ἡ ἔκδοσις ἀντὶ τῆς *συντελείας* τέθεικε τὴν *ἀσφάλειαν*. Οἱ δὲ ταττόμενοι πόδες εἰς ἀσφάλειαν, τί ἂν ἕτερον ἡμῖν ὑποφήνειαν, ἢ τὸ βεβηκὸς, ὡς ἔφην, εἰς εὐσέβειαν, καὶ τὸ ἀκράδαντον εἰς ἀρετὴν, καὶ τὸ εἰς πίστιν ἐρηρεισμένον, καὶ ἀγάπην τὴν εἰς Χριστόν; Ὅτι δὲ οὐ χθαμαλὸς καὶ χαμαιρρίφης ὁ βίος τῶν ἐν Χριστῷ δεδικαιωμένων, ἀλλὰ παντὸς γηΐνου καὶ σαρκικοῦ πράγματος ὑψοῦ τέ ἐστι, καὶ ἄνω κείμενον, ἀποφαίνει λέγων· « Ἐπὶ τὰ ὑψηλά ἐπιβιβᾷ με. » Ὑψηλὸν γὰρ ὄντως παρὰ Θεῷ τῆς εὐαγγελικῆς πολιτείας τὰ αὐχήματα. Ὅτι δὲ καὶ περιεσόμεθα τῶν ἀνθεστηκότων, καὶ ἀμείνους ἐσόμεθα ἐχθρῶν, δοξολογοῦντες αὐτὸν, ἀναπείσει λέγων, « τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ. »

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΣΟΦΟΝΙΑΝ

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN SOPHONIAM PROPHETAM COMMENTARIUS.

CONTINENS TOMOS II.

PROŒMIUM.

578 I. Prophetat Hierosolymis Sophonias, genere haud ignobilis, nec de illorum ordine quibus erat in more vaticinari falsa, et divinos sermones ab se conflictos audientibus venditare, de quibus et Ezechiel : « Væ prophetantibus de corde suo, et omnino non videntibus [73]. » Quin ipse etiam universitatis Deus per os Jeremiæ : « Non mittebam prophetas, et ipsi currebant ; nec loquebar ad eos,

[73] Ezech. XIII, 2.

B

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Προφητεύει μὲν ἐν Ἱεροσολύμοις ὁ Σοφονίας, οὐκ ἄσημος ὢν τὸ κατὰ σάρκα γένος, οὔτε μὴν κατ' ἐκείνους ὑπάρχων, οἷς ἦν ἔθος τὸ ψευδοστρεῖν, καὶ τοὺς θείους τοῖς ἀκροωμένοις ὑποπλάττεσθαι λόγους, περὶ ὧν ἔφη καὶ Ἰεζεχιήλ· « Οὐαὶ οἱ προφητεύοντες ἀπὸ καρδίας αὐτῶν, καὶ καθόλου μὴ βλέποντες. » Καὶ μὴν καὶ αὐτὸς ὁ τῶν ὅλων Θεὸς διὰ τῆς Ἱερεμίου φωνῆς· « Οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ

Digitized by Google

ἔτρεχον· οὐδὲ ἐλάλησα πρὸς αὐτοὺς, καὶ αὐτοὶ προεφήτευον. » Ἀλλ' ἦν ἀληθῶς προφήτης, τοὺς ἐκ στόματος τοῦ Κυρίου διαπορθμεύων λόγους, καὶ ἁγίου μὲν ἀναπιμπλάμενος Πνεύματος, ἀναβρύων δὲ ὥσπερ ἐκ πηγῆς ἀγαθῆς τῆς καρδίας αὐτοῦ τὰ ἀγαθά. Ψευδηγορεῖν γὰρ οὐκ οἶδε τῶν ἁγίων ἡ γλῶσσα. Ὁ δέ γε τῆς προφητείας σκοπὸς ἐπίπληξιν ἔχει τῶν οὐσῶν ἐν Ἱεροσολύμοις δύο φυλῶν, τοῦ τε Ἰούδα, φημὶ, καὶ τοῦ Βενιαμίν. Γράφεται γὰρ ὡς ἠσεβηκότας, καὶ ταῖς τῶν εἰδώλων ἁπάταις ἀνοσίως προσνευκότας, καὶ πρὸς πᾶν ὁτιοῦν ἑτοίμως διάττοντας τῶν ἀπαδόντων Θεῷ. Προσεπενήνεκται δὲ χρησίμως καὶ τῆς βασιλείας ὁ χρόνος, καθ' ὃν τὰ τοιάδε προσλελάληκε τοῖς προσκεκρουκόσιν, ἵνα τὴν τῶν τηνικάδε πράξεων πολυπραγμονοῦντες κατάστασιν, λοιπὸν ἐννοῶμεν ἐφ' ὅτῳ τε καὶ ὅση γέγονεν ἐπ' αὐτοὺς τῆς θείας ὀργῆς ἡ κίνησις.

et ipsi prophetabant [75].» Sed erat verus ac germanus propheta, ex ore Domini sermones apportans, et sancto Spiritu repletus, et velut ex bono fonte cordis sui bonis scaturiens. Nescit enim sanctorum lingua mentiri. Finis autem prophetiæ hujus est increpare duas tribus, Juda nimirum et Benjamin, quæ erant Hierosolymis. Eas ut impias, et fraudibus idolorum impie incumbentes, et ad quidvis Deo ingratum prosilientes **579** accusat. Utiliter porro additum est tempus regni quo talia apud peccatis in Deum obnoxios elocutus sit, ut rerum statum qui tum fuit diligentius inquirentes, ita quare et quantopere illis Deus iratus fuerit cognoscamus.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΚΕΦΑΛ. Α'.

Λόγος Κυρίου, ὃς ἐγενήθη πρὸς Σοφονίαν τὸν τοῦ Χουσὶ, υἱὸν Γοδολίου τοῦ Ἀμορίου, τοῦ Ἐζεκίου, ἐν ἡμέραις Ἰωσίου υἱοῦ Ἀμὼς, βασιλέως Ἰούδα.

Β'. Οὐκοῦν, ἀφηγήσομαι γὰρ ἀνὰ μέρος ἃ δὴ καὶ ὀνίνησι τοὺς ἐντευξομένους, βεβασίλευκε κατὰ καιροὺς ἐν τοῖς Ἱεροσολύμοις ὁ Ἐζεκίας, ἀνὴρ τῶν ὅτι μάλιστα φιλοθεωτάτων, εὐσεβείας ἐραστὴς, δικαιοσύνης πρύτανις, ἀπάτης ἐχθρὸς, καὶ τὰ ἐκ τῆς εἰδωλολατρίας περικόπτων βλάβη· προσεμαρτύρηκε γὰρ αὐτῷ τὰ τοιάδε σαφῶς τὸ Γράμμα τὸ ἱερόν. Τούτου διέποντος τὴν ἐν τοῖς Ἱεροσολύμοις βασιλίδα τιμὴν, ἀνέβη Σενναχηρεὶμ, ὁ Ἀσσυρίων τύραννος, εἷλέ τε τὴν Σαμάρειαν, καὶ ἀπῴκισε τὸν Ἰσραὴλ, τουτέστι, τὰς δέκα φυλὰς, εἰς τὰ ὄρη Περσῶν καὶ Μήδων, προσεμπρήσας δὲ καὶ τῆς Ἰούδα βασιλείας οὐκ εὐαριθμήτους πόλεις, οὐ κεκράτηκε τῶν Ἱεροσολύμων, Θεοῦ προασπίζοντος. Εἶτα τεθνεῶτος Ἐζεχίου, διαδέχεται τὴν βασιλείαν ὁ Μανασσῆς, γεγονὼς ἐξ αὐτοῦ, ὃς ἦν οὕτω δυσσεβὴς, ὡς μηδένα τρόπον φαυλότητος ἀνεπιτήδευτον ἐᾷν. Γέγραπται δὲ οὕτως περὶ αὐτοῦ ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· « Καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξῆρε Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. Καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε τὰ ὑψηλὰ ἃ κατέσπασεν Ἐζεχίας ὁ πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυσιαστήριον τῇ Βάαλ, καὶ ἐποίησεν ἄλσῃ, καθὼς ἐποίησεν Ἀχαὰβ βασιλεὺς Ἰσραὴλ, καὶ προσεκύνησε πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ· καὶ ἐδούλευσεν αὐτοῖς, καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν οἴκῳ Κυρίου, ὡς εἶπεν· Ἐν Ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου, καὶ ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου Κυρίου, καὶ διήγαγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρὶ, καὶ ἐκληδονίζετο, καὶ οἰωνίζετο, » καὶ τὰ ἑξῆς. Ταῦτα δρῶντος ἀνοσίως τοῦ Μανασσῆ, λοιπὸν ἠγανάκτει Θεὸς, καὶ τοῖς Ἱεροσολύμοις ἐποίσειν ἤδη τὰ ἐξ ὀργῆς ἠπείλει. Γέγραπται δὲ πάλιν οὕτω· « Καὶ ἐλάλησε Κύριος ἐν χειρὶ δού-

TOMUS PRIOR.

CAP. I.

Vers. 1. *Verbum Domini, quod factum est ad Sophoniam filium Chusi, filii Godoliæ, filii Amoriæ, filii Ezechiæ, in diebus Josiæ, filii Ammon, regis Juda.*

II. Itaque, sigillatim enim exponam quæ lectoribus conducant, regnavit olim Hierosolymis Ezechias, vir, si quisquam alius, Dei amantissimus, pietati deditus, justitiæ custos, fraudis inimicus, et idololatriæ ut detrimentosæ exstirpator: harum enim virtutum testimonium sacra Scriptura eidem liquido impertivit. Eo Hierosolymis regnum administrante, ascendit Sennacherim Assyriorum rex, captaque Samaria, Israelem, decem tribus nimirum, ad montes Persarum ac Medorum transtulit, et crematis quamplurimis regni Judæ urbibus, potiri Hierosolyma, Deo eam protegente, non potuit [76]. Mortuo Ezechia, regnum filius ejus Manasses excepit, cujus tanta fuit impietas, ut nullum genus improbitatis sibi prætermittendum duceret. De quo in quarto libro Regum ita scriptum exstat: « Et fecit malum in oculis Domini juxta abominationes gentium quas abstulit Dominus a facie filiorum Israel. Et revertit, et ædificavit excelsa, quæ diruerat Ezechias pater ejus. Et erexit altare Baal, et fecit lucos, sicut fecerat Achab rex Israel, et adoravit universam militiam cœli, et serviit eis: et ædificavit altare in domo Domini, sicut dixit: In Jerusalem ponam nomen meum; et ædificavit altaria universæ militiæ cœli in duabus areis domus Domini, et traduxit filios suos per ignem, et auguria sectatus est [76], » et quæ sequuntur. » Hæc dum Manasses impie designat, indignatus Deus pœnas Hierosolymis comminatus est. Quare rursum scriptum est in hunc modum: « Et locutus est Dominus in manu servorum suorum prophetarum, dicens: Quia fecit Manasses abominationes has malas, ecce ego induco mala super Jerusalem, **580** et extendam super Jerusalem

[75] Jerem. xxiii, 21. [76] IV Reg. xviii, 19. [76] IV Reg. xxi, 1-6.

Digitized by Google

mensuram Samariæ, et tradam eos in manus inimicorum suorum [77]. » Et hæc quidem non multo post Hierosolymitis inflicturum interminatus est Deus. Manasse defuncto, Amos filius ejus sceptrum capessit, patre scelestis moribus nihilo inferior, quique cum illius impietate sic decertabat, ut eum quodammodo tandem superarit. Huic denato successit filius Josias, Ezechiæ proavi charitate erga Deum morumque suavitate imitator [78]. Altaria enim et delubra diruit, divinum templum a Manassæ abominationibus purgavit, et sacerdotes consueta secundum leges munera obire jussit. Præterea currum solis incendit, falsidicos vates, augures, aruspices, et ariolos Hierosolymis exegit. Quamplurimos item fanorum sacerdotes neci dedit, eorumque corpora super aras combussit. Aram vitulorum in Bethel, quam fecit Jeroboam, evertit. Eo rerum divinarum ita studiose, Deus iram distulit, et malorum, quorum minas intenderat, nihil invexit [79]. Post mortem Josiæ Joachaz regnavit, cui capto Pharao Nechao vincula injecit, atque ad regios honores Jechoniam extulit, Josiæ filium alterum, quo regnante copias infestas in Judæam Nabuchodonosor adduxit, qui omni vastata regione Hierosolymam cepit, divinum templum exussit, una cum sacris vasis Judam et Benjamin tribus captivas in regnum suum abegit [80]. Sciendum porro alienigenarum quoque urbes maritimas, Gazam nimirum, Ascalonem, et alias præterea, Idumæos item et Ammonitas, stolidum Babylonium delevisse et male mulasse. Nam et hujus rei propheticus sermo meminit.

Vers. 2, 3. *Defectione deficiat a facie terræ, dicit Dominus. Deficient homo et jumenta. Deficiant volatilia cœli et pisces maris. Et infirmabuntur impii. Et auferam iniquos a facie terræ, dicit Dominus.*

III. Quasi plane in solitudinem redigenda sit ipsorum regio, et jam jamque possundanda cum omnibus pene indigenis, cum superlatione et hyperbole quadam ista vaticinatur. Non enim dicimus (si modo cum ratione aliquid commercii habemus) universorum Dominum et brutis, et piscibus, et volucribus irasci. Illud cogitandum potius persuadet, nulli omnino parsum iri: **581** sed quemadmodum navi simul cum vectoribus submersa, nihil manet reliquum, ita, inquit, Judæa capta nihil conservabitur, non homo, non pecus, non avis, non piscis. Quoniam autem consentaneum erat nonnullos in ea reperiri qui legibus congruenter viverent, ac generosam et admiratione dignam vitam colerent, ne adversum omnes indiscriminatim irasci, et cum injusto justum, et cum sceleratis ac impiis pium perdere vi-

λων αὐτοῦ τῶν προφητῶν λέγων· Ἀνθ' ὧν ἐποίησε Μανασσῆς τὰ βδελύγματα ταῦτα τὰ πονηρὰ, ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ Ἰερουσαλὴμ, καὶ ἐκτενῶ ἐπὶ Ἰερουσαλὴμ τὸ μέτρον Σαμαρείας, καὶ παραδώσω αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. » Καὶ ταυτὶ μὲν ἐποίσειν οὐκ εἰς μακρὰν τοῖς κατοικοῦσιν Ἰερουσαλὴμ, ἐπηπείλει Θεός. Κατοιχομένου δὲ τοῦ Μανασσῆ, βεβασίλευκεν Ἀμὼς υἱὸς αὐτοῦ, κατ' οὐδὲν ἀποδέων τοῦ φύσαντος εἰς ἀνοσιότητα τρόπων, ἀμιλλώμενος δὲ οὕτω ταῖς ἐκείνου δυσσεβείαις, ὡς τάχα που καὶ ὑπερκεῖσθαι λοιπόν. Ἐπειδὴ δὲ καὶ αὐτὸς ἀπεβίω, βεβασίλευκεν Ἰωσίας, υἱὸς μὲν αὐτοῦ, πλὴν τὴν Ἐζεκίου ζηλώσας φιλοθεΐαν, καὶ τῶν ἐκείνου τρόπων ἄριστος ἐραστής. Καθεῖλε μὲν γὰρ βωμοὺς καὶ τεμένη, τὸν δὲ θεῖον ναὸν καθαρὸν ἀποφήνας τῶν Μανασσῆ βδελυγμάτων, τὰ συνήθη δρᾷν εἰς δόξαν Θεοῦ τοὺς κατὰ νόμον ἱερουργοὺς ἐκέλευεν. Ἐνέκρησε πρὸς τούτῳ τοῦ ἡλίου τὸ ἅρμα, ἐξήλασε τῶν Ἱεροσολύμων ψευδομάντεις, οἰωνοσκόπους, καὶ τερατολόγους, καὶ μέντοι γνώστας. Οὐκ εὐαρίθμητόν τε τῶν τεμενητῶν ἀποσφάξας πληθὺν, ἐν τοῖς τῶν εἰδώλων κατέκαυσε βωμοῖς, ἀνέστρεψέ τε τὸ θυσιαστήριον τῶν δαμάλεων τῶν ἐν Βεθὴλ, ὃ πεποίηκεν Ἱεροβοάμ. Ἐπειδὴ δὲ ἦν οὕτω φιλόθεος, ἀνεβάλετο τὴν ὀργὴν, καὶ οὐδὲν ἐκήγαγε τῶν ἠπειλημένων ὁ Θεός. Ἐπειδὴ δὲ ἀπεβίω καὶ Ἰωσίας, βεβασίλευκεν Ἰωάχαζ, ὃν ἐχειρώσατο Φαραὼ Νεχαὼ, καὶ δέσμιον ἐποιήσατο, τῇ τῆς βασιλείας στεφανώσας τιμῇ τὸν Ἰεχονίαν, Ἰωσίου πάλιν υἱὸν δεύτερον, οὗ δὴ βασιλεύοντος κατεστράτευσε τῆς Ἰουδαίας ὁ Ναβουχοδονόσορ, ὃς πᾶσαν καταδηώσας τὴν χώραν εἶλε τὰ Ἱεροσόλυμα, καὶ τὸν θεῖον ἐμπρήσας ναὸν, ὁμοῦ τοῖς ἱεροῖς σκεύεσι δορύληπτον τὸν Ἰούδαν καὶ τὸν Βενιαμὶν ἀπεκόμισεν εἰς τὴν ἑαυτοῦ. Εἰδέναι δὲ χρὴ, ὅτι καὶ τὰς τῶν ἀλλοφύλων πόλεις, τὰς πρὸς τῇ θαλάσσῃ κειμένας, Γάζαν τέ φημι καὶ Ἀσκάλωνα, καὶ ἑτέρας σὺν αὐταῖς, Ἰδουμαίους τε καὶ Ἀμμανίτας ἡ τοῦ Βαβυλωνίου σκαιότης συνέτριψε καὶ διέθηκε κακῶς. Διαμέμνηται γὰρ καὶ τούτου τῆς προφητείας ὁ λόγος.

Ἐκλείψει ἐκλειπέτω ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος. Ἐκλειπέτω ἄνθρωπος καὶ κτήνη. Ἐκλειπέτω τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ οἱ ἰχθύες τῆς θαλάσσης. Καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς. Καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς, λέγει Κύριος.

Γ'. Ὡς ἐρήμου παντελῶς ἐσομένης αὐτοῖς τῆς χώρας, καὶ ὅσον οὔπω σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτὴν ἀπολουμένης, ὑπερβολικὸν ἐν τούτοις τὸν τῆς προαγορεύσεως ποιεῖται λόγον. Οὐ γάρ που φαμὲν, εἴπερ ἐσμὲν ἐν καλῷ τοῦ φρονεῖν, ὅτι καὶ ζώοις ἀλόγοις καὶ νηκτοῖς ὀρθῶς, καὶ πετεινοῖς ἐφίησι τὴν ὀργὴν ὁ τῶν ὅλων Δεσπότης, Ἐκεῖνο δὲ μᾶλλον ἐννοεῖν ἀναπείθει τοὺς ἀκροωμένους, ὡς οὐδενὸς τὸ παράπαν ἔσται φειδώ· ἀλλ' ὥσπερ νηὸς ὁμοῦ τοῖς πλωτῆρσι βεβαπτισμένης, οὐδὲν ἀπομένει λειφανον, οὕτω, φησὶν, ἀλούσης τῆς Ἰουδαίας, οὐδὲν ἔσται τὸ σωζόμενον, οὐκ ἄνθρωπος, οὐ κτήνη, οὐ πτηνὸν, οὐ νηκτόν. Ἐπειδὴ δὲ εἰκὸς ἦν εἶναί τινας ἐν αὐτῇ ζῶντας ἐννόμως, εὐφυᾶ τε καὶ ἀξιάγαστον ἐπησκηκότας τὴν πολιτείαν, ἵνα μὴ φαίνοιτο κατὰ πάντων ἁπλῶς καὶ ἀδιακρίτως ἰὼν τὴν ὀργὴν, καὶ συναπολ-

[77] IV Reg. xxi, 12, 13. [78] IV Reg. xxii, 1, 2. [79] IV Reg. xxiii, 1-29. [80] ibid. 31-37; et xxiv, xxv.

Digitized by Google

λύων τῷ ἀδίκῳ τὸν δίκαιον, τοῖς δὲ βεβήλοις καὶ ἀσεβέσι συγκαταφθείρων τὸν εὐσεβῆ, ταύτητοι καθίστησιν ἐναργῆ, καθ' ὃν ἂν ἴοι τὰ ἐξ ὀργῆς. Ἔφη γάρ, ὅτι καὶ ἀσθενήσουσιν οἱ ἀσεβεῖς, « Καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς· » ἀσθενήσουσι μὲν ὑπὸ χεῖρα πίπτοντες ἐχθρῶν, ἐξαίρονται δὲ οἱ ἄνομοι ὡς τεθνεῶτες, καὶ ῥομφαίας ἔργον γεγενημένοι, ἦγουν ἀποκομισθέντες αἰχμάλωτοι, καὶ τοῖς ἠρηκόσι δουλεύοντες.

Εἰ δὲ δή τις ἕλοιτο μεταπλάττειν εἰς ἦθη καὶ τρόπους, ἄνθρωπόν τε καὶ κτήνη καὶ τὰ λοιπά, νοήσει μὲν ἀνθρώπους τοὺς κατὰ σάρκα ζῶντας, καὶ γήϊνον ἔχοντας φρόνημα, καὶ τοῖς προσκαίροις ἐντετηγμένους, οἷς καὶ ὁ θεῖος προσπεφώνηκε λόγος· « Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες· ὑμεῖς δὲ δὴ ὡς ἄνθρωποι ἀποθνήσκετε. » Τῶν γὰρ ἁγίων ἀνθρώπινος μὲν οὐκ ἔτι, θειότερος δὲ μᾶλλον καὶ πνευματικὸς ὁ βίος· εἴπερ ἐστὶν ἀληθὲς, ὡς περιπατοῦσι μὲν ἐν σαρκὶ, ζῶσι δὲ οὐ κατὰ σάρκα, ἔχουσι δὲ μᾶλλον ἐν οὐρανοῖς τὸ πολίτευμα· κτήνη δὲ αὖ τοὺς ἀμαθίᾳ πολλῇ συζῶντας, καὶ νωθεῖς τὴν φρένα, περὶ ὧν φησι διὰ φωνῆς τοῦ Δαβίδ· « Ἄνθρωπος ἐν τιμῇ ὢν, οὐ συνῆκε, » καὶ τὰ ἑξῆς. Προσεπιτάττει δὲ λέγων· « Μὴ γίνεσθε ὡς ἵππος, καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις. » Ἡτηνὰ δὲ λογιούμεθα τοὺς ἐπηρμένην καὶ οἱονεὶ μετέωρον ἔχοντας φρένα, καὶ ὑψοῦ φέρεσθαι μεμελετηκότας τὸν νοῦν, καὶ τοῖς ταπεινοῖς συναπάγεσθαι παραιτουμένους. Τοιοῦτοι δὲ πᾶς ἀλαζὼν, καὶ τοῖς τῆς θεομισοῦς ὑπερηφίας ἐγκλήμασιν ὁλοτρόπως ἐνισχημένος. Ἐκδέξῃ δὲ καὶ ἰχθῦς τὴν ἀλογωτάτην πληθύν. Ἀφωνότατα δὲ τῶν ἰχθύων τὰ γένη. Τοιοῦτοι δὲ καὶ οἱ πολλοὶ, οἳ καθάπερ θαλάττῃ τινὶ τῇ τοῦ βίου τύρβῃ περιεχόμενοι, καὶ τὴν ἁλμυρὰν τε καὶ πικρὰν τῶν ἐν αὐτῷ πράξεων ἡδονὴν τρεφόμενοι, τοῖς τοῦ θανάτου τετήρηνται λίνοις, ὅλεθρον ἔχοντες τοῦ βίου τὸ πέρας. Οὗτοι δὴ οὖν ἐκλείψουσι, ποινὴν ἐπ' αὐτοὺς ἰέντος Θεοῦ καὶ κολάζοντος ὡς ἀσελγῆ τρίβοντας βίον, καὶ παροτρύνειν αὐτὸν οὐ παραιτουμένους.

Καὶ ἐκτερῶ τὴν χεῖρά μου ἐπὶ Ἰούδα; καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας Ἰερουσαλὴμ, καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόματα τῆς Βάαλ, καὶ τὰ ὀνόματα τῶν ἱερέων, καὶ τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ βασιλέως αὐτῶν, καὶ τοὺς ἐκκλίνοντας ἀπὸ Κυρίου τοῦ Θεοῦ, καὶ τοὺς μὴ ζητοῦντας τὸν Κύριον, καὶ τοὺς μὴ ἀντεχομένους τοῦ Κυρίου.

Δ'. Καταλευκαίνει λοιπὸν τὸ ἀμυδρῶς εἰρημένον, καὶ ὅτι κατὰ τῆς Ἰούδα φυλῆς κατά τε τῶν Ἱεροσολύμων τὰ ἐξ ὀργῆς συμβήσεται, διαγορεύει. Ἐκταθήσεσθαι γὰρ κατ' αὐτῆς τὴν ἑαυτοῦ χεῖρά φησιν, οἱονεὶ καταβραττομένην, καὶ πλήττουσαν, καὶ ὑποτιθεῖσαν αὐτοὺς τοῖς ὅσον οὔπω προσδοκωμένοις, μέλλουσί τε καταδηοῦν, καὶ τῆς ἐνεγκούσης ἀποκομίζειν αὐτοὺς τοῖς τῆς δουλείας βρόχοις ἐνειλημμένους.

A deretur, idcirco prodit quem iratus puniat. Ait namque infirmatum iri impios : « Et tollam impios a facie terræ : » infirmatum quidem iri in manus hostium incidentes : auferuntur autem de medio iniqui ut mortui, et gladio consumpti, sive in captivitatem abducti, et a quibus capti sunt, iis servientes.

Sin quis ad vitam et mores ista referre voluerit, hominem et jumenta et reliqua, intelliget homines secundum carnem viventes, et terrena cogitantes, et temporariis rebus inhærentes, quos Dei sermo sic allocutus est : « Ego dixi : Dii estis, et filii Excelsi omnes ; vos autem sicut homines moriemini [81]. » Sanctorum enim vita non humana, sed divina potius et spiritualis est : siquidem verum est eos ambulare quidem in carne [82], non autem vivere secundum carnem, et conversationem suam in cœlis habere [83]. Jumenta porro reputabimus in ignorantia ævum degentes, et mente tardos, de quibus Psalmographus : « Homo cum in honore esset, non intellexit, » et quæ sequuntur [84]. Adjubet autem : « Nolite fieri sicut equus et mulus, quibus non est intellectus [85]. » Volatilia interpretabimur, qui elatam ac velut sublimem possident mentem, et quorum animi ad alta ferri consueverunt, humilibus consentire detrectantes [86]. Talis est omnis arrogans, et superbiæ Deo exosæ criminibus etiam atque etiam involutus. Piscis deinde inconsultissimam multitudinem significabit. Sunt item maxime muti pisces. Tale est vulgus, quod vitæ hujus tumultibus tanquam mari aliquo circumfusum, et actionem ejus salsa et amara voluptate pastum, retibus mortis servatur, et vitam in exitium claudit. Hi igitur deficient, ubi Deus illos multaverit et puniverit, ut qui ætatem proterve transegerint, ipsumque exasperare non horruerint.

B

C

Vers. 4-6. *Et extendam manum meam super Judam, et super omnes habitantes Jerusalem,* **582** *et auferam de loco hoc nomina Baal, et nomina sacerdotum, et eos qui adorant super domos seu tecta militiam cœli, et qui jurant per regem ipsorum, et eos qui declinant a Domino, et eos qui non quærunt Dominum, et qui non adhærent ei.*

D

IV. Quod implicite dictum erat, nunc explanat, et Judæ tribui atque Hierosolymis mala eventura, explicite docet. Extensum enim iri contra eam manum ejus, inquit, veluti apprehendentem, et percutientem, et subjicientem ipsos hostibus mox exspectandis, a quibus devastati et servitutis impediti laqueis a solo patrio abducantur. Detegit autem crimina, et de medio sublatum iri autumat

[81] Psal. LXXXI, 6, 7. [82] II Cor. X, 3. [83] Philipp. III, 20. [84] Psal. XLVIII, 13. [85] Psal. XXXI, 9. [86] Rom. XII, 16.

Digitized by Google

nomina Baal, et cum iis sacerdotum quoque nomina peritura. Per quæ apud ipsos numina esse multa et errores varios, significat. Cæterum bello consumptum, et ad tantam paucitatem hominum Judæorum gentes redactum iri, ut fortasse vix sint qui Baal nominent, aut qui templis idolorum assidere queant, apte insinuat, dum dicit ablatum iri nomina idolorum ipsorum et sacerdotum. Nomina vero pro memoria sive gloria posuit. Sic et Salomon interpretatur : « Melius est nomen bonum quam divitiæ multæ [87]. » Perditum quoque iri dicit adorantes super domos, una cum sacerdotibus et nominibus Baal, qui esse possunt, lunam et ursam, et reliquam militiam cœli adorare soliti. Inquit etiam : « Auferam jurantes per regem ipsorum. » Morem enim habebant errore seducti jurare per cœlum : honorificentissimum vero quodammodo erat, exclamare, per regem et dominum solem. Hoc facientes a charitate Dei necessario discedebant, cum lex dilucide dixerit : « Dominum Deum tuum adorabis, et illi soli servies, et in nomine ejus jurabis [88]. » Itaque Jeremias Israelitas servare præceptum Mosis testatur, dicebatque ad Dominum ut ab illis iram averteret : « Dicunt, Vivit Dominus [89]. » Qui autem non quærunt Dominum, et ei adhærere non curant, intelligi possunt improbam et inhonestam traducentes **583** vitam, et conversatione legibus contraria beatos se ducentes. Quæritur enim a nobis Deus non secundum locum, sed magis, ut arbitror, per actiones, per cognitionem veram et reprehensione carentem, per fidem et bonitatem, et per studium et alacritatem ad omnia penitus quæ illi placent. Sciendum vero hæc facta fuisse etiam a Josia, sub quo hæc prophetia edebatur. Evertit enim et ipse aras, et delubra, et manu elaborata ; jugulavit sacrificulos, falsos vates, augures. Videtur autem propheta neutiquam cœpta indicare, nec de jam factis loqui ; quin prænuntiat potius hæc aliquando eventura, sicut etiam evenerunt per Nabuchodonosor, qui id ad Dei gloriam non fecit : qui enim, aut unde, cum et divinum templum incenderit [90] ? verum idola adorantes occidit, et cum ipsis idolis eorum cadavera combussit.

Ἀπογυμνοῖ δὲ δὴ τὰ ἐγκλήματα, καὶ ἐκ μέσου μὲν ἔσεσθαί φησι τὰ ὀνόματα τῆς Βάαλ, οἰχήσεσθαι δὲ σὺν αὐτοῖς τὰ τῶν ἱερέων. Καὶ ὅτι μὲν πολλὴ παρ' αὐτοῖς ἡ τῶν σεβασμάτων πληθὺς, καὶ διάφορος ὁ τῆς πλανήσεως τρόπος, διὰ τούτου σημαίνει. Ὅτι δὲ τῷ πολέμῳ δαπανηθήσονται, καὶ ὀλιγανδρίας εἰς τοῦτο τὰ τῶν Ἰουδαίων ἔθνη παραστήσεται, ὡς μὴ εἶναι τάχα που τοὺς ὀνομάζοντας τὴν Βάαλ, ἤγουν τοῖς τῶν εἰδώλων τεμένεσι προσιζῆσαι δυναμένους, ὑπεσήμανεν εὐφυῶς, ἐξαρθήσεσθαι λέγων τὰ ὀνόματα τῶν εἰδώλων αὐτῶν, καὶ τῶν ἱερέων. Τὰ δὲ ὀνόματά φησιν ἀντὶ τοῦ τὰς μνήμας, ἤτοι τὰς δόξας. Οὕτω καὶ Σολομὼν ἑρμηνεύει· « Αἱρετὸν ὄνομα καλὸν, ἢ πλοῦτος πολύς. » Ὁμοῦ δὲ τοῖς ἱερεῦσι καὶ τοῖς ὀνόμασι τῆς Βάαλ ὀλοθρευθήσεσθαι λέγει καὶ τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα· εἶεν δ' ἂν οὗτοι ἡ σελήνη καὶ ἄρκτῳ καὶ τῇ λοιπῇ στρατιᾷ τοῦ οὐρανοῦ προσκυνεῖν εἰωθότες. « Ἐξαρῶ δὲ, φησὶ, καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ βασιλέως αὐτῶν. » Ἔθος γὰρ ἦν τοῖς πεπλανημένοις ὄρκιον ποιεῖσθαι τὸν οὐρανὸν, καὶ κατευρύνειν ἐπ' αὐτῷ τὴν γλῶσσαν· φιλοτιμότατα δὲ ὥσπερ ἀναφωνεῖν, νὴ τὸν βασιλέα καὶ δεσπότην ἥλιον. Οἷς τοῦτο ὁρῶσιν ἀνάγκη ἀποφοιτᾷν ἀγρίως τῆς εἰς Θεὸν ἀγάπης, καίτοι τοῦ νόμου σαφῶς διηγορευκότος· « Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. » Καὶ γοῦν Ἱερεμίας προσμαρτυρεῖ τοῖς ἐξ Ἰσραὴλ τῆς διὰ Μωσέως ἐντολῆς τὴν τήρησιν, ἐφασκέ τε πρὸς Θεὸν, τῆς ἐπ' αὐτοῖς ἀποφέρων ὀργῆς· « Ζῇ Κύριος, λέγουσιν. » Οἱ δέ γε μὴ ζητοῦντες τὸν Κύριον, μήτε μὴν ἀντέχεσθαι μελετῶντες αὐτοῦ, νοοῖντ' ἂν εἰκότως οἱ φαύλην καὶ ἀσχήμονα διαβιοῦντες ζωὴν, καὶ τὴν ἔξω νόμου πολιτείαν ἐπιστεμηκότες. Ζητεῖται γὰρ παρ' ἡμῶν ὁ θεὸς οὐχὶ μᾶλλον τοπικῶς, ἀλλ', οἶμαι, πραγματικῶς, διὰ γνώσεως ἀληθοῦς, καὶ τὸ ἀνεπίπληκτον ἔχούσης ἐφ' ἑαυτῇ, διὰ πίστεως, καὶ ἐπιεικείας, καὶ τῆς εἰς ἅπαν ὁτιοῦν τῶν ὁσίως τεθαυμασμένων καὶ ἀνδανόντων αὐτῷ σπουδῆς τε καὶ προθυμίας. Εἰδέναι δὲ ἀναγκαῖον, ὅτι ταῦτα μὲν τετέλεσται καὶ παρ' αὐτοῦ τοῦ βασιλεύοντος ἐν τοῖς Ἱεροσολύμοις, Ἰωσίου, φημὶ, καθ' ὃν καὶ ὁ τῆς προφητείας γέγονε λόγος. Καθεῖλε γὰρ καὶ αὐτὸς βωμοὺς, καὶ τεμένη, καὶ τὰ χειροκμητα· κατέσφαξε τοὺς ἱερουργοὺς, ψευδομάντεις, οἰωνοσκόπους. Ἔοικε δὲ ὁ προφήτης οὐχὶ δὴ που πάντως τὰ ἐνεστηκότα δηλοῦν, καὶ περὶ τῶν ἤδη πεπραγμένων ποιεῖσθαι τὸν λόγον, προαγγέλλειν δὲ μᾶλλον, ὡς ἔσται ταῦτα κατὰ καιροὺς, ἃ δὴ καὶ τετέλεσται διὰ τοῦ Ναβουχοδονόσορ, οὐκ εἰς δόξαν δρῶντος Θεοῦ· πῶς γὰρ, ἢ πόθεν, ὅς γε καὶ τὸν θεῖον ἐνέπρησε ναόν ; ἀνελόντος δὲ μᾶλλον, καὶ κατεμπρήσαντος ὁμοῦ τοῖς εἰδώλοις τοὺς προσκυνοῦντας αὐτά.

VERS. 7. *Timete a facie Domini Dei, quia prope dies Domini, quia præparavit Dominus sacrificium suum, sanctificavit vocatos suos.*

Εὐλαβεῖσθε ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ, διότι ἐγγὺς ἡ ἡμέρα τοῦ Κυρίου, ὅτι ἡτοίμασε Κύριος τὴν θυσίαν αὐτοῦ, ἡγίασε τοὺς κλητοὺς αὐτοῦ.

V. Utiliter minis hortationem seu admonitionem inserit, et horribilibus rebus terrefactos ad meliora consilia adigit, et suspectum habere jubet universorum Deum : hoc enim esse puto εὐλαβεῖσθε, *timete* : atque ad corrigendas vitæ semitas incumbere,

Ε'. Ἀναπλέκει χρησίμως ταῖς ἀπειλαῖς τὴν παραίνεσιν, καταπτοήσας τοῖς δείμασι, μετασοβεῖ πρὸς τὸ ἄμεινον, ὑποβλέπεσθαι κελεύων· τοῦτο γὰρ, οἶμαι, ἔστι τὸ, *εὐλαβεῖσθε* · τὸν τῶν ὅλων Θεὸν, καὶ τὰς τοῦ βίου τροχιὰς ἐπανορθοῦν ἐπείγεσθαι, καὶ

[87] Prov. xxii, 1. [88] Deut. vi, 13; Matth. iv, 10. [89] Jerem. v, 2. [90] IV Reg. xxv, 9.

Digitized by Google

ἀμελλητὶ μετατρεπειν πρὸς τὸ αὐτῷ φίλον καὶ δοκοῦν. Δεῖν δέ φησιν ὁρᾶσθαι τοιούτους ἀπὸ προσώπου Κυρίου, κατὰ τὸ εἰρημένον διὰ φωνῆς Ἡσαΐου· « Λούσασθε, καθαροὶ γένεσθε, ἀφέλεσθε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου. Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν. » Ταυτὸν γὰρ οὔτε που τὸ πονηρίαν ἀφελεῖν ἐξ ὀφθαλμῶν ἀνθρωπίνων, καὶ ἀπέναντι τοῦ προσώπου τοῦ Θεοῦ, πλείστη δὲ ὅση τῶν πράξεών ἐστιν ἡ διαφορά. Πονηρὸς γὰρ ἔσθ' ὅτε καὶ οὐκ ἀγαθὸς τοὺς τρόπους ἀνὴρ εὐλαβείας δόκησιν ὑποτρέχει, καὶ χρηστότητος ὄνομα περιπλάττεται, καίτοι τοῦτο κατ' ἀλήθειαν οὐκ ὤν. Καὶ γοῦν ὁ Χριστὸς, « Προσέχετε, φησὶν, ἀπὸ τῶν ἐρχομένων πρὸς ὑμᾶς ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. » Ὁ τοιοῦτος εὐλαβὴς ἐν ὀφθαλμοῖς ἀνθρώπων, καὶ οὐχὶ δὴ πάντως ἐν ὄψει Θεοῦ. Ὁ δὲ ἀκάκουργος ἀληθῶς ἀπέναντι τοῦ προσώπου τοῦ Θεοῦ, οὐ μόνον τὴν ἐξωφανῆ χρηστότητα καὶ τὸ ἀγαθὸν εἶναι ἀμφιέννυται, καρδίαν δὲ μᾶλλον ἀδέβηλον ἔχει, καὶ δὴ ὁρᾶται τοιοῦτος. Ἔφη γάρ που καὶ Σολομών· « Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει. » Ἡμέραν δὲ ὀνομάζει Κυρίου τῆς ἁλώσεως τὸν καιρὸν, ὃν καὶ ἐγγὺς εἶναί φησιν, οὐκ ἐφιεὶς τοῖς ἀμελεστέροις ἐκεῖνό που τάχα διενθυμεῖσθαι καὶ φρονεῖν παρά γέ σφισιν αὐτοῖς, ὡς μακρά τις ἔσται τῶν ἔσεσθαι προαπηγγελμένων ἡ ἀνάβλησις, καὶ ὑπερτρέχουσι τὸ παθεῖν εἰς τὸ τῆς οἰκείας ζωῆς καταντήσαντες τέλος. Ἔθος γὰρ ἦν τοῖς Ἰουδαίοις ἐν ταῖς τῶν ὅτι μάλιστα σκυθρωπῶν προῤῥήσεσι τοιάδε τινὰ φρονεῖν τε καὶ λέγειν. Καὶ γοῦν ἔφη που Θεὸς πρὸς Ἰεζεχιήλ· « Υἱὲ ἀνθρώπου, ἰδοὺ ὁ οἶκος Ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν· Ἡ ὅρασις, ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς, καὶ εἰς καιροὺς μακροὺς οὗτος προφητεύει. Διὰ τοῦτο εἰπὸν πρὸς αὐτούς· Τάδε λέγει Ἀδοναῒ Κύριος· Οὐ μὴ μηκύνωσιν οὐκέτι πάντες οἱ λόγοι μου, οὓς ἂν λαλήσω. Ὅτι λαλήσω λόγον, καὶ ποιήσω, λέγει Ἀδοναῒ Κύριος. » Καὶ νῦν, ὥσγε οἶμαι, φησὶν ἠγγικέναι διαβεβαιούμενος τὴν ἡμέραν Κυρίου, καὶ ἡτοιμᾶσθαι μὲν τὴν θυσίαν αὐτοῦ, ἡγιᾶσθαι δὲ τοὺς κλητούς· καὶ θυσίαν μὲν ὀνομάζει τὴν κατὰ βούλησιν αὐτοῦ πραχθησομένην σφαγὴν τῶν ἠσεβηκότων· κλητοὺς γε μὴν τοὺς Χαλδαίους, οὓς καὶ ἡγιᾶσθαί φησι, οὐχ ὡς ἁγίους γεγενημένους, ὡς ὁρισθέντας δὲ μᾶλλον, καὶ κεκλημένους παρὰ Θεοῦ πρὸς τὸ ἐμπρῆσαι τὴν Ἰουδαίαν, καὶ φειδοῦς ἀπάσης ἐξῃρημένης ὀλοθρεῦσαι τοὺς ἐν αὐτῇ. Τοιοῦτόν τί φησι καὶ ἑτέρωθι τὸ Γράμμα τὸ ἱερόν. Κέκληντο μὲν γὰρ κατὰ τῆς Νινευὴ Πέρσαι τε καὶ Μῆδοι, καὶ οἱ Κύρῳ συνηπικότες. Ἔφη δὲ καὶ περὶ αὐτῶν ὁ Θεός· « Ἡγιασμένοι εἰσὶ, καὶ ἐγὼ ἄγω αὐτούς. » Γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίροντες ἅμα καὶ ὑβρίζοντες. Οὐκοῦν ὁ ἁγιασμὸς ἐν τούτοις οὐ φαυλότητος ἀπόθεσιν, οὔτε μὴν Πνεύματος ἁγίου μέθεξιν κατασημήνειεν ἄν, ἀλλ' οἱονεὶ τὸ πρὸς ἐκπλήρωσιν τοιοῦδέ τινος πράγματος προωρίσθαί τε καὶ ἐκνενεμῆσθαί τινας.

A ac sine procrastinatione ad id quod ipsi gratum acceptumque est, converti. Debere autem tales videri a facie Domini, juxta illud Isaiæ : « Lavamini, mundi estote, auferte nequitias ab animabus vestris coram oculis meis. Quiescite a malitiis vestris[90]. » Non enim est idem profecto, nequitiam auferre ab oculis humanis, et a facie Dei, cum maximo discrimine actiones istæ separentur. Improbus enim nonnunquam religiositatis opinionem habet, et sub nomine bonitatis latet, quamvis revera bonus non sit. Unde Christus, « Attendite, inquit, ab iis qui veniunt ad vos in vestimentis ovium, intus autem sunt lupi rapaces[91]. » Talis est pius ac religiosus in oculis hominum, neutiquam vero in oculis Dei. Ante oculos autem Dei vere innocens non tantum- B modo foris apparentem probitatem et bonitatis opinionem induit : sed cor potius purum habet, atque etiam 584 Deo videtur talis. Ait enim alicubi et Salomon : « Respicit Dominus vias hominis, et omnes gressus ejus considerat[92]. » Diem autem Domini tempus captivitatis appellat, quem et in foribus esse dicit. Non permittit negligentioribus secum cogitare, longe adhuc distare quæ prædicta sint fore, et se extremum vitæ suæ consecutos, calamitatem evasuros. Solemne enim fuit in prædictionibus rerum tristium hujuscemodi sentire et loqui. Proinde Deus Ezechieli : « Fili hominis, ecce domus Israel exasperans, dicentes dicunt : Visio quam iste videt, in dies multos, et in tempora longa iste prophetat. Propterea dic ad eos : C Hæc dicit Adonai Dominus : Non prolongabuntur ultra omnes sermones mei, quos locutus fuero. Quia loquar verbum, et faciam, dicit Adonai Dominus[93]. » Et nunc, ut opinor, eadem de causa affirmat appropinquasse diem Domini, et præparatum sacrificium ejus, et sanctificatos esse vocatos ejus. Et sacrificium quidem nominat peractam juxta voluntatem ejus cædem impiorum; vocatos autem Chaldæos, quos et sanctificatos dicit, non quasi sanctitatis compotes, sed decretos potius et accersitos a Deo ad Judæam incendio miscendam, et ad ejus incolas citra ullam misericordiam perdendos funditus. Istiusmodi quidpiam et alibi dicit Scriptura sacra[94]. Vocati sunt enim contra Niniven D Persæ et Medi, et Cyro militantes, de quibus ait Deus : « Sanctificati sunt, et ego duco illos[95]. » Gigantes veniunt implere iram meam, gaudentes et calumniis appetentes. Quamobrem sanctificatus hoc loco non improbitatis depositionem, nec Spiritus sancti communionem, sed ad confectionem talis negotii velut destinatos quosdam ac dispertitos significat.

Καὶ ἔσται ἐν ἡμέρᾳ θυσίας Κυρίου, καὶ ἐκδι-

VERS. 8, 9. *Et erit in die sacrificii Domini, et*

[90] Isa. I, 16. [91] Matth. VII, 15. [92] Prov. V, 21. [93] Ezech. XII, 27, 28. [94] Jerem. XXXII, 28, 30. [95] Isa. XIII, 3.

Digitized by Google

ulciscar super principes, et super domum regis, et super omnes qui induti sunt indumentis alienis. Et ulciscar manifeste super omnes qui in vestibulis sunt in illa die, qui implent domum Domini Dei sui impietate et dolo.

VI. Tria sunt in quibus urbium regionumque felicitas consistit, regnum, magistratuum in eo ordines, laudatum ab omnibus sacerdotium. Hæc si bene habuerint, unumquodque pro **585** dignitate sua, bene habebunt quæ cuique subjecta sunt, et saluti atque incolumitati populorum consulitur. Sin autem via obliqua ac detorta cucurrerint, omnia statim invenuste procedent, et quasi temulentos ad exitium reddent. Quemadmodum enim dolente capite etiam reliqua membra pariter dolorem sentire et ægrotare necesse est : ita principibus ad vitium detortis, et propensione ad vitia laborantibus, subditos similiter corrumpi oportet. Solent enim subditi dominorum voluntates sequi, et ad eorum exemplum componi. In die igitur, inquit, sacrificii Deo placentis, hoc est, tempore quo teterrimis peccatis obstrictorum trucidationes perpetrabuntur, in eas res quæ gloria cæteris antecellunt, et primum locum tenent, ultrix ira invadet. Ea autem sunt, domus regis, et illi vicina statim, gloria et honore illustrium, et tertia post ipsos cæteris quoque a Deo prælata divinorum sacerdotum, qui et ipsi pro ordine sacerdotii populi duces ac principes numerantur. Quos exagitat vehementer, ut qui se cooperiant vestimentis alienis, hoc est, eo usque jam Deum diligere desiisse, ut quæ olim per Mosen divinitus mandata sunt, contemnere auderent, et cum eos ad sacra peragenda tempus vocaret, nec ipsum sacerdotii cultum sive habitum retinerent. Sicut igitur Aaronis filii igne consumpti sunt [96], et eo crimine accusabantur, quod alienum ignem altari imposuissent : ad eumdem modum et hi de quibus loquimur, pœnas reposcentur, quia ornatum sibi convenientem aspernati, ut sacerdotibus dignum erat, pro legislatoris voluntate non sint induti, sed in vestibus alienis perfungi sacris non dubitarint. Est autem et hoc summi contemptus argumentum, ostenditque eos legem in postremis duxisse. Jam igitur quo pacto cogitare licet, legis observationem aliis curæ fuisse, si eam principes ipsi neglexerunt? Idcirco inquit, « Ulciscar manifeste super omnes qui in vestibulis sunt. » Sententia subest hujusmodi : Israelem toties peccantem. et prophetis dicto minime audientem, ad pœnitentiam vocabat, externis afflictionibus eum corrigens ut pater, nonnunquam etiam corpora eorum tangens. Exempli gratia, vento pestilenti fructus in agro percussit : aut bruchum aliquando, et locustam, aut erucam, aut rubiginem, quæ vocatur, confertim **586** immisit. Afflixit etiam inflammatione et ictero, juxta vocem

[96] Levit. x, 1, 2.

κήσω ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐπὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ ἐπὶ πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια. Καὶ ἐκδικήσω ἐμφανῶς ἐπὶ πάντας ἐπὶ τὰ πρόπυλα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, τοὺς πληροῦντας τὸν οἶκον Κυρίου Θεοῦ αὐτῶν ἀσεβείας καὶ δόλου.

Γ'. Τρία ταῦτά ἐστι τὰ δι' ὧν ἂν εὖ ἔχοιεν πόλεις τε καὶ χῶραι, βασιλεία τε καὶ τὰ ὑπ' αὐτὴν τῶν ἐξουσιῶν τάγματα, καὶ ἡ διαβόητος ἱερωσύνη. Ταῦτα δὲ εἰ μὲν ἔχοι καλῶς, κατά γε τὸ ἑκάστῳ πρέπον, εὖ ἂν ἔχοι τὰ ὑπ' αὐταῖς πράγματα, καὶ σώζεται τὸ ὑπήκοον. Εἰ δὲ τὴν διεστραμμένην ἕλοιντο τιμᾷν, καὶ μὴν καὶ εὐθὺς διάττοιεν ἐρίβδην, ἅπαντα πρὸς τὸ ἀκαλλὲς οἰχήσεται, καὶ μονονουχὶ καταμεθύσει πρὸς ὄλεθρον. Ὥσπερ γὰρ, εἰς τὴν τοῦ σώματος κεφαλὴν ἀλγήματος γεγονότος, συναισθάνεσθαί τε αὐτῇ καὶ συναρρώστειν ἀναγκαῖον τὰ λοιπὰ τῶν μελῶν· οὕτω καὶ τῶν ἡγουμένων ἐκτετραμμένων ἐπὶ τὸ φαῦλον καὶ μένοι ῥοπὴν τὴν εἰς χεῖρω νενοσηκότων, συγκαταφθείρεσθαί πως ἀνάγκη τοὺς ὑπεζευγμένους. Φιλεῖ γάρ πως τὸ ὑπήκοον ταῖς τῶν λαχόντων κρατεῖν ἕπεσθαί τε καὶ ὑποφέρεσθαι γνώμαις. Ἐν ἡμέρᾳ τοίνυν, φησὶ, τῆς ἀνδανούσης Θεῷ θυσίας, τουτέστιν, ἐν καιρῷ καθ' ὃν ἂν γένοιτο τῶν τὰ πάνδεινα πεπλημμεληκότων ἡ σφαγὴ, ἐπ' αὐτὰ δὴ, καὶ πρῶτα, καὶ τῶν ἄλλων ἐξῃρημένα κατὰ τὴν δόξαν καὶ προκείμενα πράγματα, βαδιεῖται τὰ ἐξ ὀργῆς. Ταῦτα δέ ἐστιν, ὁ τοῦ βασιλεύοντος οἶκος, καὶ ὁ γείτων εὐθὺς τῶν ἐν δόξῃ καὶ περιφανείᾳ κειμένων, καὶ τρίτος ἐπ' αὐτοῖς ὁ καὶ τῶν ἄλλων παρὰ Θεῷ προτιμότερος ὁ τῶν θείων ἱερουργῶν· ἄρχοντες δὲ καὶ αὐτοὶ, καὶ λαῶν ἡγούμενοι, κατά γε τῆς ἱερωσυνῆς τὴν τάξιν. Αἰτιᾶται δὲ λίαν αὐτοὺς, ὡς ἐνδεδυμένους ἐνδύματα ἀλλότρια, τουτέστιν, εἰς τοῦτο λοιπὸν ἀφιλοθείας ἰγμένους, καὶ τῶν πάλαι διὰ Μωσέως τεθεσπισμένων καταφρονεῖν ἠρημένους, ὡς μηδὲ αὐτὸ τὸ τῆς ἱερωσύνης σχῆμα τηρεῖν, καιροῦ καλοῦντος αὐτοὺς ἐπί γε τὸ δεῖν ἀποπεραίνειν τὰ ἱερά. Ὥσπερ οὖν οἱ ἐξ Ἀαρὼν γεγονότες δεδαπάνηνται πυρὶ, καὶ ἦν αὐτοῖς ἐπίκλημα καὶ ἡ γραφὴ, τὸ ἀλλότριον ἐπιθεῖναι τῷ θυσιαστηρίῳ πῦρ· τὸν αὐτὸν, οἶμαι, τρόπον καὶ οὗτοι, περὶ ὧν ἦν ὁ λόγος, ἐξαιτοῦνται δίκας, ὅτι τῆς πρεπούσης αὐτοῖς εὐκοσμίας ἠφειδηκότες, ἱεροπρεπῶς μὲν οὐκ ἐστέλλοντο κατά γε τὸ τῷ νομοθέτῃ δοκοῦν, ἐνδύμασι δὲ ἀλλοτρίοις ἠμφιεσμένοι, ὁρᾷν ἀπετόλμων τὰ ἱερά. Ἀπόδειξις δὲ καὶ τοῦτό ἐστι καταφρονήσεως τῆς ἐσχάτης, καὶ τοῦ μηδενὸς ἀξιοῦσθαι λόγου παρ' αὐτοῖς τὸν νόμον. Εἶτα πῶς ἦν ἐνοεῖν ἐν φρονίδι γενέσθαι τοῖς ἄλλοις τοῦ νόμου τὴν τήρησιν, εἰ μηδεὶς αὐτοῦ τοῖς ἡγουμένοις ὁ λόγος; Ταύτηγοί φησιν· « Ἐκδικήσω ἐμφανῶς ἐπὶ τὰ πρόπυλα. » Καὶ ὃ βούλεται δηλοῦν, ἔστι τοιοῦτον· Πλημμελοῦντα πλειστάκις τὸν Ἰσραὴλ, καὶ τοῖς διὰ τῶν προφητῶν οὐκ εἴκοντα λόγοις, ἐκάλει πρὸς μετάνοιαν, ταῖς ἔξωθεν λύπαις ἐπανορθῶν ὡς πατὴρ, ἁπτόμενος δὲ καὶ τῶν σωμάτων αὐτῶν ἔσθ' ὅτε. Οἷόν τί φημι, ἐπάταξεν ἐν ἀνεμοφθορίᾳ τοὺς ἐν ἀγρῷ

Digitized by Google

καρποὺς, ἢ βροῦχον ἔσθ' ὅτε καὶ ἀκρίδα καθεὶς, ἢ κάμπην ἐπισωρεύσας, ἢ τὴν καλουμένην ἐρυσίβην. Ἀελύπηκε δὲ καὶ ἐν πυρώσει, καὶ ἐν ἰκτέρῳ, κατὰ τὴν τοῦ προφήτου φωνήν. Ταῦτα κατὰ καιροὺς ἐπιφέρων, οἷον ἔπληττε λεληθότως. Νυνὶ δὲ, φησὶν, « Ἐκδικήσω ἐμφανῶς ἐπὶ τὰ πρόπυλα, » τουτέστιν, οὐ λεληθότως ἐποίσω τὰ ἐξ ὀργῆς· οὐ βροῦχος ἔσται καὶ ἐρυσίβη τὰ καθ' ὑμῶν, οὐκ ἀῤῥωστία σωματικὴ, ἀλλὰ γυμνῶς ἀποστίλβον τῶν πολεμίων τὸ ξίφος, καὶ τοῖς εἰς ἐμὲ δεδυσσεβηκόσιν ἀπειλοῦν τὸν ὄλεθρον, καὶ εἰς αὐτὰ τοῦ ναοῦ τὰ πρόπυλα καταφθεῖρον ὡμῶς τοὺς πληροῦντας τὸν οἶκον τοῦ Θεοῦ αὐτῶν ἀσεβείας καὶ δόλου. Τίς οὖν ἡ ἀσέβεια; τίς δὲ καὶ ὁ δόλος; Ἕτερος ἡμῖν προφήτης σαφηνίζει λέγων περὶ τῆς Ἱερουσαλήμ· « Οἱ ἡγούμενοι αὐτῶν μετὰ δώρων ἔκρινον, καὶ οἱ προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο. » Καὶ μὴν καὶ ὁ σοφὸς Ἡσαΐας ἀποτείνεταί που πρὸς αὐτὴν, καί φησιν· « Οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, » καὶ τὰ ἑξῆς.

A prophetæ. Hæc [in illos aliquando immittens, quasi occulte eos ferit. Ast nunc, inquit, « Ulciscar aperte super vestibula, » hoc est, non occulte puniam iratus: quæ nocebunt vobis, non erunt bruchus, et rubigo, non morbus corporis, sed strictus et coruscus hostium gladius, impietatis in me reis exitium minitans, et usque ad ipsa templi vestibula interficiens crudeliter, qui domum Dei sui impietate et dolo repleverunt. Quænam igitur hæc impietas, aut quis dolus? Alius propheta id exponit, cum dicit de Jerusalem: « Duces ejus cum muneribus judicabant, et prophetæ ejus cum argento divinabant[97]. » Quin et sapiens Isaias multis verbis in Synagogam invehens, « Principes tui, inquit, inobedientes, socii furum[98], » et quæ sequuntur.

Προσεκτέα δὴ οὖν τοῖς τῶν θείων θυσιαστηρίων ἱερουργοῖς, μὴ ἄρα πως ταῖς τοιαῖσδε περιπίπτοιεν γραφαῖς. Τυπικῶς μὲν γὰρ οἱ πάλαι τὴν ταῖς ἱερουργίαις πρέπουσαν ἐδέχοντο στολήν. Ἐπειδὴ δὲ τῆς ἐν πνεύματι λατρείας ἐνέστηκεν ὁ καιρὸς, ἄμφιον ἔστω λαμπρὸν, καὶ στολή τις ὥσπερ ἱεροπρεπὴς ἑκάστῳ τῶν κεκλημένων εἰς λειτουργίαν, πίστις ὀρθὴ καὶ ἀμώμητος, βίος εὐαγγελικὸς, πολιτεία σεμνὴ καὶ ἐννομωτάτη, καὶ τρόπος ὀρθὸς, λημμάτων αἰσχρῶν οὐχ ἡττώμενος, φρονὶς ὁρῶσα πρὸς ἀρετὴν, καὶ τοῦ παντὸς ἀξιοῦσα λόγου τὸ ἀνδάνειν Θεῷ.

B Attendendum est igitur divinorum altarium sacerdotibus, ne forte istiusmodi criminum accusari possint. Veteres enim in typo sacris functionibus congruentem stolam sumebant. Postquam autem tempus cultus spiritualis advenit, indumentum esto splendidum et stola sacerdotalis cuique ad liturgiam seu munus sacrificandi vocato, recta et inculpata fides, vita evangelica, conversatio honesta et legibus maxime respondens, et mores probati, turpi quæstui haud succumbentes, sollicitudo in virtutem intenta, et cui nihil antiquius sit quam placere Deo.

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος, φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων, καὶ ὀλολυγμὸς ἀπὸ τῆς δευτέρας, καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν.

C Vers. 8. *Et erit in die illa, dicit Dominus, vox clamoris de porta compungentium, et ululatus a secunda, et contritio magna a collibus.*

Ζ'. Καταγράφει σαφῶς τοῦ πολέμου τὰς συμφορὰς, καὶ οἷον πίπτοντάς τε καὶ ὀλλυμένους, καί φησιν αὐτοῖς ἐποιμώζοντας ἐπιδεικνύει τινὰς, ἵνα τῷ μεγέθει τῶν ἐσομένων κακῶν ἡττώμενοι, μεταφοιτᾷν ἕλοιντο πρὸς τὸ ἐπείγεσθαι ὀρᾷν ἀμείνω καὶ πρεπωδέστερα, οὕτω τε λοιπὸν ἔξω φέροιντο τῆς ὀργῆς. Ἀγαθὸς γὰρ ὁ Θεὸς, « καὶ οὐ θέλει τὸν θάνατον τοῦ ἀποθνήσκοντος, ὡς τὸ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτὸν, » κατὰ τὴν τοῦ προφήτου φωνὴν Ἰεζεχιήλ. Κατ' ἐκεῖνο δὴ οὖν, φησὶ, τοῦ καιροῦ ἀπὸ μιᾶς μὲν πύλης τῶν ἀποκεντούντων, τουτέστι, τῶν ἀποσφαττόντων τοὺς παρεμπίπτοντας, δεινή τις ἔσται καὶ ἀμειδὴς ἀναφώνησις. Ἀεὶ γάρ πως ἐν ταῖς ἁλισκομέναις τῶν πόλεων εἰσαλαύνοντες οἱ πολέμιοι φρικτόν τι καταλαλάζουσι, προκαλοῦντες εἰς φόβον τοὺς ἐν αὐταῖς, προτροπάδην τε ὥσπερ ἀλλήλους καταθήγοντες εἰς ὠμότητα. Ἀπὸ δέ γε τῆς ἑτέρας πύλης ἔσται, φησὶν, ὀλολυγμὸς καὶ δάκρυον, συνωθουμένων ἀλλήλοις τῶν ἁλωκότων, καὶ ἑκάστου διασπεύδοντος τῆς πόλεως ἀποπηδᾷν, ὡς νεὼς βεβαπτισμένης. Ἔσεσθαι δὲ συντριμμὸν μέγαν φησὶν ἀπὸ τῶν βουνῶν, τάχα που βουνοὺς τὴν καλουμένην ἄνω πόλιν ἐν τοῖς Ἱεροσολύμοις, ἤτοι

D Vii. Clades bellicas dilucide describit, et velut cadentes ac pereuntes, et seipsos lamentantes quosdam inducit, ut, futurorum malorum magnitudine compulsi, ad officium pro eo ac decet præstandum transire velint, quo sic in posterum iræ divinæ se ereptum cant. Bonus enim est Dominus, « et non vult mortem morientis, sed ut convertatur a via sua mala, et vivat[99], » juxta vocem prophetæ Ezechielis. Illo tempore igitur, inquit, ab una quidem porta compungentium, hoc est, trucidantium obvios, ingens et tristis clamor exorietur. Semper enim in capiendis urbibus **587** hostes irruentes terrificum clamant, cives ad timorem provocantes, et ad crudelitatem quam celerrime exercendam inter se exacuentes. A secunda autem porta erit ululatus, inquit, et lacrymæ, impellentibus mutuum captivis, et unoquoque ex urbe fugere properante, ceu ubi navis in profundum hauritur. Ait insuper fore contritionem magnam in collibus, ubi fortasse colles nominat, quæ Hierosolymis superior urbe, sive Sion dicebatur: aut aliud quidpiam significat. Semper quippe ad incursum hostilem incolæ in montium juga se recipiunt, rati difficultatem loci

[97] Mich. III, 11. [98] Isa. I, 23. [99] Ezech. XVIII, 32.

Digitized by Google

impediménto fore hostibus, et persequentium impetus retardaturam. Proinde Dominus ita allocutus est Judæos : « Quando autem videritis circumdari ab exercitu Jerusalem, tunc qui in Judæa sunt, fugiant ad montes [1]. » Quamobrem, Deo percutiente et pœnas peccatorum a contemptoribus exigente, patientibus nihil commodabit aut proderit, non urbs munitissima, non mœnium ambitus firmissimi, non montium altitudo et petrarum asperitates, non locorum inviorum difficultas. Sola pœnitentia salvat, et judicem flectens, et furorem ejus sedans, et ad bonitatem illi propriam facile adducens eum qui natura bonus est, Opificem. Ac præstat quidem totis viribus cavere ne Deum offendas. Quoniam autem humana natura ad malum prona est [2], « et in multis offendimus omnes [3], » constantia in virtute destituti, saltem studia nostra ad meliora recurrentes emendare contendamus, et pœnitentia vocemus ad clementiam eum qui secundum naturam bonus est, universitatis rerum Dominum, ut modo dixi.

τὴν Σιὼν ὀνομάζων, ἤγουν ἕτερόν τι δηλῶν. Ἀεὶ γάρ πως ἐν ταῖς τῶν πολεμίων καταδρομαῖς, εἰς τὰς τῶν ὀρῶν καταφεύγουσι κορυφὰς οἱ ἔποικοι, τὴν τῶν τόπων δυσχωρίαν πρὸς τὸ ἐμποδὼν ἔσεσθαι τοῖς ἐχθροῖς ἡγούμενοι, καὶ τὰς τῶν διωκόντων αὐτοὺς ἀνακόψειν ὁρμάς. Καὶ γοῦν ὁ Κύριος προσπεφώνηκε τοῖς Ἰουδαίοις· « Ὅταν δὲ ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων τὴν Ἱερουσαλὴμ, τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη. » Οὐκοῦν Θεοῦ πλήττοντος, καὶ δίκας αἰτοῦντος τῶν ἡμαρτημένων τοὺς καταφρονεῖν ᾑρημένους, οὐδὲν ὀνήσει τοὺς πάσχοντας, οὐ πόλις εὐπυργοτάτη, οὐ τειχῶν ἀκατάσειστοι περιβολαὶ, οὐκ ὀρῶν ἀναστήματα καὶ πετρῶν ἀγριότητες, οὐκ ἀστιβὴς δυσχωρία. Σώζει δὲ μόνη μετάγνωσις, ἐκδυσωποῦσα τὸν κριτὴν, καὶ κατευνάζουσα τὸν θυμὸν, καὶ εἰς τὴν αὐτῷ πρέπουσαν ἡμερότητα καλοῦσα προχείρως ἀγαθὸν ὄντα φύσει τὸν Δημιουργόν. Καὶ ἄμεινον μὲν τὸ παντὶ παραιτεῖσθαι σθένει τὸ προσκρούειν αὐτῷ. Ἐπειδὴ δὲ διανένευκεν ἡ ἀνθρώπου φύσις ἐπὶ τὸ φαῦλον ἀεὶ, « καὶ πολλὰ πταίομεν ἅπαντες, » τὸ βεβηκὸς εἰσάπαν πρὸς ἀρετὴν οὐκ ἐπανορθοῦν σπουδάζωμεν τὰς ἑαυτῶν γνώμας, καὶ ἔχοντες, καὶ γοῦν ταῖς εἰς τὸ ἄμεινον μεταδρομαῖς ταῖς μεταγνώσεσι καλῶμεν εἰς ἡμερότητα χρηστὸν ὄντα κατὰ φύσιν, καθάπερ οὖν ἔφην ἀρτίως, τὸν τῶν ὅλων Δεσπότην.

Vers. 11, *Lamentamini, qui habitatis concisam, quia assimilatus est omnis populus Chanaan, et disperierunt omnes qui elevati sunt argento.*

VIII. Babyloniorum ferrum nemini parsurum, sed universos per Judæam funditus deleturum, his verbis significat. Restantes autem Hierosolymis, et fuga elapsos, Judæam disperditam, et celebrem apud ipsos civitatem concisam atque comminutam (quod omnis in ea populus cum Chananæorum moribus contenderet, **588** et illorum instituta æmularetur, atque adeo illis nihil concederet, ut fortassis etiam superaret, et post se relinqueret) lamentari jubet. Chananæi porro fuerunt alienigenæ Deo invisi, scelerati, et idololatræ, et infames penitus propter omnia nefandissima. Quare in sacris Litteris cuidam hoc probri loco objicitur : « Semen Chanaan, et non Juda [4]. » Inutiles autem ipsis fore divitias, ac firmamentum putre ac ruinosum, insuper docet, affirmans periisse elevatos argento, hoc est, propter divitias et pecunias se circumspicientes, et idcirco supercilium altius tollentes. Postquam enim turpe lucrum ejus cupiditate victi captarunt, dominumque Dei sui, ut ait ipse, impietate et dolo repleverunt, merito divitiæ pro re imbecilla, et infructuosa, et salutem dare nescia reprehensæ sunt. « Melius est igitur nomen bonum quam divitiæ multæ [5]. Non enim proderunt thesauri impiis : justitia autem liberabit a morte [6]; » et melior certe est parva pars cum timore Dei [7], quam multæ fruges cum injustitia.

Θρηνήσατε, οἱ κακοικοῦντες τὴν κατακεκομμένην, ὅτι ὡμοιώθη πᾶς ὁ λαὸς Χαναὰν, καὶ ἐξωλοθρεύθησαν πάντες οἱ ἐπηρμένοι ἀργυρίῳ.

Η'. Ὅτι φείσεται μὲν οὐδενὸς τῶν Βαβυλωνίων ὁ σίδηρος, ἀπολεῖ δὲ ἅρδην τοὺς ἀνὰ πᾶσαν τὴν Ἰουδαίαν, σημαίνει μὲν διὰ τούτων· κατολοφύρεσθαι δὲ προστέταχε τοὺς ἐν τοῖς Ἱεροσολύμοις περιλελειμμένους, καὶ διαφυγεῖν ἰσχύσαντας, ὡς ὠλοθρευμένην τὴν Ἰουδαίαν, καὶ τὴν διαβόητον παρ' αὐτοῖς κατακεκομμένην πόλιν, διά τοι τὸν πάντα τὸν ἐν αὐτῇ λαὸν τοῖς τῶν Χαναναίων ἀμιλλᾶσθαι τρόποις, καὶ τὰ ἐκείνων ἐλέσθαι ζηλοῦν, παρισοῦσθαι δὲ οὗτος εἰς πάντα αὐτοῖς, ὡς τάχα που καὶ ὑπερφέρεσθαι, καὶ κατόπιν ἐᾷν. Ἀλλογενεῖς δὲ οἱ Χαναναῖοι, θρομισεῖς τε καὶ ἀλιτήριοι, καὶ εἰδωλολάτραι, καὶ τῶν ὅτι μάλιστα διαβεβλημένων, ἐφ' ἅπασι τοῖς ἐκτοπωτάτοις. Καὶ γοῦν παρά γε τοῖς ἱεροῖς Γράμμασιν ὀνειδίζεταί τις, ἀκούων· « Σπέρμα Χαναὰν, καὶ οὐχὶ Ἰούδα. » Ὅτι δὲ ἀνόνητος ὁ πλοῦτος αὐτοῖς, ἐρεισμά τε σαθρὸν καὶ εὐδιάκλαστον, διερμηνεύει πάλιν, ἀπολέσθαι διαβεβαιούμενος τῷ ἀργυρίῳ ἐπηρμένους, τουτέστι, τοὺς μέγα φρονεῖν εἰωθότας ἐπὶ πλούτῳ καὶ χρήμασιν, καὶ ὑψηλὴν ἀνασπῶντας ἐπ' αὐτῷ δὴ τούτῳ τὴν ὀφρύν. Ἐπειδὴ γὰρ λημμάτων αἰσχρῶν ἠττώμενοι, καὶ κεχηνότες εἰς τοῦτο, τὸν οἶκον τοῦ Θεοῦ αὐτῶν, καθά φησιν αὐτὸς, ἀσεβείας ἐπλήρουν καὶ δόλου, ταύτῃτοι δικαίως ὡς ἀδρανὲς, καὶ ἀνόνητον, καὶ οὐδένα σώζειν εἰδὸς τὸ πλουτεῖν ἐξελέγχεται. « Αἱρετὸν οὖν ὄνομα καλὸν, ἢ πλοῦτος πολὺς, » κατὰ τὸ γεγραμμένον. « Οὐ γὰρ ὠφελήσουσι θησαυροὶ ἀνόμους, δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου, » καὶ κρείσσων ἀληθῶς μικρὰ μερὶς μετὰ φόβου Θεοῦ, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας.

[1] Matth. xxiv, 16. [2] Gen. viii, 21. [3] Jac. iii, 2. [4] Dan. xiii, 56. [5] Prov. xxii, 1. [6] Prov. x, 2. [7] Tob. iv, 23.

Digitized by Google

Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξερευνήσω τὴν Ἰερουσαλὴμ μετὰ λύχνου, καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας, ἐπὶ τὰ φυλάγματα αὐτῶν, οἱ λέγοντες ἐν ταῖς καρδίαις αὐτῶν, Οὐ μὴ ἀγαθοποιήσῃ Κύριος, οὐδ' οὐ μὴ κακώσῃ.

Θ'. Ὅσα δρᾷν ἔμελλον οἱ πολέμιοι μανίαις ἀκράτοις χρώμενοι κατὰ τῶν ἁλωκότων, ταῦτα τῷ ἰδίῳ προσώπῳ προσάπτει Θεὸς, οὐχ ὡς αὐτὸς ὢν τῶν οὕτως ἐκτόπων ἐργάτης, ὡς ἐφιεὶς δὲ μᾶλλον κατὰ τῶν ἠσεβηκότων ἰέναι τὰ ἐξ ὀργῆς ἐν δίκῃ. Καὶ γάρ ἐστιν ἀληθὲς, ὅπερ εἴρηκεν αἰνιγματωδῶς ἐν Παροιμίαις ὁ Σολομών· « Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς· αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά. » Ἐξὸν γὰρ ὡς ἀπωτάτω καὶ ποινῆς ἰέναι καὶ δίκης, ἀνθῃρημένους τῶν φαύλων τὴν ἀρετὴν, αὐτοὶ κατὰ σφῶν αὐτῶν καταθήγουσι τὴν ὀργὴν, καὶ εἰς αὐτόκλητον ὄλεθρον τὰς ἑαυτῶν ἰέντες ψυχὰς, ἀλοῖεν ἂν παρά γε τοῖς ὀρθῶς κρίνειν εἰδόσιν. Ἐρευνᾶται τοιγαροῦν ἡ Ἰερουσαλὴμ μετὰ λύχνου. Πεπόνθασι γάρ τι τοιοῦτον Ἰουδαῖοι παρὰ Ῥωμαίων, ὃ συνέβη παθεῖν αὐτοὺς ἁλόντων Ἱεροσολύμων ὑπὸ Οὐεσπασιανοῦ καὶ Τίτου. Ὡς γὰρ Ἰώσηπος ἱστορεῖ, ὁ μυρίοις στόμασι τὰ Ἰουδαίων ἐκτραγῳδήσας πάθη, μετὰ τὰς ἐν τοῖς πολέμοις σφαγὰς, καὶ τὴν ἀναρίθμητον τῶν ἀνὰ τὴν πόλιν ἀπολωλότων πληθὺν, τοὺς ἐν τοῖς σπηλαίοις καὶ τοῖς ὑπονόμοις καταπηδήσαντας, μετὰ λύχνου διερευνόμενοι, καὶ εἰς φῶς ἄγοντες, ὠμῶς τε καὶ ἀνημέρως ἀπέσφαττον. Ἐκδικήσειν δέ φησιν ἐπ' αὐτοὺς ὡς καταφρονήσαντας, ἐπὶ τὰ φυλάγματα αὐτῶν, τουτέστιν, ἢ τοὺς ἐφ' ἑκάστῳ τῶν πρακτέων διορισθέντας νόμους, οὓς παραβαίνοντες ἐδυσσέβουν, τὸ μηδὲν εἶναι καταλογιζόμενοι τὴν ἐπ' αὐτοῖς τήρησιν· ἦγουν ἰδικῶς φυλάγματα καλεῖ τὰ τῶν ἱερέων ἔθη. Πλείστη γὰρ ὅση κατὰ τὸν νόμον ἡ ἐπιτήρησις τῶν τε ἀμφίων αὐτοῖς, καὶ σχημάτων ἱεροπρεπῶν, καὶ μέντοι καὶ θυσιῶν· οὐ γὰρ καθ' ἕνα τρόπον προσεκόμιζον τῷ θυσιαστηρίῳ τὰ θύματα. Καὶ ἀναμάθοι τις ἂν τὴν ἐν γε τούτοις διαφορὰν τοῖς Μωσαϊκοῖς περιτυχὼν συγγράμμασιν. Ἀλλ' οὐδεὶς αὐτοῖς τῶν φυλαγμάτων ὁ λόγος, διά τοι τὸ πρὸς τοῦτο καθικέσθαι ληρωδίας καὶ ψυχρῶν ἐννοιῶν, ὡς τάχα που καὶ οἴεσθαι καὶ τολμᾷν εἰπεῖν οὐδένα τῶν καθ' ἡμᾶς ποιεῖσθαι λόγον τὸν τῶν ὅλων Θεόν· ἀφειδῆσαι δὲ οὕτω τῶν ἐπιγείων πράξεων, ὡς μήτε ἀγαθοὺς ἐπαινεῖν, καὶ γέρα νέμειν αὐτοῖς τῆς ἐπιεικείας ἀντάξια, μήτε μὴν τοῖς ἁμαρτάνουσιν ἐπιθήγεσθαι, καὶ δίκας ἐπάγειν αὐτοῖς τῶν ἀνοσίων ἐπιχειρημάτων τὰς ἰσοστάθμους. Τοῦτο, οἶμαι, ἔστι τὸ, « Οὐ μὴ ἀγαθοποιήσῃ Κύριος, οὐδ' οὐ μὴ κακώσῃ. » Ἀπρονοησία δὴ οὖν, καὶ ἕτερον οὐδὲν τὸ θρυλλούμενον. Αἰσχρὸν δὲ οὕτω τὸ δόγμα καὶ κατεστυγημένον, ὡς μηδὲ αὐτοῖς τοῖς Ἕλλήνων ἀρέσαι σοφοῖς. Ἄθεον γὰρ ὠνόμαζον τὸν τῶν τοιούτων εἰσηγητήν· Ἐπίκουρος οὗτος ἦν, εἷς τῶν παρ' αὐτοῖς ἐπὶ σοφίᾳ βεβοημένων. Ἔστι τοίνυν εἰπεῖν, ὡς ἐνώπιόν εἰσι

A VERS. 12. *Erit in die illa, scrutabor Jerusalem in lucerna, et ulciscar super viros contemnentes, super custodias ipsorum, qui dicunt in cordibus suis, Non benefaciet Dominus, neque malefaciet.*

IX. Quæ hostes per immodicum furorem in captivos designaturi sunt, personæ suæ attribuit Deus: non quod ipse tam tetra faciat, sed quod in sceleratos iræ suæ supplicia expendi jure sinat. Verum est enim quod sub ambage dixit in Proverbiis Salomon: « Non enim frustra extenduntur retia pennatis: ipsi enim mortis participantes thesaurizant sibi mala [8]. » Nam cum a pœna et ultione liceat abesse quam remotissime pro vitiis virtutem com-
B plectentibus, ipsi contra in semet iram divinam exacuunt, et in exitium voluntarium animas suas præcipitare prudentum judicio convincuntur. Inquiritur ergo in Jerusalem cum lucerna. Tale quid Judæi a Romanis sustinuerunt: quod illis quidem accidit captis Hierosolymis ab Vespasiano et Tito. Ut enim Josephus narrat, qui calamitates Judæorum tragice et copiosissime exposuit, post cædes in pugna, et innumerabilium hominum per urbem interitum, **589** in speluncis et sedibus suis latentes per vestigia indagatos, et in lucem eductos crudeliter citra misericordiam mactabant. Vindicaturum porro in eos ut in contemptores, super custodias eorum ait, hoc est, aut qui de unoquoque capite rerum agendarum constitutas leges impie violabant, obser-
C vationem floccipendentes, aut certe speciatim custodias consuetudines sacerdotum vocat. Quamplurima enim legibus circa indumenta et ornatum sacerdotalem, et circa sacrificia præscribebantur. Non enim uno modo sacris in altari operabantur. Quam varietatem quis e scriptis Mosaicis perspexerit. Sed custodiarum apud eas nulla cura, quod eo delirationis cogitationumque ineptarum venerant, ut etiam sentire et dicere fortassis auderent, universorum Deum rerum humanarum nullam procurationem habere, adeoque humanas actiones despicere, ut neque bonos laudaret, et ipsorum bonitati respondentia dona reponderet, neque in peccantes ira ferveret, et pœnas impiis eorum factis pares irrogaret. Hoc, opinor, est, « Non benefaciet
D Dominus, nec malefaciet. » Quare quæ in rebus jactatur et prædicatur providentia, præter casum et fortunam nihil est. Quod dogma tam infandum est, ut Græcorum quoque sapientibus displicuerit. Talium enim auctorem Epicurum ἄθεον nominarunt illum inter eos sapientiæ nomine celeberrimum. Dicendum est igitur vias hominis patere oculis Dei et omnes gressus ejus ab eo considerari [9]: et eum virtutis cultores præmiis dignari, exosum vero ei maxime esse sceleratum, et reddere cuique secundum opera sua [10]. Opertet itaque nos semitas rectas percurrere, et viam Deo omnium Domino placen-

[8] Prov. I, 17, 18. [9] Job XXXI, 4: Prov. V, 21. [10] Matth. XVI, 27.

Digitized by Google

tem ambulare, et peccata somno atque inertia commissa pœnitentiis statim corrigere; sic autem legitimo viventes, et optimam vitam reipsa instituentes benignum et placabilem habere universi Dominum, et rejecta nequitia in nos exacerbari non sinere.

τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρὸς, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει· καὶ γερῶν μὲν ἀξιοῖ τοὺς τῆς ἀρετῆς ἐργάτας, κατεστυγημένον δὲ σφόδρα ποιεῖται τὸν ἀλιτήριον, καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ, κατὰ τὸ γεγραμμένον. Δεῖ δὴ οὖν ἄρα τροχιὰς μὲν ἡμᾶς διαθεῖν ὀρθὰς, καὶ τὴν ἀνδάνουσαν τῷ πάντων Δεσπότῃ Θεῷ ποιεῖσθαι τρίβον, ζῶντάς τε οὕτως ἐννόμως καὶ τὸν πανάριστον ἀληθῶς ἐπιτηδεύοντας βίον, ἵλεώ τε καὶ εὐμενῆ τὸν τῶν ὅλων ἔχειν Δεσπότην, καὶ καταπικραίνεσθαι καθ' ἡμῶν οὐκ ἐᾷν παραιτουμένους τὸ φαῦλον, καὶ ταῖς μεταγνώσεσιν ἐπανορθοῦν διασπεύδοντας τὰ ὕπνου τε καὶ ῥαθυμίας ἐγκλήματα.

Vers. 13. *Et erit fortitudo eorum in rapinam, et domus eorum in dissipationem. Et ædificabunt domos, et non inhabitabunt eas, et plantabunt vineas, et non bibent vinum earum.*

Καὶ ἔσται ἡ δύναμις αὐτῶν εἰς διαρπαγὴν, καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀφανισμόν. Καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ οὐ μὴ κατοικήσουσιν ἐν αὐταῖς, καὶ καταφυτεύσουσιν ἀμπελῶνας, καὶ οὐ μὴ πίωσι τὸν οἶνον αὐτῶν.

590 Opportune, ut opinor, et nunc dici illud a nobis potest: « Nil proderunt thesauri impiis [11]. » Semper enim fugaces sunt divitiæ, et stabilitate carent. Inebriant autem potius, et ad defectionem a Deo inclinant, et pedes habent fragiles. Sibi ipsi autem vehementer plaudere fatuum est magnopere. Neutiquam enim iræ divinæ subjectos eximet, nec criminibus liberabit, cum Deus pœnas decernet, et peccantes, ut par est, ulciscetur. Quid igitur divitiæ? Serviunt tantum carni, et improbæ abominandæque voluptatis ministræ, et matres arrogantiæ, et radices ac procreatrices fastus sunt, et vanescentium gloriolarum participes faciunt, quæ instar umbrarum a quibus habentur præterèunt. Verum est enim illud: « Omnis caro sicut fenum, et gloria hominis ut flos feni [12]. » Nihil igitur impiis afferre prorsus commodi studium divitiarum docet, dum ait fortitudinem eorum Chaldæis in rapinam seu direptionem fore. Sunt enim, sunt in quos quadrat: « Ecce homo qui non posuit Deum adjutorem suum, sed speravit in multitudine divitiarum suarum, et prævaluit in vanitate sua [13]. » Quod si ædes habuerint sumptuose ornatas, non erunt ipsorum: flammis enim dabuntur. Et si insuper vineas instituerint, non ipsi bibent aliquando: abibunt enim captivi, suis domi relictis, rebus jucundis omnibus spoliati. Et hoc per os Jeremiæ Deus declarat, quemdam Samariæ regum ita alloquens: « Ædificasti tibi domum concinnam, cœnacula perflatilia, distincta fenestris, et contignata cedro, et linita minio. Numquid regnabis, quia tu concitatus es in Achaz patre tuo? Non comedent, et non bibent. Melius tibi erat facere judicium et justitiam [14]. » Nihil itaque terrenum appetendum est, et temporariæ voluptates longe repudiandæ, nec corradendæ divitiæ fugientes, quæ habentibus prodesse nihil queunt; in Christo autem, et laudabili vitæ curriculo gloriandum, et amicitia Dei nihil præstantius ducendum, et exclamandum ac dicendum: « Domine, Deus virtutum, beatus homo qui sperat in te [15]. » Ad hæc: « Quoniam melior est dies una in atriis tuis super millia. Elegi abjectus esse in domo Dei mei

Γ'. Ἐπὶ καιροῦ τάχα που καὶ νῦν πρὸς ἡμῶν εἰρήσεται· « Οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους. » Ἁρπάτης μὲν γὰρ ὁ πλοῦτος ἀεὶ, καὶ τὸ βεβηκὸς οὐκ ἔχει. Μεθύει δὲ μᾶλλον καὶ διανένευκεν εἰς ἀποστασίαν, καὶ πόδας ἔχει σαθρούς. Τὸ δὲ δὴ καὶ ἐπ' αὐτῷ μέγα φρονεῖν ἐθέλειν, ἠλίθιον κομιδῇ. Ἐξελεῖται γὰρ ἥκιστά γε τοὺς ὑπὸ θείαν ὀργὴν, οὐδ' ἂν ἀπαλλάξειεν αἰτιαμάτων τινὰς, Θεοῦ ποινὴν καθορίζοντος, καὶ τὴν τοῖς πλημμελοῦσι πρέπουσαν ἐπάγοντος δίκην. Τί οὖν ὁ πλοῦτος; Σάρκα θεραπεύει μόνην, ὑπηρέτης ἐστὶν ἀνοσίου καὶ βδελυρᾶς ἡδονῆς, καὶ πατὴρ ἀλαζονείας, καὶ τύφου ῥίζα καὶ γένεσις, καὶ προσκαίρων δοξαρίων περιποιεῖται τὴν μέθεξιν, ἃ σκιαῖς ἴσῳ παρελαύνει τοὺς ἐσχηκότας. Καὶ γάρ ἐστιν ἀληθὲς, ὅτι « Πᾶσα σὰρξ ὡς χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου. » Ὅτι τοίνυν ἀνόνητος παντελῶς τοῖς ἠσεβηκόσιν ἡ ἐπὶ πλούτῳ σπουδὴ, διδάσκει λέγων, ὡς ἔσται μὲν τοῖς Χαλδαίοις εἰς διαρπαγὴν ἡ δύναμις αὐτῶν. Εἰσὶ γάρ, εἰσὶ καὶ οἱ, περὶ ὧν ἂν λέγοιτο, καὶ μάλα εἰκότως, ἐν Ψαλμοῖς ὑμνούμενον· « Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτοῦ, καὶ ἐπὶ τῇ ματαιότητι αὐτοῦ ἐνεδυναμώθη. » Εἰ δὲ δὴ καὶ οἶκοι γεγόνασιν αὐτοῖς πολυτελῶς ἠσκημένοι, εἶεν ἂν οὐκ αὐτῶν· ἁρπαγήσονται γάρ. Καὶ εἰ πρὸς τούτοις ἔτι γεγόνασιν ἀμπέλων μελεδωνοὶ, οὐκ αὐτοὶ πίωνταί ποτε, οἰχήσονται γὰρ αἰχμάλωτοι, τὰ οἰκοι μεθέντες καὶ παντὸς ἐστερημένοι τοῦ κατευφραίνειν εἰδότος. Καὶ τοῦτο σαφὲς ἐποίει Θεὸς διὰ φωνῆς Ἱερεμίου, λέγων πρός τινα τῶν ἐν Σαμαρείᾳ βεβασιλευκότων· « ὨΙκοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῥιπιστὰ, διεστιλμένα θυρίσι, καὶ ἐξυλωμένα ἐν κέδρῳ, καὶ κεχρισμένα ἐν μίλτῳ. Μὴ βασιλεύσεις, ὅτι σὺ παρωξύνθης ἐν Ἀχὰζ τῷ πατρί σου; Οὐ φάγονται, καὶ οὐ πίονται. Βέλτιον ἦν σε ποιεῖν κρίμα, καὶ δικαιοσύνην καλεῖν. » Χρὴ τοιγαροῦν ἡμᾶς τῶν ἐπιγείων οὐδενὸς ἐφίεσθαι, διαῤῥίπτειν δὲ ὡς ἀπωτάτω τὸ τοῖς προσκαίροις ἐφήδεσθαι, καὶ μεταποιεῖσθαι πλούτου τοῦ φεύγοντος, καὶ ἐν καιρῷ ὀργῆς οὐδὲν ὄνησαι δυναμένου τοὺς ἔχοντας· καύχημα δὲ ποιεῖσθαι τὴν ἐν Χριστῷ ζωὴν, καὶ τῆς ἐξαιρέτου πολιτείας τὰ αὐχή-

[11] Prov. x, 2. [12] Isa. xl, 6; I Petr. i, 24. [13] Psal. li, 8. [14] Jerem. xxii, 14, 15. [15] Psal. lxxxiii, 13.

Digitized by Google

ματα, καὶ τῆς πρὸς Θεὸν οἰκειότητος οὐδὲν ἡγεῖσθαι τὸ ἄμεινον, ἀναφωνεῖν τε καὶ λέγειν· « Κύριος, ὁ Θεὸς τῶν δυνάμεων, μακάριος ἄνθρωπος ὁ ἐλπίζων ἐπὶ σέ. » Καὶ πρός γε δὴ τούτοις, « Ὅτι κρεῖσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. Ἐξελεξάμην παραρίπτεσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. »

Ὅτι ἐγγὺς ἡ ἡμέρα Κυρίου ἡ μεγάλη, ἐγγὺς, καὶ ταχεῖα σφόδρα. Φωνὴ ἡμέρας Κυρίου πικρὰ καὶ σκληρὰ τέτακται, δυνατή. Ἡμέρα ὀργῆς ἡ ἡμέρα ἐκείνη, ἡμέρα θλίψεως καὶ ἀνάγκης, ἡμέρα ἀωρίας καὶ ἀφανισμοῦ, ἡμέρα γνόφου καὶ σκότους, ἡμέρα νεφέλης καὶ ὁμίχλης, ἡμέρα σάλπιγγος καὶ κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς.

ΙΑ'. Ἀποχείρει πάλιν τὴν ἐλπίδα τῶν ἔσθ' ὅτε διακεισομένων εἰς μακρὰν ἀνάβλησιν ἀναβραμεῖσθαι τοὺς λόγους. Ἀγχίθυρον γὰρ ὥσπερ ἀποφαίνει τὴν δίκην, καὶ τρέχουσαν κατὰ πόδας τὴν ἐκ τοῦ πολέμου συμφοράν. Ἡμέραν δὲ τοῦ Κυρίου τὸν καιρὸν ἀποκαλεῖ, καθ' ὃν ἔσται τὰ τοιάδε. Καὶ μὴν ταχεῖαν ὠνόμασεν ὡς μελλησμοῦ τινος δίχα παρεσομένην, καὶ ὀφθησομένην οὐκ εἰς μακράν. Σκληρὰν δὲ αὐτῆς τὴν φωνὴν εἶναί φησι καὶ δυνατωτάτην, τὸν τῶν πολεμίων ἀλαλαγμὸν ὑποφαίνων, οἶμαί που, ὀργῆς τε καὶ θλίψεως, ἀφανισμοῦ τε καὶ ἀωρίας, σκότους τε καὶ γνόφου φησὶν ἡμέραν αὐτήν. Τί γὰρ οὐ συμβήσεται τοῖς ἀθλιότητος εἰς τοῦτο ἀφικομένοις, ὡς ἐν αὐτοῖς γενέσθαι τοῖς τοῦ θανάτου δείμασι, καὶ ἐν αὐτοῖς ἐσχάτοις κεῖσθαι κακοῖς; Πολεμίων δὲ κατειληφότων πόλιν, τί τοῖς ἁλοῦσιν οὐ συμβήσεται; Ἢ τί τῶν ἄγαν ἐκτόπων ἀνεπιτήδευτον; Ἢ οὐκ ἀνηβοι μὲν καταφθείρονται παῖδες, κόρια δὲ ῥιπτεῖται νεκρὰ, καὶ οἷον φυτὰ πρὸ ὥρας ἀναβεβοθρευμένα; οὐχὶ δὲ νὺξ οἷά τε καὶ σκότος ἡ δυσθυμία τὴν τῶν ἁλωσίμων καταμελαίνει καρδίαν, ὡς ἀπορῆσαι βουλῆς καὶ σκεμμάτων· μονονουχὶ καὶ ἀχλύϊ, καὶ νεφέλαις τῶν ἑκάστου κατασκιάζουσα νοῦν, οὐδὲ ὅποι πορευτέον ἐστὶν, ἐφίησιν ἐννοεῖν. Εἶτα, πῶς τοῦτο ἀμφίβολον, ὅτι δὴ ἀφόρητος ἔσται τῶν δυσμενῶν ἡ ἔφοδος καὶ πόλεσι ταῖς πολυανδρούσαις, καὶ γεγυμνασμέναις τοὺς τακτικούς; Καὶ μὴν καὶ ἑτέραις, αἵπερ ἂν εἶεν τοῖς τειχῶν περιβολαίοις περιεζωσμέναι καταμεμήνυκε, προστιθεὶς, ὡς ἔσται σάλπιγγος καὶ κραυγῆς ἡ ἡμέρα τοῦ Κυρίου « ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψηλάς. » Ὀχυρὰς μὲν γὰρ τὰς εὐανδρούσας ἀποκαλεῖ, καὶ πολὺ λίαν ἐχούσας τὸ μάχιμον γένος, γωνίας γε μὴν ὑψηλὰς τὰς τετειχισμένας. Ἀεὶ γάρ πως ἐν ταῖς τειχῶν περιβολαῖς ἀνέχουσιν αἱ γωνίαι, καὶ εἰς πύργους ἀνεστήκασι, τῶν ἄλλων ὑψηλοτέρους. « Φοβερὸν οὖν ἄρα τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· » ἀντιτάξεται γὰρ αὐτῷ παντελῶς οὐδείς· καὶ γάρ « ἐστιν αὐτὸς ὁ τῶν δυνάμεων Κύριος. »

Καὶ ἐκθλίψω τοὺς ἀνθρώπους, καὶ πορεύσονται ὡς τυφλοὶ, ὅτι τῷ Κυρίῳ ἐξήμαρτον. Καὶ ἐκχεεῖ τὸ αἷμα αὐτῶν ὡς χοῦν, καὶ τὰς σάρκας αὐτῶν ὡς βόλβιτα. Καὶ τὸ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν

A magis, quam habitare in tabernaculis peccatorum [16]. »

591 Vers. 14-16. *Quia juxta dies Domini magnus, juxta, et velox valde. Vox diei Domini amara et dura posita est, fortis. Dies iræ dies illa, dies tribulationis et necessitatis, dies deformitatis et perditionis, dies caliginis et tenebrarum, dies nubis et nebulæ, dies tubæ et clangoris super urbes munitas et super angulos excelsos.*

XI. Iterum spem præcidit iis qui cogitaturi sunt B verborum suorum eventum in longinquum differendum. Velut enim ante ostium ultionem adesse ostendit, et calamitates bellicas per vestigia eos insequi. Diem autem Domini vocat tempus quo ista eventura sint. Velocem quoque, ut qui citra cunctationem aliquam adfuturus, et non ita multo post videndus sit. Duram autem illius vocem esse ait, et potentissimam militum clamorem victoriam ingeminantium, opinor, significans, iræque et tribulationis, et perditionis et deformitatis, tenebrarum et caliginis diem illum nuncupat. Quid enim non continget miseriarum eo devolutis, ut versentur in ipsis mortis terroribus, et extremis malis conflictentur? Occupata autem urbe ab hostibus, quid capti non patiuntur? Aut quid tam nefarium quod C illi prætermittunt? An non impuberes occiduntur, et puellæ parvulæ jugulatæ abjiciuntur, et ceu plantæ ante tempus effodiuntur? Captorum ægritudo animi annon ut nox et tenebræ corda denigrat, ut quid consilii captent, aut quid cogitent, ignorent penitus: quin tantum non etiam caligine et nebulis cujusque mentem opacans, nec quo te vertas cogitare sinit. Deinde urbibus quamvis populosis et in re militari exercitatis hostium infestum adventum fore intolerabilem an dubium esse potest? Quin etiam alias amplis mœnibus circumdatas monet, fore tubæ et clamoris diem Domini « super urbes munitas, et super angulos excelsos. » Munitas enim vocat in quibus strenui reperiuntur cives, quæque idonea ad bellum juventute abundent, angulos D autem excelsos, maris cinctas. Semper enim in murorum ambitibus anguli exsurgunt, et in turres se attollunt, quæ sunt reliquo muro et ædificiis altiores. « Horrendum est igitur sanè incidere in manus **592** Dei viventis [17], » cui nemo plane resistet; ipse enim « est virtutum Dominus [18]. »

Vers. 17, 18. *Et tribulabo homines, et ambulabunt ut cæci, quia Domino peccaverunt. Et effundet sanguinem eorum ut pulverem, et carnes eorum sicut stercora boum. Et argentum eorum et aurum eorum non poterit eruere eos in die iræ Domini,*

[16] Psal. LXXXIII, 11. [17] Hebr. X, 31. [18] Psal. LXXIX, 5.

Digitized by Google

et in igne zeli ejus consumetur omnis terra, quia consummationem et festinationem faciet super omnes habitantes terram.

XII. Sententia verborum istorum planissima, meoque judicio declaratione haud opus est. Verumtamen cursim quædam dicemus. Minatur enim illis mala omnium dirissima, et animi tenebras : causam narrans mox adjungit : « Quia Domino peccaverunt, » perinde ac si dicat : In fratres contumeliosi fuerunt, et in ipsum universorum Dominum libere ac insolenter impii exstiterunt, et divinam oppugnasse gloriam convinci possunt. Est siquidem impietatis plenissimum et abominandum, deitatem ipsam suis honoribus privatum ire, et tantum non throno excludere, atque in eo creaturam et pecudum formas quasi collocare. Alii enim vitulos, alii quamdam Astarten et Beelphegor, alii lunam et sidera divinis honoribus colebant. Idcirco bellicis cladibus in eos grassaturum, consummationemque et festinationem minatur. Et consummatio quidem generalem Judææ perniciem significare potest : festinatio velut brevi et citra procrastinationem quæ prædicta sint, ad opus collatum iri. Sæpe autem verbum festinationis in Scriptura sancta tumultus adventare significat. Est ergo in fratres peccare scelestissimum. Quod si quidam peccando eo pravitatis processerint, ut ipsam quoque ineffabilem naturam lædant, supplicii a Deo irato venientis amoliendi ratio nulla reperietur.

Quamobrem Deo invisos hæreticos, exacuentes linguam contra Filium Dei, et creatum et insuper Patre minorem astruentes, deplorare æquum est. Qui etiam ipsi pro suo arbitratu velut idolum quoddam fingunt, et hoc adorare jubent. Si enim Filius prorsus non habet ut natura Deus sit, et est factus, a nobis autem et **593** sanctis angelis adoratur, quomodo non aperte creaturam colimus, sicut gentes in specie solis, aut creaturæ alterius non humana ac stulta ratiocinatione idolum fabricantes ?

CAP. II.

VERS. 1, 2. *Congregamini et colligamini, gens inerudita, antequam sitis vos sicut flos pertransiens die, antequam superveniat in vos ira Domini, antequam irruat super vos ira furoris Domini.*

XIII. Postquam belli importunitatem, futuræque calamitatis atrocitatem expressissime declaravit, rursus sermonem ad pœnitentiam commode transfert, ad quam eos vocari vult, quando verisimile erat eum facile persuasurum, timentibus videlicet. Interdum enim animo obdurato, et ad turpiora et exsecranda magnopere inclinato, haud facile voluntatem saltem pœnitentiæ agendæ concipimus, quo tamen sæpe terror invitos compellit. Ad suam igitur amicitiam invitat. Sicut enim eos ab illo descivisse

ἡμέρᾳ ὀργῆς Κυρίου, καὶ ἐν πυρὶ ζήλου αὐτοῦ καταναλωθήσεται πᾶσα ἡ γῆ, ὅτι συντέλειαν καὶ σπουδὴν ποιήσει ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν.

ΙΒ'. Ἐναργὴς μὲν σφόδρα τῶν προκειμένων ὁ νοῦς, καὶ οὐδενὸς ἂν δέοιτο, καθάπερ ἐγῷμαι, λόγου πρὸς διασάφησιν. Πλὴν ἐροῦμεν ἐπιτροχάδην. Ἀπειλεῖ γὰρ αὐτοὺς τὰ παντὸς ἐπέκεινα κακοῦ, καὶ τὸν εἰς νοῦν σκότον· καὶ τὴν αἰτίαν εὐθὺς ἀφηγεῖται, προστιθείς· « Ὅτι τῷ Κυρίῳ ἐξήμαρτον. » Ὅμοιον ὡς εἰ λέγοι· Πεπαρφηνικότες εἰς ἀδελφοὺς, καὶ εἰς αὐτὸν ἀφυλάκτως δεδυσσεβήκασι τὸν τῶν ὅλων Δεσπότην, καὶ τῆς θείας κατεξανιστάμενοι δόξης ἁλοῖεν ἄν, εἴπερ ἐστὶν ἀνόσιον παντελῶς καὶ ἀπηχὲς, αὐτὴν μὲν τῶν ἰδίων ἀποστῆσαι γερῶν, καὶ μονονουχὶ τῶν τῆς θεότητος ἀποσυβῆσαι θρόνων, ἐνιδρύσαι δὲ ὥσπερ αὐτοῖς τὴν κτίσιν καὶ κτηνῶν ἀλόγων μορφάς. Οἱ μὲν γὰρ δαμάλεσιν ἀνῆπτον τὸ σέβας, οἱ δὲ Ἀστάρτῃ τινὶ καὶ Βεελφεγὼρ, οἱ δὲ σελήνῃ καὶ ἄστροις. Ταύτητοι λοιπὸν ἐπιφέρειν αὐτοῖς ἀπειλεῖ τὰς ἐκ τοῦ πολέμου συμφορὰς συντέλειάν τε καὶ σπουδήν. Καὶ ἡ μὲν συντέλεια τὸν εἰσάπαν ὄλεθρον τῆς Ἰουδαίων χώρας κατασημήνειεν ἄν· ἡ δέ γε σπουδὴ τὸ οἷον ἐν τάχει καὶ ἀμελλητὶ γενέσθαι τὰ προηγγελμένα. Δηλοῖ δὲ πολλάκις τὸ τῆς σπουδῆς ὄνομα παρὰ τῇ Γραφῇ καὶ θορύβων ἔφοδον. Πάνδεινον οὖν ἄρα τὸ ἁμαρτάνειν εἰς ἀδελφούς. Εἰ δὲ δὴ καὶ εἰς τοῦτο φαυλότητος προῖοι τὰ πλημμεληθέντα τισὶν, ὡς καὶ αὐτὴν τὴν ἀπόῤῥητον κατελπῆσαι φύσιν, οὐδεὶς ἀνατρέψει λόγος τὰ ἐξ ὀργῆς.

Ἆρα οὖν κατοιμώζειν ἄξιον τοὺς θεομισεῖς κἀκτικοὺς, ἐπιθήγοντας τὴν γλῶτταν τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ κτιστὸν εἶναι λέγοντας, καὶ μὴν καὶ ἐν μείοσι τὸν Πατῆρα. Εἴδωλον δὲ ὥσπερ ἀναπλάττουσι καὶ αὐτοὶ, κατά γε τό σφισιν αὐτοῖς εὖ ἔχειν δοκοῦν, καὶ τοῦτο προσκυνεῖν ἐπιτάττουσι. Εἰ γὰρ ἐκπέπτωκεν ὅλως τοῦ εἶναι Θεὸς κατὰ φύσιν ὁ Υἱὸς, καὶ ἔστι γενητὸς, προσκυνεῖται δὲ πρός τε ἡμῶν καὶ τῶν ἁγίων ἀγγέλων, πῶς οὐκ ἐναργῶς τῇ κτίσει λατρεύομεν, καθάπερ Ἑλλήνων παῖδες εἰς ἡλίου τύπον, ἤγουν ἑτέρου τινὸς τῶν κτισμάτων τὸ ἐξ ἀνθρωπίας καὶ ματαιότητος λογισμῶν εἴδωλον ἀναπλάσαντες ;

ΚΕΦΑΛ. Β'.

Συνάχθητε καὶ συνδέθητε, τὸ ἔθνος τὸ ἀπαίδευτον, πρὸ τοῦ γενέσθαι ὑμᾶς ὡς ἄνθος παραπορευόμενον ἡμέρᾳ, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ὀργὴν Κυρίου, πρὸ τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν θυμοῦ Κυρίου.

ΙΓ'. Παραδείξας εὖ μάλα τοῦ πολέμου τὴν ἀγριότητα, καὶ τῆς ἐσομένης συμφορᾶς τὸ μέγεθος, μεθίστησι πάλιν ἐπὶ καιροῦ τὸν λόγον ἐπὶ τὸ χρῆναι καλεῖν εἰς μετάγνωσιν, ὅτε καὶ ἦν ἀναπείσειν εὐκόλως, εἰκὸς δή που πεφοβημένους. Ἀπεσκληκότος γὰρ ἔσθ' ὅτε τοῦ νοῦ καὶ πολὺ λίαν διανενευκότος εἰς τὰ αἰσχίω καὶ βδελυρώτερα, οὐκ εὐκόλως προσιέμεθα τὸ κἂν γοῦν ἐλέσθαι μετανοεῖν, συναθεῖ δὲ πολλάκις εἰς τοῦτο καὶ οὐχ ἑκόντας τὸ δεῖμα. Καλεῖ τοίνυν εἰς οἰκειότητα τὴν πρὸς αὐτόν. Ὥσπερ

Digitized by Google

γὰρ αὐτοὺς ἀποστῆναί φαμεν, καὶ ἀλλοτρίους γενέσθαι, λελατρευκότας εἰδώλοις, καὶ τοῖς ἰδίοις πάθεσιν ἐπιδόντας τὸν νοῦν· οὕτω πάλιν ἀνόπιν ὥσπερ ἰέναι νοήσομεν, καὶ τῆς πρὸς Θεὸν οἰκειότητος ἐπιδράττεσθαι, προσκυνεῖν ἑλομένους αὐτῷ δὴ καὶ μόνῳ, καὶ τοῖς παρ' αὐτοῦ παρακολουθεῖν θεσπίσμασιν. Ἔθνος γε μὴν ἀπαίδευτον τὸ ἐξ Ἰσραὴλ ὀνομάζει γένος, ὡς καὶ αὐτὴν ἀτιμάζον τὴν ἀρχαίαν ἐντολήν, καὶ διωθούμενον ἀνοσίως τὸν παιδαγωγοῦντα νόμον, καὶ πρὸς πᾶν εἶδος ἐπιεικείας ἀποκομίζειν δυνάμενον. Ἀπειλεῖ δὲ πάλιν ὡς, εἰ μὴ συνδεθεῖεν αὐτῷ, κατά γε τοὺς ἄρτιως ἡμῖν εἰρημένους τρόπους, διολοῦσι μὲν κατ' οὐδὲν ἀνθέων τῶν ἐν ἀγροῖς, ἃ σαθρά τέ ἐστι, καὶ εὐμάραντα, ὑποπεσοῦνται δὲ πάντως τοῖς ἐξ ὀργῆς. Οὐκοῦν « ἕως καιρὸν ἔχομεν, ἐργασώμεθα τὸ ἀγαθὸν πρὸς πάντας. » Ἕως ἐνδίδωσιν ὁ Δεσπότης, ποιώμεθα τὴν μετάγνωσιν. Συνάπτωμεν ἑαυτοὺς δι' ἁγιασμοῦ καὶ πίστεως. Σκεπασθησόμεθα γὰρ οὕτως ἐν ἡμέρᾳ ὀργῆς, καὶ τὴν ἐκ τῶν πταισμάτων κηλῖδα διανιψόμεθα πρὸ τοῦ ἐλθεῖν ἐφ' ἡμᾶς ἡμέραν Θεοῦ.

Ζητήσατε τὸν Κύριον, πάντες ταπεινοὶ γῆς, κρῖμα ἐργάζεσθε, καὶ δικαιοσύνην ζητήσατε, καὶ ἀποκρίνασθε αὐτά, ὅπως σκεπασθῆτε ἐν ἡμέρᾳ ὀργῆς Κυρίου.

ΙΔ'. Τίνα δὴ τρόπον συνδεθεῖεν αὐτῷ, καίτοι βδελυρὸν ὄντες ἔθνος, καταμηνύει σαφῶς. Ζητεῖν γὰρ ἐπιτάττει τὸν Κύριον, κρῖμά τε ἐργάζεσθαι, καὶ δικαιοσύνην, καὶ ἀποκρίνεσθαι αὐτά. Ζητεῖται μὲν οὖν πρὸς ἡμῶν ὁ Θεὸς διὰ τοῦ διψῆν τὰ αὐτῷ δοκοῦντα δρᾷν, ῥᾳθυμίας ἁπάσης ἐξῃρημένης. Ἐργασόμεθα δὲ καὶ τὸ κρῖμα, τὸν θεῖον αὐτοῦ νόμον ἀποπεραίνοντες, ἀοκνότατα δὲ κατορθοῦντες τὴν ἀρετήν. Κερδανοῦμεν δὲ πάλιν τῆς δικαιοσύνης τὴν δόξαν, τοῖς ἐξ ἀγαθουργίας αὐχήμασιν εὖ μάλα κατεστεμμένοι, καὶ τὴν εὐκλεᾶ καὶ ἀμώμητον ἀληθῶς τῆς εἰς Θεὸν εὐσεβίας, καὶ τῆς εἰς ἀδελφοὺς ἀγάπης διάττοντες τρίβον. « Πλήρωμα γὰρ νόμου ἡ ἀγάπη. » Δεῖ δὲ, οἶμαι, προσεπενεγκεῖν οἷς ἔφην, τὸ, « ἀποκρίνεσθαι αὐτά, » τουτέστι, τὸ καὶ ἑτέροις προσλαλεῖν, καὶ νουθετεῖν ἀδελφούς· ἐσόμεθα γὰρ οὕτως, καὶ οὐχ ἑτέρως ἄρτιοι πρὸς ἀρετήν. Οὕτω καὶ ὁ Κύριος τὸν ἔργῳ τε καὶ λόγῳ δοκιμώτατον ἔφη μέγαν κληθήσεσθαι ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ἐλάχιστον δὲ τὸ εἰσηγεῖσθαι μὲν μεμελητηκότα, καὶ ἀποχρῶντα εἰς τοῦτο, μὴ μὴν ἔτι καὶ δρᾷν ἀνεχόμενον, ἅπερ ἂν εὖ ἔχειν οἴηται, καὶ κατορθοῦν ἐπιτάττῃ τισί. Ταλανίζει δέ που καὶ τοὺς τῶν Ἰουδαίων καθηγητὰς, οὕτω λέγων· « Οὐαὶ ὑμῖν! ὅτι δεσμεύετε φορτία δυσβάστακτα, καὶ ἐπιτίθετε τοῖς ἀνθρώποις, αὐτοὶ δὲ, φησὶν, οὐδ' ὅσον εἰπεῖν ἄκρῳ δακτύλου προσψαύετε αὐτοῖς. » Τελεωτάτης οὖν ἄρα θρησκείας ἀπόδειξις, τὸ καὶ κατορθοῦν ἀρετὴν, εἰσηγεῖσθαι δὲ καὶ ἑτέροις, δι' ὧν ἂν γένοιντο λαμπροί. Ὅτι δὲ οὐκ ἄμισθος ὁ ἐπὶ τῷδε πόνος, σαφηνιεῖ λέγων ὁ Χριστοῦ μαθητής, ὅτι « Ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν αὐτοῦ ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρ-

diximus, et alienos evasisse cum idolis servilissent, animumque affectibus vitiosis corrumpendum tradidissent : sic contra quasi retrorsum ire, divinamque benevolentiam adipisci intelligemus, qui eum et solum adorare, et oraculis ejus obtemperare non refugerint. Gentem porro Israeliticam vocat ineruditam, utpote quæ et ipsum mandatum vetus contempserit, et legem, a qua, ut pædagogo, instituebatur [19], et ad omne genus probitatis deduci poterat, nefarie repulerit. Minatur rursum, nisi secum colligati fuerint, quibus modis hactenus diximus, non dissimiles futuros floribus agrestibus, languescentibus et facile marcescentibus, omninoque divinam animadversionem experturos. Quocirca, « dum tempus habemus, operemur bonum ad omnes [20]. » Quandiu permittit Dominus, pœnitentiam agamus. Per sanctificationem et fidem nos cum illo colligemus. Sic enim protegemur in die iræ, et contractam ex lapsibus nostris maculam, priusquam veniat super nos dies Domini, abluemus.

VERS. 3. *Quærite Dominum, omnes humiles terræ, judicium operamini, et justitiam* 594 *quærite, et respondete ea, ut protegamini in die iræ Domini.*

XIV. Quonam modo queant ipsi Domino colligari, quamvis detestanda gens, aperte docet. Jubet enim quærere Dominum, judiciumque, et justitiam operari, et respondere ea. Quæritur ergo a nobis Deus, si, seclusa omni socordia, ardenter optemus efficere quæ illi accepta sunt. Operabimur etiam judicium, divinam ejus legem exsequentes, et virtuti impigerrime servientes. Lucrifaciemus insuper gloriam justitiæ, recte factorum ornamentis pulcherrime cohonestati, gloriosamque, et vere nulli reprehensioni affinem, in Deum et fratres charitatis viam currentes. « Plenitudo enim legis est dilectio [21]. » Dictis porro addendum opinor, « respondere ea : » hoc est, et alios alloqui, et admonere fratres : ita enim, non aliter, virtutis numeros consequemur. Sic etiam Dominus verbo et opere probatissimum, magnum vocatum iri dixit in regno cœlorum : contra minimum, qui studuerit quidem docere quæ huc sufficiant, nec tamen facto præstare volentem quæ probaverit, et legitime præstare alios jusserit [22]. Deplorat item alicubi Judæorum magistros his verbis : « Væ vobis, quoniam alligatis onera importabilia, et imponitis ea in humeros hominum, ipsi autem, inquit, nec ad punctum temporis primoribus digitis attingitis [23]. » Perfectissimæ igitur religionis indicium, et ipsum virtutis officia exsequi, et explicare aliis, quibus claritatem adipiscantur. Non cariturum autem præmiis laborem hujusmodi, declarabit Christi discipulus : « Qui converterit peccatorem ab errore viæ suæ, servabit animam ejus a morte, et operiet multitudinem peccatorum [24]. » Si quis autem existimaverit, illud, « respon-

[19] Galat. III, 24. [20] Galat. VI, 10. [21] Rom. XIII, 10. [22] Matth. V, 19. [23] Matth. XXIII, 4. [24] Jac. V, 20.

Digitized by Google

dere ea,» significare, convenire ea meditari, intelligat et ita sane. Nam et Mosis lex de oraculis divinis ita præcepit : « Et loqueris in eis sedens in domo, et ambulans in foro, dormiens et surgens[25].» Psallit quoque David : « Et meditabor in justificationibus tuis semper[26]. »

Vers. 4. *Quia Gaza direpta erit, et Ascalon in desolationem, et Azotus meridie projicietur, et Accaron eradicabitur.*

XV. Rursum œconomice procedit sermo, et quodam tempore futura ad solatium Israelitarum prænuntiat. Dicam quomodo. **595** Eversa Hierosolyma, totaque Judæa per Nabuchodonosorem subjugata, vicinæ alienigenarum urbes miserorum calamitate lætabantur, vastitatemque perpessos irridebant, sacrificabantque diis suis, ut qui omnibus odiosum genus hominum totum perdidissent. Audebant insuper dicere, nihil sibi commodare in Deo confidere, reipsa ostensum esse, et opinabantur Babyloniorum vires quamvis cœlesti auxilio prævaluisse. Quod si forte quispiam Judæus, domo et patria relicta tempore belli aufugiens, ad vicinos ut salutem quæreret se contulisset, hic pejus se habebat, cum qui misericordiam navare debebant, Babylonios crudelitate superarent. Quocirca infelices illi adversus Dei gloriam insolescebant, asperosque et immites afflictis se præbebant, non solum commiserationem nullam tribuentes, sed etiam immaniter stultitia sua captivos divexantes. Quid ergo? Post hæc, suo tempore, Cyro tandem dimittente, e captivitate redierunt Israelitæ, et Hierosolymis constituti urbem reædificarunt, et templum instaurarunt. Jamque Deo bene juvante, in spe status felicioris erant. Hæc cum Gazæi, et Ascalonitæ, et Azotii, et Accaronitæ, Moabitæ, et Idumæi, et Ammanitæ, et aliæ præterea gentes cognovissent, invidiæ flamma colliquescebant, et muro urbem cingentes impedire conabantur[27]. Quare agmine facto qui captivi redierant, in eos bellatum iverunt, et in valle Josaphat prælio dimicatum est : ubi Deo Israelem corroborante, ceciderunt interfectique sunt adversarii. Adeo autem potenter gentium urbes subegit, ut eas ad solitudinem redigeret et gregum stabula efficeret. Hujus historiæ nunc meminit, promissionem habentis, primum quidem reversionis e captivitate, deinde futuræ gloriæ, ac victoriæ contra omnes. Direptum enim iri Gazam ait, perituram Ascalonem, Azotum in meridie, hoc est palam, projiciendam, nec latronum more, sed manifeste et lege belli ; Accaronem vero eradicatum iri. Scitissime autem ad nominis significatum minando alludit. Redditur enim Accaron *eradicatio*. Quod ipsam passuram dicit, ut quæ ipsa appellatione calamitatem sibi importandam complectatur.

A τιῶν.» Εἰ δὲ δή τις οἴοιτο, τὸ « ἀποκρίνεσθαι αὐτά, » καταδηλοῦν, ὅτι μελέτην αὐτὰ ποιεῖσθαι προσήκει, καὶ τῇδε νοείτω Προστέταχε γὰρ καὶ ὁ Μωσέως νόμος περὶ τῶν τοῦ Θεοῦ λογίων, ὅτι « Καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος, καὶ πορευόμενος ἐν ἀγορᾷ, κοιταζόμενος, καὶ διανιστάμενος. » Ψάλλει δὲ καὶ ὁ Δαβίδ· « Καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. »

Διότι Γάζα διηρπασμένη ἔσται, καὶ Ἀσκάλων εἰς ἀφανισμὸν, καὶ Ἄζωτος μεσημβρίας ἐκριφήσεται, καὶ Ἀκκαρὼν ἐκριζωθήσεται.

ΙΕ'. Οἰκονομεῖται πάλιν ὁ λόγος, καὶ προαπαγγέλλει τὰ ἐσόμενα κατὰ καιροὺς εἰς παράκλησιν τοῖς ἐξ Ἰσραήλ. Καὶ τί δὴ τοῦτο, ἐρῶ. Πεπορθημένων τῶν Ἱεροσολύμων, καὶ ἁπάσης δὲ τῆς Ἰουδαίας κατειλημμένης ὑπὸ Ναβουχοδονόσορ, αἱ περίοικοι τῶν B ἀλλοφύλων πόλεις ἐπεγάννυντο τοῖς πεπονθόσι, καὶ κατεμειδίων τῶν πεπορθημένων, ἔθυον δὲ καὶ τοῖς ἰδίοις θεοῖς, ὡς τὸ πᾶσιν ἀπηχθημένον ἀπολωλεκόσι γένος. Ἀπετόλμων δὲ λέγειν, ὡς ἀνόνητον αὐτοῖς τὸ ἐπὶ Θεῷ πεποιθέναι διὰ πραγμάτων αὐτῶν ἐξελήλεγκται, ᾤοντό τε ὅτι καὶ τῆς ἄνωθεν ἐπικουρίας εὐσθενεστέρα ἡ τῶν Βαβυλωνίων ἐγένετο χείρ. Εἰ δὲ δή πού τις τῶν ἐκ τῆς Ἰουδαίας τὰ οἴκοι μεθεὶς, καὶ τῆς ἐνεγκούσης ἀποδραμὼν κατὰ τὸν τοῦ πολέμου καιρὸν, ὡς πρὸς ὁμόρους ἀφίκετο σώζεσθαι προσδοκῶν, οὗτος ἦν ἐν χείροσιν, ὠμοτέροις τῶν Βαβυλωνίων περιτυχὼν, τοῖς κατοικτείρειν ὀφείλουσιν. Οὐκοῦν κατεσοβαρεύοντο τῆς τοῦ Θεοῦ δόξης οἱ τάλανες, σκληροί τε καὶ ἄτεγκτοι τοῖς πεπραχόσιν ἀθλίως συνήντων, τὸ συναλγεῖν παραιτούμενοι· μᾶλλον δὲ καὶ ἀγρίως τῇ παρ' ἑαυτῶν σκαιότητι τοὺς C ἁλόντας ἐπιφορτίζοντες. Τί οὖν; Μετὰ τοῦτο ἐπανῆκον μὲν κατὰ καιρὸν ἐκ τῆς αἰχμαλωσίας οἱ ἐξ Ἰσραὴλ, Κύρου μόλις ἀνέντος, καὶ δὴ ἐν τοῖς Ἱεροσολύμοις γεγονότες ἀνετείχιζον τὴν πόλιν, καὶ τὸν ναὸν ἀνεδείμαντο. Καὶ ἦσαν ἥδηπερ ἐν ἐλπίσι λοιπὸν τοῦ εὐημερεῖν, προασπίζοντος τοῦ Θεοῦ. Ἐπειδὴ δὲ ταῦθ' οὕτως πράττεσθαι μεμαθήκασι, Γαζαῖοί τε καὶ Ἀσκαλωνῖται, καὶ μὴν καὶ Ἀζώτιοι, καὶ οἱ ἐκ τῆς καλουμένης Ἀκκαρὼν, Μωαβῖται, καὶ Ἰδουμαῖοι, καὶ Ἀμμανῖται, ἕτερά τε ἄττα πρὸς τούτοις ἔθνη, τῇ τοῦ φθόνου κατετήκοντο φλογὶ, καὶ διακωλύειν ἤθελον περιφράττοντας τείχει τὴν πόλιν, καὶ δὴ συναγηγερμένοι τῶν ἐκ τῆς αἰχμαλωσίας ἀνακεκλη- D μένων κατεστρατεύοντο. Καὶ συγκεκρότηται μὲν ἡ μάχη κατὰ τὴν κοιλάδα τοῦ Ἰωσαφάτ· πεπτώκασι δὲ καὶ ἀνῄρηνται, Θεοῦ νευροῦντος τὸν Ἰσραήλ. Εἷλον δὲ οὕτω κατακράτος τὰς τῶν ἐθνῶν πόλεις, ὡς εἰς ἐρημίαν αὐτὰς καταστῆσαι, καὶ ποιμνίων ταύτας ἀποφῆναι σηκούς. Ταύτης διαμέμνηται τῆς ἱστορίας εἰς τὸ παρὸν, ἐπαγγελίαν ἐχούσης, πρῶτον μὲν τῆς ἐπανόδου τῆς ἐκ τῆς αἰχμαλωσίας· εἶτα τῆς ἐσομένης εὐκλείας, καὶ τῆς κατὰ πάντων νίκης. Διαρπασθήσεσθαι μὲν γὰρ τὴν Γάζαν φησὶν, οἰχήσεσθαι δὲ τὴν Ἀσκάλωνα πρὸς ἀφανισμὸν, καὶ Ἄζωτον μεσημβρίας ἐκριφήσεσθαι, τουτέστι φανερῶς, καὶ οὐ τρόπῳ λῃστρικῷ, ἀλλ' ἐναργῶς, καὶ πολέμου νόμῳ· τήν γε μὴν Ἀκκαρὼν ἐκριζωθήσεσθαι. Εὐφυῶς δὲ λίαν πρὸς τὴν τοῦ ὀνόματος δήλωσιν ποιεῖται τὴν

[25] Deut. VI, 6, 7. [26] Psal. CXVIII, 117. [27] II Esdr. III, IV.

Digitized by Google

ἀπειλήν. Ἑρμηνεύεται γὰρ Ἀκκαρὼν *ἐκριζωσις*. Τοῦτο δὲ αὐτὸ πείσεσθαί φησιν αὐτὴν, οἷον ἔχουσαν ἐν τῇ κλήσει τῆς ἐπενεχθησομένης αὐτῇ συμφορᾶς

Οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης, πάροικοι Κρητῶν! Λόγος Κυρίου ἐφ' ὑμᾶς, Χαναάν, γῆ ἀλλοφύλων.

A **596** VERS. 5. *Væ, qui habitatis funiculum maris, advenæ Cretensium. Verbum Domini super vos, Chanaan, terra alienigenarum.*

ΙΖ'. Ἀποχρώντως ἀπειλήσας, καὶ τὰ ὅσον οὔπω συμβησόμενα προαπηγγελκὼς τοῖς τὴν Παλαιστίνην οἰκοῦσι, Γαζαίοις τε, φημὶ, καὶ Ἀσκαλωνίταις, Ἀζωτίοις τε καὶ τοῖς ἐξ Ἀκκαρὼν, τὸν ἴσον ὑφαίνει λόγον καὶ ἐπὶ ταῖς Φοινίκης, μάλιστα δὲ τῶν ἄλλων ταῖς πρὸς τῇ θαλάσσῃ κειμέναις. Ταύτῃτοί φησιν· « Οὐαὶ οἱ κατοικοῦντες τὸ σχοίνισμα τῆς θαλάσσης! » Ἐπειδὴ δὲ πολλαὶ τῶν κατὰ τὴν Παλαιστίνην πόλεων τῇ θαλάσσῃ προσῳκήκασιν, ἀποδιιστὰς ὥσπερ τὰς σημαινομένας, εἰς τὸ παρὸν παροίκους Κρητῶν αὐτὰς ἀποκαλεῖ, ἵν' ἐντεῦθεν νοῶμεν τοὺς τῆς Φοινίκης οἰκήτορας. Κρῆτες γὰρ, καὶ Λίβυες διείργοντο μὲν ἀλλήλων μεσολαβούσης θαλάσσης, ὀλίγοις κομιδῇ διαστήμασιν. Ὡς γὰρ ὁ πολὺς ἔχει λόγος, ἀνέμου πνέοντος, ἔσθ' ὅτε τῶν ἐκ Κρήτης βοτανῶν διάττουσιν αἱ ὀσμαὶ καὶ τοὺς ἐν Λιβύῃ κτείνουσι θῆρας, ἑρπετά τε, φημὶ, καὶ τὰ τῶν ἰοβόλων ἔθνη. Τετάχαται δὴ οὖν Λίβυές τε καὶ Κρῆτες ὡς ἔθνος ἕν. Ἐντεῦθεν κατὰ καιροὺς ἀποικίαν στείλαντες, τὰς ἐν Φοινίκῃ κατῳκήκασι, καὶ ἀνεδείμαντο πόλεις, καθάπερ ἀμέλει καὶ Καππαδόκαι κατὰ καιροὺς τὰς τῆς Παλαιστίνης. Καὶ γοῦν ἔφη που Θεὸς διὰ φωνῆς Ἀμῶς· « Οὐχ ὡς υἱοὶ Αἰθιόπων ὑμεῖς ἐστε ἐμοὶ, υἱοὶ Ἰσραήλ; λέγει Κύριος. Οὐ τὸν Ἰσραὴλ ἀνήγαγον ἐκ γῆς Αἰγύπτου, καὶ τοὺς ἀλλοφύλους ἐκ Καππαδοκίας, καὶ τοὺς Σύρους ἐκ βόθρου; » Καὶ ἀλλοφύλους μὲν τοὺς Παλαιστηνοὺς ὀνομάζει, Σύρους γε μὴν τοὺς Φοίνικας, οὓς καὶ ἀναγαγεῖν ἐκ βόθρου διϊσχυρίζεται, βόθρον, οἶμαι, τὴν Λιβύην ἀποκαλῶν, διὰ τὸ εἶναί που τάχα κοίλην τε καὶ χθαμαλὴν τὴν χώραν. Κατευρύνεται γὰρ εἰς κόλπους ἡ παρ' αὐτοῖς θάλασσα, μονονουχὶ καὶ ἀναφευγούσης ἀνόπιν τῆς χέρσου, καὶ τοῖς ὅτι μάλιστα νοτιωτάτοις κλίμασιν εἰσδυομένης. Ἰστέον δὲ ὅτι ἀντὶ τοῦ βόθρου, Κυρήνην ὠνόμασαν οἱ ἕτεροι τῶν ἑρμηνευτῶν, ὅτι Λιβύων ἄποικοι Φοίνικες ἀποφαίνονται ἐναργέστερον· Κυρήνη γὰρ τῆς Λιβύης ἐστὶν ἐπισημοτάτη πόλις. Λόγος τοίνυν, φησὶ, Κυρίου ἐφ' ὑμᾶς. ὦ πάροικοι τῶν Κρητῶν, ἤγουν Λιβύων. Τὸ δὲ *πάροικοι* φησὶν ἀντὶ τοῦ ἄποικοι, καὶ μετανάσται. Χαναὰν δὲ πάλιν αὐτοὺς ἀποκαλεῖ. Χαναναῖοι γὰρ ἦσαν ἅπαντες οἱ τὰς Φοινίκης κατοικοῦντες πόλεις, εἰ καὶ γεγόνασιν ἀπ' ἀρχαῖς ἄποικοι Κρητῶν. Ἰστέον δὲ πάλιν, ὅτι οἱ ἕτεροι τῶν ἑρμηνευτῶν ἀντὶ τοῦ « Πάροικοι Κρητῶν » ἐκδεδώκασι, « Λόγος Κυρίου πρὸς ὑμᾶς, ἔθνος ὠλοθρευμένον. » Ἐπειδὴ δὲ ἦν ἀναγκαῖον ἀκολουθῆσαι πάλιν καὶ τῇ τῶν Ἑβδομήκοντα γραφῇ, τὰ ἐκ τῆς ἱστορίας παρηγάγομεν εἰς μέσον, ἃ φέρει μὲν εἰς ἡμᾶς ἡ παράδοσις, ἐπεσφράγισε δὲ ὡς ἀληθῆ καὶ ὁ τοῦ προφήτου λόγος.

B

C

Καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας, καὶ ἔσται Κρήτη νομὴ ποιμνίων, καὶ μάνδρα προβάτων. Καὶ ἔσται τὸ σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου Ἰούδα. Ἐπ' αὐτοὺς νεμήσονται ἐν τοῖς

D VERS. 6, 7. *Et perdam vos de habitatione, et erit Creta pascua gregum, et ovile ovium. Et erit funiculus maris iis qui reliqui sunt de domo Juda. Super ipsos pascentur in domibus Ascalonis, vespere diver-*

[23] Amos IX, 7.

Digitized by Google

tent a facie filiorum Juda, quia visitat eos Dominus Deus eorum, et avertit captivitatem eorum.

XVII. En, rursum ut inquilinos alloquitur, et quasi cum iis qui solum verterunt disserit, veritatemque historiæ confirmat. Perditurum enim se illos dicit de habitatione, hoc est de terra, in quam habitatum concesserunt. Adeo porro urbes eorum vastatum iri dicit, ut pascua et ovile gregum fiant. Cretam autem ipsorum Phœnicen, sive incolas Phœnices vocat, utpote ex Creta Libyum confinis et vicina profectos. Superioribus quippe temporibus una gens fuerant, genusque sanguine et legibus miscuerant. Antea dixi, congregatas esse omnes gentes, invidia ardentes, et Hierosolymam post tempus captivitatis oppugnatum ivisse, atque etiam conserto prælio in valle Josaphat victos occubuisse, qui liberatis impie insidiabantur. Victores igitur Israelitæ alienigenarum agros ut desertos depascebant, et Philistinorum, seu Palæstinorum, urbibus stabulorum loco utebantur, quod omnes earum incolæ funditus interiissent. « Erit igitur, inquit, funiculus maris, » hoc est, maritimæ Palæstinorum urbes; quæ aliquando frequentes erant, terribiles, et pene inexpugnabiles, pascua gregum reliquiis domus Juda. Ex captivitate enim superstites, et vix relicti, ipsi vicerunt, ipsi in domos Ascalonis vespere divertent. Vespere siquidem pastores pecudum greges stabulis includunt. Quæ igitur hæc tanta virtus? aut quomodo istud fiet, quod fidem omnem rationemque vincit? Quoniam « visitavit eos, inquit, Dominus Deus eorum, et avertit captivitatem eorum. » Ac si dicat: Desiit ipsis irasci, condonavit eis delicta, et rursus, ut quondam, Israelitis militat, **598** victoriamque de adversariis citra laborem largitur. Quare si peccantes Deus aversatus fuerit, pedibus inimicorum nostrorum subjiciemur, et qui nos servet, nemo erit. Quod si nos rursum aspiciat, virtutis cupidos et ex legibus vivere volentes, bello quovis superiores erimus, adversariosque superabimus. Fidem certam faciet hujus rei ipsemet, dicens de justo quolibet: « Quoniam in me speravit, liberabo eum [29]. »

οἴκοις Ἀσκάλωνος, δείλης καταλύσουσιν ἀπὸ προσώπου υἱῶν Ἰούδα, ὅτι ἐπέσκεπται αὐτοὺς Κύριος ὁ Θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν.

ΙΖ'. Ἰδοὺ, πάλιν ὡς μετοίκοις προσλαλεῖ, καὶ ὡς μετανάσταις διαλέγεται, καὶ μεμαρτύρηκε τῇ ἱστορίᾳ τὸ ἀληθές. Ἀπολέσειν γὰρ αὐτούς φησιν ἐκ κατοικίας, τουτέστιν, ἐκ γῆς εἰς ἣν παρῳκήκασιν. Εἰς τοῦτό γε μὴν ἐρημίας ἀφίξεσθαί φησι τὰς παρ' αὐτῶν πόλεις, ὡς νομὴν καὶ μάνδραν γενέσθαι ποιμνίων. Κρήτην δὲ αὐτῶν τὴν Φοινίκην, ἤτοι τοὺς ἐν τῇ Φοινίκῃ ἀποκαλεῖ ὡς ἐκ Κρήτης ὄντας Λιβύων ὁμόρου καὶ γείτονος. Ἦν δὲ ἦσαν κατὰ τοὺς ἄνωθεν χρόνους, μέμικτο δὲ ἀλλήλοις τὰ γένη καθ' αἵμά τε καὶ νόμους. Φθάσας εἶπον, ὅτι συναγήγερτο μὲν τὰ πάντα ἔθνη φθόνῳ διακεκαυμένα, καὶ κατεστρατεύοντο τῶν Ἱεροσολύμων μετὰ τὸν τῆς αἰχμαλωσίας καιρὸν, καὶ δὴ, πολέμου συστάντος ἐν τῇ κοιλάδι τοῦ Ἰωσαφὰτ, ἡττηνται καὶ πεπτώκασιν οἱ τοῖς λελυτρωμένοις ἀνοσίως ἐπιβουλεύοντες. Κεκρατηκότες οὖν οἱ ἐξ Ἰσραὴλ κατέβοσκον ὡς ἐρήμους τοὺς τῶν ἀλλοφύλων ἀγροὺς, καὶ οἷον σηκοῖς ἐχρῶντο ταῖς ἐρημωμέναις πόλεσι τῶν Φυλιστιείμ, τουτέστι, τῶν Παλαιστηνῶν, διὰ τὸ πάντας ἅρδην ἀπολέσθαι τοὺς ἐν αὐταῖς. « Ἔσται τοίνυν, φησὶ, τὸ σχοίνισμα τῆς θαλάσσης, » τουτέστιν, αἱ πρὸς τῇ θαλάσσῃ τῶν Παλαιστηνῶν πόλεις, αἱ πολυανδροῦσαί ποτε, αἱ δεινὰ, καὶ δυσκαταγώνιστοι, νομὴ ποιμνίων τοῖς καταλοίποις οἴκου Ἰούδα. Οἱ γὰρ ἐκ τῆς αἰχμαλωσίας ἀνασεσωσμένοι, καὶ περιλελειμμένοι μόλις, αὐτὶ κεκρατήκασιν, αὐτοὶ καὶ ἐν τοῖς οἴκοις Ἀσκάλωνος δείλης καταλύσουσι. Πρὸς ἑσπέραν γὰρ οἱ ποιμένες ἐγκατακλείουσι τοῖς σηκοῖς τὰς τῶν θρεμμάτων ἀγέλας. Τίς οὖν ἡ τοσαύτη δύναμις; ἢ πῶς ἔστι τοῦτο, τὸ καὶ πίστεως ἐπέκεινα, καὶ λόγου παντός; Ὅτι « ἐπέσκεπται, φησὶν, αὐτοὺς Κύριος ὁ Θεὸς αὐτῶν, καὶ ἀπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν. » Ὅμοιον ὡς εἰ λέγοι· Κατέληξε τῆς ἐπ' αὐτοὺς ὀργῆς, ἀνῆκεν αὐτοῖς τὰ ἐγκλήματα καὶ συνοπλίζεται μὲν, ὥσπερ καὶ πάλαι, τοῖς ἐξ Ἰσραὴλ, χαρίζεται δὲ τὸ νικᾷν τοὺς ἀνθεστηκότας, καὶ τοῦτο ἀμογητί. Οὐκοῦν ὅταν ἁμαρτάνοντας ἀποστρέφηται Θεὸς, ὑπὸ πόδας κεισόμεθα τῶν ἐχθρῶν, καὶ οὐδεὶς ὁ σώζων ἐστίν. Εἰ δὲ ἐποπτεύῃ πάλιν ἐφιεμένους ἀρετῆς (1) ἐννόμως κατευμεγεθήσομεν δὲ τῶν ἀνθεστηκότων, καὶ πληροφορήσει λέγων αὐτὸς περὶ δικαίου παντός· « Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. »

VERS. 8, 9. *Audivi opprobria Moab, et percussiones filiorum Ammon, in quibus opprobraverunt populo meo, et magnificati sunt super terminos meos. Propterea vivo ego, dicit Dominus exercituum, Deus Israel, quia Moab sicut Sodoma erit, et filii Ammon sicut Gomorrha, et Damascus derelicta, ut acervus areæ, et dissipata in sempiternum. Et qui relicti fuerint populi mei diripient eos, et reliqui gentis meæ hæreditabunt eos*

Ἤκουσα ὀνειδισμοὺς Μωάβ, καὶ κονδυλισμοὺς υἱῶν Ἀμμὼν, ἐν οἷς ὠνείδιζον τὸν λαόν μου, καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅριά μου. Διὰ τοῦτο ζῶ ἐγὼ, λέγει Κύριος τῶν δυνάμεων, ὁ Θεὸς Ἰσραὴλ, διότι Μωὰβ ὡς Σόδομα ἔσται, καὶ υἱοὶ Ἀμμὼν ὡς Γόμορρα, καὶ Δαμασκὸς ἐκλελειμμένη, ὡς θημωνία ἄλωνος, καὶ ἠφανισμένη εἰς τὸν αἰῶνα. Καὶ οἱ κατάλοιποι λαοῦ μου διαρπῶσι αὐτοὺς, καὶ οἱ κατάλοιποι ἔθνους μου κληρονομήσουσιν αὐτούς.

XVIII. Expugnatis Hierosolymis, filiis Israel jam

ΙΗ'. Πεπορθημένοις τοῖς Ἱεροσολύμοις, καὶ πε-

[29] Psal. xc, 14.

(1) Deesse videtur καὶ βιοῦν, vel quid simile.

Digitized by Google

πραχόσιν ἀθλίως τοῖς ἐξ Ἰσραὴλ, ἐπετώθαζον τὰ πρόσοικα τῶν ἐθνῶν, ᾠοντό τε ὅτι τῶν παρὰ σφίσι ψευδωνύμων θεῶν τὸ ἀλῶναι τὴν Ἰουδαίαν, ἀνατετραμμένης εἰσάπαν, καὶ οἰχομένης τάχα που πρὸς τὸ μηδὲν, τῆς ἀεί τε καὶ ἄνωθεν ἐπικουρούσης αὐτοῖς χειρὸς, δῆλον δὲ ὅτι τῆς τοῦ πάντων κρατοῦντος Θεοῦ. Δυσβουλίας γὰρ εἰς τοῦτο καθικέσθαι τινὰς τὸ ἀπεικὸς οὐδὲν, ὡς πεπλανημένους, ξύλοις τε καὶ λίθοις λελατρευκότας, καὶ τὸν φύσει τε καὶ ἀληθῶς ἠγνοηκότας Θεόν. Ἀκήκοα τοίνυν, φησὶ, τοὺς Μωαβιτῶν ὀνειδισμοὺς, καὶ κονδυλισμοὺς υἱῶν Ἀμμών. Διοίσει γὰρ, οἶμαι, κατ' οὐδένα τρόπον ἢ ῥάβδῳ τυχὸν ἢ λίθῳ τοὺς πεπονθότας ὁ πλήττων ὀνειδισμοῖς, καὶ ἀχάλινον ἐπ' αὐτοῖς ἀνευρύνων στόμα, ἀνερευγόμενός τε καὶ λέγων τὰ δι' ὧν ἦν εἰκὸς καταπικραίνεσθαί τινας εἰς δυσθυμίας καὶ λύπας, καὶ φορτικωτέραν ἔχειν τῆς συμφορᾶς τὴν ἔφοδον. Ἐπειδὴ δὲ καὶ κατ' αὐτῆς τῆς θείας τε καὶ ἀπορρήτου δόξης ἀθυροστομοῦντες ἠλέγχοντο, ταύτῃ, φησὶ, τὰ Σοδομιτῶν ἀνατλάντες δίκην βαδιοῦνται πρὸς ὄλεθρον, καὶ μικρά που τάχα τὰ Γομόρρας ἀποφαίνοντες πάθη ταῖς ἑαυτῶν συμφοραῖς, ὀψέ τε καὶ μόλις δι' αὐτῶν εἴσονται τῶν συμβεβηκότων τὴν τοῦ κολάζοντος δύναμιν. Δαμασκός γε μὴν ἡ Φοινίκων μητρόπολις ἡ λαμπρὰ, καὶ περίοπτος, ἐν ᾗ τὰ βασίλεια, σωρὸς ἔσται καλάμης, οὐκ ἐχούσης ἄσταχυν, ἧς οὐδεὶς μὲν ὁ λόγος, εἰς κατάπρησιν δὲ τὸ πέρας, ἥγουν διασκεδασμόν. Τοὺς γὰρ τῶν ἀχύρων σωροὺς αἱ τῶν πνευμάτων ὁρμαὶ διαῤῥίπτουσι πανταχῆ. Κατὰ τὸν ἴσον δὲ τρόπον καὶ τοὺς ἐν ταῖς πόλεσι ταῖς ἁλισκομέναις αἱ τῶν ἐλόντων δυνάμεις διασκιδνᾶσι πανταχοῦ, τοῖς ῥαγδαιοτάτοις ἐν ἴσῳ πνεύμασι κατεμπιπτόντων. Ὅτι δὴ οὐχ ἑτέρου τοῦτο μᾶλλον, ἀλλ' αὐτοῦ τοῦ πεπονθότος καὶ ὀνειδισθέντος λαοῦ τὰ τοιάδε τῶν κακῶν κατόρθωσις ἔσται κατὰ καιροὺς, ἀποφαίνει λέγων· « Οἱ κατάλοιποι τοῦ λαοῦ μου διαρπῶνται αὐτοὺς, καὶ οἱ κατάλοιποι ἔθνους μου κατακληρονομήσουσιν αὐτούς. » Καταλοίπους γὰρ ἔθνους, ὡς ἤδη προεῖπον, τοὺς ἐκ τῆς αἰχμαλωσίας σεσωσμένους ἀποκλεῖ, οἳ κεκρατήκασι τῶν ἐθνῶν, καὶ τὰς τῶν ἀλλοφύλων ἑλόντες πόλεις, εἰς ἐρημίαν αὐτὰς κατέστησαν παντελῆ.

A ærumnosis vicinæ gentes insultabant, excidiumque Judææ numinum suorum commentitiorum opus esse arbitrabantur, eversa jam penitus, et in nihilum quasi redacta potentia, quæ illos nunquam non desuper adjutarat, omnipotentis Dei nimirum. Non est enim incredibile, quosdam usque eo desipuisse, ut seductos, lignisque ac lapidibus servientes, et verum ac natura Deum ignorantes. Inquit igitur, Audivi Moabitarum exprobrationes, et percussiones filiorum Ammon. Nihil quippe interesse censeo, inter virga forte, aut lapide, et probris miseros percutientem, et os infrene super ipsos dilatantem, eructantemque etiam verbis, quibus verisimile est quosdam ad tristitias et ægritudines exacerbari, et invadentem se calamitatem sentire onerosiorem. B Quoniam autem etiam contra ipsam divinam ineffabilemque gloriam petulanter garrivisse comperti sunt, idcirco Sodomitarum supplicium sustinentes in exitium ibunt, et rebus suis perditis quasi levia Gomorrhitas passos ostendentes, sero et vix per ipsa quæ contigerint punientis virtutem cognoscent. Damascus vero Phœnicum metropolis illa eximia et conspicua, ubi domicilium regis, cumulus seu acervus erit stipularum sine spicis, quæ nihil fiunt : sed comburuntur 599 tandem, aut dissipantur. Palearum quippe cumulos ventorum rabies huc illuc disjicit. Simili modo incolas captarum urbium capientium impetus, instar ventorum turbulentissimorum irruentium, quoquoversum dissipant. Per neminem autem nisi per ipsum populum afflictum, C et probris concisum, mala hujusmodi aliquando feliciter inflictum iri, demonstrat his verbis : « Reliqui populi mei diripient eos, et reliqui gentis meæ hæreditabunt eos. » Reliquos enim gentis, ut ante dixi, captivitate solutos nominat, qui gentes subegerunt, et captas alienigenarum urbes in solitudinem meram redegerunt.

Ὅταν τοίνυν οἰκονομικῶς ὁ τῶν ὅλων Θεὸς διαγυμνάζῃ τὴν Ἐκκλησίαν, ἢ θλίψεις ἐπάγων, ἢ διωγμοὺς πράττεσθαι συγχωρῶν, ἐπιφυομένων αὐτῇ τῶν ἐχθρῶν, Ἑλλήνων τυχὸν, ἢ ἀνοσίων αἱρετικῶν, καταμειδιάτω μηδεὶς, περιμενέτω δὲ πάλιν τοῦ παντὸς ἀγῶνος τὸ πέρας. Οἱ γὰρ πλατὺ γελῶντες ἔσθ' ὅτε, καὶ μονονουχὶ κατονειδίζοντες τὸν Χριστὸν, ὡς τῶν ἰδίων οὐ προασπίζοντα, ἥγουν ὡς οὐκ ὄντα, καὶ ἀσθενοῦντα πρὸς τοῦτο, τὰ Σοδομιτῶν ὑπομενοῦσι πάθη, καὶ πυρὸς ἔσονται τροφὴ, καὶ πρός γε δὴ τούτοις, οὓς ἠττῆσθαι νενομίκασι, κρατοῦντας εὑρήσουσιν.

Quando igitur universorum Deus, ut prudens dispensator, Ecclesiam exercet, aut tribulationes inferens, aut persecutiones in eam ab inimicis adorientibus commoveri sustinens, a gentilibus forte, D aut impiis hæreticis, nemo irrideat, quin adhuc totius certaminis finem exspectet. Qui enim effuse rident, nonnunquam et Christo tantum non ut probrum objiciunt, quasi suos non tueatur, seu quasi ad hoc imbecillus sit, illos Sodomitarum supplicium manet, et ignis alimentum erunt, et insuper quos se vicisse putabant, ab iis se victos invenient.

Αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν, διότι ὠνείδισαν, καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν Κύριον τὸν παντοκράτορα. Ἐπιφανὴς ἔσται Κύριος ἐπ' αὐτούς, καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς.

Vers. 10, 11. *Hæc eis pro contumelia ipsorum, quia exprobraverunt, et magnificati sunt supra Dominum omnipotentem. Manifestus erit Dominus super eos, et disperdet omnes deos gentium terræ.*

Ιθ'. Αὕτη, φησὶν, αὐτοῖς ἡ μερὶς, καὶ οὗτος ὁ κλῆρος. Πεπαρῳνήκασι γὰρ, κατ' αὐτῆς ἀπορρήτου δόξης

XIX. Hæc ipsis pars, inquit, et hæc sors, sive hæreditas. Fuerunt enim contumeliosi, contra

Digitized by Google

ipsam gloriam ineffabilem insolenter garrientes miseri, et maledicas voces emittentes, atque adversus eum, qui est super omnia, non sine insigni et effrenata audacia prope insurgentes. Quoniam autem omnipotentiæ gloriam diis suis ascripserunt : « Manifestus erit Dominus super ipsis ; » hoc est suam potentiam super ipsis manifestabit, quia omnes eorum deos funditus disperdet. Eversa sunt enim et collapsa delubra ipsorum per manus Israel, et idola manufacta captivorum manibus ubique, perque omnes gentes, confracta et contrita sunt. Ubi igitur deorum illorum virtus? Aut quomodo alios servaverint, qui sibi ipsis opitulari nequiverunt? Imo vero quid **600** tandem surda et sensus expers materia? « Simulacra gentium argentum et aurum, opera manuum hominum [30] ; » ac, nisi dictu grave sit, sed dicatur licet : « Quid prodest sculptile, quia sculpserunt illud, finxerunt illud conflatile, phantasiam, seu imaginem falsam? » juxta prophetæ vocem [31]. Et, ut dicit divinus David : « Similes illis fiant omnes qui faciunt ea, et omnes qui confidunt in eis [32]. »

VERS. 14. *Et adorabunt eum singuli de loco suo, omnes insulæ gentium.*

XX. Manifestum super ipsos Dominum factum dicimus, quando omnes eorum deos delevit, olim quidem cum Israelitæ una cum alienigenarum urbibus simulacra in templis, et aras eorumdem viriliter concremarunt : post susceptam autem ab unigenito Dei Filio humanam naturam hoc verius factum videre quis potest, quando etiam Deus Verbum, nostrum simile factum apparuit. Quare divini discipuli eum qui est ab initio, quem audiverunt, ipsum se et contrectasse manibus, et vidisse oculis aiebant [33]. Manifestus enim factus est, qui quatenus Deus, oculorum obtutum effugit, psallit item quodam loco David : « Deus manifeste veniet, Deus noster, et non silebit [34]. » Postquam autem factus est manifestus, et « In terris visus, et cum hominibus conversatus est [35], » tunc etiam profani, et exsecrandi idolorum greges perierunt. Similiter diaboli imperium penitus eversum est, et de cætero unusquisque eorum, qui per fidem in Christum ad agnitionem veritatis adducti sunt, per ipsum et cum ipso Deo Patri adorationem de loco suo offert, nec amplius in sola Judæa notus est Deus, sed gentium quoque regiones et urbes, quanquam intercedente mari a Judæa sejunctæ, nihilominus ad Christum accedunt, ei preces offerunt, eum glorificant, et nunquam intermissis laudibus venerantur. Olim quidem « Erat in Israel magnum nomen ejus [36] : » nunc jam omnibus ubique notissimus est, et plena est terra ac mare gloria ejus. Et hoc nempe est : « Vivo ego, dicit Dominus [37], » et quæ sequuntur. Implebitur utique omnis terra gloria ejus [38] : idcirco quilibet de loco suo adorabit, ut propheta

A ἀθυροστομοῦντες οἱ δείλαιοι, καὶ παλιμφήμους ἱέντες φωνὰς, καὶ τοῦ πάντων ἐπέκεινα μονονουχὶ κατεξανιστάμενοι, δεινῷ τε καὶ ἀχαλίνῳ χρώμενοι πρὸς τούτῳ θράσει. Ἐπεὶ δὲ τὴν ἐπὶ τὰ πάντα δύνασθαι δόξαν τοῖς ἰδίοις ἀνῆπτον θεοῖς, « Ἐπιφανὴς ἔσται Κύριος ἐπ' αὐτοῖς, » τουτέστι, τὴν ἰδίαν αὐτοῖς ἐμφανιεῖ δύναμιν, διά γε τοῦ πάντας αὐτῶν ὀλοθρεῦσαι τοὺς θεούς. Ἀνῄρηνται γὰρ, καὶ πεπτώκασι τὰ παρ' αὐτοῖς τεμένη διὰ χειρὸς Ἰσραὴλ, καὶ χειρὸς ἔργον γεγόνασι τὰ χειρόκμητα πανταχῇ τε καὶ ἐν παντὶ ἔθνει τῶν ἁλωκότων. Ποῖ δὴ οὖν τῶν θεῶν ἡ δύναμις; Ἢ πῶς ἂν ἑτέρους ἐκσώσειαν, οἵ γε δὴ σφισιν αὐτοῖς ἐπαμύνειν οὐχ οἷοί τε; μᾶλλον δὲ τί γὰρ ὅλως κωφὸς καὶ ἀναίσθητος ὕλη ; « Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων· » καὶ

B εἰ μὴ φορτικὸν εἰπεῖν, μᾶλλον δὲ καὶ εἰρήσεται· « Τί ὠφελεῖ γλυπτὸν, ὅτι ἔγλυψαν αὐτὸ, ἔπλασαν αὐτὸ χώνευμα φαντασίαν ψευδῆ; » κατὰ τὴν τοῦ προφήτου φωνήν. Καὶ ἦ φησιν ὁ θεσπέσιος Δαβίδ· « Ὅμοιοι αὐτοῖς γένοιντο πάντες οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. »

Καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν.

Κ'. Ἐπιφανῆ γενέσθαι φαμὲν ἐπ' αὐτοὺς τὸν Κύριον, ὡς ὠλοθρευκότα πάντας αὐτῶν τοὺς θεούς, πάλαι μὲν διὰ τῶν ἐξ Ἰσραὴλ ταῖς τῶν ἀλλοφύλων πόλεσι συγκαταπιμπράντων εὐσθενῶς τὰ ἐν τοῖς τεμένεσιν εἴδη, καὶ τοὺς ἐν αὐτοῖς βωμούς· κατὰ δέ γε

C τὸν καιρὸν τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς τοσὶ γεγονὸς ἀληθέστερον κατίδοι τις ἄν, ὅτε καὶ Θεὸς ὢν ὁ Λόγος, γέγονε καθ' ἡμᾶς καὶ ἐπιφανής. Καὶ τῶν οἱ θεσπέσιοι μαθηταὶ τὸν ὄντα ἀπ' ἀρχῆς, ὃν ἀκηκόεσαν, τοῦτον αὐτὸν ψηλαφῆσαί τε χερσὶ, καὶ ἰδεῖν ἔφασκον ὀφθαλμοῖς. Ἐμφανὴς γὰρ γέγονεν ὁ τοῦ ὁρᾶσθαι κρείττων ὡς Θεὸς, ψάλλει δέ που καὶ Δαβίδ· « Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται. » Ἐπειδὴ δὲ γέγονεν ἐμφανὴς, καὶ « Ἐπὶ γῆς ὤφθη, » κατὰ τὸ γεγραμμένον, « καὶ τοῖς ἀνθρώποις συνεστράφη, » τότε καὶ ἀπολώλασιν αἱ βέβηλοί τε καὶ

D βέβηλοι τῶν εἰδώλων ἀγέλαι. Ἀνῄρηται δὲ εἰσάπαν καὶ τὸ τοῦ διαβόλου κράτος, ἕκαστος δὲ λοιπὸν τῶν διὰ πίστεως τῆς εἰς Χριστὸν εἰς ἐπίγνωσιν ἀληθείας ἐνηνεγμένων, προσάγει δι' αὐτοῦ τε καὶ σὺν αὐτῷ τῷ Θεῷ καὶ Πατρὶ τὴν προσκύνησιν ἐκ τοῦ τόπου αὐτοῦ· καὶ οὐκ ἔτι μὲν ἔστι κατὰ μόνην τὴν Ἰουδαίων γνωστὸς ὁ Θεὸς, ἀλλὰ καὶ αἱ τῶν ἐθνῶν χῶραί τε καὶ πόλεις, κἂν εἰ τῆς Ἰουδαίας ἀπονοσφίζοιντο μεσολαβούσης θαλάσσης, οὐδὲν ἧττον προσίασι τῷ Χριστῷ, προσάγουσι τὰς λιτὰς, ἀνάπτουσι τὰς δοξολογίας, ἀκαταλήκτοις εὐφημίαις καταγεραίρουσι. Πάλαι μὲν γὰρ « ἦν ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ. » Νυνὶ δὲ λοιπὸν τοῖς ἁπανταχοῦ γέγονε γνωριμώτατος, γῆ δὲ, καὶ θάλαττα μεστὴ τῆς δόξης αὐτοῦ. Καὶ τοῦτο ἦν ἄρα τὸ, « Ζῶ ἐγὼ, λέγει Κύριος. » Ἢ μὴν ἐμπλησθήσεται τῆς δόξης Κυρίου πᾶσα ἡ γῆ· προσκυνήσει

[30] Psal. CXIII, 4. [31] Habac. II, 18. [32] Psal. CXIII, 8. [33] I Joan. I, 2. [34] Psal. XLIX, 3. [35] Baruch III, 38. [36] Psal. LXXV, 2. [37] Isa. XLIX, 18. [38] Isa. VI, 3.

Digitized by Google

δὴ οὖν ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ, φησί. Προανατυπῶν μὲν γὰρ ὁ νόμος τῆς Ἐκκλησίας τὸ κάλλος, τὴν ἀρχαίαν ἐκείνην τοῖς ἐξ Ἰσραὴλ ἀνώρθου σκηνήν. Ἧς εἰς τύπον καὶ ἐν τοῖς Ἱεροσολύμοις ὁ διαβόητος ἐκεῖνος ἐγήγερται ναός. Προστέταχε δὲ τοῖς ἀρχαιοτέροις ὁ θεσπέσιος Μωσῆς, ἤγουν δι' ἐκείνου Θεὸς, ἐκ πάσης τῆς Ἰουδαίας χώρας τοὺς προσκυνεῖν ἐθέλοντας ἀναφοιτᾷν εἰς Ἱεροσόλυμα, θύειν τε οὕτω, καὶ προσκυνεῖν τῷ Θεῷ, καὶ θάνατος ἦν ἡ δίκη τοῖς ἔξω θύουσι τοῦ ναοῦ. Ἐπειδὴ δὲ παρελήλακε τῆς σκιᾶς ὁ καιρὸς, πέπαυται τὰ ἐν τύποις, ἐγνώκαμέν τε λοιπὸν, ὡς οὐκ ἐν τύπῳ, τὸ Θεῖον. Οὔτε μὴν ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, πληροῖ δὲ μᾶλλον οὐρανούς τε καὶ γῆν, καὶ τὰ κατώτερα. Ταύτητοι πανταχῆ τε αὐτὸν, καὶ ἐν πᾶσιν εἶναι πιστεύοντες ἧπερ ἂν ἕκαστος ὢν τυγχάνῃ, ἐκεῖ ποιῆται τὴν προσκύνησιν, ὡς ἐγγὺς ἔχων τὸν λέγοντα Θεόν· « Θεὸς ἐγγίζων ἐγώ εἰμι, λέγει Κύριος, καὶ οὐχὶ Θεὸς πόρρωθεν. » Ἰστέον δὲ, ὅτι νήσους ἐσθ' ὅτε τὸ Γράμμα τὸ ἱερὸν τὰς Ἐκκλησίας ἀποκαλεῖ, οἷον ἐν θαλάσσῃ κειμένας ἐν τῷδε τῷ κόσμῳ, καὶ πικροῖς ὕδασι περιεχομένας ταῖς ἐν αὐτῷ περιστάσεσι, καὶ μονονουχὶ ῥαγδαιοτάτοις κύμασι καταπαιομένας, τοῖς διωγμοῖς, ἀδιαπτώτως ἐρηρεισμένας, καὶ ἀνεχούσας ὑψοῦ, καὶ ταῖς θλίψεσιν οὐ βαπτιζομένας. Ἀκλόνητοι γὰρ διὰ Χριστὸν αἱ Ἐκκλησίαι, « καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῶν. » Οὐκοῦν εἰ δή βούλοιτό τις νήσους ἐθνῶν ἐννοεῖν τὰς ἐξ ἐθνῶν Ἐκκλησίας, οὐκ ἄνευ τοῦ *ποέποντος* βαδιεῖται σκοποῦ.

dicit. Præfigurans enim, et adumbrans lex pulchritudinem Ecclesiæ, tabernaculum illud vetus Israelitis ædificabat. In ejusdem typum illud etiam fama celebratum templum Hierosolymis est conditum. Mandavit autem antiquis divinus **601** Moses, sive per illum Deus, uti ex universa Judæa qui vellent adorare, Jerosolymam se conferrent, ibique et sacrificarent, et Deum precibus venerarentur : extraque templum sacrificantibus pœna capitalis erat proposita. Ubi autem tempus umbræ præteriit, typica cessarunt, et de cætero Divinitatem citra typum cognovimus. Neque vero Altissimus in templis manufactis habitat[39] : quin potius cœlum et terram[39*], et quæ infra terram sunt implet. Quocirca eum ubique, et in omnibus esse credentes, ubi quisque fuerit, ibi adoret : utpote prope habens Deum dicentem : « Deus appropinquans ego, et non Deus de longe [40]. » Sciendum porro, sacras Litteras Ecclesias nonnunquam insulas vocare, in hoc mundo tanquam in mari sitas, et incommodorum mundanorum veluti aquis amaris circumfusas, violentissimisque persecutionum fluctibus tantum non verberatas, et adeo firmatas, ut ruere nequeant, sursumque sese attollentes, nec ullis tribulationibus submergi patientes. Propter Christum enim inconcussæ stant Ecclesiæ, « et portæ inferi ipsis non prævalebunt [41]. » Quamobrem si quis insulas gentium intelligere voluerit Ecclesias ex gentibus, a scopo conveniente non deflectet.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

Καὶ ὑμεῖς, Αἰθίοπες, τραυματίαι ῥομφαίας μου ἔσεσθε.

ΚΑ'. Παντὸς διαμέμνηται γένους, ἤγουν ἔθνους πεπολεμηκότος τὸν Ἰσραὴλ, καὶ κατὰ τῆς θείας δόξης πεφλυαρηκότος. Μέτεισι τοίνυν ἐξ Ἰουδαίων καὶ Ἀμμανιτῶν ἐπὶ τοὺς Αἰθίοπας, ἢ τοὺς πρὸς ἠῶ καὶ νότον κειμένους, καὶ Περσῶν γῆς τὴν ἀγχιτέρμονα κατοικοῦντας χώραν· ἢ ἐπ' Αἰγυπτίους ὡς ὁμόρους ὄντας, καὶ γείτονας τοῖς ἐξ Ἰσραήλ. Αἰθιοπίας δὲ μοῖρα καὶ τῶν Αἰγυπτίων ἡ γῆ. Καὶ γοῦν ποταμοὺς Αἰθιοπίας ὀνομάζειν ἔθος τοῖς ἱεροῖς Γράμμασι τοὺς τῆς Αἰγυπτίων. Πίνουσι γὰρ καὶ αὐτοὶ τὸν Γηὼν, περὶ οὗ φησιν ἡ Γραφή· « Οὗτός ἐστιν ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. » Ἔσεσθε τοίνυν καὶ ὑμεῖς, Αἰθίοπες, τῆς ἐμῆς τραυματίαι ῥομφαίας. Ἑαυτοῦ δέ φησι ῥομφαίαν τὴν τῶν Ἰουδαίων, ὡς αὐτὸς ἐπάγων αὐτὴν τοῖς ἀνοσίως πεπραχόσιν εἰς τε τὴν ἑαυτοῦ δόξαν, ὡς ἔφην, καὶ μέντοι τοῦ Ἰσραήλ.

Ἐπειδὴ δὲ οἶδεν ἡ θεόπνευστος Γραφὴ, καὶ νοητοὺς Αἰθίοπας, φέρε τι καὶ ἐπ' αὐτοῖς λέγωμεν, οὐκ ἔξω βαίνοντες τῆς τῶν προκειμένων ἐννοίας. Ἔφη που ψάλλων ὁ μακάριος Δαβὶδ, ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· « Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος, ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν. » Ἀλλὰ καὶ ἑτέρωθί που· « Ἐναντίον αὐτοῦ

TOMUS POSTERIOR.

VERS. 12. *Et vos, Æthiopes, vulnerati gladio meo eritis.*

XXI. Omnium generum, sive gentium meminit, quæ Israelem armis oppugnarunt et adversus divinam gloriam deblaterarunt. A Judæis et Ammonitis igitur transit ad Æthiopas, sive ad orientem et austrum sitos, et regionem Persidi finitimam incolentes; sive Ægyptios, ut confines, et Israelitis vicinos. Est autem et Ægyptia tellus pars quædam Æthiopiæ. Quocirca Æthiopiæ flumina, Ægypti flumina Scriptura sancta consuevit nominare. Nam et ipsi bibunt fluvium Geon, de quo Scriptura dicit : « Hic est qui circuit omnem terram Æthiopiæ[42]. » Eritis itaque et vos, Æthiopes vulnerati gladio meo. Suum appellat gladium Judæorum, utpote quem ipse sceleratis ad suam et Israelis gloriam, ut dixi, inducit.

Et quia divinitus inspirata Scriptura etiam sub intelligentiam solam cadentes Æthiopas novit, age de ipsis quoque a sententia verborum nihil discedentes disseramus. Beatus David alicubi psallens, quasi Dominum nostrum Jesum Christum psallit : « Tu contrivisti **602** capita draconum in aqua. Tu confregisti caput draconis, dedisti eum escam populis Æthiopum [43]. » Quin et alibi : « Coram illo

[39] II Cor. v, 17. [39*] Act. xvii, 24; Jerem. xxiii, 24. [40] Jerem. xxiii, 23. [41] Matth. xvi, 18. [42] Gen. ii, 13. [43] Psal. lxxiii, 13, 14.

Digitized by Google

procident Æthiopes, et inimici ejus terram lingent [46]. » Quodam loco item in Cantico canticorum expressa sponsa nigram se et formosam esse profitetur [47]. » Quare Æthiopes intelligendi sunt, qui mentem quodammodo tenebrosam et splendore carentem habent, nondum illustratam et divinæ lucis expertem. Sed qui Christo supplices cadunt, quemadmodum scilicet et sponsa, ab ipso illustrantur, exclamantque orantes : « Et sit splendor Domini Dei super nos [48]. » Qui vero, sordibus non eluendis contaminati sunt, et denigrari perseverant, draconis capita depascentur (est enim illis nutrimentum draco apostata), et gladio subjacebunt, quibus verbis potissimum intelligendum puto immundos dæmonas, quos vulneravit Christus, tyrannide qua in nos sæviebant, depulsos, et jugulato cum ipsis patre tenebrarum, inventore omnis peccati, tenebris involvente infidelium animos, ne illuminatione Evangelii gloriæ Christi clarescant. Atque hoc, opinor, est, quod et ipse sapiens Isaias nobis dixit : « Et erit in die illa, inducet Deus gladium sanctum magnum et fortem super draconem, serpentem tortuosum, super draconem serpentem fugientem, et interficiet draconem [49]. »

προπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσιν. » Ὁμολογεῖ δέ που καὶ ἡ ἐν τῷ Ἄσματι τῶν ἀσμάτων τυπουμένη νύμφη μέλαινά τε εἶναι, καὶ καλή. Οὐκοῦν Αἰθίοπας νοητέον τοὺς οἱονεὶ σκοτεινήν τε καὶ ἀλαμπῆ τὴν διάνοιαν ἔχοντας, τὴν οὕπω κατηυγασμένην, καὶ τὸ θεῖον οὐκ ἔχουσαν φῶς. Ἀλλ' οἱ μὲν προσπίπτοντες τῷ Χριστῷ, καθάπερ ἀμέλει καὶ ἡ νύμφη, καταλαμπρυνόμενοι παρ' αὐτοῦ, διακεκράγασι γὰρ εὐχόμενοι· « Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. » Οἱ δὲ δυσαπόνιπτον ἔχοντες τὴν ἀκαθαρσίαν, καὶ ἐν τῷ μελαίνεσθαι μενηκότες, καταθοινήσονται μὲν τὰς τοῦ δράκοντος κεφαλάς, τροφὴ γὰρ αὐτοῖς ὁ δράκων, ὁ ἀποστάτης, ὑποκείσονται δὲ τῇ ῥομφαίᾳ, πρέπειν δὲ οἶμαι μάλιστα τὸ λέγειν τὴν δύναμιν, τοῖς ἀκαθάρτοις δαίμοσιν, οὓς τετραυμάτικεν ὁ Χριστὸς, τῆς καθ' ἡμῶν τυραννίδος ἐκβεβληκὼς, συνανελὼν δὲ αὐτοῖς τὸν τοῦ σκότους πατέρα, τὸν ἁπάσης ἁμαρτίας εὑρετὴν, τὸν κατασκοτίζοντα τὰ νοήματα τῶν ἀπίστων, εἰς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης Χριστοῦ. Καὶ τοῦτο, οἶμαι, ἐστὶν ὃ καὶ αὐτὸς ὁ σοφὸς ἡμῖν εἴρηκεν Ἡσαΐας· « Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, τὴν μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα, τὸν ὄφιν τὸν σκολιὸν, ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, καὶ ἀνελεῖ τὸν δράκοντα.

VERS. 13, 14. *Et extendam manum meam super aquilonem, et perdam Assyrium, et ponam Niniven in desolationem, sine aqua, quasi desertam. Et pascentur in medio ejus greges, et omnes bestiæ terræ, chamæleontes, et ericii in præsepibus ejus cubabunt, et bestiæ clamabunt in foveis ejus, et corvi in portis ejus.*

Καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ βορρᾶν, καὶ ἀπολῶ τὸν Ἀσσύριον, καὶ θήσω τὴν Νινευὴ εἰς ἀφανισμὸν, ἄνυδρον ὡς ἔρημον. Καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς κοίμια, καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες, καὶ ἐχῖνοι ἐν τοῖς φατναμασιν αὐτῆς κοιτασθήσονται, καὶ θηρία φωνήσει ἐν τοῖς διορύγμασιν αὐτῆς, καὶ κόρακες ἐν τοῖς πυλῶσιν αὐτῆς.

XXII. Visitabo, inquit, eorum qui in oriente et aquilone habitant, regiones et urbes, et cum aliis perdam Assyrios, desolatisque urbibus, ipsam quoque omnium sermone jactatam Niniven, Chaldæorum metropolim, adjiciam. Erit autem inaquosa, similisque terris inviis et inhabitatis. Credibile est, habitantium multitudinem iterum aquis hoc serm ne comparari ; ita enim sacra Scriptura solet. Hinc infestum Assyriorum adventum Hierosolymam alius sanctorum prophetarum prænuntians, dicebat : « Ecce aquæ veniunt ab aquilone, **603** et erunt in torrentem inundantem [50]. » Quando igitur inaquosam fore Niniven dicit, habitatoribus vacaturam illum dicere existimarim. In medio porro ejus greges pastum iri confirmat, signum, credo, istud ponens perfectæ, atque ab omnibus incolis desertæ, solitudinis. Non enim nascuntur in urbibus quæ in agris. Quod si forte etiam in urbibus herbæ nascentur, indicium apertum erit eas ab hominibus desertas prorsus. Aliorum præterea signorum immodicam multitudinem apponit. Diversaturas enim ibidem sit omnes bestias terræ, et chamæleontes atque ericios in præsepibus cubituros. Quin etiam

ΚΒ'. Ὄψομαι, . . . φησὶ, τοὺς τῶν εἰς ἑῷ καὶ βορρᾶν χώρων τε καὶ πόλεων, καὶ συνδιολῶ τοῖς ἄλλοις τοὺς Ἀσσυρίους, καὶ ταῖς ἠρημωμέναις τῶν πόλεων, καὶ αὐτὴν προσθήσω τὴν διαβόητον Νινευὴ, τὴν τῶν Χαλδαίων μητρόπολιν. Ἔσται δὲ ἄνυδρος, ταῖς ἀβάτοις καὶ ἀοικήτοις ἐν ἴσῳ γαῖς. Εἰκὸς δὲ δὴ πάλιν ὕδασιν ἐξομοιοῦν τὸν λόγον τὴν τῶν ἐνοικούντων πληθύν· ἔθος γὰρ τοῦτο τοῖς ἱεροῖς Γράμμασιν. Καὶ γοῦν τῶν Ἀσσυρίων τὴν ἔφοδον, ἣν πεποίηνται κατὰ τὴν Ἱερουσαλὴμ, ἕτερος τῶν ἁγίων προφητῶν προανακηρύττων ἔφασκεν· « Ἰδοὺ δὴ ὕδατα ἔρχεται ἀπὸ βορρᾶ, καὶ ἔσται εἰς χειμάρρουν καταπλύζοντα. » Ὅταν τοίνυν ἄνυδρον ἔσεσθαι τὴν Νινευὴ λέγει, φαίην ἂν ὅτι κενὴν ἔσεσθαι τῶν ἐνοικούντων φησί. Κατανεμηθήσεσθαί γε μὴν ἐν μέσῳ αὐτῆς κοίμια διϊσχυρίζεται, σημεῖα, οἶμαί που, τὸ χρῆμα τιθεὶς τῆς ὁλοτελοῦς ἐρημίας, καὶ τοῦτο μηδένα κατοικεῖν ἐν αὐτῇ. Φύεται μὲν γὰρ οὐκ ἐν ἄστει τὰ ἐν ἀγροῖς. Εἰ δὲ δή που γένοιντο πόαι καὶ ἐν πόλει τυχὸν, ὁμολογία τις ὥσπερ ἐστὶν ἐναργὴς τὸ πραττόμενον τοῦ κένανδρον εἶναι παντελῶς. Προστίθησι δὲ καὶ ἑτέρων σημείων οὐ μετρίαν πληθύν. Καταλύσειν γὰρ ἐν αὐτῷ φησι πάντα τὰ θηρία τῆς γῆς, χαμαιλέοντάς τε καὶ

[46] Psal. LXXI, 9. [47] Cant. I, 4. [48] Psal. LXXXIX, 17. [49] Isa. XXVII, 1. [50] Jerem. XLVII, 2.

Digitized by Google

ἐχίνους ἐν τοῖς φατνώμασι κοιτασθήσεσθαι. Καὶ μὴν καὶ ἐν τοῖς διορύγμασι, τουτέστιν, ἢ ἐν βόθροις, ἤγουν καὶ σπηλαίοις τοὺς ἀγρίους ἀναφωνήσειν θῆρας, ἐναυλισθήσεσθαι δὲ καὶ κόρακας τοῖς πυλῶσιν αὐτῆς. Ἔστι δὲ οὐδ' ἐπὶ τῶν εὖ φρονούντων ἀμφίβολον, ὡς οὔτ' ἂν ἐν οἴκοις καταλύσειαν ἐχῖνοι, οὔτε μὴν ἐν μέσῃ πόλει καταυλισθήσονται θῆρες, ἀλλ' οὐδ' ἂν ἐμφιλοχωρήσειαν αὐτοῖς πυλῶσιν οἱ νυκτικόρακες, εἰ μὴ πλείστη τις ὅση, καὶ ἀνδάνουσα λίαν τοῖς ὧδε φύσεως ἔχουσιν ὑπάρχῃ σχολή. Φιλοῦσι γάρ πως οἱ θῆρες, καὶ μέντοι τὰ ἕτερα περὶ ὧν ὁ λόγος, οὐκ ἀνθρώποις συναυλίζεσθαί ποτε, ἀλλ' ἥπερ ἂν εἴη πολλή τις ἔρημος, σχολαία τε παντελῶς ἡ δίαιτα, καὶ τῆς ἐρημίας τὸ πλάτος μονονουχὶ πρυτανεύει τὴν ἀσφάλειαν, ἔξω τε παντὸς ἀποκομίζει δέους.

A in foveis, hoc est, aut in scrobibus, aut in speluncis agrestes animantes clamaturas, et corvos in portis ejus habitaturos. Jam vero prudentes non ignorant, nec in ædibus habitare ericios, nec in media urbe stabulari feras, nec in portis libenter commorari nycticoraces, nisi plurimum quietis et otii naturæ eorum gratissimi ibi fuerit. Amant enim feræ, et reliqua de quibus sermo est animantia, nunquam commorari cum hominibus ; sed locos admodum solitarios, et ubi vivendi ratio quietissima, et solitudo lata securitatem propemodum subministrat, et omnem timorem eximit.

Εἰ δὲ χρή τι τούτοις ἐπειπεῖν ἀναγκαῖον, ἀσφαλιζώμεθα τὰς ἑαυτῶν καρδίας, καὶ τὸ προσκρούειν Θεῷ κατά τι γοῦν ὅλως παντὶ παραιτούμεθα σθένει, ἵνα μὴ γενώμεθα πονηρῶν τε καὶ ἀνημέρων ἐνδιαίτημα θηρίων, φημὶ δὴ τῶν ἀκαθάρτων πνευμάτων, ἐξῃρημένης ἡμῶν ἁπάσης ἀρετῆς. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ διὰ φωνῆς Ἱερεμίου πρὸς τὸν Ἰσραὴλ εὖ μάλα καὶ σοφῶς εἰρημένον· « Πόνῳ καὶ μάστιγι παιδευθήσῃ, Ἱερουσαλήμ, μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ, μὴ ποιήσω σε ἄβατον τὴν γῆν, » εἰ εἰσελάσει πάντως εἰς νοῦν καὶ καρδίαν τὰ βδελυρά τε καὶ ἀνόσια πάθη, καὶ οἷά τινες θῆρες ἐνδιαιτήσονται, « συνεισρήσει δὲ καὶ αὐτῇ τῶν ἀκαθάρτων πνευμάτων ἡ ἀγρία πληθύς. »

B Quod si his quidpiam necessarium adjiciendum est, muniamus corda nostra, et totis viribus in nullo penitus Deum offendere contendamus, ne malarum et immitium ferarum, immundorum, inquam, spirituum, diversorium evadamus. Atque istud, credo, est, quod per Jeremiam ad Israel recte imprimis et sapienter dicitur : « Dolore et flagello erudieris, Jerusalem, ne recedat anima mea a te, ne faciam terram te inviam, » si abominandi et impii affectus in cor intimum plane irruperint, et ut bestiæ quædam illud incoluerint, quibuscum et ipsa « immundorum spirituum fera multitudo ingredietur. »

Διότι κέδρος τὸ ἀνάστημα αὐτῆς. Αὕτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπίδι, ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς· Ἐγώ εἰμι, καὶ οὐκ ἔστι μετ' ἐμὲ ἔτι. Πῶς ἐγενήθη εἰς ἀφανισμόν, νομὴ θηρίων! Πᾶς ὁ διαπορευόμενος δι' αὐτῆς, σιριεῖ, καὶ κινήσει τὰς χεῖρας αὐτοῦ.

VERS. 15. *Quia cedrus erectio ejus. Hæc illa civitas contemptrix, quæ habitat in spe, quæ dicit in corde suo : Ego sum, et non est post me ultra alia. Quomodo facta est in desolationem, pascua bestiarum! omnis qui pertransit eam, sibilabit, et movebit manus suas.*

ΚΓ'. Ὡς ἀεὶ μέγα φρονεῖν εἰθισμένη, καὶ ὑπέρφρων, καὶ ἀλαζὼν ἡ Νινευὴ διαβέβληται. Καὶ ἦν τοῦτο κατὰ ἀλήθειαν, ὀφρὺν ἀνασπῶσα τὴν ὑπερτάτην κατὰ παντὸς ἔθνους, καὶ κατὰ πάσης ἀρχῆς, καὶ ὀλίγου παντελῶς ἀξιοῦσα λόγου τὴν Ῥωμαίων ἀρχήν. Μεμαρτύρηκε δὲ τοῦτο καὶ ὁ προφήτης Ἀμβακοὺμ περὶ τοῦ βασιλέως Ἀσσυρίων λέγων, ὅτι « Καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει, καὶ τύραννοι παίγνια αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται. » Ὅτι τοίνυν ὑπερόφρυς ἄγαν, ὑψοῦ τε ἠρμένη, καὶ ἀναφοιτῶσα λίαν εἰς τὸ ἐξήνιον ἡ τῶν Χαλδαίων μητρόπολις, διατρανοῖ πάλιν, ἀναστήματι κέδρου παρεικάζων αὐτὴν, καὶ φαυλίστριαν ὀνομάζων. Τοῦτο δ' ἂν μάθοις ὀρθῶς τε καὶ ἀληθῶς εἰρημένον ἐκ τῶν τοῦ Ῥαψάκου λόγων. Ὅς, ἐπείπερ ἦκεν εἰς τὴν Ἰουδαίαν, εἶτα τοῖς ἐν τῷ τείχει τῆς Ἱερουσαλὴμ προσλαλῶν, τῆς ἀνωτάτω κατεφλυάρει δόξης. Ἔφασκε γάρ· « Τάδε λέγει ὁ βασιλεύς· Μὴ ἀπατάτω ὑμᾶς Ἐζεχίας λόγοις, οἳ οὐ δυνήσονται ῥύσασθαι ὑμᾶς. Καὶ μὴ λεγέτω ὑμῖν Ἐζεχίας, ὅτι ῥύσεται ὑμᾶς ὁ Θεός. » Καὶ μετ' ὀλίγα· « Μὴ ἐρύσαντο οἱ θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέων Ἀσσυρίων; » Αὕτη τοίνυν ἡ φαυλίστρια πόλις, ἡ κατοικοῦσα τε καὶ λέγουσα· « Ἐγώ εἰμι, καὶ οὐκ ἔσται μετ' ἐμὲ ἔτι, »

604 XXIII. Ut se semper efferre solita, et superba, et arrogans Ninive insimulatur. Et erat revera talis, supercilium altissime tollens contra gentem quamvis, et principatum quemlibet, et omne Romanorum imperium parvipendens. Id quod etiam Habacuc propheta testatur, de rege Assyriorum loquens : « Et ipse in regibus deliciabitur, et tyranni ludibria ejus, et ipse in omnem munitionem illudet [50]. » Valde igitur superbire seseque nimium efferre, et in audacia indomita multum processisse Chaldæorum metropolim, rursum declarat, proceritati cedri eam comparans, et contemptricem appellans. Hoc recte et vere dictum discas, licet ex verbis Rabsacis. Qui ut venit in Judæam, dum in muro stantes compellat, contra supremam Dei gloriam blaterans aiebat : « Hæc dicit rex : Ne seducat vos Ezechias verbis, quæ non poterunt salvare vos. Et ne dicat vobis Ezechias, quia salvabit vos Deus. » Et post pauca : « Num liberaverunt dii gentium unusquisque regionem suam de manu regum Assyriorum [51-54] ? » Hæc igitur illa contemptrix urbs, se magnifice circumspiciens, et dicens : « Ego sum, et non erit post me amplius alia, » quoniam adeo turpem et exsecrandam arrogantiam illustri gloriæ

[50] Jerem. VI, 8. [50] Habac. I, 10. [51-54] IV Reg. XVIII, 28, 29, 33.

Digitized by Google

sibi ducit, idcirco deinceps eo miseriæ delabetur, ut de ea quoque dicatur : « Quomodo facta es in desolationem, pascua bestiarum ! » Ubi, *quomodo*, non est interrogantis, et discere cupientis; sed mutationem potius insperatissimam admirantis. Magna siquidem et improvisa mala admirationem movent, et intuentes, sive cognoscentes obstupefacere solent. Ita etiam sibilabit quisque super ista, et movebit manus, complodens eas, opinor, admiratione plaudens, et sibili sonum inarticulatum profundens. Quodammodo autem bellissime improvisis calamitatibus quasi attonitum nobis hoc loco depingit. « Superbis igitur Deus resistit [55]; » et sapiens atque acceptabile præceptum est : « Ne exalta te ipsum, ne cadas [56]; » et rursum : « Qui excelsam facit domum suam, quærit contritionem [57]. » Quemadmodum enim ædificia in altitudinem multum et ultra mensuram exsurgentia, facilius concutiuntur, maximamque suspicionem efficiunt, ne in semetipsa corruant : sic et anima hominis, **605** cogitationum inanitate ad superbiam tumefacta et inflata, debilitatur, et parvo momento evertitur, ac facile cadit. Quod si res Deo auspice agatur, tum jam nihil obnitetur.

Ἐπειδὴ τὴν οὕτως αἰσχρὰν καὶ ἐπάρατον ἀλαζονείαν ἐν καυχήματος τάξει λαμπροῦ ποιεῖσθαι ὀφείλει, ταύτῃτοι λοιπὸν πρὸς τοῦτο ἀθλιότητος κατοχήσεται, ὡς καὶ ἐπ' αὐτῇ χρῆναι λέγειν · « Πῶς ἐγενήθης εἰς ἀφανισμὸν, νομὴ θηρίων ! » Τὸ δὲ πῶς εἴη ἂν οὐκ ἐρωτῶντος, καὶ ἀναμαθεῖν ἐθέλοντος, τεθαυμακότος δὲ μᾶλλον τὴν ἐλπίδος ἐπέκεινα μεταβολήν. Τὰ γάρ τοι μεγάλα καὶ ἀδόκητα τῶν κακῶν οὐκ ἔξω θαύματος, φιλεῖ δέ πως καταπλήττειν τοὺς θεωμένους, ἤτοι τοὺς μεμαθηκότας. Οὕτω καὶ συριεῖ πᾶς ἐπ' αὐτῇ, καὶ κινήσει τὰς χεῖρας, συμπλήττων ἀλλήλαις, καθάπερ ἐγῷμαι, καὶ ἀνακροτῶν ἀπὸ τοῦ θαυμάσαι, καὶ ἠχὴν ἐκ στόματος ἰείς, τὴν ἐν συριγμῷ, καὶ ἀσημοτέραν. Γράφει δὲ ὥσπερ ἡμῖν καὶ διὰ τούτων εὖ μάλα τὸν ἐπ' ἀδοκήτοις συμφοραῖς οἰονεὶ καταπεπληγμένον. « Ὑπερηφάνοις οὖν ἄρα Θεὸς ἀντιτάσσεται, » καὶ σοφὸν εἶναί φημι, καὶ ἀξιάκουστον τὸ παράγγελμα, « Μὴ ἐξύψου σεαυτὸν, ἵνα μὴ πέσῃς, » καὶ πάλιν · « Ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν. » Ὅπερ γὰρ τρόπον τὰ εἰς ὕψος πολὺ, καὶ πέρα μέτρου διανιστάμενα τῶν οἰκοδομημάτων, ἑτοιμότερά πως εἰς κλῖνόν εἰσι, πλείστην τε ὅσην τὴν ὑποψίαν τοῦ σφισιν αὐτοῖς περιθραυσθήσεσθαι νοσεῖ · οὕτω καὶ ἀνθρώπου ψυχὴ τῇ τῶν λογισμῶν ματαιότητι πρὸς ὑπεροψίαν ἐξογκουμένη, σαθρά τε καὶ εὐανάτρεπτος, καὶ ῥᾳδία πεσεῖν. Εἰ δὲ δὴ πράττοιτο τὸ χρῆμα κατὰ Θεὸν, τὸ τηνικάδε λοιπὸν τὸ ἀντερεῖδον οὐδέν.

CAPUT III.

VERS. 1. *Væ, illustris et redempta civitas, columba !*

XXIV. Quare, inquit, tota reddita est despicatissima, miserabilis et captiva, quæ tam erat illustris et conspicua, quæ omnibus gentibus imperabat, et per ludum vincebat repugnantes, eratque præfracta semper, et nihil cedens adversariis, apparatuque bellico instructis? Quæ multis signis et portentis ab Ægyptiorum servitute vindicata est, et intolerando jugo cervicem subduxit : cujus causa fluvii in sanguinem conversi sunt, grando et tenebræ Ægypto nocuerunt, cui mare quoque armatum persecutores interemit, et mille insuper admirabilia contigerunt. « O civitas columba, » hoc est, longe pulcherrima. Divinitus enim inspirata Scriptura semper hoc genus avis ad pulchritudinem declarandam assumit : sicuti nimirum et sponsam, quæ in Canticis fingitur, sub nomine columbæ sponsus cohonestare voluit : « Surge, inquit, veni, amica mea, formosa mea, columba mea [58]. » Fuit autem multo elegantissima Hierosolyma, quod et divina lege claresceret, et sacerdotii præclara dignitate insigni appareret : exerceret etiam justitiam, et eum qui natura Deus est adoraret, ipsique cultum tribueret. Hæc autem pulchritudo spiritualis est. Poteris autem et alio sensu intelligere Jerusalem columbam esse appellatam. Solet enim avis hæc, quamvis remotissime a dulcissimo sibi nido asportata, opportunitatem nacta, domum ad

ΚΕΦΑΛ. Γ'.

Ὢ ἡ ἐπιφανὴς καὶ ἀπολελυτρωμένη ἡ πόλις ἡ περιστερά !

ΚΔ'. Ἵνα τί γὰρ ὅλη, φησὶν, ἀτιμοτάτη γέγονεν, οἰκτρὰ, καὶ αἰχμάλωτος, ἡ οὕτω λαμπρὰ, καὶ διαφανὴς, ἡ παντὸς ἔθνους κατακρατήσασα, καὶ νικῶσα μὲν ἀμογητὶ τοὺς ἀνθεστηκότας, σκληρά τε ἀεὶ, καὶ δυσάντητος τοῖς ἀντεξάγειν ἐθέλουσι, καὶ τὸν πολέμου νόμον ἐξωπλισμένοις; Ἡ πολλοῖς σημείοις καὶ τέρασι τῆς Αἰγυπτίων θητείας ἐκλελυτρωμένη καὶ τῆς ἀφορήτου πλεονεξίας ἐκλύσασα τὸν αὐχένα · δι' ἣν ποταμοὶ μὲν εἰς αἷμα μετακεχωρήκασι, χάλαζα δὲ καὶ σκότος τὴν τῶν Αἰγυπτίων κατεσίνοντο γῆν, ᾗ καὶ θάλασσα συνωπλίζετο, καταπλήττουσα τοὺς δωϊκοντας, μυρία τε ὅσα πρὸς τούτοις γέγονεν ἀξιάγαστα. « Ὢ ἡ πόλις ἡ περιστερὰ ! » τουτέστιν, ἡ περικαλλεστάτη. Δέχεται γὰρ ἀεί πως ἡ θεόπνευστος Γραφὴ τὸ στρουθίον εἰς εὐειδίαν · καθάπερ ἀμέλει καὶ τὴν ἐν τῷ Ἄσματι πλαττομένην νύμφην τῷ τῆς περιστερᾶς ὀνόματι κατασεμνύνειν ἤθελεν ὁ νυμφίος, « Ἀνάστα, λέγων, ἐλθὲ, ἡ πλησίον μου, καλή μου, περιστερά μου. » Περικαλλεστάτη δὲ λίαν ἡ Ἱερουσαλὴμ, διάτοι τῷ τε θείῳ λελαμπρύσθαι νόμῳ, καὶ τοῖς τῆς ἱερωσύνης αὐχήμασιν ὁρᾶσθαι διαπρεπῆ, ἐπασκεῖν δὲ καὶ δικαιοσύνην, καὶ Θεῷ τῷ κατὰ φύσιν προσκυνεῖν, καὶ αὐτῷ τελεῖν τὰς λατρείας. Κάλλος δὲ τοῦτο πνευματικόν. Δύναιο δ' ἂν καὶ ἑτέρως περιστερὰν εἰρῆσθαι νοεῖν τὴν Ἱερουσαλήμ. Ἔθος γὰρ τῷ πτηνῷ, κἂν εἴ τις αὐτὸ τῆς φιλτάτης αὐτῷ καλιᾶς ἀποκομίσῃ ἀπωτάτω, εἶτα δοίη τῇ πτήσει καιρὸν,

[55] Jac. IV, 6; I Petr. V, 5. [56] Prov. XXVII, 2. [57] Prov. XVII, 16. [58] Cant. I, 10.

Digitized by Google

ἀναθεῖν οἴκαδε πάλιν, καὶ ἀνακομίζεσθαι εἰς τὰ οἰκεῖα. Ὃ δὴ γεγονὸς καὶ ἐπ' αὐτῆς εὑρήσομεν τῆς Ἱερουσαλήμ. Ἔχουσα γὰρ ἐκ προγόνων τὸ εὐσεβὲς, καταπεφοίτηκε μὲν εἰς Αἴγυπτον. Ἐκβαίνουσα δὲ ὥσπερ τὴν ἐκ πατέρων λατρείαν, ἐκεῖ προσκεκύνηκεν εἰδώλοις. Ἀλλὰ κέκληται διὰ Μωσέως, καὶ ἀπέπτη τρόπον τινὰ τῆς Αἰγύπτου πλάνης, παλινδρομήσασα πρὸς Θεόν. Ἀλλὰ γὰρ τίς ἡ αἰτία, φησὶ, τοῦ καὶ ὅλως ἁλῶναι τυχὸν, καὶ ὑφ' ἑτέρους γενέσθαι πάλιν τὴν λελυτρωμένην;

Οὐχ εἰσήκουσε φωνῆς.

ΚΕ'. Ἤκουσε γὰρ ἐν τῷ ὄρει Σινᾶ τοῦ Θεοῦ λέγοντος· « Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. » Παρατρέχουσα δὲ τὸ διάγγελμα, κατώλισθεν ἀμαθῶς εἰς πολύθεον πλάνησιν. Οὐκοῦν οὐκ εἰσήκουσε φωνῆς, ἣ τῆς ἐν τῷ ὄρει Σινᾶ πρὸς αὐτὴν γεγενημένης, ἤγουν τὴν φωνὴν ἀντὶ νουθεσίας παραδεξόμεθα.

Οὐκ ἐδέξατο παιδείαν.

ΚΖ'. Περιυβρίζουσα γὰρ τὸν παιδαγωγοῦντα νόμον, καὶ ἀποκομίζοντα πρὸς δικαιοσύνην, ἐτράπετο πρὸς διδασκαλίας καὶ ἐντάλματα ἀνθρώπων, καὶ ταῖς ἰδίαις ἀκολουθοῦσα γνώμαις, ἔξω γέγονε τῆς εὐθείας ὁδοῦ, καὶ ἀπομεμένηκεν ἀμαθὴς, καὶ τῶν θείων ἀμοιροῦσα παιδευμάτων.

Ἐπὶ τῷ Κυρίῳ οὐκ ἐπεποίθει.

ΚΖ'. Πολέμου γὰρ, καὶ ἀγῶνος ἐγκειμένου, καὶ κινδύνων ἀπηρτημένων, δέον αὐτὴν τὴν τῶν προγόνων εὐσέβειαν ἀπομιμεῖσθαι, φιλεῖν καὶ ἐπὶ μόνῳ πεποιθέναι τῷ διασώζοντι Θεῷ, « Αἴγυπτον ἐπεκαλεῖτο, » κατὰ τὸ γεγραμμένον, « καὶ εἰς Ἀσσυρίους ἐπορεύθησαν, » καὶ κατεμισθοῦτο Σύρους ἤγουν Ἄραβας· μονονουχὶ τὴν θείαν ἀτιμάζουσα δύναμιν.

Καὶ πρὸς τὸν Θεὸν αὐτῆς οὐκ ἤγγικεν.

ΚΗ'. Ἐγγίζομεν δὲ τὸν Θεὸν διὰ πάσης ἐπιεικείας, καὶ τὰ αὐτῷ δοκοῦντα κατορθοῦν ἠρημένοι. Ἐγγίζομεν δὲ καὶ καθ' ἕτερον τρόπον, αὐτὸν εἶναι μόνον φύσει τε καὶ ἀληθῶς Θεὸν, καὶ βασιλέα τῶν ὅλων, καὶ δημιουργὸν πιστεύοντες, καὶ ἐπ' αὐτῷ τὸ σύμπαν ἕτερον οὐδένα παραδεχόμενοι.

Οἱ ἄρχοντες αὐτῆς ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι.

ΚΘ'. Ἀπαριθμεῖται τὰ ἐγκλήματα, καὶ παράγει τὰς αἰτίας, ἐφ' αἷς εἰκότως κεκίνηται καὶ κέκλιται πρὸς ὀργὰς, ἵνα δὴ φαίνοιτο λοιπὸν κολάζων ἐν δίκῃ τοὺς ἠσεβηκότας, καὶ καθιγμένους εἰς τοῦτο φαυλότητος, ὡς ἀφόρητον ἤδη πως τὸ χρῆμα καὶ αὐτῷ γενέσθαι Θεῷ. « Ἦσαν οὖν, φησὶ, οἱ ἄρχοντες αὐτῆς ὡς λέοντες. » Τί δὲ δὴ δρῶσιν ἐκεῖνοι; Λιμοῦ καταθήγοντος, καὶ εἰς ἔφεσιν αὐτοὺς καλοῦντος τροφῆς, ὄρη τε καὶ νάπας περιθέουσιν, εὐσθενῶς δεινόν τι καὶ ἀπηχὲς καταβρυχώμενοι· κἂν εἴ πού τι θεάσαιντο τῶν ἐπιτηδείων εἰς βρῶσιν, οἷον βροντῇ κατηχήσαντες, εἰς δέος ἄγουσι τοσοῦτον, ὡς ἀποπεπῆχθαι δο-

A sua revolare atque reverti. Quod et in ipsa Hierosolyma factum comperimus. Nam cum a majoribus pietatem in Deum ut hæreditatem accepisset, in Ægyptum descendit. Deinde velut egressa quam a patribus didicerat Deo serviendi rationem, illic idola adoravit. Sed per Mosen evocata, avolavit quodammodo ab Ægypti superstitione ad Deum recurrens. Cæterum, quæ causa est, inquit, ut tota pene capta sit, subjecta aliis rursum, quæ libertatem consecuta fuerat?

VERS. 2. *Non audivit vocem.*

606 XXV. Audivit enim in monte Sina Deum dicentem: « Audi, Israel, Dominus Deus tuus Dominus unus est [59]. Non facies tibi idolum, neque ullius simulacrum, quæcunque in cœlo sursum, et quæcunque in terra deorsum, et quæcunque in aquis sub terra [60]. » Quo præcepto violato, in errorem ad multos deos colendos stulte præceps abiit. Quamobrem non audivit vocem, aut in monte Sina ad se factam, aut admonitionem, quam vocis nomine accipiemus.

Non suscepit disciplinam.

XXVI. Legem enim, a qua instituebatur, et ad justitiam deducebatur, contumeliosissime aspernata, conversa est ad doctrinas et mandata hominum, et suam secuta voluntatem, a recta via deflexit, mansitque imperita et divinarum institutionum expers [61].

In Domino non est confisa.

XXVII. Bello enim et certamine ingruente, et periculis impendentibus, cum ipsam majorum pietatem imitari oporteret, et cupide in solo Deo, qui salvat, confidere, « Ægyptum invocarunt, » sicut scriptum est, « et ad Assyrios abierunt [62], » et mercede Syros, sive Arabas conduxit, divinam virtutem propemodum despectui habens.

Et ad Deum suum non appropinquavit.

XXVIII. Deo appropinquamus per omne genus bonitatis, et si omnia quæ ille probat, fideliter exsequi cœperimus. Alia item via appropinquamus, si ipsum solum natura et vere Deum, et regem opificemque universorum credamus, et præter illum prorsus neminem alium suscipiamus.

VERS. 3. *Principes ejus in ea velut leones rugientes.*

XXIX. Enumerat scelera, et causas adducit, ob quas merito commotus et ad iras conversus sit Deus, ut de cætero appareat eum jure punire impios, et eo improbitatis progressos, ut ipse quoque tolerare eos amplius nequiverit. « Erant igitur, inquit, principes ejus ut leones. » Quid faciunt leones? Fame illos ad appetitum cibi acriter stimulante, montes et saltus percursant, horribile et absonum valide rugientes: et sicubi aliquid viderint ad escam idoneum, velut tonitru insonantes, id eo timoris adigunt, ut frigore gelatum, et tanquam laqueis constrictum, epulonem exspectare videatur.

[59] Deut. VI, 4. [60] Exod. XX, 2-4. [61] Isa. XXIX, 13; Tit. I, 14. [62] Osee VII, 11.

Digitized by Google

607 Hoc autem quidam principes in Israel faciebant, mortem lege transgressoribus definitam nonnunquam etiam innoxiis allaturos minitantes, nisi quæ ipsis collibuissent, præstare vellent, et concedebant accusantibus aliis, imo ipsos litigatores possessionibus eorum deturbabant. Etenim et per alium prophetam hujusmodi scelera illis objicit, Michæam nempe : « Facti sunt cogitantes labores, et operantes mala in cubilibus suis, et simul cum die consummabant ea, quia non levaverunt ad Dominum manus suas. Et desiderabant agros, et diripiebant pupillos, et domos opprimebant, et diripiebant virum et domum ejus, virum et hæreditatem ejus [62].»

Rugiunt autem et hæresum architecti quodammodo contra eos, qui in fide simplici vitam degunt; ac Deo invisum os aperientes, ignaros velut devorant, dum eos imperitiores reddunt, et ineptas ac perversas opiniones illis inserunt, fabulantes ita, et quod sibi probatur, ad idem probandum alios impellentes, ut ipsorum laqueis capti, quasi morte exstincti, et paululum a lapidibus inanimis differre videantur. Quibus quispiam congruentissime acclamet illud : « Surge, qui dormis, et exsurge a mortuis, et illuminabit te Christus [63]. » Verumtamen secundum beatum Davidem, « Deus conteret dentes eorum in ore ipsorum, molas leonum confregit Dominus [64]. »

Judices ejus sicut lupi Arabiæ, non dimittebantur in mane.

XXX. Aiunt lupos in Arabia feris omnibus immaniores esse, vexarique fame inexplebili, ad cursum autem adeo celeres, ut facile quemvis insequentem antevertant. Ait et alicubi per alium prophetam de equis Babylonicis : « Velociores super lupos Arabiæ [65]. » Assumit igitur in præsentia luporum insatiabilitatem ad descriptionem judicum, velut totis faucibus et dentibus inexpletis litigantes consumentium, quia longe plurima et supra facultatem poscunt, ut a justitia declinent, et ut quod divinæ legi consentaneum est, ad aliorum quorumdam libidinem impie detorqueant. Atqui conducebat magis eos cogitare illud Parœmiastæ : « Accipientis munera in sinum, non prosperabuntur viæ. Dona enim excæcant oculos sapientum, et pervertunt verba justa [67], » **608** quod exstat in sanctis Litteris. Nam quid tandem præclarum affert, accipere munera? Quid, quæso, turpe lucellum sui cupidos juvabit? Quinimo quod illis detrimentum non dabit? Etenim verum est illud beati Pauli : « Qui autem volunt divites fieri, incidunt in tentationem, et laqueum, et desideria multa inutilia et nociva, quæ mergunt homines in interitum et perditionem [68].» — «Melius igitur nomen bonum, quam

A κεῖν, καὶ οἷόν τι σικάλοις· ἐνεσφιγμένον, περιμένειν τὸν δαιτυμόνα. Τοῦτο δέ τινες ἔδρων τῶν ἡγουμένων ἐν Ἰσραὴλ, τὸν ἐκ νόμου θάνατον τοῖς παραβαίνουσιν ὡρισμένον, ἐπιφέρειν ἔσθ' ὅτε καὶ τοῖς πλημμελοῦσιν οὐδὲν ἀπειλοῦντες, εἰ μὴ δῷεν ἕλοιντο τὰ αὐτοῖς θυμήρη τε καὶ φίλα, καὶ παραχωροῦντες ἐγκαλοῦσιν ἑτέροις, ἦγουν αὐτοὺς τοὺς δικάζοντας κτήσεων ἰδίων ἐξιστάμενοι. Καταγράφει γὰρ αὐτῶν τὰ τοιάδε τῶν κακῶν, καὶ δι' ἑτέρου προφήτου, λέγων, Μιχαίας δὲ οὗτος· « Ἐγένοντο λογιζόμενοι κόπους, ἐργαζόμενοι κακὰ ἐν ταῖς κοίταις αὐτῶν, καὶ ἅμα τῇ ἡμέρᾳ συνετέλουν αὐτά, διότι οὐκ ἦραν πρὸς τὸν Θεὸν χεῖρας αὐτῶν. Καὶ ἐπεθύμουν ἀγροὺς, καὶ διήρπαζον ὀρφανοὺς, καὶ οἴκους κατεδυνάστευον, καὶ διήρπαζον ἄνδρα, καὶ τὸν οἶκον αὐτοῦ, ἄνδρα καὶ τὴν κληρονομίαν
B αὐτοῦ. »

Καταβρυχῶνται δὲ ὥσπερ τῶν ἐν ἁπλῇ πίστει βιοῦν ἠρημένων καὶ οἱ τῶν αἱρέσεων εὑρεταὶ, καὶ θεοστυγὲς ἀνοίγοντες στόμα, τοὺς οὐδὲν εἰδότας μονονουχὶ κατεσθίουσιν ἀμαθεστέρους ἀποτελοῦντες, καὶ ψυχρὰς αὐτοῖς, καὶ διεστραμμένας ἐνιέντες ἐννοίας, καταμυθολογοῦντες δὲ οὕτως, καὶ τό γέ σφισιν αὐτοῖς εὖ ἔχειν ὑπειλημμένον, φρονεῖν ἀναπείθοντες, ὡς ἤδη δοκεῖν τοὺς τοῖς παρ' αὐτῶν ἐναλόντας βρόχοις, τάχα που καὶ ἐκτεθνάναι, καὶ λίθοις ὀλίγα τοῖς ἀναισθήτοις παραχωρεῖν, οἷς ἂν τις ἐπιφωνήσειε, καὶ μάλα εἰκότως· « Ἔγειραι, ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Πλὴν, ὥς φησιν ὁ μακάριος Δαβὶδ, « Ὁ Θεὸς
C συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν, τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ Κύριος. »

Οἱ κριταὶ αὐτῆς ὡς λύκοι τῆς Ἀραβίας, οὐχ ὑπελίποντο εἰς τὸ πρωΐ.

Λ'. Φασὶ τοὺς ἐν Ἀραβίᾳ λύκους παντὸς ἐπέκεινα θηρὸς ἰέναι πρὸς ἀγριότητα, κατηρρωστηκέναι τε λίαν τὸ ἀκόρεστον εἰς τροφὰς, ὀξεῖς δὲ οὕτως εἰς δρόμον, ὡς ἀποφοιτᾷν εὐκόλως παντὸς τοῦ διώκοντος. Ἔφη γάρ που καὶ δι' ἑτέρου προφήτου περὶ τῶν ἐκ Βαβυλῶνος ἵππων· « Ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας. » Δέχεται τοίνυν εἰς τὸ παρὸν τὴν τῶν λύκων ἀπληστίαν εἰς ὑποτύπωσιν τῶν κριτῶν, οἷον ὅλῳ στόματι καὶ ἀκορέστοις ὀδοῦσι καταδαπανώντων τοὺς κρινομένους, διὰ τοῦ πλείστά τε ὅσα καὶ τὰ
D ὑπὲρ δύναμιν ἐξαιτεῖν ἐπὶ τῇ τοῦ δικαίου παραστροπῇ, καὶ ἵνα τὸ τῷ θείῳ νόμῳ δοκοῦν εἰς τὸ ἑτέροις τισὶν ἀνδάνον ἀνοσίως παρευθύνοιντο. Ἀλλ' ἦν ἄμεινον ἐννοεῖν αὐτοὺς, ὅτι καθά φησιν ὁ Παροιμιαστής· « Λαμβάνοντος δῶρα ἐν κόλποις οὐ κατευοδοῦνται ὁδοί. Τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, καὶ λυμαίνεται ῥήματα δίκαια, » κατὰ τὸ γεγραμμένον. Τί γὰρ ὅλως τὸ περιττὸν ἐκ δωροδοκίας; Τί δὲ τὸ αἰσχρὸν ὀνήσει λημμάτιον τοὺς ἀγαπῶντας αὐτό; Μᾶλλον δὲ ποίαν ἂν αὐτοῖς ζημίαν οὐκ ἐνεργάσαιτο; Καὶ γὰρ ἔστιν ἀληθὴς ὁ μακάριος Παῦλος, λέγων· « Οἱ δὲ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμὸν, καὶ παγίδα, καὶ ἐπιθυμίας πολλὰς ἀνονήτους, καὶ βλαβερὰς, αἵτινες βυθίζουσι τοὺς ἀνθρώ-

[62] Mich. II, 1, 2. [63] Ephes. V, 14. [64] Psal. LVII, 7. [65] Habac. I, 8. [67] Prov. XVII, 23; Deut. XVI, 19. [68] 1 Tim. VI, 9.

Digitized by Google

πους εἰς ὄλεθρον καὶ ἀπώλειαν. » — « Αἱρετὸν οὖν ὄνομα καλὸν ἢ πλοῦτος πολύς, » καὶ ἔστιν ἀληθῶς σοφὸς ὁ λίαν καὶ ἀτρεκὴς ὁ λόγος.

A divitiæ multæ [69], » sane sapienter admodum et cum veritate dictum est.

Οἱ προφῆται αὐτῆς Πνευματοφόροι, ἄνδρες καταφρονηταί.

ΛΑ'. Εὖγε τὸ αὐτῆς ἐπὶ προφητῶν ἐνθάδε, ὅτι μὴ γεγόνασι Θεοῦ, λαλοῦντες ἐπισφαλῶς, τὰ « ἀπὸ καρδίας αὐτῶν, καὶ οὐκ ἀπὸ στόματος Κυρίου, » κατὰ τὸ γεγραμμένον. Κατειρωνεύεται δὲ ὁ λόγος, *Πνευματοφόρους* ἀποκαλῶν, οὐχ ὡς ἐν μεθέξει γεγονότων ἐκείνων τοῦ ἁγίου Πνεύματος ἀληθῶς, ἀλλ' ὡς πλάττεσθαι τολμώντων τὸ τῆς προφητείας χάρισμα, καὶ ὅτι μεμέστωνται τοῦ ἁγίου Πνεύματος οὐ κατοκνούντων εἰπεῖν. Ἐθέλοντες τοίνυν εἶναι, φησὶ, καὶ προφῆται, καὶ Πνευματοφόροι, καὶ τὸ σεμνὸν οὕτως ὄνομα ταῖς σφῶν αὐτῶν περιπλάττοντες κεφαλαῖς, τοσοῦτον γεγόνασι καταφρονηταί, ὡς μηδὲ ὅτι ποτ' ἐστὶ τὸ ἐπιεικὲς εἰδέναι, προσαπολλύναι δὲ καὶ ἑτέρους, οἷς ἐλάλουν τὰ ἀπὸ καρδίας, καὶ τοῦτο, ἐπὶ σμικροῖς καὶ εὐτελεστάτοις λημματίοις οἱ τάλανες, καὶ ὡς ὁ προφήτης φησὶν Ἰεζεχιήλ· « Ἕνεκεν δρακὸς κριθῆς, καὶ κλάσματος ἄρτου. » Καὶ ἀποπληξίας δὲ πρὸς τοῦτο κατώλισθον, ὡς τῆς ἀπορρήτου δόξης βουλὰς εἶναι λέγειν τὰς ἑαυτῶν, καὶ τὰ ἀπὸ γνώμης ἰδίας ἀποπραττόμενα ῥήματα, θείους εἶναι λόγους διϊσχυρίζεσθαι. Καὶ γοῦν ἔφασκε περὶ αὐτῶν διὰ τῆς Ἱερεμίου φωνῆς· « Οὐκ ἀπέστελλον τοὺς προφήτας, καὶ αὐτοὶ ἔτρεχον· οὐδὲ ἐλάλησα πρὸς αὐτούς, καὶ αὐτοὶ προεφήτευον. » Αὐτοῦ δὲ τοῦ προφήτου διακεκραγότος ἐναργῶς, καὶ λέγοντος· « Ὁ ὢν, Δέσποτα Κύριε, ἰδοὺ οἱ προφῆται αὐτῶν προφητεύουσι καὶ λέγουσιν· Οὐκ ὄψεσθε μάχαιραν, καὶ λιμὸς οὐκ ἔσται ἐν ἡμῖν, ὅτι ἀλήθειαν καὶ εἰρήνην δώσω ἐπὶ τῆς γῆς, καὶ ἐν τῷ τόπῳ τούτῳ· » μονονουχὶ καὶ ἀντεκεκράγει λέγων ὁ τῶν ὅλων Θεός· « Ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου. Οὐκ ἀπέστειλα αὐτούς, καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλησα πρὸς αὐτούς· ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας, καὶ οἰωνίσματα, καὶ προαιρέσεις καρδίας αὐτῶν αὐτοὶ προφητεύουσιν ὑμῖν. Εἰ προφῆταί εἰσι, καὶ εἰ ἔστι λόγος Κυρίου ἐν αὐτοῖς, ἀπαντησάτωσάν μοι. Τί τὸ ἄχυρον πρὸς τὸν σῖτον; οὕτως οἱ λόγοι μου, λέγει Κύριος. Οὐχ οἱ λόγοι μου ὥσπερ πῦρ φλέγον, λέγει Κύριος, καὶ ὡς πέλυξ κόπτων πέτραν; » Καθικνεῖται γὰρ εἰς νοῦ βάθος ὁ παρὰ Θεοῦ λόγος, καὶ μονονουχὶ διαῤῥήγνυσι τὴν τῶν ἀκρωμένων καρδίαν· ψυχρὸς δὲ καὶ ἀναλκὶς ὁ ἐξ ἀνθρώπου βουλῆς, ὁποῖός τις ἦν ὁ τῶν ἀνοσίων ψευδοπροφητῶν.

Vers. 4. *Prophetæ ejus portantes Spiritum, viri contemptores.*

XXXI. Recte hic super prophetis ejus, non esse Dei, loquentes incerta, « de cordibus suis, et non ex ore Domini, » ut scriptum est [70]. Vocat autem *Spiritum portantes*, ut dissimulanter illudat. Non quod donorum illorum Spiritus sancti revera participes fuerint; sed quia prophetiæ donum fingere ausi sunt, nec veriti dicere se sancto Spiritu plenos esse. Volentes igitur esse prophetæ, inquit, et Spiritum portantes, et tam augustum nomen sibi falso ascribere, tales facti sunt contemptores, ut neque scirent quid tandem esset bonitas, et iis quæ de cordibus suis loquebantur, alios secum perderent miseri, idque propter parvos et vilissimos quæsticulos, atque, ut propheta Ezechiel ait, « Propter pugillum hordei et fragmentum panis [71]. » Ita porro insaniverunt, ut cogitata sua ineffabilis majestatis esse dicerent, et ex mente sua effutita verba, divinos sermones esse confirmarent. Proinde per Jeremiam de ipsis dicebat: « Non mittebam prophetas, et ipsi currebant; neque loquebar ad eos, et ipsi prophetabant [72] » Clamante autem propheta ipso manifeste, et dicente: « Qui es, Domine dominator, ecce prophetæ prophetant, et dicunt: Non videbitis gladium, et fames non erit in vobis, quia veritatem et pacem dabo in terra, et in loco isto [73], » tantum non contra clamat universorum Deus his verbis: « Falsa prophetizant prophetæ in nomine meo. Non misi eos, et non præcepi eis, et non sum locutus ad eos; quia visiones mendaces, et divinationes, et auguria, et electiones cordis sui ipsi prophetizant vobis. Si prophetæ sunt, et si est sermo Domini **609** in eis, occurrant mihi. Quid palea ad triticum? sic verba mea dicit Dominus. Nonne verba mea, sicut ignis comburens, dicit Dominus, et sicut securis incidens petram [74]? » Penetrat enim animum sermo divinus, et corda audientium tantum non dirumpit: frigidus autem et invalidus, qui ex humana voluntate proficiscitur, qualis impiorum prophetarum erat.

Οἱ ἱερεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια, καὶ ἀσεβοῦσι εἰς τὸν νόμον.

ΛΒ'. Οὐκ ἔξω μομφῆς οὐδὲ αὐτὸ πεφώραται τὸ ἀπόλεκτον γένος, τουτέστι, τὸ ἐκ φυλῆς Λευί. Βεβηλοῦν δὲ καὶ αὐτοὺς τὰ ἁγιά φησι, καὶ ἀσεβεῖν εἰς νόμον. Γέγραπται μὲν γὰρ, ὅτι « Χείλη ἱερέων φυλάξετσι κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτῶν. » Ἀλλ' ὡς αὐτός που πάλαι φησὶ ὁ τῶν ὅλων Δεσπότης· « Οἱ ἱερεῖς οὐκ εἶπον· Ποῦ ἐστι Κύριος; » Τὸ μέν τοι μὴ βούλεσθαι διατρανοῦν τὸν νόμον, τοῖς

D *Sacerdotes ejus polluunt sancta, et impie agunt in legem.*

XXXII. Ne ipsum quidem genus electum, de tribu Levi nimirum, immune a culpa deprehenditur. Ipsum quoque profanare sancta, et impie agere in legem affirmat. Scriptum est enim: « Labia sacerdotum custodiunt judicium, et legem requirent ex ore eorum [75]. » Verum, ut ipse universorum Dominus rursum alicubi dixit: « Sacerdotes non dixerunt: Ubi est Dominus [76]? » Porro nolle declarare

[69] Eccle. VII, 2. [70] Jerem. XXIII, 16; Ezech. XIII, 17. [71] Ezech. XIII, 19. [72] Jerem. XXIII, 21. [73] Jerem. XIV, 13. [74] Ibid. 14-16. [75] Malach. II, 7. [76] Jerem. II, 6.

Digitized by Google

legem nescientibus ipsam, neque incumbere ad subjectum populum reducendum ad placita Dei, hoc, opinor, est impie agere in legem. Neque hic sistunt eorum crimina : « Sed polluunt etiam sancta, » inquit. Lex enim per Mosen data plurimas circa sacrificia et oblationes cæremonias habet, quando quælibet et quonam modo peragenda sit. Illi vero pro eo ac débebant, sacrificia faciebant, verumtamen incaute, et negligenter, nec tempus, nec formam sibi servandam censentes. Ac neque sanctificati fortasse, neque indumentis pro statu ipsorum sacerdotali cooperti, et debitum in modum ornati, sacra peragebant, quasi inutile quidpiam tam venerandum et admirabile ministerium nihil facientes.

A οὐκ εἰδόσιν αὐτὸν, μή τε μὴν ἀποκομίζειν ἐπείγεσθαι τοὺς ὑπὸ χεῖρα λαοὺς εἰς τὸ ἀνδάνον Θεῷ, τοῦτο, οἶμαι, ἐστὶ τὸ ἀσεβεῖν εἰς νόμον. Καὶ οὐ μέχρι τούτου τὰ ἐκείνων ἐγκλήματα· « ἀλλὰ γὰρ καὶ « βεβηλοῦσι τὰ ἅγια, » φησί. Ὁ μὲν γὰρ διὰ Μωσέως νόμος πλείστην ἔχει τὴν ἐπιτήρησιν περὶ θυσιῶν, καὶ προσαγωγῆς, ἡνίκα γε ἑκάστην, καὶ τίνα χρὴ τρόπον ἀποπεραίνεσθαι. Οἱ δὲ, κατὰ τὸ εἰκὸς, προσεκόμιζον μὲν τὰς θυσίας, πλὴν ἀφυλάκτως καὶ ἀμελῶς. οὐ καιρὸν, οὐ τύπους ἀξιοῦντες ἐπιτηρεῖν. Ἀλλ' οὐδὲ ἡγνισμένοι τάχα, οὔτε μὴν ἐν ἐσθήμασι τοῖς σφῶν ἱεροπρεπῶς ἐσταλμένοι, καὶ ἐν κόσμῳ δρῶντες τὰ ἱερὰ, ἀτιμάζοντες δὲ ὥστε τῶν ἀχρείων τὴν οὕτω σεπτὴν, καὶ ἀξιάγαστον λειτουργίαν.

Cavendum est igitur Ecclesiæ sacerdotibus, ne polluant sancta : modus autem pollutionis haud unus, sed multus ac diversus. Esse enim oportet mundos et anima et corpore, et repellere omne genus abominandæ voluptatis, et studiis bonorum operum splendescere, memores illius divini Pauli : « Spiritu ambulate, et desideria carnis non perficietis [77]. »

B Παραφυλακτέον δὴ οὖν τοῖς τῆς Ἐκκλησίας ἱερουργοῖς, μὴ βεβηλοῦν τὰ ἅγια· τρόπος δὲ τῆς βεβηλώσεως οὐχ εἷς, διάφορος δὲ, καὶ πολύς. Δεῖ γὰρ εἶναι κεκαθαρμένους καὶ ψυχὴν, καὶ σῶμα, καὶ πᾶν εἶδος ἀποσειομένους βδελυρᾶς ἡδονῆς, ἠγλαϊσμένους δὲ μᾶλλον τοῖς εἰς ἀγαθοεργίαν σπουδάσμασι, μεμνημένους λέγοντος τοῦ θεσπεσίου Παύλου· « Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. »

Vers. 5. *At Dominus justus in medio ejus, et non faciet iniquitatem. Mane, mane judicium suum dabit in luce. Et non absconditus est, et non scit iniquitatem in exactione, et non iniquitatem in contentionem.*

Ὁ δὲ Κύριος δίκαιος ἐν μέσῳ αὐτῆς, καὶ οὐ μὴ ποιήσῃ ἄδικον. Πρωΐ, πρωΐ δώσει κρῖμα αὐτοῦ εἰς φῶς. Καὶ οὐκ ἀπεκρύβη, καὶ οὐκ ἔγνω ἀδικίαν ἐν ἀπαιτήσει, καὶ οὐκ εἰς νεῖκος ἀδικίαν.

XXXIII. Implacabile quodammodo inter injustum et justitiam est dissidium, nec unquam puritati **610** cum impuro conveniet. « Quæ enim societas luci ad tenebras [78] ? » Pugnant enim res istæ invicem, et multum ab amicitia mutua eas distare videas licet. Cum ergo Deus omnium Dominus diligat justitiam, et iniquitatem nesciat, quomodo semper vim obtinére, seu ad finem perduci poterant, non amputata prorsus scelestissima Judæorum crimina? Videtur enim quoddam genus improbitatis, peccatorem supplicio non subjicere, nec pœnas exigere ab eo, qui vitam suam nefarie et impie instituerit, legemque pro nihilo putarit, adeoque in flagitia se abjecerit ut probitatem et innocentiam nec pili faciat, et summo decori sibi ducat, quorum causa erubescere videri consentaneum erat. Quoniam igitur « justus Dominus in medio ejus, et non faciet iniquitatem, » nec enim patietur iniquitatem committere solitos, « mane, mane faciet judicium suum, » hoc est mane, et manifeste, et velut jam claro die, non amplius cohibens vindictam, sed in medium adducens, manifestamque reddens, et prænuntiata tanquam ante oculos constituens. Nec enim sinet currere iniquitatem in contentionem. *In contentionem*, in ultionem, sive universe significat. Punitis namque impiis, omnis iniquitas quiescet. Non enim amplius habebit a quibus factitetur. Oportet igitur quibus vere mens integra est, ita

C ΑΓ'. Ἀσύμβατον δέ πως ἀεὶ τῷ ἀδίκῳ τὸ δίκαιον, καὶ οὐκ ἂν ἴοι κατὰ ταυτὸν τῷ βεβήλῳ τὸ καθαρόν. « Τίς γὰρ ἂν γένοιτο κοινωνία φωτὶ πρὸς σκότος; » μάχεται γὰρ τὰ τοιάδε τῶν πραγμάτων, καὶ πόρρω τῆς ἀλλήλων φιλίας διῳκισμένα κατίδοι τις ἂν αὐτά. Ἠγαπηκότος δὴ οὖν τὴν δικαιοσύνην, καὶ οὐκ εἰδότος ἀδικίαν τοῦ πάντων κρατοῦντος Θεοῦ, πῶς ἀεὶ κρατήσειν ἔμελλον, ἦγουν διεξάγεσθαι πρὸς πέρας, οὐκ ἀνακοπτόμενα παντελῶς τὰ παμμόχθηρα τῶν Ἰουδαίων ἐγκλήματα; Δοκεῖ δέ πως ἀδικίας εἶναί τις τρόπος, τὸ μὴ ποιναῖς ὑποφέρειν τὸν ἁλιτήριον, καὶ τὸ μὴ δίκας αἰτεῖν τὸν ἀσελγῶς τε καὶ ἀνοσίως διαβιοῦν ἠρημένον, καὶ πεφροντικότα μὲν τὸν νόμον οὐδὲν, διανενευκότα δὲ οὕτω πρὸς ἀδικίαν, ὡς οὐδὲν ἡγεῖσθαι τὸ ἄμεινον, αὖχημά τε ποιεῖσθαι λαμπρὸν D τὰ ἐφ' οἷς ἦν εἰκὸς ἐρυθριῶντας ὁρᾶσθαι. Ἐπειδὴ τοίνυν δίκαιος ὁ Κύριος ἐν μέσῳ αὐτῆς, καὶ οὐ μὴ ποιήσῃ ἄδικον· οὐ γὰρ ἀνάσχοιτο τῶν ἀδικεῖν εἰωθότων· « πρωΐ, πρωΐ ποιήσει τὸ κρῖμα αὐτοῦ, » τουτέστιν ὄρθρου τε καὶ ἐμφανῶς, καὶ ὡς ἐν ἡμέρᾳ λοιπὸν, οὐκέτι συστέλλων τὰ τῆς ὀργῆς, ἀλλ' εἰς μέσον ἄγων, καὶ ἐμφανῆ καθιστὰς, καὶ οἷον ἐν ὄψει τιθεὶς τὰ προεπηγγελμένα. Οὐ γὰρ ἐάσει δραμεῖν εἰς νεῖκος ἀδικίαν. Τὸ *εἰς ἐκδίκησιν*, ἦγουν εἰσάπαν ὑπὲρ δηλοῖ. Κεκολασμένων γὰρ τῶν ἠσεβηκότων, πεπαύσεται πάντως τῆς ἀδικίας ὁ τρόπος· οὐ γὰρ ἔχει τοὺς δρῶντας ἔτι. Δεῖ τοίνυν τοὺς γε ἀληθῶς ἀρτίφρονας, ... ὅτι φιλοδίκαιος ὁ

[77] Galat. v, 16. [78] II Cor. VI, 14.

Digitized by Google

Δεσπότης, καὶ οὐκ ἀνάσχοιτο τῶν πλημμελούντων ἀδίκως. Ἀλλ' εἰ μέν τις ἴοι πρὸς μετάγνωσιν, καὶ τὸ ἐπὶ τοῖς ἰδίοις πλημμελήμασι καταστάξοι δάκρυον, ἡμερωτάτῳ περιτεύξεται, καὶ ἐξαιτήσει τὴν ἀμνηστίαν, καὶ ἔξω δραμεῖται βρόχων, καὶ τοῦ κολάζεσθαι δεῖν. Εἰ δὲ ἄτεγκτος εἴη, καὶ δυσμετακόμιστον ἔχων τὴν γνώμην εἰς γε τὸ δεῖν ἐλέσθαι τὰ πρεπωδέστερα, τοῖς ἰδίοις ἐνιζήσει πταίσμασιν, μᾶλλον δὲ καὶ ἐναπολεῖται λοιπὸν, καὶ ὑπὸ κίνησιν ἔσται τὴν δεσποτικὴν, ὅτι μὴ μέχρι παντὸς τῶν πλημμελούντων ἀνέχεται.

Ἐν διαφθορᾷ κατέσπασα ὑπερηφάνους, ἠφανίσθησαν γωνίαι αὐτῶν. Ἐξερημώσω τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν, τοῦ μὴ διοδεύειν. Ἐξέλιπον αἱ πόλεις αὐτῶν, παρὰ τὸ μηδένα ὑπάρχειν, μηδὲ κατοικεῖν.

ΛΔ'. Ἐπειδὴ γὰρ, ὡς ἔφην, οἱ μὲν ἱερεῖς ἐβεβήλουν τὰ ἅγια, ἠσέβουν δέ τινες καὶ εἰς αὐτὸν τὸν νόμον, «ὁ δὲ Κύριος ἐν μέσῳ αὐτῆς, πρωΐ, πρωΐ ἐποίησε τὸ κρῖμα αὐτοῦ. » Καὶ ποῖον δὴ τοῦτό ἐστι, « Κατέσπασεν ὑπερηφάνους ἐν διαφθορᾷ; » Τουτέστι, παρέδωκεν εἰς φθορὰν τοὺς ἀλαζόνας καὶ ὑβριστάς. Ἡ γὰρ οὐκ ἀλαζόνες, οἱ θεομαχεῖν εἰωθότες, καὶ τοῖς διὰ Μωσέως θεσπίσμασι τὸ οἰκεῖον ὥσπερ ἀντεξάγοντες θέλημα, καὶ ὀλίγα μὲν κομιδῇ τῶν θείων πεφροντικότες νόμων, ἀποκλίνοντες δὲ πρὸς τὸ ἄγαν ἐξήνιον, καὶ λέγοντες τῷ Κυρίῳ· « Ἀπόστα ἀπ' ἐμοῦ, ὁδούς σου εἰδέναι οὐ βούλομαι; » Εἶτα πῶς ἐνδοιάσειέ τις εἴπερ ἐστὶ « πτωχὸς τῷ πνεύματι, καὶ ταπεινὸς τῇ καρδίᾳ, » κατὰ τὸ γεγραμμένον, ὁ εὐφυὴς (1), καὶ εὐήνιος, καὶ πολὺ βλέπων εἰς εὐπείθειαν, ὃν καὶ ἐποπτείας ἀξιοῖ; Καὶ γοῦν ἔφη δι' ἑνὸς τῶν ἁγίων προφητῶν ὁ τῶν ὅλων Θεός· « Καὶ ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντα τοὺς λόγους μου; » Οὐκοῦν κατεσπάσθη μὲν εἰς φθορὰν τὸ ὑπέροφρυ γένος. « Ἠφανίσθησαν δὲ καὶ αἱ γωνίαι αὐτῶν. » Καὶ γωνίας οἶμαι που τὰ τείχη λέγεσθαι νῦν, καὶ τὰς τῶν πόλεων περιβολάς. Ὑψηλαὶ γὰρ ἀεί πως αἱ γωνίαι, πύργους ἔχουσαι διαφανεστάτους. Ὅμοιον οὖν ἄρα τυχὸν εἰ καὶ λέγοι πάλιν· Ἔρημοι τειχῶν αἱ παρ' αὐτοῖς ἔσονται πόλεις. Ἐπηπείλησε δὲ πρὸς τούτοις καὶ ἐξερημοῦν τὰς ὁδοὺς αὐτῶν, δῆλον δὲ ὅτι τοῦ Ἰσραὴλ, τοῦ μὴ διοδεύειν τὸ παράπαν. Καί μοι δοκεῖ βούλεσθαί τι τοιοῦτον ὑποδηλοῦν. Ὁ διὰ Μωσέως προστέταχε νόμος, εἰ τελοῖτο κατὰ καιροὺς ἡ ἑορτὴ τῆς Σκηνοπηγίας, ἐκ πάσης τῆς Ἰουδαίων χώρας ἀναβῆναι εἰς Ἱεροσόλυμα, καὶ πληροῦν ἐκεῖσε τὰ νενομισμένα. Ὅτε τοίνυν κατεσείσθησαν αἱ πόλεις, καὶ ἀπολωλέκασι οἱ ἐν αὐταῖς, τότε καὶ ἠρημῶσθαί φαμεν τὰς ὁδοὺς, ὡς οὐδενὸς ἔτι δι' αὐτῶν ἐρχομένου, καὶ πρός γε τὸ χρῆναι πληροῦν τὴν τεταγμένην αὐτοῖς ἑορτὴν, κατὰ καὶ πρώην, διάττοντος. Πέπτωκε γὰρ εἰς τοῦτο ταλαιπωρίας τὰ τῶν Ἰουδαίων τάγματα, ὡς μὴ εἶναι τοὺς ἑορταζόντας (2), μήτε μὴν ἐν εὐπα-

A statuere, Dominum esse amantem justitiæ, nec perpeti inique delinquentes: sed si quis ad pœnitentiam se contulerit, et propter peccata sua lacrymas fuderit, mitissimum sentiet, et ut admissorum in se obliviscatur impetrabit, et laqueos ac supplicia effugiet. Sin quis voluntate inflexibilis adduci ad honestiora non potuerit, vivet in delictis suis, vel potius peribit in illis, et Dominum in se concitabit, qui peccantibus haud semper connivet.

B

Vers. 6. *In corruptione detraxi superbos, dissipati sunt anguli eorum. Desolabo vias eorum penitus, ne transeant. Defecerunt civitates eorum, eo quod nihil subsisteret, neque habitaret.*

XXXIV. Postquam enim, ut dixi, sacerdotes sancta polluerunt, et quidam in legem impie egerunt, « Dominus in medio ejus in mane judicium suum fecit. » Quidnam istud sibi vult, « Detraxit superbos in corruptione? » Hoc est, tradidit in corruptionem arrogantes et protervos. An enim arrogantes non sunt qui Deo bellum facere consueverunt, et adversus oracula per Mosen **611** data propriam voluntatem quasi quamdam aciem dirigunt, divinarumque legum cura soluti, ac mire contumaces, dicunt Deo: « Recede a me, vias tuas scire nolo [79]? » Deinde quomodo quis dubitaverit, num sit « pauper spiritu, et humilis corde, » ut scriptum est [80], qui est bonæ indolis, et modestus, et ad obedientiam propensus, super quem et respicere dignatur? Ac proinde per unum sanctorum prophetarum universorum Deus dicit: « Et super quem respiciam nisi super humilem et quietum, et trementem sermones meos [81]? » Itaque detractum est in corruptionem genus hominum superbum. « Dissipati sunt item anguli eorum. » Angulos hoc loco muros dici existimo, urbiumque cinctus. Semper enim sublimes aliquantum anguli sunt, qui turres habent maxime conspicuas. Idem est igitur forte, ac si rursum dicat: Urbes eorum destitutæ mœnibus erunt. Præterea minatur, se desolaturum vias eorum, Israelis videlicet, ut penitus non transeant. Ubi tale quid subindicari existimo. Lex Mosis jussit, si celebraretur suis temporibus festum Scenopegiæ (Tabernaculorum), ut ex tota Judæa Hierosolymam ascenderent, et ibi legibus sancita obirent [82]. Quando igitur eversæ sunt urbes, et earum incolæ perierunt, tunc etiam desolatas esse vias dicimus, utpote nemine in posterum per eas transeunte, et ad celebrandum festum illis constitutum, sicut prius, occurrente. Huc enim miseriarum populus Judæorum devolutus est, ut non essent, qui festa peragerent, nec indulgere genio possent, qui vix evasissent et bello superfuissent. Quare Jeremias istud lamenta-

C

D

[79] Job xxi, 14. [80] Matth. v, 3, 7. [81] Isa. lxvi, 2. [82] Deut. xvi, 15 seqq.

(1) Auberlus, εὐφοής. Edit

(2) Ἐργάζοντας ed. Auberti. Ed.

Digitized by Google

tionum suarum partem fecit, cum ait : « Viæ Sion lugent, eo quod non sint qui veniant ad diem festum [83]. » Hoc vere dictum, quod in contextu proposito mox sequitur, declarabit. « Defecerunt civitates eorum, eo quod nihil subsisteret, neque habitaret. » — « Horrendum est ergo incidere in manus Dei viventis [84]. » Nam cum illum peccatis mordicus addicti ad iram provocaverimus, tunc, tunc, et quidem justissime, a superbiæ criminibus comprehensi, in corruptionem detrahemur, et superno complexu nudati, tanquam captu commodum, et sine muris cor nostrum in nobis ipsis inveniemus, et insuper justitiæ vias non inveniemus. **612** Facile autem hæc mala effugiet, qui parere Domini voluntati non detrectaverit, et delicatam ei cervicem animæ subjecerit.

A θεῖαις εἶναι δύνασθαι τοὺς ἀνασωθέντας μᾶλις, καὶ ἐκ τοῦ πολέμου περιλελειμμένους. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας μοῖραν ἐποιεῖτο τῶν θρήνων τὰ χρήματα λέγων· « Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ. » Ὅτι δὲ ἀτρεκὴς ὁ λόγος αὐτὸ πάλιν ἡμῖν σαφηνιεῖ τὸ προκείμενον. Ἐπιφέρει γὰρ εὐθύς· « Ἐξέλιπον αἱ πόλεις, διὰ τὸ μηδένα ὑπάρχειν, μηδὲ κατοικεῖν. » — « Φοβερὸν οὖν ἄρα τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος. » Παροτρύνοντες γὰρ αὐτὸν διά γε τοῦ πλημμελεῖν ἐλέσθαι, καὶ τοῦτο ἀσχέτως, τότε δή, τότε, καὶ μάλα δικαίως, τοῖς τῆς ὑπεροψίας ἐγκλήμασιν οἱονεί πως ἐνειλημμένοι, κατασπώμεθα πρὸς διαφθοράν, καὶ γυμνοὶ τῆς ἄνωθεν ἐσόμεθα περιβολῆς, εὐάλωτον ὥσπερ, καὶ ἀτείχιστον ἐν ἑαυτοῖς τὴν καρδίαν εὑρήσομεν, καὶ πρός γε δὴ τούτοις τὰς τῆς δικαιοσύνης οὐχ εὑρήσομεν ὁδούς. Ἀπονεύσει δ' ἂν εὐκόλως τῶν τοιῶνδε κακῶν ὁ δεσποτικοῖς θελήμασιν ἀκολουθεῖν ἠρημένος, καὶ τρυφερὸν ὑπέχων αὐτῷ τῆς ψυχῆς τὸν αὐχένα.

VERS. 7. *Dixi : Verumtamen timete me, et suscipite disciplinam, et non peribitis ex oculis ejus, omnia quæ ultus sum super eam.*

B *Εἶπα· Πλὴν φοβεῖσθέ με, καὶ δέξασθε παιδείαν, καὶ οὐ μὴ ἐξολοθρευθῆτε ἐξ ὀφθαλμῶν αὐτῆς, πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν.*

XXXV. Iterum docere conatur ipsos capitibus suis pœnas ab irato Deo accersisse convinci posse. Admonuit enim vivere in timore Dei, et suscipere disciplinam, per legem et prophetas videlicet, sæpe jussit. Sic enim, non aliter, iram divinam amoliri decebat, et depellere quæ evenerunt. Quia vero Israel pertinax, durus et immorigerus erat, et disciplinam neglexit, hoc est, sapientiam non est adeptus : « Periit quasi ex oculis ejus, » cum in bonis illis præceptis habitare semper, atque ad omnia Deo grata promptus esse debuisset. Licebat enim sic effugere, inquit, « Omnia quæ ultus sum super eam. » Quando e mentibus nostris divinum timorem ejici- C mus, quando disciplinam repudiamus, et esse sapientes in minimis ponimus, tunc plane illa patiemur quæ contemptoribus debentur. Tunc etiam ulciscetur Deus, et impietatis pœnas repetet. Meminerimus igitur necesse est cujusdam dicentis : « Timor Domini apponit dies. Timor Domini gloria et gloriatio [85]. » Est etiam castus, hoc est, castos faciens, « et permanens in sæculum sæculi, » juxta vocem Psalmographi [86].

ΛΕ'. Ὅτι πάλιν αὐτοὶ ταῖς σφῶν κεφαλαῖς τὰ ἐς ὀργῆς καταχέοντες ἀλοῖεν ἄν, πειρᾶται διδάσκειν. Νενουθέτηκε μὲν γάρ, τὸ χρῆναι διαβιοῦν ἐν φόβῳ Θεοῦ πλειστάκις προστεταχὼς, καὶ ὅτι προσήκει δέξασθαι παιδείαν, δῆλον δὲ ὅτι τὴν διὰ νόμου καὶ προφητῶν. Ἦν γὰρ οὕτως, καὶ οὐχ ἑτέρως, ἀποστρέφεσθαι τὴν ὀργὴν, καὶ ἀποκρούσασθαι τὰ συμβεβηκότα. Ἐπειδὴ δὲ ἦν ἄτεγκτος ὁ Ἰσραὴλ, σκληρὸς, καὶ δυσάγωγος, ἐκπέπτωκε δὲ τῆς παιδείας, τουτέστιν, ἔξω γέγονε τοῦ εἶναι σοφὸς, « Ὠλόθρευται ὥσπερ ἐξ ὀφθαλμῶν αὐτῆς, » καί τοι δέον ἐμφιλοχωρεῖν ἀεὶ τοῖς ἀγαθοῖς παιδεύμασι, καὶ πρὸς πᾶν ὁτιοῦν ἑτοίμως ἔχειν τῶν ἀρεσκόντων Θεῷ. Ἐξῆν γὰρ οὕτως ἐκκλῖναι, φησὶ, « πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν. » Ὅτε τοίνυν τῆς ἑαυτῶν διανοίας τὸν θεῖον ἐκπέμπομεν φόβον, ὅτε παραιτούμεθα τὴν παιδείαν, καὶ ὀλίγου παντελῶς ἀξιοῦμεν λόγου τὸ εἶναι σοφοὶ, τότε δὴ πάντως ἐκεῖνα πεισόμεθα, ἅπερ ἂν πρέπῃ τοῖς εἰωθόσι καταφρονεῖν. Τότε καὶ ἐκδικήσει Θεὸς, καὶ τοὺς τῆς ἀνοσιότητος αἰτήσει λόγους. Διαμεμνῆσθαι δὴ οὖν ἀναγκαῖον λέγοντός τινος, ὅτι « Φόβος Κυρίου ζωὴν ποιεῖ. Φόβος Κυρίου, δόξα καὶ καύχημα. » Ἔστι δὲ καὶ ἁγνὸς, τουτέστιν, ἀγνοποιὸς, « διαμένων εἰς αἰῶνα αἰῶνος, » κατὰ τὴν τοῦ Ψάλλοντος φωνήν.

Præparare, consurge diluculo. Corruptus est omnis racemus eorum.

Ἑτοιμάζου, ὄρθρισον, ἐφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν.

XXXVI. Quoniam enim non suscepisti, inquit, a me disciplinam, et sprevisti, atque odisti in timore D Domini et probis actionibus vitam transigere, instruere ad excipiendum, et ad patiendum jam quæ effugere potuisses, si virtutem dilexisses, sapienterque illam ultro arripuisses. Diluculo porro consurgere jubet, ut tempus calamitatis ante fores esse demonstret, et quasi cras venturum et omnino cum aurora adfuturum. Hoc est spem dilationis eripere, nec sinere cogitare, fore inducias, et moram, et longum intercessurum tempus, quod fortasse ad

ΛΖ'. Ἐπειδὴ γὰρ οὐκ ἐδέξω, φησὶ, τὴν παρ' ἐμοῦ παιδείαν, ἀπώσω δὲ, καὶ μεμίσηκας καὶ τὸ ἐν φόβῳ ζῆν, καὶ ἐπιεικείαις, εὐτρεπίζου πρὸς ἀναδρομὴν, καὶ πρὸς τὸ ἤδη παθεῖν, ἃ διαφυγεῖν ἐξὸν, εἴπερ ἤσθα φιλάρετος, καὶ σοφῶς ἁρπάζων ἐθελοντής. Ὀρθρίζειν γε μὴν προστέταχε, τῆς συμφορᾶς τὸν καιρὸν ἐπὶ θύραις ὄντα δεικνύων, καὶ οἷον εἰς αὔριον ἥξοντα, παρεσόμενόν τε πάντως, ἀρξομένης ἠοῦς. Τοῦτο ἦν ἀποκείροντος τὴν ἐλπίδα τῆς ἀναβολῆς, καὶ οὐκ ἐῶντος ἐννοεῖν, ὡς ἔσται τις ἀνακωχὴ, καὶ ἀνάβλησις, καὶ μακρὸς μεταξὺ διελάσει καιρὸς, εἰς ἐκγόνους

[83] Thren. I, 4. [84] Hebr. X, 31. [85] Prov. X, 27; Eccli. I, 11. [86] Psal. XVIII, 10.

Digitized by Google

τάχα που παραπέμπων τὰ ἐξ ὀργῆς. Οὐκοῦν ὡς ἐπ' ἀναγκαίῳ πράγματι προετοίμαζε σεαυτὸν, καὶ ὅρθριζε πρὸς ἀποδρομήν. Οἰχήτει γὰρ εἰς ἐχθροὺς αἰχμάλωτος, καὶ τὴν ἐνεγκοῦσαν ἀφεὶς, ἔσῃ παρ' ἑτέροις. Εἶτα τῷ προφήτῃ φησὶν ὁ τῶν ὅλων Θεὸς, μονονουχὶ καὶ ἐπιστυγνάζων ἐαλωκόσι· « Διέφθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν. » Τί δ' ἂν βούλοιτο καὶ τοῦτο δηλοῦν, ἐροῦμεν ὡς ἔνι. Πεπορθήκασι τὴν Σαμάρειαν, καὶ ἑτέρας δὴ πρὸς αὐτῇ τῆς Ἰουδαίας πόλεις τῶν Βαβυλωνίων οἱ τύραννοι, καὶ Φοῦλα μὲν πρῶτος, εἶτα μετ' αὐτὸν ὁ Σαλμανασὰρ, καὶ τρίτος Σεναχειρείμ. Ὥσπερ δὲ ἀμπελῶνα τετρυγηκότες ἀνεκομίζοντο πάλιν εἰς τὴν αὐτῶν, ἐν ὀλίγοις παντελῶς λειψάνοις ἀφέντες τὸν Ἰσραὴλ, καὶ οἷον ἐπιφυλλίδα μόνην αὐτοῖς καταλελοιπότες. Ἐπιφυλλίδα δὲ εἶναί φαμεν τὰ μικρὰ τῶν βοτρύων, καὶ ἐν ὀλίγαις ὄντα ῥᾳξὶν, ἃ καὶ τοῖς φύλλοις ἐγκεχωσμένα διαλανθάνει πλειστάκις τὸν τοῦ συλλέγοντος ὀφθαλμόν. Καί τι τοιοῦτόν φησι ἕτερος τῶν ἁγίων προφητῶν· « Οἴ μοι ψυχὴ, ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμητῷ, καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ, οὐχ ὑπάρχοντος βότρυος τοῦ φαγεῖν τὰ πρωτόγονα. » Οὐκοῦν τετρυγήκασι μὲν ἐκεῖνοι, ἀφιγμένος δὲ μετ' αὐτοὺς ὁ Ναβουχοδονόσορ, καὶ αὐτὴν διέφθειρε τὴν ἐπιφυλλίδα, καὶ τὸ βραχὺ τοῦ Ἰσραὴλ ἀποτρυγήσας λείψανον, οἰκαδέ τε ἀνέθει, καὶ διετέλει μεγαλαυχούμενος. Καὶ γοῦν ὁ προφήτης Ἱερεμίας ἁλοῦσαν τὴν Ἱερουσαλὴμ κατεθρήνει, λέγων περὶ τῶν ἠρημωκότων· « Εἰσέλθοι πᾶσα ἡ κακία αὐτῶν κατὰ πρόσωπόν σου. Ἐπιφύλλισον αὐτοὺς, ὃν τρόπον ἐπεφύλλισάν με. » Καὶ πάλιν· « Ἴδε, Κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας οὕτως, εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν. Ἐπιφυλλὶς ἐποίησε μάγειρος. »

A posteros cladem transmittat. Itaque ut in re necessaria præpara teipsum, et diluculo ad fugam surge. Captivus **613** enim ad hostes abibis, relictaque patria apud alios deges. Deinde universorum Deus prophetæ dicit, captivorum causa tantum non contristatus : « Corruptus est omnis racemus eorum. » Quorum verborum sententiam pro viribus dicemus. Babyloniorum tyranni Samariam, aliasque præterea Judææ urbes, devastarunt, Phula primus, post illum Salmanasar, tertius Senacherib. Velut autem facta vindemia in regnum suum redierunt. Israeli modicas admodum reliquias, et tanquam racemum unum relinquentes. Racemos esse dicimus botros minores, paucis acinis constantes, qui sub foliis latentes, frequenter oculos legulorum fallunt. B Ac tale quiddam alius sanctorum prophetarum: « Heu mihi, anima, quia factus sum sicut qui congregat stipulam in messe, et sicut racemum in vindemia, cum non sit botrus ad comedendum primitiva [87]. » Ergo illi vindemiarunt. Postea adventu suo Nabuchodonosor ipsum quoque racemum corrupit, paucitatemque illam reliquiarum Israelis cum vindemiasset, domum recurrit, indeque semper ut de magnis gloriatus est. Igitur propheta Jeremias captam Hierosolymam deplorans, de desolatis ita loquitur : « Ingrediatur omne malum eorum ante faciem tuam. Vindemia eos, quemadmodum vindemiaverunt me [88]. » Et rursum : « Vide, Domine, et respice cui vindemiaveris ita, si comedent mulieres fructum ventris eorum. Racemum fecit coquus [89]. »

Ὅταν τοίνυν παροτρύνωμεν τὸν Θεὸν, τότε καὶ ἀπάσης ἐπικουρίας ἐστερημένοι, καὶ φειδοῦς ἀπογυμνούμενοι, δοθησόμεθα τοῖς ἐχθροῖς, καὶ οὐδὲν ἐν ἡμῖν ἀρετῆς ἢ ἐπιεικείας λείψανον ἀπομενεῖ, ἀποτρυγῶντος τοῦ Σατανᾶ πᾶν ὅσον ἐστὶν ἐν ἡμῖν ἀγαθὸν, καὶ οἷον ἐπιφυλλίδα συλλέγοντος, καὶ αὐτάς που τάχα τὰς εἰς νοῦν ἐπιθυμίας, τὰς ἐπί γε τὸ κατορθοῦν ἐλέσθαι τὴν ἀρετὴν ἐπιφερούσας.

C Quando igitur Deum irritaverimus, tunc omni auxilio privati, et venia nudati, hostibus trademur, nullæque nobis virtutis aut bonitatis reliquiæ remanebunt, vindemiante Satana totum quod in nobis est bonum, et veluti racemum colligente, et fortassis ipsa quoque desideria, quibus ad virtutis munera probe fungenda impellimur.

Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον.

Vers. 8. *Propterea expecta me, dicit Dominus, in die resurrectionis meæ in testimonium.*

ΛΖ'. Ἐπειδὴ γὰρ τῶν θείων ἐνταλμάτων ἠφειδηκότες δέδονται τοῖς ἐχθροῖς, καὶ εἰς χεῖρας πεπτώκασι τοῦ καὶ αὐτὴν ἀπολέσαντος τὴν ἐπιφυλλίδα, λοιπὸν ὑπομεῖναι προστέταχε, καὶ τλῆπαθεῖν, εὐσθενῶς πεπονθότας τὴν δουλείαν, ἄχρις ἂν διεγερθῇ πρὸς ἐπικουρίαν αὐτοῖς, ἣν διὰ τῶν ἁγίων προφητῶν μονονουχὶ καὶ διεμαρτύρατο, καὶ προαπήγγελκεν ἐναργῶς, ὡς ἔσται κατὰ καιρούς. Ἡμέραν οὖν « ἀναστάσεως τῆς εἰς μαρτύριον » τὸν τῆς ἐπικουρίας σημαίνει καιρὸν, ἣν ὡς ἥξει πάντως προδιεμαρτύρατο. Καὶ ὁ μὲν τῆς ἱστορίας οὑτοσὶ λόγος.

XXXVII. Postquam divinorum mandatorum contemptores traditi sunt hostibus, et in manus illius inciderunt, qui ipsum racemum perdidit, de cætero expectare jubet, et tolerare, **614** constanterque servitutem perpeti, donec ad auxilium ipsis ferendum exsurgat, quod per sanctos prophetas tantum non testatus est, et aliquando futurum manifeste pronuntiavit. Diem itaque « resurrectionis in testimonium » intelligi vult tempus auxilii, quod omnino allatum iri tanto ante testificatus est. Et historice quidem ita res habet.

D

Ἐκβεβηκέναι γε μὴν εἰς δήλωσιν μυστηρίου τοῦ κατὰ Χριστὸν τὴν τῶν προκειμένων θεωρίαν φαμὲν, βούλεσθαί τε καταδηλοῦν τῆς λυτρώσεως τὸν καιρὸν, τῆς καθόλου καὶ γενικωτάτης, τουτέστι, τῆς διὰ

Verborum autem propositorum considerationem ad mysterium Christi significandum tendere dicimus, et liberationis communis maximeque universalis, per Christum scilicet peragendæ, tempus

[87] Mich. VII, 1. [88] Thren. I, 22. [89] Thren. II, 20.

Digitized by Google

ostendere. Olim enim post septuaginta annos ad opem illa patientibus ferendam universorum Deus surrexit, in extremis autem sæculi temporibus factus est homo Unigenitus, non solum ut eximeret Israel, sed ut omnes gentes jugo diaboli solutas in libertatem vindicaret, et a corruptione ac sordibus peccati liberaret, et ante alia adoratione creaturæ præter Creatorem. Postquam autem homo natus est, « Substinuit crucem, confusione contempta [90], » ut sanguine suo acquireret Deo et Patri viventes adhuc, et quos jam mors absorbuerat, juxta id quod scriptum est : « In hoc enim Christus et mortuus est, et resurrexit, ut mortuorum et vivorum dominaretur [91]. » Merito igitur antiquioribus dictum est : « Propterea exspecta me, dicit Dominus, in diem resurrectionis meæ in testimonium. » Testimonium autem quoddam destructæ mortis est, Christum revixisse, cum quo et nos ipsi excitati a mortuis sumus, justificati per fidem [92], et una cum morte ipsius mortis matrem peccatum effugientes.

Quia judicium meum in congregationes gentium, ut suscipiam reges, ut effundam super eos omnem iram furoris mei. Quia in igne zeli mei consumetur omnis terra.

XXXVIII. Chaldææ genti vastitatem a Cyro et ejus in bello auxiliariis illatam minatur, qui quidem Babyloniorum urbes incursabant, et in omnes impressionem maxime horribilem faciebant. Erit igitur, inquit, judicium meum in congregationem gentium, ut etiam suscipiam reges, sine dubio nominatos, ad puniendas per ipsos congregationes **615** gentium, illorum copiis et robore, et omni genere crudelitatis majorem in modum humiliatas et afflictas. « Effundam enim super eos, inquit, omnem iram furoris mei. » Verum est enim, magna et enormia peccata non vulgari iracundia puniri a Deo : sed quantum unumquemque peccasse invenerit, tantam ab eo pœnam reposcit. Tantum autem non incendio absumptum iri res Chaldæorum declarat, cum ait : « In igne zeli mei devorabitur omnis terra. » Qualis autem zelus, aut in quibus tandem, propheta Zacharias demonstrat : « Hæc dicit Dominus omnipotens : Zelavi Jerusalem et Sion zelo magno, et ira magna ego irascor super gentes quæ superimpositæ sunt, pro eo quod ego quidem iratus sum modicum, ipsi vero superpositi sunt in mala [93]. » Verba igitur recitata, ad historicum sensum quod attinet, ad hunc modum explanabimus.

Possunt etiam aliter intelligi, si considerationem alio, nempe ad Christi mysterium, transferamus. Ait enim in his quæ jam lecta sunt : « Propterea exspecta me, dicit Dominus, in diem resurrectionis meæ in testimonium, quia judicium meum in congregationes gentium, ut suscipiam reges, ut effundam

Χριστοῦ. Πάλαι μὲν γὰρ τῶν ἑβδομήκοντα τετελεσμένων ἐτῶν ἐγήγερται πρὸς ἐπικουρίαν τοῖς ἐκεῖνο πεπονθόσιν ὁ τῶν ὅλων Θεός, ἐν ἐσχάτοις γε μὴν τοῦ αἰῶνος καιροῖς γέγονεν ἄνθρωπος ὁ Μονογενής, οὐχ ἵνα μόνον ἐξέληται τὸν Ἰσραὴλ, ἀλλ' ἵνα πάντα τὰ ἔθνη τῆς ὑπὸ τῷ διαβόλῳ δουλείας ἀπαγαγὼν, ἐλευθέρους ἀποφήνῃ, καὶ ἀπαλλάξῃ φθορᾶς καὶ ῥύπου ἁμαρτίας, καὶ πρό γε τῶν ἄλλων τοῦ προσκυνεῖν τῇ κτίσει παρὰ τὸν κτίσαντα. Καὶ ἐπειδὴ γέγονεν ἄνθρωπος, « Ὑπέμεινε σταυρὸν, αἰσχύνης καταφρονήσας, » ἵν' αἵματι τῷ ἰδίῳ κατακτήσηται τῷ Θεῷ καὶ Πατρὶ τούς τε ζῶντας ἔτι, καὶ οὓς ἤδη φθάσας κατέπιεν ὁ θάνατος, κατὰ τὸ γεγραμμένον. Εἰς τοῦτο γὰρ ὁ Χριστὸς καὶ ἀπέθανε, καὶ ἀνέστη, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. » Εἰκότως δὴ οὖν ἐλέγετο τοῖς ἀρχαιοτέροις· « Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον. » Μαρτύριον δὲ ὥσπερ τοῦ κατηργῆσθαι τὸν θάνατον τὸ ἀναβιῶναι Χριστὸν, ᾧ καὶ ἡμεῖς αὐτοὶ συνεγηγέρμεθα, δικαιωθέντες διὰ τῆς πίστεως, καὶ ὁμοῦ τῷ θανάτῳ τὴν τοῦ θανάτου μητέρα διαδιδράσκοντες, ἁμαρτίαν.

Διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ μου. Διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ.

ΛΗ'. Τοῖς Χαλδαίοις ἔθνεσιν ἀπειλεῖ τὴν δῄωσιν, τὴν διὰ Κύρου γεγενημένην, καὶ τῶν ὅσοι σὺν ὅπλοις τε ἦσαν αὐτῷ καὶ συμβεβλήκασι, τάς τε τῶν Βαβυλωνίων καταθέοντες πόλεις καὶ φρικωδεστάτην ἔχοντες τὴν κατὰ πάντων ἔφοδον. Ἔσται τοίνυν τὸ κρῖμα, φησὶ, τὸ ἐμὸν εἰς συναγωγὴν ἐθνῶν, ὥστε καὶ εἰσδέξασθαι βασιλεῖς· δῆλον δὲ ὅτι τοὺς ὀνομαζομένους· κολάσαι δι' αὐτῶν καὶ συναγωγὰς ἐθνῶν, πολὺ λίαν ἠτιμωμένας τῆς ἐκείνων χειρός τε καὶ εὐσθενείας, καὶ πάντα τρόπον ὑπομενούσας ὠμότητος. « Ἐκχεῶ γὰρ ἐπ' αὐτοὺς, φησὶ, πᾶσαν ὀργὴν θυμοῦ μου. » Καὶ γάρ ἐστιν ἀληθὲς, ὡς οὐ μετρίοις κινήμασι τὰ μεγάλα καὶ ὑπερφερῆ τῶν πλημμελημάτων κολάζει Θεός· ἀλλ' οἷς ἂν τις ἀλοίη πλημμελῶν, ἐπιφέρει πάντως ἰσοπαλεῖς τὰς δίκας. Ὅτι δὲ ἔμελλον μονονουχὶ καταπίμπρασθαι τὰ Χαλδαίων πράγματα, διεσάφει λέγων, ὅτι « Ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ. » Καὶ ποῖος ὁ ζῆλος, ἢ ἐπὶ τίσιν ὕλῃς, σαφηνιεῖ λέγων ὁ προφήτης Ζαχαρίας· « Τάδε λέγει Κύριος παντοκράτωρ· Καὶ ἐζήλωκα τὴν Ἱερουσαλὴμ, καὶ τὴν Σιὼν, ζῆλον μέγαν, καὶ ὀργὴν μεγάλην ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη τὰ συνεπιτιθέμενα, ἀνθ' ὧν ἐγὼ μὲν ὠργίσθην ὀλίγα, αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά. » Οὕτω μὲν δὴ τοῖς προκειμένοις προβαλοῦμεν ἱστορικῶς.

Νοοῖντο δ' ἂν καὶ ἑτέρως, μετενηνεγμένων τῶν θεωρημάτων εἰς τὸ Χριστοῦ μυστήριον. Φασκει γὰρ διά γε τῶν ἤδη προανεγνωσμένων· « Διὰ τοῦτο ὑπόμεινόν με, λέγει Κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον, διότι τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐ-

[90] Hebr. XII, 2. [91] Rom. XIV, 9. [92] Rom. V, 1. [93] Zach. I, 14, 15.

Digitized by Google

τοὺς πᾶσαν ὀργὴν θυμοῦ μου. » Ἀνεβίω μὲν γὰρ ὁ Χριστὸς, σκυλεύσας τὸν ᾅδην, « καθότι οὐκ ἦν δυνατὸν, ζωὴν ὄντα κατὰ φύσιν, αὐτὸν κρατεῖσθαι ὑπὸ τοῦ θανάτου, » κατὰ τὸ γεγραμμένον. Οὐκ ἠφίει γε μὴν ὑπὸ χεῖρας ἔτι διαβολικὰς τοὺς τὴν εἰς αὐτὸν πίστιν προσιεμένους· ἀλλ' ὅτιον καὶ θεοπρεπὲς ποιεῖ τὸ κρῖμα, συναγωγὰς ἐθνῶν, τουτέστι, τὰς τῶν δαιμόνων ἀγέλας, καὶ αὐτοὺς δὲ τοὺς κεκρατηκότας ποτὲ, καὶ τῶν πλανωμένων βεβασιλευκότας οἷον εἰσδεχόμενος, καὶ κατακλείων, καὶ εἰς αὐτὸ καθιείς τὸ κατώτατον βάραθρον, τουτέστιν, εἰς ᾅδου, καὶ πᾶσαν ἐπ' αὐτοὺς ἐκχέων ὀργὴν, καὶ μονονουχὶ πυρὶ καταφλέγων, τῇ ἀῤῥήτῳ καὶ θείᾳ δυνάμει, καὶ ζήλῳ μεγάλῳ κεκινημένος. Ὠργίσθη μὲν γὰρ αὐτὸς ὀλίγα, διὰ τὴν ἐν Ἀδὰμ παρέβασιν· αὐτοὶ δὲ συνεπέθεντο εἰς κακὰ, ὅλην εἰσάπαξ ἀφιστάντες Θεοῦ τὴν ὑπ' οὐρανὸν, καὶ τοῖς τῆς ἁμαρτίας τέλμασι (1) τὸν τῶν ὑπὸ χεῖρα καταπνίγοντες νοῦν. Ἐζήλου τοίνυν ὁ τοῦ Θεοῦ Λόγος τὴν νοητὴν Σιὼν, τουτέστι, τὴν Ἐκκλησίαν. Ἐξείλετο γὰρ αὐτὴν, καὶ αὐτὸς ἑαυτῷ παρέστησεν, ὡς ὁ μακάριος γράφει Παῦλος, « μὴ ἔχουσαν σπίλον, ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων, » ἁγίαν δὲ μᾶλλον καὶ ἄμωμον.

A super eos omnem iram furoris mei. » Revixit enim Christus spoliato inferno, « juxta quod impossibile erat, cum natura sit vita, ipsum detineri a morte, » sicut scriptum est [95]. Nec eos qui fidem in ipsum complexi sunt, sub manu diabolica deseruit : sed sanctum et Deo dignum facit judicium, congregationes gentium, hoc est, dæmonum greges, et ipsos qui aliquando vicerant, et in errantes regnaverant, velut suscipiens et concludens, et in ipsum profundissimum barathrum, hoc est in infernum demittens, omnemque super eos iram effundens, et tantum non igne exurens, ineffabili et divina virtute et zelo magno concitatus. Est enim ipse iratus modice propter transgressionem in Adam : illi autem superimposuerunt in mala, simul totum sub sole B mundum a Deo avocantes, et peccati cœno subjectorum sibi mentem suffocantes. Zelavit igitur Dei Verbum spirituale Sion, hoc est Ecclesiam. Eripuit enim eam, et ipse sibi, ut beatus Paulus scribit, « non habentem maculam, aut rugam, aut simile quidpiam [96], » sed sanctam potius et immaculatam exhibuit.

Ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα Κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα. Ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι, ἐν διεσπαρμένοις μου, οἴσουσι θυσίας μοι.

616 Vers. 9, 10. *Quia tunc convertam super populos linguam in generationem ejus, ut invocent omnes nomen Domini, ut serviant ei sub jugo uno. De finibus fluminum Æthiopiæ suscipiam in dispersis meis, afferent victimas mihi.*

Λθ'. Φησὶ μὲν, ὅτι πεπορθημένης τῆς Βαβυλωνίων, καὶ κατεσπασμένων ἐν διαφθορᾷ τῶν ὑπερηφάνων, ἐπιγνώσονται τὰ ἔθνη τὴν κατασείουσαν αὐτῇ Θεοῦ δύναμιν. Καὶ οἱ γελῶντές ποτε πίπτοντα καὶ ἀπολλύμενον τὸν Ἰσραὴλ, ὅταν ἴδωσιν οἴκαδε μὲν αὐτὸν ἰόντα λαμπρὸν, καὶ ὑπονοστοῦντα πάλιν εἰς τὴν ἁγίαν πόλιν, ἀπολωλότας δὲ εἰσάπαν τοὺς πεπορθηκότας, τότε μεταβαλοῦσι τὴν γλῶτταν καὶ ταῖς εἰς Θεὸν εὐφημίαις ἀναθήσουσι λοιπὸν, καίτοι πάλαι σείοντες τὰς κεφαλὰς, οἰόμενοί τε καὶ λέγοντες ἁλῶναι τὴν Ἰουδαίαν, διά τοι τὸ τῶν Βαβυλωνίων τὸν τύραννον κατισχύσαι τάχα που τοῦ βοηθοῦντος αὐτοῖς, τουτέστι Θεοῦ. Ὅταν τοίνυν ἴδωσι τὴν τῶν πραγμάτων μεταστροφὴν εἰς τὸ ἐναντίον, τότε μεταστήσουσι τὰς γλώσσας κατὰ γενεὰς αὐτῶν, ἤγουν κατὰ φυλάς τε καὶ γένη, καὶ εἰς ἐξολογίας τὰς ἐπὶ Θεῷ. Ἕλοιντο δ' ἄν, οἶμαί που, καὶ δουλεύειν ὑπὸ ζυγὸν ἕνα, καὶ θυσίας προσάγειν, εἰ καὶ πόῤῥω που διακέοιντο τῇ τῶν χωρῶν θέσει, καὶ τὰς Αἰθιόπων νέμοιντο χώρας. Καὶ ταυτὶ μὲν οὖν εἰς τὸ γράμμα πάλιν εἰρήσθω τέως.

XXXIX. Babylonia expugnata, detractisque in C corruptionem superbis, gentes ultricem adversus eam Dei potentiam cognituras dicit. Et qui aliquando cadentem ac pereuntem Israelem ridebant, cum viderint domum redeuntem insigniter, et denuo in sanctam civitatem revertentem, vastatores autem illius plane perditos, linguam mutaturos, et de cætero divinis eam laudibus consecraturos, quamvis olim moverent capita, putarentque Judæam periisse, quod Babyloniorum tyrannus Deo Israelitas adjuvanti quodammodo prævaluisse videretur. Ubi igitur rerum conversionem in contrarium animadverterint, tunc mutabunt linguas secundum generationes ipsorum, sive secundum tribus et genus, et Deum laudibus celebrabunt. Volent etiam, opinor, servire sub uno jugo, et offerre sacrificia, quamvis locorum D intervallo longius distent, et regiones Æthiopum habitent. Et hæc quidem, quod ad litteram attinet, dicta sint hactenus.

Ἐκβεβηκέναι γε μὴν φαμεν τὸν λόγον εἰς τοὺς τῆς ἐπιδημίας καιροὺς, καὶ σημεῖον τίθησιν ἐναργὲς τῆς τῶν γλωσσῶν μεταβολῆς. Γέγραπται γὰρ ἐν ταῖς Πράξεσι τῶν ἁγίων ἀποστόλων, ὅτι κατὰ τὰς ἡμέρας τῆς ἁγίας Πεντηκοστῆς ἦσαν πάντες συνηγμένοι ἐπὶ τὸ αὐτό. « Καὶ ἰδοὺ ἐγένετο ἐκ τοῦ οὐρανοῦ ἦχος,

Procedere autem sermonem dicimus ad tempus Christi adventus, signumque manifestum proponitur linguarum mutatio. Scriptum est enim in Actibus apostolorum, diebus sanctæ Pentecostes fuisse omnes congregatos in eodem loco. « Et ecce factus est de cœlo sonitus, tanquam advenientis spiritus

[95] Act. II, 24. [96] Ephes. v, 27.

(1) Sic in Amos num. 49, τοῖς ἐν λάκκῳ τέλμασιν ἀποπνίγειν ἤθελεν. Aubertus habebat τελέσμασι, *operationibus*. Edit.

Digitized by Google

vehementis, et replevit totam domum, ubi erant sedentes. Et ecce apparuerunt illis dispertitæ linguæ tanquam ignis, et sederunt supra singulos eorum, et repleti sunt omnes Spiritu sancto, et cœperunt loqui aliis linguis, sicut Spiritus sanctus dabat eloqui illis [96]. » Ille igitur tempore, inquit, mutabo linguam super populis. « Audiebant enim unusquisque lingua sua illos loquentes, Parthi, et Medi, et Elamitæ [97], » et gentes aliæ. Verumtamen perpende observationem. Mutaturum se dicit linguam in generationem ejus, hoc est, ita manentem in iis qui semel essent locuti, usque ad exitum vitæ ipsorum, sive generationis. In iis enim duntaxat, non etiam in posteris eorum factum est signum; **617** quibus et insedisse linguas sacra Scriptura testatur. Idcirco dicit : « Mutabo linguam in generationem ejus. » Non enim idem iis qui post illos vixerunt, contigit. Quanam de causa, sapiens Paulus nos doceat. Ait enim, « linguas in signum esse non fidelibus, sed infidelibus [98]. » Scriptum est enim, « In aliis linguis et aliis labiis loquar populo huic, et neque sic credent [99]. » Prodesse igitur aliquo modo mutari linguam in generationem ejus, ipse rursus nobis declarat, cum ait : « Ut invocent omnes nomen Domini, ut serviant illi sub jugo uno, de finibus fluminum Æthiopiæ offerent victimas mihi. » Ut enim apostolos aliis linguis loquentes viderunt, rem inopinatam non mediocriter admirati, in Christum crediderunt, multique, vel potius innumerabiles, tunc nomen natura et vere Dei invocarunt, evangelicis oraculis cervicem subjecerunt, Christo servierunt, et a finibus fluminum Æthiopiæ victimas offerunt. Pertinent vero Æthiopes ab oriente usque ad occidentem, et libant Geon : « Ipse enim est, qui circuit omnem terram Æthiopiæ [1]. » Desinit igitur in veritatem sermo propheticus. Non solum enim per imperium Romanum prædicatum est Evangelium, sed barbaras etiam gentes pervasit. Proinde Ecclesiæ ubique, pastores et magistri, institutores et mystagogi, et sacra altaria, mactaturque secundum intelligentiam agnus a sacris sacerdotibus etiam apud Indos et Æthiopas. Et hoc est, quod alius propheta perspicue dixit : « Quia rex magnus sum ego, dicit Dominus : et nomen meum glorificatum est in gentibus : et in omni loco incensum offertur nomini meo et victima munda [2]. »

A ὥσπερ φερομένης πνοῆς βιαίας, καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι. Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς, καὶ ἐκάθισαν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς. » Κατ' ἐκεῖνο δὴ οὖν τοῦ καιροῦ, φησὶ, μεταβαλῶ γλῶσσαν ἐπὶ λαούς. « Ἤκουον γὰρ πάντες τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν, Πάρθοι τε καὶ Μῆδοι, καὶ Ἐλαμῖται, » καὶ τὰ ἕτερα τῶν ἐθνῶν. Πλὴν ἄθρει τὴν ἐπιτήρησιν. Μεταβαλεῖν γὰρ ἔφη τὴν γλῶσσαν εἰς γενεὰν αὐτῆς, τουτέστιν, οὕτω μένουσαν ἐν τοῖς ἅπαξ εἰρηκόσι μέχρι τέλους τῆς αὐτῶν ζωῆς, ἤτοι γενεᾶς. Ἄχρι γὰρ ἐκείνων γέγονε τὸ σημεῖον, οἷς καὶ ἐφιζῆσαι τὰς γλώσσας ἔφη τὸ Γράμμα τὸ ἱερόν. B Διὰ τοῦτό φησιν, ὅτι « Μεταβαλῶ γλῶσσαν εἰς γενεὰν αὐτῆς. » Οὐ γὰρ συμβέβηκεν ἔτι τοῖς μετ' ἐκείνους τὸ χρῆμα. Διὰ ποίαν αἰτίαν, ὁ σοφὸς ἡμᾶς διδασκέτω Παῦλος. Ἔφη γάρ, ὥστε « Αἱ γλῶσσαι εἰς σημεῖόν εἰσιν οὐ τοῖς πιστεύουσιν, ἀλλὰ τοῖς ἀπίστοις. » Γέγραπται γὰρ, ὅτι « Ἐν ἑτερογλώσσαις καὶ ἐν χείλεσιν ἑτέροις λαλήσω τῷ λαῷ τούτῳ, καὶ οὐδ' οὕτως πιστεύσουσιν. » Ὀνίνησιν οὖν ἄρα κατά τινα τρόπον, τὸ μεταβεβλῆσθαι τὴν γλῶσσαν εἰς γενεὰν αὐτῆς, αὐτὸς ἡμῖν πάλιν διαλευκαίνει λέγων· « Τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα Κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα, ἐκ περάτων ποταμῶν Αἰθιοπίας οἴσουσι θυσίας μοι. » Ἐπειδὴ γὰρ τεθέανται τοὺς ἀποστόλους γλώσσαις λαλοῦντας ἑτέραις, οὐκ ἐν μετρίοις θαύμασι ποιούμενοι τὸ παράδοξον, πεπιστεύκασιν εἰς C Χριστὸν, πολλοί τε καὶ ἀναρίθμητοι τῶν τηνικάδε ἐπεκαλέσαντο τὸ ὄνομα τοῦ φύσει τε καὶ ἀληθῶς ὄντος Θεοῦ· ὑπήγαγον τοῖς εὐαγγελικοῖς θεσπίσμασι τὸν αὐχένα· δεδουλεύκασι τῷ Χριστῷ· καὶ ἀναφέρουσι θυσίας ἐκ περάτων ποταμῶν Αἰθιοπίας. Παρατείνει δὲ τὸ τῶν Αἰθιόπων γένος ἐξ ἠοῦς εἰς δύσιν, πίνουσι δὲ τὸν Γηών· « Αὐτὸς γάρ ἐστιν ὁ κυκλῶν πᾶσαν γῆν Αἰθιοπίας. » Ἐκτελευτᾷ δὲ λοιπὸν εἰς ἀλήθειαν τῆς προφητείας ὁ λόγος. Οὐ γὰρ μόνον κατὰ τὴν Ῥωμαίων γῆν κεκήρυκται τὸ Εὐαγγέλιον· περιφοιτᾷ δὲ λοιπὸν καὶ τὰ βάρβαρα τῶν ἐθνῶν. Καὶ γοῦν Ἐκκλησίαι πανταχοῦ, ποιμένες καὶ διδάσκαλοι, καθηγηταὶ καὶ μυσταγωγοὶ, καὶ θεῖα θυσιαστήρια, θύεται δὲ νοητῶς ὁ ἀμνὸς παρὰ τῶν ἁγίων ἱερουργῶν D καὶ παρ' Ἰνδοῖς καὶ Αἰθίοψι. Καὶ τοῦτο ἦν ἄρα τὸ διὰ φωνῆς ἑτέρου προφήτου σαφῶς εἰρημένον· « Διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει Κύριος· καὶ ὅτι τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι· καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά. »

VERS. 11. *In die illa non confunderis ex omnibus adinventionibus tuis, quibus impie egisti in me. Quia tunc auferam a te contemptiones contumeliæ tuæ, et ultra non adjicies ut glorieris super montem sanctum meum.*

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ. Ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκ ἔτι μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου.

XL. Duabus simul personis rursum loquitur universorum Deus. Sed dicta penitus consideranda

M'. Δυσὶν ἐν ταυτῷ προσώποις διαλέγεται πάλιν ὁ τῶν ὅλων Θεός. Δεῖ δὲ, οἶμαι, λεπτὸν τοῖς λεγομέ-

[96] Act. II, 2-4. [97] ibid. 8, 9. [98] I Cor. XIV, 22. [99] Isa. XXVIII, 11; I Cor. XIV, 21. [1] Gen. II, 13. [2] Malach. I, 11.

Digitized by Google

νοις ἐνιέναι τὸν νοῦν ἀσύγχυτον γὰρ οὕτως τὴν ἐν αὐτοῖς θεωρίαν εὑρήσομεν. Οὐκοῦν πλημμελημάτων μὲν ἀμνηστίαν, καὶ τῶν πάλαι διεπταισμένων τὴν ἄφεσιν τοῖς ἐξ Ἱερουσαλὴμ ἐπαγγέλλεται, διαβεβαιούμενός τε καὶ λέγων, ὡς οὐκ ἂν ἔτι καταισχυνθῶσι διὰ τὰ ἐπιτηδεύματα αὐτῶν, καὶ τὰς πάλαι γεγενημένας εἰς Θεὸν δυσσεβείας. Ἀπειλεῖ δὲ ὥσπερ τῷ Βαβυλωνίῳ, καί φησι, ὡς οὐκ ἂν ἔτι φρονήσειε μέγα, τὴν ἁγίαν καὶ ἀνακειμένην αὐτῷ καταδήωσας πόλιν, ἣν καὶ ὄρος καλεῖ. Μετὰ γάρ τοι τὴν ἐπάνοδον, τὴν ἀπό γε τῆς αἰχμαλωσίας φημὶ, μεμένηκεν ἀπόρθητος ἡ Ἱερουσαλὴμ, καὶ λοιπὸν ἀπείραστος τῆς Βαβυλωνίων ἀπανθρωπίας.

Ὅτι δὲ κατὰ τὸν τῆς ἐπιδημίας καιρὸν ἀμνηστία καὶ ἄφεσις γέγονεν ἐπὶ πάντας τοὺς πεπιστευκότας, ἐνδοιάσειεν ἂν οὐδείς. Δεδικαιώμεθα γὰρ « οὐκ ἐξ ἔργων δικαιοσύνης ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος. » Ἀπηλλάγμεθα δὲ καὶ αἰσχύνης. Ἔφη γάρ που πρὸς ἡμᾶς ὁ τῇ πίστει τετιμηκώς· « Μὴ φοβοῦ, ὅτι κατῃσχύνθης· μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης. » Ἀνεκόμισε γὰρ ἡμᾶς εἰς παῤῥησίαν, ὁ δι' ἡμᾶς ἐκ νεκρῶν, καὶ ὑπὲρ ἡμῶν εἰς οὐρανὸν, ἐν ὕψει Πατρός. Πρόδρομος γὰρ ὑπὲρ ἡμῶν ἀνέβη Χριστὸς, « νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ. » Οὐκοῦν περιεῖλε μὲν τὰς ἁπάντων αἰτίας, καὶ πταισμάτων ἀπήλλαξεν αἰσχύνης τε καὶ εὐτροπῆς τοὺς πεπιστευκότας. Εἴρηται δὲ παρ' αὐτοῦ καὶ τῷ καταδυναστεύοντι Σατανᾷ, ὅτι « Περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου, καὶ οὐκέτι μὴ προσθῇς τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. » Ἐμφαυλιεῖ γὰρ οὐκέτι τοὺς ἐπὶ τῆς γῆς, ὡς πολὺ νοσοῦντας τὸ ἀναλκι, οὐδὲ ὑβριεῖ τοὺς ἡγιασμένους, κατασείων εὐκόλως εἰς γε τὸ αὐτῷ δοκοῦν. Παρῴχηκε γὰρ τὰ ἀρχαῖα, καὶ μετακεχώρηκεν εἰς καινότητα τῶν πραγμάτων ἡ φύσις, ἀναστοιχειοῦντος εἰς τοῦτο αὐτὰ τοῦ Χριστοῦ, καὶ εὐσθενὲς μὲν ἀποτελοῦντος εὖ μάλα τὸ ἄῤῥωστον, κρατύνοντος δὲ πρὸς εὐσέβειαν τὸ ταῖς ἁμαρτίαις εὐάλωτον, καὶ ἑδραῖον ἀποτελοῦντος τὸ σεσαλευμένον. Οὐκοῦν περιῄρηται τὰ φαυλίσματα τῆς ὕβρεως, θηλονότι τῆς διαβολικῆς, καὶ οὐκ ἂν ἔτι φρονήσειε μέγα κατὰ τοῦ ὄρους τοῦ ἁγίου, τουτέστι, τῆς νοητῆς Σιὼν, ἥτις ἐστὶν Ἐκκλησία Θεοῦ ζῶντος. Τεθεμελίωται γὰρ ἐπὶ τὴν πέτραν· « Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς. » Ὄρος δὲ τὴν Ἐκκλησίαν καὶ ὁ προφήτης ἡμῖν Ἡσαΐας ὠνόμαζε, λέγων· « Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρου τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσι· Δεῦτε, καὶ ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. »

Καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πρᾶον καὶ ταπεινόν. Καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος Κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, οὐδ' αὖ μὴ λαλήσουσι μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία.

existimo : sic enim inconfusam in iis intelligentiam reperiemus. Itaque peccatorum **618** oblivionem, et olim admissorum remissionem Hierosolymitis pollicetur, et fore autumat, ut propter adinventiones, et studia sua, et quondam perpetratas in Deum impietates, non amplius erubescant. Minatur quoque aliquo modo Babylonio, et ait, non gloriaturum de cætero de sancta et sibi consecrata urbe eversa, quam et montem nominat. Post reditum namque, a captivitate inquam, Jerusalem salva, et deinceps Babyloniorum immanitati intentata permansit.

Tempore adventus autem ἀμνηστίαν, et remissionem omnibus credentibus contigisse, nemo dubitare potest. Justificati enim sumus « non ex operibus quæ fecimus nos, sed secundum magnam misericordiam ipsius [3]. » Liberati sumus etiam a confusione. Ait enim alicubi nobis, qui nos fide honoravit : « Ne time quia confusus es : nec pudore suffundaris, quia probra tibi ingeruntur. » Reduxit enim nos in libertatem, qui propter nos ex mortuis resurrexit, et pro nobis in cœlum, ad conspectum Dei Patris, ascendit. Præivit enim nobis ascensu suo Christus, « ut nunc vultui Dei pro nobis appareat [4]. » Itaque omnium culpas abstulit, et pudore ac verecundia propter piacula credentes liberavit. Dictum est etiam ab eodem dominanti in nos Satanæ : « Auferam a te contemptiones contumeliæ tuæ, et non ultra adjicies ut glorieris super montem sanctum meum. » Non enim perget contemnere homines ut perimbecillos : nec insolens erit in sanctificatos, facile pro arbitratu suo illos exagitans. Præterierunt enim vetera, et rerum natura in novitatem concessit [5], Christo eas reformante, et quod infirmum erat in germanissimam firmitatem redigente, et ad pietatem quod peccatis parum resistebat, confirmante, et quod fluctuabat stabiliente. Ergo ablatæ sunt contemptiones contumeliæ, diabolicæ pœnæ, nec in posterum contra montem sanctum superbia efferetur, id est, contra Sion, quam animus cernit, quæ est Ecclesia Dei viventis. Fundata est enim super petram [6]. « Et portæ inferi non prævalebunt adversus eam [7]. » Montem porro Ecclesiam Isaias quoque propheta nominavit : « Quia erit in novissimis diebus manifestus mons Domini, et domus Dei in summitate montium, **619** et elevabitur super colles, et venient ad eum gentes omnes, et ibunt gentes multæ, et dicent : Venite, et ascendamus ad montem Domini, et ad domum Dei Jacob, et annuntiabit nobis viam suam, et ambulabimus in ea [8]. »

VERS. 12, 13. *Et relinquam in te populum mansuetum et humilem. Et timebunt a nomine Domini reliqui Israel, et non facient iniquitatem, neque loquentur vana, et non invenietur in ore eorum lingua dolosa.*

[3] Tit. III, 5, 7. [4] Hebr. IX, 24. [5] II Cor. V, 17. [6] Matth. VII, 25. [7] Matth. XVI, 18. [8] Isa. II, 2, 3.

Digitized by Google

XLI. Rursus Sion, sive sanctam civitatem compellat, Jerusalem, inquam, in qua etiam mansuetissimum et humilem populum se relicturum appromittit. Dire enim vexavit omnium Salvatorem Christum Judæorum Synagoga, et Dominum suum morte multavit, ejusque sceleris pœnas exsolvit. Nec tamen tota periit : conservatæ sunt enim reliquiæ [9], et quod restabat, salutem est consecutum. Credidit enim ex illis multitudo non exigua. Atque illi erant isti mansueti, qui non taurorum in morem in Christum efferati sunt [10], quemadmodum qui Pilato eum tunc obtulerunt, clamantes, et dicentes : « Tolle, tolle, crucifige eum [11]. » Addideruntque : « Si hunc dimittis, non es amicus Cæsaris. » Quid his crudelius fieri potuit ? Qui et justum sanguinem super capita sua haurientes, temere et inconsiderate succlamabant : « Sanguis ejus super nos et super filios nostros [12]. » Mansuetus igitur populus, qui immanitatis horum particeps non fuit ; humilis item, qualenus in Christo se subjecit, et habenis ejus cervicem mentis subdidit, libentissimeque obedivit ex charitate dicenti : « Venite ad me, omnes qui laboratis et onerati estis, et ego reficiam vos. Tollite jugum meum super vos, et discite a me, quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris [13]. » In quo etiam Christo se conformarunt, qui propter nos factus est pauper [14], et propemodum divinam gloriam suam naturalemque excellentiam neglexit, ut servilem conditionem œconomice subiret. Itaque modeste de se ipsius exemplo sentiunt, qui ejus legibus instituuntur. Hi etiam timebunt nomen Domini. Sunt enim Dei multo amantissimi, et ante alios quidem divini discipuli, qui et lux mundi sunt [15] constituti. Dei autem amantes et boni **620** iniquitatem, inquit, et sermonem inanem repudiabunt : « Non enim vana loquentur, » inquit, et linguam non veram, hoc enim vult, dolosa. Est autem hic ornatus spiritualis, et velut corona ex virtutum ornamentis præstantissima. Ubi enim mansuetudo, et humilitas, et desiderium justitiæ, et lingua quæ ineptos sermones dedidicit, minimeque peccat in verbis, sed recta est potius et veritatis operatrix, ibi splendida plane et absolutissima virtus conspicitur. Et talis decet eos qui sunt in Christo, quoniam pulchritudo pietatis non in lege ceraitur, sed in virtute doctrinæ evangelicæ potius refulget.

Quoniam ipsi pascentur, et accubabunt, et non erit qui exterreat eos.

XLII. Olim enim Judæorum greges ignaviter pascebant Scribæ et Pharisæi, lege siquidem populo præfecti erant, ut auctoritate sacerdotii honorati. Itaque erant pastores, mercenarii tamen, et tanquam alienis gregibus præpositi, « videbant lupum venien-

A ΜΑ'. Διαλέγεται πάλιν πρὸς τὴν Σιὼν, ἤτοι τὴν ἁγίαν πόλιν, φημὶ δὴ τὴν Ἱερουσαλὴμ, ἐν ᾗ καὶ ἐπαγγέλλεται τὸν πραότατόν τε καὶ ταπεινὸν ὑπολειφθήσεσθαι λαόν. Πεπαρώνηκε μὲν γὰρ εἰς τὸν τῶν ὅλων Σωτῆρα Χριστὸν ἡ τῶν Ἰουδαίων Συναγωγὴ, καὶ ἀπεφάνθη κυριοκτόνος, καὶ ἐξαιτεῖται μὲν τὰς ἐπὶ τῷδε δίκας. Διόλωλε δὲ οὐ πᾶσα· τετήρηται γὰρ τὸ κατάλειμμα, καὶ σέσωσται τὸ ὑπόλοιπον. Πεπιστεύκασι γὰρ ἐξ αὐτῶν οὐ μετρία πληθύς. Οὗτοι δὲ ἦσαν οἱ πραεῖς, οὐκ ἀποταυρούμενοι τὰς ὀργὰς τὰς ἐπὶ Χριστῷ, καθάπερ ἀμέλει καὶ οἱ Πιλάτῳ τότε προσκεκομικότες αὐτὸν, κατακεκραγότες, καὶ λέγοντες· « Αἶρε, αἶρε, σταύρου αὐτὸν, » προστεθεικότες δὲ τούτοις τὸ, « Ἐὰν μὴ τοῦτον ἀποκτείνῃς, οὐκ εἶ φίλος τοῦ Καίσαρος. » Τί γὰρ ἂν γένοιτο τῶν τοιούτων τὸ ἀπηνέστερον; Οἵ γε καὶ αὐτὸ τὸ δίκαιον αἷμα ταῖς σφῶν αὐτῶν ἐπαντλήσαντες κεφαλαῖς, ἀπερισκέπτως ἔφασκον τὸ, « Αἷμα αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. » Πρᾶος δὴ οὖν ὁ λεὼς, ὁ τῆς τούτων ἀγριότητος οὐ μετεσχηκώς. Ταπεινοὶ δὲ πάλιν, κατά γε τὸ ὑποτετάχθαι Χριστῷ, καὶ ταῖς ὑπ' αὐτὸν ζεύγλαις τοὺς τῆς διανοίας αὐχένας ὑπενεγκεῖν, ὑπακοῦσαί τε καὶ μάλα ἀσμένως ἐξ ἀγάπης λέγοντι· « Δεῦτε πρὸς μὲ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· » σύμμορφοι δὴ οὖν καὶ κατὰ τοῦτο τῷ Χριστῷ τῷ δι' ἡμᾶς πτωχεύσαντι, καὶ μονονουχὶ καὶ θεοπρεποῦς δόξης ἡμελημότι καὶ τῆς κατὰ φύσιν ὑπεροχῆς, ἵνα τὸ δουλοπρεπὲς ὑπέλθοι μέτρον οἰκονομικῶς. Οὐκοῦν μετριόφρονες κατ' αὐτὸν, οἱ τοῖς αὐτοῦ νόμοις παιδαγωγούμενοι. Οὗτοι καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος Κυρίου. Γεγόνασι γὰρ τῶν ὅτι μάλιστα φιλοθεωτάτων, καὶ πρό γε τῶν ἄλλων οἱ θεσπέσιοι μαθηταὶ, οἱ καὶ τοῦ κόσμου τέθεινται φῶς. Οἱ δὲ δὴ θεοφιλεῖς τε καὶ ἀγαθοὶ παραιτήσονται, φησὶ, τὴν ἀδικίαν καὶ λόγον εἰκαῖον· « Οὐ γὰρ λαλήσουσι μάταια, » φησὶ, καὶ γλῶσσαν οὐκ ἀτρεκῆ, τοῦτο γὰρ ἡ δολία. Κόσμος δὲ οὗτος πνευματικὸς, καὶ οἷά τις στέφανος τοῖς ἐξ ἀρετῶν αὐχήμασιν εὖ μάλα διαπρεπής. Ἔνθα γὰρ πραότης καὶ ταπείνωσις, καὶ μὴν καὶ δικαιοσύνης ἔφεσις, ἀπομαθοῦσά τε γλῶσσα τὰ εἰκαιόμυθα, καὶ ἥκιστα μὲν ἁμαρτοεπὴς, ὀρθὴ δὲ μᾶλλον, καὶ ἀτρεκίας ἐργάτις, ἐκεῖ που πάντως λαμπρὰ καὶ τελειοτάτη πέφηνεν ἀρετή. Πρέπει δ' ἂν ἡ τοιάδε τοῖς ἐν Χριστῷ, ὅτι μὴ ἐν νόμῳ τῆς εὐσεβείας ὁρᾶται τὸ κάλλος, ἀπαστράπτει δὲ μᾶλλον ὡς ἐν δυνάμει παιδεύσεως εὐαγγελικῆς.

Διότι αὐτοὶ νεμήσονται, καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς.

ΜΒ'. Πάλαι μὲν γὰρ τὰς τῶν Ἰουδαίων ἀγέλας διεπολίμαινον ἀδρανῶς οἱ Γραμματεῖς τε καὶ Φαρισαῖοι. Τετάχαται γὰρ ἐκ νόμου καθηγεῖσθαι λαῶν, διά τοι τὸ τετιμῆσθαι τοῖς ἱερωσύνης πρεσβείοις. Οὐκοῦν ἦσαν ποιμένες, μισθωτοὶ δὲ ὅμως, καὶ οἷον

[9] Isa. x, 22; IX, 27. [10] Psal. XXI, 13. [11] Joan. XIX, 15. [12] Matth. XXVII, 25. [13] Matth. XI, 28-30. [14] II Cor. VIII, 9. [15] Matth. V, 14.

Digitized by Google

ἀλλοτρίοις ἐφεστηκότες θρέμμασιν, « ἐθεώρουν τὸν λύκον ἐρχόμενον, καὶ ἥφιεσαν τὰ πρόβατα, » κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. Ὅτι δὲ λίαν ἠφειθηκότες τῶν λογικῶν θρεμμάτων ἀλοῖεν ἄν, καὶ θηρσὶν ἀνέντες αὐτὰ, μᾶλλον αὐτοὶ γεγονότες λύκοι, κατίδοι τις ἂν εὐκόλως ἀπό γε τῶν εἰρημένων διὰ φωνῆς προφητῶν. Ὁ μὲν γὰρ ἔφασκεν, ὡς ἐκ προσώπου τοῦ Θεοῦ· « Ὦ οἱ ποιμένες, οἱ διασκορπίζοντες καὶ ἀπολλύντες τὰ πρόβατα τῆς νομῆς αὐτῶν· » ἕτερος δὲ αὖ· « Τάδε λέγει Κύριος· Ὦ οἱ ποιμένες Ἰσραὴλ, μὴ βόσκουσιν οἱ ποιμένες ἑαυτούς; Οὐχὶ τὰ πρόβατα βόσκουσιν οἱ ποιμένες; Ἰδοὺ τὸ γάλα κατεσθίετε. Τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε, καὶ τὸ συντετριμμένον οὐ κατεδήσατε, καὶ τὸ πλανώμενον οὐκ ἐπεστρέψατε, καὶ τὸ ἀπολωλὸς οὐκ ἐζητήσατε, καὶ τὸ ἰσχυρὸν κατειργάσασθε μόχθῳ· καὶ διεσπάρη τὰ πρόβατά μου, διὰ τὸ μὴ εἶναι ποιμένας, καὶ ἐγενήθη εἰς κατάβρωμα πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. » Καὶ πρὸς αὐτοὺς δέ πού φησι τοὺς ποιμένας· « Ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο· καὶ οἱ πεπλουτήκαμεν. »

A tem, dimittebant oves [16], » juxta verbum Salvatoris. Eos autem ratione præditarum pecudum perquam incuriosos fuisse, easque feris dilaniandas destituisse, vel potius ipsosmet lupos exstitisse, non difficile ex prophetarum vocibus perspicias. Nam unus quidem, ut ex persona Dei, sic ait : « O pastores disperdentes oves pascuæ earum [17] ! » Alius vero : « Hæc dicit Dominus : O pastores Israel, numquid pascunt pastores semetipsos? Nonne oves pascunt pastores? Ecce lac comeditis : quod infirmum fuit non confortastis, et quod confractum non alligastis, et quod erravit non reduxistis, et quod periit, non quæsivistis, et quod forte afflixistis labore : et dispersæ sunt oves meæ, eo quod non erant pastores, et factæ sunt in devorationem B omnibus bestiis agri, et volatilibus cœli [18]. » Et alibi ad pastores : « Pascite oves occisionis, quas qui possederunt, interficiebant, et non agebant pœnitentiam : et qui vendebant eas, dicebant : Benedictus Dominus, et divites facti sumus [19]. »

Ἀπώλλυον οἱ ποιμένες τῶν λογικῶν θρεμμάτων τὰς ἀγέλας, θῆρας οὐ δεδιττόμενοι, μᾶλλον δὲ αὐτοὶ τὰ θηρῶν μιμούμενοι. Ἐπειδὴ δὲ λοιπὸν ἐπέλαμψεν ὁ Χριστὸς, ὁ ποιμὴν ὁ καλὸς, « ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων, » νεμόμεθα μὲν ἐν κόποις, κατεποιμάνθημεν δὲ καὶ ἐν κρήναις, κατὰ τὸ γεγραμμένον, ἐκοιτάσθημεν δὲ καὶ ἐν σηκοῖς· ἐνηυλίσμεθα γὰρ ἐκκλησίαις καὶ ναοῖς ἁγίοις, οὐδενὸς ἡμᾶς ἐκδεδιττομένου καὶ διαρπάζοντος, οὐ καταπατοῦντος λέοντος, οὐ κλέπτου διορύττοντος, οὐδενὸς ἡμῖν ἐπιόντος ἔτι, « ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. » Διατελοῦμεν δὲ μᾶλλον ἐν ἀσφαλείᾳ, καὶ βεβαιότητι, καὶ ἐν μεθέξει παντὸς ἀγαθοῦ, αὐτὸν ἔχοντες ἐπιστάτην τὸν τῶν ὅλων Σωτῆρα, φημὶ Χριστόν. Καὶ τοῦτο ἡμῖν διὰ φωνῆς Ἰεζεχιὴλ φανερὸν ἐποιεῖτο, λέγων ὁ Θεὸς καὶ Πατήρ· « Τάδε λέγει Κύριος· Ἐγὼ σώσω τὰ πρόβατά μου, καὶ κρινῶ ἀναμέσον κριοῦ πρὸς κριὸν, καὶ ἀναστήσω ἐπ' αὐτοὺς ποιμένα ἕνα τὸν δοῦλόν μου Δαβὶδ, καὶ ἔσται αὐτῶν ποιμήν. »

Perdebant pastores rationalium pecudum greges, feras non absterrentes, imo ipsi ferarum sævitiam induentes. Postquam autem deinde Christus illuxit, ille pastor bonus, « qui ponit animam suam pro ovibus [20], » pascimur quidem in **621** laboribus, sed pasti sumus etiam in fontibus, ut scriptum est [21], et accubuimus in caulis : stabulati C sumus enim in ecclesiis et templis sanctis, nullo nos exterrente ac diripiente, non lupo irruente, non leone conculcante, non fure perfodiente, nemine nos amplius invadente, « ut furetur, ut mactet, et perdat [22]. » Quinimo in securitate, et constantia, et omnis boni communione permanemus, ipsum universorum Salvatorem, Christum inquam, magistrum ovilis habentes. Id quod nobis per Ezechielem Deus et Pater aperuit, dicens : « Hæc dicit Dominus : Ego salvabo oves meas, et judicabo inter arietem et arietem, et suscitabo super eos pastorem unum servum meum David, et erit eorum pastor [23]. »

Χαῖρε, θύγατερ Σιὼν, κήρυσσε, θύγατερ Ἰερουσαλὴμ, εὐφραίνου, καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου, θύγατερ Ἰερουσαλήμ. Περιεῖλε Κύριος τὰ ἀδικήματά σου, λελύτρωκέ σε ἐκ χειρὸς ἐχθρῶν. Βασιλεύσεις, Ἰερουσαλὴμ, ὁ Κύριος ἐν μέσῳ σου, οὐκ ὄψει κακὰ οὐκ ἔτι.

Vers. 14, 15. *Gaude, filia Sion, prædica, filia Jerusalem, exulta et delectare in toto corde tuo, filia Jerusalem. Abstulit Dominus iniquitates tuas, redemit te de manu inimicorum. Regnabis, Jerusalem, Dominus in medio tui, non videbis mala ultra.*

ΜΓ'. Ὅσον μὲν εἰπεῖν εἰς γε τὸν τῆς ἱστορίας λόγον, ὑπισχνεῖται σαφῶς τὴν εἰρήνην αὐτοῖς μετά γε τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον, ὅτε καὶ ἀμνηστουμένων αὐτοῖς τῶν ἀρχαίων αἰτιαμάτων, συνεῖναί τε καὶ προασπίζειν αὐτῶν ἐπαγγέλλεται Θεός. Ὅσον δὲ ἥκει εἰς τὸν ἰσώτατον νοῦν, χαίρειν τε σφόδρα, καὶ κατευφραίνεσθαι λίαν, καὶ μὴν ἐξ ὅλης κατατέρπεσθαι τῆς καρδίας προστέταχεν ἀναγκαίως, ὡς ἐξῃρημένων

XLIII. Qua de historia, planis verbis pacem illis post reditum e Babylone spondet, et veteribus eorum delictis oblivioni traditis, cum ipsis se futurum eosque protecturum Deus pollicetur. Quod autem ad intimum verborum sensum spectat, gaudere vehementer, et exsultare mirifice, et toto pectore delectari omnino jubet, utpote peccatis ei condonatis, per Christum, puta. Justificata est enim,

[16] Joan. x, 12. [17] Jerem. xxiii, 1. [18] Ezech. xxxiv, 2-5. [19] Zachar. xi, 4, 5. [20] Joan. x, 11. [21] Isa. xlix, 10. [22] Joan. x, 10. [23] Ezech. xxxiv, 22, 23.

Digitized by Google

in Christo scilicet, eoque solo, quæ intelligentia A percipitur et sancta Sion, Ecclesia nimirum, sive fidelium sancta multitudo. Et salvati sumus per ipsum, et apud ipsum, ab hostibus non aspectabilibus damna et clades effugientes, et ipsum habentes, et medium in forma nostra visum universorum regem, ac Deum, ex Deo Patre Verbum, propter quem non vidimus amplius mala, hoc est, ab omni violento malo exempti sumus. Ipse enim est instrumentum acquirendæ benevolentiæ Dei, pax, murus, immortalitatis largitor, coronarum dispensator, qui bellum ab intelligibilibus Assyriis imminens arcet, dæmonumque insidias profligat; qui dat nobis calcare « supra serpentes, et scorpiones, et supra omnem virtutem inimici [24] ; » per quem « ambulavimus super aspidem et basiliscum, et conculcavimus leonem et draconem [25] ; » propter quem bona in spe sumus incorruptionis et vitæ, **622** adoptionisque et gloriæ filiorum Dei [26]; propter quem mala de cætero non subibimus.

VERS. 16, 17. *In tempore illo dicet Dominus Jerusalem : Confide, Sion, non dissolvantur manus tuæ. Dominus Deus tuus in te fortis salvabit te, adducet super te lætitiam, et innovabit te in charitate sua, et lætabitur super te in delectatione, ut in die solemnitatis, et congregabo comminutos tuos.*

XLIV. Manifesta denuntiatio, fidendum esse : et alienus est a mendacio qui spopondit. Idipsum et Christum dicentem, et oraculum vetus quasi renovantem, vel potius quod prænuntiatum erat in conspectu ponentem audivimus. Ait enim, quoniam « Pressuram habebitis in hoc mundo, sed confidite, ego vici mundum [27]. » Quando namque in medio nostrum fuit, tunc non manus amplius remissas, non genua debilitata habuimus : quin potius ad opera et bonarum actionum labores, quorum est et dicitur « fructus gloriosus [28], » conversi sumus. Tunc item fiduciam concepimus, Christum fortissimum, ut Deum, in nobis, redimere et salvare in ipsum credentes : habitavit enim in cordibus nostris per Spiritum [29], et hanc adduxit super nos, intellectualem videlicet et acceptabilem lætitiam [30]. Quid enim aliud fuerit, Spiritum sanctum adeptum esse, quam delectatio et gaudium, et genus D lætitiæ spiritualis ? Quando igitur super nos adduxit lætitiam per Spiritum, tunc etiam in dilectione sua innovavit, nempe quo tempore in carne advenit, quando et unus pro omnibus moriens vere dixit : « Majorem hac dilectionem nemo habet, quam ut animam suam ponat quis pro amicis suis [31]. » Postquam vero posuit animam suam, et nostri causa inter mortuos est numeratus, cum secundum naturam vita esset, revixit, naturamque hominis in novitatem vitæ reformavit [32], et de integro ad primævam speciem fabricavit : « Si qua in Christo

αὐτῆς τῶν πλημμελημάτων, διὰ Χριστοῦ δηλονότι. Δεδικαίωται γὰρ ἡ νοητὴ καὶ ἁγία Σιὼν, τουτέστιν, ἡ Ἐκκλησία, ἤγουν τῶν πεπιστευκότων ἡ ἁγία πληθὺς, ἐν Χριστῷ δὴ, καὶ μόνῳ, καὶ σεσώσμεθα δι' αὐτοῦ τε καὶ παρ' αὐτοῦ, τὰ τῶν ἀοράτων ἐχθρῶν ἀποφεύγοντες βλάβη, καὶ μέσον ἔχοντες αὐτὸν ἐν εἴδει τῷ καθ' ἡμᾶς πεφηνότα τὸν τῶν ὅλων βασιλέα, καὶ Θεὸν τὸν ἐκ Θεοῦ Πατρὸς Λόγον, δι' ὃν οὐκ εἴδομεν ἔτι κακὰ, τουτέστιν, ἀπηλλάγμεθα παντὸς κακοῦ ἰσχύοντος. Αὐτὸς γάρ ἐστι τὸ τῆς εὐδοκίας ὅπλον, ἡ εἰρήνη, τὸ τεῖχος, τῆς ἀφθαρσίας ὁ χορηγὸς, τῶν στεφάνων ὁ πρύτανις, ὁ τὸν ἐκ τῶν νοητῶν Ἀσσυρίων ἐξείργων πόλεμον, καὶ τὰς ἐκ τῶν δαιμονίων ἐπικουφίζων ἐπιβουλάς· ὁ διδοὺς ἡμῖν πατεῖν « ἐπάνω ὄφεων, καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· » δι' ὃν « ἐπέβημεν ἐπ' ἀσπίδα, καὶ βασιλίσκον, καὶ καταπατοῦμεν λέοντα καὶ δράκοντα· » δι' ὃν ἐν ἐλπίσι γεγόναμεν ἀγαθαῖς ἀφθαρσίας καὶ ζωῆς, υἱοθεσίας τε καὶ δόξης· δι' ὃν οὐκ ὀψόμεθα κακὰ ἔτι.

Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ Κύριος τῇ Ἱερουσαλήμ· Θάρσει Σιὼν, μὴ παρείσθωσαν αἱ χεῖρές σου. Κύριος ὁ Θεὸς ἐν σοὶ δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ εὐφραινθήσεται ἐπὶ σὲ ἐν τέρψει ὡς ἐν ἡμέρᾳ ἑορτῆς, καὶ συνάξω τοὺς συντετριμμένους σου.

ΜΔ'. Ἐναργὴς μὲν ἡ προαναφώνησις, τοῦ χρῆναι θαῤῥεῖν· καὶ ἀψευδὴς μὲν ὁ ἐπαγγειλάμενος. Ἀκηκόαμεν δὲ τουτὶ καὶ αὐτοῦ λέγοντος τοῦ Χριστοῦ, καὶ τὸ ἀρχαῖον ὥσπερ ἀνανεοῦντος χρησμῳδημα, μᾶλλον δὲ τιθέντος ἐν ὄψει τὸ προεπηγγελμένον. Ἔφη γὰρ, ὅτι « Θλῖψιν ἔχετε ἐν τῷ κόσμῳ· ἀλλὰ θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον. » Ὅτε γὰρ γέγονεν ἐν μέσῳ ἡμῶν, τότε τὰς χεῖρας οὐκ ἔτι παρειμένας ἐσχήκαμεν, οὐ γόνατα παραλελυμένα· τετράμμεθα δὲ μᾶλλον ἐπ' ἔργα τε καὶ πόνους τοὺς ἐπ' ἀγαθοῖς ἔργοις, καὶ ὧν εἴρηταί τε καὶ ἔστιν « ὁ καρπὸς εὐκλεής. » Τότε καὶ τεθαρσήκαμεν, ὅτι παναλκὴς ὑπάρχων ὡς Θεὸς ὁ ἐν ἡμῖν Χριστὸς ἐκρύεταί τε καὶ σώζει τοὺς ἐπ' αὐτὸν πιστεύοντας· κατῴκηκε γὰρ ἐν ταῖς καρδίαις ἡμῶν διὰ τοῦ Πνεύματος, καὶ ταύτην ἐφ' ἡμᾶς ἐπήγαγε, τὴν νοητὴν δηλονότι καὶ ἀξιόληπτον εὐφροσύνην. Τί γὰρ ἕτερον ἂν εἴη τὸ μεταλαχεῖν ἁγίου Πνεύματος, ἢ τέρψις καὶ χαρὰ, καὶ πνευματικῆς εἶδος εὐφροσύνης; Ὅτε τοίνυν ἐπήγαγεν ἐφ' ἡμᾶς τὴν διὰ Πνεύματος εὐφροσύνην, τότε καὶ ἀνεκαίνισεν ἐν τῇ ἀγαπήσει αὐτοῦ, τουτέστιν, ἐν καιρῷ τῆς ἐπιδημίας τῆς μετὰ σαρκὸς, ὅτε καὶ εἷς ὑπὲρ πάντων ἀποθανὼν ἀληθεύων ἔφασκε· « Μείζονα ταύτης τῆς ἀγάπης οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ. » Ἐπειδὴ δὲ τέθεικε τὴν ψυχὴν, καὶ γέγονεν ἐν νεκροῖς δι' ἡμᾶς, ζωὴ κατὰ φύσιν ὑπάρχων, ἀνέβιω πάλιν, τὴν ἀνθρώπου φύσιν ἀναμορφῶν εἰς καινότητα ζωῆς, καὶ ἀναχαλκεύων εἰς τὸ ἀπ' ἀρχῆς,

[24] Luc. x, 19. [25] Psal. xc, 13. [26] Rom. viii, 21. [27] Joan. xvi, 33. [28] Isa. iv, 2. [29] I Cor. i, 21, 22; Ephes. iii, 17. [30] Isa. li, 3. [31] Joan. xv, 13. [32] Rom. vi, 4.

Digitized by Google

« Εἴ τις ἐν Χριστῷ καινὴ κτίσις. » Ἠὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ, « ἐν αὐτῷ ἀνακεφαλαιώσασθαι πάντα, » κατὰ τὸ γεγραμμένον. Τὸ δὲ ἀνακεφαλαιούμενον ἀναλαμβάνεταί πως καὶ ἀναβιβάζεται πρὸς τὸ ἐν ἀρχαῖς. Ἐπειδὴ δὲ ἀνεκαίνισε, τότε καὶ εὐφράνθη Χριστὸς ἐφ' ἡμῖν, « ὡς ἐν τέρψει, καὶ ὡς ἐν ἡμέρᾳ ἑορτῆς. » Πῶς γὰρ οὐκ ἤμελλεν ἐπιγάννυσθαι τοῖς καθ' ἡμᾶς τὸ Θεῖον, ὅτε καὶ ἁμαρτίας ἀπηλλάγμεθα, καὶ θανάτου καὶ φθορᾶς ἀμείνους γεγόναμεν, καὶ ἐν μεθέξει Πνεύματος καὶ ἁγιασμοῦ; Τότε καὶ « συνήγαγε τοὺς συντετριμμένους. » Ὡς γὰρ ὁ σοφὸς γράφει Παῦλος, « Χριστὸς ἦλθεν εἰς τὸν κόσμον ἁμαρτωλοὺς σῶσαι. » Καὶ αὐτὸς δέ πού φησιν· « Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν. » Οὐκοῦν συνήγαγεν ὁ Χριστὸς οὓς διὰ τῆς ἁμαρτίας συντρίψας ὁ Σατανᾶς παρειμένους ἀπέφηνε, καὶ βαίνειν ὀρθὰ μὴ εἰδότας, μήτε μὴν τὰς τῆς δικαιοσύνης ἰέναι τρίβους. Ἀλλ' εἰ καὶ συνέτριψεν ἐκεῖνος, κατέδησεν ὁ Χριστός. Τεθεράπευκε γὰρ τοὺς ἠῤῥωστηκότας, καὶ αὐτὸς « τὰς ἀσθενείας ἡμῶν φέρει, » κατὰ τὸ γεγραμμένον.

A nova creatura [33]. » Complacuit enim Deo et Patri « in ipso instaurare omnia, » ut scriptum est [34]. Instauratum autem ad id quod in principio fuit, revocatur et reducitur. Nobis renovatis etiam lætatus est Christus super nos, « ut in delectatione et in die solemnitatis. » Quo pacto enim non lætaretur rebus nostris Deus, cum et a peccato liberati simus, et morte corruptioneque superiores evaserimus, et Spiritum sanctum, sanctificationemque **623** participaverimus? Tunc etiam « congregavit contritos. » Nam, ut est apud sapientem Paulum, « Christus venit in mundum peccatores salvos facere [35]. » Et ipsemet inquit alicubi : « Non veni vocare justos, sed peccatores ad pœnitentiam [36]. » Congregavit itaque Christus, quos, per peccatum comminutos, Satanas B dissolutos ac remissos, et recta ingredi ac justitiæ semitas carpere nescientes reddidit. Sed quamvis ille comminuerit, Christus tamen colligavit. Sanavit enim ægrotantes, et ipsemet « infirmitates nostras portavit, » ut scriptum est [37].

Οὐαὶ, τίς ἔλαβεν ὀνειδισμὸν ἐπ' αὐτήν;

Vers. 18. *Væ, quis accepit opprobrium super eam?*

ΜΕ'. Τὸν τοῦ Σωτῆρος σταυρὸν τὸν ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς τε καὶ ἀφθαρσίας ἐγηγερμένον, καύχημα μὲν εἶναι τῆς Ἐκκλησίας, ἁριστά γε φρονεῖν ῥηθησόμεθα. Ὁμολογεῖ δὲ καὶ αὐτὸς ὁ σοφώτατος Παῦλος ὡδὶ γεγραφώς· « Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ. » Πλὴν ἔφη πάλιν αὐτὸς, ὡς γέγονεν ὁ σταυρὸς Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρία. Πλατὺ γὰρ γελάσουσιν οἱ τάλανες, τὴν τοῦ μυστηρίου δύναμιν εἰσάπαν ἠγνοηκότες. Ἀλλ' οὐκ ἔξω δίκης ἔσονταί ποτε, οὔτε μὴν ἀντικαταμειδιάσουσι τοῦ Χριστοῦ, ἤγουν τῶν Ἐκκλησιῶν. Ἔσονται δὲ κατὰ καιροὺς πυρὸς ἀνημέρου τροφὴ, καὶ φλογὸς ἔργον τῆς ἀκατευνάστου καὶ μακρᾶς. Ἀφίκοντο γὰρ εἰς τοῦτο μανίας καὶ σκαιότητος νοῦ τῶν παρ' Ἕλλησί τινες, ὡς ἀσελγῆ καταθῆξαι γλῶσσαν τοῦ θείου τε καὶ εὐαγγελικοῦ κηρύγματος, καὶ βίβλοις ἐγγεγραμμένην ἀφεῖναι τὴν κατάῤῥησιν· ἵνα μὴ μόνον αὐτοὺς αἱ ἁμαρτίαι προσάγωσιν εἰς κρίσιν, ἀλλὰ γὰρ ἔποιντο καὶ τεθνεῶσιν αὐτοῖς, διά τοι τὸ οἷον ἔμψυχον ἐγκαταλελοιπέναι τὴν ἁμαρτίαν. Ταλανίζει δὴ οὖν, καὶ σφόδρα εἰκότως, τοὺς λαβόντας ὀνειδισμὸν κατὰ τῆς ἁγίας Ἐκκλησίας, οἷς δὴ καὶ μάλα εἰκότως ἁρμόσειεν ἂν τὸ Οὐαί.

XLV. Crucem Salvatoris, pro vita mundi et incorruptione erectam, Ecclesiæ honori et gloriæ esse, si recte sentiamus, asseverabimus. Quod ipsum et sapiens Paulus confitetur, in hæc verba scribens : « Mihi autem absit gloriari, nisi in cruce Domini nostri Jesu Christi, per quem mihi mundus crucifixus est, et ego mundo [38]. » Verumtamen idem rursus ait, crucem Judæis esse scandalum, gentibus autem stultitiam [39]. Affatim enim ridebunt miseri, crucis virtutem prorsus ignorantes, sed pœnas non evadent, neque Christum, aut Ecclesias irridebunt. Erunt autem aliquando e medio sublati nutrimentum sævi ignis, flammaque nunquam sopienda peremnique cruciabuntur. Eo namque insaniæ et stuporis Græcorum nonnulli prodierunt, ut protervam linguam contra divinam Evangelii prædicationem exacuerent, conscriptisque libris maledicta adversus eam ederent, ut eos non solum viventes peccata eorum in judicium adducerent, sed mortuos etiam comitarentur, quod peccatum velut animatum post se D reliquissent. Deplorat igitur, et vehementer quidem ac merito, eos qui accipiunt opprobrium contra sanctam Ecclesiam, in quos aptissime Væ quadraverit.

Ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκέν σου ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει Κύριος, καὶ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ θήσομαι αὐτοὺς εἰς καύχημα, καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ, καὶ καταισχυνθήσονται ἐν τῷ καιρῷ ἐκείνῳ, ὅταν καλῶς ὑμῖν ποιήσω, καὶ ἐν τῷ καιρῷ ὅταν εἰσδέξωμαι ὑμᾶς.

Vers. 19. *Ecce ego facio in te propter te in tempore illo, dicit Dominus, et salvabo pressam, et repulsam suscipiam, et ponam eos in gloriam, et nominatos in omni terra; et confundentur in tempore illo, quando bene vobis fecero, et in tempore quando suscepero vos.*

[33] II Cor. v, 17. [34] Ephes. I, 10. [35] II Tim. I, 15. [36] Matth. IX, 13. [37] Isa. LIII, 4. [38] Galat. VI, 14. [39] I Cor. I, 23.

Digitized by Google

XLVI. Iterum ad personam Sion sermo dirigitur, et per Christum admirabiliter et egregie patrata, circa gentium greges nimirum, **624** et abjectum Israelem promittuntur: « In te enim, inquit, propter te faciam. » Quoniam enim hos avaritia ebrios fecit, illi Deum propter omnium salutem hominem induisse ignorarunt, utrisque communis Opifex misericordiam ultro impertivit, et propter nos in nobis admiranda effecit. Salvata est enim quæ premebatur, hoc est, vexata aliquando errantium multitudo, et eo jam miseriæ ab opprimente Satana conjecta, ut omnem humorem vitalem amitteret. Errore enim seductorum mens parum valet. Suscipitur item repulsa Judæorum Synagoga. Indignissime enim Christum tractavit; ideo jure quoque rejecta fuit, et spe sua excidit, et amicitia Christi spoliata est. Nihilominus et ipsa misericordiam invenit. Nam ad pœnitentiam, et ad salutem per fidem et fiduciam, in extremis sæculorum temporibus vocabitur. Erunt igitur in gloriam, et nominati, et a confusione remotissimi. Ipsi vero, imo hi duo populi non amplius erunt divisi, et inter se sententia discrepantes ac discreti opinionibus de Deo, sicut quondam, sed unitate per Spiritum ad voluntatum fideique concordiam approbe devincti. Exstat enim in sacris Litteris, multitudinis credentium fuisse cor unum et animam unam [40]. Condidit autem etiam Christus hosce duos populos in unum et novum hominem, faciens pacem, et ambos reconcilians in uno spiritu, sicut scriptum est [41]. Si igitur boni æmulatores fuerint, tunc omnino confusum iri inimicos affirmat, magnitudine collatæ in illos gloriæ, et immobilitate felicitatis, ac firmitate spei obstupefactos [42]. Fas etiam e rebus ipsis veritatem promissionis perspicere. Glorificata enim est Ecclesia Dei, eximiorumque ornamentorum plena apud omnes admirationi est. Verumtamen et tempus definit, quo isthæc futura sint. Inquit enim, « in tempore, quando suscipiam vos. » Non enim præcedunt fidem, quæ sequuntur fidem, et post ipsam potius intelliguntur. Vocati sumus igitur tempore incarnationis Unigeniti. Tunc enim, tunc, inquam, veritas promissioni finem attulit.

MΓ'. Γέγραπται πάλιν ὁ λόγος εἰς τὸ τῆς Σιὼν πρόσωπον, ὑπισχνεῖται δὲ τὰ διὰ Χριστοῦ παραδόξως κατωρθωμένα, περί τε τὰς ἐξ ἐθνῶν ἀγέλας καὶ τὸν ἀπόβλητον Ἰσραήλ· « Ἐν σοὶ γὰρ, φησὶ, ἕνεκά σου ποιήσω. » Ἐπειδὴ γὰρ οἱ μὲν ἐκ πλεονεξίας ἀπεκομίσθησαν εἰς μέθην, οἱ δὲ ἠγνοήκασι τὴν ἐπὶ σωτηρίᾳ τῶν ὅλων ἐνηνθρωπηκότα Θεὸν, ἀμφοτέροις ἐπιδαψιλεύεται τὸν ἔλεον ὁ πάντων Δημιουργὸς, καὶ ἕνεκα ἡμῶν ἐν ἡμῖν πεποίηκε θαύματα. Σέσωσται μὲν γὰρ ἡ ἐκπεπιεσμένη, τουτέστιν, ἡ τεθλιμμένη ποτὲ τῶν πεπλανημένων πληθὺς, καὶ εἰς τοῦτο λοιπὸν ἐνηνεγμένη ταλαιπωρίας ὑπὸ τοῦ καταπιέσαντος Σατανᾶ, ὡς πᾶσαν ἐκμάξαι ζωτικὴν ἀποβαλεῖν. Μικρὸς γὰρ νοῦς ὁ πλανώμενος. Εἰσδέχεται δὲ καὶ ἡ ἀπωσμένη τῶν Ἰουδαίων Συναγωγή. Πεπαρώνηκε μὲν γὰρ εἰς Χριστόν· ταύτῃ καὶ δικαίως ἀπόπεμπτος ἦν, καὶ παρώλισθε τῆς ἐλπίδος, καὶ τῆς εἰς Χριστὸν οἰκειότητος ἀπενοσφίζετο. Πλὴν τἀλέγεται καὶ αὐτή· κληθήσεται γὰρ πρὸς μετάγνωσιν, καὶ εἰς τὴν διὰ πίστεως κάθαρσιν ἐν ἐσχάτοις τῶν αἰώνων καιροῖς. Ἔσονται δὴ οὖν εἰς καύχημα, καὶ ὀνομαστοὶ, καὶ αἰσχύνης ὡς ἀποτάτω. Αὐτοὶ δὲ δή τινες, ἢ πάντες οἱ δύο λαοὶ οὐκ ἔτι διῃρημένοι, καὶ ἀσύμβατον ἔχοντες ἀλλήλοις τὴν γνώμην, καὶ μεμερισμένοι πρὸς δόξας τὰς ἐπὶ Θεῷ, καθὰ καὶ πάλαι· ἀλλ' ἑνότητι τῇ διὰ Πνεύματος εὖ μάλα κατεφυγμένοι πρὸς ὁμοψυχίαν τε ἅμα καὶ ὁμοπιστίαν. Γέγραπται γὰρ, ὅτι Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. Ἔκτισε δὲ καὶ ὁ Χριστὸς τοὺς δύο λαοὺς εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάσσων ἀμφοτέρους ἐν ἑνὶ πνεύματι, καθὰ γέγραπται. Εἰ δὴ οὖν γένοιντο ζηλωτοὶ, τότε δὴ πάντως καταισχυνθήσεσθαί φησι τοὺς ἐχθροὺς, τὸ τῆς δοθείσης εὐκλείας μέγεθος κατατεθηπότας, καὶ τὸ τῆς εὐημερίας ἀκράδαντον, καὶ τῆς ἐλπίδος τὸ βεβηκός. Ἴδῃ δ' ἄν τις καὶ ἐξ αὐτῶν ἤδη τῶν πραγμάτων ἀληθῆ τὴν ὑπόσχεσιν. Δεδόξασται γὰρ ἡ Ἐκκλησία Χριστοῦ, καὶ λαμπρῶν αὐχημάτων ἐπίμεστος οὖσα θαυμάζεται παρὰ πάντων. Πλὴν ὁρίζει καὶ τὸν καιρὸν, καθ' ὃν τὰ τοιάδε συμβήσεται. « Ἐν τῷ καιρῷ γὰρ, φησὶν, ὅταν εἰσδέχωμαι ὑμᾶς. » Οὐ γὰρ πρὸ τῆς πίστεως τὰ μετὰ τὴν πίστιν, μετ' αὐτὴν δὲ μᾶλλον νοοῖντ' ἂν εἰκότως. Κεκλήμεθα δὴ οὖν ἐν καιροῖς τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς. Τότε γὰρ δὴ τότε τῆς ἐπαγγελίας τὸ πέρας ἐκβέβηκεν εἰς τὸ ἀτρεκές.

Quia dabo vos nominatos, et in gloriam apud omnes populos terræ, cum convertero ego captivitatem vestram coram vobis, dicit Dominus.

Διότι δώσω ὑμᾶς ὀνομαστοὺς, καὶ εἰς καύχημα ἐν πᾶσι τοῖς λαοῖς τῆς γῆς, ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν ὑμῶν ἐνώπιον ὑμῶν, λέγει Κύριος.

625 XLVII. In summam colligit quodammodo divinæ liberalitatis consilium, et quibus perfruituri sint qui crediderunt, per hæc dilucide ostendit. Passim quippe eos prædicatum iri narrat, et in clarissima luce victuros, et quavis gente beatiores futuros. Addit adhuc, quibus temporibus ista eventura sint, ubique œconomiæ cum carne Unigeniti mentionem faciens: quandoquidem, ut jam a me

MZ'. Ἀνακεφαλαιοῦται τρόπον τινὰ τῆς θεοπρεποῦς φιλοτιμίας τὸν σκοπὸν, καὶ ἐν οἷς ἔσονται πάντως οἱ πεπιστευκότες, διὰ τούτων ὑποφαίνει σαφῶς. Διαβοήτους γὰρ ἔσεσθαί φησι, καὶ αὐχημάτων εἶσω λαμπρῶν, καὶ παντὸς ἔθνους ἐν ἀμείνοσι. Προσεπάγει δὲ πάλιν καὶ καθ' οὓς ἔσονται τὰ τοιάδε καιροὺς, πανταχῆ μεμνημένος τῆς μετὰ σαρκὸς οἰκονομίας τοῦ Μονογενοῦς, ὅτε, καθάπερ ἔφην ἀρτίως, ἡ

[40] Act. IV, 32. [41] Ephes. II, 15, 16. [42] I Petr. III, 13, 14.

Digitized by Google

παντὸς ἀνάδειξις ἀγαθοῦ, καὶ πᾶν ὁτιοῦν τῶν τεθαυμασμένων ἐκδέδηκεν εἰς ἡμᾶς. Τότε γὰρ, τότε καὶ ὑπὸ χεῖρα πράττοντας διαβολικὴν, καὶ τοῖς τῆς σαρκὸς πάθεσιν ὑπεζευγμένους, παραδόξως ἐξείλετο. Τότε καὶ τῆς πολυθέου πλάνης ἀπήλλαττε καὶ μετετίθει πρὸς ἀλήθειαν. Τότε καὶ τῶν τοῦ θανάτου δεσμῶν ἐξείλετο, δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ ἡμῶν, καὶ τῷ Θεῷ καὶ Πατρὶ κατακτώμενος τὴν ὑπ' οὐρανόν. Κεκλήμεθα γὰρ δι' αὐτοῦ, καὶ τὴν ἐν πνεύματι προσαγωγὴν καὶ οἰκειότητα πεπλουτήκαμεν, δι' αὐτοῦ δὴ, φημὶ, Χριστοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ Θεῷ καὶ Πατρὶ δόξα, κράτος, τιμὴ, καὶ προσκύνησις, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A dictum est, omne bonum inde, et quidquid est admirabile, in nos derivatum atque profectum est. Tunc enim, tunc sub potestate diabolica agentes, et carnis perturbationibus subjectos, mirabili modo eripuit. Tunc item errore in pluribus diis colendis liberavit, et ad veritatem transtulit. Tunc etiam vinculis mortis exemit, semetipso pro nobis in pretium dato, et Deo ac Patri mortalium genus recuperavit. Vocati enim sumus per ipsum [43], oblationemque in spiritu, et amicitiam Dei per Christum ipsum, ut magnas opes, acquisivimus; per quem et cum quo Deo et Patri gloria, imperium, honor, et adoratio, cum sancto Spiritu, nunc et semper, et in sæcula sæculorum. Amen.

[43] Rom. I, 6.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΕΞΗΓΗΣΙΣ ΥΠΟΜΝΗΜΑΤΙΚΗ

ΕΙΣ ΤΟΝ ΠΡΟΦΗΤΗΝ ΑΓΓΑΙΟΝ.

—

S. P. N. CYRILLI

ALEXANDRIÆ ARCHIEPISCOPI

IN AGGÆUM PROPHETAM COMMENTARIUS.

—

ΠΡΟΟΙΜΙΟΝ.

Α'. Τῆς Ἀγγαίου προφητείας τὸν σκοπὸν ἐφ' ἑτέροις τισὶ γεγονότα ἀθρήσαιμεν ἂν, καὶ οὐκ ἐφ' οἷς ἂν οἰοιτό τις τοὺς παρὰ τῶν ἑτέρων γεγενῆσθαι λόγους. Ὥσπὲρ μὲν γὰρ καὶ οἱ καθεξῆς, μέχρι Σοφονίαν, τὰ τοῖς Ἰουδαίοις κατὰ καιροὺς συμβησόμενα προαπήγγελλον, καὶ ὡς ὅσον οὔπω παρεσομένων αὐτοῖς τῶν τῆς αἰχμαλωσίας καιρῶν, ἐκδειματοῦν ἐπεχείρουν τὸν Ἰσραὴλ, ἄνω τε καὶ κάτω τὰς τῶν πολέμων ὀνομάζοντες φάλαγγας, τὰς τῶν πόλεων ἀναστάσεις, τοὺς ἐμπρησμοὺς, τὰς διαρπαγὰς, καὶ ἁπάσης δὲ τῆς χώρας τὴν δήωσιν, τοῖς καταφρονεῖν ἠρημένοις χρησίμως προαπαγγέλλοντες. Ἦν γὰρ ὅτε, κἂν εἰ μὴ ἔλοιντο πληροῦν ὡς ἐξ ἀγαθῆς δι-

B

626 PROŒMIUM.

I. Alium Aggæo, quam cæteris prophetis scopum fuisse propositum, nec eum de iisdem cum aliis verba facere, videre licet. Oseas enim et qui ordine sequuntur, usque ad Sophoniam, Judæis olim eventura prænuntiabant, et Israelitas ut jamjam in captivitatem abducendos perterrere studebant, bellicas copias passim memorantes, urbium excidia, depopulationes, et totius regionis devastationem contemptoribus utiliter ante denuntiantes. Rebantur enim, tametsi bona mente Deo grata efficere, et laudabilibus studiis sese dedere detrectarent, tamen calamitatis magnitudinem aliquantum reformidaturos. Aggæus autem, ut temporibus captivitatis jam

Digitized by Google

præteritis, et Israele a Persis **627** et Medis in A sanctam civitatem reverso, hujusmodi de causis verba facit. Liberavit eos servitute Cyrus, et ablatis secum sacris vasis domum redire, divinumque templum Hierosolymis reædificare, atque insuper ipsam urbem, si liberet, mœnibus cingere jussit. Quod cum fieri cœptum esset, et jacta jam prima templi fundamenta, invidia stimulati quidam e Samaria, Belemus cum sociis, Israelitas deferunt, erga Babyloniorum regem benevolentiam fingentes, Hierosolymam ad arma descendisse, et indomitam evasisse, ac de cætero ipsis Persarum regibus intolerabilem fore dicentes. Deinde suadent uti Judæis cessationem imperet, et neque templum denuo excitare, neque ad urbis instaurationem incumbere sinat. Non ita multum intercessit temporis, cum B Darius regnum excipit, et jam annum secundum regnabat. Quoniam vero Judæi quidam Babylone versantes genibus flexis suppliciter rogabant uti templum excitare fas esset, mandavit Darius, scripsitque totius Phœniciæ magistratibus, ne Judæos in templo instaurando impedirent, quin et sumptibus pecuniisque liberaliter juvarent, et cedros de Libano avehere impune sinerent, ut nulla re necessaria desiderata, facile deinceps perficerentur, quæ ad honorem et gloriam Dei pertinerent. Cæterum quia accurate et perspicue historia libro primo Esdræ descripta est, supervacaneum arbitror, in præsentia subtilius de his disserere. Itaque cum jam Israelitis laborandi, divini templi ædificandi, et sacrificia conficiendi, et preces obeundi, et secundum legis C instituta vivendi potestas obtigisset, socordes evadebant, suam sibi quisque domum bene curantes, et omnimodis ad privata oblectamenta effusi, et ad Dei gloriam spectantia parvi admodum ducentes, rursum a Deo, non quidem bello, sed peste, et frugum penuria, et interitu jumentorum male multabantur. Emendare enim illos volebat, non pro ratione delictorum pœnis eos subjiciens, sed simul ut malis defessos miserans, et simul ex charitate corrigens. Hæc, ut breviter exposui, est Aggæi prophetiæ occasio. Mista est oratio, et in actis dictisque historicis mystica et intima spiritualibusque conveniens meditatio abscondita latet.

καὶ κτηνῶν καταφθοραῖς. Ἀμείνους γὰρ ἤθελε ποιναῖς ὑποφέρων, ἀλλ' ὁμοῦ μὲν ὡς κεκμηκότας Αὕτη τῆς Ἀγγαίου προφητείας ὡς ἐν ὀλίγοις ἡ νοις τε καὶ εἰρημένοις ἱστορικῶς ἡ μυστικὴ τε καὶ ἐσωτάτη καὶ πρέπουσα τοῖς πνευματικοῖς ἐγκέχυ σται θεωρία.

νοίας τὸ ἀνδάνον Θεῷ, καὶ τῶν εἰς ἄμεινον ἔχεσθαι σπουδασμάτων, ἀλλ' οὐκ ἔσεσθαι τοιούτους τὸ τῆς συμφορᾶς μέγεθος ὑποφρίττοντας. Ἀγγαῖός γε μὴν ὡς τετελεσμένων ἤδη τῶν τῆς αἰχμαλωσίας καιρῶν, καὶ εἰς τὴν ἁγίαν πόλιν ἀνακομισθέντος τοῦ Ἰσραὴλ ἐκ τῆς Περσῶν τε καὶ Μήδων, ποιεῖται τοὺς λόγους ἐπ' αἰτίαις τοιαύταις. Ἀνῆκε μὲν γὰρ αὐτοὺς τῆς αἰχμαλωσίας ὁ Κύρος, καὶ ὁμοῦ τοῖς σκεύεσι τοῖς ἱεροῖς οἴκαδέ τε ἰέναι προστέταχε, καὶ τὸν θεῖον αὖθις ἀναδείμασθαι νεών, τὸν ἔν γε τοῖς Ἱεροσολύμοις, καὶ πρὸς ἔτι τούτῳ καὶ αὐτὴν, εἰ ἔλοιντο, τειχίζειν τὴν πόλιν. Οὗ δὴ γεγονότος, καὶ ἐν πρώταις ὄντος καταβολαῖς τοῦ ναοῦ, διαπεφθονηκότες τῶν ἐν Σαμαρείᾳ τινὲς, Βήλαιμός τε καὶ οἱ ἀμφ' αὐτὸν, καταγράφουσι τῶν ἐξ Ἰσραὴλ, τὴν εἰς κρατοῦντα τῶν Βαβυλωνίων εὔνοιαν (1) ὑποπλαττόμενοι, φιλοπόλεμόν τε καὶ δυσάντητον γεγενῆσθαι λέγοντες τὴν Ἱερουσαλὴμ, καὶ αὐτοῖς δὴ τοῖς Περσῶν βασιλεῦσιν ἀφόρητον. Εἶτα πείθουσι προστάξαι κατηρεμεῖν Ἰουδαίους, καὶ μήτε τὸν νεὼν ἐγείρειν ἔτι, μήτε μὴν τῆς εἰς τὴν πόλιν ἔχεσθαι φιλεργίας. Ὀλίγου δὲ μεταξὺ διελάσαντος χρόνου, διαδέχεται τὴν βασιλείαν ὁ Δαρεῖος· καὶ ἦν μὲν ἔτος αὐτῷ δεύτερον. Ἐπειδὴ δὲ τῶν ἐν Βαβυλῶνί τινες Ἰουδαίων προσπίπτοντες ἐλιπάρουν ἀνεῖναι λοιπὸν τὸν θεῖον ἐγεῖραι ναὸν, προσέταττεν ὁ Δαρεῖος, γέγραφε δὲ τοῖς ἀνὰ πᾶσαν τὴν Φοινίκην διέπουσι τὰς ἀρχὰς, μήτε ἐξείργειν Ἰουδαίους, εἰ ἀνορθοῦν ἔλοιντο τὸν νεὼν, ἀλλὰ καὶ χρημάτων ἐπιδαψιλεύεσθαι χορηγίαν, καὶ τὰς ἐν τῷ Λιβάνῳ κέδρους ἀποκομίζεσθαι παρ' αὐτῶν ἐμποδίστως ἐᾷν, ὡς ἂν, οὐδενὸς ἐνδέοντος τῶν εἰς τὴν χρείαν, αὐτοῖς ἀποπεραίνοιντο λοιπὸν εὐκόλως τὰ εἰς τιμήν τε καὶ δόξαν Θεοῦ. Εἰρημένης δὲ τῆς ἱστορίας λεπτῶς καὶ σαφῶς ἐν τῇ πρώτῃ τοῦ Ἔσδρα συγγραφῇ, περιττὸν οἶμαί που τὸ ἰσχνολογεῖν ἐν τούτοις εἰς τὸ παρόν. Οὐκοῦν ἐπειδήπερ ἐξῆν ἤδη πονεῖν τοῖς ἐξ Ἰσραὴλ, καὶ τὸν θεῖον ἐργάσασθαι νεών, ἀποπληροῦν τε θυσίας καὶ λιτὰς, καὶ τοῖς κατὰ νόμον ἔθεσι πολιτεύεσθαι, κατημέλουν οἱ ἐξ Ἰσραὴλ, εὖ τιθέντες ἕκαστος τὴν οἰκείαν, καὶ ἐπί γε τὸ σφίσιν αὐτοῖς ἡδύ τε καὶ φίλον ὁλοτρόπως ἐκνενευκότες, καὶ ἐν σμικρῷ κομιδῇ ποιούμενοι λόγῳ τὰ εἰς δόξαν Θεοῦ, κατηκίζοντο πάλιν Θεοῦ πλήττοντος, πολέμῳ μὲν οὐχὶ, λοιμοῖς δὲ μᾶλλον, καὶ ἀκαρπίαις, ἀποτελεῖν, οὐ ταῖς ἰσορρόποις τῶν πταισμάτων ἕλεσιν, ὁμοῦ δὲ πάλιν ὡς ἐξ ἀγάπης ἐπανορθῶν. πρόφασις. Μέμικται δὲ ὁ λόγος, καὶ τοῖς πεπραγμέ-

628 CAP. I.

VERS. 1. *In secundo anno sub Dario rege, in mense sexto, una mensis, factum est verbum Domini in manu Aggæi prophetæ, dicens.*

II. Supra docui, Israelitarum desidiam in templo reædificando excusabilem fuisse, ablata ipsis pote-

ΚΕΦΑΛ. Α'.

Ἐν τῷ δευτέρῳ ἔτει ἐπὶ Δαρείου βασιλέως, ἐν τῷ μηνὶ τῷ ἕκτῳ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων.

Β'. Φθάσας ἔφην, ὡς ἦν εὐάφορμος τοῖς ἐξ Ἰσραὴλ ἡ ἐπί γε τῷ ναῷ ῥᾳθυμία, παρῳρημένης αὐ-

(1) Aubertus, ἄνοιαν, et interpres, *adversus Babyloniorum regem insanire comminiscentes.* EDIT.

Digitized by Google

τῶν τῆς ἐξουσίας, καὶ διεφθονηκότων εἰς τοῦτο ἐν Σαμαρείᾳ, πλείστην τε ὀργὴν τῆς Ἱερουσαλὴμ πεποιημένων τὴν κατάῤῥησιν παρά γε τοῖς τὰ Περσῶν ἰθύνουσι κράτη. Δαρείου γε μὴν ἔτος ἤδη τρίδοντος ἐν τῇ βασιλείᾳ δεύτερον, εἶτα τῆς φιλεργίας αὐτοῖς ἀπαραπόδιστόν τε καὶ ἐλευθέραν ἀνέντος τὴν ἐξουσίαν, καὶ ὁρᾷν τὸ δοκοῦν ἐπιτεταχότος, καὶ ὁσίων ἔχεσθαι σπουδασμάτων, προσαπονείμαντος δὲ καὶ χρημάτων πόρους, εὐάφορμον μὲν οὐκ ἔτι τὸ ῥᾳθυμεῖν, ἀλλ' ἔξω παντὸς ἐφαίνετο λόγου, καὶ ἀμήχανον ἔχον κομιδῇ τὴν σκῆψιν. Γίνεται τοίνυν ὁ λόγος ἐν χειρὶ Ἀγγαίου, τὸ δὲ ἐν χειρὶ νοήσεις, ἀντὶ τοῦ, διαχειρίζοντος, ἤγουν διακονουμένου τοῖς παρὰ Θεοῦ λόγοις, καὶ τὴν τῆς προφητείας λειτουργίαν ἐκπράττοντος. Ἐπισημαίνεται δὲ χρησίμως καὶ αὐτοὺς τοὺς χρόνους, καθ' οὓς ὁ Δαρεῖος τὰ τοιάδε προστέταχε, προαποτέμνων, ὡς ἔφην, τῶν ἐξ Ἰσραὴλ τὰς ἐπί γε τῷ ῥᾳθυμεῖν ἐλέσθαι πάλιν ἀσυνέτους εὐρεστιλογίας.

A state ex invidia quorumdam, qui in Samaria habitabant, et Hierosolymam apud Persarum principes gravissime accusabant. Dario autem annum jam secundum regnante, et, operis faciendi omni impedimento sublato, facultatem permittente, ac pro arbitratu agere sanctaque studia prosequi jubente, et insuper pecuniarum modum attribuente, jam desidia excusationem habere probabilem non poterat, et quod prætexeretur, rationi minime consentaneum nec admittendum apparebat. Proinde verbum fit in manu Aggæi, pro, per Aggæum administrum, sive subservientem verbis Dei, et vaticinandi ministerium peragentem. Commode etiam tempora ipsa significat, quibus hæc Darius præceperit, Israelitis, ut dixi, imprudentes et inanes cessationis suæ purgationes denuo præcidens.

Εἶπον πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ, λέγων· Ὁ λαὸς οὗτος λέγουσιν· Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου.

B Vers. 2. *Dic ad Zorobabel filium Salathiel de tribu Juda, et ad Jesum filium Josedec, sacerdotem magnum, dicens : Hæc dicit Dominus omnipotens, dicens : Populus iste dicunt : Non venit tempus ædificandi domum Domini.*

Γ'. Σαλαθιὴλ γέγονεν Ἰεχονίου υἱὸς, ἐκ φυλῆς ὄντος καὶ αἵματος τοῦ Δαβίδ. Τούτου τὴν βασιλίδα διέποντος ἀρχὴν ἐν Ἱεροσολύμοις ἐπὶ τὸν Ἰούδαν, πεπόρθηται μὲν ἡ πόλις, ἀπῴχετο δὲ καὶ πᾶς ὁ Ἰσραὴλ αἰχμάλωτος, καταπιμπράντος τὸ τηνικάδε τοῦ Ναβουχοδονόσορ καὶ αὐτὸν τὸν θεῖον ναὸν, εἵληπτο δὲ καὶ αὐτὸς Ἰεχονίας, καὶ ὁμοῦ τοῖς ἄλλοις αἰχμάλωτος ἦν· Γέγονε δὲ Σαλαθιὴλ υἱὸς Ζοροβάβελ. Τοιγάρτοι καὶ ὑπονοστήσαντος τοῦ Ἰσραὴλ ἐν Ἱεροσολύμοις, ὅτε δὴ καὶ ἐξ αἵματος ὢν τῆς τὸ βασιλεύειν λαχούσης φυλῆς, βεβασίλευκεν ἐπὶ τὸν Ἰούδαν. Ἰησοῦς γε μὴν ὁ ἐκ φυλῆς καὶ αἵματος ὢν τοῦ Λευΐ, καὶ ὡς ἐκ ῥίζης τοῦ Ἀαρὼν, τὴν ἐξηρημένην τῶν ἄλλων καὶ ἀπόλεκτον ἀνῆπτε τιμὴν, καὶ μέγας ἦν ἱερεύς. Οὕτω γὰρ ὁ νόμος τὸν τῶν ἱερῶν ταγμάτων ἡγεῖσθαι λαχόντα κατωνόμαζε λέγων, μὴ δεῖν ἀνεῖσθαι φυγῆς τοὺς ἐν ταῖς πόλεσι τῶν φυγαδευτηρίων· ἀλλ' ἔνθαπερ εἷεν ἕκαστοι, μένειν αὐτοῦ, ἕως οὗ ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, τουτέστι, ὁ ἀρχιερεύς. Γέγονε τοίνυν ὁ λόγος πρὸς ἄμφω, τόν τε βασιλέα φημὶ καὶ τὸν τῶν ἱερῶν ταγμάτων προεστηκότα· αὐτοὺς γὰρ ἦν εἰκὸς τοῖς ἄλλοις ἅπασι περιαγγεῖλαι τὸ χρησμῳδούμενον. Οὐκ ἠγνοηκόσι δὲ, οἶμαι, τὰς τῶν λαῶν σκήψεις, ἀπαγγεῖλαι προστέταχεν ὁ τῶν ὅλων Θεὸς, ἀλλ' οἷον ἐπιμειδιῶν ἅμα πίπτουσιν οὐκ ἐν καιρῷ πρὸς τὸ ῥᾴθυμον, καὶ ὧν ἦν εἰκὸς ἐσπουδασμένως ποιεῖσθαι φροντίδα, τούτων αὐτῶν οὐ μετρίως ἠφειδηκότας. Ἦν γὰρ ἄμεινον ἐννοεῖν ὡς, εἴπερ ἦν αὐτοῖς ἐν προὐργιαιτέρῳ λόγῳ τὰ τοῦ Θεοῦ, πάντως καὶ τῇ παρ' αὐτοῦ φειδοῖ καὶ χάριτι πρὸς τὸ εὖ ἔχειν διακρατούμενοι, διήγαγον ἂν ἐν εὐημερίαις καὶ πλούτῳ, καὶ ἀμφιλαφῶς ἔχοντες τὰ ζωαρκῆ. Οὐκοῦν οἱονεί πως ἐπιμαρτύρεται διὰ τῆς τοῦ προφήτου

III. Salathiel filius fuit Jechoniæ, natus ex tribu et sanguine David. Eodem Jechonia Hierosolymis regnum Juda administrante, urbs excidium passa, et omnis Israel in captivitatem actus est, et Nabuchodonosor ipsum sacrosanctum templum inflammavit; comprehensus est etiam ipse Jechonias, et una cum cæteris captivus factus. Salathielis filius fuit Zorobabel. Reverso itaque Israele Hierosolymam, Zorobabel, ut regia tribu progenitus, Judæ cum regia potestate præfuit. Jesus autem, ex tribu et sanguine Levi oriundus, 629 et ut e radice Aaron propagatus, eminentiorem aliis et eximiam magni sacerdotii consecutus est dignitatem. Sic namque lex sacrorum ordinum principem nominavit, cum dixit, non oportere tradere fugitivos, qui ad urbes pro asylis designatas confugerint: sed manere unumquemque ubi fuerit [a], donec sacerdos magnus, hoc est, summus sacerdotum moriatur. Factum est igitur verbum ad ambos, ad regem, inquam, et sacrorum ordinum principem : ipsos enim cæteris omnibus oraculi responsum nuntiare æquum erat. Opinor autem, universorum Deum non quasi populi excusationem nescientibus ferre nuntium jussisse, sed velut nonnihil irridentem eos, qui intempestive ad segnitiem simul prolapsi essent, et quæ studiosissime curare conveniebat, ea ipsa magnopere neglexissent. Præstabat enim cogitare, siquidem ipsis res divinæ potiores fuissent, se utique illius indulgentia et gratia ad tempora felicia conservatos, in rebus ad votum succedentibus et divitiis vitam agitare, illique tuendæ necessariis affluere. Quare per os prophetæ testificatur quodammodo, Israelem sibimet inprimis conducibilia et ad gloriam Dei

[a] Josue xx, 1-6.

Digitized by Google

spectantia impie neglexisse. Speciosis enim, ut quidem ipsi putabant, sed inanium verborum tegumentis crimina sua operientes, tempus ædificandi templum Domini nondum adesse autumabant; sed volentibus bene agere semper adest tempus, et boni ac justi divinæ gloriæ operam navandi potestatem semper habent. Quod si e medio removeatur id, quod prohibere et obniti videtur, tunc quæ super hoc dici queant, difficillime profecto dilationem excusabunt, sed torporem et summam inertiam accusabunt potius. Et hoc est, ut existimo, quod voce Davidis dicitur : « Ne declines cor tuum in verba malitiæ ad excusandas excusationes in peccatis [43]. »

A φωνῆς, ὡς ἀνοσίως ἠμεληκότα τὸν Ἰσραὴλ τῶν ὅτι μάλιστα χρησίμων αὐτῷ, καὶ εἰς δόξαν ὁρώντων Θεοῦ. Περιστέλλοντες γὰρ, καθάπερ οὖν οἴονται κατὰ σφᾶς αὐτοὺς, εὐπροσώποις εὑρεσιλογίαις τὰ ἐγκλήματα, οὔπω φασὶ παρεῖναι τὸν καιρὸν τοῦ ἀναδείρασθαι τὸν νεὼν Κυρίου· ἀλλ' ὅτε τοῦ δρᾶν ἐθέλειν ὀρθῶς ἀεὶ πάρεστι καιρὸς, καὶ τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσι τὰ εἰς δόξαν Θεοῦ πληροῦν ἐξουσία διαπαντός. Εἰ δὲ καὶ τὸ ἀπεῖργον καὶ ἀντιτετάχθαι δοκοῦν οἰκοτρόπως ἐκποδὼν, τότε δὴ παγχάλεπος ἀληθῶς ἡ ἀνάβλησις καὶ ὄκνου λοιπὸν ἔγκλημα, καὶ τῆς εἰς ἄκρον ἀφιλεργίας, οἷπερ ἂν γένοιντο περὶ τούτου λόγοι. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ διὰ φωνῆς τοῦ Δαβὶδ· « Μὴ ἐκκλίνῃς τὴν καρδίαν σου εἰς λόγους πονηρίας, τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρ-
B τίαις. »

Vers. 3, 4. *Et factum est verbum Domini in manu Aggæi prophetæ, dicens : Si tempus vobis est, ut habitetis in domibus vestris concavis ? At domus ista deserta est.*

IV. Alterum oraculum ad Aggæum, quo haud obscure damnatur Israel, demonstraturque eos ad privatam quietem et delicias pertinentia Dei gloriæ anteponere. Quid? inquit, an nondum adest tempus honorando universorum Deo æde sacra de integro constructa, vestræ autem res eo temporis et deliciarum venerunt, **630** ut voluptuose degatis in ædibus eleganter ædificatis, et cavis atriis gloriemini? Itane? vobis molestum et intolerandum non videtur, templum eversum et aspectu fœdissimum, et tantum non missa voce Babyloniorum impietatem et vetera illa incendia proclamans, injuriosissimeque et nefarie violatum intueri ? At enim conditum visuque decentissimum templum quomodo non malitis aspicere? Sic enim in posterum copia erit et sacrificandi Deo, et precationes fundendi quibus pro rebus volueritis. Domos autem cavas nominat, quarum antepagmenta, sive postes portarum ferro sculpti, opificum solertia circumcirca emblematis mira varietate et artificio elaboratis exornantur. Quod quidem molliter vitam instituentium, et divitias amplas possidentium argumentum est. Nam citra necessitatem tam ambitiose in domibus exædificandis prodire, pecuniam grandem certissimo coarguit. Quare ingens profecto piaculum committimus, nec prætendere ad excusandum quidquam possumus, si divina in secundis et humanis posteriora ducamus.

Καὶ ἐγένετο λόγος Κυρίου ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων· Εἰ καιρὸς μὲν ὑμῖν ἐστι, τοῦ οἰκεῖν ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις ; Ὁ δὲ οἶκος οὗτος ἐξηρήμωται.

Δ'. Δεύτερος χρηματισμὸς παρὰ Θεοῦ πρὸς Ἀγγαῖον ἐλέγχῳ σαφεῖ κατακρίνων τὸν Ἰσραὴλ, καὶ τῆς τοῦ Θεοῦ δόξης ἐν ἀμελήσει τιθέντος δεικνύων τὰ εἰς ἰδίαν ἀνάπαυλαν καὶ τρυφήν. Ἆρα γὰρ, φησὶν, οὔπω μὲν ἐνέστηκεν ὁ καιρὸς τοῦ χρῆναι τιμᾶσθαι τὸν τῶν ὅλων Θεὸν ἐγηγερμένου τοῦ ναοῦ, ἥκει δὲ τὰ ὑμῶν εἰς τοῦτο πράγματα καιροῦ τε καὶ δόξης, ὡς ἐντρυφᾶν μὲν ἐστίαις ἐσκευασμέναις, καὶ κοιλοστάθμοις αὐλαῖς ἐναβρύνεσθαι; Εἶτα ὑμῖν οὐ φορτικὸν καὶ δύσοιστον εἶναι δοκεῖ, περιυβρισμένον
C οὕτως ἀθέσμως ὁρᾶν τὸν νεὼν, ἀνατετραμμένον τε καὶ ἐν ὄψει τῇ λίαν ἀκαλλεστάτῃ, καὶ μονονουχὶ ἀνακεκραγότα τῆς Βαβυλωνίων ἀνοσιότητος καὶ τῶν ἀρχαίων ἐκείνων ἐμπρησμάτων; Καίτοι πῶς οὐκ ἄμεινον εὖ ἔχοντα βλέπειν, καὶ ἐν ὄψει τῇ πρώτῃ; Μετὰ γὰρ τοῦτο λοιπὸν καὶ καταθύειν Θεῷ, καὶ τὰς ὑπὲρ ὧν ἂν ἕλοισθε ποιεῖσθαι λιτάς. Κοιλοστάθμους δὲ οἴκους φησὶν, ὧν ἂν αἱ φλιαὶ, ἤτοι τῶν θυρῶν αἱ σταθμοὶ σιδήρῳ διακοιλαίνοιντο, περιορυττόντων, οἶμαί που, τεκτόνων αὐτοὺς, καὶ τὰ ἀπό γε τῆς σφῶν εὐτεχνίας ἐγχαραττόντων δαιδάλματα. Τρυφώντων δὲ ἤδη τὸ χρῆμα σημεῖον, καὶ πλούτῳ λοιπὸν ἐνευρυνομένων. Τοιγάρτοι χρείας ἐπέκεινα, καὶ φιλότιμον οὕτω περὶ τὰς τῶν οἴκων κατασκευὰς,
D ἀπόδειξις ἂν γένοιτο, καὶ μάλα σαφὴς, τῆς τῶν χρημάτων ἀμφιλαφείας. Πάνδεινον οὖν ἀληθῶς, καὶ ἀπροφάστον ἔχομεν τὴν ἁμαρτίαν, εἰ ἐν δευτέρῳ ποιούμεθα τὰ τοῦ Θεοῦ καὶ τῶν ἀνθρωπίνων ὕστερα.

Vers. 5, 6. *Et nunc hæc dicit Dominus omnipotens : Ponite corda vestra in vias vestras. Seminastis multa, et intulistis pauca : comedistis, et non in saturitatem : bibistis, et non in ebrietatem : operti estis, et non estis calefacti in ipsis : et mercedes congregans congregavit in ligamentum pertusum.*

Καὶ νῦν τάδε λέγει Κύριος παντοκράτωρ· Τάξατε δὴ καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. Ἐσπείρατε πολλὰ, καὶ εἰσηνέγκατε ὀλίγα· ἐφάγετε, καὶ οὐκ εἰς πλησμονήν· ἐπίετε, καὶ οὐκ εἰς μέθην· περιεβάλεσθε, καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς· καὶ ὁ τοὺς μισθοὺς συνάγων συνήγαγεν εἰς δεσμὸν τετρυπημένον.

V. Postpositis, ut dixi, potioribus, et neglectis ad

Ε'. Ἡφειδηκότες, ὡς ἔφην, τῶν προὐργιαιτέρων

[43] Psal. CXL, 4.

Digitized by Google

οἱ ἐξ Ἰσραὴλ, καὶ τῶν εἰς δόξαν Θεοῦ κατημελημένων, ἐτρέποντο μὲν εἰς φροντίδας ἐπί γε σφίσιν αὐτοῖς, οἴκους ἀνιστάντες πολυτελῶς κατεσκευασμένους· εἶτα λέγοντες ἀμαθῶς· Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου. Ἐπειδὴ γὰρ ἦν ἀναγκαῖον προσάγειν αὐτοὺς τὰ εἰς τὴν τοῦ θείου ναοῦ κατασκευήν, εἶτα τοῦτο δρᾷν οὐκ ἤθελον· ταύτῃτοι χρημάτων ἔνδειαν προϊσχόμενοι, χρῆναι μὲν ἔφασκον προσυναγείρειν αὐτοὺς, καὶ οἱονεὶ προαποτρίβεσθαι τὴν πτωχείαν, γηπονοῦντας τέως, ἤγουν ἐμπορευομένους, ἢ θρεμμάτων ἀγέλας συναγηγερκότας, ἤγουν ἕτερόν τι τῶν τοιούτων ἐπιτηδεύοντας. Ἀλλ' ἦν ἄμεινον ἐπιθαρσῆσαι Θεῷ, τῷ καὶ ἐξ ἀμηχάνων εὑρίσκοντι μηχανὰς, καὶ γηπονοῦντας εὐλογεῖν, καὶ τὰς τῶν ὁσίων πορισμῶν ἀνερευνᾷν τὰς τρίβους. Ἐπειδὴ δὲ τῶν εἰς εὐσέβειαν ἀμοιρήσαντες λογισμῶν, καὶ τῆς ἄνωθεν εὐμενείας ἀποκεπτώκασι, κατ' οὐδένα τρόπον πεπραχότες δεξιῶς, ταύτῃτοί φησιν ἀναγκαίως· « Τάξατε δὴ τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. » Ὅμοιον ὡς εἰ λέγοι· Κατανοήσατε λεπτῶς, ποίας ἐβαδίσατε τοῦ βίου τρίβους, ἢ τί τῶν εἰς φιλοκερδίαν ἐπιτηδεύοντες, ἐπράξατε κατ' εὐχήν. « Ἐσπείρατε πολλὰ, καὶ εἰσηνέγκατε ὀλίγα. » Ἀλλ' ἦν ἄμεινον, εὐλογοῦντος Θεοῦ σπείρειν μὲν ὀλίγα, συγκομίζειν δὲ πολλά. Ἐπειδὴ δὲ ἀπῆν ὅπερ ἦν ἀναγκαῖον, πολλοὶ μὲν οἱ πόνοι, βραχεῖς δὲ λίαν οἱ καρποί. « Ἐφάγετε, καὶ οὐκ εἰς πλησμονήν. » Πάνδεινον καὶ τῆς ἐσχάτης ἐνδείας τε ὁμοῦ καὶ ταλαιπωρίας ἔχον ἀπόδειξιν, εἰ πολλὰ μὲν τὰ ἐσπαρμένα, καρποὶ δὲ τοσοῦτοι, ὥστε τοῖς πεπονηκόσι λιμοῦ κατηρτῆσθαι δίκην, καὶ κόρου κατόπιν ἴέναι τὰς τροφάς. « Ἐπίετε, καὶ οὐκ εἰς μέθην. » Οὐ γὰρ ἦν εὔβοτρυς ἀμπελών. Συγκατηρρώστησαν τοῖς ληΐοις καὶ τὰ λίαν εὐκληματοῦντα τῶν ξύλων. « Περιεβάλεσθε, καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς. » λοιμοῦ τάχα που καὶ ταῖς οἷον ἀγέλαις ἐνσκήψαντος, ὡς ἐν ἐνδείᾳ γενέσθαι περιβλημάτων καὶ τοὺς πολλὰ κεκτημένους. Ἀλλὰ καὶ « ὁ τοὺς μισθοὺς συνάγων, συνήγαγεν εἰς δεσμὸν τετρυπημένον. » Σημαίνει δὲ διὰ τούτων τοὺς ἐμπορικὸν ἔχοντας ἐπιτήδευμα, οἳ τρόπον τινὰ τοὺς τῆς ἐμπορίας μισθοὺς συλλέγουσι, πλεονασμοὺς ἑκάστῳ τῶν ἠγορασμένων ἐπιῤῥιπτοῦντες ἀεὶ, καὶ ταῖς τῶν τιμημάτων προσθήκαις ἀδρὰ ποιοῦντες τὰ βαλάντια. Ἀλλ' ἦν οὐδὲ τούτοις τὸ ἀπόνασθαι, φησὶν, τῆς φιλοκερδίας. Ζημίαις γὰρ τάχα που καὶ ναυαγίοις ἀδοκήτοις περιπίπτοντες, οὐδὲν διαφέρειν ἐδόκουν τῶν ἀργύριον ἐντων εἰς δεσμὸν τετρυπημένον. Ἄμεινον οὖν ἄρα καὶ σοφὸν τὸ εὐλογεῖσθαι ζητεῖν ὑπὸ τοῦ πάντα ἡμῖν ὀρέγοντος Θεοῦ. Προσγένοιτο δ' ἂν καὶ τοῦτο ῥᾳδίως τοῖς τὰ αὐτοῦ φρονεῖν ᾑρημένοις, καὶ τὰ εἰς δόξαν αὐτοῦ τῶν ἰδίων προτετιμηκόσιν. Οὕτω που καὶ αὐτὸς εἴρηκε ὁ Σωτήρ· « Μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε. Ζητεῖτε δὲ μᾶλλον τὴν βασιλείαν Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτῆς, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. »

A Dei gloriam conferentibus, Israelitæ ad rerum suarum curas sese dabant, ædes sumptuose construentes; deinde tempus domus Domini ædificandæ nondum venisse inscite affirmabant. Quoniam enim quæ ad templi structuram facerent, eos conferre oportebat, id illi nolebant. Ideo pecuniæ angustiam excusantes, prius conquirendos esse sumptus, et paupertatem ante quasi abstergendam autumabant, colendis agris interea, aut mercatura, aut pecuaria facienda, aut alio quodam negotio hujusmodi. Atqui satius erat fidere Deo, qui viam etiam per invia invenit, et ditare, et cum terra rationem habentibus, et justos comparandæ pecuniæ modos indagantibus benedicere potest. Quia vero a cogitationibus pietatis alieni, et Deo exosi, nullam partem veræ felici- B tatis gustabant, **631** idcirco audire eos oportuit : « Ponite corda vestra in vias vestras. » Ac si diceret : Considerate diligenter quales vitæ semitas ambulaveritis, aut quidnam quæstus causa persequentes, optata tuleritis. « Seminastis multa, et intulistis pauca. » Atqui melius erat, Deo benedicente seminare pauca, et colligere multa. Sed quia defuit quod necessarium erat, multi quidem labores, perexigui autem fructus. « Comedistis, et non ad saturitatem. » Durissimum est et extremæ egestatis simul ac miseriæ indicium, si multa quidem sementis, fruges autem tantillæ, ut agricolis fames pro pœna impendeat, et alimenta infra satietatem sint. « Bibistis, et non ad ebrietatem. » Non enim erat botris fecunda vinea. Una cum segetibus ægro- C tarunt ligna pulcherrimis ramis viridantia. « Cooperti estis, et non estis calefacti in ipsis, » ovibus forsitan peste occupatis, ut indumenta deessent vel divitibus. Quinetiam « mercedes congregans congregavit in ligamentum pertusum. » Per hæc mercaturam sectantes exprimit, qui artificio quodam exercendæ mercaturæ mercedes colligunt, in unoquoque quod vendunt majus semper exigentes, augendoque pretio crumenas aliorum exhaurientes. Sed nec istis lucripetis licuit, inquit, explere cupiditatem suam. Nam in detrimenta forte et improvisa naufragia incidentes, nihil visi sunt differre ab iis qui nummos argenteos in ligamentum, sive sacculum pertusum immiserunt. Melius igitur et D sapientis est, velle benedici a Deo omnia nobis suppeditante. Quod non difficulter facient, qui suam cum ipso sententiam conjunxerint, ejusque gloriam suis rebus antetulerint. Sic alicubi et ipse Salvator : « Ne solliciti sitis animæ vestræ quid manducetis. Quærite autem potius regnum Dei et justitiam ejus, et hæc omnia adjicientur vobis [46]. »

Διαρκῆ δὲ, οἶμαι, τῆς ἱστορίας ἐχούσης ἐφ' ἑαυτῇ τὴν ἀφήγησιν, φέρε τοῖς πνευματικοῖς θεωρήμασιν ἐνιέντες τὸν νοῦν, ἐκεῖνο καταθρήσωμεν, ὅτι τῇ

Jam historia quantum satis est explanata, ut opinor, age, animum in spiritualibus considerandis defigamus, illudque perpendamus, universalis et

[46] Matth. VI, 25.

Digitized by Google

communissimæ œconomiæ per Christum susceptæ typum evidentissimum fuisse, quæ Judæis evenerunt. Erant enim illi in Babylone, involuntario plane jugo servitutis oppressi, peccatorumque suorum pœnas exsolvebant : et hac de causa hostibus subditi, in eorum potestate vivebant. Aliquando autem Deo miserante liberati, et domum reversi, **632** terram sanctam habitarunt, principibus ac præfectis Zorobabele et Jesu. Et Darius quidem, quamvis idola coleret, divinum templum reædificari mandasse cernitur, lignaque e Libano et pecuniarum reditus attribuisse. Asi illi ad exsequenda Deo complacita lenti ac tardi erant. Insuper et causabantur, dicentes : « Non venit tempus ædificandi domum Domini. » Item totus mundus seductori et tyranno Satanæ subjacebat, et ab eo captivus tenebatur, et per peccatum, ejusque qui natura et vere Deus universarumque rerum molitor et auctor est, ignorantiam sagena comprehensus erat. Sed Deus in Christo servitutis vinculis abruptis eum eripuit. Cujus ductum secuti, commorationibus apud hostes relictis et errore cultus multorum deorum, tanquam terra aliqua deserta, ad Sion, sub intelligentiam cadentem videlicet, hoc est Ecclesiam, recurrimus. Animadverte enim quonam modo in Jesu et Zorobabele Christus nobis describatur. Nam Zorobabel, ut dixi, e tribu Juda prodierat, nec aliunde Dominus est exortus. Ideo etiam regnavit super Israel. Sic namque quodam loco per os David inquit : « Ego vero constitutus sum rex [67], » etc. Erat autem Jesus de tribu et sanguine Levi, et magnus sacerdos est cognominatus. Et Christus noster summus sacerdos fuit, seipsum pro nobis ut immaculatam hostiam sacrificans, ut agnum verum in odorem suavitatis Deo et Patri offerens. Hæc subtiliter disputare volentibus ipsa quoque nominum notio, sive interpretatio fidem faciet. Nam Zorobabel *liberatio*, seu *redemptio* Latine sonat, Salathiel, *declinatio Dei*. Ait porro alicubi Deus : « Ecce ego declinabo ad eos quasi fluvius pacis, et quasi torrens inundans gloriam gentium [68]. » Est enim ille citra dubitationem torrens deliciarum, et tanquam profluvium pacis. Sed declinavit ad nos, et propemodum translatus est, relicto Israele. Abiit autem, ut dixi, ad vocatos ex gentibus in quos cœlestium ac spiritualium bonorum copiam largiter et gratuito justissime effudit. Jesus vero ἰαὼ salutem significat ; quin et Josedec ἰαὼ salutem et justitiam. Ἰαὼ vero est omnium Deus ; Christus autem salus et justitia a Deo et Patre nobis factus est [69], Salvati enim sumus in illo, mortis rete effugientes, et justificati per fidem, peccato, **633** quod nobis dominabatur, exuto. Igitur, ut redeam unde deflexi, regem quidem in Zorobabel, summum vero sacerdotem in Jesu considerabimus. Verumtamen videat rursus res utiles discendi cupidus Judaici populi prolapsionem in socordiam, et

καθόλου καὶ γενικωτάτης οἰκονομίας τῆς διὰ Χριστοῦ γενημένης τύπος ἂν εἶεν, καὶ μάλα σαφῆς, τὰ τοῖς Ἰουδαίοις συμβεβηκότα. Οἱ μὲν γὰρ ἦσαν ἐν Βαβυλῶνι τῷ τῆς ἀβουλήτου δουλείας κατηχθημένοι ζυγῷ, καὶ δίκας ἐκτίνοντες τῶν σφίσιν ἡμαρτημένων· ταύτης τε ἕνεκεν τῆς αἰτίας τεθειμένοι τε καὶ πράττοντες ὑπὸ χεῖρας ἐχθρῶν. Λελύτρωνται δὲ κατὰ καιροὺς Θεοῦ κατοικτείροντος, καὶ οἴκαδε πάλιν ἀνεκομίζοντο, καὶ τὴν ἁγίαν κατῳκήκασι γῆν, ἡγουμένων τε καὶ προεστηκότων Ζοροβάβελ τε καὶ Ἰησοῦ. Καὶ Δαρεῖος μὲν, καίτοι ταῖς εἰδώλων λατρείαις προσκείμενος, ὅτι χρὴ τὸν θεῖον ἀναδείμασθαι ναὸν ὁρᾶται προστεταχὼς, ξύλα τε προσεπιδιδοὺς τὰ ἐκ τοῦ Λιβάνου καὶ χρημάτων πόρους. Οἱ δὲ ὀκνηροὶ καὶ βραδεῖς ἦσαν ἔτι περὶ τὸ χρῆναι πληροῦν τὰ θυμήρη Θεῷ. Ἠλίσκοντο δὲ καὶ προφασισταί, « Οὐχ ἥκει ὁ καιρὸς, λέγοντες, τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου. » Ὑπέστρωτο δὲ καὶ ἡ σύμπασα γῆ τῷ πεπλανηκότι καὶ τυραννήσαντι Σατανᾷ, καὶ ἦν αἰχμάλωτος, σεσαγηνευμένη πρὸς τούτῳ διὰ τῆς ἁμαρτίας, καὶ ὑπό γε τοῦ μὴ εἰδέναι τὸν φύσει καὶ ἀληθῶς ὄντα Θεὸν καὶ τῶν ὅλων Δημιουργόν. Ἀλλ' ἐξείλετο Θεὸς ἐν Χριστῷ τὰ τῆς δουλείας διαῤῥήξας δεσμά. Δι' αὐτοῦ γὰρ πεποδηγήμεθα, καὶ διατριβὰς ἀφέντες τὰς παρ' ἐχθροῖς, καὶ τὴν πολύθεον πλάνησιν οἷόν τινα γῆν ἀπολελοιπότες, ἀνεδράμομεν εἰς Σιὼν, τὴν νοητὴν δηλονότι, τουτέστι τὴν Ἐκκλησίαν. Ἄθρει γὰρ ὅπως ἡμῖν ὡς ἐν Ἰησοῦ τε καὶ Ζοροβάβελ διαγράφεται Χριστός. Ἦν μὲν γὰρ, ὡς ἔφην, ὁ Ζοροβάβελ ἐκ τῆς Ἰούδα φυλῆς, ἀνατέταλκε δὲ οὐχ ἑτέρωθεν ὁ Κύριος. Τοιγάρτοι καὶ βεβασίλευκεν ἐπὶ τὸν Ἰσραήλ. Οὕτω γάρ πού φησι διὰ φωνῆς τοῦ Δαβίδ· « Ἐγὼ δὲ κατεστάθην βασιλεὺς, » καὶ τὰ ἑξῆς. Ἦν δὲ δὴ καὶ Ἰησοῦς ἐκ φυλῆς τε καὶ αἵματος τοῦ Λευΐ, κατωνόμασται δὲ καὶ μέγας ἱερεύς. Γέγονε δὲ καὶ ἡμῶν ἀρχιερεὺς ὁ Χριστὸς, ἑαυτὸν ὑπὲρ ἡμῶν ἱερουργῶν, ὡς ἄμωμον ἱερεῖον, ὡς ἀμνὸν ἀληθινὸν εἰς ὀσμὴν εὐωδίας ἀνατιθεὶς τῷ Θεῷ καὶ Πατρί. Πιστώσεται δέ πως τὸν ἐπὶ τῷδε λόγον ἰσχνοεπεῖν ἑλομένοις καὶ αὐτὴ τῶν ὀνομάτων ἡ διασάφησις, ἤγουν ἑρμηνεία. Δηλοῖ μὲν γὰρ Ζοροβάβελ ῥύσις μετατεθειμένη· Σαλαθιὴλ γε μὴν ἔκκλισις Θεοῦ. Ἔφη δέ που καὶ ὁ Χριστός· « Ἰδοὺ ἐγὼ ἐκκλίνω ἐπ' αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους ἐπικλύζων δόξαν ἐθνῶν. » Ἔστι μὲν γὰρ ἐμολογουμένως αὐτὸς ὁ χειμάῤῥους τῆς τρυφῆς, καὶ οἷον τῆς εἰρήνης ἡ ῥύσις. Ἀλλ' ἐκκέκλικεν εἰς ὑμᾶς, καὶ μονονουχὶ μετατέθειται καταλελοιπὼς τὸν Ἰσραήλ. Κεχώρηκε δὲ, ὡς ἔφην, εἰς τοὺς ἐξ ἐθνῶν κεκλημένους, τούτοις ἄνωθεν καὶ πνευματικοῖς ἀγαθοῖς ἀμφιλαφῆ τὴν χύσιν εὖ μάλα δωρούμενος. Ἰησοῦς δὲ ἰαὼ σωτηρίαν ὑποδηλοῖ. Καὶ μὴν καὶ Ἰωσεδὲκ ἰαὼ καὶ δικαιοσύνην. Ἰαὼ δέ ἐστιν ὁ τῶν ὅλων Θεὸς, γέγονε δὲ ἡμῖν ὁ Χριστὸς σωτηρία καὶ δικαιοσύνη παρὰ τοῦ Θεοῦ καὶ Πατρός. Σεσώσμεθα γὰρ ἐν αὐτῷ τὸ τοῦ θανάτου φυγόντες λίνον, καὶ δεδικαιώμεθα διὰ πίστεως, τὴν καθ' ἡμᾶς τυραννήσασαν ἁμαρτίαν

[67] Psal. II, 6. [68] Isa. LXVI, 12. [69] I Cor. I, 30.

Digitized by Google

ἀποδυσάμενοι. Οὐκοῦν, ἀνακομιῶ γὰρ αὖθις εἰς τὸ ἐν ἀρχῇ τὸν λόγον, βασιλέα μὲν αὐτὸν ἐν τῷ Ζοροβάβελ, ἀρχιερέα δὲ ἐν τῷ Ἰησοῦ καταθρήσομεν. Πλὴν ὁράτω πάλιν ὁ χρηστομαθὴς τὸ τῶν Ἰουδαίων ἀναπεπτωκὸς εἰς τὸ ῥᾴθυμον, καὶ εἰς τὸ μὴ ἐλέσθαι πονεῖν τὰ πρὸς σύστασιν τοῦ θείου ναοῦ, τουτέστι τῆς Ἐκκλησίας Χριστοῦ. Προσεπαῤῥείτω δὲ τούτοις καὶ τὸ πρόθυμον τῶν ἐθνῶν, καὶ τὸ πολὺ λίαν διεγηγερμένον εἰς φιλεργίας. Δαρεῖος μὲν γὰρ, ὡς ἔφην, ἐγείρεσθαί τε προστέταχε τὸν νεὼν, καὶ τὰ εἰς δόξαν πληροῦσθαι τοῦ πάντων κρατοῦντος Θεοῦ. Οἱ δὲ ἦσαν ὀκνηροὶ, καὶ ἀφιλεργέστατοι, καὶ τῶν ἀνδανόντων Θεῷ τὰ οἰκεῖα προτιθέντες, καὶ πολὺ διανενευκότες ἐπὶ τὰ γεωδέστερα. Οἴκους γὰρ, φησὶν, ἐτκεύαζον κοιλοστάθμους. Τοιγάρτοι φησὶ Δαβὶδ περὶ τῶν ἐθνῶν· « Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσε Κύριος. Τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς αὐτοῦ. » Ἑτοιμότεροι γὰρ εἰς τὸ πιστεύειν οἱ ἐξ ἐθνῶν, ὀκνηροὶ δὲ λίαν οἱ ἐξ Ἰσραήλ. Ἴδοις δ' ἂν ὃ φημι καὶ ἐν εὐαγγελικοῖς συγγράμμασιν, ἤτοι παραβολαῖς. Ἔτρεχον μὲν γὰρ οἱ δειπνοκλήτορες, συναγείροντες εἰς τοὺς γάμους. Οἱ δὲ οὐκ ἤθελον ἐλθεῖν, ἐπλάττοντο δὲ προφάσεις ἐν ἁμαρτίαις. « Ὁ μὲν γὰρ ἔφασκεν· Ἀγρὸν ἠγόρασα. Ὁ δέ· Γυναῖκα ἔγημα. Ἄλλος δὲ καὶ ἕτερος πρὸς τὴν ἐμπορίαν αὐτῶν. » Οὐκοῦν κέκληνται, καὶ εἰσέδραμον εἰς τοὺς γάμους οἱ ἐν ταῖς ὁδοῖς καὶ παρὰ τοῖς φραγμοῖς ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. » Οὕτω καὶ ἔφασκεν ὁ Χριστὸς διὰ φωνῆς τοῦ Δαβὶδ περὶ τε τῶν ἐξ αἵματος Ἰσραὴλ καὶ τῶν ἐθνῶν· « Λαός ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. »

A quo pacto ad divini templi, hoc est, Ecclesiæ Christi constructionem operas conferre noluerint. Simul etiam alacritatem gentium, et quam ad impigre laborandum ferveant intueatur. Ac Darius quidem, ut dixi, templum excitari, et quæ pertinerent ad gloriam Dei omnipotentis, præstari imperavit. Ipsi vero inertes, et a labore abhorrentissimi, et ad fluxa nimium propensi Deo gratis sua præponebant. Domos enim, inquit, concavas pulchre exstruebant. Proinde David ait de gentibus : « Desiderium pauperum exaudivit Dominus. Præparationem cordis eorum audivit auris ejus [50]. » Promptiores enim ad credendum fuerunt ex gentibus, pigri admodum ex Israel. Cognoscas autem quod dico etiam ex evangelicis Litteris, sive parabolis. Currebant enim qui ad B cœnam invitabant, et ad nuptias congregabant. At invitati nolebant venire, et fingebant excusationes in peccatis. « Unus enim respondebat : Agrum emi. Alius : Uxorem duxi. Alii ibant ad negotiationes suas [51]. » Quare vocati sunt, et ad nuptias advolarunt qui in viis et juxta sepes reperiebantur, factique sunt revera « primi novissimi, et novissimi primi [52]. » Sic etiam Christus voce Davidis de Israelitico et gentili sanguine oriundis : « Populus, quem non cognovi, servivit mihi, filii alieni mentiti sunt mihi [53]. »

Τάδε λέγει Κύριος παντοκράτωρ· Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν, ἀνάβητε εἰς τὸ ὄρος, καὶ κόψατε ξύλα, οἰκοδομήσατε τὸν οἶκον, καὶ εὐδοκήσω ἐν αὐτῷ, καὶ ἐνδοξασθήσομαι, εἶπε Κύριος. Ἐπεβλέψατε εἰς πολλὰ, καὶ ἐγένοντο ὀλίγα. Καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά.

εὑρισκόμενοι, καὶ γεγόνασιν ἀληθῶς « οἱ πρῶτοι ἔσχατοι, καὶ οἱ ἔσχατοι πρῶτοι. »

C VERS. 7-9. *Hæc dicit Dominus omnipotens : Ponite corda vestra in vias vestras, ascendite in montem, et cædite ligna, et ædificate domum, et complacebo in ea, et glorificabor, dicit Dominus. Respexistis in multa, et facta sunt pauca. Et illata sunt in domum, et exsufflavi ea.*

Ϛ'. Συχνὴν ποιεῖται ὑπόμνησιν, συντελοῦν εἰς ὄνησιν τὸ χρῆμα εἰδὼς τοῖς ἀκροωμένοις. Οὕτω Παῦλος ἐπιστέλλει τισί· « Τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ ἀσφαλές. » Κατανοήσατε τοίνυν, φησὶ, εἰς τὰς ἑαυτῶν ὁδοὺς, ἃς πεποιήσθε νῦν. Ποῖαι δὲ αὗται, διατρανοῖ παραχρῆμα. « Ἐπεβλέψατε εἰς πολλὰ, καὶ ἐγένετο ὀλίγα. Καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. » Ἀφημαρτήκασι μὲν γὰρ ἐλπίδος τῆς ἐπί γε, φημι, τῷ ἐλέσθαι γηπονεῖν. Μακροὺς γὰρ ἰδρῶτας δεδαπανηκότες, ὀλίγα μόλις συνεκομίσαντο, πλὴν ἐστέρηνται καὶ τούτων. Ἐκπεφύσηνται γὰρ, τουτέστιν, γεγόνασιν ἑτέρων, καὶ ἥκιστα μὲν αὐτοῖς, δεδαπάνηνται δὲ μᾶλλον τοῖς πλεονεκτεῖν εἰωθόσιν. Εἰκαίον οὖν ἄρα τὸ σπούδασμα καὶ ὁ πόνος αὐτοῖς, ὅτι μὴ μᾶλλον ἤθελον ἀποπεραίνειν τὸ τῷ Δεσπότῃ δοκοῦν, καὶ τῆς εἰς τὰ ἀμείνω φιλεργίας τὴν εἰς τὰ αἰσχίω καὶ γεωδέστερα προύργιαιτέραν ἐποιοῦντο φροντίδα. Ἆρ' οὖν οὐκ ἀνουθέτητον ἀφῆκε τὸν Ἰσραὴλ, παρέδειξε δὲ τοῖς πεπλανημένοις τῆς ἐπανορθώσεως τὴν ὁδόν. Καὶ μὴν τοῦτο καταθρήσομεν εὖ γεγονός. Ἔφη γὰρ, ὅτι

VI. Crebro admonet, sciens id in rem esse audientium. Sic Paulus ad quosdam scribit : « Eadem scribere vobis, mihi quidem non pigrum, vobis autem utile [54]. » Animadvertite igitur, inquit, vias vestras, quas fecistis nunc. Eæ quales sint, illico declarat : « Respexistis ad multa, et facta sunt pauca. Et illata sunt in domum, et exsufflavi ea. » Spe enim **634** laborum rusticorum frustrati sunt. Nam D cum diu sudassent, vix pauca collegerunt, quæ ipsa quoque perdiderunt. Exsufflata enim sunt, hoc est, aliorum evaserunt, et minime ab ipsis, sed a commoda sua semper quærentibus consumpta sunt. Inanis igitur eorum cogitatio, studium, labor, quoniam non potius ad divinam voluntatem exsequendam se dediderunt, et rerum inhonestarum ac terrenarum curam ac sollicitudinem studio sanctius vivendi potiorem duxerunt. Non ergo Israelem sine admonitione reliquit, et errantibus viam emendationis demonstravit. Et hoc factum commode videbimus. Ait namque : « Ascendite in montem, et cædite ligna, et ædificate domum, et glorificabor

[50] Psal. x, 17. [51] Luc. xiv, 18 20. [52] Matth. xix, 30. [53] Psal. xvii, 45. [54] Philipp. iii, 1.

Digitized by Google

rursum in ea, et complacebo, » hoc est, suscipiam et laudabo eorum qui in hoc elaborarunt studia et alacritatem.

Bonum ergo et placens Deo, ardenter conficere, quæcunque ad Ecclesiam constituendam et ad ejus ædificationem utilia et necessaria existimabuntur. Id quod prudenter præstabimus, si ceu materiam utilissimam colligentes, et velut e saltu ligna præcidentes e Scripturis divinitus inspiratis spiritualia theoremata, quibus quis Dei gloriam, sive de divinis rebus disputationem communiat, et modum œconomiæ cum carne bene habere excellenterque perpetratum ostendat. Præterea quæ ad perfectam notitiam spiritualis eruditionis et bonitatis, quæ in morum ratione cernitur, accommodata sunt, inde reportet. Per hæc domum Dei ædificari, et Ecclesiam componi atque coagmentari asserimus. Dicam insuper unumquemque nostrum templum ac domum Dei intelligi posse. Habitat enim per Spiritum in nobis Christus [55]; et sumus templa Dei viventis [56], juxta Scripturam. Quilibet igitur nostrum cor suum per fidem rectam ædificet, ipsum Salvatorem pro fundamento vere pretioso habeat [57]. Aliam deinde materiam addat, obedientiam puta, et ad quidvis tandem facilitatem, fortitudinem, patientiam, continentiam. Sic enim omnium virtutum suppeditatione coaptati, « in templum sanctum, et in habitaculum Dei, in spiritu exsurgemus [58]. » Qui autem ad fidem tardi sunt, aut crediderunt quidem, verumtamen a passionibus, et a peccato, et ab amore mundanæ voluptatis adhuc morantur discedere, ob hoc ipsum clamant aliquo modo : **635** « Non venit tempus ædificandi domum Domini. » Ideo etiam in bonorum cœlestium egestatem et sterilitates, quas mente videmus, delabuntur, marcescitque in ipsis animus instar terræ alicujus, ut nec triticum habeat, hoc est, robur, neque vinum, quod est lætitiæ symbolum. Scriptum est enim : « Panis cor hominis confirmat [59]; » et : « Vinum lætificat cor hominis [60]. »

Vers. 10, 11. *Propter hoc hæc dicit Dominus omnipotens : Pro eo quod domus mea deserta est, vos autem sectamini unusquisque in domum suam, ideo abstinebit cœlum a rore, et terra subtrahet germina sua. Et inducam gladium super terram, et super montes, et super frumentum, et super vinum, et super oleum, et quæcunque profert humus, et super homines, et super jumenta, et super omnes labores manuum eorum.*

VII. Non permittit, divinis per desidiam omissis, absurde propria ut meliora persequi, et caduca ad gloriam ipsius pertinentibus præferre. Impellit

A « Ἀνάβητε εἰς τὸ ὄρος, καὶ κόψατε ξύλα, καὶ οἰκοδομήσατε τὸν οἶκον, καὶ ἐνδοξασθήσομαι πάλιν ἐν αὐτῷ, καὶ εὐδοκήσω· » τουτέστι. Προσδέξομαί τε καὶ ἐπαινέσω τὰς τῶν εἰς τοῦτο πεπονηκότων σπουδάς τε καὶ προθυμίας.

Καλὸν οὖν ἄρα καὶ ἀνδάνον τῷ Θεῷ τὸ ἐπείγεσθαι πληροῦν, ὅσαπερ ἂν φαίνοιντο χρήσιμά τε καὶ ἀναγκαῖα πρὸς σύστασιν τῆς Ἐκκλησίας, καὶ πρὸς οἰκοδομὴν αὐτῆς. Δράσομεν δὲ τοῦτο, καὶ λίαν ἐμφρόνως, οἷον ὕλην χρεωδεστάτην συλλέγοντες, καὶ ὡς ἐκ δρυμοῦ κόπτοντες ξύλα τὰ ἐν τῇ θεοπνεύστῳ Γραφῇ πνευματικὰ θεωρήματα, δι' ὧν ἄν τις ἀσφαλῆ καὶ ἐρρηεισμένην ποιήσαιτο τὴν ἐπὶ Θεῷ δόξαν ἥτοι διάληψιν, καὶ εὖ ἔχοντα, καὶ πεποιημένα ἐξόχως ἀποφανεῖ τῆς μετὰ σαρκὸς οἰκονομίας τὸν τρόπον. Ἀποκομιεῖ δὲ πρὸς τούτῳ καὶ εἰς εἴδησιν ἀκριβῆ πνευματικῆς εὐτεχνίας, καὶ τῆς ἐν ἤθει καὶ τρόποις νοουμένης ἐπιεικείας. Διά τοι τούτων οἰκοδομεῖσθαί φαμεν τὸν οἶκον τοῦ Θεοῦ, καὶ τὴν τῆς Ἐκκλησίας πράττεσθαι σύστασιν. Ἐρῶ δὲ πρὸς τούτοις, ὅτι καὶ ἕκαστος ἡμῶν ναὸς ἂν νοοῖτο καὶ οἶκος Θεοῦ. Κατῴκηκε γὰρ ἐν ἡμῖν Χριστὸς διὰ τοῦ Πνεύματος· καὶ ἐσμὲν ναοὶ Θεοῦ ζῶντος, κατὰ τὰς Γραφάς. Οἰκοῦν ἕκαστος ἡμῶν οἰκοδομείτω τὴν ἑαυτοῦ καρδίαν διὰ πίστεως ὀρθῆς, αὐτὸν ἐχέτω θεμέλιον τὸν Σωτῆρα, τὸν ἔντιμον ἀληθῶς. Προσεπαγέτω δὲ τούτοις καὶ ὕλην ἑτέραν, τὴν ὑπακοὴν δὴ λέγω, καὶ τὸ εἰς πᾶν ὁτιοῦν εὐήνιον, τὴν ἀνδρείαν, τὴν ὑπομονήν, τὴν ἐγκράτειαν. Συναρμολογούμενοι γὰρ οὕτω διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, « εἰς ναὸν ἅγιον ἀναδησόμεθα, καὶ εἰς κατοικητήριον τῷ Θεοῦ ἐν πνεύματι. » Οἱ δὲ βραδεῖς εἰς πίστιν, ἢ καὶ πιστεύσαντες μέν, ὀκνηροὶ δέ πως ἔτι πρὸς ἀπόστασιν τὴν ἀπὸ παθῶν τε καὶ ἁμαρτίας, καὶ φιληδονίας κοσμικῆς, δι' αὐτοῦ δὴ τοῦτο μονονουχὶ καὶ κεκράγουσιν· « Οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου. » Ταύτῃτοι καὶ παραπίπτουσι ταῖς τῶν οὐρανίων ἀγαθῶν ἐνδείαις καὶ νοηταῖς ἀκαρπίαις, καταρθιόντος ἐν αὐτοῖς τοῦ νοῦ, καθάπερ τινὸς γῆς, ὡς μήτε σῖτον ἔχειν, τουτέστιν ἰσχύν, μήτε μὴν οἶνον, ὅ ἐστιν εὐφροσύνης σύμβολον. Γέγραπται γάρ, ὅτι « Ἄρτος στηρίζει καρδίαν ἀνθρώπου, » καὶ, « Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. »

Διὰ τοῦτο τάδε λέγει Κύριος παντοκράτωρ· Ἀνθ' ὧν ὁ οἶκός μού ἐστιν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρόσου, καὶ ἡ γῆ ὑποστελεῖται τὰ ἐκφόρια αὐτῆς. Καὶ ἐπάξω ῥομφαίαν ἐπὶ τὴν γῆν, καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον, καὶ ἐπὶ τὸν οἶνον, καὶ ἐπὶ τὸ ἔλαιον, καὶ ὅσα ἐκφέρῃ ἡ γῆ, καὶ ἐπὶ τοὺς ἀνθρώπους, καὶ ἐπὶ τὰ κτήνη, καὶ ἐπὶ πάντας τοὺς πόνους τῶν χειρῶν αὐτῶν.

Ζ'. Οὐκ ἐᾷ τῶν θείων καταραθυμοῦντας ἐκτόπως ποιεῖσθαι τὰ σφῶν ἐν ἀμείνοσι, καὶ τῶν εἰς δόξαν αὐτοῦ προτάττειν τὰ γεωδέστερα. Ἀναπείθει δὲ

[55] I Cor. III, 16. [56] II Cor. VI, 16. [57] I Petr. II, 6. [58] Ephes. II, 22. [59] Psal. CIII, 17. [60] Eccli. XL, 20.

Digitized by Google

μᾶλλον ἐννοεῖν, ὡς εἰ μὴ κέοιτο καλῶς τὰ ἀσυγκρίτως ὑπερκείμενα, οὐδ' ἂν τοῖς μείοσιν ἔποιτο τὸ εὖ κεῖσθαι πώποτε, καὶ ἐν οἷς εἶναι βεβούληνται. Ταύτηταί φησιν· « Ἀνθ' ὧν ὁ οἶκός μού ἐστιν ἔρημος, ὑμεῖς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, » διὰ τοῦτο τὸ κἀκεῖνο, δι' ὧν ἂν εὐθὺς καταφθίνοιτο τὰ ἐν ἀγροῖς, οὐρανοῦ μὲν δρόσον οὐ καθιέντος ἔτι, γῆς δὲ τὴν οἰκείαν ἀνακοπτούσης ἰσχὺν, ληΐοις τε ὁμοῦ καὶ ἀμπέλοις συναυαινομένης ἐλαίας, καὶ μὴν καὶ ῥομφαίας ἐξ ὀργῆς ἐπενηνεγμένης, καταβοσκομένης τε πρὸς ταύτοις ἀνθρώπους τε καὶ κτήνη. Οὐκοῦν τοῖς ὀκνοῦσιν ἀποπληροῦν τὰ εἰς δόξαν Θεοῦ, καὶ τὰ δι' ὧν ἂν ὁρῷτο συνεστηκὼς ὁ οἶκος αὐτοῦ, τουτέστιν ἡ Ἐκκλησία, οὔτ' ἂν δρόσος γένοιτο πνευματικὸς, τουτέστι, παράκλησις ἡ ἐξ οὐρανοῦ, ψυχὰς καὶ καρδίας καταπιαίνουσα· οὔτε μὴν ἡ ἀπὸ γῆς εὐκαρπία, τουτέστι τὰ διὰ σώματος κατορθώματα, οὐ σῖτος, οὐκ οἶνος, οὐκ ἐλαίου χρῆσις. Ἀνίσχυροι γὰρ πάντη τε καὶ πάντως ἔσονται καὶ τοῦ κατευφραίνεσθαι μακρὰν, κατὰπιανθεῖεν δ' ἂν οὐδαμῶς ἐλαίῳ τῷ νοητῷ, καὶ ἀπαξαπλῶς ἄγευστοι καὶ ἀμέτοχοι τῆς εὐλογίας ἀπομενοῦσι τῆς διὰ Χριστοῦ. Καὶ πρός γε δὴ τούτοις ὑπενεχθήσονται τῇ ῥομφαίᾳ, καὶ ἄμισθον παντελῶς ὑπομενοῦσι πόνον, κἂν εἴ τις αὐτοῖς ἐπιεικείας ἐπιτηδεύοιτο τρόπος. « Στεφανοῦται γὰρ οὐδεὶς, ἐὰν μὴ νομίμως ἀθλήσῃ κατὰ τὸ γένος. » Οὐκοῦν ἡγούμεθα περισπούδαστον καὶ τῶν ὅτι μάλιστα σεπτῶν τὴν εἰς τὰ ἀμείνω σπουδήν. Τετάχθω δὲ καὶ τὰ καθ' ἡμᾶς ἐν μείονι λόγῳ, καὶ ἵτω κατόπιν τῶν εἰς δόξαν. Καὶ οὐχὶ μόνον ἑστίαι, καὶ χρήματα, καὶ τὰ εἰς δόξαν κενὴν, ἀλλὰ γὰρ καὶ γένη, καὶ ἀδελφοὶ, καὶ πατέρες. Οὕτω γάρ πού φησιν ὁ Χριστός· « Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμὲ, οὐκ ἔστι μου ἄξιος. »

A autem ad cogitandum, nisi citra comparationem præstantiora bene habeant, nec inferiora unquam probe processura, et qualia ipsi voluerint, futura. Quamobrem inquit : « Quia domus mea deserta est, vos autem festinatis unusquisque in domum suam, » idcirco hoc et illud continget, per quæ mox pereant fruges in agris, cœlo non dimittente amplius pluviam, terra vim suam cohibente, quin etiam oliva simul fructum abnuente, segetibus, et vineis, et oliva exarescentibus, atque etiam gladio ex ira grassante, et homines cum jumentis absumente. Itaque gloriæ divinæ, et iis per quæ constituta videri possit domus Dei, hoc est, Ecclesia, servire detrectantibus, nec ros spiritualis queat contingere, id est, cœlestis consolatio, animas et corda impinguans; B nec e terra fructuum ubertas, hoc est, per corpus cum virtute gesta; non frumentum, non vinum, non olei usus. Omnimodis enim imbecilles erunt et a lætitia procul sejuncti, nec unquam oleo spirituali pinguescent, benedictionemque per Christum penitus non gustabunt, nec illius partem capient. Et nihilominus gladio subjicientur, et laborem citra ullam omnino mercedem sustinebunt, etiamsi utcunque probitatem coluerint. « Nemo enim coronatur, nisi legitime, et ut rei natura conditioque postulat, certaverit [61]. » Quare studium rerum meliorum summopere amplectendum et **636** imprimis venerandum arbitramur. Nostrarum autem rerum minor ducatur ratio, et gloriæ Dei postponantur. Nec tantum domus, et pecuniæ, et quæ C sunt fluxæ gloriæ, sed cognationes quoque, et fratres, et patres. Sic enim alicubi dixit Christus : « Qui amat patrem aut matrem super me, non est me dignus [62]. »

Καὶ ἤκουσε Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς ὁ μέγας, καὶ πάντες οἱ κατάλοιποι τοῦ λαοῦ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ αὐτῶν, καὶ τῶν λόγων τοῦ Ἀγγαίου τοῦ προφήτου, καθότι ἐξαπέστειλεν αὐτὸν ὁ Κύριος ὁ Θεὸς αὐτῶν πρὸς αὐτούς, καὶ ἐφοβήθη ὁ λαὸς ἀπὸ προσώπου Κυρίου.

VERS. 12. *Et audivit Zorobabel filius Salathiel ex tribu Juda, et Jesus filius Josedec sacerdos magnus, et omnes reliqui populi vocem Domini Dei sui, et verba Aggæi prophetæ, sicut misit eum Dominus Deus eorum ad eos, et timuit populus a facie Domini.*

Η'. Ὅτι μὴ μάτην ποιεῖται τὰς ἀπειλὰς, χρῆμά τέ ἐστιν οὐκ ἀνόητον τοῖς ῥᾳθυμεῖν εἰωθόσιν ὁ φόβος, κατίδοι τις ἂν κἀντεῦθεν εὐκόλως. Ἰδοὺ γὰρ, ἰδοὺ τῶν θείων ἐπείπερ ἐπύθοντο λόγων, τρέπονται παραχρῆμα πρὸς φιλεργίαν, εἴκουσί τε λοιπὸν τοῖς καθηγεῖσθαι λαχοῦσι, Ζοροβάβελ τε, φημὶ, καὶ Ἰησοῦς, διὰ πλείστης τε ὅσης αἰδοῦς τῶν προφητῶν ποιοῦνται φωνὰς, καὶ δεδυσώπηνται τὴν ἐπιστολὴν, καίτοι πάλαι κομιδῇ σμικρῶν ἀξιοῦντες τὸ χρῆμα λόγων. Οὐκοῦν ἀληθὲς καὶ δι' αὐτῶν ὁρᾶται τῶν πράξεων, ὅτι « Ὃν ἀγαπᾷ Κύριος, παιδεύει. » Μετατάττει γὰρ ἔσθ' ὅτε πρὸς τὰ ἀμείνω τὸν νοῦν τὸ τοῦ κολάζεσθαι δεῖμα· καὶ τῶν σκυθρωπῶν ἡ ἔφεσις εἰς τὸν θεῖον ἡμᾶς μεθαρμόζει φόβον· καὶ ἔστιν ἀτρεκὲς τὸ ἐν βιβλίῳ Παροιμιῶν, ὅτι « Ὁ φοβούμενος

VIII. Non frustra eum minari timoremque prodesse pigritari solitis, non difficile quispiam etiam D hinc perspiciat. Ecce enim, ecce postquam divina verba audiverunt, operi confestim diligenter accinguntur, et deinceps principibus suis, Zorobabeli, inquam, et Jesu obsequuntur, prophetarumque vocem majorem in modum reverentur, et mandatum suspiciunt, etsi aliquando id in postremis duxerant. Proinde verum esse ex ipsis quoque rebus liquet : « Quem Deus diligit, castigat [63]. » Traducit enim interdum animum ad partes meliores supplicii terror; et tristium importatio ad divinum timorem nos accommodat; et verum est, quod habet liber Proverbiorum : « Timenti Dominum bene est [64]. » Et rursum : « Timor Domini in vitam viro [65]. »

[61] II Tim. II, 5. [62] Matth. X, 37. [63] Hebr. XII, 6. [64] Eccli. I, 13. [65] Prov. XIX, 23.

Digitized by Google

Ecclesiasticus similiter : « Timor Domini gloria et gloriatio [66]. » Et, « Timor Domini delectabit cor, et dabit insuper lætitiam et gaudium [66]. » Vide autem quam mansuete et pro eo ac ipsum decet, nos feriat Deus. Non enim protinus corporibus humanis pœnas addit; sed terrefacit potius externis et exiguis terroribus, et esculentorum detrimentis ad salutaria et ad sua in posterum factitanda vocat.

A τὸν Κύριον ὑγιαίνει. » Καὶ πάλιν· « Φόβος Κυρίου εἰς ζωὴν ἀνδρί. » Καὶ ὁμοίως ἡ Σοφία, « Φόβος Κυρίου δόξα καὶ καύχημα. » Καὶ, « Φόβος Κυρίου τέρψει καρδίαν, καὶ δώσει πρὸς τούτοις εὐφροσύνην καὶ χαράν. » Θέα δὲ ὅπως ἡμέρως τε ἡμᾶς καὶ ὡς ἂν αὐτῷ πρέποι πλήττει Θεός. Οὐ γὰρ εὐθὺς τοῖς ἀνθρωπίνοις σώμασιν ἐπάγει τὰ ἐξ ὀργῆς, καταπτοεῖ δὲ μᾶλλον τοῖς ἔξωθεν καὶ ὀλίγοις δείμασι, καὶ ταῖς τῶν ἐδωδίμων ζημίαις μεταποιεῖ πρὸς τὸ ἄμεινον καὶ πρὸς τὸ ἐλέσθαι λοιπὸν ἐργάζεσθαι τὰ αὐτοῦ.

Vers. 13. *Et dixit Aggæus angelus Domini in angelis Domini populo : Ego sum vobiscum, dicit Dominus.*

Καὶ εἶπεν Ἀγγαῖος ὁ ἄγγελος Κυρίου ἐν ἀγγέλοις τοῦ Κυρίου τῷ λαῷ· Ἐγώ εἰμι μεθ' ὑμῶν, λέγει Κύριος.

IX. Vide quemadmodum mutationes in melius repente humanitas comitetur. Universorum enim Deus una mutatur quodammodo cum iis qui sententiam mutarunt, et cum illis sese futurum pollicetur : cui quidnam comparari potest? Nam si Deus sit nobiscum, procul a nobis omne incommodum recedet, et commoda advenient plane, et mox **637** stabilia prosperitatum genera apparebunt, omnisque nos jucunditas complectetur. Jam quod sacra Scriptura Aggæum angelum Domini nominat, nemo illum natura angelica constare, quod perdelirum foret, sed more nostro hominem ex muliere prognatum putet. Potius, si a mente valemus et animo verum intuemur, ab ἀγγέλλειν nuntiare ἄγγελον, hoc est nuntium, dictum nominatumque affirmabimus. Siquidem nihil impediret quominus et in aliud ineptum incidentes, angelos natura conficeremur etiam, qui quæ in agro equites designassent, ac do. mortuis etiam filiis domo collapsa Jobo nuntium apportabant [67]. Dicitur item Dei Verbum « magni consilii Angelus [68]. » Nuntiavit enim nobis voluntatem Dei et Patris. Ergo ab ἀγγέλλειν ἄγγελος. Et si forte de hominibus dicatur hoc vocabulum, prorsus non dicitur ab ea natura qua nos præditi non sumus.

Θ'. Ὅρα ταῖς εἰς τὰ ἀμείνω μεταστάσεσι παρομαρτοῦσαν εὐθὺς τὴν φιλανθρωπίαν. Συμμεθίσταται γὰρ B οἱονεί πως ὁ τῶν ὅλων Θεὸς τοῖς μετανοεῖν ἠρημένοις, συνεῖναί τέ σφισι κατεπαγγέλλεται· οὗ τί ἂν γένοιτο τὰ ἰσοστατοῦν; Θεοῦ γὰρ ἡμῖν συνόντος, ἅπαν ἡμῖν ἐκποδὼν οἰχήσεται βλάβος, εἰσβαλεῖ δὲ πάντως τὰ ἀγαθά, καὶ βεβηκότες εὐθὺς οἱ τῆς εὐημερίας ἀναφανοῦνται τρόποι, καὶ πᾶν ὁτιοῦν τῶν ἡδίστων συμβήσεται. Εἰ δὲ δὴ φάσκοι τὸ Γράμμα τὸ ἱερὸν ἄγγελον Κυρίου τὸν Ἀγγαῖον, οἰέσθω μηδεὶς ἄγγελον εἶναι κατὰ φύσιν αὐτὸν, γεννηθῆναι δὲ καθ' ἡμᾶς ἄνθρωπον ἐκ γυναικός· ἀπόπληκτον γὰρ κομιδῇ τὸ ὧδε νοεῖν. Οἰησόμεθα δὲ μᾶλλον, εἴπερ ἐσμὲν ἐν καλῷ φρενὸς, καὶ νοῦ βλέποντος εἰς τὸ ἀτρεκὲς, ἀπὸ τοῦ ἀγγέλλειν ἄγγελον εἰρῆσθαι καὶ ὀνομάζεσθαι. Ἐπεὶ τὸ λυποῦν οὐδὲν καὶ εἰς ἑτέραν ἡμᾶς ἀτοπίαν ἐκβαίνοντας, ἀγγέλους ὑπάρχειν ὁμολογεῖν τῇ φύσει C καὶ τοὺς ἀπαγγέλλοντας τῷ Ἰὼβ τά τε ἐν ἀγροῖς παρὰ τῶν ἱππέων συμβεβηκότα, καὶ μὴν καὶ ὅτι τεθνᾶσιν οἱ παῖδες αὐτῷ κατασεσεισμένης τῆς οἰκίας. Εἴρηται δὲ καὶ ὁ τοῦ Θεοῦ Λόγος « μεγάλης βουλῆς Ἄγγελος. » Ἀπήγγειλε γὰρ ἡμῖν τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρός. Οὐκοῦν ἀπὸ τοῦ ἀγγέλλειν ἄγγελος. Καὶ οὐχὶ δὴ πάντως, εἰ ἐπ' ἀνθρώπων λέγοιτο τυχὸν ἡ κλῆσις, ἀπό γε τοῦ εἶναι κατὰ φύσιν ὅπερ οὐχ ἡμεῖς.

Vers. 14. *Et suscitavit Dominus spiritum Zorobabel filii Salathiel de tribu Juda, et spiritum Jesu filii Josedec sacerdotis magni, et spiritum reliquorum populi, et ingressi sunt, et faciebant opera in domo Domini omnipotentis Dei sui, quarta et vicesima mensis sexti.*

Καὶ ἐξήγειρε Κύριος τὸ πνεῦμα Ζοροβάβελ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ τὸ πνεῦμα Ἰησοῦ τοῦ Ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου, καὶ τὸ πνεῦμα τῶν καταλοίπων παντὸς τοῦ λαοῦ, καὶ εἰσῆλθον, καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ Κυρίου παντοκράτορος Θεοῦ αὐτῶν, τῇ τετράδι καὶ D *εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου.*

X. Timuerunt Israelitæ a facie Dei. Verumtamen rursum mihi considera non eos prius operi Deo placenti manus admovisse, quam cum ipsis fuisset, eorumque spiritum suscitasset. Cognoscemus ergo etiam hinc, etsi quis bonis actionibus studium dare decreverit, etsi impetum hujusmodi senserit fortasse, nihil tamen plane ad finem perducturum, si Deus cum ipso non fuerit, et ad audendum non excitarit, et ad laborum tolerantiam non acuerit, torporemque ad operas dandas non præciderit. Proinde et Paulus de iis quibus prædicatio verbi Dei

Ι'. Πεφόβηνται μὲν οἱ ἐξ Ἰσραὴλ ἀπὸ προσώπου Κυρίου. Πλὴν ἄθρει μοι πάλιν, ὡς οὐ πρότερον κεχωρήκασιν εἰς γε τὸ ἐλέσθαι δρᾷν τὰ ἀνδάνοντα τῷ Θεῷ, εἰ μὴ καὶ γέγονε μετ' αὐτῶν, καὶ ἐξήγειρε τὸ πνεῦμα αὐτῶν. Εἰσόμεθα δὴ οὖν κἀντεῦθεν, ὅτι κἂν εἰ ἕλοιτό τις τὸ ἐθελουργεῖν εἰς τὸ ἀγαθὸν, κἂν εἰ ἐν προθυμίαις γένοιτο ταῖς τοιαῖσδε τυχὸν, ἀλλ' οὐδὲν ὅλως ἀποπεράνεῖ, μὴ οὐχὶ συνόντος αὐτῷ τοῦ Θεοῦ, καὶ διανιστάντος εἰς εὐτολμίαν, καὶ καταθήγοντος εἰς τὸ τληπαθὲς, καὶ τὸν ἐπὶ ταῖς φιλεργίαις ἀποκείροντος ὄκνον. Τοιγάρτοι καὶ Παῦλος περὶ τῶν τὸ θεῖον

[66] Eccli. I, 11. [66] Ibid. 12. [67] Job I, 14, 15. [68] Isa. IX, 6. sec. LXX

Digitized by Google

πεπιστευμένων κήρυγμά φησιν, ὅτι « Περισσότερον πάντων αὐτῶν ἐκοπίασα. » Προσεπήγαγε δὲ πανσόφως· « Οὐκ ἐγὼ μόνος, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ἡ σὺν ἐμοί. » Καὶ μὴν καὶ αὐτὸς ὁ Σωτὴρ τοῖς ἁγίοις ἀποστόλοις, « Χωρὶς ἐμοῦ, φησὶν, οὐ δύνασθε ποιεῖν οὐδέν. » Αὐτὸς γὰρ ἡμῶν ἡ ἔφεσις, ἡ πρὸς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν προθυμία, αὐτὸς ἡ ἰσχὺς, καὶ συνόντός μὲν ἡμῖν εὐδοκιμήσομεν, ἑαυτοὺς οἰκοδομοῦντες εἰς ναὸν ἅγιον, εἰς κατοικητήριον Θεοῦ ἐν πνεύματι. Ἀποφοιτῶντος δὲ καὶ νοσφιζομένου, πῶς ἂν ἐνδοιάσειέ τις, ὅτι καὶ ἀπρακτήσομεν ὄκνῳ τε καὶ ἀνανδρίᾳ νικώμενοι, καὶ ὡς ἀκερδῆ τὸν πόνον ἀποσειόμενοι; Πλὴν ὅρα τοὺς πάλαι διὰ πολλὴν ἀπείθειαν ὑπῳπεσόντας ὀργῇ, λοιπὸν εἰσθέοντας ἐν οἴκῳ Κυρίου, καὶ ἐργαζομένους, συνόντων αὐτοῖς Ζοροβάβελ καὶ Ἰησοῦ τοῦ ἱερέως τοῦ μεγάλου.

Τύπος δ' ἂν εἴη τὸ χρῆμα πάλιν τῆς ἐν ἐσχάτοις τοῦ αἰῶνος καιροῖς ἐσομένης κλήσεως τοῦ Ἰσραήλ. Οἱ καὶ ἠπείθησαν μὲν ἐν ἀρχῇ, ταύτῃτοι καὶ ἄκαρποι μεμενήκασι, δίχα δρόσου, καὶ σίτου, καὶ οἴνου, καὶ μήν καὶ ἐλαίου. Πεπτώκασι δὲ καὶ ὑπὸ ῥομφαίαν. Ἐπειδὴ δὲ πεφόβηνται λοιπὸν ἀπὸ προσώπου [Θεοῦ], καὶ τοὺς τῶν ἁγίων προφητῶν δεδυσώπηνται λόγους, συνόντα τέ σφισι τὸν τῶν ὅλων ἕξουσι Θεὸν, καὶ ἐξεγερθήσεται τὸ πνεῦμα αὐτῶν, ἐργάσονται δὲ καὶ αὐτοὶ τὰ εἰς τὸν ναὸν τοῦ Κυρίου, τουτέστι τὴν Ἐκκλησίαν. Ἐν Χριστῷ δὲ καὶ ταῦτα διαμορφοῦται, ὥσπερ ἔν γε τῷ Ζοροβάβελ καὶ Ἰησοῦ. Ὁ μὲν γάρ ἐστι βασιλεὺς μὲν ὡς Θεὸς, ἀρχιερεὺς δὲ πάλιν ὡς ἄνθρωπος, καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων. Μεσιτεύει γὰρ ὁ ἱερεύς. Προσεπενήνεκται δὲ ἀναγκαίως καὶ τὸ, « τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου, » τὸ ἀγχίστροφον τῆς γνώμης τῶν ἐξ Ἰσραὴλ εὖ μάλα καταδηλοῦν. Γέγονε μὲν γὰρ πρὸς αὐτοὺς ὁ λόγος ἐν τῷ μηνὶ τῷ ἕκτῳ μιᾷ τοῦ μηνὸς, εἰσέδραμον δὲ τοὺς ἐπί γε τῷ ναῷ πόνους τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου, ὡς εἶναι τὰς μεταξὺ τῆς ἀναβολῆς, ἤγουν διασκέψεως, ἡμέρας τρεῖς τε καὶ εἴκοσι τὸν ἀριθμόν.

ΚΕΦΑΛ. Β'.

Τῷ δευτέρῳ ἔτει, ἐπὶ Δαρείου τοῦ βασιλέως, τῷ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ καὶ εἰκάδι τοῦ μηνὸς, ἐλάλησε Κύριος ἐν χειρὶ Ἀγγαίου τοῦ προφήτου, λέγων· Εἶπον δὴ πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, καὶ πρὸς Ἰησοῦν τοῦ Ἰωσεδὲκ, τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ, λέγων· Τίς ἐξ ὑμῶν, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν; Καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν καθὼς οὐχ ὑπάρχοντα ἐνώπιον ὑμῶν;

ΙΑ'. Εἰσήρχοντο μὲν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ μετεποιοῦντο τῶν ἔργων τῇ τετράδι καὶ εἰκάδι τοῦ ἕκτου μηνὸς, εἶτ' εὐθὺς εἰκάδι καὶ μιᾷ τοῦ ἑξῆς ἑβδόμου γέγονεν ὁ τοῦ Θεοῦ λόγος πρὸς Ἀγγαῖον. Τί οὖν ἄρα κἀπὶ τούτῳ λογιούμεθα, καὶ τίς ἡ πρόφασις

credita est, inquit: « Plus omnibus illis laboravi [69]. » Persapienter autem apponit: « Non ego solus, sed gratia Dei quæ mecum est [70]. » Et ipsemet Salvator sanctis apostolis: « Sine me nihil potestis facere [71]. » Ipse enim est desiderium, ipse ad quodvis bonum alacer animus, ipse robur, et eo nobis præsente clarescemus, ædificantes nosmetipsos in templum sanctum, in habitaculum Dei in spiritu [72]. Absente autem illo et nos destituente, **638** qui tandem dubitaverit quispiam quin otium simus acturi, pigritia et ignavia corrupti, et laborem velut infructuosum repellentes? Verumtamen perpende quomodo qui olim propter multam incredulitatem in iram divinam inciderant, jam ad domum Dei concurrant, et collaborent, Zorobabele et Jesu sacerdote magno ipsis præsentibus.

Potest hic esse typus extremis sæculi temporibus futuræ vocationis Israelitarum. Qui quidem principio increduli, ideo etiam steriles manserunt, sine rore, frumento, et vino et oleo. Quin etiam gladio ceciderunt. Ast ubi de cætero timuerint a facie Dei, et sanctorum prophetarum verba reverebuntur, universorum Deum secum habebunt, et suscitabitur spiritus eorum, et ipsi quoque ad opus templi Domini, hoc est Ecclesiam, laborem et industriam conferent. In Christo porro ista, ut in Zorobabel et Jesu, exprimuntur. Nam is est rex, ut Deus, præterea summus sacerdos, ut homo, et mediator Dei atque hominum [73]. Sacerdos enim medius intercedit. Adjunctum est autem necessario, « quarta et vicesima mensis sexti, » ut Israelitarum inconstantia approbe significaretur. Nam cum ad eos factum esset verbum mense sexto, una seu prima die mensis, illi in labores pro templo ædificando quarta et vicesima mensis sexti ingressi sunt, ut dilatio, quæ intercessit, sive deliberatio trium et viginti dierum fuerit.

CAP. II.

Vers. 1-4. *Secundo anno sub Dario rege, mense septimo, una et vicesima mensis locutus est Dominus in manu Aggæi prophetæ, dicens: Dic ad Zorobabel filium Salathiel de tribu Juda, et ad Jesum filium Josedec sacerdotem magnum, et ad omnes reliquos populi, dicens: Quis ex vobis vidit domum istam in gloria sua priore? Et quomodo vos videtis ipsam nunc sicut non existentem coram vobis?*

XI. Abibant quidem ad domum Dei, et capessebant laborem quarta et vicesima mensis sexti; deinde statim una et vicesima mensis septimi consequentis factum est verbum Domini ad Aggæum. Quid igitur hic etiam cogitandum sit, et quæ occasio fuerit,

[69] I Cor. xv, 10. [70] Ibid. [71] Joan. xv, 5. [72] Ephes. II, 22. [73] I Timoth. II, 5.

Digitized by Google

639 operæ pretium est exponere. Cum labori insudare cœpissent, et curas divini templi restituendi suscepissent, et vicesimam septimam diem ad hoc constituissent, reperiebantur pusillanimes, illud forsitan aut apud se, aut inter se mussitantes, se frustra laborare ; et si forte de integro templum excitassent, tamen priori nullo modo responsurum. Illud enim fuisse splendidissimum, et studio ingenti conditum, aureisque et argenteis anathematis exornatum : hoc inelegans, et ab omni ornatu inops, et divitiarum gloria carens futurum. Illud enim prius ædificarant, et abunde illustrarant, cum opibus adhuc circumfluerent qui quondam regnaverunt Hierosolymis, et ante alios Salomon : hoc vix annuentes et sudore captivitatis etiamnum manantes, et cum domi nihil prorsus haberent, ædificare jubebantur. Hujuscemodi cogitationibus jactati et mœsti oberrantes, laborabant illi quidem, verumtamen interim abjecto animo et cunctabundi deprehendebantur. Quocirca infirmos Deus corroborat, et utiliter eos interrogat num quis inter eos sit qui templum istud in priore gloria sua conspexerit. Erant autem perpauci, et ætate fessi. Eversum enim a Nabuchodonosore templum, fuitque captivus Israel, et vix tandem elapsis annis septuaginta, libertate reditnque potitus est. Difficilis itaque inventu, et senex admodum fuerit oportet, qui et ante vastitatem, et in captivitate vixerit, et Hierosolymam redierit. Idcirco quærens inquit : « Quis est ex vobis homo qui noverit domum istam cum priore ipsius gloria, » et hinc futuram et novam ut omnino non exsistentem existimat? Inest in percunctatione castigatio, quasi qui non putarent, quamvis ipsis curta res esset, et inopia pecuniæ valde premerentur, tamen Deum non fore imbecillum, sed rursum posse omnium linguis celebrandam et inclytam ædem suam reddere.

VERS. 5, 6. *Et nunc confortare, Zorobabel, dicit Dominus, et confortare, Jesu fili Josedec, sacerdos magne, et confortetur omnis populus terræ, dicit Dominus, et facite, quia ego vobiscum sum, dicit Dominus omnipotens, verbum quod pepigi vobiscum cum egrederemini de terra Ægypti, et spiritus meus astitit in medio vestrum. Confidite.*

640 XII. Non sinit eos mœrore dejici, neque terroribus ad inertiam expugnari; quin potius ad laborandi fervorem incitat, et vigorem alacritatemque illis injicit. Exercet etiam illos ad fidem, et animos eorum confirmat, dicens eos oportere confidere, quodque his amplius atque optatissimum est revera, se cum ipsis fore pollicetur ; et quonam illud modo, adjungit, inquiens : « Spiritus meus astitit in medio vestrum. Confidite. »

Nemo autem, cui bona mens et firma intelligentia, dubitaverit quin generose ad ædificationem divini templi, hoc est Ecclesiæ, collaborantibus vires largiatur et fiduciam impertiat, quoniam et per Spiritum sanctum aderit, et omnia ad finem illis

A εἰπεῖν ἀναγκαῖον. Πληπαθεῖν ἀρξάμενοι, καὶ τῶν εἰς τὸν θεῖον ναὸν ἀψάμενοι φροντισμάτων, ἑβδόμην τε καὶ εἰκοστὴν εἰς τοῦτο λοιπὸν διατεταχότες ἡμέραν, ὀλιγοψυχοῦντες ἠλίσκοντο, κἀκεῖνό που τάχα διαφιθυρίζοντες ἢ ἔν γέ σφισιν αὐτοῖς, ἢ πρὸς ἀλλήλους, ὅτι πονοῦσιν εἰκῆ· κἂν εἰ γένοιτο τυχὸν ἀναδείμασθαι τὸν νεὼν, ἀλλ' οὖν ἔσται κατ' οὐδένα τρόπον τῷ πρώτῳ προσεοικός. Ὁ μὲν γὰρ ἦν λαμπρὸς ἄγαν, καὶ φιλοτίμῳ χειρὶ κατεσκευασμένος, χρυσοῖς τε καὶ ἀργυροῖς ἀναθήμασιν εὐπρεπής· ὁ δὲ ἀκαλλὴς, καὶ παντὸς κόσμου δεδεημένος, καὶ τῆς ἐκ πλούτου φιλοτιμίας τητώμενος. Ἐκεῖνον μὲν γὰρ τὸν πρῶτον πλούτῳ κομῶντες ἔτι κατηγλάϊζον ἀμφιλαφῶς οἱ ἐν Ἱεροσολύμοις βεβασιλευκότες κατὰ καιρούς, καὶ πρό γε τῶν ἄλλων ὁ Σολομών· τὸν δὲ μόλις ἀνανευκότες, καὶ τὸν τῆς αἰχμαλωσίας ἴδρῶτα στάζοντες ἔτι, ἔχοντές τε κατ' οἴκους παντελῶς οὐδὲν, οἰκοδομεῖν προσετάττοντο. Τοιούτοις τισὶ διαλογισμοῖς νηχόμενοι, καὶ ἀλύοντες ἐργάζοντο μὲν, πλὴν ἀπρόθυμοί τε καὶ ὀκνηροὶ γεγονότες κατεφορῶντο πάλιν. Ταύτητοι Θεὸς ἀσθενοῦντας ἐπιρώννυσι, καὶ χρησίμως αὐτοῖς προσάγει τὴν πεῦσιν, εἰ δή τις ἄρα ἐστὶν ἐν αὐτοῖς, ὃς ἐν δόξῃ τῇ πρώτῃ τὸν νῦν τεθέατται ναόν. Ὀλίγοι δὲ ἦσαν κομιδῇ, καὶ γεγηρακότες. Πεπόρθηται μὲν γὰρ ὑπὸ τοῦ Ναβουχοδονόσορ ὁ ναὸς, καὶ ἦν αἰχμάλωτος ὁ Ἰσραὴλ, ἀνείθη δὲ μόλις πεπερατμένων ἐτῶν ἑβδομήκοντα. Δυσεύρετος οὖν, καὶ σφόδρα πρεσβύτης ὁ καὶ πρὸ τῆς πορθήσεως ὤν, καὶ ζήσας ἐν τῇ αἰχμαλωσίᾳ, καὶ ὑπονοστήσας αὖθις εἰς Ἱερσόλυμα. Διὰ τοῦτό φησι· « Τίς ἔσται ἐξ ὑμῶν ἄνθρωπος, ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ τῇ ἔμπροσθεν, » εἶτα οἴεται τὸν ἐσόμενόν τε καὶ νέον ὡς μηδόλως ὑπάρχοντα ; Ἔνεστι δὲ τῇ πεύσει μομφὴ, ὡς οἰηθέντων, ὅτι κἂν εἶεν αὐτοὶ στενοί τε καὶ λίαν ἐν ἐνδείᾳ χρημάτων, ἀλλ' οὖν οὐκ ἂν ἠτόνησε Θεὸς, ἀρκέσει δὲ πάλιν αὐτὸς εἷς γε τὸ χρῆναι, φημὶ, πανεύφημόν τε καὶ εὐκλεᾶ τὸν ἴδιον ἀποδεῖξαι ναόν.

Καὶ νῦν κατίσχυε, Ζοροβάβελ, λέγει Κύριος, κατίσχυε, Ἰησοῦ ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς μέγας, καὶ κατισχυέτω πᾶς ὁ λαὸς τῆς γῆς, λέγει Κύριος, καὶ ποιεῖτε, διότι ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει Κύριος παντοκράτωρ, τὸν λόγον, ὃν διεθέμην ἐν τῷ ἐξελθεῖν ὑμᾶς ἀπὸ Αἰγύπτου, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Θαρσεῖτε.

ΙΒ'. Οὐκ ἐᾷ κατασείεσθαι πρὸς ἀκηδίαν, οὔτε μὴν τοῖς εἰς ὄκνον ἠττᾶσθαι δείμασιν· ἀνοτρύνει δὲ μᾶλλον εἰς φιλεργίαν, καὶ σφριγῶσαν αὐτοῖς τὴν προθυμίαν ἐργάζεται. Διαγυμνάζει δὲ ἅμα πρὸς πίστιν αὐτοὺς, καὶ ἐρηρεισμένους ἀποφαίνει, χρῆναι θαῤῥεῖν εἰπὼν, καὶ τὸ ἔτι τούτων ἐπέκεινα καὶ πολυευκτότατον ἀληθῶς, συνεῖναί σφισι κατεπαγγέλλεται· καὶ τίνα δὴ τρόπον, προστίθει λέγων· « Τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Θαρσεῖτε. »

Ἐνδοιάσειε δὲ οὐδεὶς τῶν εἴσω φρενὸς ἀγαθῆς καὶ νοῦ βεβηκότος, ὅτι τοῖς πονοῦσι γενικῶς εἰς οἰκοδομὴν τοῦ θείου ναοῦ, τουτέστι τῆς Ἐκκλησίας, ἰσχύν τε ἅμα χαρίζεται, καὶ δίδωσι τὸ θαῤῥεῖν, ὅτι καὶ συνέσται διὰ τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ πάντα

Digitized by Google

αὐτοῖς ἀποπερανεῖται, δι' ὧν ἂν δύναιντο λαμπρὸν καὶ εὐδόκιμον τὸν οἰκεῖον ἀποφῆναι βίον. Οὕτω καὶ ὁ Κύριος οἰκοδομεῖν μέλλουσι τὴν Ἐκκλησίαν τοῖς ἁγίοις ἀποστόλοις, καὶ εἰς ναὸν ἅγιον συναγείρειν τοὺς πεπιστευκότας ἔφασκεν ἀναγκαίως, ὅτι « Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι. » Ὅτι δὲ ἔμελλε πάλιν συνεῖναι αὐτοῖς διὰ τοῦ Πνεύματος, σαφηνιεῖ λέγων αὐτὸς, ποτὲ μέν· « Οὐκ ἀφήσω ὑμᾶς ὀρφανοὺς, ἔρχομαι πρὸς ὑμᾶς· » ποτὲ δὲ τὸν τῆς ἀφίξεως τρόπον ἐναργῆ καθιστὰς, διὰ τοῦ φάναι πάλιν· « Συμφέρει ὑμῖν ἐὰν ἐγὼ ἀπέλθω. Ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς, ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. » Οὐκοῦν σύνεστι μὲν τοῖς οἰκοδομοῦσιν αὐτῷ, ἀποφοιτᾷ δὲ, καὶ ὁλοτρόπως ἀπανίσταται τῶν κατασειόντων αὐτόν· εἶεν δ' ἂν οὗτοι πάλιν, οἱ ἐν Βελζεβοὺλ λέγοντες « ἀνάθεμα Ἰησοῦν, » καὶ πάντα τὰ ὀρθὰ διαστρέφοντες, καὶ ταῖς τῶν ἁπλουστέρων ψυχαῖς τὸν τῆς ἀπωλείας ἰὸν ἐγχέοντες.

et exitum perducentur, per quæ vitam suam illustrem et laudabilem efficere queant. Ita et Dominus sanctis apostolis Ecclesiam ædificaturis, et in templum sanctum credentes congregaturis dicere debuit : « Ecce ego vobiscum sum [74]. » Futurum se autem cum iis rursum per Spiritum declarat, cum nunc dicit : « Non relinquam vos orphanos, veniam ad vos [75] ; » nunc adventus modum aperiens : « Expedit vobis ut ego vadam. Si enim non abiero, Paracletus non veniet ad vos ; si autem abiero, mittam illum ad vos [76]. » Itaque adest domum ipsi ædificantibus, abit autem, et penitus deserit qui repellunt eum, quales rursum sunt qui in Beelzebub dicunt « anathema Jesum [77], » et omnia recta pervertunt, et in animos simplicium perditionis venenum infundunt.

Διότι τάδε λέγει Κύριος παντοκράτωρ· Ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὴν ξηράν, καὶ συσσείσω πάντα τὰ ἔθνη, καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πλήσω τὸν οἶκον τοῦτον δόξης, λέγει Κύριος παντοκράτωρ. Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, λέγει Κύριος παντοκράτωρ.

VERS. 7-9. *Quia hæc dicit Dominus omnipotens : Adhuc semel ego movebo cœlum, et terram, et mare, et aridam, et commovebo omnes gentes, et venient electa omnium gentium, et implebo domum istam gloria, dicit Dominus omnipotens. Meum est argentum, et meum est aurum, dicit Dominus omnipotens.*

ΙΓ'. Ἀνακομίζει τὸν λόγον ἐπὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν, καὶ εἰς χρόνους τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας. Τότε δὴ κατεπαγγέλλεται καταδονήσειν αὐτὸν τόν τε οὐρανὸν, καὶ τὴν γῆν, καὶ μέντοι τὴν θάλασσαν, καὶ πρὸς τούτοις ἔτι πάντα τὰ ἔθνη. Ἔφη γὰρ, ὅτι « Ἔτι ἅπαξ ἐγὼ σείσω. » Τοιοῦτόν τινα νοῦν ὑπεμφαίνειν ἔοικε, κατά γε τό μοι καλῶς ἔχειν δοκοῦν. Ὅτε τοῖς εἰδώλοις λελατρευκότα τὸν Ἰσραὴλ, καὶ τοῖς Αἰγυπτίων ἔθεσί τε καὶ νόμοις ἐντεθραμμένον ἐλευθεροῦν ἐσκέπτετο, καὶ πρὸς τὴν τῆς ἀληθείας ἐπίγνωσιν μετακομίζειν ἤθελε, μονονουχὶ καὶ καταδονήσας ὁρᾶται τὰ πάντα, τῶν μὲν ὑδάτων εἰς αἷμα μετεσκευασμένων, οὐρανοῦ δὲ χάλαζαν καθιέντος, τεμνομένης θαλάσσης, καὶ πηγνυμένων τῶν ἐν αὐτῇ κυμάτων ἐν εἴδει τειχῶν, οὐρανοῦ τὸ μάννα καταστάζοντος. Καίτοι τοιοῦτον ὁ Ψαλμῳδὸς ὑποφαίνει λέγων· « Ὁ Θεὸς, ἐν τῷ προπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη· καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν. » Σεσεῖσθαι δέ φαμεν τὸ τηνικάδε τὴν γῆν, οὐχ ὑπομείνασαν τὸν συνήθη κλόνον, ἀλλ' ὡς ἐπισήμου γενομένης τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ, καὶ λαθούσης οὐδένα τῶν ἐπὶ τῆς γῆς. Τοιοῦτόν τινα σεισμὸν πάλιν ἔσεσθαί φησιν τὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας καιρὸν, ὡς οὐδενὸς ἀγνοῆσαι μέλλοντος τὰ δι' αὐτῆς κατορθώματα. Ἔγνω μὲν γὰρ ὁ οὐρανὸς τὸ μυστήριον, καὶ τούτου μάρτυς ὁ Παῦλος λέγων· « Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, » καὶ τὰ ἑξῆς. Ἔγνω δὲ ὁμοίως καὶ ἡ σύμπασα γῆ, καὶ ἡ θάλασσα, τουτέστιν αἱ νῆσοι. Τίς γὰρ ὅλως τῆς εἰς τοῦτο γνώσεως

XIII. Redit ad Ecclesiam ex gentibus, et ad tempora adventus Salvatoris nostri. Tunc nimirum promittit ipsum agitaturum cœlum et terram, mare quoque, et insuper omnes gentes Ait namque : « Adhuc semel ego movebo. » Quod, meo quidem judicio, hunc sensum continet. Quando Israelem qui idolis **641** servierat, Ægyptiorumque moribus et legibus immutritus erat, vindicare in libertatem cogitabat, et ad veritatis agnitionem transferre volebat, visus est tantum non omnia concutere, aquis quidem in sanguinem versis, cœlo grandine demissa, mari diviso, et instar murorum aquis defixis, et cœlo manna suppeditante [78]. Tale quiddam Psalmicen : « Deus, cum egredereris coram populo tuo, cum pertransires in deserto, terra mota est ; etenim cœli distillaverunt [79]. » Commotam vero tunc terram dicimus, utpote agitationem inconsuetam sustinentem in tam nobili excessu filiorum Israel, et latente mortalium neminem. Istiusmodi motum rursus futurum dicit tempore adventus Salvatoris nostri, quippe nemine ignoraturo, quæ per illum evenient bona. Cognovit enim cœlum hoc mysterium, cujus testis est Paulus : « Ut innotescat nunc, inquit, principatibus et potestatibus in cœlestibus per Ecclesiam multiformis sapientia Dei [80]. » et quæ sequuntur. Cognovit similiter omnis terra et mare, hoc est, insulæ. Quis enim tandem hujus cognitionis expers cernitur? Quod mare, quæ gens, quæ pars orbis sub sole? Prædicatum est enim Evangelium per omnes gentes [81], juxta vocem Salvatoris. Et nunc, « Adhuc,

[74] Matth. XXVIII, 20. [75] Joan. XIV, 18. [76] Joan. XVI, 7. [77] I Cor. XII, 3. [78] Exod. VI, VII, XIV, XVI. [79] Psal. LXVII, 8, 9. [80] Ephes. III, 10. [81] Matth. XXIV, 14.

Digitized by Google

inquit, semel, et movebo cœlum et terram, et tunc venient electa omnium gentium, et implebo domum istam gloria. » Fuerunt enim innumeri ex omni gente, insignes et electi qui crediderunt, et quasi splendida quædam anathemata, seu donaria in domum Dei congregati, et illi ita decus conciliantes, eamque gloriosam et celebrem reddentes, a Christo vicissim glorificati sunt. Didicerunt enim orare et dicere : « Et sit splendor Domini Dei nostri super nos [82]; » et iterum : « Benedicti vos a Domino, qui fecit cœlum et terram [83]. » Deum porro non egere materia inanima, sed decentia et ornatu quem intelligentia sola capit, sic ostendit : « Meum est argentum, et meum est aurum. » Perinde ac si dicat : Ne inglorium fore existimetis templum, quoniam auro, et argento, splendidisque divitiis fortasse carebit. Non indigeo his. Meum est enim argentum et aurum omne. Potius germanos ac sinceros adoratores requiro. Horum fulgore templum meum inaurabo. Quemadmodum enim quando sacrificiis secundum legem Israelem **642** absolvit, dixit, ut debebat : « Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos : meæ sunt enim omnes bestiæ agri, jumenta in montibus et boves [84]; » ita etiam hic ornatum ex materia repudians, et quem mens aspicit, potius desiderans, « Meum est, inquit, argentum et aurum, » hoc est, sufficit, et plenus sum, et nullo horum opus habeo. Sit autem potius ornatus meus qui est fide recta præditus, virtutis ornamentis eximius, charitate in me splendidus, mundus corde, pauper spiritu, misericors et bonus. Sic enim ad templum, hoc est, ad Ecclesiam congregati et collecti, eam præclaram et conspicuam efficient.

ἀμοιρήσας ὁρᾶται; Ποία θάλασσα, ποῖον ἔθνος, πᾶ μοῖρα τῆς ὑπ' οὐρανόν; Κεκήρυκται τὸ Εὐαγγέλιον εἰς πάντα τὰ ἔθνη, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. « Ἔτι τοίνυν, φησὶν, ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τότε ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν, καὶ πλήσω τὸν οἶκον τοῦτον δόξης. » Πλεῖστοι γὰρ ὅσοι, καὶ ἐκ παντὸς ἔθνους, καὶ λαμπροὶ, καὶ ἀπόλεκτοι γεγόνασιν οἱ πεπιστευκότες, καὶ ἐν τάξει λαμπρῶν ἀναθημάτων εἰς τὸν οἶκον τοῦ Θεοῦ συναγηγερμένοι, καὶ δόξαν αὐτῷ διὰ τοῦτο προσάπτοντες, εὐκλεᾶ τε καὶ ἀοίδιμον ἀποφαίνοντες, καὶ δεδοξασμένοι παρὰ Χριστοῦ. Μεμαθήκασι γὰρ προσεύχεσθαί τε καὶ λέγειν· « Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς· » καὶ πάλιν, « Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. » Ὅτι δὲ οὐχ ὕλης ἀψύχου δεῖται Θεὸς, ἀλλὰ νοητῆς εὐκοσμίας, ὑποφαίνει λέγων· « Ἐμὸν τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον. » Ὅμοιον γὰρ ὡς εἰ λέγοι· Μὴ ἀκλεᾶ νομίσητε τὸν ναὸν, ὅτι χρυσίου, καὶ ἀργυρίου, καὶ τῆς ἐκ πλούτου λαμπρότητος ἀμοιρήσει τυχόν. Οὐ δεδέημαι τῶν τοιούτων. Ἐμὸν γὰρ τὸ πᾶν ἀργύριον, καὶ τὸ πᾶν χρυσίον. Ζητῶ δὲ μᾶλλον γνησίους προσκυνητάς. Τῇ τοιούτων λαμπρότητι τὸν ἐμαυτοῦ καταχρυσώσω ναόν. Ὥσπερ γάρ, ὅταν τῶν κατὰ νόμον θυσιῶν ἐξέστη τὸν Ἰσραὴλ, ἔφασκεν ἀναγκαίως· « Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σου χιμάρους· ἐμά γάρ ἐστι πάντα τὰ θηρία τοῦ ἀγροῦ, κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες· » οὕτω κἀνθάδε τὸν ἐξ ὕλης κόσμον παραιτούμενος, ζητῶν δὲ μᾶλλον τὸν νοητὸν, « Ἐμὸν, φησὶ, τὸ ἀργύριον, καὶ ἐμὸν τὸ χρυσίον, » τουτέστιν ἀπέχει, καὶ πεπλήρωμαι, καὶ δεδέημαι τῶν τοιούτων οὐδενός. Ἔστω δὲ μᾶλλον ὁ πίστιν ἔχων ὀρθὴν, ὁ τῆς ἀρετῆς αὐχήμασι διαπρέπων, ὁ ἀγάπῃ τῇ εἰς ἐμὲ κατηγλαϊσμένος, ὁ καθαρὸς τὴν καρδίαν, ὁ πτωχὸς τῷ πνεύματι, ὁ φιλοικτίρμων καὶ ἀγαθός. Συναγηγερμένοι γὰρ οὕτως εἰς τὸν ναὸν, τουτέστιν τὴν Ἐκκλησίαν, εὐκλεᾶ καὶ περίοπτον ἀποφανοῦσιν αὐτήν.

Vers. 10. *Quare magna erit gloria domus istius, novissima super primam, dicit Dominus omnipotens : et in loco isto dabo pacem, dicit Dominus omnipotens, pacem animæ ad acquisitionem omni construenti ad excitandum templum hoc.*

Διότι μεγάλη ἔσται ἡ δόξα οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην, λέγει Κύριος παντοκράτωρ, καὶ ἐν τόπῳ τούτῳ δώσω εἰρήνην, λέγει Κύριος παντοκράτωρ, εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον.

XIV. Tempore enim adventus Salvatoris nostri gloriosius absque ulla comparatione divinum templum apparuit, tantoque illo veteri præclarius et excellentius, quanto quis cultum religionis legalem a cultu in Christo et evangelico, et veritatem ab umbris differre judicaverit. Ad hæc illud quoque dici posse arbitror. Unum erat templum, et Hierosolymis tantum, et una gens Israelitica in eodem sacrificiis fungebatur. Postquam vero nostrum similis factus est Unigenitus, cum esset « Deus et Dominus, et illuxit nobis [85], » ut ait Scriptura, de cætero orbis terrarum domibus sanctis et adoratoribus innumerabilibus, qui spiritualibus sacrificiis et odoribus universorum Deum venerantur, impletus est. Et hoc, opinor, est quod Malachias, tanquam

ΙΔ'. Κατὰ γάρ τοι τὸν καιρὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας εὐκλεέστερος μὲν ἀσυγκρίτως ὁ θεῖος ἐδείχθη ναὸς, ἀμείνων δὲ οὕτω τοῦ πάλαι καὶ ὑπερκείμενος, ὅσῳπερ ἂν οἰοιτό τις διενεγκεῖν καὶ τῆς κατὰ νόμον λατρείας τὴν ἐν Χριστῷ τε καὶ εὐαγγελικὴν, καὶ τῶν ἐν σκιαῖς τὴν ἀλήθειαν. Ἄλλως τε φάναι κἀκεῖνο οἰήσομαι δεῖν. Εἷς ἦν, καὶ ἐν μόνοις τοῖς Ἱεροσολύμοις ὁ πάλαι ναὸς, καὶ ἦν ἔθνος ἓν τὸ ἐξ Ἰσραὴλ τὰς ἐν αὐτῷ θυσίας ἐπιτελοῦν. Ἐπειδὴ δὲ γέγονε καθ' ἡμᾶς ὁ Μονογενὴς, « Θεὸς ὢν Κύριος, καὶ ἐπέφανεν ἡμῖν, » κατὰ τὰς Γραφὰς, μεμίστωται λοιπὸν ἡ ὑπ' οὐρανὸν οἴκων τε ἁγίων καὶ ἀναριθμήτων προσκυνητῶν, οἳ πνευματικαῖς θυσίαις καὶ νοηταῖς εὐωδίαις τὸν τῶν ὅλων Θεὸν καταγεραίρουσι. Καὶ τοῦτο, οἶμαι, ἔστι τὸ διὰ φωνῆς Μαλαχίου προανα-

[82] Psal. LXXXIX, 17. [83] Psal. CXIII, 15. [84] Psal. XLIX, 9, 10. [85] Psal. CXVII, 27.

Digitized by Google

φανούμενον, ὡς ἐκ προσώπου τοῦ Θεοῦ· « Διότι βασιλεὺς μέγας ἐγώ εἰμι, λέγει Κύριος, καὶ τὸ ὄνομά μου δεδόξασται ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσφέρεται τῷ ὀνόματί μου, καὶ θυσία καθαρά. » Οὐκοῦν ἀτρεκὴς ὁ λόγος, ὡς ἔσται μείζων ἡ δόξα τοῦ τελευταίου ναοῦ, τουτέστι τῆς Ἐκκλησίας. Ὅτι δὲ τοῖς πεφροντικόσι τοῦ οἰκοδομεῖν αὐτὴν ξένιον ὥσπερ τι παρὰ τοῦ Σωτῆρος, καὶ δῶρον ἐξ οὐρανοῦ δοθήσεται Χριστὸς, ἡ πάντων εἰρήνη, « δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα, » σαφηνιεῖ λέγων, ὅτι « Δώσω εἰρήνην ἐν τόπῳ τούτῳ, καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παντὶ τῷ κτίζοντι, τοῦ ἀναστῆσαι τὸν ναὸν τοῦτον. » Ἔφη γάρ που καὶ αὐτὸς ὁ Χριστὸς, « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. » Καὶ ὅπως ὀνίνησι τὸ χρῆμα τοὺς ἠγαπηκότας, διδάξει γράφων ὁ Παῦλος· « Ἡ εἰρήνη τοῦ Χριστοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν. » Ἐλιπάρει δὲ καὶ ὁ σοφὸς Ἡσαΐας λέγων· « Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν, πάντα γὰρ ἀπέδωκας ἡμῖν· » ὡς τοῖς γε ἅπαξ ἠξιωμένοις τοῦ Χριστοῦ λαβεῖν εἰρήνην, μετὸν εὐκόλως τὴν ἰδίαν ἀνασῶσαι ψυχὴν καὶ πρὸς κατόρθωσιν ἀρετῆς ἀπευθύναι τὸν νοῦν. Οὐκοῦν παντὶ τῷ κτίζοντι δοθήσεσθαί φησιν τὴν εἰρήνην. Εἴτε γὰρ Ἐκκλησίαν οἰκοδομεῖ τις, καὶ τέτακται μυσταγωγὸς ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ· εἴτ' οὖν τὴν ἰδίαν αὐτὸς ὀνίνησιν ψυχὴν, ὡς λίθον ζῶντα καὶ πνευματικὸν ἑαυτὸν παριστὰς « εἰς ναὸν ἅγιον καὶ κατοικητήριον τοῦ Θεοῦ ἐν πνεύματι, » ὁ τοιοῦτος πάντως ἀποκερδανεῖ τὸ δύνασθαι τὴν ἰδίαν εὐχόλως ἀνασῶσαι ψυχήν.

Τετράδι καὶ εἰκάδι τοῦ ἐννάτου μηνὸς, ἔτους δευτέρου, ἐπὶ Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ἀγγαῖον τὸν προφήτην, λέγων· Τάδε λέγει Κύριος παντοκράτωρ· Ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον, λέγων· Ἐὰν λάβῃ ἄνθρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου, ἢ ἐψήματος, ἢ οἴνου, ἢ ἐλαίου, ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπαν· Οὔ. Καὶ εἶπεν Ἀγγαῖος· Ἐὰν ἅψηται μεμιασμένος ἀκαθάρτος ἐπὶ ψυχῇ ἀπὸ παντὸς τούτων, εἰ μιαρθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπον, Μιαρθήσεται. Καὶ ἀπεκρίθη Ἀγγαῖος, καὶ εἶπεν· Οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ, λέγει Κύριος, καὶ οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἐὰν ἐγγίσῃ ἐκεῖ, μιαρθήσεται.

ΙΕ'. Ἕτερος οὗτος χρηματισμὸς διὰ τοῦ προφήτου πρὸς τὸν Ἰσραήλ, ἐπ' αἰτίᾳ δέ φαμεν γεγενῆσθαι τοιαύτῃ. Ἔτους μὲν ἐνεστηκότος δευτέρου τοῦ Δαρείου βασιλέως, ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ, κατονειδίζοντος τοῦ Θεοῦ τοὺς τῆς αἰχμαλωσίας λελυτρωμένους, καὶ ὄκνον αὐτοῖς ἐγκαλοῦντος, τὸν ἐπί γε, φημὶ, τὸ δεῖν ἐργάζεσθαι τὸν νεὼν, εἰσεδεδραμήκασι μόλις, καὶ τῶν εἰς φιλεργίαν ἰδρώτων μετεποιοῦντο λοιπόν. Εἶτα τοῦτο δεδρακότας ἐπαινεῖ Θεὸς, συνεῖναί τέ

A ex persona Dei præcinuit : « Quia magnus rex ego, dicit Dominus, et nomen meum glorificatum est in gentibus, et in omni loco incensum offertur nomini meo, et sacrificium mundum [96]. » Verum est igitur, gloriam novissimi templi, Ecclesiæ puta, majorem fore. Sollicitis autem et de ejus ædificatione laborantibus velut xenium a Salvatore, et donum de cœlo datum iri Christum, omnium pacem, « per quem accessum habemus in uno Spiritu ad Patrem [97], » declarat, cum ait : « Dabo pacem in loco isto, et pacem animæ 643 in acquisitionem omni construenti ad excitandum templum hoc. » Ait enim alicubi Christus quoque : « Pacem meam do vobis [98]. » Quæ res quomodo conducat diligentibus, docebit Paulus : « Pax Christi, inquit, B quæ exsuperat omnem sensum, custodiet corda vestra, et intelligentias vestras [99]. » Orabat item sapiens Isaias, dicens : « Domine Deus noster, pacem da nobis, omnia enim reddidisti nobis [100] ; » quia semel Christi pace dignitatis facile animam suam servare, et ad virtutis munus probe explendum animum dirigere licet. Itaque omni construenti pacem datum iri profitetur. Sive enim Ecclesiam quispiam ædificat, et mystagogus, sive sacrorum mysteriorum interpres, super domum Dei constitutus est : sive suæ animæ prodest, ut lapidem vivum et spiritualem se exhibens « in templum sanctum, et habitaculum Dei in spiritu [101], » C talis hoc emolumenti omnino reportabit, ut animæ suæ salutem adipisci non difficulter possit.

VERS. 11-15. *Quarta et vicesima mensis noni, anno secundo sub Dario, factus est sermo Domini ad Aggæum prophetam dicens : Hæc dicit Dominus omnipotens : Interroga sacerdotes legem, dicens : Si sumpserit homo carnem sanctam in summitate vestimenti sui, et tetigerit summitas vestimenti ejus panem, aut coctionem, aut vinum, aut oleum, aut omnem escam, si sanctificabitur? Et responderunt sacerdotes, et dixerunt : Non. Et dixit Aggæus : Si tetigerit pollutus, immundus in anima ab omni horum, si polluetur? Et responderunt sacerdotes, et dixerunt : Polluetur. Et respondit Aggæus, et dixit : Sic populus iste, et sic gens hæc coram me, dicit* D *Dominus, et sic omnia opera manuum eorum, et quicunque appropinquaverit ibi, contaminabitur.*

XV. Aliud hoc oraculum per prophetam ad Israelem ex hac causa. Cum annus Darii regis alter ageretur, in mense septimo, exprobrante Deo e captivitate liberatis, eorumque ad templum ædificandum segnitiem castigante, vix coiverunt, et de cætero labori ac sudori institerunt. Cœpta Deus commendavit, et se cum 644 ipsis futurum et benedicturum promisit, ac de se bene sperare jussit, utpote spiritu suo in medio eorum versante.

[96] Malach. I, 11. [97] Ephes. II, 18. [98] Joan. XIV, 27. [99] Philipp. IV, 7. [100] Isa. XXVI, 12. [101] I Petr. II, 4, 5

Digitized by Google

Illi nihilominus inertes, et ad laborem difficiles, vix fortasse duobus mensibus transactis, in socordiam relabebantur, iterumque graviter mœrentes oberrare cernebantur. Nam cum ad exercendam mercaturam summopere et sine consilio ferrentur, et nimium avide lucra captarent, tristitiæ se dabant, quod non liceret ipsis, ut in otii scilicet copia, negotiationes tractare. Deinde hostias offerentes, id sibi ad sanctificationem satis fore credebant, quanquam divinum templum nunquam forte conderetur. Jubetur itaque propheta dextra quadam reprehensione eos pungere, et docere, tametsi precibus et sacrificiis intenti sint, si tamen in perficiendo Dei templo ignavi exstiterint, non id illis utilitatem, sed divinam potius iram et judicium pariturum, qui noluerint suis temporibus victimas cædere, et ad divinum altare accedere. Aperte item ipsis ostendit, propter cupitas negotiationes improbis, et alienigenis, atque adeo idololatris admistos, extreme contaminari. Est autem legi congruentissima interrogatio, et interpretatu difficilis. Verumtamen, quibus verbis potuero, quid sibi velit repræsentabo. Interrogat igitur propheta sacerdotes legem. Scriptum est enim : « Labia sacerdotis custodient scientiam, et legem requirent ex ore ejus[91]. » Quid ergo interrogat? « Si acceperit homo carnem sanctam in summitate vestimenti sui, et tetigerit summitas vestimenti ejus panem, aut coctionem, aut vinum, aut oleum, aut omnem escam, si sanctificabitur? Illi responderunt, Non. » Caro quidem animantis Deo in sacrificio oblati sancta est, inquit : verumtamen illud eos docere conatur. Sacerdotes sacrificiis juxta legis præscriptum operantes, nonnunquam vestimentis arietes incendendos contingebant. Num igitur, inquit, si vestis sacra per carnem sanctam forte sanctificata, aliud quidpiam Deo non oblatum attigerit, illud quoque sanctum erit? Id sacerdotes legi convenire negarunt. Quare ut ex traditione ad veriora procedamus. Si ergo qui sacrificat interim Deum quibusdam modis offendat, numquid per sacrificia sanctificabitur? Neutiquam : quin damnabitur potius, ut qui nondum expiatus sacrificaverit. Vera autem me dicere ut credas, audi quid legislator in Levitico dicat : « Et caro quæ tetigerit omne immundum, **645** non comedetur, in igne comburetur. Omnis mundus comedet carnes : at anima quæ comederit de carnibus sacrificii salutaris, quod est Domino, et immunditia ejus in eo, exterminabitur anima illa de populo suo[92]. » Vides quomodo infrugiferum, imo vero iræ cœlestis et mortis provocatio sit, illotis manibus Deo sacra facere. Quemadmodum igitur sacerdotum vestimenta, quamvis per carnes sacrificii sanctificata, non idcirco sanctificabunt alia, a quibus tanguntur : ita Deo sacrificare, sanctos non efficiet illos qui eum alia via læserint, et in eo quod ipsi complacitum est, ferias otiumque

σφισι κατεπηγγέλλετο, καὶ εὐλογεῖν αὐτοὺς, καὶ θαρρεῖν ἐκέλευεν, ὡς ἐφεστηκότος ἐν μέσῳ αὐτῶν τοῦ πνεύματος. Οἱ δὲ οὐδὲν ἧττον ὀκνηροί τε ἦσαν καὶ δυσέργαστοι, καὶ δύο που τάχα μηνῶν διαγεγονότων μόλις, ἀνέπιπτον εἰς ῥᾳθυμίαν, καὶ δεινῶς ἀλύοντες κατεφωρῶντο πάλιν. Πρὸς γάρ τοι τὰ τῆς ἐμπορίας ἔργα δεινῶς καὶ ἐκτόπως ἀπονενευκότες, καὶ ἀκρατῶς ἔχοντες εἰς φιλοκερδίαν, εἰσεδέχοντο τὴν ἀκηδίαν, ὡς οὐκ ἐξὸν αὐτοῖς ὡς ἐν εὐρείᾳ σχολῇ τῶν εἰς ἐμπορίαν ἔχεσθαι φροντισμάτων. Εἶτα θυσίας προσάγοντες, ἀρκέσειν ἔφασκον τὸ χρῆμα αὐτοῖς εἰς τὸ ἁγιάζεσθαι δεῖν, κἂν εἰ μήπω γένοιτο τυχὸν ὁ θεῖος νεώς. Προστάττεται τοίνυν ὁ προφήτης εὐφυέσιν ἐλέγχοις κατατιτρώσκειν αὐτοὺς, καὶ διδάσκειν, ὅτι κἂν εἰ ἕλοιντο πληροῦν εὐχὰς καὶ θυσίας, ῥᾳθυμοι δὲ ὄντες ἀλίσκοιντο περὶ τὸ χρῆναι πληροῦν τὸν οἶκον τοῦ Θεοῦ, οὐκ εἰς ὄνησιν ἔσται μᾶλλον αὐτοῖς, ἀλλ' εἰς ὀργὴν καὶ κρῖμα, τὸ μὴ ἐν καιροῖς βούλεσθαι βουθυτεῖν, καὶ τῷ θείῳ προσιέναι θυσιαστηρίῳ. Διατρανοῖ δὲ πρὸς τούτοις, ὅτι τῶν προκειμένων αὐτοῖς ἐμπορίων ἕνεκα πονηροῖς καὶ ἀλλογενέσιν ἀνδράσιν ἀναμιγνύμενοι, πάντως δέ που καὶ εἰδωλολάτραις, ἐσχάτως καταμιαίνονται. Νομικωτάτη δὲ λίαν ἡ ἐρώτησις, καὶ δυσερμήνευτος μὲν, πλὴν σαφηνεῖᾳ, δ' ὧν ἂν δύνωμαι λόγων παριστάς τὸ δηλούμενον. Ἐρωτᾷ τοίνυν ὁ προφήτης τοὺς ἱερέας νόμον. Γέγραπται γὰρ, ὅτι « Χείλη ἱερέως φυλάξεται κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. » Καὶ τίς ἐρώτησις; « Ἐὰν λάβῃ ἄνθρωπος κρέας ἁγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου, ἢ ἐψήματος, ἢ οἴνου, ἢ ἐλαίου, ἢ τινος βρώματος, εἰ ἁγιασθήσεται; Οἱ δὲ εἶπον, Οὔ. » Καὶ κρέας μὲν ἁγιόν φησι, τὸ ἀπὸ ζώου ληφθὲν προσενηνεγμένου πρὸς ἱερουργίαν τῷ Θεῷ· πλὴν ἐκεῖνο βούλεται διδάσκειν αὐτούς. Οἱ ἱερεῖς ἔσθ' ὅτε τὰς μετὰ νόμου τελοῦντες θυσίας, ἥπτοντο καὶ διὰ τῶν ἐσθημάτων τῶν μελλόντων κατακαίεσθαι κριῶν. Ἆρ' οὖν, φησὶν, ἐὰν ἐσθὴς ἱερὰ ἠγιασμένη τυχὸν διὰ κρέως ἁγίου ἅψηταί τινος ἑτέρου, τοῦ μὴ προσενηνεγμένου τῷ Θεῷ, ἆρ' ἔσται κἀκεῖνο ἅγιον; Ἀπέφησαν τοῦτο κατὰ νόμον οἱ ἱερεῖς. Οὐκοῦν ὡς ἐκ παραδόσεως ἴωμεν ἐπὶ τὸ ἀληθέστερον. Ἆρ' ὁ προσάγων θυσίας, εἰ παροτρύνῃ Θεὸν καθ' ἑτέρους τρόπους, ἁγιασθήσεται παρ' αὐτῆς; Οὐδαμῶς, κατακριθήσεται δὲ μᾶλλον, ὡς οὕπω μὲν ἀποκαθηράμενος, προσαγαγὼν δὲ θυσίαν. Ὅτι δὲ ἀληθὴς ὁ λόγος, ἄκουε [illegible]φησιν ὁ νομοθέτης ἐν τῷ Λευϊτικῷ· « Καὶ κρέας ὃ ἂν ἅψηται παντὸς ἀκαθάρτου, οὐ βρωθήσεται, ἐν πυρὶ κατακαυθήσεται. Πᾶς καθαρὸς φάγεται κρέας, ἡ δὲ ψυχὴ, ἥτις ἐὰν φάγῃ ἀπὸ τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστι Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ' αὐτῷ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς. » Ὁρᾷς ὅπως ἀνόνητον, μᾶλλον δὲ ὀργῆς καὶ θανάτου πρόξενον, τὸ ἀναπονίπτοις χερσὶ προσάγειν θυσίας. Ὥσπερ οὖν τὰ τῶν ἱερέων ἐσθήματα, καίτοι καθηγιασμένα διὰ τῶν κρεῶν τῆς θυσίας, οὐκ ἂν ἁγιάσῃ ἔτι τῶν προσψαυόντων αὐτοῖς· οὕτω, φη-

[91] Malach. II, 7. [92] Levit. VII, 19.

Digitized by Google

σιν, οὐκ ἂν ἁγίους ἀποτελέσῃ τὸ καταθύειν Θεῷ τοὺς καθ' ἕτερον τρόπον λυπεῖν ᾑρημένους, καὶ ἀπρακτεῖν ἐθέλοντας περὶ τὸ ἀνδάνον Θεῷ. Ὅτι δὲ, ὡς ἔφην, τῶν ἐμποριῶν ἕνεκα, καὶ τῶν ἐκ ταύτης λημμάτων βεβήλοις ἀνδράσιν ἀναμιγνύμενοι, ἐν μεθέξει πάντως καὶ αὐτοὶ τῆς ἐκείνων ἔσονται βδελυρίας, διὰ τῆς ἑτέρας ἐπερωτήσεως καθίστησιν ἐναργές. Ἔφη γὰρ πάλιν· « Ἐὰν ἅψηται μεμιασμένος ἐπὶ ψυχῇ ἀπὸ παντὸς τούτων, εἰ μιανθήσεται; Οἱ δὲ εἶπον, Μιανθήσεται. » Προστέταχε μὲν γὰρ ὁ διὰ Μωσέως νόμος τοῖς ἡγιασμένοις, νεκροῦ σώματος μὴ ἀποθίγειν, μήτε μὴν ἀνθρώποις τεθνεῶσιν ἐπιφοιτᾷν. Καὶ γοῦν ἔφη, δεῖν καταμιαίνεσθαι τοὺς ἱερουργοὺς, εἰ μὴ ἐπὶ μόνοις μητρὶ, καὶ πατρὶ, καὶ ἀδελφῷ, καὶ ἀδελφῇ, τὸν δέ γε τῶν ἱερῶν ταγμάτων προεστηκότα καὶ προὔχοντα μηδὲ ἐπὶ τούτοις ὅλως. A

Αἴνιγμα δὲ τὸ κεκελευσμένον ἦν. Σκιὰ γὰρ ὁ νόμος. Ὁ γάρ τοι νεκρὸς νεκρῶν ἔργων καὶ ἀκαθαρσίας κοσμικῆς τύπος ἂν εἴη. Δεῖ δὲ, οἶμαι, τοὺς ἱεράν τε καὶ πάναγνον ἐπησκηκότας ζωὴν νεκρῶν ἔργων ἀπονοσφίζεσθαι, καὶ σαπρίας κοσμικῆς ἀπανίστασθαι φιλεῖν. Ἀλλ' εἰ συνέβη τὸ τηνικάδε νεκρῷ τινος τῶν ἄλλων ἀποθίγειν, ἢ ἀνθρώπου τυχὸν, ἦγουν ἐδέσματος, τοῦτο πάντως ἦν κατὰ νόμον ἐν μολυσμῷ. Ἐρωτᾷ δὲ οὖν ὁ προφήτης, εἰ ὅταν τις νεκροῦ σώματος ἁψάμενος, εἶτα μεμενηκὼς ἀναπόνιπτος, ἑτέρου τινὸς ἅψαιτο τυχὸν, εἰ πάντως αὐτὸν καταμιαίνῃ. Τῶν δὲ εἰρηκότων, Μιανεῖ· λοιπὸν ἐπιφέρει Θεός· « Οὕτως ὁ λαὸς οὗτος, καὶ οὕτως τὸ ἔθνος τοῦτο ἐνώπιόν μου, λέγει Κύριος, καὶ οὕτω πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν, καὶ ὃς ἂν ἐγγίσῃ ἐκεῖ, μιανθήσεται. » Ἐπειδὴ γὰρ νεκρῶν ἔργων ἅπτεται, φησὶν, οὐχὶ μεμίανται μόνον αὐτὸς, ἀλλὰ γὰρ πρὸς τοῦτο ἧκει φαυλότητος, ὡς ἐπιτηδείως ἔχειν εἴς γε τὸ δύνασθαι καὶ μᾶλα νεανικῶς καταμιαίνειν ἕτερος. Ἐπιμελητέον δὴ οὖν ἔργων ἀγαθῶν, καὶ πληροῦν σπουδάζωμεν τὸ ὅτι μάλιστα φίλον ἀληθῶς τῷ Θεῷ, θύωμέν τε οὕτω πνευματικῶς. Οὕτω γὰρ προσδέξεται, καὶ οὐκ εἰς κατάκριμα τὴν εὐχὴν, ἕξομεν δὲ μᾶλλον εἰς ὕνησίν τε καὶ εὐλογίαν. Ἀποσειώμεθα δὲ καὶ νεκρὰς ἐπιθυμίας, καὶ οἷον ἀψύχους ἡδονὰς, καὶ ἀκαθαρσίαν κοσμικήν. Κεκαθαρμένοις γὰρ οὕτω καὶ ἡγιασμένοις συνέσται Θεός. B C

Ἕνεκεν τῶν λημμάτων αὐτῶν τῶν ὀρθρινῶν ὀδυνηθήσονται ἀπὸ προσώπου πόνων αὐτῶν, καὶ ἐμισεῖτε ἐν πύλαις ἐλέγχοντα.

ΙϚ'. Ταῦτά φησι μήτε τὴν Ἑβραίων ἔκδοσιν, μήτε μὴν τοὺς ἑτέρους ἑρμηνευτὰς ἢ εἰπεῖν ἢ εἰδέναι. Πλὴν συμβαίνουσαν ἔχοντα διαφαίνεται τοῖς προλαβοῦσι τὴν ἔννοιαν. Ἐπειδὴ γὰρ, ὡς ἔφην, ἀνεπτόητο λίαν εἰς φιλοκερδίαν καὶ πλεονασμοὺς, πρόφασις δὲ αὕτη τῆς ῥᾳθυμίας αὐτῶν ἀνεδείκνυτο, καίτοι τὸν θεῖον ἀναδείμασθαι ναὸν ἐπιτεταγμένοις, αἰτιᾶται λοιπὸν ἀναγκαίως ἐπὶ τούτοις αὐτούς. Ὀρθρινὰ δὲ λήμματά φησι ἐπί τοι τὸ ἐφ' ἑτέρῳ μηδενὶ τὰς ἐν ὄρθρῳ ποιεῖσθαι πρόοδους καὶ σπουδὰς, πλὴν ὅτι γε τούτου ἕνεκα καὶ μόνου, τοῦ λημμάτων ἐφίεσθαι λέγω. Καὶ ὑπέρ γε τούτων ὀδυνηθήσεσθαί φησιν αὐ- D

XVI. Ista sunt nec in Hebræorum editione exstare, nec ab aliis interpretibus poni, aut agnosci. Verumtamen cum præcedentibus conspirantem habere sententiam apparet. Postquam enim, ut dixi, propter cupiditatem lucri et rem exaggerandam perterriti sunt, et hoc socordiæ ipsorum mantellum esse demonstratum est, cum tamen divinum templum instaurare jussi essent, de cætero eos super hoc merito accusat. Matutinos autem quæstus appellat, quod non alia de causa mane in publicum prodirent, nec prius quidquam curarent. Ac super lucris quidem dolituros ait, cum consilium eventus

agitare voluerint. Mercaturæ autem gratia, ut dixi, et quæstuum inde parandorum impuris hominibus admistos, eorum impuritatis fore omnino consortes, per aliam quæstionem manifestum reddit. Rursus enim ait : « Si tetigerit pollutus in anima de quolibet horum, si polluetur? Illi responderunt, Polluetur. » Mandavit enim lex per Mosen lata sanctificatis, ne morticinum, seu corpus mortuum tangerent, neque super mortuo ingrederentur[93]. Proinde ait, non debere pollui sacerdotes, nisi tantum super matre et patre, et super fratre et sorore, principem autem ac præpositum sacrorum ordinum ne super istis quidem ullo modo.

Hoc mandatum erat ænigma. Umbra enim lex[94]. Mortuus enim operum mortuorum et mundanæ immunditiæ typus fuit. Oportet autem, opinor, sacram et omnimodis puram vitam ingressos cum operibus mortuis nihil habere commune, et ab amore putredinis mundanæ se removere. Quod si tunc contingebat ut si quid aliud, aut hominem forte, aut escam tangeret, illud secundum legem prorsus contaminatum esset. Percontatur nunc propheta, si quis tacto corpore mortuo deinceps manus non ablueret, et alium quempiam forte tangeret, num omnino illum polluret. Illis respondentibus, polluturum, infert mox Deus : « Sic populus iste, et sic gens ista coram me, dicit Dominus, et sic omnia opera manuum eorum, et quicunque appropinquaverit ibi, contaminabitur[95]. » Quoniam enim opera mortua tangit, inquit, non solum ipse contaminatus est, sed adeo improbus evasit, ut ad alios etiam strenue contaminandos idoneus sit. Studendum est itaque operibus bonis, et danda opera ut quod vere Deo gratissimum est exsequamur, et ita spiritualiter sacrificemus. Sic enim admittet, **646** et preces ac vota nostra non in judicium, sed ad utilitatem et benedictionem nobis evenient. Repellamus etiam desideria mortua, et voluptates quasi inanimas, et mundanam immunditiam. Sic enim purgatis et sanctificatis aderit Deus.

Propter quæstus eorum matutinos dolebunt a facie laborum suorum, et odio habebatis qui in portis arguebat.

[93] Levit. xi, xii. [94] Hebr. x, 1. [95] Num. vi, 7.

Digitized by Google

non consequetur. Deo enim non dirigente, et actionum nostrarum viam non complanante, inanis est prorsus et infructuosus hominis in quacunque re susceptus labor. Scriptum est enim : « Nisi Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam [96]. » Cum igitur mane et sub auroram quæstum facere illis majori curæ esset, quam Dei templum ædificare, et melioribus indigniora anteferrent, adhuc alio morbo laborare deprehensi sunt. « Oderant enim arguentes in portis. » In portis intellige manifeste, palam. Quare autem oderant? Quibus enim semel a pravis voluptatibus jugum est impositum, et effrenati ad nefaria perpetranda proruerunt, iis non solent esse jucundi correctores, sed molesti et odiosi potius. Quid vero illis molestum atque odiosum non est? Perniciosissimus itaque morbus animi, improbis adhærescere, et scientes prodesse abominari, et ægrotare jucundissime si ita evenerit, in re licet infami admodum. Melius autem et cum sapientia conjunctum, fortiter repellere infusa in animum et mentem detrimenta, atque si quid invaletudinis acciderit, quærere quam primum medicos, et diligere arguentes, et tanquam Deo ad pedes eorum provolvi, ac dicere : « Sana me, Domine, et sanabor, et salva me, et salvus ero; quoniam gloriatio mea tu es [97]. »

A τοὺς, μηδὲ εἰς πέρας αὐτοῖς τὸ ποθούμενον ἐξιόντος τοῦ σκοποῦ. Θεοῦ γὰρ οὐ κατευθύνοντος, καὶ τὴν τῶν πρακτέων ἡμῖν οὐ καταλιαίνοντος ὁδὸν, εἰκαία που πάντως καὶ ἀνόνητος ἡ ἐφ' ὁτιοῦν ἀνθρώπου σπουδή. Γέγραπται γάρ· « Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες αὐτόν. » Προτετιμηκότες δὴ οὖν τοῦ τὸν θεῖον ἐγείρειν ναὸν τὰ ὡς ἐν ὀρθρῳ τε καὶ ὑπὸ τὴν ἕω λήμματα, καὶ τῶν ἀμεινόνων τὰ αἰσχίω προτάττοντες, ἕτερόν τι πρὸς τούτῳ δεινὸν προσαρρωστοῦντες ἠλίσκοντο. « Μεμισήκασι γὰρ τοὺς ἐλέγχοντας ἐν πύλαις. » Τὸ δὲ ἐν πύλαις νοήσεις, ἀντὶ τοῦ, ἐναργῶς. Ἀνθ' ὅτου δὲ μεμισήκασι; Τοῖς γὰρ ἅπαξ κεκρατημένοις ἐξ ἡδονῶν πονηρῶν, καὶ ἀχαλίνως ὠλισθηκόσιν ἐπὶ τὸ ἐλέσθαι δρᾷν ἃ μὴ θέμις, οὐδ' ἂν εἶεν ἡδεῖς οἱ ἐπανορθοῦν ἰσχύοντες, φορτικοὶ δὲ μᾶλλον καὶ κατεστυγημένοι. Καὶ τί γὰρ οὐχὶ τῶν τοιούτων καταλογισθεῖεν ἄν; Πάνδεινον τοίνυν ἀῤῥώστημα νοῦ, τὸ καὶ προσκεκλίσθαι τοῖς φαύλοις, καὶ τοὺς ὠφελεῖν εἰδότας καταμυσάττεσθαι, καὶ νοσεῖν ὡς ἥδιστα τὸ συμβὰν, κἂν εἴ τι τῶν ἄγαν ἐκτόπων ὑπάρχον ὁρῷτο. Ἄμεινον δὲ καὶ σοφὸν, ἀποκρούεσθαι μὲν γενικῶς τὰ εἰς ψυχὴν ἔσω καὶ νοῦν εἰσχεόμενα βλάβη, εἰ δὲ δή πού τι συμβαίνει παθεῖν, ζητεῖν μὲν κατὰ τάχος τοὺς ἰατροὺς, καὶ τοὺς ἐλέγχοντας ἀγαπᾷν, προσυλινδεῖσθαι δὲ ὥσπερ Θεοῦ, λέγοντας· « Ἴασαί με, Κύριε, καὶ ἰαθήσομαι· σῶσόν με, καὶ σωθήσομαι· ὅτι τὸ καύχημά μου σὺ εἶ. »

B

647 Vers. 16-18. *Et nunc ponite in corda vestra a die hac et supra, antequam poneretur lapis supra lapidem in templo Domini, qui eratis, quando immittebatis in modium hordei viginti sata, et facta sunt hordei decem sata : et ingrediebamini in torcular, ut quinquaginta amphoras hauriretis, et factæ sunt viginti. Percussi vos in sterilitate, et in corruptione aeris, et in grandine omnia opera manuum vestrarum, et non estis reversi ad me, dicit Dominus.*

C *Καὶ νῦν θέσθε δὴ εἰς τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης, καὶ ὑπεράνω, πρὸ τοῦ θεῖναι λίθον ἐν τῷ ναῷ Κυρίου, τίνες ἦτε, ὅτε ἐνεβάλλετε εἰς κυψέλην κριθῆς εἴκοσι σάτα, καὶ ἐγένετο δέκα σάτα κριθῆς· καὶ εἰσεπορεύεσθε εἰς τὸ ὑπολήνιον ἐξαντλῆσαι πεντήκοντα μετρητὰς, καὶ ἐγένοντο εἴκοσι. Ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ, καὶ ἐν ἀνεμοφθορίᾳ, καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν, καὶ οὐκ ἐπεστρέψατε πρός με, λέγει Κύριος.*

XVII. Evidentibus argumentis persuadet ipsis felicius eos ævum agitare, ex quo instituerunt ædificare templum Domini, et hoc labore suscepto meliores esse quam antea. Considerate enim, inquit, et reminiscimini quales eratis priusquam poneretur lapis supra lapidem in templo Domini. Tunc enim, inquit, vix longis sudoribus ex agris et area congregata hordei viginti sata (nomen mensuræ satum arbitror) reponebatis in cypselam (species intelligenda est apothecæ, seu horrei condendis fructibus), et fiebant hordei sata decem, curculione nempe fortassis absumente, et propter iram divinam fruges in pulverem redigente. Quod si quis ad torcular veniebat, quinquaginta metretas hausturus, cum vasis, inopinato mensuram imminutam inveniens, obstupescebat. Percussi etiam aliis plagis, inquit, sterilitate, corruptione aeris, grandinibus, et adhuc præfracti manebatis : « Neque enim conversi estis ad me, dicit Dominus. »

ΙΖ'. Ἐξ ἀναγκαίων αὐτοὺς ἀναπείθει λογισμῶν, ὅτι πεπράχασι δεξιῶς, οἰκοδομεῖν ἠρημένοι τὸν θεῖον ναὸν, καὶ εἰσὶν ἀμείνους, ἢ πάλαι, τῆς εἰς τοῦτο σπουδῆς ἀψάμενοι. Κατανοήσατε γάρ, φησὶ, καὶ ἀναμνήσθητε, τίνες ἦτε, τουτέστιν ὅπως τε καὶ τίνα τρόπον διέκεισθε, πρὶν ἐπιθεῖναι λίθον ἐπὶ λίθῳ ἐν τῷ ναῷ Κυρίου. Τότε μὲν γάρ, φησὶ, συναγηγερμένα μόλις ἱδρῶσι μακροῖς τὰ ἐξ ἀγρῶν τε καὶ ἅλω, κριθῆς εἴκοσι σάτα (μέτρον δὲ οἶμαι τὸ σάτον) ἐναπετίθεσθε κυψέλῃ (εἶδος δ' ἂν νοοῖτο καὶ τοῦτο καρπῶν ἀποθήκης), καὶ ἐγίνετο κριθῆς δέκα σάτα, σηπὸς δηλονότι δαπανῶντός που τάχα, καὶ εἰς χοῦν ἀπολεπτύνοντος τοὺς καρποὺς ἐκ θείας ὀργῆς. Εἰ δὲ δή καὶ εἰς ληνὸν ἀφίκετό τις, πεντήκοντα μετρητὰς ἀρυσόμενός τε καὶ μετ' ἀγγείων, ἐν ἀδοκήτῳ μειώσει τὸ μέτρον εὑρὼν, κατετεθήπει λοιπόν. Ἐπατάχθητε δὲ, φησὶ, καὶ ἑτέραις πληγαῖς, ἀφορίαις, ἀνεμοφθορίαις, χαλάζαις, καὶ πάλιν ἦτε σκληροὶ· « Οὐ γὰρ ἐπεστρέψατε πρός με, φησὶ Κύριος. »

D

[96] Psal. cxxvi. 1. [97] Jerem. xvii, 14.

Digitized by Google

Τί οὖν ἐνταῦθα εἰσόμεθα; Πρόδηλον ὅτι τοῖς οὐκ ἐθέλουσιν οἰκοδομεῖν τὸν οἶκον Κυρίου, τουτέστι τὴν Ἐκκλησίαν, ἤγουν τὰς ἰδίας ψυχὰς εἰς ναὸν ἀποφαίνειν Θεοῦ κατωκνηκόσιν ἐκτόπως, καὶ τὰ ἤδη πορισθέντα τῶν ἀγαθῶν οἰχήσεται πρὸς οὐδέν, προσέσται δὲ πάντως καὶ τὰ ἐκ τῶν ἀκαθάρτων πνευμάτων βλάβη, ἀκαρπίαι τε καὶ χάλαζαι, τουτέστιν, ἀφόρητοι πειρασμῶν ἐπιβολαὶ πρὸς πᾶν ὁτιοῦν κατασείουσαι τῶν κακῶν, καὶ τὰ ἐκ θείας ὀργῆς συμβήσεται.

A Quid ergo hinc discemus? Certum est, nolentibus ædificare domum Domini, hoc est, Ecclesiam, sive animas suas templum Dei efficere præter rationem tergiversantibus, etiam acquisita jam bona peritura, et ab immundis spiritibus sensuros utique incommoda, sterilitatemque et grandines, hoc est, intolerabilium tentationum impetus ad omne genus peccatorum Deo succensente impellentes perpessuros.

Ὑποτάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης, καὶ ἐπέκεινα ἀπὸ τῆς τετράδος καὶ εἰκάδος τοῦ ἐννάτου μηνὸς, καὶ ἀπὸ τῆς ἡμέρας ἧς τεθεμελίωται ὁ ναὸς Κυρίου. Θέσθε ἐν ταῖς καρδίαις ὑμῶν, εἰ ἐπιγνωσθήσεται ἐπὶ τῆς ἄλω, καὶ εἰ ἔτι ἄμπελος, καὶ ἡ συκῆ, καὶ ἡ ῥοὰ, καὶ τὰ ξύλα τῆς ἐλαίας, τὰ οὐ φέροντα καρπὸν, ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω.

Vers. 19, 20. *Ponite corda vestra a die hac, et supra, a tertia et vicesima noni mensis, et a die qua fundatum est templum Domini. Ponite in cordibus vestris, si ultra cognoscetur super aream, et si ultra vinea, et ficus, et malus punica, et ligna* **648** *olivæ,* B *quæ non ferunt fructum, a die hac benedicam.*

ΙΗ'. Προαναπείσας εὖ μάλα διὰ τῶν ἀρτίως ἡμῖν εἰρημένων, ὡς ἀφιλεργεῖν ἠρημένοις περὶ τὸν θεῖον ναὸν πλείστη τις ὅση συμβέβηκε τῶν ἀνιαρῶν ἡ ἔφοδος, ἐκ τοῦ κατευφραίνειν εἰδότος πληροφορηθήσεσθαί φησιν, ὅτι τῆς εἰς τὰ αὐτῷ δοκοῦντα σπουδῆς καρπὸν ἕξουσι τὴν εὐημερίαν, καὶ μισθὸν ἐπιεικείας τῆς εἰς τὸν οἶκον αὐτοῦ, τὸ ἐν παντὶ δὴ πάντως κατευρύνεσθαι καλῷ. Ὑπισχνεῖται δὲ ὅτι μάλιστα χορηγήσει αὐτοῖς τὴν ἐξ ἀγρῶν εὐκαρπίαν, ὡς ἀπιστίας ἐγγὺς γενέσθαι τὸ χρῆμα, καὶ ὑπὲρ ἐλπίδα πολλὴν τοὺς ἀπὸ τῆς ἄλω διαφαίνεσθαι σωροὺς, καὶ ξύλων δὲ τῶν ἐν κήποις ἀνεμένων ὡς εὐθέτρυν μὲν ὁρᾶσθαι τὴν ἄμπελον, συκῆν δὲ, καὶ ῥοὰν, καὶ ἁπαξαπλῶς πλουσίως· αὐτοῖς ἐκτεθηλέναι τὰ ἐξ ὡρῶν, καὶ μὴν καὶ ἐλαίας ἐν ἀδοκήτῳ πλεονασμῷ τὸν οἰκεῖον αὐτοῖς ἐκδούσης καρπὸν, διά τοι τὸ εὐλογεῖσθαι παρὰ Θεοῦ.

XVIII. Cum jam ante dictis luculenter docuisset, ad ædificationem templi operam commodare subterfugientibus magnam vim rerum incommodarum obvenisse, ex lætis ac natura jucundis certissimo cognituros ait, ipsos ex studio sibi placitorum felicitatis fructum consecuturos, et pietate erga domum ejus omnium bonorum amplitudinem in mercedis loco relaturos. Promittit autem fructuum ubertatem ex agris potissimum illis præbiturum, ita ut res propemodum fidem excedat, et acervi ex area sublati spem longe superare videantur, et ut lignorum in hortis prodeuntium vitis quidem onusta botris cernatur, ficus et malus punica, et universe omnia secundum tempus affatim illis efflorescant; quin et oliva inexspectatam baccarum copiam propter benedictionem Dei ipsis efferat.

Ὥσπερ γὰρ τοῖς κατοκνεῖν ἠρημένοις Ἐκκλησίας οἰκοδομεῖν, ἤγουν ἑαυτοὺς εἰς ναὸν ἅγιον παραστῆσαι Χριστῷ, πάντα καταῤῥεῖ πρὸς τὸ χεῖρον, καὶ μὴν καὶ τὸ εἶναι πάντως ἐν πειρασμοῖς, καὶ νοηταῖς ἀκαρπίαις ὁρᾶται συμβαῖνον· οὕτω καὶ τὸ ἔμπαλιν ἀληθὲς, τοῖς οἰκοδομεῖν ἐθέλουσι καὶ τὸν τῆς ἐπιεικείας ἱδρῶτα τετιμηκόσι δοθήσεται παρὰ Θεοῦ τὸ ἐν παντὶ δὴ πάντως ὁρᾶσθαι καλῷ, καὶ ταῖς εἰς νοῦν εὐκαρπίαις καταπιαίνεσθαι, καὶ οἷον ἐκτεθηλότα διαφόροις ἀρετῶν αὐχήμασι κῆπον ἔχειν τὸ ἐσώτατον, μονονουχὶ καὶ τοῖς ὡρίμοις κατάκομον, ὡς καὶ δύνασθαι λοιπὸν μετὰ παῤῥησίας ἀνακραγεῖν τὸ ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων· « Καταβήτω ὁ ἀδελφός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπὸν ἀκροδρύων αὐτοῦ. » Τροφὴ γὰρ ὥσπερ Θεῷ ἐξ ἀρετῶν βλαστήματα, καὶ τῆς εἰς νοῦν εὐκαρπίας ἡ χάρις.

Sicut enim pigris ad Ecclesiam ædificandam, sive ad semetipsos in templum sanctum Christo exhibendos omnia in deterius ruunt, quin etiam periculosissimis tentationibus, et sterilitatibus quas mente percipimus subjecti reperiuntur: ita vicissim verum est, ædificare volentibus et sudorem pietatis complectentibus concessum iri a Deo ut omnibus penitus bonis affluere videantur, et animi fertilitate pinguescant, et in intimis hortum velut variis virtutum ornamentis quasi florentem possideant, ut deinceps libere exclamare possint, quod est in Canticis canticorum: « Descendat nepos meus in hortum suum, et comedat fructum pomorum suorum [98]. » Virtutum quippe germina, et fecunditas animi, Deo quidam cibus sunt.

Καὶ ἐγένετο λόγος Κυρίου ἐκ δευτέρου πρὸς Ἀγγαῖον τὸν προφήτην, τετράδι καὶ εἰκάδι τοῦ μηνὸς, λέγων· Εἰπὸν πρὸς Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, λέγων· Ἐγὼ σείω τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὴν ξηράν. Καὶ καταστρέψω θρόνους βασι-

Vers. 21-23. *Et factum est verbum Domini secundo ad Aggæum prophetam, quarta et vicesima mensis, dicens: Dic ad Zorobabel filium Salathiel, de tribu Juda, dicens: Ego moveo cœlum et terram, et mare, et aridam. Et subvertam thronos regum, et perdam fortitudinem regum gentium, et subvertam*

[98] Cant. VI, 1.

Digitized by Google

currus et ascensores, et descendent equi et ascensores eorum, unusquisque in gladio contra fratrem suum

649 XIX. Ex particularibus fere, et ex quotidianis et obviis actionibus ad universa et maxime generalia propheticus sermo excurrit. Nam si alicubi quorumdam liberationis meminit, sæpe ad eam quæ per Christum facta est delabitur. Tale quiddam nunc quoque propheticus sermo insinuat : nam prædictis hæc etiam necessario subjunguntur, quæ mysterium in Christo peractum velut in ænigmatis et umbris adhuc tenuiter proclamant. Mittitur namque propheta ad Zorobabel ex tribu Juda, nuntiaturus, commotum iri cœlum et terram, insuper et mare et aridam; eversum iri præterea regum solia. Et sapientissimus quidem Paulus propositorum verborum sententiæ astipulans illud, *commotum iri*, significare ait futuram mobilium translationem, ut maneant ea quæ sunt immobilia [99]. Facta sunt autem nova [1], quæ per ipsum facta sunt, nempe stabilia, firma, et manentia. Animadverte igitur sermonis œconomiam. Cum enim admirabilem frugum abundantiam ipsis spopondisset, omniaque plena manu præbiturum dixisset, quæ ad animum hilarandum et delicias pertinerent, veritatis tempus fructuosum, spiritualis nimirum et supernæ benedictionis copiosam largitionem mox subjecit. Commovi enim terram, inquit, quando Israelem eduxi de terra Ægypti : tamen commovebo iterum, hoc est, iterum insignem et celebrem universis mortalibus faciam, tantum non omnia commovens. Et thronos quidem regum subvertam, et omnem eorum potentiam infringam, et quosdam quasi equites totum mundum percursantes de dominatu in omnes deturbabo, excitaboque alios equites sive bellatores, qui gladium contra genus suum et fratres distringant. Quibus verbis subindicare nobis videtur, per virtutem Salvatoris nostri destructas illas malignas et contrarias virtutes, principatus et potestates, quas in cruce sua triumphavit, et illis tyrannide ejectis, nobis indigne vexatis scilicet opem tulit [2]. Proinde sancta et immaculata Virgo, adhuc Christum gestans in utero, utpote Spiritu sancto plena, ante exclamavit his verbis : « Deposuit potentes de sede, et exaltavit humiles [3]. » Depositi sunt igitur potentes, et thronis suis exciderunt. Verum hic adventus Salvatoris nostri beneficia non terminantur. **650** Sed excitavit equitum multitudinem, viros bellatores et bellicæ rei peritos, ductandorumque ordinum scientes, et diaboli perversitatibus generose obsistentes. Sint sane hi rursum divini discipuli, qui gladio spiritus spiritualiter educto, sermone, inquam, mystagogico, vivo illo, et efficaci, et maxime penetrabili, iverunt contra quemvis hominem, et contra genus suum, et contra fratres, non ad mortem ferientes, sed eorum potius imperitiam interficientes, et eos

A *λέων, καὶ ὀλοθρεύσω δύναμιν βασιλέων τῶν ἐθνῶν, καὶ καταστρέψω ἅρματα καὶ ἀναβάτας, καὶ καταβήσονται ἵπποι καὶ ἀναβάται αὐτῶν, ἕκαστος ἐν ῥομφαίᾳ πρὸς τὸν ἀδελφὸν αὐτοῦ.*

ιθ'. Ἐκ τῶν μερικῶν ἀεί πως ὁ λόγος ἡμῖν ὁ προφητικὸς, καὶ ἐκ τῶν ἐν χερσὶ πράξεων ἐπὶ τὰ καθόλου καὶ γενικώτατα ποιεῖται τὴν ἐκδρομήν. Εἰ γάρ που περὶ λυτρώσεως τῆς τινων ποιεῖτο μνήμην, ἀποφοιτᾷ πολλάκις ἐπὶ τὴν διὰ Χριστοῦ. Τοιοῦτόν τι καὶ νῦν ὁ προφητικὸς ἡμῖν ὑποφαίνει λόγος· ἐπενήνεκται γὰρ ἀναγκαίως τοῖς ἤδη προειρημένοις καὶ τάδε, μυστηρίου τοῦ κατὰ Χριστὸν ὡς ἐν αἰνίγμασί τε καὶ σκιαῖς ἔτι λεπτῶς εἰσκομίζοντα τὴν ἀνάῤῥησιν. Ἀποστέλλεται γὰρ ὁ προφήτης πρὸς τὸν ἐκ φυλῆς Ἰούδα Ζοροβάβελ, ἐρῶν ὅτι σεισθήσεται μὲν ὁ B οὐρανὸς, καὶ ἡ γῆ, καὶ μὴν καὶ ἡ θάλασσα, καὶ ἡ ξηρὰ, καθαιρεθήσονται δὲ καὶ βασιλέων θρόνοι. Καὶ ὁ μὲν σοφώτατος Παῦλος ταῖς τῶν προκειμένων θεωρίαις προσβαλὼν, τὸ, *σεισθήσεται*, φησὶν ἐκεῖνο δηλοῦν, ὅτι τῶν σαλευομένων ἔσται μετάθεσις, ἵνα μείνῃ τὰ μὴ σαλευόμενα. Γέγονε δὲ καινὰ τὰ δι' αὐτοῦ, δηλονότι τὰ βεβηκότα τε καὶ ἐρηρεισμένα, καὶ μένοντα. Ὅρα τοίνυν τοῦ λόγου τὴν οἰκονομίαν. Ἀξιάγαστον γὰρ αὐτοῖς εὐκαρπίαν ἐπαγγειλάμενος, καὶ πάντα παρέξειν εἰπὼν πλουσίως τὰ εἰς εὐθυμίαν καὶ τρυφὴν, εἰσκεκόμικεν εὐθὺς τὸν τῆς ἀληθείας εὔκαρπον καιρὸν, δηλονότι τῆς πνευματικῆς ἄνωθεν εὐλογίας τὴν ἀμφιλαφῆ χορηγίαν. Ἔσεισα μὲν γὰρ, φησὶ, τὴν ὑπ' οὐρανὸν, ὅτε τὸν Ἰσραὴλ ἐξήγαγον ἐκ γῆς Αἰγύπτου· πλὴν σείσω καὶ ἔτι, C τουτέστιν, ἐπίσημόν τε καὶ διαβόητον τοῖς ἀνὰ πᾶσαν τὴν γῆν ἐργάσομαι πάλιν, μονονουχὶ κατασείων τὰ πάντα. Καὶ θρόνους μὲν βασιλέων καθελὼν, καὶ πᾶσαν αὐτῶν ἀφανιῶ τὴν δύναμιν, καὶ οἷόν τινας ἱππέας ὅλης καταθέοντας τῆς ὑπ' οὐρανὸν τῆς κατὰ πάντων πλεονεξίας ἐκβαλῶ, ἑτερῶ γε μὴν ἑτέρους ἱππέας, ἤτοι πολεμιστὰς, ῥομφαίαν σπωμένους κατὰ γένους καὶ ἀδελφῶν. Ἔοικε δὲ διὰ τούτων ὑποφαίνειν ἡμῖν τὰς διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν ἰσχύος καθῃρημένας πονηράς τε καὶ ἀντικειμένας δυνάμεις, ἀρχάς τε καὶ ἐξουσίας ἃς τεθριάμβευκε τῷ ἰδίῳ σταυρῷ, καὶ τῆς κατὰ πάντων πλεονεξίας ἐκβαλὼν ἐπήμυνε τοῖς ἠδικημένοις, ἡμῖν δηλονότι. Καὶ γοῦν ἡ ἁγία καὶ ἄμωμος Παρθένος, ἔτι κυοφοροῦσα Χριστὸν, ἅτε δὴ καὶ ἁγίου Πνεύματος ἀνάπλεων φέρουσα τὸν νοῦν, προανακεκράγει, τὰ τοιάδε λέγουσα· « Καθεῖλε δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. » Οὐκοῦν καθῃρηνται μὲν οἱ δυνάσται, καὶ πεπτώκασιν ἐξ ἰδίων θρόνων. Πλὴν οὐ μέχρι τούτων τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιδημίας τὰ κατορθώματα. Ἀλλὰ γὰρ ἐγήγερταί τις ἱππέων ἐσμὸς, ἄνδρες μαχηταὶ, καὶ ἐμπειροπόλεμοι, καὶ στρατηγεῖν εἰδότες, καὶ ταῖς τοῦ διαβόλου δυστροπίαις ἀντεξάγοντες γενικῶς. Εἶεν δ' ἂν οὗτοι πάλιν οἱ θεσπέσιοι μαθηταὶ, οἱ τὴν τοῦ πνεύματος μάχαιραν νοητῶς ἐσπασμένοι, τουτέστι, τῆς μυσταγωγίας τὸν λόγον, τὸν ζῶντά τε καὶ ἐνεργῆ, καὶ τομώτατον, ἐχώρουν κατὰ παντὸς

[99] Hebr. XII, 26, 27. [1] II Cor. V, 17. [2] I Cor. XV, 24; Coloss. II, 15. [3] Luc. I, 52.

Digitized by Google

ἀνθρώπου, καὶ κατὰ γένους, καὶ κατὰ ἀδελφῶν, οὐ πλήττοντες τὰ εἰς θάνατον, ἀναιροῦντες δὲ μᾶλλον τὴν ἐν αὐτοῖς ἀμαθίαν, καὶ οἷον νεκροῦντες τῷ κόσμῳ, καὶ ἐκτεθνᾶναι ταῖς ἁμαρτίαις παρασκευάζοντες, ἵνα ζήσειαν τῷ Θεῷ, τὴν εὐκλεᾶ καὶ ἀμώμητον ἠγαπηκότες ζωήν, δῆλον δὲ ὅτι τὴν εὐαγγελικήν. Ὅτι δὲ ἔμελλον τῆς εἰς Χριστὸν ἀγάπης ἕνεκα υἱοὶ πατράσιν ἀντιτάξασθαι, καὶ μητράσι θυγατέρες, καὶ ἀδελφοῖς ἀδελφοί, πῶς ἔστιν ἀμφιβάλλειν, τοῦ Σωτῆρος λέγοντος ἐναργῶς· « Ἦλθον διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς, καὶ ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκιακοὶ αὐτοῦ; » Ἐχθροὶ μὲν οὖν καθὸ καὶ ἑτερόφρονες· φίλοι δὲ καὶ οὐκ εἰς μακράν, ὡς ἐν ὁμοψυχίᾳ πίστεως, καὶ ὡς ἐν ἑνότητι πνεύματος ἀγάπης τῆς ἐν Χριστῷ.

A velut mundo jugulantes, et peccatis mori facientes, ut Deo vivèrent, gloriosam et inculpatam vitam, evangelicam videlicet, diligentes. Propter charitatem vero erga Christum adversaturos filios patribus, filias matribus, et fratres fratribus quo pacto dubietur, quando Christus aperte dicit : « Veni separare hominem contra patrem suum, et filiam contra matrem, et nurum adversus socrum suam, et inimici hominis domestici ejus [5]? » Inimici igitur, quatenus aliud sentientes : nec multo post amici, ut in concordia fidei, et in unitate spiritus dilectionis in Christo.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγει Κύριος παντοκράτωρ, λήψομαί σε Ζοροβάβελ τὸν τοῦ Σαλαθιὴλ, τὸν δοῦλόν μου, λέγει Κύριος, καὶ θήσομαί σε ὡς σφραγῖδα, διότι σε ᾑρέτισα, λέγει Κύριος παντοκράτωρ.

B Vers. 24. *In die illa, dicit Dominus omnipotens, assumam te, Zorobabel, filium Salathiel, servum meum, dicit Dominus, et ponam te quasi signaculum, quia te elegi, dicit Dominus omnipotens.*

Κ'. Οὐ πρὸς Ζοροβάβελ ἀληθῶς ὁ τοιόσδε λόγος, γέγονε δὲ μᾶλλον ὡς πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ὡς ἔν γε τῷ Ζοροβάβελ εὖ μάλα γραφόμενον· ὅτι καὶ ἐκ φυλῆς Ἰούδα, καὶ μέντοι καὶ βασιλεὺς, καὶ τῶν αἰχμαλωσίας λελυτρωμένων ἡγούμενος, καὶ οἷον ἐπιστάτης τῶν οἰκοδομούντων Κυρίου. Σὲ τοίνυν, φησὶ, λαβὼν τὸν δοῦλόν μου, τουτέστι τὸν ἐν δούλου μορφῇ πεφηνότα, πλὴν κατὰ φύσιν ἐλεύθερον, κατ' ἐκεῖνο τοῦ καιροῦ, καθ' ὃν ἂν ἐλοίμην καθελεῖν δυνάστας ἀπὸ θρόνων, καὶ ἐκβαλεῖν ἀρχῆς, « ὡς σφραγῖδα θήσομαι. » Σφραγὶς γὰρ τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, ὅλην αὐτοῦ καὶ ἀκραιφνῆ τὴν ὁμοίωσιν ἔχων, καὶ ἐν ἰδίῳ κάλλει τὴν τοῦ γεννήσαντος ἀστράπτων φύσιν. Ἐν αὐτῷ δὲ καὶ ἡμᾶς εἰς ὁμοίωσιν ἰδίαν κατασφραγίζει Θεός· εἴπερ εἰς Χριστὸν μορφούμενοι, τὴν ὡς πρὸς Θεὸν εἰκόνα κερδαίνομεν. Σήμαντρον οὖν ἄρα τὸ ἀκριβὲς τοῦ Θεοῦ καὶ Πατρὸς ὁ Υἱὸς, καὶ αὐτὸν ᾑρετίσατο, τοῦτ' ἔστιν, αἱρετὸν ἐποιήσατο καὶ ἐξειλεγμένον. Καὶ γοῦν ἐπὶ τοῖς Ἰορδάνου νάμασιν αὐτὸν ὡμολόγει, λέγων· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. » Εὐδόκησε γὰρ ὁ Θεὸς καὶ Πατὴρ ἀναστοιχειῶσαι τὰ πάντα, καὶ ἀναγαγεῖν εἰς τὸ ἀπ' ἀρχῆς, καὶ ὡς ὁ θεσπέσιος γράφει Παῦλος, « ἀνακεφαλαιώσασθαι τά τε ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς ἐν τῷ Χριστῷ. »

XX. Non ad Zorobabelem revera, sed ad Dominum nostrum Jesum Christum potius, ut in Zorobabele perquam convenienter expressum, hæc verba fiunt : quoniam et ex tribu Juda, et rex, et liberatorum e captivitate princeps, et domum Domini ædificantium tanquam præses erat. Te igitur, inquit, assumptum servum meum, hoc est, qui in forma servi apparuisti, cum natura liber sis, illo tempore quo voluero dynastas, seu potentes, de throno dejicere et a principatibus removere, « ponam C quasi signaculum. » Filius enim Dei et Patris signaculum est, totam ejus et perfectam similitudinem continens, et in proprio decore genitoris natura coruscans. In ipso porro quoque ad similitudinem suam nos signat Deus : siquidem in Christum transformati, velut imaginem Dei acquirimus. Signaculum igitur perfectum Dei et Patris est **651** Filius, et ipsum elegit, hoc est eligibilem reddidit, et electum. Proinde ad fluenta Jordanis eumdem confitebatur in hæc verba : « Hic est Filius meus dilectus, in quo mihi bene complacui [6]. » Complacuit enim Deo et Patri reformare omnia, et ad primum statum reducere, et, ut divinus Paulus scribit, « instaurare in Christo quæ in cœlis, et quæ in terris sunt [7]. »

[5] Matth. x, 35, 36. [6] Matth. xvii, 14. [7] Ephes. i, 10.

Digitized by Google

ORDO RERUM

QUÆ IN HOC TOMO CONTINENTUR.

S. CYRILLUS ALEXANDRINUS ARCHIEPISCOPUS.

Commentarius in Oseam prophetam. 9
— in Joelem prophetam. 327
— in Amos prophetam. 407
— in Abdiam prophetam. 583
Commentarius in Jonam prophetam. 598
— in Michæam prophetam. 639
— in Nahum prophetam. 775
— in Habacuc prophetam. 843
— in Sophoniam prophetam. 943
— in Aggæum prophetam. 1023

FINIS TOMI SEPTUAGESIMI PRIMI.

Parisiis. — Ex Typis J.-P. MIGNE.

Digitized by Google

Digitized by Google


Digitized by Google



BR60
P4
v.71

DATE DUE

DOES NOT CIRCULATE

STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA
94305

Digitized by Google